HIPPOCRATIS
COI SIVE MAGNI
OPERA OMNIA
GRÆCE ET LATINE.
TOMUS SECUNDUS.

Præ cunctis editionibus auctiora, & emendatiora, & accommodatiora ad plurifarios magnosque usus,

INDUSTRIA & DILIGENTIA

JOANNIS ANTON. VANDER LINDEN,

Doct. & Professoris Medicinæ Practicæ primi in Academia Lugduno-Batava.

LUGDUNI BATAVORUM,
Apud GAASBEECKIOS.
cIↃ IↃCLXV.

ELENCHUS

Librorum in Secundo Volumine Hippocratis contentorum.

Arta-

ΙΠΠΟ-

ΙΠΠΟΚΡΑΤΟΥΣ HIPPOCRATIS

περὶ DE

ΝΟΥΣΩΝ MORBIS

τὸ πρῶτον. liber primus.

Basil. græc. Foesius sect. v. 3. 446. Basil. lat.

pag. 119

ΟΣτις ἂν περὶ ἰήσιος 1 ἐθέλῃ ἐρωτᾶν τε ὀρθῶς 2 καὶ ἐρωτῶντι ἀποκρίνεσθαι, 3 καὶ ἀν-
5 τιλέγειν ὀρθῶς, 4 ἐνθυμέεσθαι χρὴ τάδε. 5 πρῶτον μὲν, ἀφ' ὧν αἱ νοῦσοι γίνονται πᾶσαι τοῖσιν ἀνθρώποισιν. 6 ἔπειτα δὲ, ὁκόσα ἀνάγκας ἔχει τῶν νοσημάτων, ὡς, ὅταν γένηται, εἶναι ἢ μακρὰ ἢ βραχέα, 7 ἢ θανάσιμα ἢ μὴ θανάσιμα· 8 ἢ ἔμπηρόν τι τοῦ σώματος γενέσθαι, ἢ μὴ ἔμπηρον. 9 καὶ ὁκόσα, ἐπὴν γένηται, ἐνδοιαστὰ ἢ κακὰ ἀπ' αὐτέων ἀποβῆναι, ἢ ἀγαθά. 10 καὶ ἀφ' ὁκοίων νοσημάτων ἐφ' ὁκοῖα με-
10 ταπίπτει. 11 καὶ ὁκόσα ἐπιτυχίῃ ποιέουσιν οἱ ἰητροὶ θεραπεύοντες τοὺς ἀσθενέοντας. 12 καὶ ὁκόσα ἀγαθὰ ἢ κακὰ οἱ νοσέοντες ἐν τῇσι νούσοισι πάσχουσι. 13 καὶ ὁκόσα ἀκαιρίῃ ἢ λέγεται ἢ ποιέεται ὑπὸ τοῦ ἰητροῦ πρὸς τὸν νοσέοντα, 14 ἢ ἀπὸ τοῦ νοσέοντος πρὸς τὸν ἰητρόν. 15 καὶ ὁκόσα ἀκριβῶς ποιέεται ἐν τῇ τέχνῃ καὶ λέγεται, 16 καὶ ἅτε ὀρθά. 17 καὶ ὅ, τι αὐτῆς ἀρχὴ, ἢ τελευτὴ, ἢ μέσον, ἢ ἄλλο τι ἀποδε-

QVI de sanatione recte 111 inquirere velit, 2 percunctantique respondere, 3 & contradicere recte, 4 eum hæc animadvertere oportet. 5 Primum quidem à quibus omnes morbi hominibus fiunt. 6 Deinde vero qui morbi necessario, ubi facti fuerint, aut longi sunt aut breves, 5 7 aut lethales aut non lethales, 8 aut aliquam corporis partem mutilent aut non mutilent: 9 & qui postquam orti sunt dubii sint, an mala ab ipsis eventura sunt, aut bona. 10 Et à quibus morbis ad quales transitus fiat. 11 Et quæ per fortuitum successum medici ægrotos curantes faciunt. 12 Et quæ bona aut mala ægrotantes in in morbis perpetiuntur. 13 Et 10 quæ importune aut dicuntur, aut fiunt à medico ad ægrotum, 14 aut ab ægroto ad medicum. 15 Et quæ exacte fiunt ac dicuntur in arte. 16 Et quæ recta in ipsa, & quæ non recta. 17 Et quod ipsius principium, aut finis, aut medium, aut aliud quid ejuscemodi demonstratum, quod recte habet ut in ipsa sit, aut non

96 pag 180

διηγεύμενον τῶν τοιούτων, ὅ, τι καὶ ὀρθῶς ἐστὶν ἐν αὐτῇ εἶναι ἢ μὴ εἶναι. 18 καὶ τὰ σμικρὰ καὶ τὰ μεγάλα, 19 καὶ τὰ πολλὰ καὶ τὰ ὀλίγα. 20 καὶ ὅ, τι ἅπαν ἐστὶν ἐν αὐτῇ ἓν καὶ πάντα ὅ, τι ἕν. 21 καὶ τὰ ἀδύνατα νοῆσαι τε καὶ εἰπεῖν· 22 καὶ, εἰ δέῃ, μήτε νοῆσαι, μήτε εἰπεῖν, μήτε ποιῆσαι. 23 καὶ ὅ, τι εὐχερείη ἐν αὐτῇ, καὶ ὅ, τι ἀχερείη. 24 καὶ ὅ, τι καιρὸς, καὶ ὅ, τι ἀκαιρείη. 25 καὶ τῶν τεχνέων τῶν ἄλλων ᾗσι τε ἔοικε, καὶ οἷσιν οὐδὲν ἔοικε. 26 καὶ τοῦ σώματος, ὅ, τι θερμὸν ἢ ψυχρὸν, ἢ ξηρὸν ἢ ὑγρόν· 27 καὶ ὅ, τι ἰσχυρὸν ἢ ἀσθενὲς, ἢ πυκνὸν ἢ ἀραιόν. 28 καὶ ὁκόσα τῶν πολλῶν ὀλίγα γίνεται, ἢ ἐπὶ τὸ κάκιον, ἢ ἐπὶ τὸ ἄμεινον. 29 καὶ ὅ, τι καλῶς ἢ αἰσχρῶς, 30 ἢ βραδέως ἢ ταχέως, 31 ἢ ὀρθῶς ἢ μὴ ὀρθῶς. 32 καὶ ὅ, τι κακὸν ἐπὶ κακῷ ἀνάγκη γίνεσθαι. 33 ταῦτα ἐνθυμηθέντα διαφυλάσσειν δεῖ ἐν τοῖσι λόγοισιν, ὅ, τι ἂν δή τις τούτων ἁμαρτάνῃ ἢ λέγων, ἢ ἐρωτῶν, ἢ ἀποκρινόμενος. 34 καὶ ἢν πολλὰ ἐόντα σμικρά· 35 καὶ ἢν ἀδύνατα ἐόντα δυνατὰ φῇ εἶναι. 36 ἢ ὅ, τι ἂν ἄλλο ἁμαρτάνῃ λέγων, ταύτῃ φυλάσσοντα χρὴ ἐπιτίθεσθαι ἐν τῇ ἀντιλογίῃ.

II. Αἱ μὲν οὖν νοῦσοι γίνονται ἅπασαι, 2 τῶν μὲν ἐν τῷ σώματι ἐνεόντων, ἀπό τε χολῆς καὶ φλέγματος· 3 τῶν δὲ ἔξωθεν, ἀπὸ πόνων καὶ τρωμάτων. 4 ἀλλὰ καὶ τοῦ θερμοῦ ὑπερθερμαίνοντος, 5 καὶ τοῦ ψυχροῦ ὑπερψύχοντος, 6 καὶ τοῦ ξηροῦ ὑπερξηραίνοντος, 7 καὶ τοῦ ὑγροῦ ὑπερυγραίνοντος. 8 καὶ ἡ μὲν χολὴ καὶ τὸ φλέγμα γινομένοισί τε ξυγγίνεται, καὶ ἔνι ἐν τῷ σώματι, ἢ πλέον ἢ ἔλασσον. 9 τὰς δὲ νούσους παρέχεται, τὰς μὲν ἀπὸ σιτίων καὶ ποτῶν

fit. 18 Et quæ parva & magna, 19 & multa & pauca. 20 Et quod omne in ipsa unum est, & omnia quod unum. 21 Et quæ fieri possunt intelligereque ac dicere: 22 & si opus sit, neque intelligere, neque dicere, neque facere. 23 Et quod facilitas in ipsa sit, & quod difficultas. 24 & quod opportunitas, & quod intempestivitas, 25 & quibus aliis artibus similis sit, & quibus nihil similis sit. 26 Et de corpore, quod calidum sit aut frigidum, aut siccum aut humidum. 27 Et quod forte aut debile, aut densum aut rarum. 28 Et quæ multa, pauca fiunt, aut in pejus, aut in melius. 29 Et quod honeste aut turpiter, 30 aut tarde aut cito, 31 aut recte aut non recte. 32 Et quod malum supra malum fieri necesse est. 33 Hæc animo versantem observare oportet in sermonibus, quantum quis ab his delinquat, aut in dicendo aut percunctando, aut respondendo. 34 Et an quæ multa sunt, pauca dicat, 35 & an quæ impossibilia sunt, possibilia esse asserat. 36 Et quicquid sane etiam aliud dixerit ac aberrarit, hac ratione observare oportet, & in contradictione aggredi & impetere.

II. Morbi quidem igitur universi fiunt 2 ex his quidem quæ in corpore insunt, tum à bile, tum à pituita: 3 ab externis vero, à laboribus & vulneribus. 4 Sed & à calido & supercalefaciente, 5 & à frigido ac superfrigefaciente, 6 & sicco ac superresiccante, 7 & ab humido ac superhumectante. 8 Et bilis quidem ac pituita una cum nascentibus gignuntur, & sunt in corpore aut plus, aut minus. 9 Morbos autem exhibent, partim à cibis

ποτῶν, τὰς δὲ ἀπὸ τοῦ θερμοῦ ὑπερθερμαινομένου, καὶ ἀπὸ τοῦ ψυχροῦ ὑπερψυχομένου.

III. Ἀνάγκην δὲ τὰ τοιάδε ἔχει, ὥστε γίνεσθαι, ὁκόταν γίνηται. 2 ἐν μὲν τοῖσι τρώμασι, νεῦρα τὰ παχέα τιτρωσκομένους ἀνάγκη χωλοῦσθαι· 3 καὶ τῶν μυῶν τὰς κεφαλὰς, μάλιστα τῶν ἐν τοῖσι μηροῖσιν. 4 ἀποθνήσκειν δὲ, ἤν τις ἐγκέφαλον τρωθῇ, ἢ ῥαχίτην μυελὸν, ἢ ἧπαρ, ἢ φρένας, ἢ κύστιν, ἢ φλέβα αἱμόρροον, ἢ καρδίην. 5 μὴ ἀποθνήσκειν δὲ τιτρωσκόμενον, ἐν οἷσι τουτέων τῶν μελέων μὴ ἔνεστιν, ἀλλὰ τούτων προσωτάτω ἐστί. 6 τῶν δὲ νοσημάτων τὰ τοιάδε ἔχει ἀνάγκας, ὥστε ὑπ' αὐτῶν ἀπόλλυσθαι, ὅταν γένωνται· 7 φθίσις 8 [καὶ] ὕδρωψ ὑποσαρκίδιος· 9 καὶ γυναῖκα, ὁκόταν, ἔμβρυον ἐχούσαν, περιπλευμονίη, ἢ καῦσος λάβῃ, ἢ πλευρῖτις, ἢ φρενῖτις, ἢ ἐρυσίπελας ἐν τῇσιν ὑστέρῃσι γένηται. 10 ἐνδοιαστὰ δὲ τὰ τοιάδε ἀπολλύουσί τε καὶ μή· περιπλευμονίη, καῦσος, φρενῖτις, πλευρῖτις, κυνάγχη, σταφυλὴ, ἡπατῖτις, σπληνῖτις, νεφρῖτις, δυσεντερίη, γυναικὶ ῥόος αἱματώδης. 11 τὰ δὲ τοιάδε οὐ θανάσιμα, ἢν μή τι αὐτοῖσι προσγένηται· κέδματα, μελαγχολίη, ποδάγρη, ἰσχιὰς, τεινεσμὸς, τεταρταῖος, τριταῖος, στραγγουρίη, ὀφθαλμίη, λέπρη, λειχὴν, ἀρθρῖτις. 12 ἔμπηροι δὲ πολλάκις ἀπὸ τῶνδε γίνονται πολλοί. 13 ἀποπληκτοῦσι μὲν χεῖρας καὶ πόδας, 14 καὶ φωνῆς ἀκρατέες, 15 καὶ παραπλῆγες ὑπὸ μελαίνης χολῆς.

bis & potibus, partim à calido supercalefaciente, & à frigido superfrigefaciente.

III. Necessitatem autem talia habent, ut fiant hæc quum ipsa fiunt, [velut verbi causa] 2 in vulneribus eos qui crassos nervos sauciatos habent, necesse est claudos fieri. 3 Itemque si musculorum capita saucia sint, præsertim eorum qui sunt in femoribus. 4 Moritur autem, si quis cerebro sauciatus fuerit, aut spinali medulla, aut hepate, aut præcordiis sive septo transverso, aut vesica, aut vena sanguiflua, aut corde. 5 Non moritur autem vulneratus in his partibus, in quibus hæc membra non insunt, sed ab his longissime absunt. 6 Ex morbis vero tales necessitatem habent, ut ab ipsis perimantur, quum fiant, 7 tabes, 8 aqua inter cutem ac subter carnem nascens, 9 & si mulierem fœtum in utero habentem peripneumonia, id est pulmonis inflammatio corripiat, aut febris ardens, aut pleuritis sive lateris inflammatio, aut phrenitis, id est membranarum cerebri inflammatio, aut erysipelas ignis sacer appellatus, in utero fiat. 10 Dubii autem morbi, ut & perdant, & non, tales sunt, peripneumonia, febris ardens, phrenitis, pleuritis, angina, uva, hepatitis, splenitis, nephritis, dysenteria, in muliere fluxus sanguinolentus. 11 Tales vero non lethales sunt, nisi quid accedat: affectiones fluidæ circa articulos, atrabilis, podagra, coxendicum morbus, tenesmus qui est voluntas egerendi inevitabilis; quartana, tertiana, strangulatus urinæ, lippitudo, lepra, impetigo, morbus articularis. 12 Multi autem frequenter ab his mutili fiunt, 13 sideranturque manibus ac pedibus, 14 & linguæ impotentes redduntur. 15 Et ab atra

λῆς. 16 χωλοὶ δὲ ὑπὸ ἰσχιάδων. 17 ὄμματα δὲ πηροῦται καὶ ἀκοὴ ὑπὸ φλέγματος καταστηρίξαντος. 18 μακρὰ τὰ τοιάδε ἀνάγκη εἶναι· φθίσιν, δυσεντερίην, ποδάγρην, κέδματα, φλέγμα λευκὸν, ἰσχιάδα, στραγγουρίην· γεραιτέροισι δὲ, νεφρῖτιν. 19 γυναιξὶ δὲ, ῥόον αἱματώδη, αἱμοῤῥοΐδας, σύριγγας. 20 καῦσος, φρενῖτις, περιπλευμονίη, κυνάγχη, σταφυλὴ, πλευρῖτις ταχέως κρίνει. 21 μεταπίπτει δὲ τάδε. 22 ἐκ πλευρίτιδος ἐς καῦσον, 23 καὶ ἐκ φρενίτιδος ἐς περιπλευμονίην. 24 ἐκ δὲ περιπλευμονίης καῦσος οὐκ ἂν γένοιτο. 25 ἐς δυσεντερίην τεινεσμός. 26 ἐκ δὲ δυσεντερίης λειεντερίη. 27 ἐκ δὲ λειεντερίης ἐς ὕδρωπα. 28 καὶ ἐκ λευκοῦ φλέγματος ἐς ὕδρωπα. 29 καὶ ἐκ περιπλευμονίης καὶ πλευρίτιδος ἐς ἔμπυον. 30 τὰ δὲ ἐπὶ κακοῖσιν ἀνάγκη κακὰ γίνεσθαι. 31 ῥῖγος ἢν λάβῃ, πῦρ ἐπιλαμβάνει. 32 καὶ νεῦρον ἢν διακοπῇ, σπασμὸν ποιεῖ· 33 καὶ μήτε συμφῦναι διακοπὲν, φλεγμαίνειν δὲ ἰσχυρῶς. 34 καὶ ἢν ὁ ἐγκέφαλος σεισθῇ τε καὶ πονέσῃ πληγέντος, ἄφωνον παραχρῆμα γίνεσθαι ἀνάγκη, καὶ μήτε ὁρᾶν, μήτε ἀκούειν. 35 ἢν δὲ τρωθῇ, πυρετόν τε ἐπιγίνεσθαι, καὶ χολῆς ἔμετον, καὶ ἀπόπληκτόν τι τοῦ σώματος γίνεσθαι, καὶ ἀπόλλυσθαι. 36 ἐπίπλοον δὲ ἢν ἐκπέσῃ, ἀνάγκη τοῦτο ἀποσαπῆναι. 37 καὶ ἢν αἷμα ἐκ τρώματος ἢ φλεβὸς ῥυῇ ἐς τὴν ἄνω κοιλίην, ἀνάγκη τοῦτο πῦον γίνεσθαι.

IV. Καιροὶ δὲ, τὸ μὲν καθέπαξ εἰπεῖν, πολλοί τέ εἰσιν ἐπὶ τῇ

bile quidam leviter fiderantur. 16 Claudi vero à coxendicum morbo fiunt. 17 Oculi autem & auditus mutilantur à pituita obfirmata. 18 Longos autem necesse est esse, tabem, dysenteriam, podagram, affectiones fluidas circa articulos, pituitam albam, coxendicum morbum, urinæ strangulatum, in senioribus vero nephritim. 19 Mulieribus vero fluxum sanguinolentum, hæmorrhoidas ani, fistulas. 20 At vero febris ardens, phrenitis, peripneumonia, angina, uva, pleuritis, cito decernunt. 21 Transitus autem fit in his, 22 ex pleuritide in febrem ardentem, 23 ex phrenitide in peripneumoniam. 24 Verum ex peripneumonia febris ardens non fit, 25 ad dysenteriam tenesmus transit, 26 & à dysenteria, lienteria sive lævitas intestinorum, sequitur: 27 ex lienteria in aquam intercutem transitus fit, 28 & ex pituita alba in aquam inter cutem, 29 & ex peripneumonia ac pleuritide, in pectoris suppurationem. 30 Mala porro supra mala fieri necesse est: 31 velut si rigor corripuerit, ardor igneus supervenit. 32 Et si nervus dissectus fuerit, convulsionem facit, 33 & ut dissectus neque coalescat, & fortiter inflammetur. 34 Et si cerebrum concussum fuerit ac doluerit ejus qui percussus sit, necesse est evestigio mutum fieri, & neq; videre, neq; audire. 35 Si vero sauciatum fuerit, febrem necesse est supervenire, & bilis vomitum, & aliquam corporis partem sideratam fieri ac perire. 36 Si vero omentum exciderit, necesse est putrefieri. 37 Et si sanguis ex vulnere aut vena effluxerit in supernum ventriculum, necesse est ipsum in pus converti.

IV. Temporum autem occasiones,

τῇ τέχνῃ καὶ παντοῖαι, ὥς περ καὶ τὰ νοσήματα καὶ τὰ παθήματα, καὶ τούτων θεραπεῖαι. ² εἰσὶ δὲ ὀξύτατοι μὲν, ὅσοις ἢ ἐκψυχοῦσι δεῖ τι ὠφελῆσαι, ³ ἢ οὐρῆσαι, ἢ ἀποπατῆσαι μὴ δυναμένοισιν, ⁴ ἢ πνιγομένοισιν, ⁵ ἢ γυναῖκα τικτούσαν, ⁶ ἢ τιτρωσκόμενον ἀπαλλάξαι, ἢ ὅσα τοιαῦτα ἐστί. ⁷ οὗτοι μὲν ὀξέες, καὶ οὐκ ἀρκεῖ ὀλίγῳ ὕστερον· ⁸ ἀπόλλυνται γὰρ οἱ πολλοὶ ὀλίγῳ ὕστερον. ⁹ ὁ μὲν τοι καιρός ἐστιν, ἐπὴν πάθῃ τούτων ὁ ἄνθρωπος ὅ, τι, ἤν τις, πρὸ τοῦ τὴν ψυχὴν μεθιέναι, ὠφελήσῃ· ¹⁰ τοῦτο, ἐπὴν ἐν καιρῷ λάβῃ, ὠφελέεται. ¹¹ ἔστι μὲν οὖν σχεδὸν τι οὗτος ὁ καιρὸς καὶ ἐν τοῖσιν ἄλλοισι νοσήμασιν. ¹² αἰεὶ γὰρ, ἐν ᾧ ἄν τις ὠφελήσῃ, ἐν καιρῷ ὠφελήσει. ¹³ ὁκόσα δὲ τῶν νοσημάτων ἢ τρωμάτων μὴ ἐς θάνατον φέρει, ἀλλὰ κινδυνώδεά ἐστιν, ὀδύναι τε γίνονται ἐν αὐτοῖσιν, ἀλλ' οἷά τε ἐστιν, ἤν τις ὀρθῶς θεραπεύσῃ, παύσασθαι· ¹⁴ τούτοισι δὲ οὐκ ἀρκεῦσι γινόμεναι ὠφέλειαι ἀπὸ τοῦ ἰητροῦ, ὅταν γίνωνται· ¹⁵ καὶ γὰρ μὴ παρεόντος ἰητροῦ, ἐπαύσαντο ἄν. ¹⁶ ἕτερα δὲ νοσήματά ἐστιν, οἷσι καιρός ἐστι θεραπεύεσθαι τὸ πρωῒ τῆς ἡμέρης· διαφέρει δὲ οὐδὲν, ἢ πάνυ πρωῒ, ἢ ὀλίγῳ ὕστερον. ¹⁷ ἕτερα δὲ νοσήματά ἐστιν, οἷσι καιρὸς θεραπευθῆναι ἅπαξ τῆς ἡμέρης, ὁπηνίκα δὲ, οὐδὲν διαφέρει. ¹⁸ ἕτερα δὲ διὰ τρίτης ἢ τετάρτης ἡμέρης· ¹⁹ καὶ ἕτερα ἅπαξ τοῦ μηνὸς, ²⁰ καὶ ἕτερα γε διὰ τριῶν μηνῶν· τοῦ δὲ τρίτου ἱσταμένου ἢ φθίνοντος, οὐδὲν διαφέρει. ²¹ τοιοῦτοι δὲ οἱ καιροί εἰσιν, ἐν οἷσι καὶ ἀκρίβειαν οὐκ ἔχουσιν ἄλλην, ἢ ταύτην. ²² ἀκαι-

siones, ut in summa dicam, multæ sunt & variæ in arte, quemadmodum etiam morbi & affectiones, & horum curationes. [2] Maxime vero repentinæ sunt, in his quibus animo defectis opitulari oportet, [3] & qui neque urinam neque stercus egerere possunt, [4] & qui suffocantur, [5] & si mulierem parientem [6] aut sauciatam liberare oportet: & quæque ejuscemodi. [7] Et hæ quidem occasiones repentinæ sunt, & paulo posterius non sufficiunt: [8] plerique enim paulo posterius pereunt. [9] Occasio vero est, si horum aliquid perpetiatur homo, & quis antequam animam efflet opituletur, [10] hoc totum ex occasione opitulatur. [11] Est quidem igitur ferme hæc occasio etiam in omnibus aliis morbis. [12] Semper enim in quocunque sane quis opituletur tempore, ex occasione opitulatur. [13] Quicunque vero morbi, aut vulnera non ad mortem tendunt, sed periculosi sunt, doloresque in ipsis fiunt, verum possibile est ut cessent, si quis recte medeatur: [14] his sane non prosunt auxilia à medico adhibita, quum adhibeantur. [15] Nam & non præsente medico utique cessassent. [16] Alii vero morbi sunt, quibus occasio est ut curentur matutina diei hora, nihil autem refert an valde mane, aut paulo posterius. [17] Alii morbi sunt quibus occasio est, ut semel in die curentur, nec refert quo tempore id fiat. [18] Alii per tertium, aut quartum diem curantur, [19] & alii semel per mensem, [20] & alii per tertium mensem, nec refert an id ipsum tertii augmento vel fine fiat. [21] Tales itaque occasiones sunt, in quibus non aliam quam hanc certitudinem habent. [22] In-

ἀκαιρίη δέ ἐστι τὰ τοιάδε. ὅσα μὲν πρωῒ δεῖ θεραπεύεσθαι, ἢν μεσημβρίης θεραπεύηται. [23] ἀκαίρως δὲ ταῦτη, ἐπεὶ ῥοπὴν ἴσχει ἐς τὸ 25 κάκιον, διὰ τὸ μὴ ἐν καιρῷ θεραπεύειν. [24] ὅσα δὲ ἐς τάχα ἤν τε μεσημβρίης, ἤν τε ὀψὲ, ἤν τε τῆς νυκτὸς θεραπεύηται, ἀκαίρως θεραπεύεται. [25] καὶ ἢν τοῦ ἦρος δέοι θεραπευθῆναι, θεραπεύοιτο δὲ χειμῶνος· [26] ἢ τοῦ μὲν χειμῶνος δέοι, τοῦ θέρεος δὲ θεραπεύηται· [27] ἢ ὅ, τι ἤδη δεῖ θεραπεύεσθαι, τοῦτο δὲ ἀναβάλληται· [28] ἢ ὅ, τι ἀναβάλλεσθαι δεῖ, τοῦτ' ἤδη θεραπεύηται· [29] τὰ τοιαῦτα ἀκαίρως θεραπεύεται.

tempestivitas autem hæc est, si quæ mane curari oportebat, in meridie curentur. [23] Propterea 90 vero intempestive curantur, quia inclinationem ad pejus habent, propter curationem non in tempore factam. [24] Quæcunque etiam citius, sive in meridie, sive vesperi, sive noctu, curentur, intempestive curantur: [25] & si vere curari oporteat, curentur autem hyeme: [26] aut si hyeme oporteat, curentur autem æstate: [27] aut si quod jam curari oportet, id ipsum differatur: [28] aut quod differre oportet, id ipsum jam cu- 95 retur: [29] talia omnia intempestive curantur.

v. Ὀρθῶς δὲ ἐν αὐτῇ, καὶ οὐκ ὀρθῶς τὰ τοιάδε. [2] οὐκ ὀρθῶς μὲν, 30 τήν τε νοῦσον ἑτέρην ἐοῦσαν, ἑτέρην φάναι· [3] καὶ μεγάλην ἐοῦσαν, μικρὴν φάναι· [4] καὶ σμικρὴν ἐοῦσαν, μεγάλην· [5] καὶ περιεσόμενον μὴ φάναι περιέσεσθαι· [6] καὶ μέλλοντα ἀπολεῖσθαι, μὴ φάναι ἀπολεῖσθαι· [7] καὶ ἔμπυον ἐόντα μὴ γινώσκειν· [8] μηδὲ, νούσου μεγάλης τρεφομένης ἐν τῷ σώματι, γινώσκειν· [9] καὶ φαρμάκου δεόμενον, ἤ τινος, οὗ δεῖ, μὴ γινώσκειν· [10] καὶ τὰ δυνατὰ μὴ ἐξιῆσθαι· [11] καὶ τὰ ἀδύνατα φάναι ἐξιήσεσθαι. [12] ταῦτα μὲν οὖν ἐστι 35 κατὰ γνώμην οὐκ ὀρθῶς. [13] κατὰ δὲ χειρουργίαν, τάδε. [14] πύον ἐν ἕλκει ἐνεὸν, ἢ ἐν φύματι, μὴ γινώσκειν. [15] καὶ τὰ κατήγματα, καὶ τὰ ἐκπτώματα μὴ γινώσκειν. [16] καὶ μηλοῦντα κεφαλὴν μὴ γινώσκειν, εἰ τὸ ὀστέον κατέηγε. [17] μηδ' ἐς κύστιν αὐλίσκον καθιέντα δύνασθαι καθιέναι. [18] μηδὲ, λίθον ἐν κύστει ἐνεόντα, γινώσκειν. [19] μηδ' ἔμπυον ἐόντα, διασείοντα γινώσκειν.

v. Recte porro & non recte in ipsa hæc fiunt. [2] Non recte quidem fit, 21 si morbum alium existentem, aliũ esse pronuncies, [3] & magnum existentem, parvum dicas, [4] & vicissim parvum, magnum: [5] & si supervicturum, non supervicturum pronuncies, [6] & periturum, non periturum. [7] Et si suppuratum existentem non cognoscas, [8] nec morbum magnum in corpore 100 nutriri cognoscas: [9] & si medica- 22 mento aut potione quis opus habeat, quo ipsi opus sit non cognoscas: [10] & si quæ sanari possunt non sanes, [11] & quæ sanatu impossibilia sunt, te sanaturum recipias. [12] Atque hæc quidem circa sententiam non recte fiunt. [13] Circa chirurgiam vero hæc. [14] Pus in ulcere aut tuberculo existens non cognoscere: [15] & fracturas ac luxationes non cognoscere, [16] & specillo admoto ad 105 caput non cognoscere, an os fractum sit: [17] & fistulam in vesicam immissam demittere non posse, [18] & lapidem in vesica existentem non cognoscere: [19] & suppuratum existentem

νώσκειν, 20 καὶ τάμνοντα ἢ καίοντα ἐκλείπειν, ἢ τοῦ βάθεος, ἢ τοῦ μήκεος. 21 ἢ καίειν τι καὶ τάμνειν, ἃ οὐ χρή. 22 καὶ ταῦτα μὲν οὐκ
40 ὀρθῶς. 23 ὀρθῶς δὲ, τά τε νοσήματα γινώσκειν, ἅ τε ἐστὶ, καὶ ἀφ' ὅτων· 24 καὶ τὰ μακρὰ αὐτῶν, καὶ τὰ βραχέα· 25 καὶ τὰ θανάσιμα, καὶ τὰ μὴ θανάσιμα· 26 καὶ τὰ μεταπίπτοντα, καὶ τὰ αὐξανόμενα, καὶ τὰ μαραινόμενα· 27 καὶ τὰ μεγάλα, καὶ τὰ σμικρά· 28 καὶ θεραπεύοντα, τὰ μὲν δυνατὰ ἐκθεραπεύειν, τὰ δὲ μὴ δυνατὰ εἰδέναι, διότι οὐκ δυνατά. 29 καὶ θεραπεύοντα τοὺς τὰ τοιαῦτα ἔχοντας ὠφελέειν ἀπὸ τῆς θεραπείης ἐς τὸ δυνατόν. 30 τὰ δὲ προσφερόμενα τοῖσι νοσέουσιν ὧδε χρὴ φυλάσσειν,
45 τά τε ὀρθῶς καὶ τὰ μὴ ὀρθῶς. 31 οἷον, ἃ δεῖ ξηραίνειν, ὑγραίνῃ· 32 ἢ παχύνειν δέῃ, μὴ προσφέρῃ, ἀφ' ὧν δεῖ παχύνειν· 33 ἢ, ἃ δεῖ λεπτύνειν, μὴ λεπτύνῃ· 34 ἢ ψύχειν, μὴ ψύχῃ· 35 ἢ θερμαίνειν, μὴ θερμαίνῃ· 36 ἢ σήπειν, μὴ σήπῃ. 37 καὶ τὰ λοιπὰ κατὰ τὸν αὐτὸν λόγον τουτέοισι.

VI. Τάδε δὲ τοιάδε ἀνθρώποισιν ἀπὸ ταὐτομάτου ἐν τῇσι νούσοισι γίνονται, τά τε κακὰ καὶ τὰ ἀγαθά. 2 πυρέσσοντι μὲν καὶ χολῶντι ἐν καιρῷ σκεδασθεῖσα ἔξω ἡ χολὴ, ἀγαθόν. 3 ὑπὸ τὸ δέρμα δὲ κεχυμένη καὶ ἐσκεδασμένη, εὐπετεστέρη ἔχειν τῷ ἔχοντι,
331 καὶ τῷ ἰωμένῳ ἰῆσθαι. 4 κεχυμένη δὲ καὶ ἐσκεδασμένη πρὸς ἕν τι τοῦ σώματος προσπεσοῦσα, κακόν. 5 κοιλίη ταραχθεῖσα ὑπὸ πλευρίτιδος ἐχομένῳ, ἢ περιπλευμονίης, ἢ ἐμπύῳ ἐόντι, κακόν. 6 πυρέσσοντι δὲ, ἢ τρῶμα τετρωμένῳ κοιλίη ἀποξηρανθεῖσα, κακόν. 7

tem ex concussione non dignoscere, 20 & secando aut urendo, aut à profunditate, aut à longitudine aberrare, 21 aut urere & secare quæ non oportet. 22 Et hæc quidem non recte. 23 Recte autem fiunt hæc. Morbos cognoscere qui sint, & à quibus 24 & qui ipsorum longi, & breves, 25 & lethales, & non lethales. 26 & qui transmutantur, & qui augescunt, & qui minuuntur, 27 & qui magni, quique parvi: 28 & dum curas possibiles quidem curare, impossibiles vero scire cur curatu sint impossibiles: 29 & dum curas eos qui tales habent, per curationem quantum possibile est opitulari. 30 Quæ vero offeruntur ægrotis, ea sic observare oportet, recte ne an secus fiant: 31 veluti si quis quæ siccare oportet, humectet: 32 aut si crassefacere oporteat, non exhibeat à quibus crassitudo inducitur: 33 aut si quæ attenuare oportet non attenuet, 34 quæ frigefacere, non frigefaciat: 35 quæ calfacere, non calfaciat: 36 quæ putrefacere, non putrefaciat, 37 & reliqua juxta eandem rationem.

110 115

VI. Talia autem sua sponte ac casu hominibus in morbis fiunt, tum bona, tum mala. 2 Febrienti ac bilioso, in tempore foras dispersa bilis, bonum: 3 diffusa vero ac dispersa sub cutem, toleratu levior est habenti, & curatu facilior sananti. 4 diffusa autem ac dispersa, & ad unam aliquam corporis partem allapsa, malum. 5 Alvus turbata in pleuritico aut peripneumonico, aut suppurato, malum. 6 Febrienti aut vulnerato alvus resiccata, malum. 7 Subaquoso ac lienoso ab alba pituita detento, alvus fortiter turbata, bonum.

120 23 125

ὑφύδρῳ [ἢ] καὶ σπληνώδεϊ, [ἢ] ὑπὸ λευκοῦ φλέγματος ἐχομένῳ, ταραχθεῖσα ἡ κοιλίη ἰσχυρῶς, ἀγαθόν. 8 ἐρυσίπελας ἢν ἔξω κεχυμένον ἔσω τράπηται, κακόν· 9 ἢν δ' ἔσω κεχυμένον ἔξω τράπηται, ἀγαθόν. 10 διαῤῥοίῃ δὲ ἐχομένῳ ἰσχυρῇ ὁ ἔμετος γινόμενος, ἀγαθόν. 11 γυναικὶ αἷμα ἐμεούσῃ τὰ καταμήνια ῥαγῆναι, ἀγαθόν. 12 ὑπὸ ῥόου δὲ ἐχομένῃ ἐς τὰς ῥῖνας ἢ ἐς τὸ στόμα μεταπεσεῖν τὸν ῥόον, ἀγαθόν. 13 γυναικὶ, ὑπὸ σπασμοῦ πιεζομένῃ ἐκ τόκου, πυρετὸν ἐπιγενέσθαι, ἀγαθόν. 14 καὶ τέτανον ἔχοντες, καὶ σπασμοῦ, πῦρ ἐπιγενέσθαι, ἀγαθόν. 15 τὰ γὰρ τοιαῦτα δι' οὐδεμίην οὔτε σοφίην ἰητρῶν γίνεταί τε καὶ οὐ γίνεται, ἀλλ' ἀπὸ τοῦ αὐτομάτου· 16 καὶ ἐπιτυχίης γινόμενά τε ὠφελέει, καὶ βλάπτει κατὰ τὸν αὐτὸν τρόπον.

VII. Ἐπιτυχίῃ δὲ τὰ τοιάδε οἱ ἰητροὶ ποιέουσιν ἐν τῇ θεραπείῃ ἀγαθά. 2 ἄνω φάρμακον δόντες, καθαίρουσι καὶ ἄνω καὶ κάτω καλῶς. 3 καὶ γυναικὶ φάρμακον δόντες κάτω, χολῆς ἢ φλέγματος, ἐπιμήνια, οὐ γινόμενα, κατέῤῥηξαν. 4 καὶ σπλῆνα ἔμπυον ἔχοντι κάτω φάρμακον δόντες, ὥστε χολὴν καὶ φλέγμα καθῆραι, πῦος κάτω ἐκάθηραν ἐκ τοῦ σπληνὸς, καὶ ἀπήλλαξαν τῆς νούσου. 5 καὶ λιθιῶντι φάρμακον δόντες, τὸν λίθον ἐς τὸν οὐρητῆρα προσέωσαν ὑπὸ βίης τοῦ φαρμάκου, ὥστε ἐξουρηθῆναι. 6 καὶ πῦον ἔχοντι ἐν τῇ ἄνω κοιλίῃ ἐν φύματι, οὐκ εἰδότες ὅ, τι ἔχει, δόντες ἄνω φάρμακον, ὅ, τι φλέγμα καθαίρει, ἤμεσε τὸ πῦον, καὶ ἐγένετο ὑγιής. 7 καὶ ἐκ φαρμάκου ὑπερκαθαιρόμενον ἄνω θεραπεύοντες, καὶ ὑποῤῥαγείσης τῆς κοιλίης

ἀπὸ

num. 8 Erysipelas si extra diffusum intro vertatur, malum. 9 Si vero intra diffusum foras vertatur bonum. 10 A profluvio alvi forti correpto, vomitus superveniens, bonum. 11 Mulieri sanguinem vomenti menses erumpere, bonum. 12 A fluxione vero infestatæ, ad nares aut os fluxionem transire bonum. 13 Mulieri à convulsione pressæ ex partu, febrem supervenire, bonum. 14 Et tetano ac convulsione occupante, igneum ardorem supervenire, bonum. 15 Talia enim per nullam medicorum ignorantiam aut scientiam fiunt & non fiunt, sed sua sponte 16 ac fortuito casu contingentia, & prosunt, & nocent, juxta eandem rationem.

VII. Cæterum Medici talia per fortuitum successum bona in curatione faciunt. 2 Nimirum si medicamento sursum purgante dato, & sursum & deorsum probe purgant. 3 Et si mulieri medicamento dato, quod bilem aut pituitam deorsum purgat, menses alias non fluentes erumpant. 4 Et si lienem suppuratum habenti medicamentum dederint, quod bilem ac pituitam deorsum purget, & sic pus deorsum à liene expurgent, & à morbo liberent. 5 & si medicamento exhibito calculoso, calculum in urinarium meatum præ pharmaci violentia protrudant, ut per urinam ejiciatur. 6 Et si medicamentum dederint quod pituitam sursum purgat, ei qui pus in superiore ventriculo in tuberculo habet, non scientes quod habet, isque pus vomat ac sanus fiat. 7 Et si eum qui ex medicamento sursum purgante superpurgatur, sua sponte alvo subter erumpente, à vomitu

ἀπὸ τοῦ ἐμέτου [ὑπὸ] τοῦ ἐμέτου, ὑγιᾶ ἐποίησαν. [8] κακὰ δὲ τάδε ἀπεργάζονται ἀπὸ ἀτυχίης. [9] φάρμακον δόντες ἄνω, χολῆς ἢ φλέγματος, φλέβα ἐν τοῖσι στήθεσιν ἔρρηξαν ὑπὸ τοῦ ἐμέτου, οὐδὲν ἔχοντος πρόσθεν ἄλγημα ἐν τῷ στήθει φανερὸν, καὶ ἐγένετο νοῦσος. [10] καὶ γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ἄνω φάρμακον δόντες, κάτω ῥαγεῖσα ἡ κοιλίη, ἐξέτρωσε τὸ ἔμβρυον. [11] καὶ ἔμπυον θεραπεύοντες ἡ κοιλίη ῥυεῖσα διαφθείρει. [12] καὶ ὀφθαλμοὺς θεραπεύοντες καὶ ὑπαλείψαντες ὀδύναι ἐνέπεσον ὀξύτεραι. [13] κἢν οὕτω τύχῃ, ῥήγνυνται οἱ ὀφθαλμοὶ, καὶ ἀμαυροῦνται, καὶ αἰτιῶνται τὸν ἰητρὸν, ὅτι ὑπήλειψε. [14] καὶ λεχοῖ ἐπὶ γαστρὸς ὀδύνῃ ἢν δοίη τι ὁ ἰητρὸς, καὶ κακῶς ἔχῃ, ἢ καὶ ἀπόλλυται, ὁ ἰητρὸς αἴτιος. [15] σχεδὸν δὲ, ὅσα ἀνάγκας ἔχει, ὥστε γίνεσθαι ἐν τοῖσι νοσήμασι καὶ τρώμασι κακὰ ἐπὶ κακοῖσι, τὸν ἰητρὸν αἰτιῶνται τούτων γινομένων· [16] καὶ τὴν ἀνάγκην, τὴν τὰ τοιαῦτα ἀναγκάζουσαν γίνεσθαι, οὐ γινώσκουσιν. [17] καὶ, ἢν ἐπὶ πυρέσσοντα ἢ τρῶμα ἔχοντα ἐσελθὼν καὶ προσενέγκας, τὸ παραυτίκα μὴ ὠφελήσῃ, ἀλλὰ τῇ ὑστεραίῃ κάκιον ἔχῃ, τὸν ἰητρὸν αἰτιῶνται. [18] ἢν δὲ ὠφελήσῃ, τοῦτο δὴ οὐχ ὁμαλῶς ἐπαινέουσι. [19] χρῆναι γὰρ, πεπονθέναι αὐτὸν, δοκέουσι. τά τε ἕλκεα φλεγμαίνειν· [20] καὶ ἐν τῇσι νούσοισιν ἔστιν, ὀδύνας ἤσει χρὴ γίνεσθαι αὐτοῖσιν, οὐδὲ τὰ τοιάδε ὥστε μὴ γίνεσθαι. [21] νεῦρον διακοπὲν οὐ συμφύεται, οὐδὲ κύστις, οὐδὲ τῶν ἐντέρων τι τῶν λεπτῶν, οὐδὲ φλὲψ αἱμόῤῥοος, οὐδὲ γνάθου τὸ λεπτὸν, οὐδὲ τὸ ἐπὶ τοῦ αἰδοίου δέρμα.

IIX. Ἀρχὴ δὲ ἰήσιος, ἀποδεδεγμένη μὲν, οὐκ ἔστιν, [2] ἥτις ὀρθῶς

mitu sanum faciant. [8] At vero mala operantur Medici præ infortunio hæc. [9] Si pharmaco bilis aut 'pituitæ sursum ductivo dato, venam in pectore præ vomitu rumpant, ei qui prius nullum manifestum dolorem in pectore habuit, atque sic fiat morbus. [10] Et si mulieri in utero habenti medicamentum superne purgans exhibeant, alvus autem inferne erumpens fœtum expellat. [11] Et qui suppuratum curat, si alvus proflua fiat, ipsum perdit: [12] & qui oculos curat ac sublinit, si dolores incidant acutiores, [13] & si 'ita contingat, rumpantur oculi & destruantur, accusant medicum quod oculos sublevit. [14] Et si puerperæ in ventris dolore medicus aliquid det, & male habeat aut pereat, medicus in culpa est. [15] Ferme autem quæcunque necessitatem habent, ut fiant in morbis ac vulneribus mala supra mala, ea ubi fiunt, in medicum culpam rejiciunt, [16] & necessitatem talia fieri cogentem non agnoscunt. [17] Et si ad febricitantem aut vulnus habentem ingressus, admotis quam primum remediis non opituletur, sed postera die æger pejus habeat, medicum accusant. [18] Si vero opituletur, non æqualiter laudant. [19] Oportere enim ipsum perpeti putant, ulceraque inflammari, [20] & in morbis quibusdam dolores fieri oportere, neque tales esse ut ne fiant. [21] Nervus præcisus ac dissectus non coalescit, neque vesica, neque aliquod ex tenuibus 'intestinis, neque vena sanguiflua, neque tenuis genæ pars, neque pudendi pellicula.

IIX. Porro principium sanationis demonstratum quidem non est, [2] quod sane recte principium

fit

θῶς ἀρχή ἐστι πάσης τῆς τέχνης, ³ οὐδὲ δεύτερον οὐδέν, ⁴ οὐδὲ μέσον, ⁵ οὐδὲ τελευτή. ⁶ ἀλλ' ἀρχόμεθά τε αὐτῶν, ἄλλοτε λέγοντες, ἄλλοτε ἐργαζόμενοι, καὶ τελευτῶμεν ὡσαύτως. ⁷ καὶ οὔτε λέγοντες ἀρχόμεθα ἐκ τῶν αὐτῶν λόγων, ⁸ οὐδ' ἢν τὰ αὐτὰ λέγωμεν, ⁹ οὐδὲ ἐς τοὺς αὐτοὺς τελευτῶμεν· ¹⁰ καὶ ἐργαζόμενοι κατὰ τὸν αὐτὸν λόγον, οὔτε ἀρχόμεθα ἐκ τῶν αὐτῶν ἔργων, οὔτε τελευτῶμεν ἐς τὰ αὐτά.

IX. Εὐχέρειη δέ ἐστι τοιάδε. ² ὅταν τις τέμνων ἢ καίων μήτε νεῦρον τέμνῃ ἢ καύσῃ, μήτε φλέβα. ³ καί, ἢν ἔμπυον καίῃ, ἐπιτυγχάνῃ τοῦ πύου. ⁴ καὶ τάμνοντα δέ, κατὰ τὸν αὐτὸν λόγον. ⁵ καὶ κατήγματα συνθεῖναι ὀρθῶς. ⁶ καί, ὅ, τι αὖ τοῦ σώματος ἐκπέσῃ ἐκ τῆς φύσιος, ὀρθῶς ἐς τὴν φύσιν τοῦτο ἀπῶσαι. ⁷ λαβεῖν τε, ἃ δεῖ, ἰσχυρῶς, καὶ λαμβάνοντα δὲ πιέζειν, ⁸ ἃ καὶ ὅσα ἀτρέμα λαβεῖν δεῖ, καὶ λαβόντα μὴ πιέζειν. ⁹ καὶ ἐπιδέοντα στρεβλὰ μὴ ποιεῖν ἐξ εὐθέων· ¹⁰ μηδὲ πιέζειν, ἃ μὴ δεῖ. ¹¹ καὶ ψαύοντα, ὅκου αὖ ψαύῃ, μὴ ὀδύνην παρέχειν ἐκ περισσοῦ. ¹² ταῦτα μὲν οὖν ἐστιν εὐχέρειη. ¹³ τὸ δὲ τοῖσι δακτύλοισιν εὐσχημόνως λαμβάνειν, ¹⁴ ἢ καλῶς ἢ μὴ καλῶς, ¹⁵ ἢ μακροῖσιν ἢ βραχέσιν, ¹⁶ ἢ καλῶς ἐπιδεῖν, καὶ ἐπιδέσιας παντοίας, ¹⁷ οὐ πρὸς τῇ τέχνῃ κρίνεται εὐχερείης πέρι, ἀλλὰ χωρίς.

X. Ὁκόσοι ἔμπυοι γίνονται τὸν πλεύμονα, ² ἢ τὴν ἄνω ἢ τὴν κάτω κοιλίην, ³ ἢ φύματα ἴσχουσιν, εἴτε ἐν τῇ ἄνω κοιλίῃ, εἴτε ἐν τῇ κάτω, ἢ ἐν τῷ πλεύμονι, ⁴ ἢ ἕλκεα ἔνδοθεν, ⁵ ἢ αἷμα ἐμέουσιν ἢ πτύουσιν, ⁶ ἢ ἀλγήματά τι ἔχουσιν, ² ἢ ἐν τοῖσι στήθεσιν, ἢ ' ἐν τῷ νώτῳ,

sit universæ artis, ³ neque secundum aliquod, ⁴ neque medium, ⁵ neque finis. ⁶ Sed incipimus ab ea aliquando dicentes, aliquando operantes, & desinimus eodem modo. ⁷ Et neque dicentes ex iisdem sermonibus incipimus, ⁸ neque si de ' iisdem dicamus, ⁹ neque in iisdem desinimus ¹⁰ & operantes juxta eandem rationem, neque ex iisdem operibus incipimus, neque in iisdem desinimus.

IX. At vero facilitas ac promptitudo in his est. ² Quum quis secans aut urens, neque nervum secet, neque venam. ³ Et si suppuratum urat, pus consequatur. ⁴ Et si secet, eodem modo. ⁵ Et fracturas recte componere. ⁶ Et si qua pars corporis ex natura excidat, ut ' ipsam recte ad naturam retrudat. ⁷ Item apprehendere fortiter ea quæ oportet, & apprehendendo premere. ⁸ Et apprehendere leniter ea quæ oportet, & apprehendendo non premere. ⁹ Et in obligando tortuosa non facere ex rectis, ¹⁰ neque premere quæ non oportet. ¹¹ Et in contactu ubicunque tandem contigerit, dolorem ex superfluo non exhibere. ¹² Hæc quidem igitur facilitatis ac promptitudinis existunt. ¹³ ' At vero digitis decenter attingere, ¹⁴ aut probe aut non probe, ¹⁵ aut longis, aut brevibus, ¹⁶ aut probe deligare omnes deligaturas, ¹⁷ non ad artem pertinere judicatur de facilitate ac promptitudine, sed seorsum.

X. Quicunque suppurati fiunt pulmonem, ² aut superiore vel inferiore ventre, ³ aut tubercula habent, sive in superiore ventre sive inferiore, aut in pulmone, ⁴ aut ulcera intrinsecus, ⁵ aut sanguinem ' vomunt aut spuunt, ⁶ aut

σιν, [7] ταῦτα πάντα ἴσχουσι, [8] τῶν μὲν ἐν σώματι ἐνεόντων, ἀπὸ χολῆς καὶ φλέγματος, [9] τῶν δὲ ἔξωθεν, ἀπὸ τοῦ ἠέρος ἐπιμιγνυμένου τῷ συμφύτῳ θερμῷ, [10] ἀτὰρ καὶ ἀπὸ πόνων καὶ τρωμάτων. [11] καὶ ὁκόσοι μὲν τοῦ πλεύμονος ἔμπυοι γίνονται, ἀπὸ τῶνδε γίνονται. [12] ἢν περιπλευμονίῃ ληφθεὶς μὴ καθαρθῇ ἐν τῇσι κυρίῃσιν ἡμέρῃσιν, ἀλλ' ὑπολειφθῇ ἐν τῷ πλεύμονι πτύαλόν τι καὶ φλέγμα, ἔμπυος γίνεται. [13] καὶ, ἢν μὲν αὐτίκα θεραπευθῇ, διαφεύγει ὡς τὰ πολλά· [14] ἢν δὲ ἀμεληθῇ, ἐν τῷ πλεύμονι διαφθείρεται. [15] ἐνισταμένου τε καὶ σηπομένου ἑλκοῦταί τε ὁ πλεύμων καὶ διάπυος γίνεται, [16] καὶ οὐκ ἔτι ἔσω ἕλκει ἐς ἑωυτὸν, ὅ, τι καὶ ἄξιον λόγου τῆς τροφῆς, [17] οὔτε τι ἀποκαθαίρεται ἀπ' αὐτοῦ ἄνω οὐδὲν, [18] ἀλλὰ πνίγεταί τε καὶ δυσπνοέει αἰεὶ ἐπὶ μᾶλλον, [19] καὶ ῥέγχει ἀναπνέων, καὶ ἀναπνέει αὐτόθεν ἄνωθεν ἐκ τῶν στηθέων. [20] τέλος δὲ ἀποφράσσεται ὑπὸ τοῦ πτύσματος, καὶ ἀποθνήσκει.

[21] Γίνεται δὲ καὶ ἔμπυος, ἢν ἐκ τῆς κεφαλῆς φλέγμα οἱ καταῤῥυῇ ἐς τὸν πλεύμονα. [22] καὶ τὸ μὲν πρῶτον ὡς τὰ πολλὰ λανθάνει καταῤῥέον, [23] καὶ βῆχά τε παρέχει λεπτὴν, [24] καὶ τὸ σίαλον πικρότερον ὀλίγῳ τοῦ εἰωθότος, [25] καὶ ἄλλοτε θέρμη λεπτή. [26] ὁκόταν δὲ ὁ χρόνος προΐῃ, τρηχύνεταί τε ὁ πλεύμων καὶ ἑλκοῦται ἔνδοθεν ὑπὸ τοῦ φλέγματος ἐνισταμένου καὶ σηπομένου, [27] καὶ βάρος παρέχει τοῖσι στήθεσι, καὶ ὀδύνην ὀξείην, πρόσω καὶ ὀπίσω, [28] θέρμαι τε ὀξύτεραι ἐμπίπτουσιν ἐς τὸ σῶμα, [29] καὶ πλεύμων ἀπὸ τῆς θερμασίης ἕλκει ἐς ἑωυτὸν ἐκ παντὸς σώματος φλέγμα, καὶ μάλιστα ἐκ τῆς κεφαλῆς· [30] ἡ δὲ κεφαλὴ θερμαινομένη

ἐκ

aut dolorem aliquem habent, vel in pectore vel in dorso, [7] hæc omnia habent [8] ex his quidem quæ in corpore insunt, à bile & pituita: [9] ab externis vero ab aere insito calori immixto. [10] Sed & à laboribus ac vulneribus. [11] Et quicunque quidem pulmone suppurati fiunt, ab his fiunt. [12] Si peripneumonia correptus in judicatoriis diebus non purgetur, sed relinquatur in pulmone sputum ac pituita, suppuratus fit. [13] Et si quidem statim curatus fuerit, ut plurimum effugit: [14] si vero neglecta fuerint illa in pulmone, corrumpitur, [15] illis & inhærentibus & putrescentibus, ulceraturque pulmo, & suppuratus fit, [16] & non amplius intro ad seipsum nutrimentum memorabile trahit, [17] neque quicquam depurgatur ab eo sursum, [18] sed suffocatur, & semper amplius difficulter spirat, [19] & respirando stertit, & respirat illinc sursum ex pectore, [20] tandem vero obturatur à sputo, & moritur.

[21] Fit autem & suppuratus, si pituita ex capite ad pulmonem destillet: [22] & primum quidem utplurimum latenter defluit, [23] tussimque tenuem exhibet, [24] & sputum paulo amarius solito, [25] & aliquando tenuis adest calor. [26] Temporis autem progressu, exasperatur pulmo, & intus exulceratur à pituita inhærente ac putrescente: [27] & gravitatem exhibet pectori, & dolorem acutum ante & retro, [28] caloresque acutiores in corpus incidunt, [29] & pulmo à calore trahit ad se pituitam ex toto corpore: & maxime ex capite: [30]

caput

ἐκ τοῦ σώματος· [31] καὶ τοῦτο σηπόμενον πτύει ὑπόπαχυ. [32] ὅσῳ δ' ἂν ὁ χρόνος προΐῃ, εἰλικρινὲς πτύει πύον, [33] καὶ οἱ πυρετοὶ ὀξύτεροι γίνονται, [34] καὶ ἡ βὴξ πυκνὴ καὶ ἰσχυρὴ, [35] καὶ ἡ ἀσιτίη διακναίει· [36] καὶ τέλος ἡ κοιλίη ἡ κάτω ταράσσεται. [37] ταράσσεται δὲ ὑπὸ τοῦ φλέγματος. [38] τὸ δὲ φλέγμα ἐκ τῆς κεφαλῆς καταβαίνει. [39] οὗτος, ὅταν ἐς τοῦτο ἀφίκηται, ἀπόλλυται, καθάπερ εἴρηται ἐν τοῖσιν ἔμπροσθεν, [40] διαπύου τοῦ πλεύμονος καὶ σαπροῦ γινομένου, [41] ἢ τῆς γαστρὸς ῥυείσης τῆς κάτω.

[42] Γίνεται δὲ καὶ ἀπὸ τῶνδε ἔμπυος ὁ πλεύμων. [43] ὁκόταν τι τῶν ἐν αὐτῷ φλεβίων ῥαγῇ. [44] ῥήγνυται δὲ ὑπὸ πόνων. [45] καὶ, ὅταν ῥαγῇ, αἱμοῤῥοεῖ τὸ φλέβιον· κἢν μὲν παχύτερον ἔῃ, μᾶλλον· ἢν δὲ λεπτότερον, ἧσσον. [46] καὶ τὸ μὲν παραυτίκα τοῦ αἵματος πτύει. [47] τὸ δὲ, ἢν μὴ στεγνωθῇ ἡ φλὲψ, χέεται εἰς τὸν πλεύμονα, καὶ σήπεται ἐν αὐτῷ· [48] καὶ, ὅταν σαπῇ, πύον ποιεῖ. [49] προϊόντος δὲ τοῦ χρόνου, ἄλλοτε πύον εἰλικρινὲς, ἄλλοτε πύον ὕφαιμον, ἄλλοτε αἷμα [πτύει.] [50] καὶ, ἢν μᾶλλον πληρωθῇ τὸ φλέβιον, ἀπεμέει τὸ πλήρωμα ἀφ' ἑαυτοῦ ἀλὲς τοῦ αἵματος, [51] τό, τε πύον πτύεται παχὺ ὑπὸ τοῦ προσγινομένου καὶ ἐνσηπομένου φλέγματος. [52] οὗτος, ἢν καταληφθῇ ἀρχομένου τοῦ νοσήματος, [53] πρὶν ἢ τὴν φλέβα αἱμοῤῥοεῖν καὶ χαλᾶν ἰσχυρῶς, [54] πρίν τε λεπτυνθῆναι καὶ κλινοπετέα γενέσθαι, [55] καὶ τὴν κεφαλὴν ἄρξασθαι φθίνειν, καὶ τὸ ἄλλο σῶμα τήκεσθαι, [56] ἐξάντης τῆς τοιῆσδε νούσου γίνεται· [57] ἢν δ' ἀμεληθῇ, καὶ ταῦτα καταλάβῃ, ὥστε πειθέειν ἢ

πάντα

caput vero calefactum ex corpore, [31] & hanc putrescentem subcrassam spuit. [32] Quanto vero magis tempus progreditur, tanto magis pus sincerum spuit, [33] & febres acutiores fiunt, [34] & tussis frequens ac fortis, [35] & inedia ' vexat, [36] & tandem alvus inferne turbatur. [37] Turbatur autem à pituita, [38] pituita vero de capite descendit. [39] Hic quum ad hoc pervenerit, perit quemadmodum dictum est in superioribus, [40] purulento ac putrido pulmone facto, [41] aut ventre infra erumpente.

[42] Fit præterea & ab his pulmo suppuratus. [43] Quum venula videlicet aliqua in ipso fuerit rupta, [44] (rumpitur autem à laboribus:) [45] & ubi rupta fuerit, 'sanguinem fundit, si quidem crassior fuerit, amplius: sin tenuior, minus: [46] & sanguinem quidem ipsum partim confestim spuit, [47] partim vero, nisi vena adstringatur, in pulmonem funditur, & in ipso putrescit: [48] & ubi putrefactus fuerit pus facit, [49] progressu vero temporis aliquando pus sincerum, aliquando pus subcruentum, aliquando sanguinem, [50] & si magis repleta fuerit vena, ipsam sanguinis ' copiam acervatim à seipsa revomit, [51] spuiturq; pus crassum ab accessoria & intus putrescente pituita. [52] Hic si anticipetur incipiente morbo, [53] priusquam vena sanguinem fundat ac fortiter laxetur, [54] & priusquam attenuetur, & in lecto decumbat, [55] & caput corrumpi incipiat, & reliquum corpus colliquari, [56] superstes ab hoc morbo evadit. [57] Si vero neglectus fuerit, & hæc occuparint, ut ea perpetiatur 'aut omnia, aut plurima,

periti

πάντα ἢ τὰ πλεῖστα, ἀπόλλυται. 58 ἀπόλλυται δὲ οὗτος, ἢ ἀπὸ τῶν αὐτῶν, ὧν εἴρηκα ἔμπροσθεν, ἢ ἀπὸ ἐμέτου αἵματος πολλοῦ πολλάκις ἐμεομένου.

59 Ἢν δὲ τὸ φλέβιον παντάπασι μὲν μὴ διαῤῥαγῇ, σπάσμα δὲ ἐν αὐτῷ ἐγγένηται, γίνεται μάλιστα οἷον κιρσός. 60 ὃ καὶ παραυτίκα μὲν, ὅταν γένηται, ὀδύνην τινὰ παρέχει λεπτὴν, καὶ βῆχα ξηρήν. 61 ἢν δὲ χρονίσῃ τε καὶ ἀμεληθῇ, διαδιδοῖ αἷμα, τὸ μὲν πρῶτον ὀλίγον καὶ ὑπομέλαν, ἔπειτα δὲ ἐπὶ πλεῖόν τε καὶ εἰλικρινέστατον, εἶτα πῦον. 62 καὶ πάσχει τε, ὅσα περ ἐν τοῖσιν ἔμπροσθεν εἴρηται. 63 ξυμφέρει δὲ τοῖσι τοιούτοισιν, ἢν κατ' ἀρχὰς λαβὼν θεραπεύῃς, 64 ὥστε αἵ τε φλέβες ἐξιέμεναι ἐκ τῶν χειρῶν, 65 καὶ δίαιταν, ὑφ' ἧς ἔσται ξηρότατός τε καὶ ἀναιμότατος. 66 τὸν αὐτὸν δὲ τρόπον τοῦτον καὶ τὰ ἐν τῷ πλευρῷ φλέβια πάσχει, ὅσα ἔσω ἀκρόπλοά ἐστιν. 67 ὁκόταν οὖν πονήσῃ, κιρσώδεά τε γίνεται, καὶ μετέωρα εἴσω. 68 καὶ, ἢν μὲν ἀμεληθῇ, τάδε πάσχει. 69 ἐκρήγνυταί τε καὶ πτύουσι ἀπὸ σφέων αἷμα, καὶ ἐνίοτε καὶ ἐμέουσι, καὶ ἔμπυοι γίνονται, καὶ ὡς τὰ πολλὰ διεφθάρησαν. 70 ἢν δὲ θεραπευθῶσιν, ἀρχομένου τοῦ νοσήματος, αὖθις κατὰ χώρην ἱζάνουσιν πρὸς τὸ πλευρὸν τὰ φλέβια, καὶ γίνεται ταπεινά. 71 καὶ ὁ μὲν πλεύμων ἀπὸ τούτων ἔμπυος γίνεται, καὶ τὰ ἀπ' αὐτοῦ πάσχουσί τε τὰ τοιαῦτα, καὶ τελευτῶσιν οὕτω.

XI. Τῶν δὲ ἄνω κοιλίην ἔμπυοι γίνονται πολλαχῶς. 2 καὶ γὰρ, ὅταν φλέγμα ῥυῇ ἐκ τῆς κεφαλῆς ἁλὲς ἀθρόον ἐς τὴν ἄνω κοιλίην, σήπεταί τε καὶ γίνεται πῦον. 3 σήπεται

perit; 58 perit autem hic aut ex iisdem quæ superius dixi, aut à vomitu, sanguine multo multoties per vomitum rejecto.

59 Si vero vena omnino quidẽ rupta non fuerit, verum acutus tractus in ipsa fiat, fit autem maxime velut varix, 60 qui etiam statim ubi factus fuerit, dolorem quendam tenuem inducit, ac tussim aridam. 61 Si vero diu duraverit & neglectus fuerit, primum quidem sanguinem modidicum ac subnigrum dimittit ac rejicit, deinde vero adhuc copiosiorem & sincerissimum, deinde pus, 62 patiturq; quæcunque in superioribus dicta sunt. 63 Conducit autem talibus, si ab initio curandos suscipias, 64 ut & venæ de manibus sanguinem emittant, 65 & diæta è qua quam siccissimus & exanguissimus fiat. 66 Eodem porro modo etiam venæ in latere afficiuntur, quæ intus in superficie sitæ sunt. 67 Quum igitur affectæ fuerint, varicosæque factæ, & intus elevatæ, 68 & neglectæ fuerint, hæc perpetiuntur. 69 Erumpunt & spuunt à se sanguinem, & aliquando etiam vomunt, & suppurati fiunt, & utplurimum pereunt. 70 Si vero curentur incipiente morbo, rursus in loco venæ considunt ad latus, humilesque fiunt. 71 Et pulmo quidem ab his suppuratus redditur, & ab ipso etiam talia perpetiuntur, & sic moriuntur.

XI. Cæterum superiore ventre suppurati multipliciter fiunt. 2 Nam quum pituita de capite copiosa & acervatim in superiorem ventrem fluxerit, putrescit & in pus vertitur. 3 Putrescit autem maxime in diebus viginti una.

ται δὲ ἐν ἡμέρῃσι μάλιστα μιῇ καὶ εἴκοσι. ⁴ τοῦτ' οὖν διασείεται καὶ ἐξκλυδάζεται τὸ πύον, ἐς τὰ πλευρὰ προσπίπτον. ⁵ οὗτος, ἢν καυθῇ ἢ τμηθῇ πρὶν χρονίσαι τὸ πύον, ὑγιὴς γίνεται ὡς τὰ πολλά.

⁶ Γίνονται δὲ μετὰ τὴν ἄνω κοιλίην ἔμπυοι καὶ ἐκ πλευρίτιδος, 233 ⁷ ὁκόταν ἰσχυρὴ γένηται, ⁸ καὶ ἐν τῇσι κρισίμῃσιν ἡμέρῃσι μήτε σαπῇ, μήτε πτυσθῇ, ⁹ ἀλλ' ἑλκωθῇ τὸ πλευρὸν ὑπὸ τοῦ προσπεπηγότος φλέγματος, καὶ χολῆς. ¹⁰ καὶ ὁκόταν ἕλκος γένηται, ἀναδιδοῖ ἀπὸ ἑωυτοῦ πύον, ¹¹ καὶ ἐκ τῶν πλησίον χωρίων ὑπὸ θερμασίης ἄγει ἐφ' ἑωυτὸ φλέγμα. ¹² καὶ τοῦτο ὁκόταν σαπῇ, πτύεται πύον. ¹³ ἐνίοτε δὲ καὶ ἐκ τῶν φλεβίων διαδιδοῖ ἐς τὸ 5 ἕλκος αἷμα. καὶ γίνεται σηπόμενον, πύον. ¹⁴ οὗτος, ἢν μὲν παραχρῆμα ὑποληφθῇ, ὑγιὴς γίνεται ὡς τὰ πολλά· ἢν δὲ ἀμεληθῇ, διαφθείρεται.

¹⁵ Γίνονται δὲ ἔμπυοι καὶ ἢν φλέγμα ἐκ τῆς κεφαλῆς ῥυὲν πρὸς τὸ πλευρὸν προσπαγῇ καὶ σαπῇ. ¹⁶ τότε γὰρ τὸ πλευρὸν ὡς τὰ πολλὰ καίεται, ¹⁷ καὶ πάσχει, ὅσαπερ ἐκ πλευρίτιδος, ὅταν ἔμπυος γένηται. ¹⁸ γίνονται δὲ καὶ ὁκόταν ὑπὸ ταλαιπωρίης, ἢ ἐκ γυμνασίης, ἢ ἄλλως πως ῥαγῇ, ἢ ἔμπροσθεν ἢ ὄπισθεν. ¹⁹ ῥαγῇ δὲ, ὥστε μὴ πα- 10 ραυτίκα πτύσαι αἷμα, ἀλλ' ἐν τῇ σαρκὶ σπάδων γένηται, ²⁰ καὶ ἡ σὰρξ σπασθεῖσα εἰρύσῃ ἰκμάδα ὀλίγην, καὶ γένηται ὑποπέλιδνος. ²¹ καὶ παραυτίκα μὲν μὴ αἰσθάνηται ὁ παθὼν ὑπὸ ῥώμης καὶ εὐεξίης. ²² εἰ δὲ καὶ αἰσθάνεται, μηδὲν πρᾶγμα ἡγήσεται. ²³ οὗτος, ὅταν καταλάβῃ, ὥστε αὐτὸν ὑπὸ πυρετῶν ληφθέντα λεπτυνθῆναι, ἢ πόσιος, ἢ λαγνείης, ἢ ἄλλου του, ²⁴ ἡ σὰρξ ἡ τετρωμένη ὑπο-

38 una. ⁴ Hoc igitur pus concutitur & intus fluctuat ad latera allabens. ⁵ Hic si uratur aut secetur priusquam diuturnum fiat pus, sanus plerunque eva- 235 dit.

⁶ Fiunt autem & superiore ventre suppurati ex pleuritide, ⁷ quum fortis fuerit, ⁸ & in judicatoriis diebus neque putruit, neque sputo rejecta est, ⁹ sed latus exulceratum fuerit à pituita affixa, & bile: ¹⁰ & quum ulcus factum fuerit, reddit de se pus, ¹¹ & ex vicinis locis præ caliditate in seipsum pituitam adducit, ¹² & hæc ubi computruit, pus spuitur. ¹³ Aliquando vero etiam ex venis sanguis se in ulcus in- 240 gerit, & putrefactus pus fit. ¹⁴ Hic si evestigio assumatur, sanus plerunque fit: si vero negligatur, perit.

¹⁵ Fiunt præterea suppurati etiam, si pituita de capite delapsa, ad latus adglutinata fuerit & putruerit. ¹⁶ Tunc enim latus utplurimum inflammatur, ¹⁷ & patitur eadem quæ ex pleuritide suppuratus. ¹⁸ Fiunt & quum præ labore, aut exercitiis, aut alio quopiam modo, vena ante aut retro fuerit rupta, ¹⁹ & sic ru- 245 39 pta, ut non statim spuatur sanguis, sed in carne acutus tractus sive varix fiat: ²⁰ & caro tracta ac convulsa humiditatem modicam traxerit, & sublivida facta fuerit: ²¹ & statim quidem sic affectus non percipit pro robore ac bona habitudine, ²² aut si etiam sentit, nihil molesti esse putat. ²³ Hic ubi deprehenderit, quum jam præ febribus, aut potu, aut venere, aut aliqua alia re correptus, fuerit attenuatus, ²⁴ 250 caro

ὑποξηραίνεταί τε καὶ ὑποθερμαίνεται, [25] καὶ ἕλκει ἰκμάδα ἐς ἑωυτὴν ἀπὸ τῶν πλησίον καὶ φλεβῶν καὶ σαρκῶν. [26] ὅταν δὲ εἰρύσῃ, οἰδίσκεταί τε καὶ φλεγμαίνει, καὶ ὀδύνην παρέχει λεπτὴν, καὶ βῆχα ἀραιήν τε καὶ ξηρὴν τὸ πρῶτον. [27] ἔπειτα ἐπὶ μᾶλλον ἕλκει τε ἐς ἑωυτὴν, καὶ ὀδύνην παρέχει ἰσχυροτέρην, καὶ βῆχα πυκνοτέρην. [28] καὶ πτύει, τὸ μὲν πρῶτον, ὑπόπυον· ἐνίοτε δὲ, ὑποπέλιδνον καὶ ὕφαιμον. [29] ὅσῳ δ' ἂν ὁ χρόνος προΐῃ, ἕλκει τε μᾶλλον ἐς ἑωυτὴν, καὶ σήπει. [30] καὶ αὐτῆς τῆς σαρκὸς, ὅσον πελιδνὸν ἐγένετο τὴν ἀρχὴν, τοῦτο πῦος γίνεται, [31] καὶ ὀδύνην παρέχει ὀξείην, καὶ πυρετὸν, καὶ βῆχα πολλήν τε καὶ πυκνὴν, [32] καὶ τὸ πτύσμα εἰλικρινὲς, ἔπειτα πῦος.

[33] Ἢν δὲ χρονίσῃ τὸ πῦος ἐν τῇ κοιλίῃ, διαθερμαίνεται ὑπ' αὐτοῦ τὸ σῶμα πᾶν, μάλιστα δὲ τὰ ἐγγυτάτω. [34] θερμαινομένου δὲ τοῦ σώματος, μάλιστα ἐκτήκεται τὸ ὑγρόν. [35] καὶ τὸ μὲν ἀπὸ τῶν ἄνω ἐς τὴν ἄνω κοιλίην μάλιστα συῤῥεῖ, καὶ γίνεται πῦος πρὸς τῷ ἐνεόντι. [36] τὸ δὲ καὶ ἐς τὴν κάτω κοιλίην ῥεῖ. [37] καὶ ἐνίοτε ταράσσεται ἡ κοιλίη ὑπ' αὐτοῦ· καὶ διέφθειρε τὸν ἄνθρωπον. [38] τὰ γὰρ ἐσιόντα τῶν σιτίων διαχωρέει ἄπεπτα, καὶ τροφὴ ἀπ' αὐτῶν οὐ γίνεται τῷ σώματι. [39] καὶ ἡ τοῦ πτύσματος ἄνω κάθαρσις οὐχ ὁμαλὴ γίνεται, ἅτε διατεθερμασμένης τῆς κοιλίης καὶ ἀγούσης πάντα κάτω ἐφ' ἑωυτήν. [40] καὶ ὑπὸ μὲν τοῦ πτύσματος πνίγεταί τε καὶ ῥέγχει οὐ καθαιρόμενος. [41] ὑπὸ δὲ τῆς γαστρὸς ῥεούσης ἐξασθενέει, καὶ ὡς τὰ πολλὰ διαφθείρεται. [42] μάλιστα δὲ ἐν τῇσι τοιαύτῃσι τῶν νούσων τὸ ῥεῦμα τοῦτο ἡ κεφαλὴ παρέ-

caro sauciata subresiccatur & subcalescit, [25] & humiditatem in seipsam à vicinis tum venis, tum carnibus trahit. [26] Ubi autem attraxerit, intumescit & inflammatur, & dolorem exhibet tenuem, & tussim raram & siccam primum. [27] Deinde adhuc magis trahit in seipsam, & dolorem inducit vehementiorem, & tussim frequentiorem. [28] Et primum quidem subpurulentum spuit: aliquando vero lividum & subcruentum. [29] Et quanto magis tempus progreditur, amplius in seipsam trahit ac putrefacit: [30] & de ipsa carne quantum ab initio lividum erat, hoc pus fit: [31] & dolorem acutum exhibet, & febrem, & tussim multam ac frequentem, [32] & per sputum sincerum pus expuit.

[33] Si vero pus in ventre moram traxerit, totum corpus ab ipso calescit: maxime vero vicinissimæ partes. [34] Calescente autem corpore, humiditas maxime eliquatur. [35] Et quæ quidem à supernis partibus eliquatur, in supernum ventriculum maxime confluit, & pus fit, ad hoc quod jam in ipso est. [36] Pars vero ejus etiam in infernum ventriculum fluit: [37] & quandoque alvus ab ipsa turbatur, & hominem perimit. [38] Nam cibi ingesti secedunt inconcocti, & alimentum ab ipsis corpori non accedit. [39] Et sputi sursum purgatio non æqualis contingit, alvo nimirum calefacta, & omnia deorsum trahente in seipsam. [40] Et à sputo quidem suffocatur & stertit, dum non purgatur: [41] à ventre vero fluente debilitatur, & plerunque perimitur. [42] In hujusmodi autem morbis hunc fluxum maxime exhibet caput, utpote

παρέχει, ἅτε κοίλη ἐοῦσα, καὶ ἄνω ὑπερκειμένη. 43 ὁκόταν γὰρ διαθερμανθῇ ὑπὸ τῆς κοιλίης, ἕλκει ἐς ἑωυτὴν ἐκ τοῦ σώματος τὸ λεπτότατον τοῦ φλέγματος. 44 ὅταν δὲ ἁλισθῇ ἐν αὐτῇ, ἀποδιδοῖ πάλιν ἀλὲς καὶ παχὺ, ὥσπερ εἴρηται. 45 καὶ αὐτοῦ τὸ μὲν ἐς τὴν ἄνω κοιλίην καταῤῥέει, τὸ δὲ ἐς τὴν κάτω. 46 ὁκόταν οὖν ἄρξηται ἡ κεφαλὴ ῥέειν, καὶ τὸ ἄλλο σῶμα τήκεσθαι, οὐκ ἔτι ὁμαλῶς, οὐδὲ καυθέντες περιγίνονται. 47 κρατέει γὰρ αὐτοὺς μὲν τοῦ πύους τὰ ἐπιῤῥέοντα κακὰ ἢ τὰ ἀποῤῥέοντα, 48 αἵ τε σάρκες τήκονται μᾶλλον ὑπὸ τῶν κακῶν, ἢ τρεφόμεναι ὑπὸ τῶν εἰσιόντων.

49 Οὗτοι, ὁκόσοι τουτότροπα νοσήματα ἴσχουσι, καὶ ἀπὸ τούτων ἔνιοι μὲν δι' ὀλίγου ἀπόλλυνται, ἔνιοι δὲ πουλὺν χρόνον ἕλκουσι. 50 διαφέρει γὰρ σῶμα σώματος, καὶ ἡλικίη ἡλικίης, καὶ πάθημα παθήματος, καὶ ὥρη ὥρης, ἐν ᾗ ἂν νοσέωσι. 51 καὶ οἱ μὲν ταλαιπωρότεροί εἰσιν ἐν τῇσι νούσοισιν, οἱ δὲ παντάπασι ταλαιπωρέειν ἀδύνατοι. 52 οὐκ ἔστι τὸ ἀκριβὲς τοῦ χρόνου, ἐν ᾧ ἀπόλλυνται, οὔτε, ἐς πουλὺν, οὔτ', ἐς ὀλίγον. 53 οὔτε γὰρ οὗτος ὁ χρόνος ἀκριβὴς, ὃν ἔνιοι λέγουσιν, ὡς τὰ πολλά. 54 οὐδὲ αὐτὸ τοῦτο ἐκπυΐσκει. 55 διαφέρει γὰρ καὶ ἔτος ἔτεος, καὶ ὥρη ὥρης. 56 ἀλλ', ἤν τις θέλῃ περὶ αὐτῶν ὀρθῶς γινώσκειν καὶ λέγειν, γνώσεται ὧδε πάντων ὥρην καὶ ἀπολλυμένους καὶ περιγινομένους καὶ πάσχοντας, ἅσσα ἂν πάσχωσι.

XII. Τὴν δὲ κάτω κοιλίην ἔμπυοι γίνονται, 2 μάλιστα μὲν, ὅταν φλέγμα ἢ χολὴ συστῇ ἀλὲς μεσηγὺ τῆς σαρκὸς καὶ τοῦ δέρματος. 3 γίνον-

utpote quod cavum est, & superne situm. 43 Quum enim ab alvo fuerit calefactum, tenuissimam pituitam de corpore in seipsum trahit. 44 Ubi vero hæc in ipso fuerit collecta, reddit rursum acervatam & crassam, velut dictum est: 45 & pars quidem ipsius in supernum ventriculum defluit: pars vero in infernum. 46 Quum igitur caput fluere inceperit, & reliquum corpus colliquari, non amplius æqualiter, ne usti quidem, superstites evadunt. 47 Superant enim supra pus influentia mala, ea quæ defluunt: 48 & carnes liquescunt magis à malis, quam nutriuntur ab ingestis.

49 Qui vero hujusmodi morbos habent, partim ab his brevi pereunt, partim diutius tempus extrahunt. 50 Differt enim corpus à corpore, & ætas ab ætate, & affectio ab affectione, & tempus à tempore, in quo ægrotarint: 51 & aliqui majorem tolerantiam in morbis habent, alii omnino ad tolerandum impotentes sunt. 52 Proinde certitudo exacta temporis in quo pereunt non est, an longum, aut breve futurum sit. 53 Neque enim hoc tempus certum est quod quidam definiunt: 54 & plerunque neque hoc ipsum suppurat. 55 Differt enim & annus ab anno, & tempus à tempore. 56 At si quis de ipsis recte cognoscere ac dicere velit, is cognoscet omni tempore, & perire, & superstites evadere, & pati quæcunque tandem patiantur.

XII. Cæterum inferno ventriculo suppurati fiunt, 2 maxime quidem quum pituita aut bilis acervata inter carnem & cutem collecta fuerit. 3 Fiunt autem & à convulsionibus

γίνονται δὲ καὶ ἀπὸ σπασμῶν. 4 καὶ, ὅταν φλέβιον σπασθὲν ῥαγῇ, τὸ αἷμα ἐκχυθὲν σήπεται καὶ ἐμπυΐσκεται. 5 ἢν δὲ ἡ σὰρξ σπασθῇ ἢ φλασθῇ, ἕλκει ἐκ τῶν παρ' ἑωυτῇ φλεβίων αἷμα, καὶ τοῦτο σήπεται καὶ ἐμπυΐσκεται. 6 τούτοισιν ἢν μὲν ἔξω ἀποσημήνῃ, καὶ πύον ἐξέλθῃ, ὑγιέες γίνονται. 7 ἢν δὲ ἐκραγῇ αὐτόματον ἔσω, ἀπόλλυνται. 8 κεχυμένον δὲ πύον ἐν τῇ κάτω κοιλίῃ, ὥσπερ ἐν τῇ ἄνω εἴρηται ἐγγίνεσθαι, οὐκ ἂν δύναιτο ἐγγενέσθαι, 9 ἀλλ', ὥσπερ μοι εἴρηται, ἐν χιτῶσί τε καὶ ἐν φύμασιν ἐγγίνεται. 10 καὶ ἢν μὲν ἔνδον ἀποσημήνῃ, δυσπετὲς γνῶναι. 11 οὐδὲ γὰρ διασείουσιν ἔστιν εἰδέναι. 12 γινώσκεται δὲ μάλιστα τῇ ὀδύνῃ ἔνθα ἔη. 13 καὶ ἢν καταπλάσῃς τῇ κεραμίτιδι, ἢ ἄλλῳ τῷ τοιούτῳ, ἀποξηραίνει δι' ὀλίγου.

XIII. Ἐρυσίπελας δὲ ἐν τῷ πλεύμονι γίνεται, ὅταν ὑπερξηρανθῇ ὁ πλεύμων. 2 ὑπερξηραίνεται δὲ καὶ ὑπὸ καύματος, καὶ ὑπὸ πυρετῶν, καὶ ὑπὸ ταλαιπωρίης καὶ ἀκρασίης. 3 καὶ ὁκόταν ὑπερξηρανθῇ, ἕλκει τοῦ αἵματος πλεῖστον ἐφ' ἑωυτόν. 4 μάλιστα μὲν τὸ πλεῖστον ἐκ τῶν μεγάλων φλεβῶν. 5 αὗται γὰρ αὐτῷ ἐγγύταταί εἰσι, καὶ ἐπίκεινται ἐπ' αὐτῷ. 6 ἕλκει δὲ καὶ ἐκ τῶν ἄλλων τῶν πλησίον. 7 ἕλκει δὲ τὸ λεπτότατον καὶ ἀσθενέστατον. 8 ὁκόταν δὲ ῥύσῃ, πυρετὸς ἀπ' αὐτοῦ γίνεται ὀξύς, 9 καὶ βὴξ ξηρή, 10 καὶ πληθώρη ἐν τοῖσι στήθεσι, 11 καὶ ὀδύνη ὀξείη ἐν τοῖσιν ἔμπροσθεν καὶ ὄπισθεν, μάλιστα δὲ κατὰ τὴν ῥάχιν, 12 ἅτε τῶν φλεβῶν τῶν μεγάλων διαθερμαινομένων. 13 καὶ ἐμέουσιν, ἄλλοτε μὲν, ὕφαιμον, ἄλλοτε δὲ, πελιδνόν. 14 ἐμέουσι δὲ καὶ φλέγ-

bus: 4 quum venula convulsa rupta fuerit, sanguis effusus putrescit & suppuratur. 5 Si vero caro convulsa fuerit, aut contusa, sanguinem ex venis sibiipsi propinquis trahit, atque hic putrescit ac suppuratur. 6 His siquidem foras de se significationem præbuerit & eruperit pus, sani fiunt. 7 Si vero sua sponte intro proruperit, pereunt. 8 At vero diffusum pus in ventriculo inferno, veluti in superno dictum est, generari haud quaquam poterit, 9 sed velut à me dictum est, in tunicis & in tuberculis innascitur. 10 Et siquidem intro notas habuerit, cognitu difficile est. 11 Neque enim ex concussione cognoscere licet. 12 Cognoscitur autem maxime ex dolore ubi fuerit. 13 & si terram figulinam, aut aliud quid hujuscemodi imposueris, brevi id resiccat.

XIII. Erysipelas autem in pulmone fit, ubi pulmo fuerit nimium resiccatus, 2 id quod contingit ab ardore, & à febribus, & à labore, ac intemperie. 3 Et quum superresiccatus fuerit, plurimum sanguinis in seipsum trahit, 4 maxime quidem & plurimum ex magnis venis. 5 Hæ enim ipsi vicinissimæ sunt, ac ipsi incumbunt. 6 Trahit etiam ex aliis vicinis. 7 Et tenuissimum ac debilissimum trahit. 8 Postquam autem traxit, febris ex ipso fit acuta, 9 & tussis sicca, 10 & repletio in pectoribus, 11 & dolor acutus in anterioribus ac posterioribus partibus, maxime circa spinam; 12 nimirum magnis venis percalefactis. 13 Et vomunt aliquando suberuentum, aliquando lividum. 14 Vomunt item pituitam & bi-

lem,

φλέγμα καὶ χολὴν, 15 καὶ ἐκψυχέει πυκνά. 16 ἐκψυχέει δὲ διὰ τοῦ αἵματος τὴν μετάστασιν ἐξαπίνης γινομένην. 17 καὶ μάλιστα διασημαίνει τοῦτο, ὅταν ἐπὶ τοῦ πλεύμονος ἐπιγένηται ἐρυσίπελας, καὶ τοῦ πυρετοῦ ἔῃ συνεχὴς λῆψις. 18 τούτῳ εἰ μὲν δύο ἢ τριῶν ἢ τεττάρων τὸ πλεῖστον ἡμερέων διαχυθῇ καὶ μεταστῇ τὸ ἔνδον ἐς τὸ ἔξω, ὑγιὴς γίνεται ὡς τὰ πολλά. 19 ἢν δὲ μὴ διαχυθῇ καὶ μεταστῇ, ἐν-
15 σήπεταί τε καὶ ἔμπυος γίνεται, καὶ ἀπόλλυται. 20 ἀπόλλυται δὲ δι' ὀλίγου, ἅτε τοῦ πλεύμονος ἐμπύου ἐόντος ὅλου καὶ σαπροῦ. 21 ἢν δὲ ἔξω καταπεχυμένον ἔσω τράπηται καὶ καταλάβηται τὸν πλεύμονα, τούτῳ οὐδεμίη ἐλπὶς περιγενέσθαι. 22 ὅταν γὰρ προαπεξηρασμένος ὁ πλεύμων εἰρύσῃ ἐς ἑωυτὸν, οὐκ αὖ ἔτι μεθίησιν, 23 ἀλλὰ παραχρῆμα ὑπὸ τοῦ καύματος καὶ τῆς ξηρασίης οὐκ ἔτι δέχεται οὐδὲν, οὔτε ἄνω ἀναδίδωσιν οὐδὲν, ἀλλὰ διέφθορε.

20 XIV. Φῦμα δὲ γίνεται ἐν ' τῷ πλεύμονι ὧδε. 2 ὁκόταν φλέγμα ἢ χολὴ ξυστραφῇ, σήπεται. 3 καὶ ἕως μὲν αὖ ἔτι ὠμότερον ἔῃ, ὀδύνην τε παρέχει λεπτὴν, καὶ βῆχα ξηρήν. 4 ὁκόταν δὲ πεπαίνηται, ὀδύνη γίνεται, καὶ πρόσθεν καὶ ὄπισθεν, ὀξέη, καὶ θέρμαι λαμβάνουσι, καὶ βὴξ ἰσχυρή. 5 καὶ ἢν μὲν ὅτι τάχιστα πεπανθῇ, καὶ ῥαγῇ καὶ ἄνω τράπηται τὸ πῦον, καὶ ἀναπτυσθῇ πᾶν, 6 '' καὶ κοιλίη, ἐν 43 ᾗ τὸ πῦον, προσπέσῃ τε καὶ ἀναξηρανθῇ, ὑγιὴς γίνεται παντελῶς. 7
25 ἢν δὲ ῥαγῇ μὲν ὅτι ' τάχιστα, καὶ πεπανθῇ, καὶ ἀνακαθαίρηται, 8 ἀποξηρανθῆναι δὲ παντάπασι μὴ δύνηται, ἀλλ' αὐτὸ ἀφ' ἑωυτοῦ τὸ φῦ-

lem, 15 & frequenter animo linquuntur, 16 propter ſanguinis tranſmutationem derepente contingentem: 17 atque hoc maximum ſignum eſt Eryſipelatis in pulmone generati; & ſi aſſidua febris invaſio contigerit. 18 Huic, ſiquidem duobus aut tribus aut quatuor ad ſummum diebus id, quod intus eſt diffuſum fuerit ac tranſierit foras, plerunque ſanus evadit. 19 Si vero ' non diffun- 50 datur ac foras tranſeat, intus putreſcit, & ſuppuratus fit ac perit. 20 Perit autem brevi, utpote pulmone toto ſuppurato ac putrido. 21 Si vero foras diffuſum, intro vertatur & pulmonem corripiat, huic nulla vitæ ſpes reliqua eſt. 22 Quum enim antea reſiccatus pulmo, traxerit in ſeipſum, non amplius dimittit, 23 ſed ſtatim ab ardore, & ſiccitate, nihil amplius ſuſcipit, neque quicquam ſurſum ' diſtribuit, ſed corrum- 55 pit.

XIV. Tuberculum in pulmone fit hoc modo; 2 quum pituita aut bilis coacta putreſcit. 3 Et quamdiu quidem adhuc crudius fuerit, dolorem exilem, ac tuſſim ſiccam inducit. 4 Poſtquam autem maturum factum fuerit, dolor & ante & retro acutus fit, & calores corripiunt, ac tuſſis vehemens. 5 Et ſiquidem quam citiſſime maturuerit, & eruperit, & pus ſurſum vertatur, ' ac totum expuatur, 6 & ventriculus, in quo fuerat pus, contrahatur ac reſiccetur, penitus ſanus evadet. 7 Si vero ruptum quidem fuerit quam celerrime, & maturatum, ac repurgatum, 8 verum penitus reſiccari non poterit, ſed ipſum tuberculum à ſe-

μα ἀναδιδοῖ τὸ πῦον, ὄλεθρον τοῦτο. [9] καὶ ἀπὸ τῆς κεφαλῆς δὲ καὶ τοῦ ἄλλου σώματος φλέγμα καταῤῥέον ἐς τὸ φῦμα σήπεταί τε καὶ πῦον γίνεται, καὶ πτύεται, δι' οὗ ἐφθάρη. [10] Διαφθείρεται δὲ ὑπὸ γαστρὸς ῥυείσης, ἀφ' ὧνπερ καὶ ἐπὶ τῶν πρόσθεν εἴρηται. [11] λεσχηνευόμενος τε αὐτοῦ καὶ φρονέοντος πάντα χρήματα ὁμαλῶς, ὡς καὶ ἐν τῷ πρὶν χρόνῳ, ἀποξηραίνεταί τε καὶ ἀποψύχεται· [12] ξυμμύει τὰ φλέβια τὰ ἐν τῷ σώματι πάντα, [13] ἅτε τοῦ αἵματος ἐξ αὐτέων ἐκκεκαυμένου ὑπὸ πυρετοῦ. [14] ἐνίοτε δὲ ὑπὸ χρόνου τε πλήθεος, καὶ μεγάθεος τῆς νούσου, καὶ τῶν ἐνεόντων κακῶν, καὶ τῶν προσεπιγινομένων. [15] ἢν δὲ μὴ δύνηται πολλοῦ χρόνου ῥαγῆναι, μήτε ἀπὸ τωὐτομάτου, μήτε ὑπὸ φαρμάκων, [16] τήκεται ὁ ἀσθενῶν ὑπὸ ὀδυνέων ἰσχυρῶν, καὶ ἀσιτίης, καὶ βηχὸς, καὶ πυρετῶν, καὶ ὡς τὰ πολλὰ διαφθείρεται. [17] ἢν δὲ ἤδη λελεπτυσμένῳ καὶ κλινοπετεῖ ἐόντι ῥαγῇ τὸ πῦον, οὐδ' οὕτω μάλα ἀναφέρουσιν, ἀλλὰ διαφθείρονται τρόπῳ τοιῷδε. [18] ἢν δὲ ῥαγῇ μὲν ὅτι τάχιστα καὶ πεπανθῇ, πεπανθὲν δὲ ἐκχυθῇ ἐπὶ τὰς φρένας τὸ πολλὸν αὐτοῦ, τὸ παραυτίκα δοκέει μὲν ῥάων εἶναι· [19] προϊόντος δὲ τοῦ χρόνου, ἢν μὲν ἀναπτύσῃ πᾶν, καὶ ἡ κοιλίη, ἐν ᾗ τὸ πῦον ἐνῆν, προσπέσῃ τε καὶ ἀναξηρανθῇ, ὑγιὴς γίνεται. [20] ἢν δὲ ὅ,τε χρόνος πλείων γένηται, καὶ αὐτὸς ἀσθενέστερος, καὶ ἀναπτύσαι μὴ δύναται, ἀλλὰ καυθῇ, ἢ τμηθῇ, καὶ τὸ πῦον ἐξέλθῃ, παραυτίκα μὲν καὶ οὕτω δή τι δοκέει ῥάων γεγονέναι· [21] προϊόντος δὲ τοῦ χρόνου διαφθείρεται ὑπὸ τῶν αὐτῶν, ὑφ' ὧνπερ καὶ ἐν τῇ προτέρῃ εἴρηται.

ipso pus produxerit, [9] & à capite sane tunc, itemque reliquo corpore pituita ad tuberculum defluens putrescit, & pus fit, ac expuitur, per quod homo perimitur. [10] Perimitur autem à ventre fluente, ab his quæ antea relata sunt: [11] & loquente ipso ac intelligente omnes res, æque ut in priori tempore, reficcatur ac perfrigeratur: [12] conniventque venæ in corpore omnes, [13] utpote sanguine ex ipsis à febre exusto: [14] quandoque vero etiam præ temporis longitudine, ac morbi magnitudine, tum malorum jam præsentium, tum eorum quæ insuper accedunt. [15] Quod si multo tempore rumpi non possit, neque sua sponte neque à medicamentis, [16] consumitur debilitatus à doloribus vehementibus, & inedia, & tussi, & febribus, & utplurimum perimitur. [17] Si vero jam attenuato, & in lectum reclinato, pus eruperit, neque sic valde revalescunt, sed tali modo perimuntur. [18] At si eruperit quidem quam celerrime, & maturuerit, maturatum autem multa sui parte ad septum transversum effundatur, statim quidem melius habere sibi videtur: [19] verum progressu temporis si quidem totum per sputum rejecerit, & ventriculus in quo pus inerat, considat ac reficcetur, sanus evadit. [20] Si vero & tempus longius protrahatur, & ipse debilior fiat, & per sputum rejicere nequeat, sed ustus fuerit aut sectus, & pus exeat, statim quidem & sic melius habere sibi videtur, [21] verum tempore procedente perimitur ab iisdem quæ prius relata sunt.

XV. Ἐν δὲ τῷ πλευρῷ γίνεται μὲν φύματα, καὶ ἀπὸ φλέγματος, καὶ ἀπὸ χολῆς, κατὰ τὸν αὐτὸν λόγον τοῖσιν ἐν τῷ πλεύμονι. ² γίνεται δὲ καὶ ἀπὸ τῶν πόνων, ὁκόταν τι τῶν φλεβίων σπασθὲν ῥαγῇ, ³ μὴ ῥαγῇ δὲ παντελῶς, ἀλλὰ σπάδων ἐν αὐτῷ γένηται. ⁴ ἢν μὲν οὖν ῥαγῇ, πα-
45 ραυτίκα τὸ αἷμα, τὸ ἐκχυθὲν ἐκ τοῦ φλεβίου, σήπεταί τε καὶ ἐκπυΐσκεται. ⁵ ἐὰν δὲ σπάδων ἐν τῷ φλεβίῳ γένηται, τοῦτο κατ' ἀρχὰς μὲν ὀδύνην τε παρέχει καὶ σφύζει· ⁶ προϊόντος δὲ τοῦ χρόνου διαδίδωσιν ἡ φλὲψ τοῦ αἵματος ἐς τὴν σάρκα, καὶ τοῦτο σηπόμενον ἐν τῇ σαρκὶ, πύος γίνεται. ⁷ κατὰ τὸν αὐτὸν δὲ λόγον καὶ ἡ σὰρξ, ἢν μὲν μᾶλλον πονέσῃ, πλέον τε τοῦ αἵματος ἕλκει ἐς ἑωυτὴν ἐκ τῶν ἐγγυτάτω φλεβῶν, καὶ παραχρῆμα ἐκπυΐσκεται. ⁸ ἢν δὲ ἧσσον πονέσῃ, σχολαίτερόν τε καὶ ἕλκει καὶ ἐκπυΐσκεται.

135 XVI. Ἐνίοισι δὲ, ὁκόταν ἀσθενέα γένηται τὰ σπάσματα ἐν τῇσι σαρξὶν ἢ ἐν τῇσι φλεψὶν, οὐκ ἐκπυΐσκεται, ² ἀλλὰ γίνεται ἀλγήματα πολυχρόνια, καὶ καλεῦνται ῥήγματα. ³ καὶ ὁκόσα μὲν ἐν τῇ σαρκὶ γίνεται, ὧδε γίνεται· ὁκόταν ἡ σὰρξ πονέσῃ τι, ἢ σπασθεῖσα, ἢ πληγεῖσα, ἢ ἄλλο τι παθοῦσα, γίνεται, ὡς καὶ πρότερον, πελιδνή, ⁴ οὐκ εἰλικρινεῖ αἵματι, ⁵ ἀλλὰ λεπτῷ τε καὶ ὑδαρεῖ, καὶ τούτῳ ὀλίγῳ. ⁵ ὅταν δὲ ὑπερξηρανθῇ μᾶλλον τοῦ εἰωθότος, διαθερμαίνεταί τε καὶ ὀδύνην παρέχει, καὶ ἕλκει ἐς ἑωυτὴν ἀπὸ τῶν φλεβίων καὶ σαρκῶν τῶν πλησίον τὸ ὑγρόν. ⁶ καὶ ὁκόταν ὑπερυγρανθῇ, καὶ τοῦτο αὐτὸ τὸ ὑγρὸν ὑπερθερμανθῇ ὑπὸ τῆς σαρκὸς, σκίδναται ἀνὰ τὸ σῶμα πᾶν, οἷόν περ εἱρύσθη. ⁷ καὶ μᾶλλον δή τι σκίδναται ἐς τὰς φλέβας, ἢ ἐς τὰς σάρκας. ⁸ ἕλκουσι γὰρ αἱ φλέβες μᾶλλον τῶν σαρκῶν.

XV. Porro in latere fiunt tubercula & à pituita & bile, eadem ratione qua in pulmone. ² Fiunt etiam à laboribus, quum vena aliqua tracta rupta fuerit; ³ non tamen penitus rupta, ſed ita ut acutus tractus in ipſa factus ſit. ⁴ Siquidem igitur rupta fuerit, ſtatim ſanguis è vena effuſus putreſcit & ſuppuratur. ⁵ Si vero acutus tractus in vena fiat, prin- 85 cipio quidem dolorem exhibet ac pulſat: ⁶ progreſſu vero temporis diſtribuit vena ſanguinem in carnem, atque hic in carne putreſcens, pus fit. ⁷ Eodem modo & caro, ſiquidem magis doluerit, & ſanguinis plus in ſeipſam trahit ex viciniſſimis venis, & ſtatim ſuppuratur: ⁸ Si vero minus doluerit, tardius & trahit,
46 & ſuppuratur.

XVI. Quibuſdam autem quum debiles facti fuerint tractus ſi- 90 ve vulſuræ in carnibus aut venis, non ſuppuratur, ² ſed fiunt dolores diuturni, & vocantur Ruptiones. ³ Et quæ quidem in carne fiunt, hoc modo fiunt.
47 Quum caro afflicta fuerit, aut convulſa, aut percuſſa, aut aliud quid perpeſſa, livida velut antea dixi fit, ⁴ non ſincero ſanguine, ſed tenui & aquoſo, eoque modico. ⁵ Quum autem plus ſolito fuerit reſiccata, percaleſcit, & dolorem exhibet, & à venis 95 ac carnibus vicinis humiditatem in ſeipſam trahit: ⁶ & ubi nimium fuerit humectata, atque ea ipſa humiditas ubi à carne fuerit ſupercalefacta, per totum corpus diſpergitur, qualis eſt attracta, ⁷ magis tamen in venas diſpergitur quam in carnes. ⁸ Venæ

κῶν. 9 ἕλκουσι δὲ καὶ αἱ σάρκες. 10 ὁκόταν δὲ ἐς πολλὸν ὑγρὸν, τὸ ἐν τῷ σώματι, ὀλίγον τὸ ἀπὸ τῆς σαρκὸς ἑλκυσθῇ, ἄδηλον γίνεται καὶ ἀνώδυνον, καὶ ἀντὶ νενοσηκότος γίνεται ὑγιὲς τῷ χρόνῳ. 11 ἢν δὲ διαθερμανθῇ τε μᾶλλον ἡ σὰρξ, καὶ ἐρύσῃ πλέον τὸ ὑγρὸν, ὀδύνην παρέχει. 12 καὶ, ὅπη ἂν τοῦ σώματος ἀπ᾽ αὐτῆς ὁρμήσῃ καὶ καταστηρίξῃ, ὀδύνην παρέχει ὀξέην. 13 καὶ δοκέουσιν ἔνιοι αὐτοῖσι τὸ ῥῆγμα μεθιστάναι. τὸ δὲ οὐκ ἀνυστόν. 14 ἐγγυτάτω δὲ ἕλκεός ἐστιν ὁκόσα τοιαῦτα καὶ ἄλλα. 15 τὸ [δὲ] ἀπὸ τῆς σαρκὸς ὑγρὸν ἔξεισι διὰ τῶν φλεβίων. 16 ὅταν δὲ διαθερμανθῇ τε καὶ παχυνθῇ, καὶ γένηται πλέον, καὶ ὀδύνην παρέχει, ἔστ᾽ ἂν γένηται ὅμοιον τῷ ἄλλῳ ὑγρῷ κατὰ λεπτότητα καὶ ψυχρότητα.

XVII. 1 Ὁκόσα δὲ ἐν τοῖσι φλεβίοισι γίνεται, [ὧδε ἔχει.] 2 αὐτὸ μὲν τὸ φλέβιον, ὁκόσον ἐσπάσται, κατὰ χώρην μένει. 3 ὅταν δὲ σπασθῇ (σπᾶται δὲ ὑπὸ πόνου καὶ βίης) γίνεται οἷον κιρσός. 4 διαθερμαίνεται δὲ καὶ ἕλκει ἐς ἑωυτὸν νοτίδα τινὰ ὑγρήν. 5 ἡ δὲ νοτίς ἐστιν ἀπὸ χολῆς καὶ φλέγματος. 6 καὶ ὁκόταν μιχθῇ τό, τε αἷμα καὶ τὸ ὑγρὸν, τὸ ἀπὸ τῆς σαρκὸς, παχύνεται τὸ αἷμα, 7 καὶ πολλαπλασίως αὐτὸ ἑωυτοῦ ταύτῃ, ᾗ ἂν ἡ φλὲψ τύχῃ ἀπεσπασμένη, καὶ νοσωδέστερον γίνεται, καὶ στασιμώτερόν ἐστιν ἐπὶ πλέον. 8 καὶ ὁκόταν πλέον γένηται, μεταναστῇ τὸ πλήρωμα, ᾗ ἂν τύχῃ, καὶ ὀδύνην παρέχει ὀξέην, ὥστε ἐνίοισι δοκέειν τὸ ῥῆγμα ἑωυτοῖσι μεταστῆναι. 9 καὶ, ἢν τύχῃ, ὥστε ἐς τὸν ὦμον μεθιστάναι, βάρος τε ἐν τῇ χειρὶ παρέχει, καὶ ναρ-

næ enim magis trahunt quam carnes. 9 Trahunt tamen etiam carnes. 10 Quando vero ad multam in corpore humiditatem, modica de carne attracta fuerit, obscura jam fit, & doloris exors, & pro morbida cum tempore sana evadit. 11 Si vero caro magis fuerit percalefacta, & ampliorem humiditatem traxerit, dolorem exhibet: 12 & ad quamcunque corporis partem ab ipsa processerit ac firmata fuerit, dolorem inducit acutum, 13 & aliqui putant ipsis ruptionem transmutatam esse, verum hoc fieri non potest. 14 Propinquissima vero ulceri sunt quæcunque talia & alia. 15 At humiditas de carne exilit per venas: 16 quum autem percalefacta, & crassa, & copiosa facta fuerit, dolorem exhibet, donec similis fiat reliquæ humiditati, in tenuitate ac frigiditate.

XVII. Quæcunque vero in venis fiunt, sic habent. 2 Ipsa quidem vena in quantum tracta est, in loco manet. 3 Quum autem tracta fuerit (trahitur autem ac convellitur à labore & violentia) fit veluti varix. 4 Percalescit autem & trahit in seipsam, liquidam quandam humiditatem, 5 quæ est à bile ac pituita. 6 Et ubi mixta fuerint sanguis & humiditas de carne, crassescit sanguis, 7 & multipliciter ipse seipso, ea parte qua vena convulsa est, & morbosior fit, & amplius stabilior. 8 Et quum copiosior factus fuerit, plenitudo ipsa transmigrat, quocunque tandem contigerit, & dolorem inducit acutum, ut aliquibus videatur ruptio locum permutasse. 9 Et si contigerit ut ad humerum transferatur, & gravitatem in

νάρκην καὶ νωθρείην. 10 καὶ ἢν μὲν ἐς τὴν φλέβα σκιμφθῇ, ἢ ἐς τὸν ὦμόν τε καὶ τὸ νῶτον τείνῃ, παύεται ἡ ὀδύνη παραχρῆμα ὡς τὰ πολλά. 11 γίνεται δὲ σπάσματα καὶ ἀπὸ πόνων καὶ πτωμάτων, καὶ ἀπὸ πληγῆς, καὶ ἤν τις ἄχθος μεῖζον αἴρηται, καὶ ἀπὸ δρόμων καὶ πάλης, καὶ τῶν τοιούτων πάντων.

XIIX. Ὁκόσοι δὲ ἀπὸ τρωμάτων ἔμπυοι γίνονται, 2 ἢ ὑπὸ δόρατος, ἢ ἐγχειριδίου, ἢ τοξεύματος ἔσω τρωθῶσι, 3 τέως μὲν ἂν ἔχῃ τὸ ἕλκος ἔξω ἀναπνοὴν αὐτὸ τὸ ἀρχαῖον τρῶμα, 4 ταύτῃ τε τὸ ψυχρὸν ἐπάγεται ἐφ' ἑωυτὸ, καὶ τὸ θερμὸν ἀφ' ἑωυτοῦ ταύτῃ ἀφίησι, 5 καὶ ἀποκαθαίρεται εὐπόρως τὸ πῦον, καὶ δὴ, ἤν τι ἄλλο. 6 καὶ ἢν μὲν ὑγιανθῇ τό, τε ἔσω καὶ τὸ ἔξω ὁμοῦ, ὑγιὴς γίνεται παντελῶς. 7 ἢν δὲ τὸ μὲν ἔξω ὑγιανθῇ, τὸ δὲ ἔσω μὴ ὑγιανθῇ, ἔμπυος γίνεται. 8 καὶ ἢν ὑγιανθῇ μὲν ὁμοῦ καὶ τὸ ἔσω καὶ τὸ ἔξω, 9 ἡ δὲ οὐλὴ ἔσω ἀσθενὴς γένηται, καὶ τρηχείη καὶ πελιδνὴ, 10 ἀνελκοῦται ἐνίοτε, καὶ ὧδε ἔμπυος γίνεται. 11 ἀνελκοῦται δὲ καὶ ἤν τι πονέσῃ πλέον, καὶ ἢν λεπτυνθῇ, καὶ ἢν φλέγμα ἢ χολὴ πρὸς τῇ οὐλῇ προσπαγῇ, καὶ ἢν νούσῳ ἑτέρῃ ληφθεὶς λεπτυνθῇ. 12 ὅταν δὲ γένηται ἕλκος, ἤν τε οὕτως, ἤν τε προσυμφυῇ τὸ ἔξω τοῦ ἔσω, ὀδύνην τε παρέχει ὀξείην, καὶ βῆχα, καὶ πυρετόν· 13 καὶ τὴν τε ψύξιν ἐπάγεται αὐτὸ ἑωυτῷ τὸ ἕλκος, διὰ τὸ πλέον τε [καὶ] θερμότερον εἶναι. 14 καὶ τὸ ἀφ' ἑωυτοῦ ἀποπνεῖ τὸ θερμὸν, καὶ τὸ πῦον ἀποκαθαίρεται, καὶ προσισχύεταί τε διὰ πλείονος, καὶ βραδύτερον ὑγιαίνεται. 15 ἐνίοτε δὲ οὐδ' ὑγιάζεται.

manu inducit, & torporem ac segniciem. 10 Et siquidem ad venam proruperit, aut ad humerum & dorsum tendat, dolor plerunque statim quiescit. 11 Fiunt porro convulsiones, & à laboribus, & lapsibus, & à plaga, & si quis onus majus levet, & à cursibus & lucta, & ejusmodi omnibus.

XIIX. Quicunque vero à vulneribus suppurati fiunt, 2 aut ex hasta, aut pugione, aut jaculo, intro fauciati fuerint, 3 quandiu quidem habuerit ulcus respirationem foras per antiquum vulnus, 4 & hac parte frigidum in seipsum adducit, & calidum à seipso hac parte emittit, 5 & sane facile tum pus, tum si quid est aliud expurgatur. 6 Et si quidem & interna & externa pars simul fuerint sanatæ, sanus penitus homo evadit. 7 Si vero externa quidem sanata fuerit, interna vero non, suppuratus fit. 8 Et si etiam sanatæ simul sint interna ac externa pars, 9 cicatrix autem intus debilis fiat, & aspera ac livida, 10 reulceratur quandoque, atque sic suppuratus fit. 11 Rursus exulceratur etiam si quid amplius laborarit, & si attenuatus fuerit, & si pituita aut bilis ad cicatricem affixa fuerit, & si alio morbo correptus attenuatus fuerit. 12 Ubi vero ulcus factum fuerit, sive hoc modo, sive ubi externa pars priusquam interna coaluit, dolorem acutum inducit, & tussim, & febrem: 13 & frigiditatem ipsum sibiipsi ulcus inducit, eo quod amplius calidum existat: 14 & ipsum à seipso caliditatem efflat, & pus expurgatur, & per longius tempus curatur, & tardius sanescit. 15 Quandoque vero neque sanescit.

ζεῖται. [16] ἡ γὰρ σὰρξ, τό, τε ἕλκος ὑπὸ τοῦ καύματος, τοῦ ἐν τῷ σώματι, ἕψεται καὶ ὑπερυγραίνεται, [17] ὥστε μὴ δύνασθαι μήτε ξηρανθῆναι, μήτε σαρκοφυῆσαι, μήτε ὑγιανθῆναι· [18] ἀλλ', ὁκόταν ὁ χρόνος προΐῃ, τελευτᾷ πάσχων τὰ τοιαῦτα, ἃ καὶ ἐν τῇ πρόσθεν εἴρηται.

XIX. Ἢν δὲ τύχῃ, ὥστε τρωθῆναί τι τῶν φλεβίων τῶν παχυτέρων, καὶ ἔσω ῥυῇ τὸ αἷμα, καὶ σαπῇ, ἔμπυος γίνεται. [2] καὶ ἢν μὲν τοῦτο τὸ πῦον πτυσθῇ πᾶν, καὶ ἡ φλὲψ ἡ τετρωμένη στεγνωθῇ, καὶ τὸ ἕλκος ὑγιανθῇ καὶ τὸ ἔσω καὶ τὸ ἔξω, ὑγιὴς γίνεται παντελῶς. [3] ἢν δὲ μὴ δύνηται μήτε τὸ ἕλκος συμφυῆναι τὸ ἔνδον, μήτε ἡ φλὲψ στεγνωθῆναι ἡ τετρωμένη, [4] ἀλλ' ἄλλοτε καὶ ἄλλοτε ἀναδιδῷ αἷμα, καὶ ἢν μὲν παραυτίκα ἐμέηται, καὶ πτύηται, ἢ καὶ σήπηται, καὶ πῦον πτύηται, διαφθείρεται ὡς τὰ πολλά, [5] ἢ παραυτίκα ἐμέων αἷμα, ἢ ὑστέρῳ χρόνῳ, ὑφ' ὧν καὶ ἐν τῇ πρόσθεν εἴρηται, διαφθειρόμενος. [6] πολλάκις δέ, ὅσοι τι τῶν φλεβίων ἔσω τιτρώσκονται ὑπὸ τρωμάτων, ἢ ὑπό τινων πόνων, ἢ γυμνασίων, ἢ ὑπ' ἄλλου τευ, ὁκόταν ξυμφυῇ καὶ δοκέῃ ὑγιὲς εἶναι τὸ φλέβιον, ἀναρρήγνυται ἑτέρῳ χρόνῳ. [7] ἀναρρήγνυται δὲ ὑπὸ τῶν αὐτῶν, ὑφ' ὧν περ καὶ πρόσθεν πάσχει. [8] ὁκόταν δὲ ἀναρραγῇ, αἱμορροεῖ, καὶ παραυτίκα ἀπόλλυνται, ἐμέοντες αἷμα πολλόν τε καὶ πολλάκις. [9] ἢ ἄλλοτε μέν τε καὶ ἄλλοτε αἷμα ἐμέουσι πρόσφατον. [10] πῦον δὲ πτύοντες ἀνὰ πᾶσαν ἡμέρην πολλόν τε καὶ παχὺ διεφθάρησαν τρόπῳ τοιούτῳ, ἢ παραπλησίῳ, ὡς καὶ ἐν τῇσιν ἄλλῃσι νούσοισιν εἴρηται.

XX. Τοῖ-

scit. [16] (Nam caro, & ulcus, ab ardore qui est in corpore coquitur, & nimium humectatur, [17] ut non possit neque siccari, neque carnem producere, neque sanari.) [18] Sed cum temporis progressu moritur, patiens talia quæ etiam prius dicta sunt.

XIX. At si contingat ut crassarum venarum aliqua sauciętur, & sanguis intro fluat ac putrescat, suppuratus fit. [2] Et siquidem hoc pus totum per sputum rejectum fuerit, & vena sauciata coaluerit; & ulcus intus ac foris sanatum fuerit, penitus sanus evadit. [3] Si vero neque ulcus intus coalescere poterit, neque vena constringatur, [4] sed alias atque alias sanguinem remittat: & si statim vomatur & spuatur, aut etiam putrescat, & pus expuatur, plerunque perimitur, [5] aut statim sanguinem vomens, aut posteriori tempore, dum perit ab iisdem quæ antea dicta sunt. [6] Sæpe vero hi quibus venarum aliqua intus sauciatur à vulneribus, aut quibusdam laboribus, aut exercitiis, aut alia quadam caussa, quum coaluerit, & sana esse videtur vena, alio tempore iterum rumpitur, [7] idque ab iisdem contingit caussis, à quibus etiam prius patiebatur. [8] Ubi verò iterum rupta est, sanguinem multum ac sæpe vomentes ([9] aut alias atque alias sanguinem recentem vomunt) [10] pus autem spuentes per omnem diem multum ac crassum, tali aut consimili modo pereunt, velut etiam in aliis morbis dictum est.

b 4 XX. At

XX. Τοῖσι δὲ ταῦτα τὰ νοσήματα ἔχουσι, καὶ ὅσα τοιαῦτα, διαφέρει ἐς τὸ εὐπετεστέρως τε ἀπαλλάσσεσθαι καὶ δυσπετεστέρως. [2] ἀνήρ τε γὰρ γυναικὸς, νεώτερος γεραιτέρου, καὶ γυνὴ νεωτέρη παλαιοτέρης. [3] καὶ πρὸς τούτοισιν, ἥ τε ὥρη τοῦ ἔτεος, ἐν ᾗ ἂν νοσέωσι· [4] καὶ ἢν ἐξ ἑτέρης νούσου νοσήσωσιν, ἢ μὴ ἐξ ἑτέρης. [5] διαφέρει δὲ καὶ πάθημά τε παθήματος, μέζον τε καὶ ἔλασσον, καὶ χρὼς χρωτὸς, καὶ θεραπείη θεραπείης. [6] τούτων δὲ οὕτω διαφερόντων, ἀνάγκη διαφέρειν καὶ τὸν χρόνον· [7] καὶ τοῖσι μὲν πλέω γίνεσθαι, τοῖσι δὲ ἐλάσσω τε καὶ ἀπόλλυσθαι, ἢ μή. [8] καὶ τοῖσι μὲν παραμόνιμά τε εἶναι καὶ μέζω, τοῖσι δὲ ἐλάσσω τε καὶ ὀλιγοχρόνια. [9] τοῖσί τε παραμένειν ἐς τὸ γῆρας τὰ νοσήματα, καὶ ξυναποθνήσκειν, τοὺς δὲ ἀπόλλυσθαι δι' ὀλίγου ὑπ' αὐτῶν. [10] καὶ ὁκόσοι μὲν νεώτεροι πάσχουσι, τούτων, ὅσα εἴρηται ἀπὸ πόνων παθήματα γίνεσθαι, πάσχουσι πλέω τε καὶ ἰσχυρότερα, καὶ ἀλγέουσιν οὗτοι μᾶλλον τῶν ἄλλων, [11] καὶ παραυτίκα ἔκδηλα αὐτοῖσιν, ὥστε ἢ πτύσαι, ἢ αἷμα ἐμέσαι, [12] τὰ δὲ καὶ γινόμενα λανθάνει αὐτοὺς, ὑπὸ εὐεξίης τοῦ σώματος. [13] οἱ δὲ γεραίτεροι πάσχουσι μὲν ὀλιγάκις. [14] καὶ ὅταν πάθωσιν, ἀσθενέστερα πάσχουσιν, ἅτε ἀσθενέστεροι ἐόντες, καὶ ἐπαΐουσι μᾶλλον, καὶ ἐπιμελέονται μᾶλλον τῶν παθημάτων. [15] γίνεται οὖν τὴν ἀρχὴν τὸ παράπαν ἧσσον τῷ γεραιτέρῳ ἢ νεωτέρῳ. [16] καὶ ὁκόταν γένηται, τῷ μὲν γεραιτέρῳ ἀσθενέστερα γίνεται, τῷ δὲ νεωτέρῳ ἰσχυρότερα. [17] καὶ τῷ μὲν νεωτέρῳ, ἅτε τοῦ σώματος τόνον τε ἔχοντος καὶ ξηρασίην, [18] καὶ τὴν σάρκα πυ-

XX. At vero in his ac similibus morbis multum refert, quantum ad facilem ac difficilem curationem, [2] vir sit an mulier qui morbum habet, juvenis an senex, & mulier juvencula an anicula. [3] Et præterea tempus à tempore differt in quo ægrotant. [4] Interest item an ex alio morbo ægrotent, aut non ex alio. [5] Differt etiam affectus ab affectu, major à minore, & corpus à corpore, & curatio à curatione. [6] His autem sic inter se differentibus, necesse est etiam tempus diurnitatis differre: [7] & aliis longius fieri, aliis brevius: & alios perire, alios non: [8] & morbos aliis durabiliores esse, & majores, aliis minores & brevioris temporis: [9] aliis permanere usque ad senectutem & commori, alios perire ab ipsis brevi. [10] Et qui quidem juniores patiuntur eas affectiones, quæ à laboribus fieri dictæ sunt, hi & ampliores & vehementiores ipsas patiuntur, & magis quam alii dolent, [11] & statim in ipsis manifestæ fiunt, ut sanguinem aut spuant, aut vomant. [12] Sed & quædam contingentia ipsis fallunt ipsos, præ bona corporis habitudine. [13] Seniores autem raro quidem patiuntur, [14] & si patiantur, debiles ipsas perpetiuntur, utpote ipsi debiliores existentes, & remittunt magis ipsis, & affectionum majorem curam gerunt. [15] Fiunt igitur ab initio omnino minus seniori quam juniori, [16] & ubi factæ fuerint, seniori debiliores fiunt, juniori vehementiores. [17] Et juniori quidem, utpote qui habet corporis vigorem & siccitatem, [18] & carnem densam ac robustam

κυρτὴν τε καὶ ἰσχυρὴν, 19 καὶ πρὸς τοῖσιν ὀστέοισι προσκαθημένην, 20 καὶ περὶ αὐτὴν τοῦ δέρματος περιτεταμένου, 21 ὁκόταν τι πονήσῃ πλέον τοῦ εἰωθότος, μᾶλλον καὶ ἐξαίφνης σπασμοί τε γίνονται ἰσχυροὶ, 22 καὶ ῥήγματα πολλά τε καὶ παντοῖα τῶν φλεβῶν καὶ τῶν σαρκῶν. 23 καὶ τούτων τὰ μὲν παραυτίκα ἔκδηλα γίνεται, τὰ δ' ὑστέρῳ χρόνῳ ἀναφαίνεται. 24 τοῖσι δὲ γεραιτέροισι τόνος ἰσχυρὸς οὐκ ἔνι, 25 αἵ τε σάρκες περὶ τὰ ὀστέα περιῤῥέουσι, καὶ τὸ δέρμα περὶ τὰς σάρκας, καὶ αὐτὴ ἡ σὰρξ ἀραιή τε καὶ ἀσθενής· 26 καὶ οὔτε τι ἂν πάθος ποιοῦτον ὁμοίως, ὡς καὶ ὁ νεώτερος· 27 καὶ, ἢν τι πάθῃ, πάσχει ἀσθενέα τε καὶ παραυτίκα οἱ ἔκδηλα γίνεται. 28 τοσούτῳ μὲν, ἐν τῇ ἀρχῇ τῶν παθημάτων, δυσχερέστερον ἀπαλλάσσουσιν οἱ νεώτεροι τῶν γεραιτέρων.

XXI. Ὁκόταν [1] δὲ ἡ νοῦσος ἐμφανὴς γένηται, 2 καὶ ἢ πύον, ἢ αἷμα πτύωσιν, ἢ ἀμφότερα, 3 ὅσοι μὲν νεώτεροί εἰσιν, οὔτε τοῦ σώματος εὐτόνου τε ἐόντος καὶ πυκνοῦ, 4 οὐ δύνανται ἀποκαθαίρεσθαι ὁμαλῶς ἀπὸ τῶν ἑλκέων, τῶν, ὧν ἐν τῇ ἄνω κοιλίῃ τὸ πύον. 5 ὅ, τε γὰρ πλεύμων οὐ κάρτα ἕλκει ἐς τὰς ἀρτηρίας, πυκνότερος ἐών· 6 αἵ τε ἀρτηρίαι, λεπταὶ καὶ στεναὶ οὖσαι, οὐκ εἰσδέχονται τὸ πύον, εἰ μὴ ὀλίγον τε καὶ ὀλιγάκις· 7 ὥστε ἀνάγκη τὸ πύον ἐν τῷ θώρηκί τε καὶ ἐπὶ τῶν ἑλκέων ἀθροίζεσθαί τε καὶ παχύνεσθαι. 8 τῷ δὲ ἀφηλικεστέρῳ ὅ, τε πλεύμων ἀραιότερος καὶ κοιλότερος, καὶ αἱ ἀρτηρίαι εὐρύτεραι, ὥστε μὴ ἐγχρονίζειν τὸ πύον ἐν τῇ κοιλίῃ καὶ ἐπὶ τῶν ἑλκέων. 9 καὶ, ὃ, τι ἂν ἐπιγένηται, τοῦτο ἀνάγκη πᾶν ἀνασπᾶσθαι

stam 19 & ad ipsa ossa assidentem, 20 cute circum ipsam circumtenta: 21 quum aliquid amplius laborarit, solito magis & derepente, convulsiones vehementes fiunt, 22 & ruptiones multæ ac omnigenæ venarum ac carnium. 23 Et horum aliqua statim manifesta fiunt, aliqua posteriori tempore comparent. 24 At senioribus vigor fortis non inest, 25 & carnes circum ossa diffluunt, & cutis circum carnes: & ipsa caro rara est ac debilis, 26 & neque tale quid pati possit similiter senior veluti junior. 27 Et si quid patiatur, leviter patitur, & statim manifestum redditur. 28 Atque in tantum quidem in affectionum principio, juniores senioribus difficilius liberantur.

XXI. Quum vero morbus conspicuus factus fuerit, 2 & aut pus, aut sanguinem, aut utrumque expuerint, 3 qui quidem juniores sunt, quum corpus ipsorum sit robustum ac densum, 4 non æqualiter depurgari possunt, ab ulceribus, quorum pus in superno ventriculo existit. 5 Nam & pulmo non valde trahit ad arterias, ut qui densior sit: 6 & arteriæ quum tenues & arctæ sint, pus non suscipiunt, nisi modicum & raro. 7 Quare necesse est pus in thorace, & in ulceribus coacervari & crassum fieri. 8 At seniori & pulmo rarior ac cavior est, & arteriæ ampliores, ut pus non diutius in ventriculo & ulceribus moretur, 9 & quicquid ejus insuper generatum fuerit, hoc totum necessario sursum attrahitur à pulmone ad arterias,

Et

ἄνω

αὖω ὑπὸ τοῦ πλεύμονος ἐς τὰς ἀρτηρίας, καὶ παραχρῆμα ἐκπτύεται. 10 τῷ μὲν οὖν νεωτέρῳ, ἅτε τῶν παθημάτων ἰσχυροτέρων ἐόντων, καὶ τοῦ καθάρσιος οὐ γινομένης κατὰ λόγον τοῦ πτύσματος, 11 οἵ τε πυρετοὶ ὀξύτεροι καὶ πυκνότεροι γίνονται, καὶ ὀδύναι ἐμπίπτουσιν ὀξεῖαι, αὐτοῦ τε τοῦ παθήματος καὶ τοῦ ἄλλου σώματος, 12 ἅτε τῶν φλεβίων εὐτόνων τε ἐόντων καὶ ἐναίμων. 13 ὅταν δὲ ταῦτα διαθερμανθῇ, ὑφ' ἑωυτῶν ὀδύναι διαΐσσουσιν ἄλλοτε ἄλλῃ τοῦ σώματος. 14 καὶ οὗτοι μὲν διαφθείρονται ὡς τὰ πολλὰ δι' ὀλίγου. 15 τοῖσι δὲ γεραιτέροισιν, ἅτε τῶν παθημάτων ἀσθενεστέρων ἐόντων, καὶ τοῦ πτύσματος ἀπ' αὐτῶν καθαιρομένου, 16 οἵ τε πυρετοὶ λεπτότεροι καὶ ὀλίγοι γίνονται, καὶ ὀδύναι ἔνεισι μὲν, ἔνεισι δὲ λεπταί. 17 καὶ παντάπασι μὲν τῶν παθημάτων τῶν τοιούτων οὐκ ἀπαλλάσσονται οὐδὲ οἱ γεραίτεροι, ἀλλ' ἔχοντες αὐτὰ πουλὺν χρόνον καταφθείρονται. 18 καὶ ἄλλοτε πῦον πτύουσιν, ἄλλοτε αἷμα, ἄλλοτε δὲ οὐδέτερον. 19 τέλος δὲ συναποθνήσκει αὐτοῖσιν. 20 ἀποθνήσκουσι δὲ οὕτως. 21 ὅταν καὶ αὐτοὺς νόσημα τούτῳ, ὃ ἂν ἔχωσι, παραπλήσιον καταλάβῃ, ὥστε ἔχειν καὶ τοῦτο. καὶ ὃ ἂν ἔχωσι, νόσημα ἰσχυρότερον γίνεται, καὶ ὡς τὰ πολλὰ διαφθείρονται. 22 ταῦτα δέ ἐστι τὰ μάλιστα ἐξεργαζόμενα τῶν νοσημάτων, πλευρῖτίς τε καὶ περιπλευμονίη.

XXII. Πυρετὸς δὲ ἀπὸ τῶνδε γίνεται. 2 ὁπόταν χολὴ ἢ φλέγμα θερμανθῇ, θερμαίνεται [καὶ] τὸ ἄλλο πᾶν σῶμα ἀπὸ τούτων. 3 καὶ καλέεται τοῦτο πυρετός. 4 θερμαίνεται δὲ ἡ χολὴ καὶ τὸ φλέγμα, ἔνδοθεν μὲν, ἀπὸ σιτίων καὶ ποτῶν, ἀφ' ὧν καὶ τρέφεται καὶ αὔξεται. 5 ἔξωθεν

& ſtatim expuitur. 10 In juniore igitur, utpote quum ſint affectiones vehementiores & purgatio pro ſputi ratione non fiat, 11 & febres acutiores & frequentiores fiunt; & dolores acuti incidunt, tum in ipſo affectionis loco, tum in reliquo corpore: 12 nimirum quum venæ ſint robuſtæ ac ſanguine plenæ. 13 Vbi vero hæ percaleſcunt, dolores ab ipſis tranſiliunt alias ad aliam corporis partem. 14 Ac hi quidem plerumque brevi perimuntur. 15 Senioribus vero quum affectiones ſint debiliores, & ſputum ab ipſis purgetur, 16 & febres mitiores, ac paucæ fiunt, & dolores adſunt quidem, verum exiles. 17 Et ab hujuſmodi affectionibus ne ſenes quidem penitus liberantur: ſed longo tempore afflicti pereunt. 18 Et aliquando pus ſpuunt, quandoque ſanguinem, quandoque neutrum, 19 tandemque cum his moriuntur. 20 Moriuntur autem hoc modo, 21 quum ipſos morbus aliquis huic quem antea habent conſimilis apprehendit, ita ut & hunc habeant, & is quem prius habent vehementior fiat, & ut plurimum pereunt. 22 At vero morbi qui hos morbos afficiunt, maxime ſunt pleuritis & peripneumonia.

XXII. Febris porro ab his fit. 2 Quum bilis aut pituita calefacta fuerit, totum reliquum corpus ab his caleſcit, 3 & vocatur hoc febris. 4 Caleſcit autem bilis & pituita, intrinſecus quidem à cibis & potibus, à quibus etiam nutritur ac augetur: 5 extrinſecus autem à laboribus ac vulneribus

θεν δὲ ἀπὸ πόνων καὶ τρωμάτων, καὶ ὑπὸ τοῦ θερμοῦ ὑπερθερμαίνοντος, καὶ ὑπὸ τοῦ ψυχροῦ ὑπερψύχοντος. ⁶ θερμαίνεται δὲ καὶ ἀπὸ ὄψιος καὶ ἀκοῆς· ἐλάχιστα δὲ ἀπὸ τούτων.

7 Τὸ δὲ ῥῖγος ἐν τῇσι νούσοισι γίνεται μὲν καὶ ἀπὸ τῶν ἔξωθεν ἀνέμων, καὶ ὕδατος, καὶ αἰθρίης, καὶ ἑτέρων τοιούτων. 8 γίνεται δὲ καὶ ἀπὸ τῶν ἐσιόντων σιτίων καὶ ποτῶν. 9 μάλιστα δὲ καὶ ἰσχυρότερον γίνεται, ὅταν χολὴ καὶ φλέγμα συμμιχθῇ ἐς ταὐτὸ τῷ αἵματι, ἢ τὸ ἕτερον, ἢ ἀμφότερα. 10 μᾶλλον δὲ, ἢν τὸ φλέγμα μοῦνον ξυμμιχθῇ. 11 ψυχρότατον γὰρ φύσει τὸ φλέγμα, θερμότατον δὲ τὸ αἷμα. 12 ψυχρότερον δὲ τι καὶ ἡ χολὴ τοῦ αἵματος. 13 ὅταν οὖν ταῦτα ξυμμιχθῇ, ἢ ἀμφότερα, ἢ τὸ ἕτερον ἐς τὸ αἷμα, πήγνυσι τὸ αἷμα· οὐ παντάπασι δέ. 14 οὐδὲ γὰρ ἂν δύναιτο ζῆν ὁ ἄνθρωπος, εἰ τὸ αἷμα πυκνότερόν τε καὶ ψυχρότερον γένοιτο πολλαπλασίως αὐτὸ ἑωυτοῦ. 15 ψυχομένου οὖν τοῦ αἵματος, ἀνάγκη ψύχεσθαι καὶ τὸ ἄλλο σῶμα πᾶν· 16 καὶ καλέεται τοῦτο ῥῖγος, ὁκόταν τὸ τοιοῦτον γένηται. 17 καὶ ἢν μὲν ἰσχυρὸν γένηται ῥῖγος, ἰσχυρότερός ἐστι καὶ ὁ τρόμος. 18 αἱ γὰρ φλέβες συσπώμεναι, καὶ συνιόντος καὶ πηγνυμένου τοῦ αἵματος, συσπῶσί τι τὸ σῶμα, καὶ τρέμειν ποιέουσιν. 19 ἢν δέ τι ἧσσον ἡ σύνοδος τοῦ αἵματος γένηται, τοῦτο δὴ καλέουσι ῥῖγος. 20 φρίκη δὲ λέγεται τὸ ἀσθενέστατον. 21 Ὅτι δὲ μετὰ τὸ ῥῖγος ἀνάγκη πυρετὸν ἐπιλαβεῖν, ἢ πλέω ἢ ἐλάσσω, ὧδε ἔχει. 22 ὁκόταν τὸ αἷμα διαθερμαίνηταί τε καὶ ἀποδιῆται, καὶ ἀπίῃ πάλιν ἐς τὴν ἑωυτοῦ φύσιν, 23 συνδιαθερ-

ribus, & à calido nimium calefaciente, & à frigido nimium frigefaciente. 6 Calescit item à visu auditu: verum minimum ab his.

7 Rigor autem in morbis fit quidem & ab externis, ventis, aqua, serenitate, sub dio degentibus, & aliis hujusmodi. 8 Fit autem & ab ingestis cibis ac potibus. 9 Maxime vero & vehementior fit, quum bilis & pituita sanguini fuerint permixta, aut altera ex his, aut utraque. 10 Magis tamen si pituita sola permixta fuerit. 11 Est enim pituita frigidissima ex natura. Calidissimus autem sanguis. 12 Frigidior est etiam aliquanto bilis sanguine. 13 Quum igitur hi humores ambo, aut alter solum, permixti fuerint ad sanguinem, ipsum congelant, non tamen omnino. 14 Neque enim vivere posset homo, si sanguis densior & frigidior seipso multis modis fieret. 15 Frigescente igitur sanguine, necesse est & reliquum totum corpus perfrigerari: 16 & ubi hujusmodi quid factum fuerit, rigor appellatur. 17 Et siquidem vehemens fiat rigor, vehementior est etiam tremor. 18 Nam dum contrahuntur venæ, sanguine & coacto & congelato, corpus & contrahunt, & tremere faciunt. 19 Si vero minus aliquanto sanguinis coactio fiat, hoc rigor appellatur. 20 Horror autem dicitur debilissimus rigor. 21 Quod autem post rigorem necessario corripiat febris, aut major, aut minor, sic habet. 22 Quum sanguis percaluerit, & vim depulerit, ac rursus ad suam naturam redierit, 23 concalescit simul & pituita, & bilis

διαθερμαίνεται καὶ τὸ φλέγματος, καὶ τῆς χολῆς, τὸ ἐν τῷ αἵματι συμμεμιγμένον, [24] καὶ γίνεται τὸ αἷμα θερμότερον αὐτὸ ἑωυτοῦ πολλαπλασίως. [25] τούτων οὖν διατεθερμασμένων, ἀνάγκη πυρετὸν ἐπιγίνεσθαι ὑπὸ τῆς θερμασίης τοῦ αἵματος μετὰ ῥίγος.

[26] Ἱδρὼς δὲ γίνεται διὰ τόδε. [27] ὁκόσοις αἱ νοῦσοι κρίνονται ἐν τῇσι κρισίμοισι τῶν ἡμερέων, καὶ τὸ πῦρ μεθίῃ, [28] ἐκτήκεται ἀπὸ τοῦ ἐν αἵματι φλέγματός τε καὶ χολῆς τὸ λεπτότατον, [29] καὶ ἀποκρίνεται, 25 καὶ χωρέει, τὸ μὲν ἔξω τοῦ σώματος, τὸ δὲ ἔνδον, καὶ αὐτοῦ ἐν τῷ σώματι ὑπολείπεται. [30] τὸ δὲ ὑπὸ θερμασίης λεπτυνόμενον, ἀτμὸς γίνεται, καὶ σὺν τῷ πνεύματι μισγόμενον ἔξω χωρέει. [31] ἔστι μὲν οὖν ταῦτα τοιαῦτα, καὶ ἀπὸ τούτων ἀπογίνεται ὁ ἱδρώς. [32] διότι δέ, ὁτὲ μὲν θερμός, ὁτὲ δὲ ψυχρός ἐστιν, οὕτως. [33] θερμὸς μέν, ἀπὸ διατεθερμασμένου τε τοῦ κακοῦ, καὶ ἐκκεκαυμένου, καὶ λελεπτυσμένου, καὶ ἀσθενέος, καὶ οὐ λίην πολλὰ ἀποκρίνεται, [34] καὶ ἀνάγκη 30 θερμότερον αὐτὸν ἐκκρίνεσθαι ἐκ τοῦ σώματος. [35] ψυχρὸς δέ, ἀπὸ πλείονος τοῦ κακοῦ ἀποκρινόμενος, τοῦτε ὑπολειπομένου καὶ ἐπισχύοντος, καὶ οὔπω σεσηπότος, οὐδὲ λελεπτυσμένου, οὐδὲ ἐκκεκαυμένου, [36] ψυχρότερος καὶ παχύτερος καὶ κακωδέστερος ἐκχωρέει. [37] δῆλον δὲ τοῦτο ἐν τῷδε. [38] οἱ ψυχρῷ ἱδρῶτι ἱδροῦντες μακρὰς νούσους νοσέουσιν ὡς ἐπὶ τὸ πουλύ, [39] ἐπισχύοντος τοῦ κακοῦ, τοῦ ἐν τῷ σώματι ὑπολειπομένου. [40] οἱ 35 δὲ θερμῷ ἱδρῶτι ἱδροῦντες, ταχύτεροι ἀπαλλάσσονται τῶν νοσημάτων.

XXIII. Πλευρῖτις δὲ καὶ περιπλευμονίη γίνονται ὧδε. [2] ἡ μὲν πλευρῖτις, ὁκόταν

bilis sanguini permixta: [24] & sanguis ipse seipso multipliciter calidior evadit. [25] His igitur percalefactis, necesse est febrem succedere post rigorem, præ sanguinis caliditate.

[26] Sudor vero fit hac de causa. [27] Quicunque morbi in judicatoriis diebus judicantur, & febrilis ignis dimittit, [28] in his de pituita & bile quod tenuissimum est eliquatur [29] & secernitur, & secedit partim extra corpus, partim intus, & isthic in corpore relinquitur, [30] partim præ caliditate attenuatur, & vapor fit, & cum spiritu permixtum foras procedit. [31] Atque hæc quidem hujusmodi sunt, & ab his sudor generatur. [32] Quare vero quandoque calidus, quandoque frigidus est, ita contingit. [33] Calidus quidem de percalefacto malo, & exusto, & attenuato, & debili, & non valde multo secernitur, [34], & necesse est ipsum calidiorem ex corpore excerni. [35] Frigidus autem de ampliore malo secernitur, & de eo quod reliquum est & adhuc validum, & nondum putrefactum, neque attenuatum, neque exustum, [36] & frigidior ac crassior & graveolentior prodit. [37] Manifestum autem hoc ex hac re fit. [38] Qui frigidum sudorem exudant, è longis morbis plerumque ægrotant, [39] invalescente malo eo quod in corpore relinquitur. [40] Qui vero calidum sudorem excludunt, citius à morbis liberantur.

56

XXIII. Pleuritis & peripneumonia fiunt hoc modo. [2] Pleuritis

ὁκόταν πόσιες ἀλέες τε καὶ ἰσχυ-
ραὶ κάρτα λάβωσι. [3] διαθερμαί-
νεται γὰρ τὸ σῶμα ἅπαν ὑπὸ τοῦ οἴνου,
καὶ ὑγραίνεται. [4] μάλιστα δὲ ἥτε
χολὴ, καὶ τὸ φλέγμα διαθερμαί-
νεταί τε καὶ ὑγραίνεται. [5] καὶ δὴ
τούτων κεκινημένων τε καὶ ὑγρα-
σμένων, ξυγκυρέει, ὥστε ῥιγῶσαι
μεθύοντα, ἤν τε νήφοντα. [6] ἅτε
ἐὸν τὸ πλευρὸν ψιλὸν φύσει σαρ-
κὸς, μάλιστα τοῦ σώματος, [7] καὶ
40 οὐκ ἐόντος αὐτῷ ἔσωθεν τοῦ ἀντιπη-
ρίζοντος οὐδενὸς, ἀλλὰ κοίλου, αἰ-
σθάνεται μάλιστα τοῦ ῥίγεος. [8] καὶ
ὁκόταν ῥιγώσῃ τε καὶ ψυχθῇ, συσ-
τέλλεταί τε καὶ σπᾶται ἥτε
σὰρξ, ἡ ἐπὶ τοῦ πλευροῦ, καὶ τὰ
φλέβια. [9] καὶ ὅσον τι ἐν αὐτῇ τῇ
σαρκὶ ἔνι χολῆς καὶ φλέγματος, ἢ
ἐν τοῖσιν ἐν αὐτῇ φλεβίοισι, [10] τοῦ-
το πολλὸν ἢ πᾶν ἀποκρίνεται, ἔσω
συνωθεόμενον πρὸς τὸ θερμὸν,
πυκνευμένης τῆς σαρκὸς ἔξωθεν, [11]
καὶ προσπήγνυται πρὸς τοῦ πλευ-
ροῦ, καὶ ὀδύνην παρέχει ἰσχυρὴν,
45 καὶ διαθερμαίνεται. [12] καὶ διὰ
τὴν θερμότητα ἄγει ἐφ' ἑωυτὸ, ἀπό
τε τῶν πλησίον φλεβῶν καὶ σαρκῶν,
φλέγμα τε καὶ χολήν. γίνεται μὲν
οὖν [ταῦτα] τούτῳ τῷ τρόπῳ. [13]
ὁκόταν δὲ τὰ πρὸς τὸ πλευρὸν
προσπαγέντα σαπῇ καὶ πτυσθῇ,
ὑγιέες γίνονται. [14] ἢν δὲ τό, τε
ἀρχαῖον πολλὸν προσπαγῇ πρὸς τὸ
πλευρὸν, καὶ ἄλλο προσεπιγένη-
ται, αὐτίκα ἀπόλλυνται, οὐ δυνά-
μενοι ἀναπτύσαι ὑπὸ πλήθεος τοῦ
238 σιάλου. [15] ἢ ἔμπυοι γίνονται. καὶ οἱ μὲν
ἀπόλλυνται, οἱ δὲ διαφεύγουσι. [16]
διαδηλοῖ δὲ ταῦτα ἐν τῇσιν ἑπτὰ
ἡμέρῃσιν, ἢ ἐννέα, ἢ ἕνδεκα, ἢ τεσ-
σαρεσκαίδεκα. [17] ὀδύνην τε πα-
ρέχει ἐς τὸν ὦμον, καὶ ἐς τὴν κληΐδα, καὶ ἐς τὴν μασχάλην, διὰ τόδε. [18] ἡ φλὲψ,
ἡ σπληνῖτις

tis quidem, quum potiones acervatæ & fortes valde corripiunt. [3] Percalescit enim totum corpus ac humectatur à vino. [4] maxime autem & bilis & pituita percalescit ac humectatur. [5] Et sane his commotis ac humectatis, continget ut rigor invadat sive ebriúsive sobrium. [6] Et quum latus natura 240 carne nudum sit, præ omnibus corporis partibus: [7] & non sit quicquam in ipso quod renitatur, præter ventriculi cavitatem: maxime rigorem percipit. [8] Et quum riguerit ac perfrigeratum fuerit, tum caro quæ est in latere, tum venæ contrahuntur ac convelluntur. [9] Et quantum in ipsa carne inest bilis ac pituitæ, aut in venis quæ in ipsa carne sunt, [10] id magna ex parte, aut totum secernitur, introque compellitur ad caliditatem, carne 245 extrinsecus condensata: [11] atque id ad latus affigitur, & dolorem vehementem exhibet, & percalescit: [12] & per caliditatem trahit ad seipsum, à vicinis venis ac carnibus, pituitam ac bilem. Atque hoc sane modo fit. [13] Ubi vero ad latus affixa putruerint, & per sputum rejecta fuerint, sani fiunt. [14] Si vero & antiquum multum affixum fuerit ad latus, & aliud insuper accesserit, statim pereunt, præ salivæ copia expuere ne- 250 queuntes: [15] aut suppurati fiunt, & partim pereunt, partim evadunt. [16] Indicium autem hæc de se præbent in septem diebus, aut novem, aut undecim, aut quatuordecim: [17] dolorem quoque inducunt ad humerum, & ad claviculam, & ad alas, hac de causa. [18] Vena quæ splenitis appellatur, ten-

ἡ σπληνῖτις καλεομένη, τείνει ἀπὸ τοῦ σπληνὸς ἐς τὸ πλευρόν· ἐκ δὲ τοῦ πλευροῦ ἐς τὸν ὦμον, καὶ ἐς τὴν χεῖρα τὴν ἀριστερήν. 19 ἡ δὲ ἡπατῖτις ἐς τὰ δεξιὰ ὡσαύτως. 20 καὶ ὁκόταν ταύτης τὸ ἐπὶ τοῦ πλευροῦ συνεφρυωθῇ ὑπὸ τοῦ ῥίγεος, καὶ φρίξῃ τὸ αἷμα τὸ ἐν αὐτῇ, 21 ἔς τε τὴν μασχάλην καὶ τὴν κληῗδα καὶ τὸν ὦμον συνέρχεταί τε καὶ σπᾶ, καὶ ὀδύνην παρέχει. 22 κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ τὰ περὶ τὸν νῶτον χωρία διαθερμαίνεται ὑπὸ τοῦ προσπεπηγότος ὑγροῦ πρὸς τῷ πλευρῷ, φλέγματός τε καὶ χολῆς. 23 παρέχει δὲ ὀδύνην ἐνίοτε καὶ τοῖσι τοῦ πλευροῦ κάτωθεν χωρίοισι. 24 πολλάκις δὲ, ἢν ἐς τὰ κάτω τρέπηται, ὀδύνην διαδιδοῖ ἐς τὴν κύστιν διὰ τῶν φλεβίων, καὶ οὐρέει πολλόν τι καὶ χολῶδες. 25 νομίζουσι δὲ, ταύτης τῆς νούσου τὸ ῥῖγος αἴτιον εἶναι καὶ ἀρχήν.

XXIV. Ἡ δὲ περιπλευμονίη γίνεται, ὁκόταν, κεκινημένου καὶ ὑγραινομένου τοῦ φλέγματος καὶ τῆς χολῆς, ἑλκύσῃ ὁ πλεύμων ὑπὸ θερμασίης ἐφ᾽ ἑωυτὸν ἀπὸ τῶν πλησίον χωρίων πρὸς τοῖσιν ὑπάρχουσιν ἐν ἑωυτῷ, 2 διαθερμαίνεταί τε πᾶν τὸ σῶμα καὶ ὀδύνην παρέχει, 3 μάλιστα δὲ τῷ τε νώτῳ, καὶ τῇσι πλευρῇσι, καὶ τοῖσιν ὤμοισι, καὶ τῇ ῥάχει, 4 ἅτε ἀπὸ τούτων ἕλκων ἐς ἑωυτὸν τὴν ἰκμάδα τὴν πλείστην, 5 καὶ ὑπεξηραίνεται ταῦτα καὶ ὑπερθερμαίνεται. 6 ὁκόταν δὲ εἰρύσῃ ἐς ἑωυτὸν, καὶ ἕδρην λάβῃ ἥ τε χολὴ καὶ τὸ φλέγμα ἐς τὸν πλεύμονα, σήπεται καὶ ἐμπυοῦται. 7 καὶ ἢν μὲν ἐν τῇσι κρισίμῃσι τῶν ἡμερέων σαπέντα πτυσθῇ, περιγίνεται. 8 ἢν δὲ τά τε ἐπελθόντα τὴν ἀρχὴν δέχηται, καὶ προσεπιγίνηται ἕτερα, 9 καὶ μήτε πτύων, μήτε σή-

tendit à ſplene ad latus, à latere vero ad humerum & ſiniſtram manum. 19 Hepatitis autem ad ' dexteras partes eodem modo: 20 & quum hujus in latere pars à rigore contracta fuerit, & ſanguis in ipſa horruerit, 21 ad alas & claviculam ac humerum concedit, & convellit ac dolorem inducit. 22 Eodem modo & loci circa dorſum, ab affixo ad latus humore pituitæ ac bilis percaleſcunt: 23 & quandoque dolorem locis infra latus exhibent. 24 Sæpe vero ſi ad infernas partes convertatur, dolorem per venas ' ad veſicam diſtribuit, multumque ac bilioſum æger mingit. 25 Arbitrantur autem hujus morbi cauſſam ac principium rigorem eſſe.

XXIV. Peripneumonia fit, quum commota ac calefacta pituita ac bile, pulmo præ caliditate traxerit in ſeipſum de vicinis locis, ad ea quæ jam ſunt in ipſo. 2 Et percalfacit quidem totum corpus ac dolorem exhibet, 3 maxime autem dorſo, & coſtis, & humeris, ac ſpinæ: 4 nimirum ' ab his in ſeipſum attrahens plurimam humiditatem, 5 & ſuperreſiccantur hæ partes, & nimium caleſcunt. 6 Poſtquam autem attraxit in ſeipſum, & tum bilis, tum pituita, ſedem in pulmone occupavit, putreſcit ac ſuppuratur. 7 Et ſiquidem in diebus judicatoriis putrefacta per ſputum rejecta fuerint, æger ſuperſtes evadit. 8 Si vero & ea quæ ab initio advenerunt ſuſceperit, & alia inſuper acceſſerint, 9 & ' neque ſpuens, neque putrefaciens ſuperarit, præ copia eorum quæ inſuper accedunt,

πιν κρατέῃ, ὑπὸ πλήθεος τοῦ ἐπιγινομένου ἀποθνήσκουσιν ὡς τὰ πολλά. [10] Ἢν δὲ ἐς τὰς ἡμέρας διαγένωνται τὰς δύο καὶ εἴκοσι, καὶ τὸ πῦρ μεθῇ, καὶ ἐν ταύτῃσι μὴ ἐκπτυσθῶσιν, ἔμπυοι γίνονται. [11] γίνονται δὲ μάλιστα ἐκ τούτων, οἷσιν ἰσχυρόταται ἥ τε πλευρῖτις καὶ ἡ περιπλευμονίη.

XXV. Γίνεται δὲ καὶ ἄπτυστος περιπλευμονίη καὶ πλευρῖτις, ἀμφότεραι ἀπὸ τοῦ αὐτοῦ· ὑπὸ ξηρασίης. [2] ξηραίνει δὲ καὶ τὰ θερμὰ, ὅταν ὑπερθερμαίνῃ, καὶ τὰ ψυχρὰ, ὅταν ὑπερψύχῃ. [3] πήγνυται δὲ τὸ πλευρὸν καὶ τὰ ἐν αὐτῷ τῷ πλευρῷ φλέβια, καὶ σπᾶται. [4] ὁκόσον ἐν αὐτῷ ἔνι φλέγματος καὶ χολῆς, τοῦτο ὑπὸ τῆς θερμασίης ἐνσκληκέει τε καὶ ὀδύνην παρέχει, καὶ ὑπὸ τῆς ὀδύνης πυρετόν. [5] τούτῳ ξυμφέρει τὴν φλέβα ἀποσχάσαι τὴν ἐν τῇ χειρὶ, [6] τὴν σπληνῖτιν καλεομένην, ἢ τὴν ἡπατῖτιν, καθ' ὁποτέρην ἂν εἴη τὸ νόσημα. [7] καὶ οὕτως ἡ ὀδύνη μαλακωτέρη γίνεται τοῦ πλευροῦ τε καὶ τῶν ἄλλων. [8] ἡ γὰρ φλὲψ, ὅσον ἔνι ἐν αὐτῇ χολῆς καὶ φλέγματος, [9] [καὶ] αὐτοῦ τοῦ αἵματος νενοσηκότος, μετὰ τούτων μεθίει τὸ πολὺ ἔξω. [10] τὸ δὲ ἐκ τῆς σαρκὸς ὑπό τε φαρμάκων καὶ ποτῶν διαχέεται, καὶ ὑπὸ χλιασμάτων προστιθεμένων ἔξωθεν, ὥστε τὴν νοῦσον σκίδνασθαι ἀνὰ πᾶν τὸ σῶμα. [11] καλέεται δὲ αὕτη πλευρῖτις ἄπτυστος.

XXVI. Ἡ δὲ περιπλευμονίη, καὶ ὁκόταν ὁ πλεύμων ὑπερξηρανθῇ αὐτὸς, [2] καὶ ὁκόσον ἐν αὐτῷ ἐνιὸν ἢ χολῆς ἢ φλέγματος, οὔτε σήπει ὁμαλῶς, οὔτε τὸ σίαλον ἀναδιδοῖ. [3] ὅσον τε ἐν αὐτῷ ἐστιν ἰκμάδος, ἢ ἀπὸ ποτοῦ, ἢ ἀπὸ ῥοφήματος, ἢ ἀπὸ τῶν πλησίον χωρίων, τοῦτο πᾶν ἐκκαίει, ὑπὸ τῆς ὑπερξηρασίης τε καὶ θερ-

dunt, utplurimum moriuntur. [10] Si vero ad dies perveniant duos & viginti, & febris remittat, & in his per sputum purgati non fuerint, suppurati fiunt. [11] Fiunt autem maxime ex his, quibus & pleuritis & peripneumonia vehementissima existit.

XXV. Fit autem & peripneumonia & pleuritis sine sputo, ambæ ex eadem causa, præ siccitate. [2] Siccant autem & calida, ubi nimium calfaciunt: & frigida, ubi nimium frigefaciunt. [3] Congelatur autem latus, & quæ sunt in ipso venæ, & convellitur: [4] & quantum in ipso inest pituitæ aut bilis, id à caliditate resiccatur, & dolorem inducit, & à dolore febrem. [5] Huic venam secare conducit in manu [6] splenitidem appellatam, aut hepatitidem, juxta utram sane fuerit morbus. [7] Atque sic dolor mollior fit, & lateris, & aliarum partium. [8] Nam vena & quantum in ipsa inest bilis ac pituitæ, [9] & ipsius sanguinis ægrotantis una cum his magnam partem foras dimittit. [10] Pars vero ex carne per medicamenta & potiones diffunditur, & à calefactoriis forinsecus adhibitis, ita ut morbus per totum corpus dispergatur. [11] Vocatur autem hæc pleuritis sine sputo.

XXVI. Peripneumonia vero quum pulmo etiam ipse superresiccatus fuerit, [2] & quantum in ipso inest bilis aut pituitæ, neque putrefacit æqualiter, neque per sputum reddit: [3] & quantum in ipso est humiditatis, aut à potu, aut à sorbitione, aut à vicinis locis, hoc totum exurit, præ nimia sicci-

θερμασίης. 4 τούτῳ ξυμφέρει πόματα πίνειν, ὑφ' ὧν ὑγραίνεται ὁ πλεύμων, καὶ πτύσκεται. 5 ἢν γὰρ μὴ πτυσθῇ, σκληρότερός τε γίνεται ὁ πλεύμων, καὶ ξυναυαίνεται, καὶ τὸν ἄνθρωπον ἀπόλλυσι.

XXVII. Καῦσος δὲ λαμβάνει μὲν μᾶλλον τοὺς χολώδεας. 2 λαμβάνει δὲ καὶ τοὺς φλεγματίας. 3 λαμβάνει δὲ ὧδε. ὁκόταν χολὴ κινηθῇ ἀνὰ τὸ σῶμα, 4 καὶ συγκυρήσῃ, ὥστε τὰς φλέβας καὶ τὸ αἷμα εἰρύσαι τῆς χολῆς· 5 εἰρύσαι δὲ τὸ πλεῖστον ἐκ τῶν σαρκῶν καὶ τῆς κοιλίης· 6 τὸ δὲ πρόσθεν ἐνεὸν, 7 ἅτε καὶ τῇ φύσει θερμότατον ἐὸν, ἐν τῷ σώματι, τὸ αἷμα, 8 ὁκόταν οὖν διαθερμανθῇ ἐκ τῶν σαρκῶν καὶ τῆς κοιλίης πρὸς τῷ ἐνεόντι, 9 μᾶλλον ἔτι ὑπὸ τῆς χολῆς, 10 διαθερμαίνει καὶ τὸ ἄλλο σῶμα πᾶν. 11 καὶ τὰ μὲν ὑπὸ τῆς πολλῆς ἰκμάδος οὐ δύναται ἀποξηραίνεσθαι παντάπασιν. 12 ἢν δὲ ἀποξηρανθῇ, ἀποθνήσκει ὁ ἄνθρωπος. 13 τὰ δὲ ἐν τοῖσιν ἀκρωτηρίοισι τοῦ σώματος, ἅτε ξηρὰ ἐόντα φύσει, ἀποξηραίνεταί τι καὶ ἐκκαίεται ἐξ αὐτῶν τὸ ὑγρὸν τὸ πλεῖστον. 14 καὶ εἰ θέλοις ψαύειν, ψυχρά τε εὑρήσεις αὐτὰ καὶ ξηρά. 15 διὰ τοῦτο, ὁκόσοι ὑπὸ καύσου ἁλίσκονται, τὰ μὲν ἔσω καίονται ὑπὸ τοῦ πυρὸς, τὰ δὲ ἔξω ψυχροί εἰσιν, 16 ἥτε γλῶσσα καὶ ὁ φάρυγξ τρηχύνεταί τε καὶ αὐαίνεται ὑπὸ τοῦ ἔσω πνεύματος καὶ τοῦ θερμότητος.

17 Ὅσον δ' αὖ ἐν τῇ κοιλίῃ καὶ ἐν τῇ κύστει ἐγγίνεται χολῆς, 18 τὸ μὲν ἐν τῇ κοιλίῃ ἐνίοτε μὲν διαχωρέεται κάτω, 19 τὰ δὲ πολλὰ ἐμέεται ἐν τῇσι πρώτῃσιν ἡμέρῃσιν, ἢ ἐν τέσσαρσιν, ἢ ἐν πέντε. 20 ἐμέε-

ſiccitate ac caliditate. 4 Huic potiones bibere conducit, à quibus pulmo humectatur, ac ſputum rejicit. 5 Si enim ſputum non rejecerit, & durior fit, & coareſcit, & hominem perimit.

XXVII. Febris ardens corripit magis bilioſos, 2 corripit item pituitoſos. 3 Corripit autem hoc modo. Quum bilis commota fuerit per corpus, 4 & contigerit ut venæ & ſanguis attrahant bilem, 5 eamque plurimam ex carnibus ac ventriculo. 6 ad eum qui prius ineſt, 7 utpote quum etiam natura calidiſſimus ſanguis in corpore exiſtat. 8 Quum itaque percaluerit ex carnibus & ventriculo, ſupra eum qui jam ineſt, 9 adhuc magis à bile, 10 percalfacit etiam reliquum corpus. 11 Et quædam ſane partes præ multa humiditate, penitus reſiccari non poſſunt. 12 Si vero reſiccatæ fuerint, homo moritur. 13 Extremæ vero corporis partes, utpote natura ſiccæ, reſiccantur, & plurima humiditas ex ipſis exuritur; 14 & ſi ipſas contingere velis, frigidas comperies ac ſiccas. 15 Quapropter hi qui à febre ardente corripiuntur, internis quidem partibus à febri exuruntur, externis autem frigidi ſunt. 16 Et lingua ac fauces ab interno ſpiritu ac caliditate exaſperantur & areſcunt.

17 Quantum autem in ventriculo & in veſica ineſt bilis, 18 quod quidem in ventriculo eſt, aliquando deorſum exturbatur, 19 plerumque vero in primis diebus vomitur, aut in quatuor aut quinque

20 ἐμέει δὲ διὰ τόδε. ὁκόταν ἡ ἄνω κοιλίη ὑπερθερμανθῇ, ἕλκει ἐφ' ἑωυτὴν, καὶ γίνεται ἔμετος. 21 διὰ τοῦτο δ' αὐτὸ καὶ ἐς περιπλευμονίην ἐκ καύσου τε καὶ ἐκ πλευρίτιδος μάλιστα μεθίσταται τὰ νοσήματα. 22 ὁκόταν γὰρ ἡ ἄνω κοιλίη ὑπερθερμανθῇ, ἕλκει ἐφ' ἑωυτὴν, 23 καὶ ὑποδέχεται ὁ πλεύμων, καὶ γίνεται περιπλευμονίη, 24 καὶ ὡς τὰ πολλὰ ἀπόλλυνται, ἅτε ἀσθενέες ἤδη ἐόντες, καὶ ἑτέρης νούσου καινῆς ἐπιγενηθείσης, 25 οὐ δυνάμενοι τὰς ἡμέρας διατελέειν, ἄχρις οὗ τὸ σίαλον πεπανθῇ ἐν τῷ πλεύμονι. 25 ἀλλ' ὡς τὰ πολλὰ ἀπόλλυνται ὑπὸ ἀσθενείης· 26 ἔνιοι δὲ περιγίνονται. 28 Ὁκόσοισι δὲ ἐς τὴν κύστιν συῤῥέει τι χολῆς, οὐρέεται παχύ. 29 παχὺ δὲ ὑπὸ φλέγματος, 30 χολώδεα δὲ διαχωρέει ὑπὸ τοῦ συγκεκαῦσθαι ἐν τῇ κοιλίῃ τὰ ἐνεόντα.

XXIIX. Φρενῖτις δὲ ὧδε ἔχει. 2 τὸ αἷμα τῷ ἀνθρώπῳ πλεῖστον ξυμβάλλεται μέρος συνέσιος. 3 ἔνιοι δὲ λέγουσι, τὸ πᾶν. 4 ὁκόταν οὖν χολὴ κινηθεῖσα ἐς τὰς φλέβας καὶ ἐς τὸ αἷμα ἐσέλθῃ, 5 διεκίνησε καὶ διέρῥησε τὸ αἷμα ἐκ τῆς εἰωθυίης ξυστάσιός τε καὶ κινήσιος, καὶ διεθέρμηνε. 6 διαθερμανθὲν δὲ διαθερμαίνει καὶ τὸ ἄλλο σῶμα πᾶν, 7 καὶ παραφρονέει ὁ ἄνθρωπος, καὶ οὐκ ἐν ἑωυτῷ ἐστιν, 8 ὑπό τε τοῦ πλήθεος τοῦ πυρετοῦ, καὶ τοῦ αἵματος τῆς διαρῥήσιός τε καὶ κινήσιος γενομένης οὐ τῆς εἰωθυίης. 9 προσεοίκασι δὲ μάλιστα οἱ ὑπὸ τῆς φρενίτιδος ἐχόμενοι τοῖσι μελαγχολῶσι κατὰ τὴν παράνοιαν. 10 οἵ τε γὰρ μελαγχολώδεες, ὁκόταν φθαρῇ τὸ αἷμα ὑπὸ χολῆς καὶ φλέγματος, 11 τὴν νοῦσον ἴσχουσι καὶ παράνοοι γίνονται· 12 ἔνιοι

que. 20 Vomitur autem hac de causa. Quum supernus ventriculus supercalefactus fuerit, attrahit in seipsum, & fit vomitus. 21 Et ob hoc ipsum etiam ex febre ardente, & ex pleuritide, ad peripneumoniam maxime morbi transmutantur. 22 Ubi enim supernus ventriculus supercalefactus fuerit, trahit in seipsum, 23 & suscipit pulmo, & fit peripneumonia: 24 & plerumque pereunt, nimirum debiles jam existentes, & morbo alio novo insuper generato, 25 dies transigere nequeuntes, donec sputum in pulmone concoquatur. 26 Verum utplurimum pereunt præ debilitate. 27 Aliqui tamen evadunt. 28 At quibus in vesicam confluit quid bilis, his crassa urina mingitur, 29 crassa autem à pituita. 30 Biliosa vero alvi egestio prodit, eo quod combusta sint ea quæ sunt in ventre.

XXIIX. Phrenitis hoc modo se habet. 2 Sanguis qui est in homine, maximam partem ad prudentiam confert. 3 quidam dicunt totum. 4 Quum igitur bilis commota ad venas & ad sanguinem ingressa fuerit, 5 sanguinem ex consueta compage ac motione dimovet, & seorsum facit, ac calfacit. 6 Calefactus autem, etiam reliquum corpus totum percalefacit, 7 & desipit homo, & non sibi constat, 8 præ febris copia, & sanguinis ad serositatem transmutatione, & motione non solita contingente. 9 Assimiles autem sunt maxime hi qui phrenitide tenentur, his qui ab atra bile delirant. 10 Nam & hi ubi sanguis ex bile & pituita corruptus fuerit, 11 morbum habent, & dementes fiunt: 12 alii

ἔνιοι δὲ καὶ μαίνονται. [13] καὶ ἐν τῇ φρενίτιδι ὡσαύτως. [14] οὕτω δὲ ἧσσον ἡ μανίη τε καὶ ἡ παραφρόνησις γίνεται, ὅσωπερ ἡ χολὴ τοῦ φλέγματος ἀσθενεστέρη ἐστίν.

XXIX. Ὕφαιμον δὲ καὶ πελιδνὸν ἐν τῇ πλευρίτιδι καὶ περιπλευμονίῃ τὸ πτύαλον διὰ τόδε πτύουσι. [2] καὶ κατ' ἀρχὰς μὲν, ὡς τὸ πολὺ, οὐδέτερα πτύουσιν, οὔτε πελιδνὸν, οὔτε ὕφαιμον. [3] εἰδέναι δὲ χρὴ τὴν νοῦσον, ἰσχυρὴν ἐοῦσαν. [4] ὁκόταν δὲ τὸ σίαλον ὑπόπαχυ ἄρξωνται πτύειν, καθαίρονται μάλιστα τότε. [5] πτύεται δὲ ὑπὸ διαστάσιος τῶν φλεβῶν· [6] τῷ μὲν πλευρίτιδος, ἐκ τῶν ἐν τῷ πλευρῷ· [7] τῷ δὲ περιπλευμονίης, ἐκ τῶν ἐν τῷ πλεύμονι, καὶ θερμασίην ἐπάγεται ἐφ' ἑαυτήν.

[8] Ἢν δὲ ῥηγματίης ἔῃ ὁ τὴν νοῦσον ἔχων, καὶ σαπρὸς, [9] ἀπὸ τῆς πρώτης ἡμέρης αἷμα, καὶ ὕφαιμον πύον καὶ πελιδνὸν σὺν σιάλῳ πτύει. [10] τὸ δὲ πελιδνὸν ἀπὸ τοῦ αἵματος γίνεται, ἢν ὀλίγον συμμίγηται ἐς πουλὺ σίαλον, [11] καὶ μὴ παραυτίκα πτύηται, ἀλλ' ἐμμένῃ ἡμισαπὲς ἐὸν [12] καὶ ἐκτεθηλυσμένον ἐν τῷ σώματι.

XXX. Ἀποθνήσκουσι δὲ ἀπὸ μὲν τῆς πλευρίτιδος, [2] ὁκόταν πολλὸν μὲν τὴν ἀρχὴν τῷ πλευρῷ προσπαγῇ φλέγμα τε καὶ χολὴ, [3] πολλὸν δὲ προσεπιῤῥυῇ καὶ ἐκ τοῦ ἄλλου σώματος, [4] καὶ μήτε πτύων κρατέῃ ὑπὸ πλήθεος, μήτε σήπων. [5] πιμπλᾶνται δὲ αἱ ἀρτηρίαι ὑπὸ τῶν ἐνεόντων, φλέγματός τε καὶ πύου. [6] τοῦτο δὲ ῥέγχει καὶ ἀναπνεῖ πυκνόν τε καὶ αὐτόθεν ἄνωθεν. [7] τέλος δὲ ἀποφράσσεται πάντα καὶ ἀποθνήσκει. [8] τὸν αὐτὸν δὲ τρόπον τοῦτον καὶ ἐκ περιπλευμονίης ἀπόλλυνται.

[9] Ὅσοι

qui vero etiam insaniunt. [13] Et qui phrenitide correpti sunt, eodem modo. [14] Tanto autem minor insania ipsumque delirium fit, quanto paucior ac debilior est bilis quam pituita.

XXIX. Porro subcruentum & lividum est sputum in pleuritide ac peripneumonia, idque ob hanc caussam. [2] Principio quidem plerunque neutrum spuunt, neque lividum, neque subcruentum: [3] unde nosse convenit morbum vehementem esse. [4] Quum autem sputum subcrassum spuere cœperint, tunc maxime purgantur. [5] Spuitur autem id à distentione venarum, [6] in pleuritide quidem earum quæ sunt in latere: [7] in peripneumonia vero earum quæ sunt in pulmone: & caliditatem ad seipsam affectio trahit.

[8] Si vero ægro abscessus fuerit ruptus, ac purulentus fuerit, [9] prima mox die sanguinem, & pus subcruentum ac lividum cum saliva spuit. [10] Lividum autem fit à sanguine, si modicus ad multam salivam ammixtus fuerit, [11] & non statim spuatur, sed semiputrefactum [12] & effœminatum in corpore manet.

XXX. Moriuntur autem ex pleuritide, [2] ubi & multum pituitæ ac bilis ab initio lateri fuerit affixum, [3] & multum insuper ex reliquo corpore affluxerit, [4] & neque spuens, neque putrefaciens separarit, præ materiæ affluentis copia. [5] Implentur autem arteriæ ab his quæ insunt, pituita ac pure. [6] Deinde stertit, & frequenter, & illinc statim respirat, [7] tandem vero omnia obturantur, & moritur. [8] Eodem modo ex peripneumonia pereunt.

[9] Qui-

9 Ὅσοι δὲ ὑπὸ καύσου ἀποθνήσκουσι, πάντες ὑπὸ ξηρασίης ἀποθνήσκουσιν. 10 ἀποξηραίνεται γὰρ πρῶτον μὲν αὐτῶν τὰ ἀκρωτήρια, πόδες τε καὶ χεῖρες. 11 ἔπειτα δὲ τὰ ἐπιξηρότερα. 12 ὁκόταν δὲ ἐκκαυθῇ καὶ ἀποξηρανθῇ παντάπασι τὸ ὑγρὸν ἐκ τοῦ σώματος, 13 τὸ μὲν αἷμα πήγνυταί τε παντελῶς καὶ ψύχεται, 14 τὸ δὲ ἄλλο σῶμα ἀποξηραίνεται, 15 καὶ οὕτως ἀποθνήσκει.

16 Ὑπὸ δὲ τῆς φρενίτιδος ἀπόλλυνται ὧδε. 17 παραφρονέουσιν ἐν τῇ νούσῳ διὰ παντός, 18 ἅτε τοῦ αἵματος ἐφθαρμένου τε καὶ ἐκκεκινημένου τὴν εἰωθυῖαν κίνησιν, 19 καὶ ἅτε παραφρονέοντες, οὔτε τι τῶν προσφερομένων δέχονται, ὅ, τι ἄξιον λόγου. 20 ὅταν δὲ προΐῃ ὁ χρόνος, μαραίνονταί τε καὶ μινύθουσιν ὑπό τε τοῦ πυρετοῦ, καὶ ὑπὸ τοῦ μηδὲν τρέφεσθαι. 21 καὶ πρῶτα μὲν τὰ ἐν τοῖσιν ἀκρωτηρίοισι μινύθει τε καὶ ψύχεται· 22 ἔπειτα δὲ τὰ ἐπ' ἐγγυτάτω. 23 καὶ ψύχεος δὲ καὶ πυρὸς καὶ πόνων ἀρχὴν ταύτην ἴσχει, 24 ὅταν τὸ αἷμα, τὸ ἐν τῇσι φλεψὶν, ὑπὸ τοῦ φλέγματος ψυχθῇ, μεταπίπτει τε καὶ συναΐσσεται ἄλλοτε ἄλλῃ, καὶ τρέμει. 25 τέλος δὲ ψύχεται πάντα, καὶ ἀποθνήσκει.

9 Quicunque vero ex febre ardente moriuntur, omnes præ siccitate moriuntur. 10 Et resiccantur primum quidem extremæ ipsorum partes, manus ac pedes: 11 deinde partes sicciores. 12 Vbi autem humiditas ex corpore penitus fuerit exusta ac resiccata, 13 sanguis quidem congelatur penitus ac perfrigeratur: 14 reliquum vero corpus exsiccatur, 15 ac sic homo moritur.

16 At ex phrenitide ita perit. 17 Desipiunt in hoc morbo semper, 18 nimirum sanguine corrupto, & ex consueta motione emoto: 19 & quum desipiant, nihil eorum quæ ipsis exhibentur accipiunt, quod saltem memoratu dignum sit. 20 Quum vero progressum fuerit tempus, marcescunt ac imminuti consumuntur, tum ex febre, tum quod nihil alantur. 21 Et primum quidem extremæ partes consummuntur ac perfrigerantur: 22 deinde ipsis proximæ. 23 Sed & frigiditatis, & febris, & dolorum principium hoc habet. 24 Quum sanguis qui est in venis, perfrigeratus fuerit à pituita, transmutatur & convellitur acervatim alias alia parte, & tremit: 25 tandem vero omnia perfrigerantur, & moritur.

ΙΠΠΟΚΡΑΤΟΥΣ περὶ ΝΟΥΣΩΝ τὸ δεύτερον.

HIPPOCRATIS DE MORBIS liber secundus.

Basil. græc. Foesius sect. v. 19. 461. Basil. lat.

Pag. 140

ΟΥΡΕΕΤΑΙ πολλὸν, ὅταν ὑπερθερμανθῇ ἡ κεφαλή. [2] τήκεται γὰρ ἐν αὐτῇ τὸ φλέγμα. [3] τηκόμενον δὲ χωρέει, τὸ μὲν ἐς τὰς ῥῖνας, [4] τὸ δὲ ἐς τὸ στόμα, [5] τὸ δὲ διὰ τῶν φλεβῶν, αἳ ἄγουσιν ἐς τὸ αἰδοῖον. [6] ὅταν δὲ ἐς τὸ αἰδοῖον ἀφίκηται, οὐρέει καὶ πάσχει οἷάπερ ὑπὸ στραγγουρίης. [7] ἀμβλυώττουσι δὲ, ὅταν ἐς τὰς ἐν τοῖσιν ὀφθαλμοῖσι φλέβια ἐσέλθῃ φλέγμα. [8] ὑδαρεστέρη τε γὰρ γίνεται ἡ ὄψις, καὶ θολερωτέρη. [9] καὶ τὸ λαμπρὸν ἐν τῷ ὀφθαλμῷ οὐχ ὁμοίως λαμπρόν ἐστιν, [10] οὐδὲ καταφαίνεται ἐν αὐτῷ, ἐὰν ἐθέλῃ ὁρῆν, ὁμοίως, ὡς καὶ, ὅτε λαμπρὸς καὶ καθαρὸς ἦν. [11] οὗτος ἐν τεσσαράκοντα ἡμέρῃσι μάλιστα ὑγιάζεται. [12] ἢν δὲ χρόνῳ ὕστερον πολλῷ ὑποστρέψῃ ἡ νοῦσος, τὸ δέρμα τῆς κεφαλῆς παχύνεται, [13] καὶ τὸ ἄλλο σῶμα αἴρεται καὶ παχύνεται καὶ εὔχροέει. [14] τοῦτο τὸ φλέγμα ἐς τὰς σάρκας τρέπεται, καὶ ὑπὸ τούτου δοκέει παχὺς εἶναι. [15] αἱ γὰρ σάρκες, ἅτε διάβροχοι ἐοῦσαι καὶ ἠερμέναι καὶ ἀραιότεραι, ἕλκουσιν ἐκ τῶν φλεβῶν αἷμα, καὶ διὰ τοῦτο δοκέουσιν εὔχροοι εἶναι.

II. [1] Ἑτέρη νοῦσος. [2] Ἡ κεφαλὴ ἑλκέων καταπίμπλαται, [3] καὶ τὸ σῶμα οἰδέει, [4] καὶ ἡ χροιὴ ἰκτερώδης, [5] καὶ ἄλλοτε ἄλλῃ τοῦ σώματος ἕλκεα ἐκφύει. [6] καὶ πυρετὸς

Multum urinæ emittitur, ubi caput nimium incaluerit. [2] Liquescit enim in ipso pituita, [3] liquescens autem secedit partim ad nares, [4] partim ad os, [5] partim per venas quæ ducunt ad pudendum. [6] Quum autem ad pudendum pervenerit, mingit homo, & patitur quemadmodum ab urinæ stillicidio. [7] Cæcutiunt autem quum ad venas in oculis pervenerit pituita. [8] Aquosior enim fit visus & turbulentior, [9] & splendor in oculis non similiter splendidus est, [10] neque in ipso comparet si videre voluerit, similiter sicut ante quum splendidus & purus esset. [11] Hic in quadraginta diebus maxime sanatur. [12] Si vero longo tempore postea morbus revertatur, cutis capitis crassescit, [13] & reliquum corpus attollitur, & crassescit, ac bonum colorem habet. [14] Hæc pituita ad carnes convertitur, & ab hac crassus esse videtur. [15] Nam carnes quum sint perrigatæ & elevatæ ac rariores, sanguinem ex venis trahunt, & propterea bene colorati esse videntur.

II. Alius morbus. [2] Caput ulceribus impletur, [3] & corpus intumescit, [4] & color morbi regii est, [5] & alias alia corporis parte ulcera erumpunt: [6] & febris alias atque alias cor-

τος λαμβάνει, ἄλλοτε καὶ ἄλλοτε· 7 καὶ ἐκ τοῦ νώτου ὕδωρ ῥέει. 8 τούτῳ, ὅταν ἐν τῇ κεφαλῇ φλέγμα ὑπόχολον ἐντραφῇ, τὰ μὲν ἕλκεα γίνεται, 9 ὅταν τὸ βρέγμα διάβροχον γένηται τῷ φλέγματι καὶ τῇ χολῇ. 10 καὶ ἀραιὸν ἔῃ, καὶ ἅλις τὸ φλέγμα καὶ ἡ χολή. 11 ἵσταται γὰρ τοῦτο, καὶ σήπεται, καὶ ἑλκοῦται. 12 ἐς δὲ τὰ ὦτα λεπτυνόμενον τὸ φλέγμα διαπιδύει. 13 ἐν δὲ τῷ ἄλλῳ σώματι τάτε ἕλκεα κατὰ τὸν αὐτὸν λόγον, τοῖσιν ἐν τῇ κεφαλῇ, γίνεται, 14 σηπομένου τοῦ αἵματος, καὶ τῆς χολῆς, ᾗ ἂν τύχῃ ἀλισθέντος. 15 ταύτῃ γὰρ ἡ σὰρξ σήπεται καὶ ἑλκοῦται, [καὶ] προσκατασήπει τὸ ἐσελθὸν τοῦ φλέγματός [τε] καὶ τῆς χολῆς, καὶ γίνεται πῦον.

III. Ἑτέρη νοῦσος. 2 Περιωδυνίη τὴν κεφαλὴν ἴσχει, 3 καὶ ἐμέει χολήν, 4 καὶ δυσουρέει, 5 καὶ παραφρονέει. 6 οὗτος περιωδυνέει μὲν ὑπὸ τῆς ὑπερθερμασίης τῆς κεφαλῆς· 7 παραφρονέει δὲ, ὅταν τὸ αἷμα, τὸ ἐν τῇ κεφαλῇ, ὑπὸ χολῆς ἢ φλέγματος ὑπερθερμανθῇ, καὶ κινηθῇ μᾶλλον τοῦ εἰωθότος. 8 ἐμέει δὲ χολήν, ἅτε κεκινημένης αὐτῆς ἐν τῷ σώματι, 9 καὶ ἡ κεφαλὴ ὑπὸ τῆς θερμασίης ἕλκει ἐφ' ἑωυτήν. 10 καὶ τὸ μὲν παχύτατον ἐμέει, τὸ δὲ λεπτότατον ἕλκει [ἐφ'] ἑωυτήν. 11 οὐρέει δὲ ἐν ταύτῃ ὑπὸ τῶν αὐτῶν, ὡς καὶ ἐν τῇ πρόσθεν εἴρηται.

IV. Ἑτέρη νοῦσος. 2 Ἢν περὶ τὸν ἐγκέφαλον φλέβια ὑπερεμήσῃ, τὸ μὲν οὔνομα οὐκ ὀρθὸν τῇ νούσῳ. 3 οὐδὲ γὰρ ἀνυστὸν ὑπερεμῆσαι οὐδὲν τῶν φλεβίων, οὔτε τῶν ἐλασσόνων, οὔτε τῶν μειζόνων. 4 ὀνομάζουσι δὲ καὶ φασὶν ὑπερεμέειν. 5 εἰ δ' ὡς μάλιστα ὑπερεμήσειε, νοῦσος ὑπ' αὐτοῦ οὐκ

corripit, 7 & ex dorso aqua fluit. 8 Huic quum in capite pituita subbiliosa connutrita fuerit, ulcera fiunt, 9 ubi sinciput pituita & bile perrigatum fuerit, 10 & ubi pituita rara & acervata fuerit, itemque bilis. 11 Hæc enim consistit, putrescit, & ulceratur. 12 Attenuata vero pituita ad aures penetrat. 13 At in reliquo corpore ulcera eadem ratione qua in capite fiunt, 14 sanguine & bile putrefactis, quacunque in parte fuerint collecta. 15 Hac enim parte caro putrescit & exulceratur, & accedentem pituitam ac bilem insuper putrefacit, & fit pus.

III. Alius morbus. 2 Dolor circumcirca caput vexat, 3 & vomit bilem, 4 & difficulter mingit, 5 & desipit. 6 Hic caput quidem dolet, præ nimia ejus calefactione: 7 Desipit autem quum sanguis in capite à bile aut pituita fuerit calefactus, & plus solito commotus. 8 Vomit autem bilem, utpote commota ipsa in corpore. 9 Et caput præ caliditate trahit in seipsum, 10 & crassissimum quidem vomit, tenuissimum vero in seipsum trahit. 11 Mingit autem & in hoc morbo ab iisdem, velut etiam in superiore dictum est.

IV. Alius morbus. 2 Si circa cerebrum venulæ supercevomant, nomen quidem rectum morbo non est: (3 neque enim fieri potest, ut aliqua vena, sive parva, sive magna, superevomat:) 4 nominant tamen & dicunt supervomitum. 5 Si vero etiam quam maxime superevomant, morbum ab hoc ipso fieri non est verisimi-

οὐκ ἔοικε γίνεσθαι. 6 ἀπ' ἀγαθοῦ γὰρ κακὸν οὐχ οἷόν τε γενέσθαι. 7 οὐδ' ἀπὸ κακοῦ ἀγαθὸν γένοιτο ἄν. 8 οὐδ' αὖ ἀγαθὸν πλέον τοῦ δέοντος οἷόν τε γενέσθαι. 9 ἀλλ' ὑπερεμέειν δοκεῖ, ὅταν ἐς τὰς φλέβας θολερὸν αἷμα ἐσέλθῃ. 10 μετεωρίζονται γὰρ αἱ φλέβες, καὶ σφύζουσι, 11 καὶ ὀδύνη κατὰ πᾶσαν τὴν κεφαλὴν ἐγγίνεται, καὶ τὰ ὦτα ἠχεῖ καὶ ἀκούει οὐδέν. 12 καὶ ἠχεῖ μὲν, ἅτε τῶν φλεβίων σφυζόντων καὶ παλλομένων· 13 τηνικαῦτα γὰρ ἦχος ἔνεστιν ἐν τῇ κεφαλῇ. 14 βαρυηκοεῖ δὲ, τὸ μέν τι ὑπὸ τοῦ ἔσωθεν ψόφου καὶ ἤχου, 15 τὸ δὲ, ὅταν ὁ ἐγκέφαλος καὶ τὰ φλέβια, τὰ περὶ αὐτὸν, ἐπαρθῇ. 16 ὑπὸ γὰρ τῆς ὑπερθερμασίης ἐμπίπλησι τὸ κατὰ τὸ οὖς κενεὸν ὁ ἐγκέφαλος ἑαυτοῦ. 17 καὶ, ἅτε οὐκ ἐνεόντος τοῦ ἠέρος ἰσοπληθέος, ὡς ἐν τῷ πρὶν χρόνῳ, οὐδὲ τὸν ἦχον ἴσον παρέχοντος, οὐκ ἐνσημαίνει οἱ τὰ λεγόμενα ὁμαλῶς, καὶ ἀπὸ τούτου βαρυηκοεῖ. 18 οὗτος, ἢν μὲν ῥαγῇ αὐτῷ ἐς τὰς ῥῖνας, ἢ ἐς τὸ στόμα ὕδωρ καὶ φλέγμα, ὑγιὴς γίνεται. 19 ἢν δὲ μὴ ῥαγῇ, ἑβδομαῖος μάλιστα ἀποθνήσκει. 20 ἢν δὲ ἐν τῇ κεφαλῇ ὑπερεμέσωσιν αἱ φλέβες· 21 ὑπερεμέουσι δὲ ὑπὸ τῶν αὐτῶν, ἃ καὶ ἐν τῷ πρόσθεν εἴρηται. 22 σημεῖον δὲ, ὅτι τοιούτῳ ὑπερεμέουσι, τόδε. 23 ὅταν τις ἢ χεῖρα, τοῦτο πάσχουσαν, ἐπιτάμῃ, ἢ κεφαλὴν, ἢ ἄλλο τι τοῦ σώματος, τὸ αἷμα μέλαν ῥέει, καὶ θολερὸν καὶ νοσῶδες. 24 καίτοι οὐδὲ αἷμα δίκαιον εἰπεῖν κατ' οὔνομα, ἀλλ' ἐρυθρὸν καὶ εἰλικρινὲς ῥέον. 25 ὅταν οὖν ὑπερεμέσωσιν ἀπὸ τῶν αὐτῶν, ἴσχει ὀδύνη καὶ σκοτοδινίη καὶ βάρος ἴσχει τὴν κεφαλήν. 26 ὀδύνη μὲν, ὑπὸ τῆς ὑπερθερμασίης τοῦ αἵματος. 27 σκο-

τοδίνη

le.[6] Nam à bono malum fieri non poteſt, [7] neque à malo utique bonum fiat. [8] Neque rurſus bonum plus juſto fieri poteſt. [9] Verum ſuperevomere videntur, quum ad venas bilis aut' pituita ingreſſa fuerit. [10] Elevantur enim venæ & pulſant, [11] & dolor per totum caput diſpergitur, & aures ſonitum percipiunt ac nihil audiunt. [12] Et ſonitum quidem percipiunt, utpote venis pulſantibus & palpitantibus. [13] Tunc enim ſonitus eſt in capite. [14] Graviter autem audiunt, partim præ interno ſtrepitu ac ſonitu, [15] partim quum cerebrum & venæ circa ipſum elevantur. [16] Præ nimia enim caliditate, vacuam circa ' aurem partem cerebrum de ſeipſo implet. [17] & quum æqualis aeris copia non inſit, velut priore tempore, neque æqualem ſonum exhibeat, ea quæ dicuntur non æqualiter ſe imprimunt, atque ex hoc gravem auditum habent. [18] Hic ſiquidem erumpat ipſi ad nares, aut ad os aqua & pituita, ſanus fit. [19] Si vero non erumpat, ſeptima die maxime moritur. [20] At ſi in capite venæ ſuperevomant, [21] id quod ab iiſdem fit quæ & ' prius relata ſunt. [22] Signum vero quod tali modo ſuperevomant, hoc eſt. [23] Quum quis aut manum, aut caput, aut aliam quandam corporis partem, hoc patientem incidat, ſanguis niger profluit, & turbatus ac morboſus: [24] quanquam neque ſanguis nominari juſte mereatur, niſi tunc quum rubicundus ac ſincerus fluit. [25] Quum itaque ſuperevomant ab iiſdem cauſſis, dolor & vertigo, & gravitas caput occupant. [26] Dolor ' quidem, præ nimia ſanguinis caliditate. [27] Vertigo

τοδινὴ ἦ, ὅταν ἁλὲς ἐπὶ τὸ πρόσωπον χωρήσῃ τὸ αἷμα. [28] βάρος δὲ, ὅτι τὸ αἷμα πλεῖον ἐὸν ἐν τῇ κεφαλῇ, καὶ θολερώτερον, καὶ νοσωδέστερον, ἢ ἔσωθεν.

V. Σφακελισμὸς ἐγκεφάλου. [2] Ἢν σφακελίσῃ ὁ ἐγκέφαλος, ὀδύνη ἴσχει ἐκ τῆς κεφαλῆς τὴν ῥάχιν, [3] καὶ ἐπὶ τὴν καρδίαν φοιτᾷ, [4] ἀψυχίη καὶ ἱδρὼς, [5] καὶ ἄυπνος τελέει, [6] καὶ ἐκ τῶν ῥινῶν αἷμα ῥέει. [7] πολλάκις δὲ καὶ αἷμα ἐμέει. [8] σφακελίζεται δὲ ὁ ἐγκέφαλος τρόπῳ τοιῷδε. [9] ὁκόταν ἢ ὑπερθερμανθῇ ἢ ὑπερψυχθῇ, ἢ χολώδης ἢ φλεγματώδης γένηται μᾶλλον τοῦ εἰωθότος. [10] ὅταν δὲ ταῦτα πάθῃ, ὑπερθερμαίνει καὶ τὸν νωτιαῖον μυελόν. [11] καὶ διαθερμαινόμενος καὶ οὗτος ὀδύνην τῇ ῥάχει παρέχει. [12] ἀψυχέει δὲ, ὅταν προσίστηται πρὸς τὴν καρδίην φλέγμα ἢ χολή. [13] προσίστασθαι δὲ ἀνάγκη, κεκινημένων καὶ ὑγρασμένων. [14] ἱδρὼς δὲ γίνεται ὑπὸ πόνου. [15] τὸ αἷμα δὲ ἐμέει, ὅταν αἱ φλέβες μὲν ἐν τῇ κεφαλῇ ὑπὸ τοῦ ἐγκεφάλου θερμανθῶσιν, [16] αἱ δὲ παρὰ τὴν ῥάχιν, ὑπὸ τῆς ῥάχιος. [17] ἡ δὲ ῥάχις ὑπὸ τοῦ νωτιαίου μυελοῦ. [18] ὁ δὲ μυελὸς, ὑπὸ τοῦ ἐγκεφάλου, ὅθεν πέφυκεν. [19] ὅταν οὖν θερμανθῶσιν αἱ φλέβες, καὶ τὸ αἷμα ἐν αὐτῇσι ζέσῃ, [20] διαδιδοῦσιν αἱ μὲν ἀπὸ τῆς κεφαλῆς ἐς τὰς ῥῖνας, [21] αἱ δ' ἀπὸ τῆς ῥάχιος αἱμόρροοι ἐς τὸ σῶμα. [22] οὗτος τριταῖος ἀπόλλυται, ἢ πεμπταῖος ὡς τὰ πολλά.

VI. Ἕτερον νόσος. [2] Ἐξαπίνης ὀδύνη λαμβάνει τὴν κεφαλὴν, καὶ παραχρῆμα ἄφωνος γίνεται, καὶ ἀκρατὴς ἑωυτοῦ. [3] οὗτος ἀπο-

tigo vero, quum acervatus ad faciem processerit sanguis. [28] Gravitas autem, quod copiosior sanguis fit in capite, & turbulentior ac morbosior, quam intrinsecus.

V. Cerebri corruptio. [2] Si cerebrum corruptum fuerit, dolor ex capite spinam occupat, [3] & ad cor [4] animi deliquium procedit, & sudor est, [5] & somni expers est, [6] & ex naribus sanguis fluit. [7] Sæpe etiam sanguinem vomit. [8] Corrumpitur autem cerebrum tali modo, quum aut nimium calefactum aut perfrigeratum, biliosum aut pituitosum plus solito factum fuerit. [9] Ubi vero horum aliquid perpessum fuerit, etiam spinalem medullam supercalefacit. [10] Et quum etiam hic percalescit, dolorem spinæ inducit. [11] Animo vero linquitur homo, quum pituita aut bilis ad cor consistit. [12] Consistere autem necesse est commotis ac humectatis. [13] Sudor autem fit præ dolore. [14] Sanguinem vero vomit, quum venæ quæ sunt in capite, à cerebro fuerint calefactæ: [15] quæ vero circa spinam sunt, à spina: [16] spina autem à spinali medulla: [17] medulla vero à cerebro, unde sane originem trahit. [18] Quum igitur calefactæ fuerint venæ, & sanguis in ipsis efferbuerit, quæ quidem in capite sunt venæ, [19] distribuunt ipsum ad nares, & ad os: [20] quæ vero circa spinam sanguifluæ, in corpus. [21] Hic tertia aut quinta die plerunque perit.

VI. Alius morbus. [2] Derepente dolor occupat caput, & statim vox intercipitur ac sui impotens fit. [3] Hic in septem diebus moritur, si non

ἀποθνήσκει ἐν ἑπτὰ ἡμέρῃσιν, ἢν μή μιν πῦρ ἐπιλάβῃ. 4 ἢν γὰρ ἐπιλάβῃ, ὑγιὴς γίνεται. 5 πάσχει δὲ ταῦτα, ὅταν αὐτῷ μέλαινα χολὴ, ἐν τῇ κεφαλῇ κινηθεῖσα, ῥυῇ· 6 καὶ μάλιστα καθ' ὃ τὰ πλεῖστά ἐστι φλέβια ἐν τῷ τραχήλῳ, φημὶ, καὶ τοῖς στήθεσιν. 7 ἔπειτα καὶ τῇ ἑξῆς ἀπόπληκτος γίνεται καὶ ἀκρατὴς, ἅτε τοῦ αἵματος ἐψυγμένου. 8 καὶ ἢν κρατήσῃ, ὥστε τὸ αἷμα θερμανθῆναι, ἤτε ὑπὸ τῶν προσφερομένων, ἤτε ὑφ' ἑωυτοῦ, 9 μετεωρίζεταί τε καὶ διαχέεται καὶ κινέεται, 10 καὶ τὴν πνοὴν ἐσάγεταί τε καὶ ἀφρίει, 11 καὶ χωρίζεται τῆς χολῆς, 12 καὶ ὑγιὴς γίνεται. 13 ἢν δὲ μὴ κρατήσῃ, ψύχεται μᾶλλον. 14 καὶ ὅταν παντάπασι ψυχθῇ καὶ ἐκλείπῃ ἐξ αὐτοῦ τὸ θερμὸν, 15 πήγνυται καὶ κινηθῆναι οὐ δύναται, ἀλλὰ ἀποθνήσκει. 16 ἢν δὲ ἐκ θωρήξιος ταῦτα πάθῃ· καὶ γὰρ πάσχει ὑπὸ τῆς αἰτίης καὶ ἀπόλλυται.

VII. Τερηδών. 2 Ὅταν τερηδὼν γένηται ἐν τῷ ὀστέῳ, ὀδύνη λαμβάνει ἐκ τοῦ ὀστέου, 3 χρόνῳ δὲ ἀφίσταται τὸ δέρμα ἀπὸ τῆς κεφαλῆς ἄλλη καὶ ἄλλη. 4 οὗτος δὲ ταῦτα πάσχει, 5 ὅταν ἐν τῇ διπλόῃ τοῦ ὀστέου φλέγμα ἐπιγενόμενον ἀποξηρανθῇ. 6 ταύτῃ γὰρ ἀραιὸν γίνεται, καὶ ἐκλείπει ἐξ αὐτοῦ ἡ ἰκμὰς πᾶσα· 7 καὶ, ἅτε ξηροῦ ἐόντος, ἀφίσταται τὸ δέρμα ἀπ' αὐτοῦ. 8 αὕτη ἡ νοῦσος οὐ θανάσιμός ἐστιν.

IIX. Ἑτέρη νοῦσος. 2 Ἢν βλητὸς γένηται, ἀλγεῖ τῆς κεφαλῆς τὸ πρόσθεν, 3 καὶ τοῖσιν ὀφθαλμοῖσιν οὐχ ὁμαλῶς ὁρᾷ, 4 καὶ κωματώδης, 5 καὶ αἱ φλέβες σφύζουσι, 6 καὶ πυρετὸς ἴσχει βληχρὸς, 7 καὶ τοῦ σώματος ἀκρασίη. 8 οὗτος ταῦτα πάσχει, 9 ὅταν αἱ

febris invaserit. 4 Si enim hæc invaserit, sanus evadit. 5 Patitur autem hæc quum atra bilis ipsi in capite commota fluxerit: 6 maxime in partem in qua plurimæ sunt venæ, in collum inquam, ac pectus. 7 Deinde postridie sideratus fit ac impotens, sanguine nimirum perfrigerato. 8 Et si superior evaserit, ita ut sanguis calescat, sive ab his quæ exhibentur, sive à seipso: 9 attolitur & diffunditur ac movetur, 10 & spirationem inducit, & spumescit, 11 & à bile separatur, 12 & sanus evadit. 13 Si vero superior non evaserit, adhuc magis perfrigeratur: 14 & ubi penitus perfrigeratus fuerit & calor ex ipso defecerit, 15 congelatur, & moveri non potest, sed moritur. 16 At si ex ebrietate hæc patiatur (nam & hoc contingit) itidem moritur.

VII. Caries ossis capitis. 2 Quum caries facta fuerit in osse, dolor ex osse corripit. 3 Temporis autem progressu cutis de capite alia atque alia parte discedit. 4 Talia vero patitur is 5 cui in secunda ossis lamina, pituita superveniens resiccata fuerit. 6 Hac enim parte rarum fit, & omnis humiditas ex ipso deficit, 7 & quia aridum est, cutis ab ipso discedit. 8 Hic morbus lethalis non est.

IIX. Alius morbus. 2 Si sideratus fiat, anteriorem capitis partem dolet, 3 & oculus non æqualiter videt, 4 & soporatur, 5 & venæ pulsant, 6 & febris debilis tenet, 7 & corporis impotentia. 8 Hic patitur hæc, 9 quum venæ in capite fuerint calefactæ, & calefactæ pi-

αἱ ἐν τῇ κεφαλῇ φλέβες θερμανθῶσι, θερμανθεῖσαι δὲ εἰρύσωσι φλέγμα ἐς ἑωυτάς. ἡ μὲν οὖν ἀρχὴ τῆς νούσου ἐκ τούτου γίνεται. 10 τὸ δὲ ἔμπροσθεν τῆς κεφαλῆς διὰ τόδε ἀλγέει· 11 ὅτι αἱ φλέβες ἐν ταύτῃ εἰσὶν αἱ παχύταται, καὶ ὁ ἐγκέφαλος ἐς τὸ ἔμπροσθεν μᾶλλον κεῖται τῆς κεφαλῆς, ἢ ἐς τοὔπισθεν. 12 καὶ τοῖσιν ὀφθαλμοῖσι διὰ τοῦτο οὐχ ὁρῇ, προκειμένου τοῦ ἐγκεφάλου καὶ φλεγμαίνοντος. 13 τὸ δὲ σῶμα διὰ τόδε ἀκρασίαι ἴσχουσιν. 14 αἱ φλέβες ἐπὴν ἐς ἑωυτὰς εἰρύσωσι φλέγμα, ἀνάγκη ὑπὸ ψυχρότητος τοῦ φλέγματος τὸ αἷμα ἑστάναι μᾶλλον νῦν, ἢ ἐν τῷ πρὶν χρόνῳ, καὶ ἐψῦχθαι. 15 μὴ κινουμένου δὲ τοῦ αἵματος, οὐχ οἷόν τε μὴ οὐχὶ καὶ τὸ σῶμα ἀτρεμίζειν καὶ κεκωφῶσθαι. 16 καὶ ἢν μὲν τὸ αἷμα καὶ τὸ ἄλλο σῶμα κρατήσῃ, ὥστε διαθερμανθῆναι, διαφεύγει. 17 ἢν δὲ τὸ φλέγμα κρατήσῃ, ἐπιψύχεται μᾶλλον τὸ αἷμα, καὶ πήγνυται. 18 καὶ ἢν ἐς τοῦτο ἐπιδιδοῖ ψυχόμενον καὶ πηγνύμενον, πήγνυται πάντη καὶ ἐκψύχεται ὁ ἄνθρωπος, καὶ ἀποθνήσκει.

IX. Κυνάγχη. 2 Κυνάγχη δὲ γίνεται, ὅταν ἐν τῇ κεφαλῇ φλέγμα κινηθὲν ῥυῇ ἁλὲς κάτω, 3 καὶ στῇ ἐν τῇσι σιαγόσι, καὶ περὶ τὸν τράχηλον, 4 οὗτος οὔτε τὸ σίαλον δύναται καταπίνειν, 5 ἀναπνεῖ τε βιαίως καὶ ῥέγχει. 6 ἔστιν ὅτε καὶ πυρετὸς αὐτὸν ἴσχει. 7 τὸ μὲν οὖν νόσημα ἀπὸ τούτου γίνεται, καὶ ἄλλοτε ὑπ' αὐτὴν τὴν γλῶτταν, ἄλλοτε ὑπὲρ τῶν στηθέων ὀλίγον.

X. Σταφυλή. 2 Σταφυλὴ δὲ γίνεται, ὅταν ἐς τὸν γαργαρεῶνα καταβῇ φλέγμα ἀπὸ τῆς κεφαλῆς. 3 κατακρέ-

pituitam in ſeipſas traxerint. Et principium quidem morbi ex hoc fit. 10 Anteriorem vero capitis partem ideo dolet, 11 quod venæ in hac ſint craſſiſſimæ, & cerebrum ad anteriorem capitis partem magis ſitum eſt quam ad poſteriorem. 12 Et oculis ideo non videt, procumbente eo cerebro ac inflammato. 13 Impotentiæ vero ideo corpus occupant. 14 Poſtquam venæ pituitam in ſeipſas traxerint, neceſſe eſt præ pituitæ frigiditate, ſanguinem magis nunc ſiſti ac perfrigeratum eſſe quam priori tempore: 15 dum autem ſanguis non movetur, fieri non poteſt ut non etiam corpus quieſcat ac torpeat. 16 Et ſiquidem ſanguis ac reliquum corpus ſuperarint, ita ut caleſcant, homo evadit. 17 Si vero pituita prævaluerit, ſanguis magis perfrigeratur ac congelatur. 18 Et ſi frigiditas ac congelatio augeſcant, penitus congelaſcit ac perfrigeratur homo, & moritur.

IX. Angina. Angina ſive Cynanche fit, quum pituita in capite commota acervatim deorſum fluxerit, 3 & in maxillis ac circa collum conſtiterit. 4 Hic neque ſalivam deglutire poteſt, 5 reſpirat autem violenter ac ſtertit, 6 & aliquando etiam febris ipſum corripit. 7 Et morbus ſane ex hac cauſſa fit: & aliquando ſub ipſam linguam, aliquando paululum ſupra pectus.

X. Uva morbus. 2 Uva fit, quum pituita de capite ad gurgulionem deſcenderit, 3 & gurgulio præ-

 ceps

καταρρήγνυται καὶ γίνεται ἐρυθρός. [4] ἢν δὲ πλείων χρόνος γένηται, μελαίνεται. [5] μελαίνεται δὲ ὧδε. [6] ἐπίφλεβός ἐστιν ὁ γαργαρεὼν καὶ παχύς. [7] καὶ ἐπὴν φλεγμήνῃ, θερμαίνεται. [8] καὶ ὑπὸ τῆς θερμασίης ἕλκει καὶ ἐκ τῆς φλεβὸς τοῦ αἵματος, καὶ μελαίνεται ὑπ' αὐτοῦ. [9] διὰ τοῦτο δὲ καί, ἢν μὴ ὀργῶντα τάμνῃς, παραχρῆμα ἀποσπαράσσουσιν. [10] ἡ γὰρ φλὲψ διαθερμαίνει, καὶ ὑπὸ τῆς θερμασίης ἐμπιπλεῖ τὰ περὶ τὸν γαργαρεῶνα αἵματος, καὶ δι' ὀλίγου ἀποπνίγονται.

XI. Ἀντιάδες. [2] Ἀντιάδες δέ, [3] καὶ ὑπογλωσσίδες, [4] καὶ οὖλα, [5] καὶ γλῶσσα, [6] καὶ ὅσα τοιαῦτα ταύτῃ πεφυκότα, [7] ταῦτα πάντα νοσεῖ ἀπὸ τοῦ φλέγματος. [8] τὸ δὲ φλέγμα ἀπὸ τῆς κεφαλῆς καταβαίνει. [9] ἡ δὲ κεφαλὴ ἐκ τοῦ σώματος ἕλκει. [10] ἕλκει δέ, ὅταν διαθερμανθῇ. [11] διαθερμαίνεται δὲ ὑπὸ σιτίων, καὶ ἡλίου, καὶ πυρός. [12] ὅταν δὲ διαθερμανθῇ, ἕλκει τὸ λεπτότατον ἐς ἑαυτὴν ἐκ τοῦ σώματος· [13] ὅταν δὲ εἰρύσῃ, καταβαίνει καὶ πάλιν ἐς τὸ σῶμα.

XII. Νοῦσοι αἱ ἀπὸ τῆς κεφαλῆς γινόμεναι. [2] Ὅταν πλήρης γένηται ἡ κεφαλή, καὶ τύχῃ ὑπό τινος τούτων διαθερμανθεῖσα, [3] νάρκη ἴσχει τὴν κεφαλήν, [4] καὶ οὐρέει συχνά, καὶ τὰ ἄλλα πάσχει, ἅπερ ὑπὸ στραγγουρίης. [5] ὁ αὐτὸς ἡμέρας ἐννέα ταῦτα πάσχει. [6] καὶ ἢν μὲν ῥαγῇ κατὰ τὰς ῥῖνας, ἢ κατὰ τὰ ὦτα, ὕδωρ καὶ βλέννα, ἀπαλλάττεται τῆς νούσου, [7] καὶ παύεται τῆς στραγγουρίης, οὐρέει τε ἀπόνως, καὶ πουλὺ καὶ λευκόν, ἐς τὰς εἴκοσιν ἡμέρας. [8] καὶ ἡ ἐκ τῆς κεφαλῆς ὀδύνη ἐκλείπει. [9] καὶ

ceps dependet, ac fit rubicundus: [4] temporis autem progressu, nigrescit. [5] Nigrescit autem hoc modo. [6] Venosus est gurgulio ac crassus, [7] & postquam inflammatus est, calescit: [8] & præ caliditate sanguinem ex vena attrahit, ac ab ipso nigrescit. [9] Quapropter & si non turgentem seces, statim inflammatur. [10] Nam vena calefacit, & præ caliditate partes circa gurgulionem sanguine replet, & brevi suffocantur.

XI. Tonsillæ ac vicinæ partes. [2] Tonsillæ, [3] & partes sub lingua, [4] & gingivæ, [5] & lingua, [6] & quæcunque hujusmodi hoc loco consistunt: [7] hæ omnes partes ex pituita ægrotant. [8] Pituita autem de capite descendit. [9] Caput autem ex corpore trahit. [10] Trahit autem ubi fuerit calefactum: [11] percalescit autem à cibis, & sole, & frigore, & laboribus ac febrili calore. [12] Quum vero calefactum fuerit, tenuissimum ex corpore ad seipsum trahit. [13] Ubi vero traxerit, rursus id ad corpus descendit.

XII. Morbi à capite orientes. [2] Quum repletum fuerit caput, & ab aliquo ex relatis percalefactum, [3] torpor caput tenet, [4] & frequenter mingit, & alia patitur quæ ex urinæ stillicidio contingere solent. [5] Idem per novem dies hæc patitur. [6] Et siquidem per nares aut aures aqua & mucus erumpat, à morbo liberatur, [7] & urinæ stillicidium sedatur, mingitque citra dolorem, urinam multam & albam, ad viginti dies. [8] Et dolor capitis cessat, [9] & intuenti

καὶ ἐκ τῶν ὀφθαλμῶν ἐσορῶντι κλέπτεταί οἱ ἡ αὐγή, καὶ δοκέει τὸ ἥμισυ τῶν προσώπων ὁρᾶν. [10] οὗτος τεσσαρακοσταῖος ὑγιὴς παντελῶς γίνεται. [11] ἐνίοισι δὲ πολλοῖσιν ὑποστρέψει ἡ νοῦσος ἑβδόμῳ ἔτει, ἢ τεσσαρεσκαιδεκάτῳ. [12] καὶ τὸ δέρμα οἱ παχύνεται τὸ τῆς κεφαλῆς, καὶ ψαυόμενον ὑπείκει, [13] καὶ ἀπ᾽ ὀλίγων σιτίων ἁπαλὸς καὶ εὔχροος φαίνεται, [14] καὶ ἀκούει οὐκ ὀξέα. [15] ὅταν οὕτως ἔχοντι ἐπιτύχῃς ἀρχομένῃ τῆς νούσου, [16] πρόσθεν ἢ ῥαγῆναι κατὰ τὰς ῥῖνας τὸ ὕδωρ, καὶ κατὰ τὰ ὦτα, καὶ ἔχει αὐτὸν ἡ περιωδυνίη, [17] ἀποξυρήσαντα χρὴ αὐτοῦ τὴν κεφαλὴν, [18] περιδέοντα περὶ τὸ μέτωπον τὸν ἀσκὸν τὸν σκύτινον ὕδατος ἐμπιπλῶντα, ὡς ἂν ἀνέχηται θερμοτάτου, ἐᾶν αὐτὸν χλιαίνεσθαι. [19] καὶ ἐπὴν ἀποψυχθῇ, ἕτερον ἔχειν. [20] ἢν δὲ ἀσθενέῃ, παύεσθαι. [21] καὶ διαλιπὼν αὖθις ποιέειν ταυτὰ, ἕως ἂν χαλάσῃ ἡ περιωδυνίη. [22] καὶ, ἢν ἡ κοιλίη μὴ ὑποχωρέῃ, ὑποκλύσαι αὐτόν. [23] καὶ πιπίσκοντα τῶν οὐρητικῶν, μελίκρητον διδόναι ἐπιπίνειν ὑδαρέα. [24] καὶ θάλπεσθαι ὡς μάλιστα. [25] ῥοφανέτω δὲ τὸν χυλὸν τῆς πτισάνης λεπτόν. [26] ἢν δὲ ἡ γαστὴρ μὴ ὑποχωρέῃ, λινόζωστιν ἑψήσας ἐν ὕδατι τρίζων, διηθέων τὸν χυλὸν, [27] συμμίσγειν ἴσον τοῦ ἀπὸ τῆς πτισάνης χυλοῦ, καὶ τοῦ ἀπὸ τῆς λινοζώστιος, καὶ μέλι ὀλίγον παραμίσγειν ἐς τὸν χυλόν. [28] τοῦτον ῥοφανέειν τρὶς τῆς ἡμέρης, καὶ ἐπιπίνειν οἶνον μελιχρὸν, ὑδαρέα, λευκὸν, ὀλίγον, ἐπὶ τῷ ῥοφήματι. [29] ἐπὴν δέ οἱ ῥαγῇ κατὰ τὰς ῥῖνας τὰ βλεννώδεα, καὶ οὐρέῃ παχὺ, καὶ τῆς ὀδύνης ἀπηλλαγμένος ἐκ τῆς κεφαλῆς, [30] τῷ ἀσκῷ μηκέτι χρῆσθαι, ἀλλὰ

tuenti splendor ex oculis subtrahitur; & dimidiatas rerum facies se videre putat. [10] Hic quadragesima die penitus sanus evadit. [11] Multis vero quandoque morbus redit, septimo aut decimo quarto anno. [12] Et capitis cutis ipsi crassescit, & ad tactum cedit: [13] & de paucis cibis tener ac bene coloratus apparet, [14] & non acutum auditum habet. [15] Quum ita habentem offenderis in principio morbi, [16] priusquam erumpat aqua per nares & aures, & tenuerit ipsum dolor: [17] deraso capite utrem coriaceum circum frontem [18] deligare oportet, aqua plenum calidissima, quartum sustinere potest, atque hinc ipsum calefieri permittere. [19] & ubi perfrigeratus fuerit, alium adhibere. [20] Si vero hinc debilitetur, desistere: [21] ac tempore interposito eadem repetere, donec remiserit dolor. [22] Et si alvus non egerat, infusum per clysterem immittere, [23] & urinam cientibus in potu datis, aquam mulsam aquosam insuper bibendum exhibere: [24] & calore quam maxime foveatur. [25] Sorbeat autem succum ptisanæ tenuem. [26] Si vero venter non subeat, mercurialem in aqua coctam tertio, ac succum excolato, [27] & de ipso, ac de ptisanæ succo, parem mensuram permisceto, & modicum mellis adjicito. [28] Hunc succum ter in die sorbeat; & vinum mellei coloris, aquosum, album modicum, à sorbitione insuper bibat. [29] Postquam autem eruperint ipsi per nares mucosa, & urinam crassam ejecerit, & à dolore capitis liberatus fuerit, [30] utre amplius ne utatur, sed mul-

ἀλλὰ λουόμενος πολλῷ θερμῷ πινέτω τὰ διουρητικὰ καὶ μελίκρητον ὑδαρέα. 31 καὶ τὰς μὲν πρώτας ἡμέρας κέγχρον λειχέτω, 32 καὶ κολοκύντην ἐσθιέτω, ἢ τεῦτλα, τρεῖς ἡμέρας. 33 ἔπειτα σιτίοισι χρήσθω ὡς μαλθακωτάτοισι καὶ διαχωρητικωτάτοισι, προστιθεὶς ὀλίγον αἰεὶ τῶν σιτίων. 34 ἐπὴν δὲ τεσσαράκοντα ἡμέραι διέλθωσι· καθίσταται γὰρ μάλιστα ἡ νοῦσος ἐν τοσούτῳ χρόνῳ· 35 καθήρας αὐτοῦ τὴν κεφαλὴν, πρότερον, οἱ φάρμακον δοὺς, κάτω κάθηρον. 36 ἔπειτα, ἢν ὥρη ἦ τοῦ ἔτεος, ὀρὸν πιπίσκειν ἑπτὰ ἡμέρας· ἢν καὶ ἀσθενὴς ἦ, ἐλάσσονας. 37 ἢν δὲ ὑποστρέψῃ ἡ νοῦσος, πυριάσας αὐτὸν ὅλον ἐς αὔριον, διδόναι ἐλλέβορον πίνειν. 38 κἄπειτα διαλείπειν, ὅσον ἄν σοι δοκῇ χρόνον, 39 καὶ τότε τὴν κεφαλὴν καθήρας κατωτερικὸν δοὺς φάρμακον, 40 καῦσον τῆς κεφαλῆς ἐσχάρας ὀκτώ· 41 δύο μὲν παρὰ τὰ ὦτα, 42 δύο δὲ ὄπισθεν τῆς κεφαλῆς, [43 δύο] ἔνθεν καὶ ἔνθεν ἐν τῇ κοτίδι, 44 δύο ἐν τῇ ῥινὶ παρὰ τοὺς κανθούς. 45 τὰς φλέβας καίειν δὲ τὰς μὲν παρὰ τὰ ὦτα, ἕως ἂν παύσωνται σφύζουσαι. 46 τοῖσι δὲ σιδηρίοισι, σφηνίσκους ποιησάμενος, διακαίειν πλαγίας τὰς φλέβας. 47 ταῦτα ποιήσαντι ὑγιείη ἐγγίνεται.

XIII. Ἄλλη νοῦσος. 2 Ἑλκέων καταπίμπλαται τὴν κεφαλὴν, 3 καὶ τὰ σκέλεα οἰδίσκεται, ὥσπερ ἀπὸ ὑδροποσίης, καὶ ἐν τῇσι κνήμῃσιν ἐμπλάσσεται, 4 καὶ ἢν πιέσῃς, ἡ χροιὴ ἰκτερώδης, 5 καὶ ἐκφύει ἑλκέα ἄλλοτε ἄλλῃ, μάλιστα δὲ περὶ τὰς κνήμας, καὶ φαίνεται πονηρὰ προσιδεῖν. 6 ἀποφλεγμήναντα δὲ, ταχέως ὑγιέα γίνονται. 7 καὶ πυρετὸς

multa calida lotus, urinam cientia, & aquam mulsam aquosam bibat. 31 Et primis quidem diebus milium delingat, 32 & cucurbitam edat, aut betas per triduum. 33 Deinde cibis utatur mollissimis ac quam maxime per alvum subeuntibus, ita ut semper modicum ad cibos priores addat. 34 At ubi quadraginta dies præterierint, (sedatur enim morbus maxime in tanto tempore,) 35 capite ipsius purgato, prius medicamento exhito, ipsum deorsum purgato, si tempus anni hoc permittat. 36 Deinde serum ad dies septem bibendum dato, aut pauciores, si debilis existat. 37 Si vero morbus revertatur, fomento per totum corpus adhibito, postridie veratrum bibendum dato. 38 Deinde quanto tempore tibi visum fuerit intermittito, 39 & tunc capite purgato, medicamento deorsum purgante exhibito, 40 crustas octo capiti inurito: 41 duas circa aures, 42 duas in occipitio, 43 hinc atque hinc ad cervicis nervum, 44 duas in naso circa angulos oculorum. 45 Venæ autem circa aures urendæ sunt, donec pulsare desinant. 46 Ferramentis vero cuneoli forma paratis obliquas venas perurito. 47 Atq; hæc ubi feceris, sanitas continget.

XIII. Alius morbus. 2 Ulceribus impletur caput, 3 & crura intumescunt, velut ab aquæ potu, & in tibias tumor infarcitur, 4 & si premas, color morbi regii apparet, 5 & ulcera alias alia corporis parte erumpunt, maxime tamen circa tibias, & malum aspectum præ se ferunt. 6 Ubi vero inflammatione liberata sunt, cito sana fiunt: 7 & febris

τοτὲ ἄλλοτε καὶ ἄλλοτε λαμβάνει.
[8] καὶ ἡ κεφαλὴ αἰεὶ θερμὴ γίνεται,
καὶ ἐκ τῶν ὤτων ὕδωρ ῥέει. [9] ὅταν οὔ-
τως ἔχῃ, φάρμακον οἱ δοῦναι, ὑφ'
οὗ φλέγμα καὶ χολὴ καθαρεῖται ἄνω.
[10] ἢν μὲν ψῦχος ἔῃ, προπυριάσας
καὶ λούσας θερμῷ, [11] ἔπειτα, διαλεί-
πων ἡμέρας τρεῖς, τὴν κεφα-
λὴν καθῆραι. [12] μετὰ δὲ, κάτω φάρ-
μακον πίσαι. [13] ἢν δὲ ὥρη ἔῃ, καὶ
45 ὀῤῥὸν μεταπιέτω· [14] εἰ δὲ μὴ,
γάλα ὄνου. [15] μετὰ δὲ τὰς καθάρσιας,
σιτίοισιν ὡς ἐλαχίστοισι χρήσθω, καὶ
διαχωρητικωτάτοισι, [16] καὶ ἀλου-
τείτω. [17] ἢν δὲ ἡ κεφαλὴ ἑλκῶται,
τρύγα κατακαίων οἰνηρὴν [18] [καὶ]
σμῆγμα ποιῶν σύμμισγε τῆς βα-
λάνου τὸ ἔκλεμμα λεῖον τρίβων,
[19] λίτρον συμμίσγων ἴσον ἀποσμή-
ξας τούτοισι, λούσθω πολλῷ θερμῷ.
[20] χρίσθω δὲ τὴν κεφαλὴν, δαφνί-
145 δας τρίψας, καὶ κηκίδας, καὶ σμύρ-
ναν, καὶ λιβανωτὸν, καὶ ἀργύρου ἄν-
θος, καὶ ὕειον ἄλειφαρ, καὶ δάφνινον
ἔλαιον· ταῦτα μίξας χρίειν. [21] τὸν
δὲ μετὰ ταῦτα χρόνον, ἐμέτοισι
χρήσθω τρὶς τοῦ μηνὸς, [22] καὶ γυμνα-
ζέσθω καὶ θερμολουτείτω. [23] ἢν δέ
τοι, ταῦτα ποιέοντι, ἐκ μὲν τοῦ ἄλλου
σώματος ἡ νοῦσος ἐξεληλύθῃ, ἐν δὲ
τῇ κεφαλῇ ἔτι ἑλκεά οἱ γίνηται, [24]
5 καθήρας τὴν κεφαλὴν αὖθις, φάρ-
μακον κάτω μεταπίσαι. [25] ἔπειτα,
ξυρήσας τὴν κεφαλὴν, καταταμεῖν
τομὰς ἀραιάς· [26] καὶ, ἐπὴν ἀποῤ-
ῥυῇ τὸ αἷμα, ἀνατρίψαι. [27] ἔπειτα
εἴρια πινόεντα οἴνῳ ῥαίνων ἐπι-
δεῖν, [28] καὶ ἐπὴν ἀπολύσῃς, σπογ-
γίζειν καὶ μὴ βρέχειν. [29] ἔπειτα κυ-
πάρισσον ἐπιπάσσειν, ἐλαίῳ ἐπι-
χέων. [30] τοῖσι δὲ εἰρίοισι ἐπιδέ-
σμοισι χρήσθω, ἕως ἂν ὑγιὴς γένη-
ται.

febris alias atque alias corripit:
[8] 'Caput autem semper calidum 155
est, & ex auribus aqua fluit.
[9] Quum ita habet, medicamen-
tum ei dandum est, à quo pi-
tuita & bilis sursum purgatur;
[10] siquidem frigus fuerit, præ-
foto ac calida loto. [11] Deinde
tribus diebus interpositis caput
purgato. [12] Postea etiam deor-
sum purgans medicamentum
bibendum dato. [13] Si vero tem-
pus anni ferat, etiam serum
postea bibat: [14] sin minus, lac
asininum. [15] 'Post purgationes, 160
cibis quam paucissimis, & quam
maxime per alvum subeuntibus
utatur, [16] & non lavet. [17] Si
caput exulceratur, fecem vini
[18] comburito ad smegma fa-
ciendum, & glandis corticem
tritum lævigatum ammisceto,
[19] & pari nitro ammixto, his
defrictus multa calida lavetur.
[20] Inungat autem caput baccis
lauri tritis, & gallis, myrrha,
& thure, & argenti flore, adipe-
que suillo ac oleo 'laurino. His 165
26 permixtis inungatur. [21] Post
hoc autem tempus vomitibus
utatur bis in mense, [22] & exer-
ceat se, ac calida lavet. [23] At si
his adhibitis, ex reliquo qui-
dem corpore morbus fuerit ex-
clusus, verum in capite ipsi ul-
cera adhuc fiant, [24] rursus ca-
pite purgato, medicamentum
deorsum purgans postea biben-
dum dato. [25] Deinde raso capi-
te fissuras raras incutito, [26] &
ubi sanguis effluxerit confrica-
to. [27] Postea 'lanas succidas vi- 170
no imbutas superligato, [28] &
postquam exolveris, spongia de-
tergito, & ne humectato. [29]
Deinde oleo sublito cupressum
inspergito. [30] Laneis autem deli-
gamentis donec sanus fiat utatur.

XIV. Ἄλλη νοῦσος. ² Περιωδυνίη λαμβάνει τὴν κεφαλὴν, ³ καὶ, ἐπὴν κινήσῃ τις ἧσσον, ἐμέει χολήν. ⁴ ἐνίοτε δὲ καὶ δυσουρέει καὶ παραφρονέει. ⁵ ἐπὴν δὲ ἑβδομαῖος γένηται, ἐνίοτε ἀποθνήσκει. ⁶ ἢν δὲ τὴν [μὲν] ἑβδόμην διέλθῃ, καὶ ἐναταῖος ἢ ἑνδεκαταῖος ᾖ, ⁷ ἢν μή οἱ ῥαγῇ κατὰ τὰς ῥῖνας, ἢ κατὰ τὰ ὦτα. ⁸ ἢν δὲ ῥαγῇ, ὑπεκφυγγάνει. ⁹ ῥεῖ δὲ ὑπόχολον ὕδωρ. ¹⁰ ἔπειτα τοῦ χρόνου πῦον γίνεται ἐκσαπέν. ¹¹ ὅταν οὖν οὕτως ἔχῃ, ἕως μὲν ἂν ἡ περιωδυνίη ἔχῃ, ¹² κατ' ἀρχὰς, πρὶν ῥαγῆναι ἐκ τῶν ῥινῶν καὶ τῶν ὤτων, σπόγγους ἐν ὕδατι θερμῷ βρέχων, ἆσσον προστιθέναι πρὸς τὴν κεφαλήν. ¹³ ἢν δὲ μὴ τουτέοισι χαλᾷ, τῷ ἀσκῷ χρῆσθαι τῷ αὐτῷ τρόπῳ, ὥσπερ ἐπὶ τῆς προτέρης. ¹⁴ πινέτω δὲ μελίκρητον ὑδαρέα. ¹⁵ ἢν δὲ μὴ ἀπὸ τοῦ μελικρήτου, τὸ ἀπὸ τῶν κρίμνων ὕδωρ πινέτω. ¹⁶ ῥοφανέτω δὲ τὸν χυλὸν τῆς πτισάνης, καὶ ἐπιπινέτω λευκὸν οἶνον ὑδαρέα. ¹⁷ ἐπὴν δὲ ῥαγῇ κατὰ τὰ ὦτα, καὶ ὁ πυρετὸς ἀνῇ, καὶ ἡ ὀδύνη, ¹⁸ σιτίοισι χρήσθω διαχωρητικοῖσιν, ἀρξάμενος ἐξ ὀλίγων, προστιθεὶς αἰεί. ¹⁹ καὶ λούσθω θερμῷ κατὰ τῆς κεφαλῆς. ²⁰ καὶ τὰ ὦτα διακλύζειν ὕδατι καθαρῷ, καὶ ἐντιθέναι σπόγγιον μέλιτι ἐμβάπτων. ²¹ ἢν δέ τοι μὴ ξηραίνηται οὕτως, ἀλλὰ χρόνιον γίνηται τὸ ῥεῦμα, ²² διακλύσας ἐμβάλλειν ἀργύρου ἄνθος, σανδαράχην, ψιμμύθιον, ἴσον ἑκάστου, λεῖα τρίβων, ἐμπιπλὰς τὸ οὖς σάσσειν, ²³ καὶ, ἢν παραῤῥέῃ, ἐπεμβάλλειν τοῦ φαρμάκου. ²⁴ ἐπὴν δὲ ξηρὸν γένηται τὸ οὖς, ἐκκαθήρας ἐκλύσαι τὸ φάρμακον. ²⁵ ἔπειτα κωφὸν γὰρ γίνεται τὸ πρῶτον ἀποξηρανθέν·

XIV. Alius morbus. ² Dolor caput corripit, ³ & si paululum moveatur, bilem vomit. ⁴ Quandoque etiam urinam difficulter emittit, ac desipit, ⁵ & septima die quandoque moritur: ⁶ & nona quoque ac undecima, septimam transgressus, ⁷ si non eruperit per nares aut aures: ⁸ si vero eruperit, evadit. ⁹ Fluit autem aqua subbiliosa: ¹⁰ deinde temporis progressu putrefacta pus fit. ¹¹ Quum igitur ita habuerit, quandiu quidem dolor tenuerit ¹² in principio, priusquam ex naribus ac auribus erumpat, spongias aqua calida imbutas cito capiti admoveto. ¹³ Si vero his non laxetur, utre utaris eodem modo velut in superiore morbo. ¹⁴ Bibat autem aquam mulsam aquosam. ¹⁵ Sin minus, aquam de farina crassa in ipsa macerata. ¹⁶ Sorbeat ptisanæ quoque succum, & vinum album aquosum insuper bibat. ¹⁷ Postquam vero per aures eruperit, & febris ac dolor remiserit, ¹⁸ cibis utatur per alvum subeuntibus, à modicis initio facto, semper aliquid addendo. ¹⁹ Et caput calida lavetur: ²⁰ & aures colluat aqua pura, & spongiam melle tinctam indat. ²¹ Si vero neque sic resiccetur, sed diuturna fluxio fiat, ²² collutione facta, argenti florem, sandaracham, cerusam, singula æquis portionibus trita lævigataque in aurem indito, eamque expleto: ²³ & si quid præterlabatur, de medicamento amplius superaddito. ²⁴ Ubi vero resiccata fuerit auris, expurgato ac medicamentum eluito. ²⁵ Postea (obsurdescit enim primum resiccata) lenibus fomen-

ἐξερασθὲν· πυριᾶν αὐτοῦ βληχρῇσι πυρίῃσι τὰ ὦτα. 26 καταστήσεται γὰρ οὕτω μόλις καὶ ἐν χρόνῳ. 27 ἀποθνήσκουσι δὲ ' καὶ, ἢν ἐς τὸ οὖς περιωδυνίη γινομένη μὴ ῥαγῇ ἐν τῇσιν ἑπτὰ ἡμέρῃσιν. 28 τοῦτον λούειν πολλῷ θερμῷ, καὶ σπόγγους ἐν ὕδατι θερμῷ βρέχων [καὶ] " ἐκμάσσων, χλιαροὺς προστιθέναι πρὸς τὸ οὖς. 29 ἢν δὲ μηδὲ οὕτω ῥήγνυται, πυριᾶν αὐτοῦ τὸ οὖς. 30 ῥοφήμασι δὲ καὶ πόμασι τοῖσιν αὐτοῖσι χρῆσθαι, οἷσι περ ἐπὶ τοῖσι πρόσθεν.

XV. Ἑτέρη νοῦσος. 2 " Ἢν ὕδωρ ἐπὶ τῷ ἐγκεφάλῳ γένηται, ὀδύνη ὀξείη ἴσχει διὰ τοῦ βρέγματος καὶ τῶν κροτάφων ἄλλοτε ἄλλῃ. 3 καὶ ῥῖγος καὶ ' πυρετὸς ἄλλοτε καὶ ἄλλοτε. 4 καὶ τὰς χώρας τῶν ὀφθαλμῶν ἀλγέει, καὶ ἀμβλυώσσει, 5 καὶ ἡ κόρη σχίζεται, καὶ δοκέει ἐκ τοῦ ἑνὸς δύο ὁρᾶν, 6 καὶ ἢν ἀναστῇ, σκοτοδινίη μιν λαμβάνει, 7 καὶ τὸν ἄνεμον οὐκ ἀνέχεται, οὐδὲ τὸν ἥλιον. 8 καὶ τὰ ὦτα τέτριγε, καὶ τῷ ψόφῳ ἄχθεται ἀκούων. 9 καὶ ἐμέει σίαλα καὶ λάπην, ἐνίοτε δὲ καὶ τὰ σιτία. 10 καὶ τὸ δέρμα λεπτύνεται τῆς κεφαλῆς, καὶ ἥδεται ψαυόμενος. 11 ὅταν οὕτως ἔχῃ, πρῶτον μὲν δοῦναί οἱ πιέειν φάρμακον, ὅ, τι ἄνω φλέγμα ἄξει. 12 καὶ ' μετὰ τοῦτο τὴν κεφαλὴν καθῆραι. 13 ἔπειτα διαλείπων, φάρμακον πίσαι κάτω. 14 ἔπειτα σιτίοισιν ἀνακομίζειν αὐτὸν ὡς ὑποχωρητικωτάτοισιν, ὀλίγα αἰεὶ προστιθείς. 15 ἐπὴν δὲ κατεσθίῃ ἤδη τὰ σιτία ἀρκοῦντα, ἐμέτοισι χρήσθω νῆστις, 16 τῷ φακίῳ συμμίσγων μέλι καὶ ὄξος, λάχανα προτρώγων. 17 καὶ τῇ ἡμέρῃ ταύτῃ, ᾗ ἂν ἐμέσῃ, " πρῶτον μὲν κυκεῶνα πινέτω λεπτόν. 18 ἔπειτα ἐς ἑσπέρην σιτίοισιν ὀλίγοισι χρήσθω,

tis aures foveto. 26 Nam & sic vix ac longo tempore sedabitur. 27 Moriuntur autem etiam, si dolor in aure fuerit, & nihil in septem diebus eruperit. 28 Hunc multa calida lavato, & spongias aqua calida imbutas exprime, & tepidas ad aurem appone. 29 Si vero neque sic erumpat, auri fomentum adhibeto. 30 Sorbitionibus autem ac potionibus iisdem utatur quibus in superioribus.

XV. ' Alius morbus. 2 Si aqua in cerebro fuerit, dolor acutus per sinciput ac tempora emergit, alias alio loco: 3 & rigor ac febris alias atque alias, 4 & regiones oculorum dolet, & cæcutit, 5 & pupilla finditur, & ex uno duo se videre putat, 6 & si surrexerit, vertigo ipsum corripit, 7 & ventum non sustinet, neque solem: & aures tinniunt, ac inter audiendum strepitu offenditur: 9 & vomit salivam ac pituitam, ' quandoque etiam cibos: 10 & capitis cutis attenuatur, & contactu gaudet. 11 Quum sic habuerit, primum dandum est ipsi medicamentum quod sursum pituitam educit, 12 & postea caput purgato. 13 Deinde interposito tempore medicamentum deorsum purgans bibendum dato. 14 Postea cibis quam maxime alvum subeuntibus ipsum reficito, semper modica addendo. 15 Postquam vero comederit jam cibos ' sufficientes, vomitibus jejunus utatur, 16 lenticulæ decocto mel & acetum miscens, & olera antea comedens: 17 & in die illa qua vomuerit, primum cyceonem bibat tenuem: 18 postea ad vesperam cibis modicis utatur, & non lavet,

χρήσθω, καὶ ἀλουτείτω, [19] καὶ περιπατείτω ἀπὸ τῶν σιτίων, καὶ ὄρθρου, [20] φυλασσόμενος τὸν ἄνεμον καὶ τὸν ἥλιον, [21] καὶ πρὸς πῦρ μὴ προσίτω. [22] καὶ, ἢν μὲν τοιαῦτα ποιέων, ὑγιὴς γένηται· [23] εἰ δὲ μὴ, προκαθήρας αὐτὸν τοῦ ἦρος, πρῶτον μὲν ἐλλεβόρῳ, [24] ἔπειτα καὶ ἐς τὰς ῥῖνας ἐγχέαι φάρμακον, [25] καὶ, διαλιπὼν ὀλίγον χρόνον, κάτω καθῆραι. [26] ἔπειτα ἀνακομίσαι σιτίοισιν. [27] εἶτα καταταμὼν τὴν κεφαλὴν κατὰ τὸ βρέγμα, [28] τρυπῆσαι πρὸς τὸν ἐγκέφαλον, [29] καὶ ἰῆσθαι ὡς πρίσμα.

XVI. Ἄλλη νοῦσος. [2] Ῥῖγος, καὶ ὀδύνη, καὶ πυρετὸς διὰ τῆς κεφαλῆς. [3] μάλιστα δὲ καὶ ἐς τὸ οὖς, καὶ ἐς τοὺς κροτάφους, καὶ ἐς τὸ βρέγμα, καὶ τὰς χώρας τῶν ὀφθαλμῶν ἀλγεῖ. [4] καὶ αἱ ὀφρύες δοκέουσιν οἱ ἐπικέεσθαι. [5] καὶ τὴν κεφαλὴν βάρος ἔχει. [6] καὶ, ἤν τις μιν κινήσῃ, οὐρήσει, εἰ καὶ οὐρέει πολὺ καὶ ῥηϊδίως. [7] καὶ τοὺς ὀδόντας ναρκᾷ, καὶ αἱμωδίην ἔχει. [8] καὶ αἱ φλέβες αἴρονται καὶ σφύζουσι τῇ κεφαλῇ. [9] καὶ οὐκ ἀνέχεται ἠρεμέων, ἀλλ' ἀλύει καὶ ἀλλοφρονέει ὑπὸ τῆς ὀδύνης. [10] τούτῳ, ἢν μὲν κατὰ τὰς ῥῖνας ἢ κατὰ τὰ ὦτα ῥαγῇ, ὕδρωψ ῥέει ὑπόπυος, καὶ ὑγιὴς γίνεται. [11] ἢν δὲ μὴ, ἀποθνήσκει ἐν ἑπτὰ ἡμέρῃσιν ὡς τὰ πολλά. [12] αὕτη ἡ νοῦσος γίνεται μάλιστα ἐκ λειπυρίης, [13] ἐπὴν ἀπαλλαγεὶς τοῦ πυρὸς, ἀκάθαρτος ἐὼν, ἢ σιτίων ἐμπλησθῇ, ἢ θωρηχθῇ, ἢ ἐν ἡλίῳ κάμῃ. [14] ὅταν οὕτως ἔχῃ, πρῶτον μὲν ἀφεῖναι ἀπὸ τῆς κεφαλῆς τοῦ αἵματος, ὁπόθεν ἄν σοι δοκέῃ. [15] ἐπὴν δὲ ἀφῇς, τὴν κεφαλὴν ξυρήσας ψύγματα οἱ προσφέρειν. [16] καὶ, ἢν μὴ ὑποχωρέῃ ἡ γαστὴρ, ὑποκλύσαι. [17] πίνειν δὲ

vet, [19] & à cibis deambulet, itemque mane, [20] vitans ventum ac solem, & ad ignem ne accedat. [21] Et siquidem talia faciens, sanus fiat, bene est: [22] sin minus, vere ubi ipsum prius purgaris, primum veratro, [23] postea etiam in nares medicamentum infundito. [24] & pauco tempore interposito deorsum purgato. [25] Deinde cibis reficito. [26] Postea inciso capite juxta sinciput, [27] ad cerebrum usque perforato, [28] & veluti sectionem ac perforationem curato.

XVI. Alius morbus. [2] Rigor, dolor, & febris per caput: [3] maxime ad aurem, & ad tempora, & ad sinciput, & oculorum regiones dolet, [4] & supercilia ipsi incumbere videntur, [5] & gravitas caput detinet, [6] & si quis ipsum moverit minget, & multum ac facile mingit: [7] & dentes torpent, & stupor ipsos tenet, [8] & venæ attolluntur ac pulsant in capite, [9] & non potest quietus esse, sed anxius est ac desipit præ dolore. [10] Huic siquidem per nares aut aures eruperit, aqua profluit subpurulenta, & sanus evadit. [11] Sin minus, plerunque in septem diebus moritur. [12] Hic morbus maxime fit ex febre lipyria, [13] quum liberatus à febre, nondum purgatus, aut cibis se impleverit, aut inebriatus fuerit, aut in sole laborarit. [14] Quum sic habuerit, primum sanguinem de capite mittito, undecunque tibi visum fuerit. [15] Et post sanguinis missionem, raso capite perfrigeratoria ipsi adhibeto. [16] Et si alvus non subeat, infusum per clysterem immittito. [17] In potu vero prisanæ

δὲ διδόναι τὸν ἀπὸ τῆς πτισάνης χυλὸν ψυχρὸν, καὶ ἐπιπίνειν ὕδωρ. [18] ἢν δέ οἱ πρὸς τὰ ψύγματα μὴ χαλᾷ, μεταβαλὼν, τῷ ἀσκῷ χρῆσθαι καὶ θερμαίνειν. [19] ἐπὴν δὲ παύσηται ἡ ὀδύνη, σιτίοισι χρήσθω διαχωρητικοῖσι, καὶ μὴ ἐμπιπλάσθω. [20] ἐπὴν δὲ εἰκοσταῖος γένηται, πεπαυμένης τῆς ὀδύνης, πυριήσας αὐτοῦ τὴν κεφαλὴν, πρὸς τὰς ῥῖνας φάρμακον προστιθέναι, [21] καὶ διαλιπὼν ἡμέρας τρεῖς, φάρμακον πῖσαι κάτω.

XVII. Ἑτέρη νοῦσος. [2] Ἢν ὑπεραιμήσωσι τὰ φλέβια ἔναιμα, τὰ περὶ τὸν ἐγκέφαλον, θερμαίνῃ τὸν ἐγκέφαλον, [3] πυρετὸς ἴσχει ἰσχυρὸς, [4] καὶ ὀδύνη ἐς τοὺς κροτάφους, καὶ τὸ βρέγμα, καὶ ἐς τὸ ὄπισθεν τῆς κεφαλῆς. [5] καὶ τὰ ὦτα ἠχεῖ, καὶ πνεύματος ἐμπίπλαται, καὶ ἀκούει οὐδέν. [6] καὶ ἀλύει, καὶ ῥιπτάζει αὐτὸς ἑωυτὸν ὑπὸ τῆς ὀδύνης. [7] οὗτος ἀποθνήσκει πεμπταῖος ἢ ἑκταῖος. [8] ὅταν οὕτως ἔχῃ, θερμαίνειν αὐτοῦ τὴν κεφαλήν. [9] ἢν γὰρ ῥαγῇ διὰ τῶν ὤτων ἢ τῶν ῥινῶν ὕδωρ, οὕτως ἐκφυγγάνει τὸν ὄλεθρον. [10] ἢν δ' ἐκφύγῃ τὰς ἡμέρας τὰς ἕξ, διαιτᾶν αὐτὸν, ὥσπερ τὴν προτέρην.

XIIX. Ἑτέρη νοῦσος. [2] Ἢν ὑπεραιμήσωσιν αἱ φλέβες ἐς τὴν κεφαλὴν, [3] ὀδύνη ἔχει βαρείη τὴν κεφαλὴν πᾶσαν, καὶ ἐς τὸν τράχηλον, [4] καὶ μεταβάλλει ἄλλοτε ἄλλῃ τῆς κεφαλῆς. [5] καὶ ἐπειδὰν ἀναστῇ, σκοτοδινίη μιν ἴσχει. [6] πυρετὸς δὲ οὐ λαμβάνει. [7] ὁπόταν οὕτως ἔχῃ, ξυρήσας τὴν κεφαλὴν, [8] ἢν μὴ τοῖσι χλιάσμασιν ὑπακούῃ, [9] σχάσαι ἀπὸ τῆς κεφαλῆς τὸ μέτωπον, ᾗ ἀπολήγει τὸ δασύ. [10] ἐπὴν δὲ τάμῃς, διαστείλας τὸ δέρμα, ὅταν ἀποῤῥυῇ τὸ αἷμα, ἅλσι λεπτοῖσι διαπά-

sanæ succum frigidum dato, & aquam insuper bibendam. [18] Si vero ad perfrigeratoria non remittat, transmutatione facta, utre utitor ac calefacito. [19] postquam autem quieverit dolor, cibis utatur alvum subeuntibus, & ne impleatur. [20] Ubi vero vigesimum diem attigerit, sedato dolore, fomento capiti ipsius adhibito, ad nares medicamentum apponito, [21] & interposito triduo medicamentum deorsum purgans exhibeto.

XVII. Alius morbus. [2] Si venæ circa cerebrum sanguinem superevomuerint, ac cerebrum calefecerint, [3] febris emergit fortis, [4] & dolor ad tempora, & sinciput, ac posteriorem capitis partem, [5] & aures tinniunt ac flatu implentur, & nihil audit, [6] & anxius est, & seipsum præ dolore jactat. [7] Hic quinta aut sexta die moritur. [8] Quum sic habuerit, caput ipsius calefacito. [9] Si enim per aures aut nares aqua eruperit, mortem effugit. [10] Si vero sex dies evaserit, victum ipsi velut in superiore morbo constituito.

XIIX. Alius morbus. [2] Si venæ superevomuerint in caput, [3] dolor gravis totum caput tenet, & ad collum, [4] & alias ad alias capitis partes transit. [5] Et ubi surrexerit, vertigo ipsum corripit, [6] febris autem non invadit. [7] Quum igitur sic habuerit, deraso capite, [8] si non calefactoriis cesserit, [9] frontem ea parte qua capillus desinit à capite findito: [10] ubi vero secueris, disparata ac diducta cute, quum sanguis defluxerit, salem tenuissimum inspergito.

διαπιέσαι. 11 ἐπὴν δὲ ἐξίῃ τὸ αἷμα ἀποῤῥυῇ, ξυνθεὶς τὴν τομὴν, κρόκῃ διπλῇ καταλίξαι πᾶσαν τὴν τομήν. 12 ἔπειτα περιχρίσας τῇ κηρωπίσσῃ, σπληνίσκον ἐπιθεὶς κάτω ἐπὶ τῷ ἕλκει, εἴριον πινόεν ἐπιθεὶς καταδῆσαι, 13 καὶ μὴ λῦσαι ἄχρις ἑπτὰ ἡμερέων, ἢν μὴ ὀδύνη ἔχῃ· 14 ἢν δὲ ἔχῃ, ἀπολῦσαι. 15 διδόναι δὲ, ἕως ἂν ὑγιὴς γένηται, πίνειν μὲν τὸ ἀπὸ τῶν κριμνῶν, 16 ῥοφάνειν δὲ τὸν χυλὸν τῆς πτισάνης, καὶ ἐπιπίνειν ὕδωρ.

XIX. Ἕτερος νοῦσος. 2 Ἢν δὲ χολᾷ ὁ ἐγκέφαλος, πυρετὸς ἴσχει βληχρὸς, καὶ ῥῖγος, 3 καὶ ὀδύνη διὰ τῆς κεφαλῆς πάσης, μάλιστα δὲ ἐς τοὺς κροτάφους, καὶ ἐς τὸ βρέγμα, καὶ ἐς τὰς χώρας τῶν ὀφθαλμῶν. 4 καὶ αἱ ὀφρύες ἐπικρέμασθαι δοκέουσι. 5 καὶ ἐς τὰ ὦτα ὀδύνη φοιτᾷ. 6 καὶ ἐνίοτε καὶ κατὰ τὰς ῥῖνας χολὴ ῥέει, καὶ ἀμβλυώσσουσι τοῖσιν ὀφθαλμοῖσι. 7 καὶ τοῖσι μὲν πλείστοισιν ἐς τὸ ἥμισυ τῆς κεφαλῆς ἡ ὀδύνη ἐσφοιτᾷ· 8 γίνεται δὲ καὶ ἐν πάσῃ τῇ κεφαλῇ. 9 ὅταν οὕτως ἔχῃ, ψύγματά οἱ προστιθέναι πρὸς τὴν κεφαλήν. 10 καὶ, ἐπὴν ἥ τε ὀδύνη καὶ τὸ ῥεῦμα παύηται, σελίνου χυλὸν ἐς τὰς ῥῖνας ἐνστάζειν. 11 καὶ ἀλουτείτω, ἕως ἂν ἡ ὀδύνη ἔχῃ. 12 καὶ ῥοφανέτω κέγχρου λεπτὸν, μέλι ὀλίγον παραχέων. καὶ πινέτω ὕδωρ. 13 ἢν δὲ μὴ ὑποχωρέῃ, κράμβας τρωγέτω, καὶ τὸν χυλὸν ῥοφανέτω. 14 ἢν δὲ μὴ, τῆς ἀκτῆς τὰ φύλλα τὸν αὐτὸν τρόπον. 15 καὶ, ἐπὴν σοι δοκέῃ καιρὸς εἶναι, σιτία προσφέρειν ὡς ὑποχωρητικώτατα. 16 καὶ, ἢν, ἀπηλλαγμένου τοῦ ῥεύματος καὶ τῆς ὀδύνης, 17 ὑπὲρ τῶν ὀφρύων αὐτῷ βάρος ἐγγένηται κατὰ τὸν μυξωτῆρα, 18 ἢν μύξα

to: 11 & postquam effluxerit sanguis fissuram componito, & duplici filo totam ipsam includito. 12 Deinde splenium cera ac pice illitum, ulceri imponito, & lana sordida superimposita deligato, 13 & ad dies septem ne solvito, si non dolor vexet: 14 si vero dolor adsit, exolvito. 15 Donec autem sanus fiat, aquam de macerata in ipsa crassa farina bibendam dato, 16 & ptisanæ succum sorbendum, & aquam insuper bibendam.

XIX. Alius morbus. 2 Si cerebrum bile infestatur, febris emergit debilis, & rigor, 3 & dolor per totum caput, maxime ad tempora, ad sinciput, & ad regiones oculorum: 4 & supercilia ipsis impendere videntur, 5 & ad aures dolor procedit, 6 & quandoque per nares bilis defluit: & oculos hebetes habent, 7 & plerisque dolor ad dimidiam capitis partem extenditur, 8 quandoque etiam per totum caput. 9 Quum sic habuerit, perfrigeratoria ad caput apponito, 10 & postquam dolor ac fluor cessarit, apii succum in nares instillato, 11 & ne lavet quandiu dolor obtinuerit. 12 Et sorbeat milium tenue, modico melle affuso, & bibat aquam. 13 Si vero alvus non subeat, brassicas edat & succum sorbeat. 14 Sin minus, folia sambuci eodem modo. 15 Et postquam tempestivum tibi esse visum fuerit, cibos quam maxime alvum subeuntes ipsi exhibeto. 16 Et si depulso fluore ac dolore, 17 gravitas ipsi supra supercilia incumbat, & in naso 18 mucus crassus ac putridus fuerit,

μύξα παχέη ἢ καὶ σαπρή, 19 πυριήσας αὐτὸν ὄξει καὶ ὕδατι καὶ ὀριγάνῳ, 20 ἔπειτα λούσας θερμῷ ὕδατι, προσθεῖναι τὸ ἄνθος τοῦ χαλκοῦ καὶ τὴν σμύρναν πρὸς τὰς ῥῖνας. 21 ταῦτα ποιήσας, ὡς τὰ πολλὰ ὑγιὴς γίνεται. 22 ἡ δὲ νοῦσος οὐ θανατώδης.

XX. Ἑτέρη νοῦσος. 2 Ἢν [δὲ] σφακελίσῃ ὁ ἐγκέφαλος, 3 ὀδύνη λάζεται ἐκ τῆς κοτίδος ἐς τὴν ῥάχιν. 4 καὶ ἐπὶ τὴν καρδίην καταφοιτᾷ ψῦχος. 5 καὶ ἱδρὼς ἐξαπίνης καίριος πλέει. 6 καὶ διὰ τῶν ῥινῶν αἷμα ῥεῖ. 7 πολλοὶ δὲ καὶ ἐμέουσιν. 8 οὗτος ἐν τρισὶν ἡμέρῃσιν ἀποθνήσκει. 9 ἢν δὲ τὰς ἑπτὰ ἡμέρας ὑπερφύγῃ· 10 οὐχ ὑπερφεύγουσι δὲ οἱ πολλοί. 11 οὗτος ἢν μὲν τὸ αἷμα ἐμέῃ, ἢ ἐκ τῶν ῥινῶν ῥέῃ, μήτε λούειν αὐτὸν θερμῷ, μήτε χλιάσματα προσφέρειν. 12 πίνειν δὲ διδόναι ὄξος λευκὸν ὑδαρέα κιρνάς. 13 καὶ, ἢν ἀσθενέῃ, τῆς πτισάνης ῥοφάνειν. 14 ἢν δὲ πλεῖόν σοι δοκέῃ τοῦ δικαίου ἐμέειν τὸ αἷμα, ἢ ἐκ τῶν ῥινῶν οἱ ῥέειν, 15 ἀπὸ μὲν τοῦ ἐμέτου πινέτω ἀλήτων σιτάνιον ἐπὶ ὕδωρ ἐπιπάσσων. 16 ἢν δὲ ἐκ τῶν ῥινῶν ῥέῃ, ἀποδεῖν τὰς φλέβας τὰς ἐν τοῖσι βραχίοσι, καὶ τὰς ἐν τοῖσι κροτάφοισι, σπλῆνας ὑποτιθείς. 17 ἢν δὲ τούτων οἱ μηδέτερον ᾖ, 18 ἀλγέῃ δὲ τὴν κοτίδα, καὶ τὸν τράχηλον, καὶ τὴν ῥάχιν, 19 καὶ ἐπὶ τὴν καρδίην ἴῃ τὸ ψῦχος, 20 χλιαίνειν ἐν πίσιν ὀρόβοισι τὰ στέρνα, καὶ τὸ νῶτον, καὶ τὴν κοτίδα, καὶ τὸν τράχηλον. 21 ταῦτα ποιέων μάλιστα ἂν ὠφελέοι. 22 ἐκφεύγουσι δὲ τὴν τοιαύτην νοῦσον ὀλίγοι.

XXI. Ἑτέρη νοῦσος. 2 Ἐξαπίνης ὑγιαίνοντα ὀδύνη ἔλαβε τὴν κεφαλήν, 3 καὶ παραχρῆμα ἄφωνος

fit, 19 fomento ex aceto, & aqua, ac origano ipsi adhibito, 20 deinde calida aqua loto, florem æris & myrrham ad nares apponito. 21 Atque his factis plerumque sanum efficies. 22 Morbus autem non est lethalis.

XX. Alius morbus. 2 Si cerebrum corruptum fuerit, 3 dolor ex cervicis nervo ad spinam tendit, 4 & ad cor frigus descendit, 5 & derepente novus sudor adest, 6 & per nares sanguis fluit. 7 Vomunt quoque multi. 8 Hic triduo moritur. 9 Si vero septem dies transgrediatur: (10 plerique autem non transgrediuntur) 11 & si sanguinem vomat, aut è naribus fundat, neque calida ipsum lavato, neque calefactoria adhibeto. 12 Verum acetum album aquosum bibendum dato, 13 & si debilis sit, ptisanam sorbendam. 14 Si vero plus justo sanguinem vomere tibi videatur, aut ex naribus ipsi fluat, 15 à vomitu quidem bibat farinam trimestris tritici in aquam inspersam. 16 Si vero ex naribus fluat, venas & in brachiis, & in temporibus, spleniis suppositis deligato. 17 At si neutrum horum ipsi adfuerit, 18 dolet autem cervicis nervum, & collum, & spinam, 19 & frigus ad cor processerit, 20 cum ervo pectora, & dorsum, & cervicis nervum, & collum calefacito. 21 Nam his factis maximam utilitatem capere poterit. 22 Verum pauci hujusmodi morbum effugiunt.

XXI. Alius morbus. 2 Sanum derepente invadit dolor circa caput, 3 & statim vox inter-

νος γίνεται, [4] καὶ ῥέγχει, [5] καὶ τὸ στόμα χάσκει. [6] καὶ, ἢν τις αὐτὸν καλέῃ ἢ κινήσῃ, στενάζει μοῦνον. [7] ξυνίει δὲ οὐδέν. [8] καὶ οὐρέει πουλὺ, [9] καὶ οὐκ ἐπαΐει οὐρέων. [10] οὗτος, ἢν μὴ πυρετὸς λάβῃ, ἐν τῇσιν ἑπτὰ ἡμέρῃσιν ἀποθνήσκει. [11] ἢν δὲ λάβῃ, ὡς τὰ πολλὰ ὑγιὴς γίνεται. [12] ἡ δὲ τοιαύτη νοῦσος πρεσβυτέροισι μάλιστα γίνεται, ἢ νεωτέροισι. [13] τοῦτον, ὅταν οὕτως ἔχῃ, λούειν χρὴ πολλῷ καὶ θερμῷ, [14] καὶ θάλπειν ὡς μάλιστα. [15] καὶ ἐνστάζειν μελίκρητον χλιαρὸν ἐς τὸ στόμα. [16] ἢν δὲ ἐμφρονέηται καὶ ἐκφύγῃ τὴν νοῦσον, [17] ἀνακομίσας αὐτὸν σιτίοισιν, ἐπὴν σοι δοκέῃ ἰσχύειν, [18] ἐς τὰς ῥῖνας ἐνθεὶς αὐτῷ φάρμακον, [19] καὶ διαλιπὼν ὀλίγας ἡμέρας, κάτω περιηγὸν δὸς πιεῖν. [20] ἢν γὰρ μὴ καθήρῃς, δεῖμα αὖθις τὴν νοῦσον ὑποστρέψαι. [21] ἐκφυγγάνουσι δὲ οὐ μάλα ἐκ τῆς πρώτης.

10 XXII. Ἑτέρη νοῦσος. [2] Ἢν δὲ ἐκ θωρήξιος ἄφωνος γένηται, [3] ἢν μὲν αὐτίκα δὴ καὶ παραχρῆμα λάβῃ μιν πυρετὸς, ὑγιὴς γίνεται. [4] ἢν δὲ μὴ λάβῃ, τριταῖος ἀποθνήσκει. [5] ἢν δὲ οὖν οὕτως ἔχοντι ἐπιτύχῃς, λοῦε πολλῷ καὶ θερμῷ, καὶ πρὸς τὴν κεφαλὴν σπόγγους ἐν ὕδατι βάπτων θερμῷ προστιθέναι. [6] καὶ ἐς τὰς ῥῖνας κρόμμυα ἀπολέπων ἐντιθέναι. [7] οὗτος, ἢν μὲν ἀναβλέψας τοὺς ὀφθαλμοὺς καὶ φθεγξάμενος παρ' ἑωυτῷ γένηται καὶ μὴ φλυαρῇ, [8] τὴν μὲν ἡμέρην ταύτην κεῖται κωμαίνων, [9] τῇ δ' ὑστεραίῃ ὑγιὴς γίνεται. [10] ἢν δ' ἀνιστάμενος χολὴν ἐμέῃ, μαίνεται, [11] καὶ ἀποθνήσκει μάλιστα ἐν πέντε ἡμέρῃσιν, ἢν μὴ καθευχθῇ. [12] τοῦτον οὖν χρὴ τάδε ποιέειν. [13] λούειν πολλῷ καὶ θερμῷ, ἐς ὃ ἂν αὐτὸς ἐς ἑωυτὸν παρέῃ. [14] ἔπειτα ἀλείψας ἀλεί-

tercipitur, [4] & stertit, [5] & os hiat: [6] & si quis ipsum vocet aut moveat, solum suspirat, [7] nihil autem intelligit, [8] & multum mingit, [9] & mingere se non sentit. [10] Hic si non febris ipsum corripiat, in septem diebus moritur. [11] Si vero corripiat, plerunque sanus fit. [12] Hujusmodi vero morbus senioribus maxime fit, & magis quam junioribus. [13] Hunc ubi sic habuerit, lavare oportet multa calida, [14] & quam maxime calefacere, [15] & aquam mulsam tepidam in os instillare. [16] At si resipiscat, & morbum effugiat, [17] ubi ipsum cibis refeceris, ita ut viribus valere tibi visus fuerit, [18] indito in nares ipsius medicamento, [19] & paucis diebus interpositis, pharmacum deorsum purgans bibendum dato. [20] Si enim ipsum non purgaveris, timor est ne rursus morbus revertatur. [21] Effugiunt autem non ita valde ex primo.

XXII. Alius morbus. [2] Si quis ex ebrietate voce privetur, [3] & statim sane ipsum etiam febris corripiat, sanus fit. [4] Si vero non corripuerit, die tertia moritur. [5] Si itaque in ita affectum incideris, multa calida lavato, & spongias in aqua calida tinctas ad caput apponito, [6] & cepas decorticatas in nares indito. [7] Hic si quidem apertis oculis, & loquutus ad se redierit, & non nugetur, [8] hac die sopore pressus jacet, [9] postridie vero sanus fit. [10] Si vero exurgens bilem vomuerit, insanit, [11] & moritur maxime in quinque diebus, si non dormierit. [12] Huic igitur hæc facere oportet. [13] Multa calida lavato, donec ipse ad seipsum redeat. [14] Deinde multo oleo illitum,

ἀλείφειν πολλῷ, καὶ κατακλῖναι ἐς στρώματα μαλθακῶς, καὶ ἐπιβάλλειν ἱμάτια. 15 καὶ μήτε λύχνον καίειν παρ' αὐτῷ, μήτε φθέγγεσθαι. 16 ὡς γὰρ ἐπὶ τὸ πολὺ ἐκ τοῦ λουτροῦ καταποιμᾶται, 17 καὶ, ἢν κοιμηθῇ, ὑγιὴς γίνεται. 18 ἢν δὲ παρ' ἑωυτὸν γένηται, τὰς πρώτας ἡμέρας τρεῖς, ἢ τέτταρας, διδόναι κέγχρον λεπτὸν ῥοφάνειν, ἢ πτισάνης χυλόν. 19 καὶ οἶνον μελιτώδεα πίνειν. 20 ἔπειτα σιτίοισι χρῆσθαι ὡς μαλθακωτάτοισι καὶ ὀλίγοισι τὸ πρῶτον.

XXIII. Σφάκελος ἐγκεφάλου. 2 Ἢν σφάκελος λάβῃ, ἡ ὀδύνη ἴσχει μάλιστα τὸ ἔμπροσθεν τῆς κεφαλῆς ἐκ τοῦ κατὰ μικρὸν, 3 καὶ ἀνοιδέει, 4 καὶ πελιδνὸν γίνεται, 5 καὶ πυρετὸς καὶ ῥῖγος καταλαμβάνει. 6 ὅταν οὕτως ἔχῃ, ταμεῖν χρὴ ᾗ ἂν ἐξοιδέῃ. 7 καὶ διακαθήρας τὸ ὀστέον ξύσαι, ἕως ἂν ἀφίκηται πρὸς τὴν διπλόην. 8 ἔπειτα ἰῆσθαι ὡς κάτηγμα.

XXIV. Τερηδών. 2 Ὅταν τερηδὼν γένηται ἐν τῷ ὀστέῳ, ὀδύνη λαμβάνει ἀπὸ τούτου τοῦ ὀστέου. 3 τῷ δὲ χρόνῳ λεπτὸν γίνεται, 4 καὶ ἀναφυσᾶται, 5 καὶ γίνεται ἐπ' αὐτῷ κάτηγμα. 6 καὶ ἢν τοῦτο ἀνατάμῃς, εὑρήσεις ἀνατεῖνον ὀστέον καὶ τρηχὺ καὶ πυῤῥόν. 7 ἐνίοισι δὲ καὶ διαβεβρωμένον πρὸς τὸν ἐγκέφαλον. 8 ὅταν οὕτως ἔχοντι ἐπιτύχῃς, ἢν μὲν ᾖ πέρην διαβεβρωμένον, 9 ἐᾶν ἄριστον, καὶ ἰῆσθαι ὡς τάχιστα τὸ ἕλκος. 10 ἢν δὲ τετρωμένον μὲν μὴ ᾖ, τρηχὺ δὲ, 11 ξύσας μέχρι τῆς διπλόης, ἰῆσθαι ὥσπερ τὴν πρόσθεν.

XXV. Ἑτέρη νοῦσος. 2 Ἢν βλητὸς γένηται, καὶ ἀλγέει τὸ ἔμπροσθεν τῆς κεφαλῆς, 3 καὶ τοῖσιν ὀφθαλμοῖσιν οὐ δύναται ὁρᾷν, 4 ἀλλὰ κῶμά μιν ἔχει.

litum, ad ſtragula molliter reclinato, & veſtimentis contegito: 15 & neque lucernam apud ipſum ardere, neque loqui permittito. 16 Utplurimum enim ex balneo obdormit, 17 & ſi dormierit, ſanus evadit. 18 Poſtquam vero ad ſe redierit, primis tribus aut quatuor diebus, milium tenue ſorbeat, aut ptiſanæ ſuccum, 19 & vinum mellis ſpeciem referens bibat. 20 Deinde cibis utatur molliſſimis, ac paucis primum.

XXIII. Cerebri corruptio. 2 Si corruptio cerebrum invaſerit, dolor tenet maxime anteriorem capitis partem, 3 paulatim etiam intumeſcit, 4 & livida fit: 5 & febris, & rigor apprehendit. 6 Quum ita habuerit, ſecare oportet qua parte intumuit, 7 & perpurgato oſſe, ipſum radere donec ad ſecundam laminam perveniat: 8 deinde velut fracturam curare.

XXIV. Caries ſive teredo. 2 Quum caries facta fuerit in oſſe, dolor ex hoc corripit ipſum os, 3 & progreſſu temporis attenuatur 4 ac inflatur, 5 & fit in ipſo fractura. 6 Et ſi hanc reſecueris, comperies ipſum os elevatum, & aſperum, ac fulvum: 7 quibuſdam vero etiam ad cerebrum uſque corroſum. 8 Ubi in hoc modo affectum incideris, ſiquidem ultra corroſum fuerit, 9 ſinere optimum eſt, & ulcus quam celerrime curare. 10 Si vero corroſum non fuerit, ſed aſperum, 11 ad ſecundam uſque laminam raſum, velut præcedens curare.

XXV. Alius morbus. 2 Si ſideratus quis fiat, & anteriorem capitis partem dolet, 3 & oculis videre non poteſt. 4 ſed ſopor ipſum

ἔχει. [5] καὶ ἢν αἱ φλέβες ἐν τοῖσι κροτάφοισι σφύζωσι, [6] καὶ πυρετὸς βληχρὸς ἔχῃ, [7] καὶ τοῦ σώματος παντὸς ἀκρησίη, [8] καὶ μινύθῃ. [9] ὅταν οὕτως ἔχῃ, καὶ λούειν αὐτὸν θερμῷ πολλῷ, [10] καὶ χλιάσματα πρὸς τὴν κεφαλὴν προστιθέναι. [11] ἐκ δὲ τῶν πυριῶν ἐγχέειν ἐς τὰς ῥῖνας σμύρναν καὶ ἄνθος χαλκοῦ. [12] ῥοφανέειν δὲ τὸν χυλὸν τῆς πτισάνης, καὶ πίνειν ὕδωρ. [13] καὶ, ἢν μὲν ταῦτα ποιέοντι ῥάων γένηται. [14] εἰ δὲ μὴ, ταύτῃ γὰρ μούνη ἐλπὶς, σχίσαι αὐτοῦ τὸ βρέγμα, [15] καὶ, ἐπὴν ἀποῤῥυῇ τὸ αἷμα, ξυνθεὶς τὰ χείλεα, ἰῆσθαι καὶ καταδῆσαι. [16] ἢν δὲ μὴ σχίσῃς, ἀποθνήσκει ὀκτωκαιδεκαταῖος, ἢ εἰκοσταῖος ὡς τὰ πολλά.

XXVI. Κυνάγχη. [2] Πυρετὸς λαμβάνει καὶ ῥῖγος καὶ ὀδύνη τῆς κεφαλῆς. [3] καὶ τὰ σιαγόνια οἰδίσκεται. [4] καὶ τὸ πτύαλον χαλεπῶς καταπίνει. [5] ἀποπτύει δὲ καὶ τὰ σίαλα σκληρὰ καὶ κατ' ὀλίγον. [6] καὶ ἐν τῇ φάρυγγι κάτω ῥέγχει. [7] καὶ, ἢν καταλαβὼν τὴν γλῶτταν σκέπτῃ, ὁ μὲν γαργαρεὼν οὐ μέγας, ἀλλὰ λαπαρός. [8] ἡ δὲ φάρυγξ ἔσωθεν σιάλου γλίσχρου ἔμπλεως, καὶ οὐ δύναται ἐκχρέμπτεσθαι, [9] καὶ οὐκ ἀνέχεται κείμενος, ἀλλ', ἢν κατακέηται, πνίγεται. [10] τοῦτον ἢν οὕτως ἐπιτύχῃς ἔχοντα, ποιέειν τάδε. [11] πρῶτον μὲν σικύας προσβάλλειν πρὸς τὸν σπόνδυλον, τὸν ἐν τῷ τραχήλῳ, τὸν πρῶτον. [12] ἔπειτα περιξυρήσας ἐν τῇ κεφαλῇ καὶ παρὰ τὸ οὖς προσθεῖναι ἔνθεν καὶ ἔνθεν. [13] καὶ, ἐπὴν ἀποχαλάσῃς, τὴν σικύην ἐᾶν προσκεῖσθαι ὡς πλεῖστον χρόνον. [14] ἔπειτα πυριᾶν αὐτὸν ὄξει καὶ λίτρῳ καὶ ὀριγάνῳ καὶ καρδάμου σπέρματι, τρίψας λεῖα, κεράσας τὸ ὄξος

ipsum tenet, [5] & venæ in temporibus pulsant, [6] & febris debilis tenet, [7] & totius corporis impotentia, [8] & emarcescit. [9] Quum sic habuerit, multa calida ipsum lavato, [10] & calefactoria ad caput adhibeto. [11] A fomentis vero myrrham & æris florem in nares infundito. [12] Sorbeat autem ptisanæ succum, & aquam bibat. [13] Et siquidem ubi hæc feceris melius habuerit, bene est. [14] Sin minus, quæ una spes reliqua est, sinciput ipsius findito, [15] & ubi sanguis defluxerit, labiis compositis curato ac deligato. [16] Si vero non secueris, decimo octavo aut vigesimo die plerunque moritur.

XXVI. Angina. [2] Febris corripit & rigor, & dolor capitis: [3] & maxillæ intumescunt, [4] & sputum difficulter deglutit. [5] Expuit autem & salivas duras ac paucas: [6] & infra in faucibus stertit: [7] & si apprehensa lingua inspexeris, gurgulio non magnus est, sed mollis: [8] fauces autem intrinsecus saliva viscosa plenæ sunt, & non potest exscreare, [9] & decumbere non sustinet, verum si decumbat suffocatur. [10] Hunc si ita affectum deprehenderis, hæc facito. [11] Primum quidem cucurbitas ad verticulum in collo primum affigito: [12] Deinde in capite præraso, & juxta aurem ab utraque parte apponito. [13] Et ubi cucurbitam affixeris, ad multum tempus adhærere finito. [14] Postea fomentum ipsi ex aceto, nitro, origano, & nasturtii semine adhibeto. Hæc tertio, & cum aceto pari aqua permixta diluito, ac parum olei instil-

ὄξος ἰσόχοον ὕδατι, καὶ ἄλφιτα ὀλίγον ἐπιστάξας, διεῖναι τούτῳ. [15] ἔπειτα ἐς χυτρίδιον ἐγχέας ἐπιθεὶς ἐπίθημα κάλαμον ἐνθεῖναι κοῖλον. [16] ἔπειτα ἐπιθεὶς ἐπ᾽ ἄνθρακας ἀναζέσαι. [17] καὶ ἐπὴν διὰ τοῦ αὐλοῦ τοῦ καλάμου ἡ ἀτμὶς αὐτὴ ἴῃ, προσχάσκων ἑλκέτω εἴσω τὴν ἀτμίδα, [18] φυλασσόμενος μὴ κατακαύσῃ τὴν φάρυγγα. [19] ἔξωθεν δὲ σπόγγους βάπτων ἐν ὕδατι θερμῷ, προστιθέσθω πρὸς τὰς γνάθους καὶ τὰ σιαγόνια. [20] ἀναγαργάρισμα δὲ αὐτῷ ποιέειν, ὀρίγανον καὶ θύμβραν, καὶ σέλινον, καὶ μίνθην, καὶ λίτρον ὀλίγον, [21] μελίκρητόν τε κεράσας ὑδαρὲς, ὄξος ὀλίγον ἐπιστάξαι. [22] λεῖα τρίψας τὰ φύλλα τῶν προειρημένων βοτανῶν, καὶ τὸ λίτρον τούτῳ διεὶς, χλιήνας ἀναγαργαριζέτω. [23] ἢν δὲ τὸ σίαλον ἴσχηται, μύρτου λαβὼν ῥάβδον λείην καὶ τὸ ἄκρον αὐτῆς ἐπικάμψας τὸ ἁπαλὸν [καὶ] καθελίξας αὐτὸ ἐν ἐρίῳ μαλθακῷ, καθαίρων ἐς τὴν φάρυγγα, τὸ σίαλον ἐκκαθαίρειν. [24] καὶ ἢν ἡ γαστὴρ μὴ ὑποχωρέῃ, βάλανον προσθεῖναι, ἢ ὑποκλύζειν. [25] ῥοφανέτω δὲ τὸν χυλὸν τῆς πτισάνης καὶ ὕδωρ ἐπιπινέτω. [26] ἢν δέ οἱ οἴδημα ἐκφύῃ, καὶ οἰδίσκηται πρὸς τὰ στήθεα, καὶ ἐρυθρὸν ᾖ, καὶ καίηται, ἐλπίδες πλέονες σωτηρίης. [27] ποιέειν δέ οἱ τάδε. [28] ἐπὴν ἔξω τράπηται τὸ φλέγμα, τεῦτλα, ἐμβάπτων ἐς ὕδωρ ψυχρὸν, προστιθέναι. [29] ἀναγαργαριζέτω δὲ χλιαροῖσι, καὶ ἀλουτεέτω. [30] ταῦτα ποιέων μάλιστα ἂν ἐκφυγγάνῃ. [31] ἡ δὲ νοῦσος θανατώδης, καὶ ἐκφυγγάνουσιν ὀλίγοι.

XXVII. Ἑτέρη κυνάγχη. [2] Πυρετὸς καὶ ὀδύνη λαμβάνει τὴν κεφαλήν. [3] καὶ ἡ φάρυγξ φλεγμαίνει, καὶ τὰ σιαγόνια. [4] καὶ τὸ σίαλον καταπίνειν οὐ δύναται. [5] πτύει δὲ παχὺ καὶ πολλόν. [6] καὶ φθέγγεται χαλε-

instillato. [15] Deinde in ollulam infusis, operculo addito, arundinem cavam immittito, [16] & prunis imposita fervefacito; [17] & ubi per arundinis fistulam vapor ascenderit, hianti ore vaporem intro trahat, [18] cavens ne fauces adurat. [19] Forinsecus autem spongias aqua calida imbutas, ad genas ac maxillas apponat. [20] Gargarismus porro ipsi parandus est, ex origano, satureja, apio, mentha, & modico nitro, [21] cum aqua mulsa aquosiore, & modico aceto instillato: [22] prædictarum herbarum folia trita, & nitrum, in aqua mulsa diluito, tepefacito, ac sic gargariset. [23] At si saliva supprimatur, myrti ramulum complanatum sumito, & tenera ipsius summa parte incurvata, ac molli lana obvoluta, in fauces immissa, salivam expurgato. [24] Et si venter non egerat, glandem subdito, aut clysterem adhibeto. [25] Sorbeat autem ptisanæ succum, & aquam bibat. [26] Si vero tumor ipsi oboriatur, & ad pectus intumescat, ac rubicundum sit, & ardeat, amplior spes salutis est. [27] Facienda vero hæc sunt, [28] postquam inflammatio foras conversa fuerit. Betas in frigidam aquam tinctas apponat. [29] Tepidas collutiones ore gargariset, & ne lavet. [30] Hæc faciens maxime evaserit. [31] Est autem morbus lethalis; & paucissimi evadunt.

XXVII. Alia angina. [2] Febris & dolor capitis corripit, [3] & fauces inflammantur, itemque maxillæ, [4] & salivam deglutire non potest, [5] spuit autem crassam ac multam, [6] & difficulter

χαλεπῶς. 7 ὅταν οὕτως ἔχῃ, πρῶτον μὲν σικύην προσβάλλειν τὸν αὐτὸν τρόπον, ὥσπερ καὶ ἄνωθεν εἴρηται. 8 ἔπειτα περιπτύσσειν σπόγγον, βρέχων ἐν ὕδατι θερμῷ, πρὸς τὸν τράχηλον καὶ τὰ σιαγόνια. 9 ἀναγαργαρίζειν δὲ διδόναι μελίκρητον ὑδαρές. 10 ῥοφάνειν δὲ ἀναγκάζειν τὸν χυλὸν τῆς πτισάνης. 11 ἢν δέ οἱ, τὰ τοιαῦτα ποιέοντι, τὸ σίαλον μὴ ἐξίῃ, πυριᾶν τὸν αὐτὸν τρόπον, ὥσπερ ἐν τῇ πρόσθεν. 12 ἢν δέ οἱ ἐς τὰ στήθεα τρέπηται, ἢ ἐς τὸν τράχηλον τὸ φλέγμα, 13 τεῦτλα ἢ κολοκύντας κατατεμὼν [καὶ] ἐμβαλὼν ἐς ὕδωρ χλιαρὸν, ἐπιπροφανέτω καὶ πινέτω ψυχρὸν, ὅπως τὸ σίαλον εὐπετέστερον ἀποχρέμπτηται. 14 ὅταν δὲ ἐξοιδήσῃ ἐς τὰ στήθεα, οἱ πλέονες ἐκφεύγουσιν. 15 ἢν δὲ, τῆς φάρυγγος καθεστηκυίης, καὶ τῶν οἰδημάτων, 16 τραφθῇ ἐς τὸν πλεύμονα ἡ νοῦσος, 17 πυρετὸς εὐθὺς ἐπιλαμβάνει, καὶ ὀδύνη τοῦ πλευροῦ, 18 καὶ ὡς ἐπιτοπολὺ ἀποθνήσκει, ἐπὴν τοῦτο γένηται. 19 ἢν δὲ ὑπερφύγῃ ἡμέρας πέντε, ἔμπυος γίνεται, 20 ἢν μή μιν βὴξ ἐπιλάβῃ αὐτίκα. 21 ἢν δὲ ἐπιλάβῃ, ἀποχρεμψάμενος καὶ ἀποκαθαρθεὶς, ὑγιὴς γίνεται. 22 τοῦτον, ἕως ἂν ἡ ὀδύνη τὸ πλευρὸν ἔχῃ, χλιαίνειν τὸ πλευρὸν, καὶ προσφέρειν, ὅσα τῇ περιπλευμονίῃ. 23 ἢν δὲ ὑπερφύγῃ τὰς πέντε ἡμέρας, καὶ ὁ πυρετὸς ἀνῇ, ἡ δὲ βὴξ ἔχῃ, 24 τὰς μὲν πρώτας ἡμέρας ῥοφήμασι δεῖ χρῆσθαι· 25 ἐπὴν δὲ τῶν σιτίων ἄρξηται, ὡς λιπαρώτατα καὶ ἁλυκώτατα ἐσθίειν. 26 ἢν δέ τοι βὴξ μὴ ἔῃ, ἀλλὰ γινώσκεις ἔμπυον γινόμενον, 27 δειπνήσαντα, ἐπὴν μέλλῃ καθεύδειν, σκόροδα ἐσθιέτω ὠμὰ ὡς πλεῖστα, 28 καὶ ἐπιπινέτω οἶνον οἰνώδεα ἀκρητέστερον,

culter loquitur. 7 Quum ita habuerit, primum cucurbitam affigito, eodem modo veluti supra diximus. 8 Deinde spongiam aqua calida imbutam, ad collum ac maxillas adhibeto. 9 Aquam autem mulsam aquosam colluendam dato. 10 Et succum ptisanæ sorbere cogito. 11 Si vero ipsi talia facienti saliva non exierit, eodem modo velut in priore fomentum adhibeto. 12 At si ad pectus convertatur inflammatio, aut ad collum, 13 betas aut cucurbitas concisas, in frigidam aquam tinctas superimponat, & frigidam aquam bibat, quo saliva facilius exscreetur. 14 Quum autem ad pectus extumuerit, plerique evadunt. 15 Si vero faucibus ac tumoribus sedatis, 16 morbus ad pulmonem conversus fuerit, 17 febris statim corripit, & lateris dolor: 18 & utplurimum moritur, ubi hoc factum fuerit. 19 Si vero quinque dies effugerit, suppuratus fit, 20 si non ipsum statim tussis invaserit. 21 Si vero invaserit, facta exscreatione depurgatus, sanus fit. 22 Huic quamdiu dolor latus tenuerit, latus calefaciendum est, & adhibenda quæ in peripneumonia adhiberi solent. 23 At si quinque dies effugerit, & febris remiserit, tussis autem remanserit; 24 primis quidem diebus sorbitionibus utatur. 25 Postquam autem cibos sumere inceperit, quam pinguissimos ac maxime salsos edat. 26 Quod si tussis non affuerit, nimirum suppuratum fieri scito, 27 & ubi cœnavit quum dormire volet, allium edat crudum quam plurimum: 28 & vinum insuper bibat

ρον. 29 καὶ, ἢν μὲν οὕτως οἱ ῥαγῇ τὸ πῦον· 30 ἢν δὲ μὴ, τῇ ὑστεραίῃ λούσας θερμῷ θυμιάσαι. 31 καὶ, ἢν ῥαγῇ, ἰῆσθαι ὥσπερ ἔμπυον.

XXIIX. Ἑτέρη κυνάγχη. 2 Φλεγμαίνει τὸ ὄπισθεν τῆς γλώσσης, 3 καὶ τὸ κλεῖθρον τὸ ὑπὸ τὸν βρόγχον. 4 καὶ οὐ δύναται καταπίνειν τὸ σίαλον, οὐδ' ἄλλο οὐδέν. 5 ἢν δὲ ἀναγκασθῇ, διὰ τῶν ῥινῶν οἱ ῥέει. 6 ὅταν οὕτως ἔχῃ, τρίψας μίνθην χλωρὴν, καὶ σέλινον, καὶ ὀρίγανον, καὶ λίτρον, καὶ τῆς ῥοῦ τῆς ἐρυθρῆς, μέλιτι διεὶς, παχὺ ποιέειν 7 ἐγχρίειν τῆς γλώσσης ἔσωθεν, οὗ ἂν οἰδέῃ. 8 ἔπειτα αὐχμώσας σῦκα καὶ ἀποζέσας ἐς ὕδωρ, τρίψας τῆς ῥοῦ ὀλίγην διεῖναι τῷ συκίῳ, 9 καὶ τούτῳ, ἢν δύνηται, ἀναγαργαρίζειν· 10 ἢν δὲ μὴ, διακλυζέσθω. 11 πίνειν δὲ διδόναι τὸ ἀπὸ τῶν κρίμνων ὕδωρ. 12 ἔξωθεν δὲ τὸν αὐχένα καὶ τὰ σιαγόνια καταπλάσσειν ἀλήτῳ, ἐν οἴνῳ καὶ ἐλαίῳ ἕψοντα χλιαρῷ. 13 καὶ ἄρτους προστιθέναι θερμούς. 14 ἀποπυΐσκεται γὰρ ὡς τὰ πολλὰ ἐν τῷ κλείθρῳ. 15 καὶ, ἢν μὲν ῥαγῇ αὐτόματον, ὑγιὴς γίνεται. 16 ἢν δὲ μὴ ῥήγνυται, ψηλαφήσας τῷ δακτύλῳ, ἢν μαλθακὸν ᾖ, σιδήριον ὀξὺ προσδησάμενος πρὸς τὸν δάκτυλον τρῆσαι. 17 ταῦτα ποιήσαντες πολλοὶ ὑγιαίνουσιν. 18 ἡ δὲ νόσος αὕτη ἥκιστά ἐστι θανατώδης.

XXIX. Σταφυλή. 2 Ἢν σταφυλὴ ἐν τῇ φάρυγγι γένηται, ἐμπίπλαται μὲν ἄκρος ὁ γαργαρεὼν ὕδατος, 3 καὶ γίνεται στρογγύλος τὸ ἄκρον καὶ διαφανὴς, 4 καὶ ἐπιλαμβάνει τὴν πνοιὴν, 5 καὶ, ἢν φλεγμήνῃ τὰ σιαγόνια ἔνθεν καὶ ἔνθεν, ἀποπνίγεται. 6 ἢν δὲ αὐτὸ ἐφ' ἑωυτοῦ γένηται, τούτων μὴ φλεγμαινόντων,

bat vinosum ' meracius. 29 Et siquidem ita pus eruperit, bene habet. 30 Sin minus postridie calida loto suffitum adhibeto: 31 & si eruperit, velut suppuratum curato.

XXIIX. Alia angina. 2 Linguæ posterior pars inflammatur, 3 itemque locus sub tonsillis ad guttur, 4 & neque salivam, neque quicquam aliud deglutire potest. 5 Si vero coactus fuerit, per nares ipsi effluit. 6 Quum ita habuerit, mentam viridem tritam, apium, origanum, ' & nitrum, & rhoem rubrum melle diluito, & ad crassam formam redacta, 7 intus linguæ qua parte tumet illinito. 8 Postea ficus aqua coquito, & de rhoe parum tritum, hoc ficuum decocto diluito, 9 ad gargarisandum dato si id potest: 10 sin minus, colluendum. 11 Bibendam vero aquam de farina crassa in ipsa macerata exhibeto. 12 Foris autem cervicem & maxillas, farina calida in vino & oleo coacta integito, 13 & panes ' calidos apponito. 14 Suppuratur enim plerunque in loco sub tonsillis: 15 & siquidem sua sponte eruperit, sanus fit. 16 Si vero non rumpatur, ubi digito contigeris an molle sit, ferramento acuto ad digitum alligato perforato. 17 His adhibitis multi sani fiunt. 18 Est autem hic morbus minime lethalis.

XXIX. Uva morbus. 2 Si uva morbus in faucibus fiat, summa gurgulionis pars aqua impletur, 3 & ' rotunda fit ac pellucida, 4 & spirationem intercipit. 5 Et si maxillæ ab utraque parte inflammatæ fuerint, suffocatur. 6 Si vero ipse morbus per se consistat, maxillis non inflam-

ἧσσον ἀποθνήσκει. 7 ὅταν οὕτως ἔχῃ, λαβὼν τῷ δακτύλῳ τὸν γαργαρεῶνα, ἄνω ἐς τὴν ὑπερῴην ἀπωθήσας, διατεμνέειν ἄκρον. 8 ἔπειτα διδόναι ἀναγαργαρίζειν τὸ ἀπὸ τῶν φύλλων. 9 λείχειν δὲ ἄλητον ψυχρὸν, 10 καὶ ὕδωρ ἐπιπίνειν, 11 καὶ μὴ λούεσθαι.

XXX. Ἀντιάδες. 2 Ἢν ἀντιάδες γένωνται, ξυνοιδέει ὑπὸ τὴν γνάθον ἔνθεν καὶ ἔνθεν, 3 καὶ ψαυόμενον σκληρόν ἐστιν ἔξωθεν, 4 καὶ ὁ γαργαρεὼν ὅλος φλεγμαίνει. 5 ὅταν οὕτως ἔχῃ, καθεὶς τὸν δάκτυλον διωθέειν τὰς ἀντιάδας. 6 πρὸς δὲ τὸν γαργαρεῶνα προσχρίειν ἄνθος χαλκοῦ ξηρόν. 7 καὶ ἀναγαργαρίζειν τὸ ἀπὸ τῶν φύλλων εἱληθερές. 8 ἔξωθεν δὲ καταπλάσσειν, ᾗ ἂν ἀποιδέῃ, ὠμήλυσιν ἐν οἴνῳ καὶ ἐλαίῳ ἑψῶν χλιαρήν. 9 ἐπὴν δέ σοι δοκέωσι τὰ φύματα μαλακὰ εἶναι, ἔσωθεν ἀφασσόμενα ὑποτύψαι μαχαιρίῳ. 10 ἔνια δὲ καὶ αὐτόματα καθίσταται.

XXXI. Ὑπογλωσσίς. 2 Ἢν ὑπογλωσσὶς γένηται, ἡ γλῶσσα οἰδίσκεται, 3 καὶ τὸ ὑποκάτω καὶ τὸ ἔξω ψαυόμενον σκληρόν ἐστι. 4 καὶ τὸ σίαλον καταπίνειν οὐ δύναται. 5 ὅταν οὕτως ἔχῃ, σπόγγον ἐς ὕδωρ θερμὸν ἐμβάπτων προστιθέναι, 6 καὶ τὴν ὠμήλυσιν ἑψῶν ἐν οἴνῳ καὶ ἐλαίῳ, καταπλάσσειν ἔξω, ᾗ ἂν ἀποιδέῃ. 7 ἀναγαργαρίζειν δὲ τὴν συκίην, 8 καὶ μὴ λούεσθαι. 9 ἐπὴν δὲ διάπυον γένηται, τάμνειν. 10 ἐνίοτε δὲ αὐτόματον ἐκρήγνυται, καὶ καθίσταται οὐ τμηθέν. 11 ἐπὴν δὲ ἔξω ἀποπυήσῃ, διακαῦσαι.

XXXII. Φυ-

matis, minus moritur. 7 Quum sic habuerit, gurgulionem digito apprehensum sursum ad palatum apprimito, & summam ipsius partem præsecato. 8 Postea foliorum hortensium condimentariorum decoctum gargarisandum dato, 9 & farinam frigidam delingendam, 10 aquam insuper bibendam: 11 & ne lavet.

XXX. Tonsillæ, morbus. 2 Si tonsillæ fiant, intumescunt sub maxillis ab utraque parte, 3 & ad contactum foris durum est tuberculum, 4 & gurgulio totus inflammatus est. 5 Quum sic habuerit, immisso digito tonsillas protrudito: 6 ad gurgulionem autem florem æris siccum illinito: 7 & foliorum condimentariorum hortensium decoctum, velut à sole calidum gargarisandum dato. 8 Foris qua parte tumor est, hordeaceam farinam in vino & oleo coctam calidam pro cataplasmate apponito. 9 Postquam vero tubercula mollia esse tibi visa fuerint intrinsecus ad contactum, scalpello ipsa pertundito. 10 Quædam etiam sua sponte sedantur.

XXXI. Tuberculũ sub lingua. 2 Si tuberculum sub lingua, hypoglossis appellatum fiat, lingua intumescit, 3 & pars sub ipsa ac externa ad tactum dura est, 4 & salivam deglutire non potest. 5 Quum sic habuerit, spongiam aqua calida imbutam apponito, 6 & hordeaceam farinam vino ac oleo coctã, foris ubi tumor est, imponito. 7 Gargariset ficuum decoctum, 8 & ne lavet. 9 Postquam autem purulentum factum fuerit, secato. 10 Aliquando vero sua sponte erumpit, & sedatur non sectum. 11 Si vero foras suppuraverit, perurito.

XXXII. Tu-

XXXII. Φῦμα ξυσὰν ἐς τὴν ὑπερῴην. ² Ἢν δὲ φῦμα ξυστῇ ἐς τὴν ὑπερῴην, ἀποιδέει καὶ ἐμπυΐσκεται. ³ ὅταν οὕτως ἔχῃ, καίειν τὸ φῦμα. ⁴ ἐπὴν δὲ ἐξίῃ τὸ πῦον, κλύζειν τὸ λοιπόν· ⁵ πρῶτον μὲν λίτρῳ καὶ ὕδατι χλιαρῷ, ⁶ ἔπειτα οἴνῳ. ⁷ ἐπὴν δὲ ἐκκλύσῃ, ἀσταφίδα τρίψας λευκὴν, ἐξελὼν τὰ γίγαρτα, ἐντιθέναι ἐς τὸ καῦμα. ⁸ ἐπὴν δὲ ἐκρυῇ, οἴνῳ ἀκρήτῳ χλιαρῷ διακλυζέσθω. ⁹ καὶ, ἐπὴν μέλλῃ τι ἐσθίειν ἢ ῥοφαίνειν, σπόγγιον ἐντιθέναι: ¹⁰ ταῦτα ποιέειν, ἕως ἂν ὑγιὴς γένηται.

XXXIII. Πώλυπος. ² Ἢν πώλυπος γένηται ἐν τῇ ῥινὶ, ³ ἐκ μέσου τοῦ χόνδρου κάτω κρέμαται, οἷον γαργαρεών. ⁴ καὶ, ἐπὴν ὤσῃ τὴν πνοιὴν, προσέρχεται ἔξω, καὶ ἐστι μαλθακόν. ⁵ καὶ, ἐπὴν ἀναπνεύσῃ, οἴχεται ὀπίσω, ⁶ καὶ φθέγγεται σομφόν. ⁷ καὶ, ἐπὴν καθεύδῃ, ῥέγχει. ⁸ ὅταν οὕτως ἔχῃ, σπόγγον καταταμὼν στρογγύλον καὶ ποιήσας οἷον σπεῖραν, ⁹ καταλίξαι λίνῳ αἰγυπτίῳ καὶ ποιῆσαι σκληρόν· ¹⁰ εἶναι δὲ μέγεθος, ὥστε ἐναρμόζειν ἐς τὸν μυκτῆρα· ¹¹ καὶ δῆσαι τὸ σπόγγιον λίνῳ τετραχόθι. ¹² μῆκος δὲ ἔστω ὅσον πυγονιαῖον ἕκαστον. ¹³ ἔπειτα ποιήσας αὐτῶν μίαν ἀρχὴν, ¹⁴ ῥάβδον λαβὼν κασσιτερίνην λεπτὴν, ¹⁵ ἐκ τοῦ ἑτέρου κύαρ ἔχουσαν, ¹⁶ διείρειν ἐς τὸ στόμα τὴν ῥάβδον ἐπὶ τὸ ὀξύ. ¹⁷ καὶ, ἐπὴν λάβῃ, διείρας διὰ τοῦ κύαρος τὸν λίνον ἕλκειν, ἕως ἂν λάβῃ τὴν ἀρχήν. ¹⁸ ἔπειτα μήλην ὑποθεὶς ὑπὸ τὸν γαργαρεῶνα ἀντερείδων ἕλκειν, ἕως ἂν ἐξερύσῃς τὸν πώλυπον. ¹⁹ ἐπὴν δὲ αὐτὸν ἐκσπάσῃς, καὶ παύσηται τὸ

XXXII. Tuberculum consistens ad palatum. ² Si tuberculum constiterit ad palatum, intumescit, & suppuratur. ³ Quum sic habuerit, tuberculum inurito. ⁴ Ubi vero exierit pus, reliquum eluito, ⁵ primum nitro & aqua calida, ⁶ deinde vino. ⁷ Postquam autem elueris, uvam passam albam exemtis vinaceis tritam, in usturæ locum indito, ⁸ & ubi exciderit, vino meraco tepido colluat: ⁹ & ubi edere quid aut sorbere volet, spongiam indat, ¹⁰ atque hæc faciat donec sanus fiat.

XXXIII. Polypus. ² Si polypus fiat in naso, ³ ex medio cartilaginum dependet, veluti gurgulio: ⁴ & ubi expirationem facit, progreditur foras, & est mollis; ⁵ ubi vero inspirationem facit, retrocedit: ⁶ & loquitur obscure, ⁷ & quum dormit, stertit. ⁸ Quum sic habuerit, spongiam in rotundum concisam, & velut spiram factam, ⁹ lino Ægyptio obvolvito, ac duram efficito. ¹⁰ Sit autem ejus magnitudinis, ut ad nasum quadret. ¹¹ Spongiam vero quadruplici lineo filo deligato, ¹² ita ut unumquodque longitudinem habeat cubitalem. ¹³ Deinde facto uno ipsorum principio, ¹⁴ virgam stanneam tenuem sumito, ¹⁵ quæ ad alteram sui partem foramen habeat, ¹⁶ & transmisso per foramen filorum principio, ¹⁷ virgam in acutum in os transmittito, & attrahito donec filorum principium apprehendas. ¹⁸ Postea specillo instar ungulæ bifurcato sub gurgulionem supposito, renitens trahito, donec polypum extraxeris. ¹⁹ Postquam vero ipsum extraxeris, & sanguis fluere desierit.

τὸ αἷμα ῥέον, 20 περιελίξας περὶ τὴν μήλην ξηρὸν ὀθόνιον, μοτῶσαι. 21 καὶ τὸ λοιπὸν, ἀναζέσαι τοῦ ἄνθους ἐν μέλιτι, καὶ χρίων τὸν μοτὸν προστιθέναι ἐς τὴν ῥῖνα. 22 καὶ, ἐπὴν ἤδη τὸ ἕλκος ἀλθαίνηται, μόλιβδον ποιησάμενος, ὥς οἱ καθίκῃ πρὸς τὸ ἕλκος, τοῦτον μέλιτι χρίων προστιθέναι, ἕως ἂν ὑγιὴς γένηται.

XXXIV. Ἕτερος πολύπος. 30 2 Ἐμπίπλαται ἡ ῥὶς κρεάτων. 3 καὶ ψαυόμενον τὸ κρέας σκληρὸν φαίνεται. 4 καὶ διαπνεῖν οὐ δύναται διὰ τῆς ῥινός. 5 ὅταν οὕτως ἔχῃ, ἐνθέντα χρὴ σύριγγα, καῦσαι σιδηρίοισιν, ἢ τρισὶν, ἢ τέσσαρσιν. 6 ἐπὴν δὲ καύσῃς, ἐμβάλλειν τοῦ ἐλλεβόρου τοῦ μέλανος, τρίψας. 7 καὶ, ἐπὴν ἐκσαπῇ καὶ ἐκπέσῃ τὸ κρέας, 8 μοτοὺς τοὺς λινέους, χρίων τῷ μέλιτι, ἐντιθέναι σὺν τῷ ἄνθει. 9 ἐπὴν δὲ ἀλθαίνηται, τοὺς μολίβδους χρίων τῷ μέλιτι ἐντιθεῖ, ἄχρις ἂν ὑγιὴς γένηται.

35 10 Ἕτερος πώλυπος. 11 Ἔσωθεν ἐκ τοῦ χόνδρου περιέχει κρέας στρογγύλον. 12 ψαυόμενον δὲ μαλθακόν ἐστιν. 13 ὅταν οὕτως ἔχῃ, χορδὴν λαβὼν νευρίνην, βρόχον αὐτῇ σμικρὸν ποιήσας, καταδῆσαι λίνῳ λεπτῷ. 14 ἔπειτα τὴν ἀρχὴν τὴν ἑτέρην διεῖναι διὰ τοῦ βρόχου, μείζονα ποιήσας τὸν βρόχον. 15 ἔπειτα τὴν ἀρχὴν διεῖναι διὰ τῆς ῥάβδου τῆς κασσιτερίνης. 16 ἔπειτα ἐνθεὶς τὸν βρόχον ἐς τὴν ῥῖνα, τῇ μήλῃ τῇ ἐντετμημένῃ περιελίσσειν τὸν βρόχον, περὶ 77 τὸν πώλυπον, 17 ἐπὴν περικέηται, 40 διείρειν τὴν ῥάβδον ἐς τὸ στόμα, 18 καὶ 73 λαβὼν ἕλκειν τὸν αὐτὸν τρόπον τῆς μήλης ὑπερειδούσης. 19 ἐπὴν δὲ ἐξελκύσῃς, ἰῆσθαι ὥσπερ τὸν πρόσθεν.

20 Ἕτερος πώλυπος. 21 Ἔσωθεν

fierit; 20 ſiccum linamentum ſpecillo obvolutum indito, 21 & de cætero æris flore in melle coctum, linamentum illine, atq; ſic in naſum inde. 22 Et ubi jã ulcus curatum fuerit, plumbum efformatũ ſit ut ad ulcus perveniat, melle illine, & donec ſanus fiat appone.

XXXIV. Alius polypus. 2 Impletur naſus carnibus, 3 & ad contactum caro dura apparet, 4 & per naſum ſpirare non poteſt. 5 Quum ſic habuerit, fiſtula immiſſa, ferramentis tribus aut quatuor urito, 6 & poſt uſtionem veratrum nigrum tritum injicito, 7 & poſtquam computruerit ac exciderit caro, 8 linamenta melle illita cum æris flore indito: 9 & ubi curatum fuerit ulcus, plumbeas maſſas ſive fiſtulas melle illitas immittito, donec ſanus fiat.

10 Alius polypus. 11 Intrinſecus ex cartilagine caro rotunda prominet, 12 quæ ad contactum mollis eſt. 13 Quum ita habuerit, chordam nerveam accipito, & facta in ipſa parva anſula, eam tenui filo obligato: 14 deinde alterum principium per anſulam tranſmittito, alia majore anſa facta. 15 Poſtea principium illud per virgam ſtanneam tranſmittito. 16 Deinde anſam illam majorem in naſum indito, & ſpecillo inſecto ipſam circum polypum obducito ac adaptato: 17 & ubi circumſita fuerit, virgam in os tranſmittito, 18 & arreptam ipſam trahito, eodem modo ſpecillo inſtar ungulæ bifurcato ſuppoſito ſub gurgulionem ac renitente. 19 Poſtquam autem extraxeris, curato velut ſuperiorem.

20 Alius polypus. 21 Intrinſecus circa cartilaginem alicunde-

θιν παρὰ τὸν χόνδρον ἀπὸ τοῦ σκληρὸν
φύεται, καὶ δοκεῖ μὲν εἶναι κρέας·
22 ἢν δὲ ψαύσῃς αὐτοῦ, ψοφεῖ
οἷον λίθος. 23 ὅταν οὕτως ἔχῃ, σχί-
σαντα τὴν ῥῖνα ὑμίλῃ ἐκκαθῆραι,
24 ἔπειτα ἐπικαῦσαι. 25 τοῦτο δὲ
ποιήσας συῤῥάψαι πάλιν τὴν ῥῖνα,
26 καὶ ἰῆσθαι τὸ ἕλκος τῷ χρίσμα- 79
τι ἐναλείφων. ῥάκος ἐντιθέναι. 27
45 καὶ, ἐπὴν σαπρωθῇ, ἰσχαίειν τὸ
ἄνθος τὸ ἐν τῷ μέλιτι. 28 ἀλθί- 80
σκειν δὲ τῷ μολίβδῳ.

29 Ἄλλος. 30 Φύεται ἐκ πλα- 81
γίου τοῦ χόνδρου ἐν ἄκρῳ οἷον καρκίνια.
31 πάντα δὲ ταῦτα καίειν χρή. 32
ὅταν δὲ καύσῃς, ἐμπάσαι τοῦ ἐλλε-
βόρου. 33 ἐπὴν δὲ σαπῇ, καθαίρειν τῷ
ἄνθει ξὺν τῷ μέλιτι. 34 ἀλθίσκειν δὲ
τῷ μολίβδῳ.

XXXV. Ἴκτερος. 2 Ἡ χροιὴ 82
μέλαινα γίνεται κατὰ τὸ πρόσωπον, 3 μά-
λιστα δὲ τὰ ἐσκιασμένα, 4 καὶ οἱ
ὀφθαλμοὶ χλωροί. 5 καὶ ἡ γλῶσσα
κάτωθεν, καὶ αἱ φλέβες, αἱ ὑπὸ τῇ
148 γλώσσῃ, παχεῖαι καὶ μέλαιναι.
6 καὶ ἄπυρος γίνεται. 7 καὶ οὐρεῖ παχὺ
χολῶδες. 8 ὅταν οὕτως ἔχῃ, πρῶ-
τον μὲν τὰς φλέβας τὰς ὑπὸ τῇ γλώσ-
σῃ ἀποσχάειν. 9 ἔπειτα λούοντα πολλῷ
θερμῷ, διδόναι πίνειν νήστει τοῦ ἀσφο-
δέλου τὰς ῥίζας, 10 ἀποκαθαίρων
ἑψῶν ἐν οἴνῳ ἴσον πέντε ῥίζας, 11 καὶ
σέλινα συμμίξας ὅσον χειροπληθέα
τῶν φύλλων. 12 ἐπιχέειν δὲ οἴνου γλυ-
κέος τρία ἡμικοτύλια αἰγιναῖα.
5 13 καὶ λείπειν ἡμικοτύλιον. 14 τοῦτο
κεράσας καὶ ἐκ τούτων διδόναι πί-
νειν. 15 ἐπὴν δὲ οὐρήσῃ, σιτίοισι
χρῆσθαι διαχωρητικοῖσι. 16 καὶ
μετὰ τὸ σιτίον ἐρεβίνθους λευ-
κοὺς τρωγέτω. 17 καὶ πινέτω
οἶνον λευκὸν, πουλὺν, ὑδαρέα.
18 καὶ σέλινα τρωγέτω ἐπὶ τῷ
σιτίῳ

de durum quid nascitur, & vi-
detur quidem caro esse: 22 si
vero ipsum attigeris, strepitum
edit velut lapis. 23 Quum sic
habuerit, fisso per scalpellum
naso expurgato, 24 deinde in-
urito. 25 Atque hoc facto nasum
rursus consuito, 26 & ulcus cu-
rato, linamentum melle illitum
indens: 27 & ubi computruerit,
æris florem cum melle illinito.
28 Fiat autem curatio plumbeis
massis itidem immissis. 138

29 Alius polypus. 30 Nascun-
tur ex obliquo cartilaginis in
summo, velut cancelli. 31 Om-
nes autem hos urere oportet,
32 & post ustionem veratrum
inspergere. 33 Postquam autem
computruerint, æris flore cum
melle expurgare. 34 Curatio au-
tem etiam plumbo immisso fiat.

XXXV. Morbus regius niger.
2 Color fit niger circa faciem
3 & maxime circa partes velut
in umbram occultatas: 4 & o- 140
culi cum virore pallidi, 5 item-
que lingua inferne, & venæ sub
lingua crassæ, ac nigræ: 6 & est
homo sine febre. 7 ac mingit uri-
nam crassam, biliosam. 8 Quum
ita habuerit, primum venas sub
lingua secato, 9 deinde calida
multa loto, asphodeli radices
bibendas jejuno dato, 10 ita ut
æquales quinque radices depur-
gatas in vino coquas, 11 & apii
foliorum quantum manus ple-
na capit addas. 12 Affundito au-
tem vini dulcis tres heminas
dimidiatas Æginenses, 13 ut à
coctura semihemina superfit. 14 145
Hoc permixtum bibendum da-
to. 15 Postquam autem minxe-
rit, cibis alvum subeuntibus u-
tatur, 16 & à cibo cicer album
edat, 17 & vinum album, mul-
tum, aquosum bibat: 19 & apium
ca

σιτίω καὶ πράσοι. 19 ποιείτω δὲ ταῦτα ἑπτὰ ἡμέρας. 20 καί, ἢν μέν οἱ δοκέῃ ἐν ταύτῃσιν ἡ χροιὴ καθαίρεσθαι ἐπιεικῶς. 21 ἢν δὲ μή, καὶ ἑτέρας τρεῖς ταῦτα ποιείτω. 22 μετὰ δέ, ἐπισχὼν μίαν ἢ δύο ἡμέρας, 10 πρόσθες φάρμακον πρὸς τὰς ῥῖνας. 23 μετὰ δέ, φάρμακον πίσον κάτω, ὑφ' οὗ χολὴν καθαιρεῖται. 24 καί, ἢν μὲν σπληνώδης ἔῃ, ὄνου γάλα, ἢ ὀρρὸν μεταπίσον. 25 ταῦτα ποιέων ὑγιὴς γίνεται.

26 Ἕτερος ἴκτερος. 27 Πυρετὸς λαμβάνει βληχρός, 28 καὶ τὴν κεφαλὴν βάρος ἔχει. 29 καὶ οἱ πυρετοὶ ἐπαύσαντο ἐνίοισιν. 30 αὐτὸς δὲ γίνεται χλωρός, οἵ τε ὀφθαλμοὶ μάλιστα, 31 καὶ ἀσθενέει καὶ ἀκρησίη τοῦ σώματος. 32 καὶ οὐρεῖ παχὺ καὶ χλωρόν. 33 τοῦτον θερμῷ λούειν, 34 καὶ διδόναι πίνειν διουρητικά. 35 ἐπὴν 15 δέ σοι δοκέῃ καθαρώτερος εἶναι, καὶ ἡ χροιὴ βελτίων γίνηται, 36 πρόσθες φάρμακον πρὸς τὰς ῥῖνας, καὶ μεταπίσον κάτω. 37 σιτίοισι δὲ ὡς μαλθακωτάτοισι χρῆσθαι. 38 οἶνον δὲ πινέτω λευκόν, γλυκύν, ὑδαρέα. 39 ταῦτα ποιέων ὑγιὴς γίνεται.

XXXVI. Πυρετοὶ ἀπὸ χολῆς. 2 Ἢν χολᾷ ὁ ἄνθρωπος, 3 πυρετὸς αὐτὸν λαμβάνει καθημέριος, καὶ ἀφίει. 4 ἔχει δὲ μάλιστα τὸ μέσον τῆς ἡμέρης. 5 καὶ τὸ στόμα πικρόν. 6 καί, ὅταν ἄσιτος ᾖ, λυπέει αὐτόν. 7 ἐπὴν δὲ φάγῃ, πνίγεται. 8 καὶ ὑπὸ 20 ὀλίγων τινῶν σιτίων ἐμπίπλαται, καὶ βδελύσσεται, 9 καὶ ἔμετοί μιν 84 λαμβάνουσιν. 10 καὶ ἐς τὴν ὀσφὺν 85 βάρος ἐμπίπτει, καὶ ἐς τὰ σκέλεα. 11 καὶ ὑπνώττει πολλά. 12 τοῦτο, 86 ἢν μετὰ τὸ πῦρ ἐξιδρώσῃ, καὶ οἱ ψυχρὸς καὶ πηλὸς ᾖ, καὶ τοῦ πυρετοῦ μὴ

ac porrum in cibo edat. 19 faciat autem hæc per dies septem: 20 & siquidem in his color probe depurgatus esse tibi visus fuerit, bene est. 21 Sin minus, etiam alios tres hæc faciat. 22 Postea interposita una atque altera die, ' medicamentum ad nares 150 apponito. 23 Deinde pharmacum deorsum purgans bibendum dato, à quo bilis purgatur. 24 Et si splenicus fuerit, asininũ lac aut serum postea exhibeto. 25 Hæc faciens, sanum efficies.

26 Alius morbus regius. 27 Febris corripit debilis, 28 & gravitas caput tenet, 29 & quibusdam sane febres cessant. 30 Ipse vero fit cum virore pallidus, & maxime oculi, 31 & debilis est, & corporis impotentia ' adest, 32 155 & urinam crassam cum virore pallidam emittit. 33 Hunc calida lavato, 34 & urinam cientia bibenda dato. 35 Postquam autem purior esse tibi visus fuerit, & color melior apparuerit, 36 medicamentum ad nares appone, & postea deorsum purgans bibendum præbe. 37 Cibis autem utatur quam mollissimis. 38 Vinum bibat album, dulce, aquosum. 39 Hæc faciens sanus evadet.

XXXVI. ' Febres à bile. 2 Si bi- 160 le infestatur homo, 3 febris ipsum corripit quotidie, ac dimittit. 4 Detinet autem maxime in meridie: 5 & os amarum est, 6 & quum sine cibo manet, offendit hoc ipsum. 7 Ubi vero ederit, strangulatur, 8 & à modicis quibusdam cibis impletur, & ' abominatur, 9 & vomitio- 165 nes ipsum invadunt, 10 & ad lumbos ac crura gravitas incumbit, 11 & multum dormit. 12 Hic si post febrem exudarit

μὴ ἀπαλλάσσηται, ἡ νοῦσος χρονίη γίνεται. 13 ἢν δὲ μὴ ἱδρώῃ, θᾶσσον κρίνεται. 14 ὅταν οὕτως ἔχῃ, ἐπὴν γένηται ἐναταῖος, φάρμακον διδόναι. 15 ἢν γὰρ αὐτίκα ἀρχομένου τοῦ πυρετοῦ διδῷς, ἐπὴν καθαρθῇ, ἐπανέλαβε πυρετὸς, καὶ αὖθις φαρμάκου δεῖται. 16 ἐπὴν δὲ τὸ μὲν στόμα μὴ πονέῃ, ἐς δὲ τὴν νειαίρην γαστέρα στρόφος ἐμπίπτῃ, 17 φάρμακον πίσαι κάτω, καὶ μεταπίσαι γάλα ὄνου, ἢ ὀῤῥὸν, ἢ τῶν χυλῶν τινά. 18 ἢν δ' ἀσθενὴς ἔῃ, ὑποκλύσαι. 19 πρὸ δὲ τοῦ φαρμάκου τῆς πόσιος, ὃς ἂν πυρεταίνῃ, ἔσωθεν μὲν διδόναι μελίκρητον ὑδαρές. 20 τὴν δὲ ἄλλην ἡμέρην, ἐπὴν ὁ πυρετὸς ἔχῃ, ὕδωρ, ὁπόσον ἂν θέλῃ, διδόναι ψυχρὸν πίνειν. 21 ἐπὴν δὲ ἀνῇ ὁ πυρετὸς, ῥοφεῖν διδόναι πτισάνης χυλὸν, ἢ κέγχρον λεπτόν· 22 καὶ ἐπιπίνειν οἶνον λευκὸν, οἰνώδεα, ὑδαρέα. 23 ἢν δὲ ἔμπυρος ἔῃ, καὶ μὴ ἀνῇ, μήτε τῆς νυκτὸς, μήτε τῆς ἡμέρης, 24 ψαυόμενος δὲ, ἢν τὰ μὲν ἄνω ἔχῃ θερμὰ, ἡ κοιλίη δὲ καὶ οἱ πόδες ἔωσι ψυχροὶ, καὶ ἡ γλῶσσα τρηχέη, 25 τούτῳ μὴ δῷς φάρμακον, 26 ἀλλ' ὑποκλύζειν μαλθακῷ κλύσματι, 27 καὶ διδόναι ῥοφάνειν τὸν χυλὸν τῆς πτισάνης ψυχρὸν δὶς τῆς ἡμέρης, καὶ ἐπιπίνειν οἶνον ὑδαρέα. 28 τὸν δὲ ἄλλον χρόνον, πίνειν ὕδωρ ὡς ψυχρότατον. 29 οὗτος, ἢν μὲν ἑβδομαῖος ἐξιδρώσῃ, καὶ τὸ πῦρ αὐτὸν μεθῇ. 30 ἢν δὲ μὴ, τεσσαρεσκαιδεκαταῖος ἀποθνήσκει ὡς τὰ πολλά.

XXXVII. Ἄλλος πυρετός. 2 Ἔξωθεν ἀφασσόμενος ἐστὶ βληχρὸς, ἔσωθεν δὲ καίεται. 3 καὶ ἡ γλῶσσα αὐτοῦ τρηχέη. 4 καὶ πνέει διὰ τῶν ῥινῶν καὶ τοῦ στόματος θερμόν.

rit frigidum ac multum sudorem, & febre non liberetur, morbum diuturnum sentiet. 13 Si vero non sudarit, citius judicatur. 14 Quum sic habuerit, & ad nonum diem devenerit, pharmacum dato. 15 Nam si statim à febris initio dederis, postquam purgatus est, febris repetit, & rursus medicamento opus habet. 16 At si os non afficiatur, verum ad imum ventrem tormen irruat, 17 pharmacum deorsum purgans bibendum dato, & postea lac asininum, aut serum, aut aliquem succum. 18 Si vero debilis fuerit, per clysterem subtus eluito. 19 Ante medicamenti vero potionem, si quis febriat, danda est ipsi aqua mulsa aquosa. 20 Altera autem die qua febris detinet, aquam frigidam quantum bibere volet, dabis. 21 Ubi vero remiserit febris, ptisanæ succum, aut milium tenue sorbeat, 22 & vinum album, odoratum, aquosum insuper bibat. 23 Si vero febris neque noctu neque interdiu remittat, 24 & ad contactum supernas partes habeat calidas, venter autem & pedes frigidi sunt, & lingua aspera: 25 huic medicamentum ne dederis, 26 sed molli infuso per clysterem subluito, 27 & ptisanæ succum bis in die frigidum sorbendum dato, & vinum aquosum insuper bibendum. 28 Reliquo vero tempore aquam frigidissimam bibat. 29 Hic siquidem septima die exudarit, & febris ipsum dimiserit, bene est. 30 Sin minus, decimaquarta die plerunque moritur.

XXXVII. Alia febris. 2 Foris ad contactum febris debilis est, intrinsecus autem ardet, 3 & lingua ipsius aspera est, 4 & per nares & per

ρόν. 5 ὅταν δὲ πεμπταῖος γένηται, τὰ ὑποχόνδρια σκληρά, 6 καὶ ὀδύνη ἐστί. 7 καὶ ἡ χροιή, οἷον ὑπὸ ἰκτέρου ἐχομένου, φαίνεται. 8 καὶ οὐρέει παχὺ καὶ χολῶδες. 9 οὗτος, ἢν μὲν ἑβδομαῖον ἐόντα ῥῖγος λάβῃ, καὶ πυρετὸς ἰσχυρός, καὶ ἐξιδρώσῃ· 10 ἢν δὲ μή, ἀποθνήσκει ἑβδομαῖος ἢ ἐνναταῖος. 11 λαμβάνει δὲ μάλιστα, ἢν μὴ τὸ ἔτος αὐχμηρὸν γένηται, αὕτη ἡ νοῦσος. 12 ὅταν οὕτως ἔχῃ, λούειν θερμῷ ἑκάστης ἡμέρης. 13 καὶ πίνειν διδόναι μελίκρητον ὑδαρὲς πολλόν. 14 καὶ ῥοφάνειν τὸν χυλὸν τῆς πτισάνης ψυχρόν, δὶς τῆς ἡμέρης. 15 ἐπὶ δὲ τῷ ῥοφήματι πίνειν οἶνον ὑδαρέα, λευκόν, ὀλίγον. 16 ἢν δὲ ἡ γαστὴρ μὴ ὑποχωρέῃ, ὑποκλύσαι, ἢ βάλανον προσθεῖναι. 17 σιτίον δὲ μὴ προσφέρειν, ἕως ἂν πυρετὸς παύσῃ. 18 ἐπὴν δὲ παύσηται, φάρμακον πίσαι κάτω, 19 ὑποστρέφει γὰρ ἔστιν ὅτε ἡ νοῦσος, ἢν ἀκάθαρτος διαφέρηται. 20 ἡ [δὲ] νοῦσος αὕτη λαμβάνει, ἢν ὑπερχολήσῃ τὸ αἷμα.

XXXIX. Ἄλλος πυρετός. 2 ἢν τεταρταῖος πυρετὸς ἔχῃ, ἢν μὲν σοι μὴ παρεὶς τρεῖς λήψιας, τῇ τετάρτῃ λάβῃ, 3 φάρμακον πίσαι κάτω. 4 ἢν δέ σοι δοκέῃ φαρμάκου μὴ δεῖσθαι, τρίψας τοῦ πενταφύλλου τῶν ῥιζῶν, ὅσον ὀξύβαφον ἐν ὕδατι δοῦναι πιεῖν. 5 ἢν δὲ μηδ' ἐν τούτῳ παύηται, λοῦσαι αὐτὸν πολλῷ θερμῷ, 6 πίσαι τὸ τρίφυλλον καὶ ὀπὸν σιλφίου ἐν οἴνῳ ἰσοκρατεῖ, 7 καὶ κατακλίνας ἐπιβαλεῖν ἱμάτια, ἕως ἂν ἱδρώσῃ. 8 ἐπὴν δὲ ἐξιδρώσῃ, ἢν διψῇ, δοῦναι πιεῖν ἄλφιτον καὶ ὕδωρ. 9 ἐς ἑσπέρην δέ, κέγχρον ἑψήσας λεπτόν,

per os ſpirat calidum. 5 Quinta die præcordia dura ſunt, 6 & dolor ineſt, 7 & color qualis in morbo regio apparet, 8 & craſſam & bilioſam urinam ejicit. 9 Hunc ſi ſeptima die rigor, & febris vehemens apprehenderit, & exudarit, bene eſt. 10 Sin minus, moritur ſeptima aut nona. 11 Corripit autem maxime hic morbus, ſi non annus ſqualliduſ fuerit. 12 Quum ſic habuerit, quotidie calida lavato, 13 aquamque mulſam aquoſam multam bibendam dato, 14 & priſanæ ſuccum frigidum bis in die ſorbendum. 15 A ſorbitione vero vinum bibat aquoſum, album, modicum. 16 Si vero alvus non egerat, clyſterem adhibeto, aut glandulam ſubdito. 17 Cibum autem ne exhibeas, donec febris remittat. 18 Ubi vero ſedata fuerit, pharmacum deorſum purgans bibat. 19 Revertitur enim quandoque morbus, ſi impurgatus permanſerit. 20 Et amplius morbus hic rurſus corripit, ſi ſanguis nimium bilioſus factus fuerit.

XXXIX. Alia febris. 2 Si terriana febris tenuerit, ſiquidem non omiſſis tribus invaſionibus, quarta corripiat, 3 pharmacum deorſum purgans bibendum dato. 4 Si vero pharmaco non opus habere tibi videatur; radicum quinque folii tritarum acetabuli menſuram ex aqua bibendam dato. 5 Si vero neque ſic ceſſet, multa calida loto, 6 trifolium, & ſilphii ſuccum, in vino pari aqua immixta, bibenda præbeto, 7 & reclinato veſtimenta integito; donec exſudet. 8 Poſtquam vero exſudarit, ſi ſitiat, polentam cum aqua bibat. 9 Veſperi autem milium coctum tenue

τὸν ῥοφανέτω, καὶ οἶνον ἐπιπινέτω. [10] ἕως δ' ἂν διαλείπῃ, καὶ σιτίοις ὡς μαλθακωτάτοισι χρήσθω.

XXXIX. Πυρετὸς τεταρταῖος. [2] Τεταρταῖος πυρετὸς ὅταν ἔχῃ. [3] ἢν μὲν ἐξ ἄλλης νούσου λάβῃ ἀκάθαρτον, [4] φάρμακον πίσαι κάτω. [5] ἔπειτα τὴν κεφαλὴν καθῆραι. [6] ἔπειτα φάρμακον πίσαι κάτω. [7] ἢν δὲ μὴ ταῦτα ποιήσαντι παύηται, [8] διαλείπων δύο λήψιας, μετὰ τὴν κάτω κάθαρσιν, [9] λούσας αὐτὸν πολλῷ θερμῷ, [10] πίσον τοῦ καρποῦ τοῦ ὑοσκυάμου ὅσον κέγχρον, [11] καὶ μανδραγόρου ἴσον. [12] καὶ ὀποῦ τρεῖς κυάμους, [13] καὶ τριφύλλου ἴσον ἐν οἴνῳ ἀκρήτῳ πίνειν. [14] ἢν δὲ ἐῤῥωμένος καὶ ὑγιαίνειν δοκέων, ἐκ κόπου ἢ ἐξ ὁδοιπορίης πυρετήνας, καταστῇ αὐτῷ ἐς τεταρταῖον, [15] πυριήσας αὐτὸν, [16] σκόροδα διδόναι, ἐς μέλι βάπτων. [17] ἔπειτα ἐπιπινέτω φάκιον, μέλι καὶ ὄξος μίξας. [18] ἐπὴν δὲ πλησθῇ, ἐμεσάτω. [19] ἔπειτα λουσάμενος θερμῷ, ἐπὴν ψυχθῇ, πινέτω κυκεῶνα ἐφ' ὕδατι. [20] ἑσπέρην δὲ σιτίοισι μαλθακοῖσι καὶ μὴ πολλοῖσι διαχρήσθω. [21] τῇ δὲ ἑτέρῃ λήψει, λούσας θερμῷ πολλῷ, ἱμάτια ἐπιβαλὼν, ἕως ἐξιδρώσῃ, [22] πίσαι παραχρῆμα λευκοῦ ἐλλεβόρου τῶν ῥιζέων ὅσον τριῶν δακτύλων μῆκος, [23] καὶ τοῦ τριφύλλου ὅσον δραχμῆς μέγεθος, [24] καὶ ὀποῦ δύο κυάμους ἐν οἴνῳ ἀκρήτῳ. [25] καὶ ἢν ἐμέσιες μὲν ἔχωσιν, ἐμεσάτω. [26] ἢν δὲ μὴ, ὁμοίως. [27] μετὰ τὸ καθῆραι τὴν κεφαλήν. [28] σιτίοισι δὲ χρήσθω ὡς μαλθακωτάτοισι καὶ δριμυτάτοισιν. [29] ὅταν δὲ ἡ λῆψις μιν ἔχῃ, μὴ νῆστις ἐὼν τὸ φάρμακον πινέτω.

nue sorbeat, & vinum insuper bibat, [10] donec febris cesset: & cibis quam mollissimis utatur.

XXXIX. Febris quartana. [2] Quum febris quartana [3] ex alio morbo non purgatum apprehenderit, [4] pharmacum deorsum purgans bibendum dato. [5] Deinde caput purgato. [6] Postea rursus infra purgato. [7] Si vero his factis non cesset, [8] interpositis duabus invasionibus post purgationem infernam, [9] multa calida ipsum lavato, [10] & seminis hyoscyami milii magnitudinem, [11] & mandragoræ tantundem, [12] & succi silphii trium fabarum magnitudinem, [13] & trifolii tantundem, in vino meraco bibat. [14] At si firmus & sanum se esse putans, ex lassitudine, aut profectione febre correptus, ad quartanam deveniat: [15] fomentis ipsi adhibitis [16] allium dato, in melle tinctum. [17] Deinde lenticulæ decoctum bibat, melle & aceto ammixtis. [18] Postquam autem repletus fuerit, vomat. [19] Postea calida lotus, ubi frigidus factus fuerit, cyceonem ex aqua bibat. [20] Vesperi cibis mollibus & non multis utatur. [21] Altera vero exacerbatione, ubi multa calida laveris, & stragula ipsi intexeris, donec exudet, [22] statim veratri albi radices trium digitorum longitudine, [23] & trifolii drachmam, [24] & succi silphii duarum fabarum magnitudine, in vino meraco bibat. [25] Et si vomitiones ipsum urserint, vomat. [26] Sin minus, similiter [27] post caput purgatum. [28] Cibis autem utatur quam mollissimis & acerrimis. [29] Quum vero exacerbatio ipsum invaserit, jejunus medicamentum ne bibat.

XL. Πλευρῖτις. 2 Πλευρῖτις ὅταν λάβῃ, πυρετὸς καὶ ῥῖγος ἔχει. 3 καὶ ὀδύνη διὰ τῆς ῥάχιος ἐς τὸ στῆθος, 4 καὶ ὀρθοπνοίη, 5 καὶ βὴξ. 6 καὶ τὸ σίαλον λευκὸν, καὶ ὑπόχολον. 7 καὶ ἀποβήσσεται οὐ ῥηιδίως. 8 καὶ διὰ τῶν βουβώνων ὀδύνη. 9 καὶ οὐρεῖ αἱματώδεα. 10 ὅταν οὕτως ἔχῃ, ἢν μὲν τὸ πῦρ αὐτὸν ἑβδομαῖον ἀφῇ, ὑγιὴς γίνεται. 11 ἢν δὲ μὴ αὐτὸν, ἀφικνέεται ἡ νοῦσος ἐς τὰς ἕνδεκα ἡμέρας, ἢ τὰς τεσσαρεσκαίδεκα. 12 οἱ μὲν οὖν πολλοὶ ἐν ταύτῃσιν ἀπόλλυνται. 13 ἢν δὲ ὑπερβάλλῃ τὴν τεσσαρεσκαιδεκάτην, ἐκφυγγάνει. 14 ὅταν οὕτως ἡ ὀδύνη ἔχῃ, χλιάσματα προστιθέναι. 15 πινέτω δὲ καὶ μέλι, ἀναζέσας αὐτὸ καὶ ἐπιχέας ὄξος, ἴσον τῷ μέτρῳ τοῦ μέλιτος. 16 ἔπειτα, ὁπόσον ἂν γένηται μέτρον τοῦ ἑφθοῦ μέλιτος καὶ τοῦ ὄξεος, 17 ἐπιχέαι ὕδατος ἑνὸς δέοντα τῶν εἴκοσι. 18 τοῦτο διδόναι πίνειν κατ' ὀλίγον πυκνά. 19 καὶ μετὰ ταῦτα μίσγειν ὕδωρ, ὄξος ὀλίγον παραχέων. 20 ῥοφείτω δὲ καὶ κέγχρου χυλὸν, μέλι ὀλίγον παραστάζων ψυχρὸν, ὅσον τεταρτημόριον κοτύλης, ἐφ' ἑκατέρῳ σιτίῳ. 21 καὶ πινέτω οἶνον λευκὸν, οἰνώδεα ὑδαρέα, ὀλίγον. 22 ὁ δὲ οἶνος ἔστω ὡς μαλθακώτατος, ὀδμὴν μὴ ἔχων. 23 ὅταν δὲ ὁ πυρετὸς ἀφῇ, 24 ἡμέρας μὲν δύο τὸν κέγχρον ῥοφείτω δὶς τῆς ἡμέρης, 25 καὶ τεῦτλα ἡδύτατα ἐσθιέτω. 26 ἔπειτα σκύλακα ἢ ὀρνίθιον καθεφθὸν ποιήσας τοῦ ζωμοῦ ῥοφείτω, καὶ τῶν κρεῶν φαγέτω ὀλίγα. 27 τὸν δὲ λοιπὸν χρόνον, 28 μάλιστα ὅσον ὑπὸ τῆς νούσου ἔχοιτο, 29 ἀριστάτω μὲν τὸν κέγχρον, 30 ἐς ἑσπέρην δὲ σιτίοισιν ὡς ἐλαχίστοισι χρήσθω καὶ μαλθακωτάτοισιν.

XLI. Ἑτέρη πλευρῖτις. 2 Πυρετὸς ἔχει, 3 καὶ βὴξ, 4 καὶ ῥῖγος, 5 καὶ ὀδύνη

XL. Pleuritis. 2 Pleuritis ubi corripuerit, & febris & rigor tenet, 3 & dolor per ſpinam ad pectus, 4 & erectæ cervicis ſpiratio, 5 & tuſſis, 6 & ſaliva alba ac ſubbilioſa, 7 & non facile per tuſſim rejicit, 8 & per inguina dolor eſt, 9 & cruentam urinam mingit. 10 Quum ita habuerit, ſiquidem febris ſeptima die remiſerit, ſanus evadet. 11 Si vero non remittat, devenit morbus ad undecimum aut decimumquartum diem. 12 Et ſane multi in his diebus moriuntur. 13 At ſi decimum quartum transgrediatur, evadit. 14 Quum ita habuerit dolor, calefactoria adhibeto. 15 Bibat autem mel, æquali aceto affuſo coctum, 16 ita ut quanta fuerit menſura cocti mellis & aceti, 17 undevigeſimam partem aquæ affundas. 18 Hoc paulatim & frequenter bibendum dato: 19 & poſtea quoque aquam modico aceto affuſo ammiſceto. 20 Sorbeat & milii ſuccum, melle modico adſtillato frigidum, quartæ heminæ partis menſura, quoties utrunque cibum ſumit, 21 & bibat vinum album vinoſum, aquoſum modicum. 22 Sit autem vinum quam molliſſimum, odorem non habens. 23 Ubi vero febris dimiſerit, per 24 biduum milium bis in die ſorbeat, 25 & betas jucundiſſime paratas edat. 26 Deinde catulum aut aviculam coquat, & jus ſorbeat, & de carnibus parum edat. 27 Reliquo vero tempore, 28 maxime quandiu à morbo tenetur, 29 in prandio milium ſumat, 30 veſperi cibis pauciſſimis ac molliſſimis utatur.

XLI. Alia pleuritis. 2 Febris tenet, 3 & tuſſis, 4 ac rigor, 5 & dolor

ὀδύνη ἐς τὸ πλευρὸν, 6 καὶ ἐς τὴν κληῖδα. 7 ἐνίοτε καὶ τὸ σίαλον πτύει ὑπόχολον καὶ ὕφαιμον, 8 ὅταν τὸ ῥήγματα ... ᾖ. 9 τούτῳ, ᾗ ἂν ὀδύνη ἔχῃ, μάλιστα προστιθέναι χλιάσματα, 10 καὶ λούειν θερμῷ, ἢν μὴ πυρετὸς αὐτὸν πολὺς ἔχῃ· ἢν δὲ μὴ, μή. 11 πίνειν δὲ διδόναι κηρίον ἐν ὕδατι ἀποβρέχων ἄρτι, ὑπόγλυκυ ποιέων, καὶ μετὰ μίσγειν ὕδωρ. 12 ῥοφανέτω δὲ τὸν χυλὸν τοῦ κέγχρου, δὶς τῆς ἡμέρης. 13 καὶ ἐπιπινέτω οἶνον λευκὸν ὑδαρέα. 14 καὶ ἢν ὑπερφύγῃ τὰς τεσσερεσκαίδεκα ἡμέρας, ὑγιὴς γίνεται.

XLII. Ἄλλη πλευρῖτις. 2 Πυρετὸς ἴσχει, 3 καὶ βρυγμὸς, 4 καὶ βὴξ ξηρή. 5 καὶ ἐκβάλλει χλωρά. 6 ἐνίοτε δὲ καὶ πελιδνά. 7 καὶ τὸ πλευρὸν ὀδύνη λαμβάνει. 8 καὶ τὸ μετάφρενον ὑπέρυθρον γίνεται. 9 χλιαίνεται δὲ τὴν κεφαλὴν καὶ τὰ στήθεα. 10 ποτὲ δὲ τὴν κοιλίην καὶ τοὺς πόδας καὶ τὰ σκέλεα. 11 καὶ ἀνακαθήμενος μᾶλλον βήσσει, 12 καὶ ἡ γαστὴρ ταράσσεται. 13 καὶ τὸ ὑποχώρημα πάνυ χλωρὸν καὶ κάκοδμον. 14 οὗτος ἐν εἴκοσιν ἡμέρῃσιν ἀποθνήσκει. 15 ἢν δὲ ταύτας ἐκφύγῃ, ὑγιὴς γίνεται. 16 τούτῳ, ἕως ἂν τεσσαρεσκαίδεκα ἡμέραι παρέλθωσι, διδόναι πίνειν ἀπὸ τῶν κρίμνων, 17 καὶ μετὰ πίνειν οἶνον λευκὸν, οἰνώδεα, ὑδαρέα. 18 ῥοφέειν δὲ τὸν χυλὸν τῆς πτισάνης ψυχρὸν, δὶς τῆς ἡμέρης. 19 ἀντὶ δὲ τοῦ μέλιτος ἐς τὸν χυλὸν μίσγειν ῥοιῆς χυλὸν οἰνώδεα, ὅταν ἤδη ὁ χυλὸς ἑφθὸς ᾖ. 20 καὶ λούειν μὴ πολλῷ. 21 ἐπὴν δὲ τεσσαρεσκαίδεκα ἡμέραι παρέλθωσιν, ἐπὶ τὸ ἄριστον ἀριστιζέτω τὸν κέγχρον. 22 ἐς ἑσπέρην δὲ τοῖσιν ὀρνιθίοισι, καὶ τῷ ζωμῷ. 23 καὶ τοῖσι σιτίοισιν ὀλιγίστοισι χρήσθω. 24 τὴν δὲ τοιαύτην νοῦσον ὀλίγοι ἐκφυγγάνουσιν.

dolor ad latus, 6 & quandoque ad claviculam, 7 & salivam spuit subbiliosam ac suberuentam. 8 Quod si ægro abscessus ruptus fuerit, 9 qua parte dolor maxime urget, calefactoria adhibeto: 10 & calida lavato, si non magna febris ipsum teneat: sin minus: non. 11 Bibendum autem dato favum in aqua maceratum, ita ut aquam jam subdulcem facias, & postea quoque aquã ammisceas. 12 Sorbeat ptisanæ succum bis in die, 13 & vinum inde bibat album, aquosum. 14 Et si quatuordecim dies effugerit, sanus evadit.

XLII. Alia pleuritis. 2 Febris detinet, 3 & dentium stridor, 4 & tussis sicca, 5 & cum virore pallida rejicit; 6 quandoque etiam livida: 7 & dolor latus corripit, 8 & dorsum subrubidum fit. 9 Caput & pectus calescunt, 10 aliquando etiam venter, & pedes, & crura. 11 Et quum erectus sedet, magis tussit: 12 & alvus turbatur, 13 & alvi egestio cum virore valde pallida est, ac graveolens. 14 Hic in viginti diebus moritur. 15 Si vero has effugerit, sanus fit. 16 Huic donec quatuordecim dies præterierint, aqua de farina crassa in ipsa macerata bibendam dato, 17 & vinum album vinosum, aquosum postea bibendum. 18 Sorbeat succum ptisanæ frigidum, bis in die. 19 Verum pro melle mali punici succum, ad ptisanæ succum admisceto, postquam jam hic ptisanæ succus coctus fuerit, 20 & lavet non multa. 21 Ubi vero quatuordecim dies præterierint, in prandio milium sumat. 22 ad versperam carnibus avicularum, cum jusculo, 23 & paucis cibis utatur. 24 At talem morbum pauci effugiunt.

XLIV. [1] Περιπλευμονίη. [2] Πυρετὸς ἴσχει ἡμέρας τεσσαρεσκαίδεκα τὸ ἐλάχιστον· τὸ δὲ μακρότατον, δύο δεούσας εἴκοσι. [3] καὶ βήσσει ταύτας τὰς ἡμέρας ἰσχυρῶς. [4] καὶ ἀποχρέμπτεται, τὸ μὲν πρῶτον, σίαλον παχὺ καὶ καθαρὸν, ἑβδόμῃ καὶ ὀγδόῃ· [5] ἐπὴν δὲ ὁ πυρετὸς λάβῃ, ἐνάτῃ καὶ δεκάτῃ ὑπόγλυκυ καὶ πυῶδες, ἔστ' ἂν αἱ τεσσαρεσκαίδεκα ἡμέραι παρέλθωσι. [6] καὶ, ἢν μὲν ἐν τῇ πεντεκαιδεκάτῃ ἡμέρῃ ξηρανθῇ ὁ πλεύμων, καὶ ἐκβήξῃ, ὑγιάζεται. [7] ἢν δὲ μὴ, δύο δεούσας εἴκοσι προσέχειν. [8] καὶ, ἢν μὲν ἐν ταύτῃσι παύσηται τοῦ βρήγματος, ἐκφεύγει. [9] ἢν δὲ μὴ παύηται, ἐρωτᾷν αὐτὸν, εἰ γλυκύτερον αὐτῷ δοκεῖ τὸ σίαλον· [10] καὶ, ἢν φῇ, ἡ νοῦσος ἐνιαυσίη γίνεται. [11] ὁ γὰρ πλεύμων ἔμπυος γίνεται. [12] τούτῳ χρὴ, τὰς μὲν πρώτας ἡμέρας, οἶνον διδόναι γλυκὺν, λευκὸν, ὑδαρέα, κατ' ὀλίγον πίνειν πυκνά. [13] ῥοφανέειν δὲ τῆς πτισάνης τὸν χυλὸν διδόναι, μέλι ὑπαμίσγων, [14] τρὶς τῆς ἡμέρης, [15] ἔστ' ἂν αἱ ὀκτωκαίδεκα ἡμέραι παρέλθωσι, καὶ ὁ πυρετὸς παύσηται. [16] κινδυνεύει δὲ μάλιστα ἐν τῇσιν ἑπτὰ, ἢ ἐν τῇσι τεσσαρεσκαίδεκα. [17] ἐπὴν δὲ τὰς ὀκτωκαίδεκα ἡμέρας ὑπερβάλλῃ, οὐκ ἔτι ἀποθνήσκει, [18] ἀλλὰ πτύει πῦον, καὶ τὰ στήθεα πονεῖ, καὶ βήσσει. [19] ὅταν οὕτως ἔχῃ, πιπίσκειν οἶνον ξὺν τῷ ἐλελισφάκῳ. [20] καὶ ῥοφανέειν ἔτνος, στέαρ συμμίσγων πλέον, ἢν μὴ θάλπος ᾖ. [21] ἢν δ' ᾖ, μὴ ῥοφανέτω, ἀλλὰ σιτίοισι χρήσθω ἁλυκοῖσι καὶ λιπαροῖσι, [22] καὶ τοῖσι θαλασσίοισι μᾶλλον, ἢ κρέασι. [23] καὶ, ἤν σοι δοκέῃ καθαίρειν κατὰ λόγον, ἐγχεῖν καὶ πυριᾷν. [24] ἢν μὲν παχὺ ᾖ τὸ πῦον, πυριᾷν· [25] ἢν

XLIV. [1] Peripneumonia. [2] Febris detinet dies quatuordecim ut minimum, ad summum duos de viginti, [3] & per hos dies fortiter tussit, [4] & primum quidem exscreat salivam crassam ac puram, septima & octava die. [5] Si vero febris corripuerit, nona ac decima, subdulcem & purulentam, donec quatuordecim dies præterierint. [6] Et siquidem decima quinta die pulmo resiccatus fuerit, & tussiendo rejecerit, sanus fit. [7] Sin minus, duas de viginti observato, [8] & siquidem in his diebus tussis sedata fuerit, evadit. [9] Si non sedata, interrogato ipsum, an saliva ipsi dulcior appareat: [10] & si hoc confessus fuerit, morbus annum durabit. [11] Nam pulmo suppuratus fit. [12] Huic primis diebus vinum dare convenit dulce, album, aquosum, paulatim frequenter bibendum. [13] Sorbeat etiam ptisanæ succum melle ammixto [14] ter in die, [15] donec dies decem & octo præterierint, & febris desiverit. [16] Periclitatur autem maxime in septem, aut quatuordecim. [17] Postquam autem decem & octo dies transgressus fuerit, non amplius moritur, [18] sed pus spuit, & pectus dolet, & tussit. [19] Quum sic habuerit, jejunus cum salvia vini illam potionem bibat, [20] & leguminis fresi decoctum sorbeat, adipe multo ammixto, si non calor fuerit. [21] Si vero fuerit, ne sorbeat, sed cibis utatur salsis ac pinguibus, [22] & marinis potius quam carnibus. [23] Et si pro ratione purgari tibi visus fuerit, in os infundito, ac fomenta adhibeto: [24] siquidem crassum fuerit pus, fomenta adhibeto: [25] si vero tenue, infundito.

ἢν ᾖ λεπτὸν, ἐγχεῖν. [26] καὶ τῶν σιτίων ἔχεσθαι ὡς μάλιστα, [27] καὶ τῶν δριμέων ἀπέχεσθαι, καὶ κρεῶν βοείων, καὶ οἰείων, καὶ χοιρείων.

XLIV. [Ἔμπυος ἐκ περιπλευμονίης.] [2] Ὅταν ἐκ περιπλευμονίης ἔμπυος γένηται, πυρετὸς ἴσχει. [3] καὶ βὴξ ξηρὴ, καὶ δύσπνοια. [4] καὶ οἱ πόδες οἰδίσκονται. [5] καὶ οἱ ὄνυχες ἕλκονται τῶν χειρῶν καὶ τῶν ποδῶν. [6] τοῦτον, ὅταν οὕτως ἔχῃ, ἐπὴν δεκαταῖος γένηται, ἀφ' ἧς ἂν ἄρξηται ἔμπυος γίνεσθαι, [7] λούσας πολλῷ θερμῷ, [8] [καὶ] τρίψας ἄρου ῥίζαν, ὅσον ἀστράγαλον μέγεθος, καὶ ἁλὸς χόνδρον, καὶ μέλι ὀλίγον, καὶ ὕδωρ, καὶ ἄλειφαρ ὀλίγον, ἐξειρύσας τὴν γλῶσσαν, ἐγχέαι χλιαρόν. [9] ἔπειτα κινῆσαι τὸν ὦμον. [10] καὶ, ἢν μὲν ὑπὸ τούτου τὸ πῦον ῥαγῇ· εἰ δὲ μὴ, ἕτερον ποιῆσαι. [11] σιτία δριμέα ἐκχυμώσας, καὶ κυκλάμινον, ὅσον ὀξύβαφον τῶν μικρῶν μερέων ἑκατέρου ἴσον ἔστω. [12] ἔπειτα ὀπὸν σιλφίου τρίψας ὅσον κύαμον διεῖναι, καὶ συμμίξαι γάλακτος, ὅσον ὀξύβαφον, αἴγειον ἢ ὄνειον, τοῦτο χλιαρὸν ἐγχεῖν. [13] ἢν δὲ ὑπὸ τούτου μὴ ῥαγῇ, ῥαφανίου φλοιὸν καὶ ἄνθος χαλκοῦ ὅσον τρεῖς κυάμους, τρίψας λεῖον, διπλάσιον δὲ ἔστω τὸ ῥαφανίου, ἐλαίῳ διεῖναι, ὅσον τεταρτημορίῳ κοτύλης, τοῦτο ἐγχεῖν χλιαρόν. [14] καὶ, ἢν ῥαγῇ τὸ πῦον, σιτίοισιν ὡς ἁλμυρωτάτοισι καὶ λιπαρωτάτοισι χρῆσθαι. [15] καὶ, ἢν μὴ ἴῃ τὸ πῦον, κατ' ὀλίγον πυριῆν κατὰ τὸ στόμα σιτίου χυλῷ, οἴνῳ τορνίῳ, γάλακτι βοείῳ, ἢ αἰγείῳ, ἴσον ἑκάστου ξυμμίξας· [16] ἔστω δὲ ὅσον τρεῖς κοτύλαι· [17] ἔπειτα ἐμβάλλειν ἐς αὐτὸ ὄστρακα διαφανέας. [18] τοῦτο ἑλκέτω διὰ τοῦ αὐλοῦ, φυλασσόμενος, ὅπως μὴ κατακαυθείη. [19] ἐπὴν δὲ

dito: [26] & ex cibis hæreat quam maxime, [27] & ab acribus abstineat, & à carnibus bubulis, ovillis, ac porcinis.

XLIV. Suppuratus ex peripneumonia. [2] Quum ex peripneumonia suppuratus factus fuerit, febris detinet, [3] & tussis sicca, & difficultas spirandi. [4] & pedes intumescunt, [5] & manuum ac pedum ungues contrahuntur. [6] Hunc ita affectum ad decimam diem à suppurationis initio progressum, [7] multa calida lavato, [8] & ari radicem tali magnitudine tritam, & salis granum, & modicum mellis, & aquam, & olei parum, extracta lingua tepida infundito, [9] & postea humerum concutito. [10] Et siquidem ab his pus erumpat, bene habet. Sin minus, aliud facito. [11] Cibos acres & cyclaminum exsuccato, sitque succi utrorumque acetabulum parvum: [12] deinde silphii succum fabæ magnitudine terito ac diluito, & lactis caprini aut asinini acetabulum ammisceto. Hoc tepidum infundito. [13] Quod si ab hoc non erumpat, rhaphani corticem, & æris florem, trium fabarum magnitudine terito: Sit autem raphani duplum: & oleo diluito quarta heminæ parte. Hoc tepidum infundito. [14] Et si eruperit pus, cibis quam salsissimis ac pinguissimis utatur. [15] At si non prodierit pus, paulatim fomentum adhibeto in os, ex sii succo, vino tornio, lacte bubulo, aut caprino, singulis pari mensura permixtis, [16] ita ut sint heminæ tres, [17] in quas postea furni testas igni candefactas injicito, [18] atque inde vaporem per fistulam trahat, cavendo ut ne aduratur. [19] Postquam

δὲ καθαρώτερον πλύη, [19] ἐγχεῖν αὐτῷ κνίδης σπέρμα, λιβανωτὸν, ὀρίγανον ἐν οἴνῳ λευκῷ, καὶ μέλιτι, καὶ ἐλαίῳ ὀλίγῳ. [20] ἰσχέτω δὲ διὰ τρίτης ἡμέρης. [21] μετὰ δὲ βούτυρον, ῥητίνην ἐν μέλιτι διατήκων. [22] καὶ σιτίοισι μηκέτι χρήσθω ἁλμυροῖσι, μηδὲ λιπαροῖσι. [23] πινέτω δὲ διὰ ἐν μέσῳ ἡμέρας τῶν ἐγχύτων, ἐλελίσφακον, πήγανον, θύμβραν, ὀρίγανον ἴσον ἐν οἴνῳ ἀκρήτῳ, ὅσον ὀξύβαφον μετὰ πάντων ἐπιπάσσων. [24] ἢν δὲ μὴ ῥαγῇ ὑπὸ τῶν ἐγχύτων, [οὐ θαῦμα.] [25] πολλάκις γὰρ ἐκρήγνυται ἐς τὴν κοιλίην, [26] καὶ αὐτίκα δοκεῖ ῥάων εἶναι, ὅταν ἐκ στενοῦ ἐς εὐρυχωρίην ἔλθῃ.

XLV. Ἄλλη νοῦσος. [2] Ὁκόταν ὁ χρόνος πλείων γένηται, ὅ, τε πυρετὸς ἰσχυρὸς, [3] καὶ ἡ βὴξ ἐπιλαμβάνει, [4] καὶ τὸ πλευρὸν ὀδυνᾶται. [5] καὶ ἐπὶ μὲν τὸ ὑγιὲς οὐκ ἀνέχεται κατακείμενος, ἐπὶ δὲ τὸ ἀλγέον μέρος. [6] καὶ οἱ πόδες οἰδέουσι, [7] καὶ τὰ κοῖλα τῶν ὀμμάτων. [8] τοῦτον, ὅταν ἡμέρη πέμπτη καὶ δεκάτη γένηται ἀπὸ τῆς ἐκρήξιος, λούσας πολλῷ θερμῷ, [9] καθίσας ἐπὶ ἐφέδρου, [10] ὅ, τι μὴ ὑποκινήσεται, ἕτερος μὲν τὰς χεῖρας ἰσχέτω, [11] σὺ δὲ τῶν ὤμων σείων ἀκροάζεσθαι, ἐς ὁκότερον αὐτῶν τῶν πλευρέων τὸ πάθος ψοφέει. [12] βούλεσθαι δὲ ἐς τὸ ἀριστερὸν, [13] καὶ τοῦτον κατὰ τὸν τόπον τάμνειν· ἧσσον γὰρ θανατῶδες. [14] ἢν δὲ ὑπὸ τοῦ πάχεος καὶ τοῦ πλήθεος μὴ ψοφέῃ ὥστε καταμαθεῖν αὐτὸ [[15] χρὴ εἰδέναι, μή τι ἔχῃ οἴδημα ἐν ἑτέρῳ τῷ πλευρῷ] [16] ποιέει γὰρ τοῦτο ἐνίοτε. [17] ὁκότερον ἂν ἀποιδέῃ τῶν πλευρέων καὶ ὀδυνᾶται μᾶλλον, [18] τοῦτο τάμνειν ὡς κατωτάτω, ὄπισθεν τοῦ οἰδήματος μᾶλλον ἢ ἔμπροσθεν, [19] ὅκως σοι ἡ ἔξοδος τοῦ πύου εὔροος ᾖ. [20] τάμνειν δὲ

quam autem purius jam sputum prodierit, urticæ semen, thus origanum, in vino albo, melleque ac oleo modico, ipsi infundito, [20] idque per tertium diem: [21] postea vero butyrum, resinam in melle liquatam. [22] Et cibis non amplius utatur salsis, neque pinguibus. [23] At diebus interpositis, infusionum oris usu cessante, salivam, rutam, satureiam, origanum, pari potione jejunus ex vino bibat acetabuli mensura, omnibus illis inspersis. [24] Quod si ab infusionibus his oris non eruperit, nihil miri est. [25] Sæpe enim prorumpit ad alvum, [26] & statim melius habere sibi videtur, ubi ex angusto ad ampliorem regionem devenerit.

XLV. Alius morbus. [2] Quum tempus longius protrahitur, & febris vehemens [3] ac tussis corripit, [4] & latus dolet, [5] & ad sanam partem decumbere non potest, sed ad dolentem, [6] & pedes, [7] & oculorum cavitates intumescunt. [8] Hunc ubi decimusquintus ab eruptione dies adest, multa calida lotum [9] in sella firma collocato, [10] & alius quidem manus ipsius teneat, [11] tu vero humerum concutito, ut audias in utrum latus affectio strepitum edat: [12] optandum autem esset in sinistrum. [13] Hunc ipsum igitur locum seces, minus enim lethalis est. [14] Si vero præ crassitudine ac copia strepitum non edat, quo ipsum cognoscere possis, ([16] nam hoc aliquando contingit) [17] utrum latus tumuerit ac magis doluerit, [18] hoc infime secato retro tumorem magis quam ante ipsum, [19] quo puris exitus facilem fluxionem habeat. [20] Secato autem inter

δὲ μεταξὺ τῶν πλευρέων [21] ''σμι- 113
θοδεῖ μαχαιρίδι τὸ πρῶτον δέρ-
μα, [22] ''ἔπειτα ὀξυβελεῖ, [23] ἀποδή- 114
σας ῥάκει τὸ ἄκρον τῆς μαχαιρί-
δος, λιπὼν ὅσον τ' ὄνυχα τοῦ δα-
κτύλου τοῦ μεγάλου καθεῖναι ἔσω. [24]
ἔπειτα ἀφεὶς τὸ πῦον, ὅσον ἄν σοι
δοκέῃ, [25] '' μοτῷ ὠμολίνῳ, μο- 115
151 τῶ λίνου ἐνδήσας. [26] ' ἀφιέναι
δὲ τὸ πῦον ἑκάστης ἡμέρης ἅπαξ.
[27] ''ἐπὴν δὲ γένηται δεκαταῖος, 116
ἀφεὶς ἅπαν τὸ πῦον, ὀθονίῳ μο-
τοῦν. [28] ἔπειτα ἐγχέειν οἶνον καὶ
ἔλαιον χλιαίνων αὐλίσκῳ, [29] ὡς
μήτε ὁ πλεύμων ἐξαπίνης, εἰω-
θὼς βρέχεσθαι τῷ πύῳ, ἀποξη-
ρανθῇ. [30] ἐξιέναι δὲ τὸ ἔγχυμα,
τὸ μὲν ἕωθεν, ἐς ἑσπέρην, τὸ δὲ
ἐς ἑσπέρην, ἕωθεν. [31] ἐπὴν δὲ τὸ
πῦον λεπτὸν, οἷον ὕδωρ, ᾖ, καὶ
γλίσχρον τῷ δακτύλῳ ψαυόμενον,
5 ' καὶ ὀλίγον, [32] ἐνθεῖναι μοτὸν
κασσιτέρινον κοῖλον. [33] ἐπὴν δὲ
παντάπασι ξηρανθῇ ἡ κοιλίη,
ἀποτάμνων τοῦ μοτοῦ κατὰ μικρὸν
ξυμφύειν τὸ ἕλκος, ἔς ἂν ἐξέλῃς
τὸν μοτόν. [34] σημήϊον δὲ, ἢν μέλλῃ
ἐκφεύξεσθαι, '' ἢν μὲν τὸ πῦον 117
ᾖ λευκὸν καὶ καθαρὸν, καὶ
ἶνες αἵματος ἐνέωσιν, ὡς τὰ
πολλὰ ὑγιὴς γίνεται. [35] ἢν
δὲ οἷον λεκιθῶδες ἀπορρυῇ τῇ
πρώτῃ, ἢ τῇ ὑστεραίῃ ἀπορρυῇ
παχὺ, ὑπόχλωρον, ὄζον, ἀπο-
θνήσκουσιν, ἐπειδὰν ἐκρυῇ τὸ
πῦον.

XLVI. Ἑτέρη [νοῦσος.] [2] ''''Ὁ- 118
10 ταν πλευμονῇ, [3] ' τοῦτο τὸ σίαλον παχὺ, ὑπόχλωρον, γλυκὺ βήσσεται. [4] καὶ βρυγμὸς, [5] καὶ ὀδύνη ἐς τὸ στέρνον καὶ ἐς τὸ μετάφρενον. [6] καὶ συρίζει ἐν τῇ φάρυγγι λεπτὸν. [7] καὶ ἡ φάρυγξ

inter costas [21] per novaculam primum cutem, [22] deinde scalpello acuto, [23] quod panniculo sit obligatum, ita ut summa ipsius pars, ad unguis magni digiti mensuram expedita restet, quam intromittas. [24] Postea emisso pure quantum visum ' fuerit, 310 [25] vulnus linamento ex lino crudo, alligato foras propendente filo, concludito: [26] & quotidie semel pus educito: [27] postquam autem decimus affuerit dies, omni pure emisso linamentum ex linteo indito. [28] Deinde vinum & oleum tepefacta per fistulam infundito, [29] ne pulmo à pure humectari solitus derepente resiccetur. [30] Emittendum autem est id quod mane infusum est, ad vesperam: quod vespera, mane. [31] ' Ubi ve- 315 ro pus tenue velut aqua fuerit, & ad digiti contactum viscosum ac modicum, [32] penicillum stanneum cavum indito. [33] Postquam autem omnino venter resiccatus fuerit, paulatim linamentum præsectum minuito, donec ulcus coalescat, & ipsum penitus eximas. [34] Signum autem an evasurus sit habes: si pus album ac purum fuerit, & fibræ sanguinis insint, plerunque sanus fit. [35] Si vero prima die profluat lutei ovi ' speciem ha- 320 bens, aut secunda die defluat crassum, cum virore subpallidum, fœtens, moriuntur ubi pus effluxit.

XLVI. Alius morbus. [2] Quum quis ex pulmonis affectu tabescit, [3] is salivam crassam, cum virore subpallidam, dulcem, tussiendo rejicit, [4] & stridor [5] ac dolor ad pectus & ad dorsum fit, [6] & in faucibus tenuis sibilus auditur, [7] & fauces siccæ sunt,

φάρυγξ ξηρὴ γίνεται. 8 καὶ τὰ κύλα ἐρυθρά. 9 καὶ βαρείη ἡ φωνή. 10 καὶ οἱ πόδες οἰδίσκονται. 11 καὶ οἱ ὄνυχες ἕλκονται, καὶ καταλεπτύνονται τὰ ἄνω, καὶ μινύθει. 12 καὶ μυσάττεται τὸ σίαλον, ἐπὴν ἀποχρεμψάμενος ἔχῃ ἐν τῷ στόματι. 13 καὶ βήσσει τοὺς ὄρθρους καὶ μεσονύκτια μάλιστα. 14 βήσσει δὲ καὶ τὸν ἄλλον χρόνον. 15 καὶ λαμβάνει μᾶλλον γυναῖκα νεωτέρην ἢ πρεσβυτέρην. 16 τούτῳ, ἢν μὲν αἱ τρίχες ἤδη ἐκ τῆς κεφαλῆς ῥέωσι, καὶ ψιλῶται ἤδη ἡ κεφαλὴ ὡς ἐκ νούσου, 17 καὶ πτύοντι ἐπ' ἄνθρακας βαρὺ ὄζῃ τὸ σίαλον, 18 φάναι αὐτὸν ἀποθανεῖσθαι ἐντὸς ὀλίγου χρόνου. 19 τὸ δὲ κτεῖνον ἔσεσθαι διάρροιαν. 20 ἐπὴν γὰρ ἤδη τὸ πῦον, τὸ περὶ τὴν καρδίην, σήπηται, τοῦτο ὄζει κνίσης ἐπὶ τοῖσιν ἄνθραξι. 21 καὶ ξυνθερμαινόμενος ὁ ἐγκέφαλος, ῥεῖ ἅλμην, 22 ἣ κινεῖ τὴν κοιλίην. 23 σημήϊον δὲ τούτου, ῥέουσιν ἐκ τῆς κεφαλῆς τρίχες. 24 τοῦτον μὴ ἰᾶσθαι, ὅταν οὕτως ἔχῃ. 25 ἢν δὲ κατ' ἀρχὰς ἐπιτύχῃς τῇ νούσῳ, φάκιον δὸς πιεῖν. 26 εἶτα, διαλιπὼν μίην ἡμέρην, ἐλλέβορον δοῦναι κεκρημένον, 27 ὅκως τὴν κάτω κοιλίην μὴ κινήσῃ. 28 καὶ ἐπὴν ἐς στόμα τῆς νυκτὸς αὐτῷ φοιτᾷ ἅλμη, 29 πρὸς τὰς ῥῖνας αὐτοῦ προστιθέναι φάρμακα πυκνότερα. 30 ἢν δὲ μὴ ῥέῃ, προστιθέναι μέν, διὰ πλείονος δὲ χρόνου, καὶ τοῦ μηνὸς ἅπαξ, 31 προσπιπίσκοντα ἐλλέβορον, ὅσον τοῖσι δακτύλοισι δύο ἆραι, ἐν οἴνῳ 'γλυκεῖ κεκρημένον. 32 φάκιον δὲ αὐτίκα διδοὺς ἐπιπίνειν. 33 φάρμακα δὲ ὡς ἐλάχιστα πιπίτω, 34 ἢν μὴ αὐτὸν οἱ πυρετοὶ ὀξύτεροι ἐπιλαμβάνωσι. 35 τὴν ῥίζαν

sunt, 8 & oculorum cavitates rubicundæ, 9 & vox gravis, 10 & pedes intumescunt, 11 '& ungues contrahuntur, & supernæ partes attenuantur ac imminuuntur, 12 & salivam abominatur ubi exscreaturus ipsam in ore habet, 13 & tussit mane maxime & circa mediam noctem, 14 imo etiam aliis temporibus. 15 Et corripit magis hic morbus mulierculam quam vetulam. 16 Huic si jam pili de capite defluant, & nudum sit caput, velut ex morbo: 17 & si prunis inspuenti saliva graveolens 'sit, ■ intra breve tempus ipsum moriturum esse pronuncia. 19 id vero quod occidet, alvi profluvium fore. 20 Ubi enim jam pus circa cor putruerit, nidorosum odorem prunis injectum de se præbet: 21 & cerebrum concalescens salsuginosum humorem effundit, 22 qui alvum movet. 23 Hujus autem signum est, quod capilli ex capite defluunt. 24 Hunc ubi ita habuerit ne curato. 25 Si vero à principio morbus 'obtigerit, lenticulæ decoctum bibendum dato. 26 Deinde interposita una die, veratrum dato temperatum, 27 ut ne alvum infernam moveat. 28 Et quum noctu ad os salsuginosus humor ipsi influit, 29 medicamenta ipsi frequentiora ad nares appone. 30 Si vero non fluit, appone quidem, sed rarius, & mense semel, 31 ita ut insuper veratrum bibendum des, quantum duobus digitis comprehendi potest, in vino dulci 'temperato. 32 Statim vero lenticulæ decoctum inde bibendum dato. 33 At medicamenta quam paucissima bibat, 34 si non febres acutiores ipsum corripiant. 35 Radicem

ῥίζαν τὴν λευκὴν καὶ τοῦ ἐλλεβόρου λειχέτω [36] ἐν μέλιτι δὲ οὔ. οὕτω γὰρ ἥκιστα τὴν κοιλίην κινήσει. [37] ἢν δὲ στρόφος ἐγγίνηται ἐν τῇ κάτω κοιλίῃ, πρῶτον μὲν κλύσαι ἐκεῖνο, ἐς ὃ ὁ κόκκος συμμίσγεται. [38] ἢν δὲ μηδ' οὕτω παύηται, γάλακτι ὀνείῳ ἑφθῷ καθαίρειν. [39] φάρμακον δὲ μὴ διδοῦ κατωτερικόν. [40] ἢν δὲ 30 πρὸ τοῦ φαρμακίου, προπίνων τὸν ἐλλέβορον, χολὴν ἐμέῃ, [41] αὐτοῦ τοῦ φακίου ἐμείτω. [42] σιτίοισι δὲ χρήσθω, ἢν μὲν οἱ πυρετοὶ ὀξέες ἔχωσι, 125 [43] κρέασι μηλείοισιν ἑφθοῖσι, καὶ ὀρνιθίοισι, καὶ κολοκύνθῃ, καὶ τεύτλοισι. [44] ζωμὸν δὲ μὴ ῥοφείτω. [45] μηδὲ βάπτεσθω. [46] ἰχθύσι δὲ χρήσθω, σκορπίοισι καὶ σελάχεσιν ἑφθοῖσι. [47] θερμὸν δὲ μηδὲν ἐσθιέτω, [48] μηδὲ λουέσθω, ἢν ὁ πυρετὸς ἔχῃ πολύς. [49] μηδὲ λαχάνοισι δριμέσι χρήσθω, ὅτι μὴ θύμβρῃ ἢ ὀριγάνῳ. [50] οἶνον δὲ λευκὸν πινέτω. [51] ἢν δὲ ἄπυρος ᾖ, 126 35 θέρμαι δὲ λαμβάνωσιν ἄλλοτε καὶ ἄλλοτε, [52] ἐσθιέτω ἰχθῦς ὡς ἀρίστους καὶ πιοτάτους, [53] καὶ λιπαρὰ καὶ γλυκέα, [54] καὶ ἁλμυρὰ ὡς μάλιστα, [55] καὶ περιπάτοισι χρήσθω, μήτε ἐν ἀνέμῳ, μήτε ἐν ἡλίῳ. [56] καὶ ἐμείτω ἀπὸ τῶν σιτίων, ὅταν οἱ δοκέῃ καιρὸς εἶναι. [57] καὶ λούσθω χλιαρῷ, πλὴν τῆς κεφαλῆς. [58] σιτίων δὲ ἄρτος ἀμείνων, ὅσοι μὴ μαζοφάγοι εἰσί. [59] τούτοισι δὲ ἀμφότερα συμμίσγειν.

XLVII. Ἑτέρη νοῦσος, ἥτις καλεῖται φθίη. [2] βὴξ ἔχει, καὶ τὸ 40 πτύσμα πολλὸν καὶ ὑγρόν. [3] καὶ ἐνίοτε ῥηϊδίως ἀναβήσσεται. [4] καὶ τὸ πῦον οἷον χάλαζα, [5] καὶ διατριβόμενον ἐν τοῖσι δακτύλοισι, σκληρὸν καὶ κάκοδμον γίνεται.

dicem dracontii albam, & veratri delingat, [36] sed non ex melle. Sic enim minime alvum movebit. [37] Si vero tormen in alvo inferna oboriatur, primum per clysterem illud infusum immittito, in quod coccus Cnidius ammiscetur. [38] Quod si neque sic sedetur, lacte asinino 345 cocto purgato, [39] pharmacum autem nullum deorsum purgans dato. [40] Si vero ante medicamentum, præpotato veratro bilem vomat, [41] ab ipso lenticulæ decocto accepto vomat. [42] Cibis autem utatur, si febres acutæ tenuerint, [43] carnibus ovillis coctis, & volucrium, & cucurbita, & beta. [44] Jusculum autem ne sorbeat, [45] neque ad intinctus utatur. [46] Piscibus utatur scorpiis, & cartilaginei generis coctis. [47] Calidum vero 350 nihil edat, [48] neque lavet, si febris multa teneat. [49] Neque oleribus acribus utatur, præterquam satureja, aut origano. [50] Vinum bibat album. [51] Si vero sine febre sit, calores autem alias atque alias corripiant, [52] pisces edat optimos ac pinguissimos: [53] & pinguia, & dulcia, [54] & quam maxime salsa. [55] Et deambulationibus utatur, neque in vento, neque in sole. [56] Et à cibis vomat, ubi tempestivum visum fuerit. [57] Et calida lavet, capite excepto. [58] Ex cibis fru- 355 mentaceis præstat panis, his qui non mazam edere soliti sunt: [59] mazam vero edere solitis, utraque dato.

XLVII. Alius morbus, appellatus Tabes. [2] Tussis vexat, & sputum multum ac liquidum, [3] & quandoque facile tussiendo rejicitur [4] etiam pus, veluti grando: [5] quod dum digitis con- III

ται. 6 ἡ δὲ φωνὴ καθαρὴ καὶ ἀνώδυνος. 7 καὶ οἱ πυρετοὶ οὐ λαμβάνουσι. 8 θέρμη δὲ ἐνίοτε ἄλλως τε καὶ ἀσθενής. 9 τοῦτον χρὴ ἐλλέβορον πιπίσκειν καὶ φάκιον. 10 καὶ σιναχέειν ὡς μάλιστα, 11 ἀπεχόμενον τῶν δριμέων, καὶ κρεῶν βοείων, καὶ χοιρείων, καὶ οἰείων· 12 καὶ γυμνάζεσθαι ὀλίγα καὶ περιπατέειν· 13 καὶ ἀπὸ σιτίων ἐμέτοισι χρῆσθαι· 14 καὶ λαγνείης ἀπέχεσθαι. 15 αὕτη ἡ νοῦσος γίνεται ἑπτὰ ἔτεα ἢ ἐννέα. 16 οὗτος, ἢν ἐξ ἀρχῆς θεραπευθῇ, ὑγιὴς γίνεται.

XLIIX. Ἄλλη νοῦσος. 2 Ἢν ἀφθήσῃ ἡ σύριγξ τοῦ πλεύμονος, 3 πυρετὸς ἴσχει βληχρός· 4 καὶ ὀδύνη μέσον τὸ στῆθος· 5 καὶ τοῦ σώματος κνησμός· 6 καὶ ἡ φωνὴ βραγχώδης. 7 καὶ τὸ σίαλον ὑγρὸν καὶ λεπτὸν πτύει· 8 ἐνίοτε δὲ παχὺ καὶ οἷον πτισάνης χυλόν. 9 καὶ ἐν τῷ στόματι ὀδμὴ οἱ ἐγγίνεται βαρέη, οἷον ἀπὸ ἰχθύων ὠμῶν. 10 καὶ ἄλλοτε καὶ ἄλλοτε ἐν τῷ σιάλῳ ἐμφαίνεται σκληρὰ, οἷον μύκης ἀφ' ἕλκεος. 11 καὶ τὰ ἄνω λεπτύνεται, μάλιστα δὲ ἅπας. 12 καὶ οἱ κύκλοι τοῦ προσώπου ἐρυθριῶσι. 13 καὶ οἱ ὄνυχες τῶν χειρῶν ἕλκονται, καὶ ξηροὶ καὶ χλωροὶ γίνονται. 14 τελευτᾷ δὲ αὐτίκα, ἢν μὴ θεραπευθῇ, 15 αἷμα πτύων καὶ πῦον. 16 ἔπειτα καὶ πυρετοὶ ἰσχυροὶ ἐπιγενόμενοι αὐτὸν ἔκτειναν. 17 ἢν δὲ θεραπευθῇ, ἐκφυγγάνει ἐκ ταύτης τῆς φθίσιος. 18 θεραπεύειν δὲ χρὴ, φάκια πιπίσκοντα ἐμέειν. 19 ἢν δέ σοι καιρὸς δοκέῃ εἶναι, ἐλλέβορον πίνειν· 20 ἢν μὲν δυνατὸς ᾖ ὁ ἄνθρωπος, αὐτόθι· 21 ἢν δὲ μὴ, τὸ ἥμισυ ἐν τῷ φακίῳ

teritur, durum & male olens est. 6 At vox pura est & doloris exors, 7 & febres non corripiunt, 8 verum calor quandoque alias atque alias, atque hic debilis. 9 Huic veratrum bibendum est, & lenticulæ decoctum; 10 & large cibus sumendus, 11 ita ut abstineat ab acribus, & carnibus bubulis ac porcinis & ovillis. 12 Exerceatur modice & deambulet, 13 & à cibis vomitu utatur; 14 à venere abstineat. 15 Hic morbus per annos septem aut novem durat. 16 Quod si ab initio æger curatus fuerit, sanus evadit.

XLIIX. Alius morbus. 2 Si ex fervido ulcere, aphtha appellato, pulmonis fistula laborarit, 3 febris debilis tenet, 4 & dolor medium pectus, 5 pruritus corporis adest, 6 & vox raucosa, 7 & salivam liquidam ac tenuem spuit: 8 quandoque etiam crassam, velut ptisanę succum. 9 Et in ore odor oboritur ipsi gravis, velut à piscibus crudis, 10 & alias atque alias in saliva apparent dura, velut fungus ab ulcere: 11 & supernæ partes attenuantur, atque adeo homo totus: 12 & circuli faciei rubescunt, 13 & progressu temporis ungues contrahuntur, & aridi ac cum virore pallidi fiunt. 14 Moritur autem statim, si non curatus fuerit, 15 sanguinem ac pus spuens: 16 postea etiam febres vehementes accedentes ipsum perimunt. 17 Si vero curetur, effugit ex hac tabe. 18 Curare porro oportet, ut lenticulæ decocto poto vomat. 19 Quod si tempestivum esse visum fuerit, veratrum bibat, 20 siquidem potens fuerit homo, per se: 21 sin minus, dimidium potionis ad lenticulæ deco-

φακίω ἥμισυ πόσιος, [22] διαλείπων ἐν πέμπτῃ ἢ ἐν ἕκτῃ πόσει. [23] τὴν δὲ κάτω κοιλίην μὴ κινέειν φαρμάκῳ, [24] ἢν μὴ οἱ πυρετοὶ λαμβάνωσιν ἰσχυροί. [25] ἢν δὲ μὴ λαμβάνωσι, γάλακτι ὄνου ὑποκαθαίρειν. [26] ἢν δὲ ἀσθενέσῃ ὥστε πίνειν, ὑποκλύσαι. [27] ἥσσον δὲ κεφαλήν. [28] καὶ ἢν μὲν τὸ σίαλον ἐς τὸ στόμα ἴῃ πολλὸν ἁλμυρόν, [29] πρὸς τὰς ῥῖνας προσθεῖναι ὃ χολὴν μὴ ἄξει. [30] ἢν δὲ μὴ ἴῃ τὸ ῥεῦμα ἐς τὸ στόμα, μὴ προστιθέναι πρὸς τὴν κεφαλήν. [31] ἐπὴν δὲ τὸ σίαλον δυσῶδες ᾖ, τὰς μεταξὺ τῆς φακίων ἐγχέειν ἐς τὸν πλεύμονα φάρμακον. [32] μίαν δὲ διαλιπὼν, ἐπὴν ἐγχέῃς, ἡμέρην, θυμιῆν. [33] σιτίοισι δὲ χρήσθω, κρέασι μηλείοισι καὶ ὀρνιθίοισι, καὶ ἰχθύσι σελαχώδεσι, καὶ σκορπίοισιν ἑφθοῖσι. [34] διὰ τεταρτης ἡμέρης τάριχον ἐσθιέτω ὡς ἄριστον καὶ πιότατον. [35] καὶ ἀριστάτω μὲν μᾶζαν, [36] δειπνείτω δὲ ταύτῃ συμμίσγων καὶ ἄρτον. [37] καὶ μήτε ῥοφανέτω μηδὲν, μήτε κυκεῶνα πινέτω, ἢν ἐσθίειν δυνατὸς ᾖ. [38] τὰ δ' ὄψα ἡδύνειν καὶ ἐσθίειν σησάμῳ, ἀντὶ τοῦ πυροῦ, καὶ κοριάννῳ, καὶ ἀνήθῳ. [39] σιλφίῳ δὲ μηδὲν χρῆσθαι, μηδέ τινι ἄλλῳ λαχάνῳ δριμεῖ, ὅτι μὴ ὀριγάνῳ, ἢ θύμῳ, ἢ πηγάνῳ. [40] περιπάτοισι δὲ χρήσθω καὶ πρὸς τοῦ σιτίου καὶ μετὰ τὸ σιτίον, φυλασσόμενος τὸν ἄνεμον καὶ τὸν ἥλιον. [41] μεθύσιων [δὲ] ἀπεχέσθω καὶ ἀφροδισίων. [42] λούσθω δὲ χλιαρῷ, πλὴν τῆς κεφαλῆς. [43] ταύτην δὲ ὡς διὰ πλείστου χρόνου.

XLIX. Φθίσις νωτιάς. [2] Ἡ νωτιὰς φθίσις ἀπὸ τοῦ μυελοῦ γίνεται. [3] λαμβάνει δὲ μάλιστα νεογάμους, καὶ φιλολάγνους. [4] γίνονται δὲ ἄπυροι. [5] Ἐσθίει

decoctum ammisceto, [22] ita ut in quinta aut sexta potione desinat. [23] At ventrem infernum medicamento ne moveas, [24] si non febres fortes corripuerint. [25] Si vero non corripuerint, lacte asinino subtus purgato. [26] Quod si debilis sit, ut bibere non possit, per clysterem infundito. [27] Minus autem caput moveas: [28] & siquidem saliva ad os prodierit multa ac salsuginosa, [29] ad nares apponito quid, quod bilem non ducat. [30] Si vero fluxio ad os non fiat, nihil capiti adhibeto: [31] ubi autem saliva graveolens fuerit, interpositis inter lenticulæ decocti usum diebus, medicamentum in pulmonem infundito, [32] & interposita una die suffito. [33] Cibis utatur carnibus ovillis & volucrium, & piscibus cartilaginei generis, & scorpiis coctis. [34] Quarto vero quoque die salsamentum edat optimum ac pinguissimum, [35] & in prandio mazam sumat, [36] in cœna vero etiam panem ad hanc addat, [37] & nihil sorbeat, neq; cyceonem bibat, si edere poterit. [38] Porro obsonia condiat ac edat sesamo pro tritico, & coriandro ac anetho. [39] Silphio autem ne utatur, neque alio quopiam olere acri, præterquam origano, aut thymo, aut ruta. [40] Deambulationibus autem utatur ante & post cibum, vitans ventum & solem. [41] Ab ebrietatibus & re venerea abstineat. [42] Lavet tepida, excepto capite, [43] quod quam rarissime lavari debet.

XLIX. Tabes dorsalis. [2] Dorsalis tabes à medulla fit. [3] Corripit autem maxime recentes sponsos, & veneri deditos. [4] Sunt autem sine febre, [5] & bene cibum

ἐσθίειν ἀγαθοί. [6] καὶ τήκονται. [7] καὶ, ἢν ἐρωτᾷς αὐτὸν, φήσει οἱ ἄνωθεν ἀπὸ τῆς κεφαλῆς " κατὰ τὴν ῥάχιν κατέρχεσθαι δοκέειν οἷον μύρμηκας. [8] καὶ ἐπὴν οὐρέῃ, ἢ ἀποπατέῃ, προέρχεταί οἱ θορὸς πολὺς καὶ ὑγρός. [9] " καὶ γονὴ οὐκ ἐγγίνεται. [10] καὶ ὀνειρώσσει, κἂν συγκοιμηθῇ γυναικὶ, κἂν μή. [11] καὶ, ὅταν ὁδοιπορήσῃ 25 ' ἢ δράμῃ, ἄλλως τε " καὶ πρὸς αἶπος, ἆσθμά μιν καὶ ἀσθενείη λαμβάνει, [12] καὶ τῆς κεφαλῆς βάρος, [13] καὶ τὰ ὦτα ἠχεῖ. [14] τοῦτον ἐν τῷ χρόνῳ, ὅταν ἐπιλάβωσιν πυρετοὶ ἰσχυροὶ, " ἀπώλετο ὑπὸ λειπυρίης. [15] ὅταν οὕτως ἔχῃ, ἢν ἐξ ἀρχῆς μεταχειρίσῃ, [16] πυριάσας αὐτὸν ὅλον, φάρμακον δοῦναι πίνειν ἄνω. [17] καὶ μετὰ τοῦτο τὴν κεφαλὴν καθῆραι. [18] μετὰ δὲ, πίσαι κάτω. [19] ἐγχειρέειν δὲ βούλεσθαι μάλιστα τοῦ ἦρος. [20] καὶ μετὰ πίσαι ὀῤῥὸν ἢ γάλα ὄνειον. [21] βόειον δὲ γά-30 λα διδόναι ' πίνειν τεσσαράκοντα ἡμέρας· [22] ἐς ἑσπέρην δὲ, ἕως ἂν γαλακτοποτέῃ, χόνδρον διδόναι ῥοφέειν· σιτίων δὲ ἀπεχέσθω. [23] ἐπὴν δὲ παύσηται γαλακτοποτέων, σιτίοισι διακομίζειν αὐτὸν μαλθακοῖσιν, ἐξ ὀλίγου ἀρχόμενος, [24] καὶ παχύνειν ὡς μάλιστα. [25] καὶ ἐνιαυτοῦ θωρήξιων ἀπεχέσθω, [26] καὶ ἀφροδισίων, [27] καὶ ταλαιπωριέων, [28] ὅτι μὴ περιπάτοισι, [29] φυλασσόμενος τὰ ψύχεα, καὶ τὸν ἥλιον. [30] λούσθω δὲ χλιαρῷ.

L. Πλεύμονος νοῦσος. [2] Τὸ σίαλον 35 παχὺ ' καὶ λιγνυῶδες βήσσεται. [3] καὶ ἡ χροιὴ μέλαινα καὶ ὑποιδαλέη.

bum capiunt, [6] ac consumuntur. [7] Et si interroges ita affectum, dicet sibi superne de capite in spinam velut formicas descendere videri: [8] & ubi mingit, aut ventrem exonerat, prodit ipsi genitale semen multum ac liquidum, [9] & genitura in utero non manet, [10] & in somnis ' semen profundit, sive dormiat cum uxore, sive non. [11] Et quum iter fecerit aut cucurrerit, tum alias, tum ad acclivem locum, anhelatio ac debilitas ipsum corripit, [12] & capitis gravitas, [13] & aures sonant. [14] Hunc temporis progressu ubi febres fortes ipsum corripuerint, perdunt febres lipyriæ. [15] Quum ita habuerit, si ab initio curandum susceperis, [16] fomento per totum corpus adhibito, medicamentum sursum ' purgans bibendum ipsi dato, [17] & postea caput purgato. [18] Deinde deorsum purgans exhibeto. [19] Optandum autem fuerit ut vere hanc curationem aggrediamur. [20] Postea vero serum aut lac asininum bibendum dato. [21] Cæterum bubulum lac per quadraginta dies bibendum præbeto. [22] Ad vesperam vero quandiu lac potat, alicam sorbendam dato. A cibis autem abstineat. [23] Postquam vero lac bibere cessarit, cibis ' mollibus ipsum reficito, ex modico initium sumens, [24] & quam maxime crassum ac pinguem facere studeto. [25] Per annum ab ebrietatibus, [26] & venere, [27] & laboribus abstineat, [28] exceptis deambulationibus, [29] in quibus vitet frigus & solem. [30] Tepida autem lavet.

L. Pulmonis morbus. [2] Saliva crassa ac fuliginosa tussi rejicitur, [3] & color niger, ac subturgidu

λίη. 4 καὶ ὀδύναι λεπταὶ ὑπὸ τὸ στῆθος καὶ ὑπὸ τὰς ὠμοπλάτας. 5 καὶ δυσαλθέες γίνονται. 6 ἧσσον δὲ ἐπικίνδυνος τοῦ ἑτέρου οὗτος. 7 καὶ ἐκφυγγάνουσι πλείονες. 8 τοῦτον χρὴ ἐλλέβορον πιπίσκειν, καὶ αὐτὸν, καὶ τοῖσι φακίοισι μίσγοντα. 9 καὶ ἐγχέειν ἐς τὸν πλεύμονα, 10 καὶ θυμιᾶν, 11 καὶ σιτίοισι χρέεσθαι ἀπεχόμενον κρεῶν βοείων, καὶ οἰείων, καὶ χοιρείων, καὶ λαχάνων δριμέων, ὅτι μὴ ὀριγάνου ἢ θύμβρης. 12 καὶ περιπάτοισι χρήσθω. 13 ἐξ ἠοῦς δὲ πρὸς ἀπέρθεν ὁδοιπορέειν νῆστιν. 14 ἔπειτα πίνειν τῶν φύλλων ἐπ' οἶνον ἐπιπάσσοντα κεκρημένον. 15 τὸ δὲ λοιπὸν σιτίοισι χρήσθω τοῖσιν εἰρημένοισιν.

LI. Ἀρτηρίη τρωθεῖσα. 2 Ἢν τρωθῇ ἡ ἀρτηρίη, 3 βὴξ ἔχει, 4 καὶ αἷμα βήσσεται, 5 καὶ λανθάνει ἡ φάρυγξ πιμπλαμένη τοῦ αἵματος, 6 καὶ ἐκβάλλει θρόμβους. 7 καὶ ὀδύνη γίνεται ἐκ τοῦ στήθεος ἐς τὸ μετάφρενον ὀξέη. 8 καὶ τὸ σίαλον γλίσχρον καὶ πολλόν. 9 καὶ ἡ φάρυγξ ξηρή. 10 καὶ πυρετὸς καὶ ῥῖγος ἐπιλαμβάνει. 11 καὶ κέρχεται ἡ φάρυγξ, οἷον ὑπὸ λιπαροῦ. 12 ἐς πεντεκαίδεκα ἡμέρας πάσχει τοιαῦτα. 13 μετὰ δὲ πῦον πτύει, 14 καὶ οἷα ἕλκεος κρότωνας, 15 καὶ αὖθις βήξ, 16 καὶ ἐρράγη οἱ τὸ αἷμα, 17 καὶ μετὰ τὸ πῦον παχύτερον πτύει. 18 καὶ ὁ πυρετὸς ἰσχυρότερος γίνεται, 19 καὶ τελευτᾷ ἐς πλεύμονα. 20 καὶ καλέεται ῥηγματίας πλεύμονος. 21 ἢν δὲ μετὰ τὸ πρῶτον αἷμα μὴ πτύσῃ πῦον, 22 παυσάμενον χρὴ ταλαιπωρίης καὶ γυμνασίων, 23 καὶ ἐπ' ὄχημα ἀναβαίνειν, 24 σιτίων ἀπεχόμενον καὶ ἁλμυρῶν, καὶ λιπαρῶν, καὶ πιόνων, καὶ λαχάνων δριμέων. 25 καὶ, ἐπὴν αὐτὸς ἑωυτοῦ δο-

κέῃ

turgidus est: 4 & dolores tenues sub pectus & sub scapulas fiunt: 5 & ulcera ipsis ægre sanescunt. 6 Minus tamen periculosus est hic morbus superiore, 7 & plures evadunt. 8 Hunc veratrum bibere oportet, & per se, & lenticulæ decocto ammixtum. 9 Infundere etiam in pulmonem oportet 10 ac suffitum facere. 11 Cibis quoque large utatur, abstinendo à carnibus bubulis, ovillis, & porcinis, & ab acribus, præterquam origano, aut satureia. 12 Utatur deambulationibus. 13 Mane vero jejunus ad acclivem locum iter faciat. 14 Deinde folia condimentaria hortensia bibat in vinum temperatum inspersa: 15 deinde vero cibis relatis utatur.

LI. Arteria vulnerata. 2 Si vulnerata fuerit arteria, 3 tussis habet, 4 & sanguinem tussiendo rejicit, 5 & fauces sanguine latenter implentur, 6 & grumos ejicit, 7 & dolor fit acutus ex pectore ad dorsum, 8 & saliva viscosa ac multa, 9 & fauces siccæ, 10 & febris ac rigor corripit, 11 & strident fauces velut à pinguedine, 12 atque hæc ad quindecim dies patitur. 13 Postea vero pus spuit, 14 & velut ulceris ricinos, bronchia in pulmone cartilaginosa, 15 & rursus tussit, 16 & sane sanguis erumpit, 17 & postea pus crassius spuit, 18 & febris fortior fit, 19 & in pulmonem desinit, 20 & vocatur ruptio pulmonis. 21 At si post primum sanguinem pus non spuat, 22 à laboribus ac exercitiis quiescere oportet. 23 & vehiculum inscendere, 24 abstinereque à cibis salsis ac pinguibus, & ab oleribus acribus: 25 & postquam ipse seipsum optime corpore affe-

ctum

κὴν ἄριστα τοῦ σώματος ἔχειν, 26 καῦσαι τὰ στήθεα καὶ τὸ μετάφρενον, ἐν μοίρῃ ἑκάτερον. 27 καὶ, ἐπὴν τὰ ἕλκεα ὑγιέα γένηται, 28 ἐνιαυτὸν ἀπέχεσθαι θωρήξιος, καὶ μὴ ὑπερπιπλάσθαι, 29 μηδὲ τῇσι χερσὶ ταλαιπωρέειν, 30 μηδὲ ἐπ' ὄχημα ἀναβαίνειν, 31 ἀλλὰ παχύνειν αὐτὸν, ὡς μάλιστα, τὸ σῶμα.

LII. Ἄρθρα τοῦ πλεύμονος σπασθέντα. 143 2 Ἐπὴν ἄρθρα σπασθῇ τοῦ πλεύμονος, 3 τὸ πτύσμα λευκὸν πτύει, ἐνίοτε δὲ αἱματῶδες. 144 4 ἀφρονέει τε καὶ πυρετὸς ἔχει, 5 καὶ ὀδύνη τὸ στῆθος, καὶ τὸ μετάφρενον, καὶ τὸ πλευρόν. 6 καὶ, ἢν στραφῇ, βήσσει τε καὶ πτάρνυται. 7 τοῦτον, ᾗ ἂν ὀδύνη ἔχῃ, χλιάσματα προστιθέναι, 8 καὶ διδόναι προσφαγεῖν κενταύρειον καὶ δαῦκον. 9 καὶ ἐλελισφάκου φύλλα τρίβων, καὶ μέλι καὶ ὄξος ἐπιχέων, καὶ ὕδωρ διδόναι καταρροφεῖν. 10 καὶ πτισάνης χυλὸν προσροφείτω, 11 καὶ ἐπιπινέτω οἶνον ὑδαρέα. 12 ἐπὴν δὲ ἡ ὀδύνη παύσηται, ἐλελίσφακον, κόψας καὶ σήσας, καὶ ὑπερικὸν, καὶ ἐρύσιμον λεῖα, καὶ ἄλφιτον, ἴσον ἑκάστου, 13 ταῦτ' ἐπιβαλὼν ἐπὶ οἶνον κεκρημένον, διδόναι πίνειν νήστει. 14 καὶ, ἢν μὴ νῆστις ᾖ, διδόναι δὲ ῥοφάνειν ἔτνος ἄναλον. 15 ἢν δὲ θέρμη ᾖ, σιτίοισι διαχρῆσθαι ὡς μαλθακωτάτοισιν, ἀνάλοισι, καὶ ἀκνίσοισιν, 16 ἐπὴν ἤδη ἐπιεικέως ἔχῃ τὸ σῶμα, καὶ τὸ στῆθος, καὶ τὸ νῶτον.

17 Ἢν δὲ ἀμφότερα σπασθῶσι, 18 βὴξ ἔχει, καὶ τὸ σίαλον πτύεται παχὺ καὶ λευκόν. 19 καὶ ὀδύνη ὀξείη ἔχει ἐς τὸ στῆθος, καὶ ὑπὸ τὰς ὠμοπλάτας, καὶ τὸ πλευρόν. 20 καὶ καῦμα ἔχει, 21 καὶ καταπίμπλαται φῴδων, 22 καὶ 145 ξυσμὴ ἔχει. 23 καὶ οὐκ ἀνέχεται, οὔτε καθῆ-

ctum esse putat, 26 pectus ad dorsum inurito, ex parte utrunque 27 & postquam ulcera sana fuerint, 28 per annum abstineat ab ebrietate, & ne nimium impleatur, 29 neque manibus laboret, 30 neque vehiculum inscendat, 31 sed studeat ut corpus quam maxime crassum efficiat.

LII. Articuli pulmonis convulsi. 2 Quum articuli pulmonis fuerint convulsi, 3 sputum spuit album, quandoque vero cruenta, 4 & desipit, & febris tenet, 5 & dolor pectus, dorsum, ac latus: 6 & si se vertat, tussit & sternutat. 7 Huic qua parte dolor fuerit, calefactoria apponito: 8 & centaurium, & daucum, 9 & salviæ folia trita, melle & aceto affuso, prælorbenda dato, & aquam insuper sorbendam. 10 Et ptisanæ succum præsorbeat, 11 & vinum aquosum insuper bibat. 12 Postquam vero dolor sedatus fuerit, salviam tusam ac cribratam, & hypericum, & irionem trita, & polentam, singula paribus portionibus, 13 in vinum temperatum conjecta, jejuno bibenda præbeto. 14 At si jejunus non sit, leguminis fresi decoctum sine sale sorbendum dato. 15 Si vero calor fuerit, cibis utatur mollissimis, non salsis, & minime nidorosis: 16 ubi jam probe se habuerit corpus, & in pectore, & in dorso.

17 At si ambo convulsa fuerint, 18 tussis emergit, & saliva crassa ac alba apparet, 19 & dolor acutus adest ad pectus, & sub scapulas, ac latus: 20 & ardor detinet, 21 & rubicundis in tibiis circulis impletur, 22 & pruritum habet, 23 & non sustinet neque sedere, neque jacere, neque

καθήμενος, οὔτε κείμενος, οὔτε ἑστηκώς, 24 ἀλλὰ δυσθυμέει. 25 οὗτος τεταρταῖος μάλιστα ἀποθνήσκει. 26 ἢν δὲ ταύτας ὑπερφύγῃ, ἐλπίδες μὲν οὐ πολλαί, κινδυνεύει δὲ καὶ ἐν τῇσιν ἑπτά. 27 ἢν δὲ καὶ ταύτας διαφύγῃ, ὑγιάζεται. 28 τοῦτον, ὅταν οὕτως ἔχῃ, λούειν πολλῷ θερμῷ δὶς τῆς ἡμέρης. 29 καί, ὅταν ἡ ὀδύνη ἔχῃ, χλιάσματα προστιθέναι· 30 καὶ διδόναι πίνειν μέλι καὶ ὄξος, 31 ῥοφάνειν δὲ χυλὸν πτισάνης, καὶ ἐπιπίνειν οἶνον λευκὸν οἰνώδεα. 32 ἢν δὲ πρὸς τὸ λουτρὸν καὶ τὰ χλιάσματα πονέῃ, καὶ μὴ ἀνέχηται, 33 προσφέρειν αὐτῷ ῥάκεα ἡμιτύβια, καὶ βάπτων ἐς ὕδωρ ἐπὶ τὰ στήθεα καὶ τὸν νῶτον ἐπιτιθέναι. 34 καὶ πίνειν διδόναι κηρίον, ἐν ὕδατι ἀποβρέχων, ὡς ψυχροτάτῳ. 35 καὶ τὸν χυλὸν ψυχρόν, καὶ ὕδωρ ἐπιπίνειν. 36 καὶ κεῖσθαι πρὸς τὸ ψῦχος. 37 ταῦτα ποιέειν. 38 ἡ δὲ νοῦσος θανατώδης.

LIII. Ἐρυσίπελας ἐν πλεύμονι. 2 Ἢν ἐρυσίπελας ἐν πλεύμονι γένηται, 3 βὴξ ἴσχει, καὶ τὸ σίαλον ἀποπτύει πολὺ καὶ ὑγρόν, οἷον ἀπὸ βρόγχου· ἔστι δὲ οὐχ αἱματῶδες. 4 καὶ ὀδύνη ἴσχει τὸ μετάφρενον, καὶ τοὺς κενεῶνας, καὶ τὰς λαπάρας. 5 καὶ τὰ σπλάγχνα μύζει. 6 καὶ ἐμέει λάπην, καὶ οἷον ὄξος. 7 καὶ τοὺς ὀδόντας αἱμωδιᾷ. 8 καὶ πυρετὸς καὶ ῥῖγος καὶ δίψα λαμβάνει. 9 καί, ὅταν τι φάγῃ, ἐπὶ τοῖσι σπλάγχνοισι μύζει, 10 καὶ ἐρεύγεται ὀξύ. 11 καὶ ἡ κοιλίη τρίζει. 12 καὶ τὸ σῶμα ναρκᾷ. 13 καί, ὅταν ἐμέσῃ, δοκέει ῥάων εἶναι. 14 ὅταν δὲ μὴ ἐμέσῃ, ἀνιούσης τῆς ἡμέρης, στρόφος καὶ ὀδύνη ἐγγίνεται ἐν τῇ γαστρί. 15 καὶ ἀπὸ παντὸς ὑγρὸς γινόμενος, διεχώρησιν. 16 ἡ δὲ νοῦσος μάλι-

que ſtare, 24 ſed ægre afficitur, ac viribus deficit. 25 Hic quarta die maxime moritur. 26 Si vero hanc effugerit, ſpes neque ſic multa ſupereſt. Verum periclitatur & in ſeptima. 27 Quod ſi & hanc effugiat, ſanus evadit. 28 Hunc ubi ſic habuerit, multa calida bis in die lavato. 29 Et quum dolor habuerit, calefactoria adhibeto, 30 & mel, & acetum bibendum dato, 31 & ptiſanæ ſuccum ſorbendum, & vinum album vinoſum inſuper bibendum. 32 Si vero ad balneum & calefactoria affligatur, ipſaque non ſuſtineat, 33 craſſi lintei panniculos ipſi adhibeto, quos aqua tinctos in pectus ad dorſum imponas. 34 Et favum mellis aqua frigidiſſima macerato, aquamque bibendam dato: 35 & frigidum ptiſanæ ſuccum, & aqua inſuper bibat, 36 & ad frigus decumbat. 37 Hæc facienda ſunt. 38 Verum morbus lethalis eſt.

LIII. Eryſipelas in pulmone. 2 Si eryſipelas in pulmone fiat, 3 tuſſis habet, & ſalivam expuit multam ac liquidam, velut de gutture, non eſt autem cruenta: 4 & dolor tenet dorſum, & vacuas partes ventris, ac laterum mollitudinem: 5 & viſcera ſugunt, 6 & vomit pituitam ac velut acetum, 7 & dentes ſtupeſcunt, 8 & febris, ac rigor, & ſitis corripit: 9 & ubi quid ederit, in viſceribus ſugit, 10 & acidum eructat, 11 & venter ſtridet, 12 & corpus torpeſcit, 13 & ubi vomuerit, melius ſe habere putat. 14 Quum autem non vomuerit, digreſſa die tormen & dolor in ventre oboritur; 15 & excrementum alvi liquidum procedit. 16 Hic morbus maxime fit ex ebrie-

μάλιστα γίνεται ἐκ τῶν θωρήξιων, καὶ ἐκ τῶν κρεοφαγιῶν, καὶ ἐξ ὕδατος μεταβολῆς. 17 ἴσχει δὲ καὶ ἄλλως. 18 τοῦτον φάρμακον πιπίσκειν κάτω, 19 καὶ μεταπιπίσκειν γάλα ὄνου, ἢν μὴ σπληνώδης ᾖ φύσει. 20 ἢν δὲ ᾖ, μὴ καθαίρειν, μήτε χυλοῖσι, μήτε γάλακτι, μήτε ὀῤῥῷ, 21 ἀλλ' ὅ, τι ὀλίγον ἐσελθὸν πουλὺ ἐξάξει. 22 ἀποκλύζειν δὲ τὰς κοιλίας, καὶ βαλάνους προστιθέναι, ἢν μὴ ἡ κοιλίη ὑποχωρέῃ, ἐν πάσῃσι τῇσι νούσοισι. 23 καὶ ψυχρολουτέειν ἐν ταύτῃ τῇ νούσῳ, καὶ γυμνάζεσθαι, 24 ὅταν οἱ πυρετοὶ ἀνῶσι, καὶ δοκέῃ ἐπιεικέως ἔχειν τὸ σῶμα. 25 καὶ τοῦ ἦρος καὶ τοῦ μετοπώρου ἐμέτους ἐμποιέειν. 26 σκορόδων δὲ κεφαλὰς καὶ ὀριγάνου δραχμίδα, 27 ὅσον τοῖσι δακτύλοισι περιλαβεῖν, ἑψέειν ἐπιχέων δύο κοτύλας οἴνου γλυκέος, καὶ κοτύλην ὄξεος ὡς ὀξυτάτου, καὶ μέλιτος ὅσον τεταρτημόριον. 28 ἑψέειν δὲ, ἕως ἂν ἡ τρίτη μοῖρα λειφθῇ. 29 ἔπειτα γυμνάσας τὸν ἄνθρωπον, καὶ λούσας ὕδατι χλιαρῷ, πίσαι θερμόν. 30 καὶ πιπίσκειν φάκιον, μέλι καὶ ὄξος συμμίσγων, ἕως ἂν ἐμπλησθῇ. 31 ἔπειτα ἐμείτω. 32 καὶ τὴν ἡμέρην ταύτην, πιὼν ἄλφιτον καὶ ὕδωρ, ἐκνηστευέτω. 33 ἐς ἑσπέρην δὲ, τεῦτλον φαγέτω, καὶ μάζης μικρὸν, καὶ πινέτω οἶνον ὑδαρέα. 34 ἀνὰ δὲ τὸν ἄλλον χρόνον, ἐμείτω τοῖσι φακίοισι καὶ ἀπὸ σιτίων. 35 καὶ, ἢν ἀφίστηται ἡ ὀδύνη ὑπὸ τὰς ὠμοπλάτας, σικύην προσβάλλειν, καὶ τὰς φλέβας ἀποτύψαι τὰς ἐν τῇσι χερσί. 36 σιτίοισι δὲ χρῆσθαι ἀνάλτοισι, καὶ μὴ λιπαροῖσι, μηδὲ πίοσι. 37 δριμέα δὲ καὶ ὀξέα ἐσθιέτω, καὶ ψυχρὰ πάντα. 38 καὶ περιπάτοισι χρήσθω, 39 ταῦ-

ebrietatibus, & carnium esu, & ex aquæ mutatione. 17 Sed & ex aliis causis emergit. 18 Huic pharmacum deorsum purgans bibendum dato, 19 & lac asininum insuper bibendum, si non natura fuerit splenicus. 20 Si vero splenicus fuerit, ne purges, neque succis, neque lacte, neque sero, 21 sed eo quod modicum ingestum multum educet. 22 Per clysteres quoque infusio in alvum fiat, & glandulæ subdantur in omnibus morbis, si alvus non egerat. 23 Adhibendum est & frigidæ lavacrum in hoc morbo, & exercitium, 24 ubi febres remiserint, & corpus leviter se habere visum fuerit. 25 Et vere & autumno vomitus inducatur. 26 At vero allii capita, & origani pugillum, 27 quantum tribus digitis apprehendi potest, duabus heminis vini dulcis affusis, & aceti acerrimi hemina una, & mellis quarta heminæ parte, 28 coquito donec tertia pars reliqua fiat. 29 Deinde ubi hominem exercueris, & aqua tepida laveris, calidum hoc bibendum præbeto. 30 Dato etiam lenticulæ decoctum, melle & aceto ammixtis, donec impleatur. 31 Deinde vomat, 32 & ea die pota polenta & aqua, ita jejunus permaneat. 33 Ad vesperam vero betam edat, & parum de maza, & vinum aquosum bibat. 34 Reliquo vero tempore, à lenticulæ decocto, & à cibis vomat. 35 Et si discesserit dolor sub scapulas, cucurbitam affigito, & venas in manibus pertundito. 36 Cibis porro utatur non salsis, neque pinguibus. 37 Acria autem & acida edat, & frigida omnia. 38 Utatur & deambulationibus. 39 Hæc si fecerit, optima victus ratione

τα ποιέων ἄρξαι αὖ διαιτῶντο, καὶ διὰ πλείστου χρόνου ἡ νοῦσος γίνοιτο. 40 ἔστι δὲ οὐ θανατώδης, ἀλλ' ἀπογηράσκοντας ἀπολείπει. 41 εἰ δὲ βούλοιο νεώτερον ἐόντα θᾶττον ἀπαλλάξαι τῆς νούσου, 42 καθήρας αὐτὸν, 43 καῦσον τά τε στήθεα καὶ τὰ μετάφρενα.

LIV. Νωτιάς. 2 Ῥῖγος καὶ πυρετὸς, 3 καὶ βὴξ, καὶ δύσπνοια λαμβάνει, 4 καὶ τὸ σίαλον πτύει χλωρόν· ἔστι δ' ὅτε καὶ ὕφαιμον. 5 καὶ πονέει μάλιστα τὸ μετάφρενον, 6 καὶ τοὺς βουβῶνας. 7 καὶ ἡμέρῃ τρίτῃ ἢ τετάρτῃ οὐρεῖ αἱματῶδες. 8 καὶ ἀποθνήσκει ἑβδομαῖος. 9 ἢν δὲ τὰς τεσσαρεσκαίδεκα ἐκφύγῃ, ὑγιὴς γίνεται. 10 ἐκφυγγάνει δ' οὐ μάλα. 11 τούτῳ διδόναι μελίκρητον, αὐάζεσας ἐν καινῇ χύτρῃ ψύχων, σελίνου φλοιὸν ἀποτέγξας ἢ μαράθου. 12 τούτῳ διδόναι πίνειν καὶ πτισάνης χυλὸν δὶς τῆς ἡμέρης, καὶ ἐπιπίνειν οἶνον λευκὸν ὑδαρέα. 13 ᾗ αὖ ὀδύνη παρίστηται, χλιαίνειν καὶ λούειν θερμῷ, 14 ἢν μὴ ὁ πυρετὸς πολὺς ἔχῃ. 15 ἐπὴν δὲ αἱ τεσσαρεσκαίδεκα ἡμέραι παρέλθωσιν, ἀριστίζεσθαι μὲν τὸν κέγχρον, 16 ἐς ἑσπέρην δὲ κρέα σκυλακίου ἢ ὄρνιθος ἑφθὰ ἐσθίειν, καὶ τοῦ ζωμοῦ ῥοφανέειν. 17 σιτίοισι δὲ ὡς ἐλαχίστοισι χρῆσθαι τὰς πρώτας ἡμέρας.

LV. Φῦμα ἐν τῷ πλεύμονι. 2 Ἐπὴν φῦμα φύῃ ἐν τῷ πλεύμονι, 3 βὴξ ἔχει καὶ ὀρθόπνοια, 4 καὶ ὀδύνη ἐς τὸ στῆθος ὀξέη, καὶ ἐς τὰ πλευρά. 5 καὶ ἕως μὲν τῶν τεσσαρεσκαίδεκα ἡμερέων πάσχει. 6 τοῖσι γὰρ πλείστοισι τοσαύτας ἡμέρας μάλιστα φλεγμαίνει τὸ πάθος τοῦ φύματος. 7 καὶ τὴν κε-

tione usus fuerit, & per plurimum tempus morbus prorogari poterit. 40 Est autem non lethalis, sed consenescentes relinquit. 41 Si vero juniorem aliquem citius à morbo liberare voles, 42 ubi ipsum purgaris, 43 pectus & dorsum inurito.

LIV. Morbus dorsalis. 2 Rigor & febris, 3 & tussis, & spirandi difficultas corripit, 4 & salivam spuit cum virore pallidam, quandoque etiam subcruentam: 5 & dolet maxime dorsum 6 & inguina: 7 & tertia aut quarta die cruentam urinam mingit, 8 & moritur septima die. 9 Si vero quatuordecim dies effugerit, sanus evadit: 10 effugit autem non ita valde. 11 Huic aquam mulsam bibendam dato, in olla nova fervefactam & perfrigeratam, apii aut fœniculi radicis cortice in ipsa macerato. 12 Dato & ptisanæ succum bis in die, & vinum album aquosum insuper bibendum. 13 Qua vero parte dolor constiterit, calefactoria adhibeto, & calida lavato, 14 si non febris multa vexet. 15 Postquam autem quatuordecim dies præterierint, in prandio quidem sumat milium, 16 ad vesperam vero carnes catulinas, aut volucrium, coctas edat: & de jusculo sorbeat. 17 Cibis autem quam paucissimis primis diebus utatur.

LV. Tuberculum in pulmone. 2 Quum tuberculum in pulmone natum fuerit, 3 tussis tenet, & erectæ cervicis spiratio, 4 & dolor ad pectus acutus, & ad latera, 5 & usque ad quatuordecim dies ita afficitur. 6 Nam plerisque per tot dies tuberculi affectio inflammatur. 7 Sed &

φαλὴν δ' ἀλγέει, καὶ τὰ βλέφαρα, [8] καὶ ὁρῇν οὐ δύναται, [9] καὶ τὸ σῶμα ὑπόπυῤῥον γίνεται, [10] καὶ φλεβῶν ἐμπίπλαται. [11] τοῦτον λούειν πολλῷ θερμῷ. [12] καὶ μελίκρητον διδόναι πίνειν ὑδαρές. [13] καὶ τῆς πτισάνης τὸν χυλὸν ῥοφάνειν. [14] καὶ οἶνον ὑδαρέα ἐπιπίνειν. [15] ἢν δὲ ἡ ὀδύνη πιέζῃ, χλιαίνειν. [16] ἐπὴν δὲ παύσηται, σιτίοισιν ὡς μαλθακωτάτοισι χρῆσθαι. [17] ἢν δὲ ἀπηλλαγμένον τῆς νούσου δύσπνοιη λαμβάνῃ, [18] ἐπὴν πρὸς ὄρθιον χωρίον ἴῃ, ἢ σπεύδῃ τι ἄλλως, [19] φάρμακον διδόναι, ὑφ' οὗ ἡ κοιλίη ἡ κάτω μὴ κινέεται. [20] καὶ, ἢν ἅμα τῷ ἐμέσματι πῦον ἕπηται, [21] ἢν μὲν τὸ πῦον ᾖ λευκὸν, καὶ ἶνες ἐν αὐτῷ ὕφαιμοι ἔωσιν, ἐκφυγγάνει· [22] ἢν δὲ πελιδνὸν, καὶ χλωρὸν, καὶ κάκοδμον, ἀποθνήσκει. [23] καθαίρονται δὲ ἐν τεσσαράκοντα ἡμέρῃσιν, ἀφ' ἧς ἂν ῥαγῇ. [24] πολλοῖσι δὲ καὶ ἐνιαυσίη γίνεται ἡ νοῦσος. [25] ποιέειν δὲ χρὴ τοῦτον, ἅπερ τὸν ἔμπυον. [26] ἢν δὲ μὴ ῥαγῇ· ἐνίοισι γὰρ τῷ χρόνῳ ἀφίσταται, ὡς τὸ πλευρὸν, καὶ ἐξοιδίσκεται· τοῦτον χρὴ, ἢν τοιοῦτο γένηται, τάμνειν ἢ καίειν.

LVI. Πλεύμων πλησθείς. [2] Ἢν πλησθῇ ὁ πλεύμων, [3] βὴξ ἴσχει, καὶ ὀρθόπνοιη, καὶ ἆσθμα. [4] καὶ τὴν γλῶσσαν ἐκβάλλει. [5] καὶ πίμπλαται φώδων. [6] καὶ ξυσμὸς ἔχει. [7] καὶ ὀδύνη ὀξέη ἴσχει ἐς τὸ στῆθος καὶ κατὰ τὰς ὠμοπλάτας. [8] καὶ οὐκ ἀνέχεται, οὔτε καθήμενος, οὔτ' ἀνακείμενος, οὐδ' ἑστηκὼς, ἀλλὰ δυσθυμέει. [9] οὗτος τεταρταῖος μάλιστα ἀποθνήσκει. [10] ἢν δὲ ταύτας ὑπερφύγῃ, ἐλπίδες ὡς τὰ πολλά. [11] κινδυνεύει δὲ πολλάκις καὶ ἐν τῇσιν ἑπτά. [12] ἢν δὲ ταύτας ὑποφύγῃ, ὑγιὴς γίνεται. [13] τοῦτον, ὅταν οὕτως ἔχῃ, λούειν πολλῷ

caput dolet & palpebras, [8] & videre non poteſt: [9] & corpus ſubfulvum fit, [10] ac venis impletur. [11] Hunc multa calida lavato, [12] & aquam mulſam aquoſam bibendam dato, [13] & ptiſanæ ſuccum ſorbendum, [14] & vinum aquoſum inſuper bibendum. [15] Si vero dolor urgeat, calefactoria adhibeto. [16] Ubi autem ſedatus fuerit, cibis molliſſimis utatur. [17] Quod ſi liberatum à morbo, ſpirandi difficultas corripiat, [18] dum ad acclivem locum recta pergit, aut alias feſtinat, [19] pharmacum dato, à quo inferna alvus non moveatur. [20] Et ſi una cum vomitu pus ſequatur, [21] ſiquidem pus fuerit album, & fibræ in ipſo ſubcruentæ fuerint, effugit: [22] ſi vero lividum, & cum virore pallidum, ac graveolens, moritur. [23] Purgantur autem in quadraginta diebus ab ea qua erupit. [24] Multis etiam annuus fit morbus. [25] Hunc velut ſuppuratum curare oportet. [26] Quod ſi non erumpat (multis enim progreſſu temporis abſcedit ad latus, & extumeſcit) hunc, ſi hoc fiat, ſecato aut urito.

LVI. Pulmo repletus. [2] Si pulmo repletus fuerit, [3] tuſſis tenet, & erectæ cervicis ſpiratio ac anhelatio, [4] & linguam exerit, [5] & rubicundis circulis in tibiis repletur, [6] & pruritus vexat, [7] & dolor acutus emergit ad pectus & ſcapulas, [8] & non poteſt ſedere, neque jacere, neque ſtare, ſed ægris viribus eſt. [9] Hic quarta die moritur. [10] Si vero hanc evaſerit, ſpes plerunque eſt: [11] periclitatur tamen etiam in ſeptima. [12] Si vero hanc effugerit, ſanus evadit. [13] Hunc ubi ita habuerit, multa calida bis

πολλῷ θερμῷ δὶς τῆς ἡμέρης. 14 καὶ, ὅπου ὀδύνην ἔχῃ, χλιάσματα προστιθέναι, 15 καὶ ἐπιπίνειν διδόναι μέλι καὶ ὄξος ἑφθόν. 16 καὶ ῥοφάνειν χυλὸν πτισάνης, 11 καὶ ἐπιπίνειν οἶνον. 17 ἢν δὲ πρὸς τὸ λουτρὸν καὶ τὰ χλιάσματα πονέῃ καὶ μὴ ἀνέχηται, 18 προσφέρειν αὐτῷ ψύγμα, 19 καὶ πίνειν διδόναι κηρίον ἐν ὕδατι ἀποβρέχων, ὡς ψυχροτάτῳ. 20 καὶ κεῖσθαι πρὸς τὸ ψῦχος. 21 ταῦτα ποιέειν. 22 ἡ δὲ νοῦσος χαλεπὴ καὶ θανατώδης.

LVII. Ὁ πλεύμων προσπεσὼν ἐς τὸ πλευρόν. 2 Ἢν ὁ πλεύμων πρὸς τὸ πλευρὸν προσπέσῃ, 3 βὴξ ἴσχει καὶ ὀρθοπνοίη, καὶ σίαλον βήσσεται λευκόν. 4 καὶ ὀδύνη τὸ στῆθος καὶ τὸ μετάφρενον ἴσχει. 5 καὶ ὠθεῖ προσκείμενος. 6 καὶ δοκεῖ τι ἐγκέεσθαι βαρὺ ἐν τοῖσι στήθεσι. 7 καὶ κεντέουσιν ὀδύναι ὀξεῖαι. 8 καὶ τρίζει τὸ πνεῦμα οἷον μάσθλης. 9 καὶ τὴν πνοιὴν ἐπίσχει. 10 καὶ ἐπὶ μὲν τὸ πονέον ἀνέχεται κατακείμενος· ἐπὶ δὲ τὸ ὑγιὲς οὔ. 11 ἀλλὰ δοκεῖ τι αὐτῷ οἷον ἐκκρέμασθαι βαρὺ ἀπὸ τοῦ πλευροῦ. 12 καὶ διαπνεῖν δοκεῖ διὰ τοῦ στήθεος. 13 τοῦτον λούειν θερμῷ πολλῷ, δὶς τῆς ἡμέρης, καὶ μελίκρητον πιπίσκειν. 14 καὶ ἐκ τοῦ λουτροῦ, οἶνον λευκὸν κεραννὺς, καὶ μέλι ὀλίγον. 15 καὶ δαύκου καρπὸν τρίψας, καὶ τῆς κενταυρίης διεὶς, τούτοισι διδόναι χλιαρὸν καταρροφάνειν. 16 καὶ προστιθέναι πρὸς τὸ πλευρὸν ἐς ἀσκίον ἢ ἐς βοείην κύστιν ὕδωρ χλιαρὸν ἐγχέων. 17 καὶ ταινίῃ συνδεῖν τὰ στήθεα. καὶ κεῖσθαι ἐπὶ τὸ ὑγιές. 18 καὶ τὸν χυλὸν διδόναι τῆς πτισάνης χλιαρὸν, καὶ ἐπιπίνειν οἶνον ὑδαρέα. 19 ἢν δὲ ἐκ τρώματος τοῦτο γένηται, ἢ τμηθέντι ἐμπύῳ· γίνεται γὰρ 20 τοῦ-

bis in die lavato, 14 & ubi dolor habuerit, calefactoria adhibeto. 15 Et mel & acetum cocta bibenda dato, 16 & ptisanæ succum sorbendum, ac vinum insuper bibendum. 17 Si vero ad balneum & calefactoria affligatur, & ipsa non sustineat, 18 perfrigeratorium ipsi adhibeto: 19 & favum mellis aqua frigidissima macerato, aquamque bibendam dato. 20 Et decumbat ad frigus. 21 Hæc faciat. 22 Morbus autem gravis est & lethalis.

LVII. Pulmo ad latus prolapsus. 2 Si pulmo ad latus prolapsus fuerit, 3 tussis tenet, & erectæ cervicis spiratio, & salivam tussiendo rejicit albam, 4 & dolor ad pectus & dorsum emergit, 5 & incumbens pulmo impellit, 6 & grave quiddam in pectore incumbere videtur, 7 & dolores acuti pungunt, 8 & sanguis strident velut pellis, 9 & spirationem cohibet, 10 & ad affectum quidem latus decubitum sustinet, non autem ad sanum: 11 verum veluti grave quiddam ipsi de latere pendere videtur, 12 & per pectus transpirare se putat. 13 Hunc calida multa bis in die lavato, & aquam mulsam ipsi bibendam dato. 14 Post balneum, vinum album, cum modico melle misceto, 15 & dauci ac centaurii semina trita his diluito, & tepida hæc sorbenda præbeto. 16 Et infusam aquam calidam in utriculum, aut vesicam bubulam, ad latus apponito, 17 & fascia pectori alligato. 18 Decumbat in latus sanum. 19 Ptisanæ succum tepidum præbeto, & vinum aquosum insuper bibendum. 19 At si ex vulnere hoc fiat, aut suppurato secto fieri (fieri enim in his solet) 20 huic

20 [21] τούτῳ κύστιν πρὸς σύριγγα προσδήσας, ἐμπιπλάναι τῆς φύσης, καὶ ἐσιέναι ἴσω, [21] καὶ μότον στερεὸν κασσιτέρινον ἐντιθέναι, καὶ ἀπωθέειν πρόσω. [22] οὕτω διαιτῶν τυγχάνοις ἂν μάλιστα.

LIIX. Τοῦ πλεύρου φῦμα. [2] Ἐπὴν [ἐν] πλευρῷ φῦμα γένηται, [3] βὴξ ἴσχει ξηρή. [4] καὶ ὀδύνη, καὶ πυρετός. [5] καὶ ἵζεται βαρὺ ἐν τῷ πλευρῷ. 155 [6] καὶ ὀδύνη ὀξείη ἐς τὸ αὐτὸ αἰεὶ χωρίον λαμβάνει. [7] καὶ δίψα ἰσχυρή. [8] καὶ ἀποστρέφεται τὸ πόμα θερμόν. [9] καὶ ἐπὶ μὲν τὸ ἀλγέον οὐκ ἀνέχεται κατακείμενος, ἐπὶ δὲ τὸ ὑγιές. [10] ἀλλ', ἐπὴν κατακλίνῃ, δοκέει οἷον ὑπὸ λίθου ἐκκρέμασθαι. [11] καὶ ἐξοιδέει. [12] καὶ ἐξερυθεῖ. [13] καὶ οἱ πόδες οἰδέουσιν. [14] τοῦτον τάμνειν ἢ καίειν. [15] ἔπειτα ἀφιέναι τὸ πύον, ἕως ἂν γένηται δεκαταῖος, καὶ 5 μοτοῦν ὠμολίνῳ. [16] ἐπὴν δὲ γένηται δεκαταῖος, ἐξιεὶς τὸ πύον πᾶν, [17] ἐσιέναι οἶνον καὶ ἔλαιον χλιήνας, ὡς μὴ ἐξαπίνης ἀποξηρανθῇ, καὶ μοτοῦν ὀθονίῳ. [18] ἐξιεὶς δὲ τὸ ἐγκεχυμένον, ἐγχέειν ἕτερον. [19] ποιέειν δὲ ταῦτα πέντε ἡμέρας. [20] ἐπὴν δὲ τὸ πύον λεπτὸν ἀπορρέῃ, οἷον πτισάνης χυλός, [21] καὶ γλίσχρον ἐν τῇ χειρὶ ψαυόμενον ᾖ, κασσιτέρινον μοτὸν ἐντιθέναι. [22] καὶ, ἐπὴν παντάπασι ξηρανθῇ, ἀποτάμνων τι τοῦ μοτοῦ ὀλίγον, αἰεὶ ξυμφύειν τὸ ἕλκος πρὸς τὸν μοτόν.

LIX. Ὕδρωψ πλεύμονος. 10 [2] Ἢν δὲ ὕδρωψ ἐν τῷ πλεύμονι γένηται, [3] πυρετὸς καὶ βὴξ ἴσχει, [4] καὶ ἀναπνέει ἀθρόον. [5] καὶ οἱ πόδες οἰδέουσι. [6] καὶ οἱ ὄνυχες ἕλκονται πάντες. [7] καὶ πάσχει οἷα περ ὁ ἔμπυος γινόμενος, βληχρότερον δὲ καὶ πολυχρονιώτερον. [8] καὶ ἢν ἐγχέῃς, ἢ πυριᾷς,

158 [20] huic veſicam ad fiſtulam alligatam flatu impleto, ac intro mittito, [21] & peniculum ſolidum ſtanneum indito, ac ulterius propellito. [22] Sic curationem inſtituens maxime profeceris.

LIIX. Lateris tuberculum. [2] Quum in latere tuberculum fit, [3] tuſſis emergit dura, [4] & dolor, & febris, [5] & gravitas in latere incumbit, [6] & dolor acutus in eodem ſemper loco urget, [7] & 159 ſitis vehemens, [8] & calidum potum averſatur, [9] & in dolens latus decumbere non poteſt, ſed in ſanum. [10] At ubi decumbit, velut lapis impendere ipſi videtur, [11] & intumeſcit, [12] & rubeſcit, [13] & pedes intumeſcunt. [14] Hunc ſecato aut urito. [15] Poſtea pus emittito, uſque ad decimum diem, linamento ex lino crudo indito. [16] Decima autem die pure omni emiſſo, [17] vinum & oleum tepida immittito, ut ne derepente reſiccetur, & linamento ex linteolo utitor, [18] ubi vero id quod infuſum eſt emiſeris, aliud infundito: [19] atque hæc per dies quinque facito: [20] poſtquam autem pus tenue 160 effluxerit, velut ptiſanæ ſuccus [21] ac modicum, ad manus contactum, ſtanneum penicillum indito, [22] & ubi penitus reſiccatum fuerit, linamento ſemper modice præſecto, ulcus ad lina161 mentum coaleſcere ſinito.

LIX. Hydrops pulmonis. [2] Si hydrops in pulmone fiat, [3] febris & tuſſis tenet, [4] & acervatim reſpirat, [5] & pedes tument, [6] & ungues contrahuntur omnes, [7] & patitur talia, qualia is qui ſuppuratus fit, ſed debilius ac diuturnius. [8] Et ſi quid infundas, aut fomentum aut ſuffitum adhi-

ρίας, ἢ θωμιάς, οὐχ ὁμαρτεῖ πῦον. 9 τούτῳ ἂν γνοίης, ὅτι οὐ πῦον, ἀλλὰ ὕδωρ ἐστί. 10 καὶ, ἢν πολλὸν χρόνον προσέχων τὸ οὖς ἀκουάζῃ πρὸς τὰ πλευρὰ, ζέει ἔσωθεν οἷον ὄξος. 11 καὶ ἕως μέν τινος ταῦτα πάσχει. 12 ἔπειτα δὲ ῥήγνυται ἐς τὴν κοιλίην, καὶ αὐτίκα μὲν δοκεῖ ὑγιὴς εἶναι, καὶ τῆς νούσου ἀπηλλάχθαι· 13 τῷ δὲ χρόνῳ ἡ κοιλίη ἐμπίπραται, 14 καὶ ταὐτὰ κεῖνα πάσχει, καὶ μᾶλλον. 15 ἔνιοι δὲ καὶ οἰδίσκονται τὴν γαστέρα, καὶ τὴν ὄσχην, καὶ τὸ πρόσωπον. 16 καὶ ἔνιοι δοκέουσιν εἶναι ἀπὸ τῆς κοιλίης τῆς κάτω, 17 ὁρῶντες τὴν γαστέρα μεγάλην, καὶ τοὺς πόδας οἰδέοντας. 18 οἰδίσκεται γὰρ ταῦτα, ἢν ὑπερβάλλῃς τὸν καιρὸν τῆς τομῆς. 19 τοῦτον χρὴ, ἢν μὲν ἀποιδήσῃ ἔξω, 20 ταμόντα διὰ τῶν πλευρέων, ἰῆσθαι. 21 ἢν δὲ μὴ ἀποιδήσῃ, λούσαντα πολλῷ θερμῷ καθίσαι ὥσπερ τοὺς ἐμπύους. 22 καὶ, ὅπῃ ἂν ψοφέῃ, ταύτῃ τάμνειν. 23 βούλεσθαι δὲ ὡς κατωτάτω, ὅκως τοι εὔροον ᾖ. 24 ἐπὴν δὲ τάμῃς, μοτοῦν ὠμολίνῳ, 25 παχὺν [δὲ] καὶ ἔπακρον ποιήσαντα τὸν μοτὸν, 26 καὶ ἀφιέναι τοῦ ὕδατος φειδόμενος ὡς ἐλάχιστον. 27 καὶ, ἢν μέν σοι ἐν τῷ μοτῷ πῦον προσγένηται πεμπταίῳ ἐόντι, ὡς τὰ πολλὰ ἐκφυγγάνει. 28 ἢν δὲ μὴ προσγένηται, ἐπὴν ἐξεράσῃς τὸ ὕδωρ, δίψα ἐπιλαμβάνει, καὶ βὴξ, καὶ ἀποθνήσκει.

LX. [1] Στῆθος ἢ μετάφρενον ῥαγέν. 2 Ἢν τὸ στῆθος ἢ τὸ μετάφρενον ῥαγῇ, 3 ὀδύναι ἴσχουσι τὸ στῆθος καὶ τὸ μετάφρενον διαμπερές, 4 καὶ θέρμη ἄλλοτε καὶ ἄλλοτε ἐπιλαμβάνει. 5 καὶ τὸ σίαλον ὕφαιμον βήσσει. 6 τὸ δ' οἷον θρὶξ διατρέχει διὰ τοῦ σιάλου αἱματώδης. 7 μάλιστα

adhibeas, pus non sequitur, 9 atque ex hoc sane cognoveris, non pus, sed aquam intus esse. 10 Et si multo tempore aure ad latera adhibita audire tentaveris, ebullit intrinsecus velut acetum: 11 & hæc quidem aliquandiu patitur, 12 postea erumpit ad alvum, & statim quidem sanus esse sibi videtur, ac à morbo liberatus. 13 Verum progressu temporis alvus incenditur, 14 eademque illa patitur, & adhuc amplius. 15 Aliqui etiam intumescunt ventre, scroto, ac facie. 16 Et quidam ab inferna alvo id esse putant, 17 quum videant ventrem magnum, & pedes tumentes. 18 Intumescunt enim hæc, si sectionis tempus transgrediaris. 19 Hunc siquidem extra intumuerit, 20 inter costas sectum curare oportet. 21 Si vero non intumuerit, multa calida lotum velut suppuratos collocato, 22 & qua parte strepitum perceperis, ea secato, 23 quam potes infimo loco, quo effluxio facilis contingat. 24 Postquam secueris, linamentum ex lino crudo indito, 25 ita ut crassum & acutum linamentum facias, 26 & sanguinem paucissimum parce emittas. 27 Et siquidem in linamento pus adhæserit quinta die, plerunque evadit. 28 Sin minus, ubi aquam exhauseris, sitis corripit & tussis, & moritur.

LX. Pectus aut dorsum ruptum. 2 Si pectus aut dorsum fuerit ruptum, 3 dolores tenent pectus ac dorsum perpetuo, 4 & calor alias atque alias corripit, 5 & salivam subcruentam tussiendo rejicit 6 & velut pilus cruentus per salivam transcurrit. 7 Atque hæc maxime patitur, si manibus quid laborarit,

σαι δὲ ταύτην πάσχει, ἢν τῇσι χερσὶ ἐκπονήσῃ, 8 ἢ ἐπ' ἅμαξαν ἐπιβῇ, ἢ ἐφ' ἵππον. 9 τοῦτον καίειν καὶ ἔμπροσθεν καὶ ὄπισθεν, ″ ἐν μέρει 166 ἑκάτερον. 10 καὶ οὕτως ὑγιὴς γίνεται. 11 ἐπισχεῖν δὲ τὸν πόνον ἐνιαυτὸν, 12 καὶ παχῦναι ἐκ τοῦ καύσιος. 30

LXI. Πυρετὸς καυσώδης. 2 Πυρετὸς ἴσχει καὶ δίψα ἰσχυρή. 3 καὶ ἡ γλῶσσα τρηχείη, καὶ μέλαινα, καὶ χλωρή, καὶ ξηρή, ἢ ἐξέρυθρος ἰσχυρῶς. 4 καὶ οἱ ὀφθαλμοὶ χλωροί. 5 καὶ ὑποχωρεῖ ἐρυθρὸν, καὶ χλωρόν. 6 καὶ οὐρεῖ τοιοῦτο. 7 καὶ πτύει πολλόν. 8 πολλάκις δὲ καὶ μεθίσταται ὡς ἐπὶ περιπλευμονίην, καὶ παραφρονέει. 9 τούτῳ ἂν γνοίης ὅτι περιπλευμονίη γίνεται. 10 οὗτος, ἢν μὴ γένηται περιπλευμονικὸς, καὶ τεσσαρεσκαίδεκα ἡμέρας ὑπερφύγῃ, ὑγιὴς γίνεται. 35 11 ἢν δὲ γένηται, ἐν ὀκτωκαίδεκα ἡμέρῃσιν, 12 ἢν μὴ ἀνακαθαρθῇ γενόμενος, ἔμπυος γίνεται. 13 τοῦτον χρὴ πίνειν τὸ ἀπὸ τῶν κριμνῶν, 14 καὶ μετὰ πίνειν ὄξος ὡς εὐωδέστατον λευκόν. 15 καὶ ῥοφανέτω τὸν χυλὸν τῆς πτισάνης, δὶς τῆς ἡμέρης. 16 ἢν δὲ ἀσθενὴς ᾖ, τρίς. 17 καὶ ἐπιπινέτω οἶνον οἰνώδεα, λευκὸν, ὑδαρέα. 18 καὶ λούσθω ὡς ἐλάχιστα. 19 ἢν δὲ ἔμπυος γένηται, θεραπεύειν ὡς ἔμπυον.

LXII. ″ Πυρετὸς λυγγώδης. 167 2 ″ Πυρετὸς ἴσχει ἀτεχνός, 3 καὶ ῥῖγος, 168 40 4 καὶ βὴξ, 5 καὶ λύγξ. 6 καὶ βήσσει ἅμα τῷ σιάλῳ θρόμβους αἱματώδεις. 7 καὶ ἑβδομαῖος ἀποθνήσκει. 8 ἢν δὲ δέκα ἡμέρας ὑπερφύγῃ, ῥᾴων γίνεται. 9 εἰκοστῇ δὲ ἡμέρῃ ἐμπυΐσκεται, 10 καὶ βήσσει τὰς πρώτας ἡμέρας πύον ὀλίγον, ἔπειτα ἐπὶ πλεῖον. 11 καθαίρεται δὲ ἐν τεσσαρά-

κοντα

8 aut in curtum, aut equum inscenderit. 9 Hunc ante & retro urito ex partibus utroque loco, 10 & sic sanus evadit. 11 Cæterum per annum à labore se continet, 12 & ab ustura pin- 215 guefaciendo corpori studeat.

LXI. Febris ardens. 2 Febris tenet, & sitis vehemens, 3 & lingua aspera, & nigra, & cum virore pallida, & sicca, & vehementer rubicunda: 4 & oculi cum virore pallidi sunt, 5 & excrementum egerit rubicundum & cum virore pallidum, 6 talem quoque urinam mingit, 7 & multum spuit. 8 Sæpe etiam transmutatur velut ad peripneumoniam, & delirat. 9 Ex qua- 220 re cognoveris quod peripneumonia fit. 10 Hic siquidem peripneumonicus fiat, & quatuordecim dies transgrediatur, sanus fit. 11 Si vero in decem & octo diebus peripneumonicus fiat, 12 si non impurgatus permanens suppuratus fiat. 13 Huic necesse, ut aquam de crassa farina in ipsa macerata bibat, 14 & acetum album quam oderatissimum postea bibat, 15 & ptisanæ succum sorbeat bis in die: 16 si vero debilis fuerit, ter. 17 & vinum vi- 225 nosum, album, aquosum insuper bibat, 18 & quam minimum lavet. 19 At si suppuratus fiat, velut suppuratum curato.

LXII. Febris singultiens. 2 Febris detinet vehemens, 3 & rigor, 4 & tussis, 5 & singultus, 6 & una cum saliva, grumos sanguinis tussiendo rejicit, 7 & septima die moritur. 8 Si vero decem dies effugerit, melius habet. 9 Verum vigesima suppuratur, 10 & primis diebus pus modicum 230 tussiendo rejicit, deinde amplius. 11 Purgatur autem in quadragin-

dragin-

τεσσαράκοντα ἡμέρῃσι. 12 τοῦτον, τὰς μὲν πρώτας ἡμέρας, πιπίσκειν τὸ ὄξος καὶ τὸ μέλι ἑφθόν. 13 καὶ μεταμίσγειν ὄξος καὶ ὕδωρ ὑδαρὲς πίσων. 14 ῥοφανέειν δὲ χυλὸν πτισάνης, μέλι ὀλίγον παραμίσγων, καὶ οἶνον ἐπιπίνειν λευκὸν οἰνώδεα. 15 ἐπὴν δὲ δέκα ἡμέραι παρέλθωσιν, ἢν τὸ πῦρ παύσηται, καὶ τὸ πτύαλον καθαρὸν ᾖ, 16 τὴν πτισάνην ὅλην ῥοφανέτω, ἢ τὸν κέγχρον. 17 ἢν δὲ εἰκοστῇ τὸ πύον πτύσῃ, πινέτω, κόψας καὶ σήσας τὸ ἐλελίσφακον, καὶ πήγανον, καὶ θύμβρην, καὶ ὀρίγανον, καὶ ὑπερικὸν, ἴσον ἑκάστου ξυμμίσγων, 18 ὅσον σκαφίδα σμικρὴν ξυμπάντων, 19 καὶ ἀλφίτων τὸ αὐτὸ ἐπὶ οἴνῳ γλυκεῖ κεκρημένῳ, νῆστιν πίνειν. 20 καὶ ῥοφανέτω, ἢν χειμὼν ᾖ, ἢ μετόπωρον, ἢ ἔαρ· 21 ἢν δὲ θέρος ᾖ, μή. 22 ἀλλ' ἀμυγδάλια τρίβων καὶ σικύου σπέρμα πεφωσμένον, καὶ σήσαμον, ἴσον ἑκάστου, ξύμπαν δὲ ὅσον σκαφίδα, 23 ἐπιχέας ὕδατος ὅσον κοτύλην αἰγιναίαν, 24 ἄλευρον ἐπιπάσσων καὶ κηρίον 25 τοῦτο ῥοφανέτω μετὰ τὸ πόμα. 26 σιτίοισι δὲ χρήσθω λιπαροῖσι, καὶ ἁλμυροῖσι, καὶ θαλασσίοισι μᾶλλον, ἢ κρέασι. 27 λούσθω δὲ θερμῷ τὴν κεφαλὴν ὡς ἐλάχιστα. 28 ταῦτα ποιέων ἀπαλλάσσεται τῆς νούσου.

LXIII. Νοῦσος ἡ καλεομένη λήθαργος. 2 Βὴξ ἴσχει, 3 καὶ τὸ σίαλον πτύει πουλὺ καὶ ὑγρόν. 4 καὶ φλυηρεῖ, 5 καὶ ὅταν παύσηται φλυηρέων, εὕδει. 6 καὶ ἀποπατεῖ κάκοδμον. 7 τοῦτον πιπίσκειν τὸ ἀπὸ τῶν κρίμνων, καὶ μεταπιπίσκειν οἶνον λευκὸν οἰνώδεα. 8 καὶ ῥοφάνειν τὸν χυλὸν τῆς πτισάνης· 9 ξυμμίσγειν δὲ σίδης χυλόν. 10 καὶ οἶνον ἐπιπίνειν οἰνώ-

draginta diebus. 12 Huic primis diebus acetum & mel cocta bibenda dato, 13 & postea acetum & aquam ammisceto, quo aquosior potio fiat. 14 Et ptisanæ succum modico melle ammixto sorbeat, & vinum album vinosum insuper bibat. 15 Postquam autem decem dies præterierint, si febris sedetur, & sputum purum sit, 16 ptisanam integram sorbeat, aut milium. 17 At si vigesima die pus spuat, salviam, & rutam, & saturciam, & origanum, ac hypericum, singula æquis portionibus contusa ac cribrata permisceat, 18 ita ut omnium cyathi parvi sive conchæ marinæ sit mensura, 19 & polentæ tantundem. Hæc jejunus in vino dulci temperato bibat. 20 Et si hyems sit, aut autumnus, aut ver, sorbitionibus utatur. 21 Si vero æstas, minime. 22 Verum amygdalas, & cucumeris semen torrefactum, & sesamum, singula æquis partibus, ut in totum sit conchæ marinæ mensura, terat, 23 & aquæ heminam æginæam affundat, 24 & farinam ac favum inspergat. 25 Hæc post potum sorbeat. 26 Cibis utatur pinguibus salsis, & marinis magis quam carnibus. 27 Calida lavet, minime vero caput. 28 Hęc faciens à morbo liberatur.

LXIII. Morbus lethargus dictus. 2 Tussis oboritur, 3 & salivam spuit multam ac liquidam, 4 & nugas garrit, 5 & ubi nugari desierit, dormit: 6 & recrementum male olens egerit. 7 Huic aquam demacerata in ipsa farina crassa bibendam dato, & vinum album vinosum postea bibendum, 8 & ptisanæ succum sorbendum. 9 Verum huic mali punici succum ammisceto: 10 & vinum

δια λευκόν. ¹¹ καὶ μὴ λούειν. ¹² οὗτος οὖν ἑπτὰ ἡμέρῃσιν ἀποθνήσκει. ἢν δὲ ταύτας ὑπερφύγῃ, ὑγιὴς γίνεται.

LXIV. Ἑτέρη νοῦσος, ἡ λεγομένη αὐάντη. ² Οὐκ ἀνέχεται ἄσιτος, οὐδὲ βεβρωκώς, ³ ἀλλ', ὅταν μὲν ἄσιτος ᾖ, τὰ σπλάγχνα μύζει, ⁴ καὶ καρδιώσσει. ⁵ καὶ ἐμέει ἄλλοτε ἀλλοῖα, καὶ χολὴν, καὶ σίαλα, καὶ λάπην, καὶ δριμύ. ⁶ καὶ ἐπὴν ἐμέσῃ, ῥάων δοκέει εἶναι ἐπ' ὀλίγον. ⁷ ἐπὴν δὲ φάγῃ, ἐρυγματώδης γίνεται, ⁸ καὶ φλογιᾷ. ⁹ καὶ ἀποπατήσειν αἰεὶ οἴεται πουλύ· ἐπὴν δὲ καθίζηται, φῦσα ὑποχωρέει. ¹⁰ καὶ τὴν κεφαλὴν ὀδύνη ἔχει. ¹¹ καὶ τὸ σῶμα πᾶν ὥσπερ ῥαφίσι κεντέεσθαι δοκέει, ἄλλοτε ἄλλῃ. ¹² καὶ τὰ σκέλεα βαρέα καὶ ἀσθενέα, ¹³ καὶ μινύθει, καὶ ἀσθενὴς γίνεται. ¹⁴ τοῦτον φάρμακον πιπίσκειν, πρῶτον μὲν κάτω, ἔπειτα δὲ ἄνω, ¹⁵ καὶ τὴν κεφαλὴν καθαίρειν, ¹⁶ καὶ σιτίων ἀπέχεσθαι γλυκέων καὶ ἐλαιηρῶν καὶ πιόνων, καὶ θωρηξίων. ¹⁷ ἐμείτω δὲ τοῖσι χυλοῖσι, καὶ ἀπὸ σιτίων. ¹⁸ καὶ τὴν ὥρην ὄνου γάλα ἢ ὀῤῥὸν πιπίσκων, φάρμακον προσπιπίσκειν, ὁκοτέρου σοι δοκέῃ μᾶλλον δεῖσθαι. ¹⁹ καὶ ψυχρολουτέειν τὸ θέρος καὶ τὸ ἔαρ. ²⁰ τὸ φθινόπωρον δὲ καὶ τὸν χειμῶνα ἀλείμματι χρῆσθαι, καὶ περιπατέειν, καὶ γυμνάζεσθαι ὀλίγα. ²¹ ἢν δὲ ἀσθενέστερος ᾖ, ὥστε γυμνάζεσθαι, ὁδοιπορίῃ χρῆσθαι. καὶ ²² σιτίοισι ψυχροῖσι καὶ διαχωρητικοῖσι χρήσθω. ²³ καὶ, ἢν ἡ γαστὴρ μὴ ὑποχωρέῃ, ὑποκλύζειν κλύσματι μαλθακῷ. ²⁴ ἡ δὲ νοῦσος χρονίη, καὶ ἀπογηράσκοντας, ἢν μέλλῃ, ἀπολείπει.

vinum vinosum album insuper bibat, ¹¹ & ne lavet. ¹² Hic in septem diebus moritur. Si vero has effugerit, sanus evadit.

LXIV. ¹ Morbus, siccatorius appellatus. ² Neque sine cibo esse, neque cibum acceptum tolerare potest. ³ Verum ubi quidem sine cibo manet, viscera sugunt, ⁴ & os ventriculi dolet, ⁵ & alias alia vomit, & bilem, & salivam, & pituitam, & acria: ⁶ & postquam vomuit, aliquantisper melius habere sibi videtur. ⁷ At ubi cibum accepit, ructus adsunt, ⁸ & cum rubore exardescit, ⁹ & semper multum se cacaturum esse putat: ubi vero ea gratia desederit, flatus prodit: ¹⁰ & dolor caput habet, ¹¹ & totum corpus velut aciculis pungi videtur, alias alia parte: ¹² & crura gravia sunt ac debilia, ¹³ & consumitur, ac debilis fit. ¹⁴ Huic medicamentum bibendum dato, primum deorsum purgans, postea superne: ¹⁵ & caput purgato, ¹⁶ & à cibis abstineat dulcibus, & oleosis ac pinguibus, & ab ebrietatibus. ¹⁷ Vomat autem à succis, & à cibis: ¹⁸ & pro anni tempore, lac aut serum asininum bibendum præbens, pharmacum insuper bibendum dato, utro tandem magis opus esse tibi visum fuerit. ¹⁹ Æstate & vere frigida lavet. ²⁰ Autumno autem & hyeme unguento utatur, & deambulet, & modice se exerceat. ²¹ Si vero debilior sit quam ut exerceri possit, iter faciat. ²² Et cibis frigidis ac alvum subeuntibus utatur. ²³ Et si venter non egerat, molle infusum, per clysterem injicito. ²⁴ Morbus hic diuturnus est, & consenescentes, si ita futurum est, relinquit:

πολέεται· ἢν δὲ μὴ, ξυναποθνήσκει.

LXV. Πυρετὸς ὁ φονώδης λεγόμενος. ² Πυρετὸς ἴσχει καὶ ῥῖγος, ³ καὶ αἱ ὀφρύες ἐπικρέμασθαι δοκέουσι. ⁴ καὶ τὴν κεφαλὴν ἀλγέει. ⁵ ἐμέει σίαλον θερμὸν, καὶ χολὴν πολλήν. ⁶ ἐνίοτε καὶ κάτω ὑποχωρέει. ⁷ καὶ τοὺς ὀφθαλμοὺς αἱ χῶραι οὐ χωρέουσι. ⁸ καὶ ὀδύνη ἐς τὸν αὐχένα, καὶ ἐς τοὺς βουβῶνας ἴσχει. ⁹ καὶ ἀδυνατέει καὶ φλυηρέει. ¹⁰ οὗτος ἑβδομαῖος, ἢ καὶ πρότερον, ἀποθνήσκει. ¹¹ ἢν δὲ ταύτας ὑπερφύγῃ, ὡς τὰ πολλὰ ἐκφυγγάνει. ¹² ἡ δὲ νοῦσος θανατώδης. ¹³ τούτῳ ψύγματα χρὴ προσίσχειν πρὸς τὰ σπλάγχνα καὶ πρὸς τὴν κεφαλήν. ¹⁴ καὶ πίνειν διδόναι ἐρείξαντα τὰς κάχρυς ἐπὶ τοῖσιν ἀχύροισι, καὶ ἀποβρέξαντα, ¹⁵ καὶ ἀπηθέοντα τὸ ὕδωρ, ἐν τούτῳ μελίκρητον ποιέοντα ὑδαρὲς, τοῦτο διδόναι. ¹⁶ σιτίον δὲ μὴ προσφέρειν, μηδὲ ῥόφημα ἑπτὰ ἡμερέων ἄχρις, ἢν μὴ ἀσθενὴς ἔσεσθαι δοκέῃ εἶναι. ¹⁷ ἢν δὲ ᾖ, χυλὸν πτισάνης ψυχρὸν καὶ λεπτὸν ὀλίγον διδόναι δὶς τῆς ἡμέρης, καὶ ἐπιπίνειν ὕδωρ. ¹⁸ ἐπὴν δὲ ἑπτὰ ἡμέραι παρέλθωσι, καὶ τὸ πῦρ μεθῇ, κέγχρον λείχειν. ¹⁹ ἐς ἑσπέρην δὲ κολοκύντην ἢ τεῦτλα διδόναι ὀλίγα, καὶ οἶνον λευκὸν ὑδαρέα ἐπιπίνειν, ἐς ὃ ἂν ἡ ἐνάτη ᾖ. ²⁰ ἔπειτα σιτίῳ ὡς ἐλαχίστῳ διαχρήσθω, ἀριστιζόμενος κέγχρον. ²¹ λουτρῷ δὲ, ἕως ἂν ἡ ὀδύνη ἔχῃ, καὶ ὁ πυρετὸς, μὴ χρήσθω. ²² ἐπὴν δὲ παύσηται, λούσθω πολλῷ. ²³ ἢν δὲ ἡ γαστὴρ μὴ ὑποχωρέῃ, ὑποκλύζειν κλύσματι μαλθακῷ, ἢ βαλάνους προστιθέναι. ²⁴ ἐπὴν δὲ ἰσχύσῃ, προσθεὶς πρὸς τὰς ῥῖνας φάρμακον μαλθακὸν, ²⁵ τὴν κοιλίην κάτω κάθηρον, ²⁶ ἔπειτα γάλα ὄνου μεταπίσαι.

quit: sin minus, commoritur.

LXV. Febris interficiens appellata. ² Febris tenet, & rigor, ³ & supercilia impendere videntur, ⁴ & caput dolet, ⁵ & vomit salivam calidam, & bilem multam: ⁶ quandoque etiam infra egerit, ⁷ & loci oculos non capiunt, ⁸ & dolor ad cervicem & ad inguina emergit, ⁹ & affectis viribus est, & nugas garrit. ¹⁰ Hic septima die aut etiam prius moritur. ¹¹ Si vero hanc effugerit, plerunque sanus fit. ¹² Morbus est lethalis. ¹³ Huic perfrigeratoria adhibere oportet ad viscera, & ad caput: ¹⁴ & hordeum torrefactum una cum paleis fractum aqua macerare, ¹⁵ & de excolata aqua, mulsam facere: atque hanc aquosam bibendam dare. ¹⁶ Cibum autem non offerre, neque sorbitionem, usque ad septimum diem, si non debilis esse visus fuerit. ¹⁷ Si vero sit, ptisanæ succum frigidum ac tenuem modicum, bis in die exhibere, & aquam insuper bibendam. ¹⁸ Postquam vero septem dies præterierint, & febris dimiserit, milium lingat. ¹⁹ Ad vesperam cucurbitam, aut betas paucas sumat, & vinum album aquosum inde bibat, donec ad nonum perveniat diem. ²⁰ Postea cibo quam paucissimo utatur, milium in prandio sumens. ²¹ Balneo donec dolor & febris affuerint, ne utatur: ²² ubi vero cessaverint, multa lavet. ²³ Quod si venter non egerat, molle infusum per clysterem immittito, aut glandulas subdito. ²⁴ Quum vero validus factus fuerit, molli pharmaco ad nares apposito, ²⁵ alvum infra purgato, ²⁶ postea lac asininum bibendum dato.

LXVI. Πελίη νοῦσος. 2 Πυρετὸς ἴσχει ξηρὸς, 3 καὶ φρὶξ, ἄλλοτε καὶ ἄλλοτε. 4 καὶ τὴν κεφαλὴν ἀλγέει. 5 καὶ τὰ σπλάγχνα ὀδύνη ἔχει. 6 καὶ ἐμέει χολήν. 7 καὶ, ὅταν ἡ ὀδύνη ἔχῃ, οὐ δύναται ἀνορᾷν, ἀλλὰ βαρύνεται. 8 καὶ ἡ γαστὴρ σκληρὴ γίνεται, 9 καὶ ἡ χροιὴ πελιδνὴ, 10 καὶ τὰ χείλεα, καὶ τῶν ὀφθαλμῶν τὰ λευκὰ, πελιδνά. 11 καὶ ἐξορᾷ ὡς ἀγχόμενος. 12 ἐνίοτε καὶ τὴν χροιὴν μεταβάλλει, καὶ ἐκ πελιδνοῦ ὑπόχλωρος γίνεται. 13 τοῦτον φάρμακον πιπίσκειν καὶ κάτω καὶ ἄνω. 14 καὶ ὑποκλύζειν. 15 καὶ ἀπὸ τῆς κεφαλῆς ἀποκαθαίρειν. 16 καὶ θερμῷ ὡς ἥκιστα λούειν. 17 ἀλλὰ καὶ, ἐπὴν λούσῃ, εἱληθερεῖν. 18 καὶ ὀῤῥὸν τὴν ὥρην καὶ γάλα ὄνου πιπίσκειν. 19 καὶ σιτίοισιν ὡς μαλθακωτάτοισι χρῆσθαι, καὶ ψυχροῖσιν, ἀπεχόμενος τῶν δριμέων καὶ τῶν ἁλμυρῶν. 20 λιπαρωτέροισι δὲ καὶ γλυκυτέροισι καὶ πιοτέροισι χρήσθω. 21 ἡ δὲ νοῦσος ὡς τὰ πολλὰ ξυναποθνήσκει τῷ κάμνοντι.

LXVII. Νοῦσος ἐρυγματώδης. 2 Ὀδύνη λάζεται ὀξείη, καὶ πονέει ἰσχυρῶς. 3 καὶ ῥιπτάζει αὐτὸς ἑωυτόν. 4 καὶ βοᾷ. 5 καὶ ἐρεύγεται θαμινὰ, καὶ, ἐπὴν ἀπερεύξῃ, δοκέει ῥάων εἶναι. 6 πολλάκις δὲ καὶ χολὴν ἀπεμέει ὀλίγην ὅσον βρόχθον. 7 καὶ ὀδύνη λαμβάνει ἀπὸ τῶν σπλάγχνων ἐς τὴν νειαίρην γαστέρα καὶ τὴν λαπάρην, 8 καὶ, ἐπὴν τοῦτο γένηται, ῥάων δοκέει εἶναι, 9 καὶ ἡ γαστὴρ φυσᾶται, καὶ σκληρὴ γίνεται, καὶ ψοφέει. 10 καὶ ἡ φῦσα οὐ διαχωρέει, οὐδὲ ὁ ἀπόπατος. 11 τοῦτον, ἢν ὀδύνη ἔχῃ, λούειν πολλῷ θερμῷ. 12 καὶ χλιάσματα προστιθέναι. 13 ὅταν δὲ ἐν τῇ γαστρὶ ἡ ὀδύνη ᾖ, καὶ ἡ φῦσα, ὑποκλύζειν. 14 καὶ τῆς

LXVI. Morbus lividus. 2 Febris detinet sicca, 3 & horror alias atque alias, 4 & caput dolet, 5 & dolor viscera tenet, 6 & bilem vomit, 7 & quum dolor tenet, suspicere non potest, sed gravatur, 8 & venter durus fit, 9 & color lividus, 10 & labia, ac albæ oculorum partes livescunt; 11 & aspectum præ se fert velut qui strangulatur. 12 Quandoque etiam colorem transmutat, & ex livido, cum virore subpallidus fit. 13 Huic medicamentum & deorsum, & sursum purgans bibendum dato, 14 & clysterem adhibeto, 15 & à capite purgato. 16 Et calida quam minime lavet, 17 sed & ubi laverit, ad solem apricetur. 18 Serum etiam & lac asininum pro anni tempore bibat, 19 & cibis quam mollissimis utatur & frigidis, abstinens ab acribus & salsis: 20 verum dulcioribus ac pinguioribus utatur. 21 Cæterum hic morbus utplurimum cum ægro commoritur.

LXVII. Morbus ructuosus. 2 Dolor corripit acutus, & dolitat vehementer, 3 & ipse seipsum jactat, 4 & vociferatur, 5 & frequenter eructat, & ubi eructavit, melius habere sibi videtur. 6 Sæpe etiam bilem revomit modicam, poculi parvi mensura: 7 & dolor corripit à visceribus ad imum ventrem, & laterum mollitudinem, 8 & ubi hoc factum fuerit, melius habere sibi videtur: 9 & venter inflatur, ac durus fit, & strepit, 10 & flatus non egreditur, neque stercus. 11 Hunc si dolor habuerit, multa calida lavato, 12 & calefactoria ipsi adhibeto. 13 Ubi vero in ventre dolor ac flatus fuerit, clysterem adhibeto; 14 & mercurialis

τῆς λινοζώστιος ἑψῶν τὸν χυλὸν, ξυμμίσγειν τῆς πτισάνης τῷ χυλῷ, καὶ ἐπιπίνειν οἶνον γλυκὺν ὑδαρέα. 15 σιτίον δὲ μὴ προσφέρειν, ἕως ἂν ἡ ὀδύνη χαλάσῃ. 16 πινέτω δὲ ἓξ ἡμέρας, ἀπὸ νυκτὸς στέμφυλα βρέχων γλυκέα, τὸ ὕδωρ τὸ ἀπὸ τούτων. 17 ἢν δὲ μὴ ἔχῃ στέμφυλα, μέλι καὶ ὄξος ἑφθόν. 18 ἐπὴν 186 δὲ τῆς ὀδύνης ἀποκινήσῃ, φαρμάκῳ κάτω τὴν κοιλίην καθαίρειν. 19 σιτίοισι δὲ χρῆσθαι μαλθακοῖσι καὶ ὑποχωρητικοῖσι, καὶ θαλασσίοισι μᾶλλον, ἢ κρέασι. 20 10 κρέασι δὲ ὀρνιθείοισι καὶ μηλείοισιν ἑφθοῖσι. 21 καὶ τεῦτλα καὶ κολοκύντην. 22 τῶν δ' ἄλλων ἀπέχεσθαι. 23 ἡ δὲ νοῦσος, ὅταν μὲν νέον λάβῃ, χρόνῳ ἐξέρχεται· ἢν δὲ πρεσβύτερον, ξυναποθνήσκει.

LXIIX. Νοῦσος φλεγματώδης. 2 Λάζεται μὲν καὶ ἄνδρα, μᾶλλον δὲ γυναῖκα. 3 καὶ παχέη μέν ἐστι, καὶ εὔχρως. 4 ὁδοιπορέουσα δὲ ἀσθενέει, 187 μάλιστα δὲ, ἐπὴν πρὸς ἄναντες ἴῃ. 5 καὶ πυρετὸς λεπτὸς λαμβάνει, 6 ἐνίοτε καὶ πνῖγμα. 7 καὶ ἀπεμέει μὲν, ὅταν ἄσιτος 15 ᾖ, χολήν. 8 πολλάκις δὲ, καὶ ὅταν φάγῃ, σίαλα πολλὰ, τῶν δὲ σιτίων οὐδέν. 9 καὶ, ὅταν πονήσῃ, ὀδυνᾶται ἄλλοτε ἄλλῃ, καὶ τὸ στῆθος καὶ τὸ μετάφρενον. 10 καὶ 188 καταπίμπλαται πολφῶν ὡς ὑπὸ κνίδης. 11 τοῦτον φάρμακον πιπίσκειν. 12 καὶ ὀρρὸν καὶ γάλα ὄνου πινέτω. 13 ἢν δὲ ὀρροποτῇ, πιπισκέσθω φάρμακον κάτω ἐς πλείστας ἡμέρας. 14 καὶ, ἢν ἀπολήγῃ τῆς ὀρροποσίης, μεταπιέτω

rialis coctæ succum, ad ptisanæ succum ammisceto, ac sorbenbendum dato, & vinum dulce, aquosum, insuper sorbendum. 15 Cibum autem ne exhibeas, donec dolor remiserit, 16 & uvarum expressarum retrimenta dulcia, per noctem in aqua maceret, & hanc aquam per sex dies bibat. 17 Si vero uvarum expressarum retrimenta non habeat, mel & acetum cocta bibat. 18 Postquam autem dolorem emoverit, medicamento deorsum alvum purgato. 305 19 Cibis utatur inde mollibus & alvum subeuntibus, & marinis magis quam carnibus, 20 carnibus autem volucrium & ovillis coctis: 21 edat etiam betas & cucurbitam: 22 ab aliis vero abstineat. 23 Morbus hic si juvenem corripiat, tempore decedit: si seniorem, commoritur.

LXIIX. Morbus pituitosus. 2 Corripit quidem morbus pituitosus etiam virum, sed magis mulierem: 3 & est hæc quidem crassa & bene colorata, 4 verum iter faciens debilitatur, & maxime si ad acclivem locum iter faciat. 5 Corripit ipsam etiam febris tenuis, 6 quandoque etiam suffocatio: 7 & evomit ubi jejuna est, bilem 8 & salivas multas, sæpe etiam ubi cibum accepit, de cibo tamen nihil: 9 & quum laborarit, dolet pectus & dorsum, alias alia parte; 10 & rubicundis cutis eminentiis impletur, velut ab urtica inustis. 11 Huic medicamentum bibendum dato, 12 & serum ac lac asininum bibat. 13 Si vero serum potet, medicamentum deorsum purgans ad plurimos dies præbibendum dato. 14 Et si serum bibere desierit, lac asininum postea 310 315

των γάλα ὄνειον. 15 ἐπὴν δὲ πίνῃ, σιτίων μὲν ἀπεχέσθω, οἶνον δὲ πινέτω ὡς ἥδιστον, ἕως ἂν παύσηται καθαιρόμενος. 16 ἐπὴν δὲ ἀπολήξῃ τοῦ πότου, ἀριστιζέσθω μὲν κέγχρον. 17 ἑσπέρην δὲ σιτίοισιν ὡς μαλθακωτάτοισι χρήσθω, καὶ ἐλαχίστοισι. 18 ἀπεχέσθω δὲ πιόνων καὶ γλυκέων, καὶ ἐλαιηρῶν. 19 καὶ ἄλλοτε καὶ ἄλλοτε, μάλιστα δὲ τοῦ χειμῶνος, ἐμείτω ἀπὸ φακῆς, λάχανα προτρώγων. 20 καὶ θερμῷ ὡς ἥκιστα λούσθω, ἀλλὰ καὶ εἰληθερείτω. 21 ἡ δὲ νόσος ξυναποθνήσκει.

LXIX. Φλέγμα λευκόν. 2 Οἰδέει ἅπαν τὸ σῶμα λευκῷ οἰδήματι. 3 καὶ ἡ γαστὴρ παχέη ψαυομένη. 4 καὶ οἱ πόδες καὶ οἱ μηροὶ οἰδέουσι, καὶ αἱ κνῆμαι, καὶ ἡ ὄσχη. 5 καὶ ἀναπνεῖ ἀθρόον. 6 καὶ τὸ πρόσωπον ἐρευθές, 7 καὶ τὸ στόμα ξηρὸν, 8 καὶ δίψα ἴσχει. 9 καὶ, ἐπὴν φάγῃ, τὸ πνεῦμα πυκνὸν ἐπιπίπτει. 10 οὗτος τῆς αὐτῆς ἡμέρης ὁτὲ μὲν ῥάων γίνεται, ὁτὲ δὲ κάκιον ἴσχει. 11 τούτῳ ἢν μὲν ἡ γαστὴρ ταραχθῇ αὐτομάτη ἀρχομένης τῆς νόσου, ἐγγυτάτω ὑγιὴς γίνεται. 12 ἢν δὲ μὴ ταραχθῇ, φάρμακον διδόναι κάτω, ὑφ' οὗ ὕδωρ καθαρεῖται. 13 καὶ θερμῷ μὴ λούειν. 14 καὶ πρὸς τὴν αἰθρίην κοιμίζειν. 15 καὶ τὴν ὄσχην ἀποτάμνειν, ἐπὴν πίμπρηται. 16 σιτίοισι δὲ χρήσθω, ἄρτῳ καθαρῷ ψυχρῷ, καὶ τεύτλοις, καὶ σκορπίοισιν ἑφθοῖσι. 17 τῷ δὲ ζωμῷ ὡς ἐλαχίστῳ. 18 καὶ ψυχρὰ πάντα, καὶ μὴ γλυκέα, μηδὲ λιπαρά. 19 ἀλλὰ τετριμμένα, καὶ ὀξέα, καὶ δριμέα, 20 πλὴν σκορόδου, ἢ κρομμύου, ἢ πράσου, 21 ὀρίγανον δὲ καὶ θύμβρην πολλὴν ἐσθίειν, καὶ οἶνον ἐπιπίνειν οἰνώδεα. 22 καὶ ὁδοιπορέειν πρὸ τοῦ σιτίου. 23 ἢν δ'

ὑπὸ

ca bibat: 15 & dum hoc potarit, à cibis quidem abstineat, vinum vero quam jucundissimum bibat, donec purgari desinat. 16 At ubi à potione cessaverit, milium in prandio sumat. 17 Vesperi cibo mollissimo utatur ac paucissimo. 18 Abstineat à pinguibus & dulcibus ac oleosis. 19 Et alias atque alias, maxime tamen hyeme, à lenticulæ decocto vomat, oleribus præsumptis. 20 Et calida quam minimum lavet, sed & ad solem apricetur. 21 Morbus autem commoritur.

LXIX. Pituita alba. 2 Intumescit totum corpus albo tumore, 3 & venter ad contactum crassus est, 4 & pedes ac femora tument: tibiæ item ac scrotum: 5 & acervatim respirant, 6 & facies rubicunda est, 7 & os siccum, 8 & sitis tenet, 9 & ubi cibum accepit, spiritus frequens incumbit. 10 Hic eadem die quandoque melius habet, quandoque pejus. 11 Huic siquidem venter sua sponte turbatus fuerit in principio morbi, proximus sanitati est. 12 Si vero non turbetur, medicamentum deorsum purgans dato, à quo aqua purgetur. 13 Et calida non lavet, 14 & sub dio exponatur: 15 & scrotum ubi impletum fuerit, secato. 16 Cibis utatur, pane puro frigido, & beta, & piscibus scorpiis coctis, 17 jusculo autem quam paucissimo. 18 Et frigida omnia edat, & non dulcia, neque pinguia: 19 sed trita & acida, & acria, 20 excepto allio, cepa, & porro. 21 Origanum vero & saturejam multam edat, & vinum inde vinosum bibat: 22 & ante cibum iter faciat. 23 At si à medicamento tumeat, clysterem

adhi-

ἀπὸ τῶν φαρμάκων οἰδίσκεται, κλύζειν. 24 καὶ τῷ σιτίῳ πιέζειν, καὶ περιπάτοισι, καὶ ἀλουσίῃ. 25 φάρμακα δὲ ὡς ἐλάχιστα δοῦναι. 26 ἄνω δὲ μηδ' ἐκκαθαίρειν, ἢ τὰ οἰδήματα κατέλθῃ ἐς τὸ κάτω. 27 ἢν δὲ, ἰσχνοῦ ἤδη ἐόντος, πνίγμα ἐν τοῖσι στήθεσιν ἐγγίνηται, 28 ἐλλέβορον δὸς πίνειν, καὶ τὴν κεφαλὴν καθῆραι. 29 κἄπειτα κάτω πίσαι. 30 ἡ δὲ νοῦσος μάλιστα διαφεύγει ἐν οὐδενί.

LXX. Φροντὶς, νοῦσος χαλεπή. 2 Δοκεῖ ἐν τοῖσι σπλάγχνοισιν εἶναι οἷον ἄκανθα, καὶ κεντεῖν. 3 καὶ ἄση αὐτὸν λάζεται. 4 καὶ τὸ φῶς φεύγει, καὶ τοὺς ἀνθρώπους. 5 καὶ τὸ σκότος φιλεῖ. 6 καὶ φόβος λάζεται. 7 καὶ αἱ φρένες οἰδέουσιν ἐκτός. 8 καὶ ἀλγεῖ ψαυόμενος. 9 καὶ φοβεῖται, καὶ δείματα ὁρᾷ, καὶ ὀνείρατα φοβερὰ, καὶ τοὺς τεθνηκότας ἐνίοτε. 10 καὶ ἡ νοῦσος ἐνίοτε τοὺς πλείστους λαμβάνει τὸ ἦρος. 11 τοῦτον πιπίσκειν ἐλλέβορον, καὶ τὴν κεφαλὴν καθαίρειν. 12 καὶ μετὰ τὴν κάθαρσιν τῆς κεφαλῆς, κάτω πίσαι φάρμακον. 13 καὶ μετὰ ταῦτα πίνειν γάλα ὄνου. 14 σιτίοισι δὲ χρῆσθαι ὡς ἐλαχίστοισιν, ἢν μὴ ἀσθενὴς ᾖ, 15 καὶ ψυχροῖσι καὶ διαχωρητικοῖσι, 16 καὶ μὴ δριμέσι, μηδ' ἁλμυροῖσι, μηδὲ λιπαροῖσι, μηδὲ γλυκέσι. 17 μηδὲ θερμολουτείτω. 18 μηδὲ οἶνον πινέτω· ἀλλὰ, μάλιστα μὲν, ὕδωρ· εἰ δὲ μὴ, οἶνον ὑδαρέα. 19 μηδὲ γυμναζέσθω, μηδὲ περιπατείτω. 20 ταῦτα ποιῶν, ἀπαλλάσσεται τῆς νούσου, χρόνῳ. 21 ἢν δὲ μὴ ἐπιμελήσῃ, ξυναποθνήσκει.

LXXI. Μέλαινα νοῦσος. 2 Μέλαιναν ἐμεῖ οἷον τρύγα· 3 ὁτὲ μὲν, αἱματῶδες· 4 ὁτὲ δὲ, οἷον τὸν

adhibeto, 24 & cibo, deambulationibus, & illuvie premito. 25 Medicamenta vero quam paucissima adhibeto. 26 Verum sursum purgans non prius dederis, quam tumores ad infernas partes descenderint. 27 Quod si extenuato jam ipso suffocatio in pectore oboriatur, 28 veratrum bibendum dato, & caput purgato, 29 & postea deorsum purgans bibat. 30 Morbus hic maxime à nullo discedit.

LXX. Cura, morbus difficilis. 2 In visceribus velut spina esse videtur, & pungere, 3 & anxietas ipsum corripit, 4 & lucem ac homines fugit, 5 & tenebras amat, 6 & timor invadit, 7 & septum transversum foris tumet, 8 & contactum dolet, 9 & expavescit, & terriculamenta ac somnia horrenda videt, & quandoque etiam mortuos. 10 Et morbus hic fere plurimos vere corripit. 11 Huic veratrum bibendum dato, & caput purgato, 12 & post capitis purgationem pharmacum deorsum purgans bibat, 13 postea vero lac asininum bibat. 14 Cibis utatur quam paucissimis, si non debilis fuerit, 15 & frigidis, & alvum subeuntibus, 16 & non acribus, neque salsis, neque pinguibus, neque dulcibus. 17 Et calida non lavet, 18 neque vinum bibat, sed aquam maxime, aut saltem vinum aquosum. 19 Neque exercitiis utatur, neque deambulet. 20 Hæc si fecerit, à morbo liberabitur temporis progressu. 21 Si vero neglexerit, commorietur.

LXXI. Morbus niger. 2 Nigrum vomit veluti fecem, 3 quandoque cruentum, 4 quandoque velut vinum secundarium,

τὸ δ' ὕπερον· 5 ὁτὲ δὲ, οἷον πολύ- 197
ποδος θολόν· 6 ὁτὲ δὲ, δριμὺ οἷον ὄξος·
198 7 ὁτὲ δὲ, σίαλον καὶ λάπην· 8 ὁτὲ
δὲ, χολὴν χλωρήν. 9 καὶ, ὅταν
μὲν τὸ μέλαν καὶ τὸ αἱματῶδες
ἐμέῃ, ὄζειν δοκέει οἷον φόνου ὄζειν. 10 καὶ 198
ἡ φάρυγξ καὶ τὸ στόμα καίεται ὑπὸ
τοῦ ἐμέσματος. 11 καὶ τοὺς ὀδόντας
αἱμωδιᾷ. 12 καὶ τὸ ἔμεσμα τὴν
γῆν αἴρει. 13 καὶ, ἐπὴν ἀπεμέσῃ,
δοκέει ῥάων εἶναι ἐπ' ὀλίγον. 14 καὶ 199
οὐκ ἀνέχεται, οὔτ' ἄσιτος, οὔτε πλέον
5 βεβρωκώς. 15 ἀλλ', ὁκόταν μὲν ἄσι-
τος ᾖ, τὰ σπλάγχνα μύζει, καὶ τὰ
σίαλα ὀξέα· 16 ὅταν δέ τι φάγῃ,
βάρος ἐπὶ τοῖσι σπλάγχνοισι. 17
καὶ τὸ στῆθος καὶ τὸ μετάφρενον
δοκέει οἷον γραφείοισι κεντεῖσθαι. 18
καὶ τὰ πλευρὰ ἔχει ὀδύνη, 19 καὶ
πυρετὸς βληχρός. 20 καὶ τὴν κε-
φαλὴν ἀλγέει. 21 καὶ τοῖσιν ὀφ-
θαλμοῖσιν οὐχ ὁρᾷ. 22 καὶ τὰ σκέ-
λεα βαρέα. 23 καὶ ἡ χροιὴ μέλαι-
να. 24 καὶ μινύθει. 25 τοῦτον φάρμα-
κον πιπίσκειν θαμὰ, καὶ ὀῤῥὸν καὶ
γάλα τῆς ὥρης. 26 καὶ σιτίων ἀπέ-
χεσθαι γλυκέων, καὶ ἐλαιηρῶν, καὶ
πιόνων· 27 καὶ χρῆσθαι ὡς ψυχροτά-
10 τοισι καὶ ὑποχωρητικωτάτοισι. 28
καὶ τὴν κεφαλὴν καθαίρειν. 29 καὶ
μετὰ τὰς φαρμακοποσίας τὰς ἄνω,
ἀπὸ τῶν χειρῶν τοῦ αἵματος ἀφιέναι,
ἢν μὴ ἀσθενὴς ᾖ. 30 ἢν δὲ ἡ κοιλίη
μὴ ὑποχωρέῃ, ὑποκλύζειν μαλ-
θακῷ κλύσματι. 31 καὶ θωρήξιων
ἀπέχεσθαι, καὶ λαγνείης. 32 ἢν δὲ λα-
γνεύῃ, νῆστις πυριᾶσθαι. 33 καὶ τοῦ
ἡλίου ἀπέχεσθαι. 34 μηδὲ γυμνάζεσθαι
πολλά. 35 μηδὲ περιπατέειν. 36
μηδὲ θερμολουτέειν. 37 μηδὲ δρι-
μέα ἐσθίειν, μηδὲ ἁλυκά. 38 ταῦ-
15 τα ποιέειν. 39 καὶ ἅμα τῇ ἡλικίῃ ἀπο-
φεύγει καὶ ἡ νοῦσος, 40 εἰ καὶ καταγη-
ράσκει

rium, 5 quandoque velut poly-
pi atramentum, 6 quandoque
acre velut acetum, 7 quandoque
salivam & pituitam, 8 quando-
que bilem cum virore pallidam.
9 Et ubi quidem nigrum cruen-
tum vomuerit, cadaveris fœto-
rem refert: 10 & fauces & os à vo-
mitu aduruntur, 11 & dentes stu-
pescunt, 12 & id quod vomitu
rejectum est, terram elevat. 13
Et postquam vomuit, paululum
melius se habere putat. 14 Et ne-
que sine cibo esse, neque am-
pliorem cibum ferre potest. 15
Verum ubi sine cibo manet, vis-
cera sugunt, & salivæ acidæ
sunt. 16 Quum vero cibum ac-
cepit, gravitas in visceribus est,
17 & pectus ac dorsum velut
stilis pungi videntur, 18 & dolor
tenet latera, 19 & febris debilis
est, 20 & caput dolet, 21 & ocu-
lis non videt, 22 & crura gravan-
tur, 23 & color niger est, 24 &
consumitur. 25 Huic pharma-
cum bibendum dato frequen-
ter, & pro anni tempore & se-
rum, & lac. 26 Et à cibis absti-
neat dulcibus, & oleosis, ac pin-
guibus, 27 & frigidissimis ac ma-
xime per alvum subeuntibus
utatur. 28 Et caput purgato, 29
& post medicamentorum po-
tiones sursum purgantes, de ma-
nibus sanguinem detrahito, si
non fuerit debilis. 30 At si alvus
non egerat, molle infusum per
clysterem immittito. 31 Et ab-
stineat ab ebrietatibus & vene-
re. 32 Si vero coierit, jejunus
fomentis utatur. 33 Et à sole ab-
stineat, 34 neque multum se
exerceat, 35 neque deambulet,
36 neque lavet, 37 neque acria
edat, neque salsa. 38 Hæc facien-
da sunt. 39 Et una cum ætate
aufugit etiam morbus, 40 &,
cum

ἐγγηράσκει ξὺν τῷ σώματι. 41 ἢν δὲ μελανθῇ, ξυναποθνήσκει.

LXXII. Ἄλλη μέλαινα νοῦσος. 2 Ὑπόπυῤῥος, καὶ ἰσχνὸς, καὶ τοὺς ὀφθαλμοὺς ὑπόχλωρος γίνεται. 3 καὶ λεπτόδερμος καὶ ἀσθενὴς τελέθει. 4 ὅσῳ δ' ἂν χρόνος πλείων ᾖ, ἡ νοῦσος μᾶλλον πονέει. 5 καὶ ἐμέει πᾶσαν ὥρην οἷον σταλαγμὸν ὀλίγον, καὶ ἐς δύο βρόχθους· 6 καὶ τὸ σιτίον θαμινά· 7 καὶ ξὺν τῷ σιτίῳ χολὴν καὶ φλέγμα. 8 καὶ μετὰ τὴν ἔμεσιν ἀλγέει τὸ σῶμα πᾶν· 9 ἔστι δ' ὅτε καὶ πρὶν ἐμέσαι. 10 καὶ φρίκαι λεπταὶ καὶ πυρετὸς ἴσχει. 11 καὶ τὰ γλυκέα καὶ ἐλαιώδεα μάλιστα ἐμέει. 12 τοῦτον καθαίρειν χρὴ φαρμάκοισι καὶ κάτω καὶ ἄνω. 13 καὶ μεταπιπίσκειν γάλα ὄνου. 14 καὶ σιτίοισι χρήσθω ὡς μαλθακωτάτοισι καὶ ψυχροῖσι, 15 καὶ ἰχθύσιν ἀκταίοισι καὶ σελάχεσι, 16 καὶ τεύτλοισι καὶ κολοκύντῃσι, 17 καὶ κρέασι πετριμμένοισιν. 18 οἶνον δὲ πινέτω λευκὸν οἰνώδεα, ὑδαρέστερον. 19 ταλαιπωρίῃ δὲ ἐν περιπάτοισι χρήσθω. 20 καὶ μὴ θερμολουτέειν. 21 καὶ τοῦ ἡλίου ἀπέχεσθαι. 22 ταῦτα ποιέειν. 23 ἡ δὲ νοῦσος θανατώδης μὲν οὔ, ξυγκαταγηράσκει δέ.

LXXIII. Σφακελώδης. 2 Τὰ μὲν ἄλλα τὰ αὐτὰ πάσχει, ἐμέει δὲ θρόμβους πεπηγότας χολῆς. 3 καὶ κάτω ὁμοίως, ἐπὴν τὰ σιτία ἀποπατήσῃ. 4 δρᾶν δὲ χρὴ τὰ αὐτὰ, ἅπερ ἐπὶ τῆς προτέρης ἐλέχθη, 5 καὶ ὑποκλύζειν.

cum corpore senescit. 41 Si vero denigratus fuerit, commoritur.

LXXII. Alius morbus niger. 2 Subfulvus & gracilis, & oculis cum virore pallidis fit, 3 & tenuem cutem habet, ac debilis est. 4 Quanto autem tempus amplius progreditur, tanto morbus amplius affligit. 5 Et vomit omni tempore velut stillamentum modicum, ad duorum poculorum parvorum mensuram, 6 & frequenter etiam cibum, 7 ac una cum cibo bilem & pituitam: 8 & post vomitum dolet totum corpus, 9 aliquando etiam antequam vomat. 10 Et horrores tenues ac febris tenet, 11 & ad dulcia ac oleosa maxime vomit. 12 Hunc medicamentis sursum ac deorsum purgare oportet, 13 & lac asininum postea bibendum præbere. 14 Cibis autem utatur mollissimis ac frigidis, 15 piscibus littoralibus, & cartilaginei generis, 16 & betis, & cucurbitis, 17 & carnibus tritis. 18 Vinum bibat album, vinosum, aquosius. 19 Labore & deambulationibus utatur, 20 & calida ne lavet, 21 & à sole abstineat. 22 Atque hæc sane facienda sunt. 23 Verum morbus lethalis quidem est, non autem consenescit.

LXXIII. Morbus corruptorius. 2 Alia quidem omnia eodem modo patitur: verum grumos bilis concretos vomit, 3 & deorsum similiter egerit, postquam cibos excrevit. 4 Cæterum eadem facere oportet, quæ in priore morbo relata sunt, 5 & clysterem adhibere.

ΙΠΠΟΚΡΑΤΟΥΣ περὶ ΝΟΥΣΩΝ τὸ τρίτον.

HIPPOCRATIS DE MORBIS liber tertius.

Basil. græc. Foesius sect. v. 46. 487. Basil. lat.

Pag. 158

ΠΕΡΙ μὲν οὖν πυρετῶν 1 ἁπάντων εἴρηταί μοι. 2 ἀμφὶ δὲ τῶν λοιπῶν ἐρέω ἤδη.

1. Οἴδημα ἐγκεφάλου. 2 Ὁκόταν ὁ ἐγκέφαλος οἰδήσῃ ὑπὸ φλεγμασίης, 3 ὀδύνη ἴσχει ἅπασαν τὴν κεφαλήν· 4 μάλιστα δὲ, ὅπῃ στῇ ἡ φλεγμασίη. 5 ἵσταται δὲ ἐν τῷ κροτάφῳ, 6 τά τε ὦτα ἤχους 35 πλέα γίνεται. 7 καὶ ἀμβλὺ ἀκούει. 8 καὶ φλέβες τέτανται, καὶ σφύζουσι. 9 πυρετός τε καὶ ῥῖγος ἐνίοτε ἐπιλαμβάνει. 10 ἡ, τε ὀδύνη ἐκλείπει οὐδέποτε· 11 ἀλλὰ ποτὲ μὲν ἀνίησι, ποτὲ δὲ μᾶλλον πιέζει. 12 βοᾷ τε, καὶ ἀναΐσσει ὑπὸ τῆς ὀδύνης. 13 καὶ, ὁκόταν ἀναστῇ, αὖθις σπεύδει ἐπὶ τὴν κλίνην καταπεσεῖν, 14 καὶ ῥιπτάζει ἑωυτόν. 15 οὗτος ἔστι μὲν θανατώδης· 16 ὁκόσων δὲ ἡμερέων ἀποθανεῖται, οὐκ ἔχει κρίσιν. ἄλλοι γὰρ ἄλλως ἀπόλλυνται· 17 ὡς μέντοι ἐπὶ τὸ πολὺ ἐν τῇσιν ἑπτὰ ἡμέρῃσι τελευτῶσιν. 18 εἴκοσι δὲ καὶ μίαν διαφυγόντες, ὑγιέες γίνονται. 19 χρὴ δὲ, ὁκόταν περιωδυνέῃ, ψύχειν τὴν κεφαλὴν, 20 μάλιστα μὲν ξυρήσαντα, ἢ ἐς κύστιν 2 ἢ ἐς ἔντερα ἐγχέαντα τῶν ψυκτῶν τι οἷον χυλὸν στρύχνου, καὶ γῆν κεραμίτιδα. 21 τὸ μὲν προστιθέναι, τὸ δὲ ἀφαιρέειν, πρὶν ἢ χλιαρὸν γένηται. 22 καὶ τὸ αἷμα τοῦ ἀφαιρέειν. 23 καὶ τὴν κεφαλὴν καθαίρειν σελίνου χυλοῖ-

DE Febribus universis 1 à me dictum est, 2 de reliquis jam dicam.

Pag. 218

1. Cerebri tumor. 2 Quum cerebrum ab inflammatione tumuerit, 3 dolor totum caput occupat, 4 maxime qua parte constiterit inflammatio. 5 Consistit autem in temporibus: 6 & aures sonitu implentur, 7 & auditus hebescit, 8 & venæ extentæ sunt, ac pulsant: 9 & febris ac rigor aliquando corripiunt, 10 & dolor nunquam deficit, 11 sed quandoque remittit, quandoque magis premit, 12 & vociferatur ac exilit præ dolore. 13 Et ubi surrexit, rursus ad lectum decumbere festinat, 14 & jactat seipsum. 15 Hic lethaliter quidem affectus est, 16 in quot vero diebus morietur, non habet judicationem. nam alii aliter pereunt. 17 Plerunque tamen in septem diebus moritur. 18 Si vero vigesimum primum effugerint, sani fiunt. 19 Quum itaque dolor vexarit, frigefacere caput oportet, 20 maxime quidem per rasuram, aut frigefactorio aliquo, velut est solani succus, & terra figularis, in vesicam aut folliculum immisso, 21 ita ut vicissim modo apponas, modo auferas, priusquam tepescant. 22 Sed & sanguinem detrahere oportet, 23 & caput purgare, ad apii succos odoratis am-

χυλοῖσι μισγόμενα ἀνώδεα. 24 ἀοινέειν δὲ τὸ πάμπαν. 25 ῥοφέειν δὲ πτισάνης χυλὸν, 26 καὶ τὴν κάτω κοιλίην λύειν.

II. Περὶ πλειωδυνίης κεφαλῆς. 2 Ὁκόταν δὲ περιωδυνέῃ ἡ κεφαλὴ ὑπὸ πληρώσιος τοῦ ἐγκεφάλου, ἀκαθαρσίην σημαίνει. 3 καὶ τὴν κεφαλὴν ὅλην περιωδυνίαι ἔχουσι. 4 καὶ παραφρονέει. 5 καὶ ἀποθνήσκει ἑβδομαῖος. 6 καὶ οὐκ ἂν ἐκφύγῃ, ἢν μὴ ῥαγέῃ τὸ ὑγρὸν ἑβδομαίῳ κατὰ τὰ ὦτα. 7 οὕτω δὲ ἥ τε ὀδύνη παύεται καὶ ἔμφρων γίνεται. 8 ῥέει δὲ πολλὸν καὶ ἄοσμον. 9 τούτου μᾶλλον μὲν μὴ θεραπεύειν τὰ ὦτα, πρὶν ἂν ἐρρωγὸς ἴδῃς τὸ πῦον. 10 ἢν δὲ βούλῃ καθῆραι τὴν ἄνω καὶ τὴν κάτω κοιλίην, λύσον χωρὶς ἑκατέρην. 11 ἔπειτα πυριᾶν μὲν τὴν κεφαλὴν ὡς μάλιστα, ὅλην τε καὶ διὰ τῶν ὤτων, καὶ διὰ τῶν ῥινῶν. 12 ῥοφέειν δὲ πτισάνης χυλόν. 13 καὶ ἀοινέειν τὸ πάμπαν. 14 ἐπὴν δὲ ῥαγῇ τὸ πῦον, ἐπίσχειν, ἔστ' ἂν ἡ πολλὴ τῆς ῥύσιος παύσηται. 15 ἔπειτα κλύζειν τὰ ὦτα, οἴνῳ γλυκέϊ, ἢ γάλακτι γυναικείῳ, ἢ ἐλαίῳ παλαιῷ. 16 χλιαροῖσι δὲ κλύζειν. 17 καὶ πυριᾶν τὴν κεφαλὴν θαμινὰ ἐν μαλθακῇσι πυρίῃσι καὶ εὐόδμοισιν, ὡς θᾶσσον καθαίρηται ὁ ἐγκέφαλος. 18 οὗτος τὰ μὲν πρῶτα οὐκ ἀΐει, προϊόντος δὲ τοῦ χρόνου, ὅτε ἡ ῥύσις ἥσσων ἐστὶ, καὶ ἡ ἀκοὴ ἅμα τῇ ῥύσει παντελῶς παυομένῃ παραγίνεται, 19 ὁμοιοῦταί γε μάλιστα ἑωυτῷ. 20 Φυλάττεσθαι δὲ χρὴ ἡλίους, ἀνέμους, πῦρ, καπνὸν, δριμέων ὀδμὰς, καὶ τὰ τοιαῦτα. 21 καὶ ἡσυχάζειν, διαίτῃ μαλθακῇ χρώμενον. 22 Ἔστι δ' ὑπὸ κενεαγγείων εὔλυτος ἡ κοιλίη ἡ κάτω.

III. Βλητοί. 2 Οἱ δὲ βληθέντες λεγό-

ammixtis. 24 A vino autem in totum abstinere. 25 Ptisanæ succum sorbere, 26 & infernam alvum solvere.

II. Cerebri repletio dolorosa. 2 Quum doluerit caput præ cerebri repletione, vitiosorum humorum purgationem non factam esse significat, 3 & dolores totum caput tenent, 4 & delirat, 5 & moritur septima die: 6 & evadere non poterit, si non eruperit humor septima die per aures. 7 Sic enim & dolor sedatur, & resipiscit: 8 effluit autem multus & inodorus. 9 Hujus aures priusquam pus erupisse videris, potius ne curato. 10 Si vero supernam ac infernam alvum purgare voles, seorsum utranque solvito. 11 Postea capiti, maxime quidem universo, sed & per aures, & per nares, fomentum adhibeto. 12 Sorbeat autem ptisanæ succum, 13 & à vino abstineat in totum. 14 Postquam vero eruperit pus, contineto te donec multa fluxio sedetur: 15 postea aures colluito vino dulci, aut lacte muliebri, aut oleo veteri, 16 atque hæc tepida infundantur. 17 Caput vero frequenter mollibus ac odoratis fomentis foveto, quo citius cerebrum purgetur: 18 hic primum quidem non audit, progressu vero temporis & fluxio minor fit, & auditus una cum fluxione penitus quiescente contingit, 19 & maxime sibiipsi similis redit. 20 Cavere autem oportet solem, ventos, ignem, fumum, acrium odores, & alia hujusmodi: 21 & quiescere, ac molli victus ratione uti. 22 Sic autem alvus inferna præ vasorum vacuatione solutu facilis.

III. Syderati. 2 Qui icti ac syde-

λεγόμενοι εἶναι, ³ ὁκόταν ὁ ἐγκέφαλος πλησθῇ πολλῆς ἀκαθαρσίης, ὀδύνην παρέχει τὸ ἔμπροσθεν τῆς κεφαλῆς πρῶτον, ⁴ καὶ ἀναβλέπειν οὐ δύνανται, οἱ μὲν ἀμφοῖν τοῖν ὀφθαλμοῖν, οἱ δὲ θατέρῳ. ⁵ καὶ κῶμά μιν ἔχει, καὶ ἔκφρονές εἰσι. ⁶ καὶ οἱ κρόταφοι πηδῶσι. ⁷ καὶ πυρετὸς λεπτὸς ἔχει. ⁸ καὶ τοῦ σώματος ἀκρασίη. ⁹ οὗτος ἀποθνήσκει τεταρταῖος ἢ πεμπταῖος. ¹⁰ ἐς δὲ τὰς ἑπτὰ οὐκ ἀφικνέεται. ¹¹ ἢν δὲ ἄρα ἀφίκηται, ἐξαύτης γίνεται. ¹² τοῦτον ἢν βούλῃ θεραπεύειν, πυρίην τὴν κεφαλὴν, ¹³ καὶ ταμὼν ἀνάπνευσιν ποιέειν. ¹⁴ ἢν δὲ ὀδύνη ἔχῃ, καὶ πταρμοὺς ἐμποιέειν χρὴ, ¹⁵ καὶ τὴν κεφαλὴν καθαίρειν κούφοισι καὶ εὐώδεσι, ¹⁶ καὶ τὴν κάτω κοιλίην καθαίρειν. ¹⁷ ἀοινέειν δὲ τὸ πάμπαν. ¹⁸ πτισάνης δὲ χυλῷ χρῆσθαι.

IV. Σφακελισμὸς ἐγκεφάλου. ² Ἢν δὲ σφακελίσῃ ὁ ἐγκέφαλος, ³ ὀδύνη ἴσχει τὴν κεφαλὴν, καὶ διὰ τοῦ τραχήλου φοιτᾷ ἐς τὴν ῥάχιν. ⁴ καὶ αὐτὸν ἐπιλαμβάνει ἀνηκουστίη. ⁵ καὶ ψῦχος ἐπέρχεται ἐπὶ τὴν κεφαλήν. ⁶ καὶ οἰδέει ὅλος. ⁷ καὶ ἐξαίφνης ἄφωνος δείκνυται. ⁸ καὶ ἐκ τῶν ῥινῶν αἷμα ῥέει. ⁹ καὶ πελιδνὸς γίνεται. ¹⁰ τοῦτον ἢν μὲν ἡ νοῦσος χαλαρῶς λάβῃ, τοῦ αἵματος ἀπελθόντος, ῥαΐζει. ¹¹ ἢν δὲ σφόδρα εἰλημμένος ᾖ, θνήσκει ταχέως. ¹² τούτῳ πταρμούς τε ἐμποιέειν διὰ τῶν εὐωδέων, ¹³ καὶ τὰς κοιλίας ἀμφοτέρας καθαίρειν, ἐν μέρει ἢ ἑκατέρην. ¹⁴ καὶ τῶν εὐωδέων, κούφας ὀδμὰς ἐχόντων, τῇσι ῥισὶ προσφέρειν. ¹⁵ καὶ ῥόφημα λεπτόν τε καὶ χλιαρόν. ¹⁶ ἀοινέειν δὲ τὸ πάμπαν.

V. Λήθαργοι. ² Οἱ δὲ λήθαργοι, στάσις μὲν ἡ αὐτὴ τοῦ κακοῦ τῇ περιπλευμονίῃ, ³ χαλεπωτέρη δὲ καὶ

syderati esse dicuntur, ³ quum cerebrum multa immundicia vitiosorum humorum repletum fuerit, anterior capitis pars primum dolorem ipsi exhibet, ⁴ & suspicere non possunt, aliqui ambobus oculis, aliqui altero, ⁵ & sopor ipsos tenet, & desipiunt, ⁶ & tempora saliunt, ⁷ & febris tenuis habet, ⁸ & corporis impotentia. ⁹ Hic tertia aut quinta die moritur, ¹⁰ & ad septem non devenit. ¹¹ Si vero devenerit, à morbo liber evadit. ¹² Hunc si curare voles, capiti fomenta adhibeto, ¹³ & sectione facta transpirationem efficito. ¹⁴ Si vero dolor tenuerit, etiam sternutationes inducere oportet, ¹⁵ & caput purgare levibus ac odoratis, ¹⁶ infernam item alvum purgare. ¹⁷ A vino autem penitus abstineat, ¹⁸ & ptisanæ succo utatur.

IV. Cerebri corruptio. ² Si cerebrum corruptum fuerit, ³ dolor caput tenet, & per collum procedit ad spinam, ⁴ & æger non audit, ⁵ & frigus ad caput devenit, ⁶ & totus intumescit, ⁷ & derepente privatur voce; ⁸ & ex naribus sanguis fluit, ⁹ & lividus fit. ¹⁰ Quod si morbus leviter corripiat, ubi sanguis discessit, melius habet. ¹¹ Si vero vehementer correptus fuerit, cito perit. ¹² Huic sternutationes per odorata inducito, ¹³ & alvum utranque aut alteram saltem purgato, ¹⁴ & odorata quæ leves odores habent, naribus admoveto: ¹⁵ & sorbitionem tenuem ac tepidam exhibeto. ¹⁶ Abstineat autem penitus à vino.

V. Lethargus. ² Morbi lethargi appellati status idem est, qui & peripneumoniæ. ³ Verum difficilior, & non omnino liber

καὶ οὐ πάμπαν ἀπήλλακται. 4 ὑγρῆς γὰρ περιπλευμονίης βραδυτέρη πολλὸν ἡ νοῦσος. 5 πάσχει δὲ τάδε. 6 βὴξ καὶ κῶμά μιν ἔχει. 7 καὶ τὸ σίαλον ὑγρὸν καὶ πουλὺ ἀνάγει. 8 καὶ ἀδυναμίη σφόδρα. 9 καὶ, ὁκόταν μέλλῃ ἀποθανεῖσθαι, κάτω ὑποχωρεῖ ἐπὶ πουλὺ καὶ ὑγρόν. 10 τούτῳ ἐλπὶς μὲν πάνυ βραχεῖα περιγενέσθαι. 11 ὅμως δὲ, πτύειν τε ποιεῖν ὡς πλεῖστον, καὶ θερμαίνειν, καὶ ἀοινεῖν. 12 ἢν δὲ ἐκφύγῃ, ἔμπυος γίνεται.

VI. Καυσώδης. 2 Ἡ δὲ καυσώδης λεγομένη, [πυρετὸς τοῦ ἀνθρώπου σφοδρὸς,] 3 δίψα τε ἔχει πολλὴ, 4 καὶ ἡ γλῶσσα πέφρικε, 5 τὸ δὲ χρῶμα αὐτῆς, τὸν μὲν πρῶτον χρόνον, οἷόν περ εἴωθε. 6 ξηρὴ δὲ σφόδρα. 7 προϊόντος δὲ τοῦ χρόνου, σκληρύνεται, καὶ τρηχύνεται, καὶ παχύνεται, καὶ ἐπιμελαίνεται. 8 [καὶ] ἢν μὲν ἐν ἀρχῇ ταῦτα πάθῃ, θᾶσσον αἱ κρίσιες γίνονται· ἢν δὲ ὕστερον, χρονιώτεραι. 9 τῆς δὲ ἀφέσιος, ταὐτὰ πάντα ἡ γλῶσσα σημαίνει, ἅπερ ἐν τῇ περιπλευμονίῃ. 10 καὶ τὰ οὖρα, χολώδεα μὲν ἢ αἱματώδεα ἐόντα, ἐπίπονα· ξανθὰ δὲ, ἀπονώτερα. 11 καὶ τὸ πτύσμα ὑπὸ θερμασίης καὶ ξηρασίης ξυγκεκαυμένον καὶ παχύ ἐστι. 12 πολλάκις τε καὶ ἐς τὴν περιπλευμονίην μεθίσταται· 13 καὶ ἢν μεθιστῇ, τάχα ἀποθνήσκει. 14 τοῦτον δὲ ὧδε χρὴ θεραπεύειν. 15 λούειν θερμῷ δὶς ἢ τρὶς τῆς ἡμέρης ἑκάστης, πλὴν τῆς κεφαλῆς. 16 καὶ ἐν τῇσι κρίσεσι οὐ χρὴ λούειν. 17 καὶ τὰς μὲν πρώτας τῶν ἡμερέων ὑποκαθαίρειν καὶ ὑδροποτέειν. 18 καὶ γὰρ ἐμέειν ἄγει τὸ ὕδωρ ὡς ἐπὶ τὸ πουλύ. 19 τὰς δὲ ὑστέρας, μετὰ τὴν κάθαρσιν ὑγραίνειν, 20 καὶ ῥοφήμασι χρῆσθαι, 21 καὶ οἴνοισι γλυκέσιν. 22 ἢν δὲ

μὴ

liber ac remotus est 4 ab humida peripneumonia. Sed multo tardior est morbus. 5 Patitur autem æger hæc. 6 Tussis & sopor ipsum tenet, 7 & salivam liquidam & multam educit, 8 & vehementer impotens est: 9 & quum moriturus est, multum atque id liquidum infra egerit: 10 Huic valde exigua vitæ spes est. 11 Attamen hoc curandum est, ut plurimum spuat, & calefiat, & à vino abstineat. 12 Si vero effugerit, suppuratus fit.

VI. Morbus sive febris ardens. 2 In morbo febri ardente appellato, 3 sitis tenet multa, 4 & lingua horret. 5 At color ejus primo quidem tempore est veluti solet: 6 verum valde sicca est. 7 Progressu vero temporis induratur, exasperatur, crassescit ac nigrescit. 8 Si vero in principio hæc patiantur, citiores judicationes fiunt: si posterius, tardiores. 9 Cæterum remissionis eadem omnia signa lingua exhibet, quæ in peripneumonia: 10 & urinæ biliosæ aut cruentæ, dolorem ampliorem: flavæ vero, minorem significant: 11 & sputum præ caliditate ac siccitate combustum ac crassum est. 12 Sæpe vero etiam in peripneumoniam transit: 13 quod si contigerit, brevi moritur. 14 Hunc autem hoc modo curare oportet: 15 calida bis aut ter singulis diebus lavato, capite excepto. 16 At in judicationibus lavare non oportet. 17 Et primis quidem diebus deorsum purgato, & aquam bibendam dato. 18 Nam plerunque vomitum aqua ciere solet. 19 Posterioribus vero post purgationem humectato, 20 & sorbitionibus utatur, 21 ac vinis dulcibus. 22 Quod si non ab ini-

tio

μὴ ἐξ ἀρχῆς παραλάβῃς, ἀλλὰ ἤδη τῶν ἐν τῇ γλώσσῃ σημηΐων ἐνεόντων, ²³ ἐᾶν χρὴ, ἕως ἂν αἱ κρίσιες παρέλθωσιν, καὶ τὰ τῆς γλώσσης σημήϊα ἠπιώτερα γένηται. ²⁴ καὶ μήτε φάρμακον δῷς, ²⁵ μήτε κλύσῃς ἐς κάθαρσιν, πρὶν αἱ κρίσιες παρέλθωσιν.

VII. Ὁ πλεύμων οἰδέων ὑπὸ τῆς θέρμης. ² Ὁκόταν ὁ πλεύμων οἰδήσῃ ὑπὸ θέρμης πλησθεὶς, ³ βὴξ ἴσχει ἰσχυρὴ καὶ σκληρὴ, ⁴ καὶ ὀρθοπνοίη. ⁵ καὶ ἀναπνεῖ ἀθρόον, ⁶ καὶ ἀσθμαίνει πυκνόν. ⁷ καὶ οἰδέει. ⁸ καὶ τοὺς μυκτῆρας ἀναπετάννυσιν ὥσπερ ἵππος ἐκ δρόμου. ⁹ καὶ τὴν γλῶσσαν θαμινὰ ἐκβάλλει. ¹⁰ καὶ τὰ στήθεα αὐτῷ ἀείδειν δοκέει, καὶ βάρος ἐνεῖναι. ¹¹ διὸ χωρέειν οὐ δύναται τὰ στήθεα, ἀλλὰ διαῤῥήγνυται, καὶ ἀδυνατέει. ¹² ἥ τε ὀδύνη ὀξέη ἴσχει. καὶ τόν τε νῶτον καὶ τὰ στήθεα καὶ τὰς πλευρὰς ὡς βελόναις κεντέουσι. ¹³ καὶ καίεται ταῦτα, ὡς πρὸς πῦρ καθήμενος, ¹⁴ καὶ ἐρυθήματα ἐκφύει ἐς τὸ στῆθος καὶ τὸν νῶτον, ὡς φλογοειδέα. ¹⁵ καὶ δηγμὸς ἰσχυρὸς ἐμπίπτει ¹⁶ καὶ ἀπορίη, ὥστε οὔτε ἑστάναι, οὔτε καθῆσθαι, οὔτε κατακεῖσθαι οἷός τέ ἐστι. ¹⁷ ἀλλ' ὧδε ἀπορέων βληστρίζει ἑωυτὸν, καὶ δοκέει ἤδη ἀποθανεῖσθαι. ¹⁸ ἀποθνήσκει δὲ μάλιστα τεταρταῖος ἢ ἑβδομαῖος. ¹⁹ ἢν δὲ ταύτας διαφύγῃ, οὐ μάλα θνήσκει. ²⁰ τοῦτον, ἢν θεραπεύῃς, χρὴ τὴν κάτω κοιλίην ὡς τάχιστα καθῆραι κλύσματι καλῶς. ²¹ καὶ ἀπὸ τῶν ἀγκώνων καὶ τῆς ῥινὸς καὶ τῆς γλώττης καὶ πάντοθεν τοῦ σώματος αἷμα ἀφιέναι. ²² καὶ πόματα διδόναι ψυκτικὰ, ²³ καὶ ῥοφήματα τὰ αὐτὰ δυνάμενα. ²⁴ καὶ τῶν οὐρητικῶν,

μὴ

tio ægrum curandum ſuſceperis, ſed ſignis jam in ' lingua exiſtentibus, ²³ ſinere oportet donec judicationes prætererint, & linguæ ſigna mitiora facta fuerint: ²⁴ & neque medicamentum dederis, ²⁵ neque ad purgationem faciendam clyſterem adhibueris priuſquam judicationes prætereant.

VII. Pulmo tumens præ calore. ² Quum pulmo tumuerit præ nimio calore repletus, ³ tuſſis tenet fortis & dura, ⁴ & erectæ cervicis ſpiratio, ⁵ & acervatim reſpirat, ⁶ & frequenter anhelat. ⁷ ' & intumeſcit, ⁸ & nares expandit, velut equus ex curſu, ⁹ & linguam frequenter exerit, ¹⁰ & pectus ipſi canere videtur, & gravitas in ipſo inesse. ¹¹ Quapropter hanc capere pectus non poteſt, ſed dirumpitur & impotens fit, ¹² & dolor acutus emergit; & dorſum, & pectus, & latera velut acubus punguntur; ¹³ & ardent hæ partes velut ejus qui ſedeat ad ignem, ¹⁴ & rubores exoriuntur ad pectus & dorſum, ' velut à flamma, ¹⁵ & morſus fortis incidit, ¹⁶ & anguſtia, ut neque ſtare, neque ſedere, neque decumbere poſſit. ¹⁷ Verum ita velut deſperatis rebus anxius jactat ſeipſum, & jam mori videtur. ¹⁸ Moritur autem maxime quarta aut ſeptima die, ¹⁹ quas ſi effugerit, non valde perit. ²⁰ Hunc ſi cures, infernam alvum quam citiſſime clyſtere adhibito, probe purgare oportet, ²¹ & de cubitis, & naſo, & lingua, ac de omni ' corporis parte ſanguinem mittere. ²² Potiones item frigefacientes exhibere, ²³ & ſorbitiones idem præſtantes. ²⁴ Danda ſunt & urinam cientia

ſæpe,

μὴ θερμαινόντων δὲ, πολλάκις διδόναι. [25] καὶ ἐς μὲν τὰς ὀδύνας αὐτὰς, ὁκόταν καταιγίζωσι, χλιάσματα κοῦφα καὶ ὑγρὰ χρὴ προσφέροντα, χλιαίνειν καὶ ὑγραίνειν τὸν τόπον, οὗ ἂν ᾖ ἡ ὀδύνη. [26] πρὸς δὲ τὰ ἄλλα, ψυκτήρια προσίσχειν· τὰ μὲν ἀφαιρέοντα, τὰ δὲ προστιθέντα. [27] καὶ ὅκου ἂν καταικαίηται, ψῦχος ποιέειν. [28] ἀοινέειν δὲ τὸ πάμπαν.

IIX. Κεφαλῆς ὀδύνη. [2] Ὁκόταν δὲ ἀπὸ τῆς κεφαλῆς ἀρξαμένη ἡ ὀδύνη ὀξεῖα ἄφωνον ποιήσῃ παραχρῆμα, [3] ἄλλως τε καὶ ἐκ μέθης ὅταν γένηται, οὗτος ἀποθνήσκει ἑβδομαῖος. [4] ἧσσον δὲ οἱ ἐκ τῆς μέθης τοιοῦτόν τι παθόντες καὶ ἄφωνοι μείναντες θνήσκουσιν. [5] ἢν γὰρ ῥήξωσι φωνὴν αὐθημερὸν, ἢ τῇ τρίτῃ, ὑγιέες γίνονται. [6] ποιέουσι δὲ ἐκ τῆς μέθης ἔνιοι τοῦτο, καὶ οὐδέτεροι ἀπόλλυνται. [7] τούτοισι πταρμούς τε ἐμποιέειν ἰσχυρούς. [8] καὶ ὑποκλύσαι ὅ, τι ἂν χολὴν ἄξῃ σφόδρα. [9] καὶ, ἢν ἐπαισθάνηται, ὀπὸν θαψίης δοῦναι, ἐν πολλῷ τῷ ὑγρῷ καὶ θερμῷ, ἵνα ὡς τάχιστα ἀπεμέσῃ. [10] ἔπειτα ἐπισχναίνειν καὶ ἀοινέειν ἑπτὰ ἡμέρας. [11] ἀφαιρέειν δὲ καὶ ἀπὸ τῆς γλώττης αἷμα, ἢν δύνῃ λαβεῖν [τὴν] φλέβα.

IX. Φρενίτιδες. [2] Φρενίτιδες δὲ γίνονται καὶ ἐξ ἑτέρων νούσων. πάσχουσι δὲ τάδε. [3] τὰς φρένας ἀλγέουσιν, ὥστε μὴ ἐάσαι ἂν ἅψασθαι. [4] καὶ πῦρ ἔχει. [5] καὶ ἔκφρονές εἰσι. [6] καὶ ἀτενὲς βλέπουσι. [7] καὶ τ' ἄλλα παραπλήσια ποιέουσι τοῖσιν ἐν τῇ περιπλευμονίῃ, ὁκόταν οἱ ἐν τῇ περιπλευμονίῃ ἔκφρονες ἔωσι. [8] τοῦτον χλιαίνειν δεῖ χλιάσμασιν ὑγροῖσι, καὶ πόμασι,

πλὴν

sæpe, sed quæ non calefaciant. [25] Et ad ipsos quidem dolores quum irruunt, calefactoria levia ac humida adhibendo, locum calefacere ac humectare oportet, ubicunque dolor fuerit, [26] ad reliquas vero partes frigefactoria adhibere, vicissim ea apponendo ac tollendo, [27] & ubicunque arserit, frigus facere. [28] A vino autem penitus abstinere.

IIX. Capitis dolor. [2] Quum à capite initio sumpto, dolor acutus statim vocem interceperit, [3] tum alias, tum si ex ebrietate hoc contingat, ita affectus septima die moritur. [4] Minus tamen moriuntur, qui ex ebrietate tale quid perpessi sunt, & voce privati permanserunt. [5] Nam si eadem die, aut postera, aut tertia vocem edant, sani evadunt: [6] faciunt autem hoc aliqui ex ebrietate, & neutri moriuntur. [7] His sternutationes fortes inducere oportet, [8] & infusum per clysterem injicere, quod bilem vehementer ducat. [9] Quod si sensum æger receperit, thapsiæ succum in multa calida aqua dato, quo quam citissime revomat. [10] Postea attenuato, & à vino prohibeto per septem dies. [11] Detrahendus est & à lingua sanguis, si venam comprehendere possis.

IX. Phrenitides. [2] Phrenitides fiunt etiam ex aliis morbis. Patiuntur autem ægri hæc. [3] Septum transversum dolent, ut ne contingere quidem permittant, [4] & febris accedit, [5] & mente moventur, [6] intentis oculis vident, [7] & alia similia faciunt his qui peripneumonia affecti sunt, ubi sane in peripneumonia mente moventur. [8] Hoc modo affectum calefacere

πλὴν οἴνου. 9 καὶ, ἢν μὲν οἷός τε ᾖ ἀποκαθαίρειν ἄνω, βηχί τε καὶ πτύσει ἀνάγειν χρὴ, ὥσπερ ἐν τῇ περιπλευμονίῃ. 10 εἰ δὲ μὴ, τὴν κάτω κοιλίην παρασκευάζειν, ὅκως ὑποχωρέῃ. 11 ὑγραίνειν δὲ πόμασι· ἀγαθὸν γάρ. 12 ἡ δὲ νοῦσος θανατώδης. 13 ἀποθνήσκουσι γὰρ τριταῖοι, ἢ πεμπταῖοι, ἢ ἑβδομαῖοι. 14 ἢν δὲ ἠπίως ληφθῇ, κρίνει ὡς περιπλευμονίη.

X. Κυνάγχη. 2 Ὑπὸ δὲ τῆς κυνάγχης καλεομένης πνίγεται ὁ ἄνθρωπος. 3 καὶ ἐν τῇ φάρυγγι μᾶλλόν οἱ δοκέει ἐνέχεσθαι. 4 καὶ οὔτε τὸ σίαλον καταπιεῖ, οὔτε ἄλλο οὐδέν. 5 καὶ τὼ ὀφθαλμὼ πονέεσθόν τε καὶ ἐξέχετον, ὡς ἀπαγχομένοισι. 6 καὶ βλέπει αὐτοῖσι ἀτενές. 7 καὶ ἐπιστρέφειν οὐχ οἷός τε ἐστὶν αὐτούς. 8 καὶ ἀλύζει, καὶ ἀναΐσσει θαμινά. 9 καὶ τὸ πρόσωπον καὶ ἡ φάρυγξ ἐμπίπραται, ἀτὰρ καὶ ὁ τράχηλος. 10 τοῖσι δὲ ὁρέουσιν οὐδὲν κακὸν ἔχειν δοκέει. 11 καὶ ὁρᾷ καὶ ἀκούει ἀμβλύτερον. 12 καὶ ὑπὸ τοῦ πνιγμοῦ οὐκ ἔννοός ἐστιν, οὔτε, ἢν τι λέγῃ, οὔτε, ἢν τι ἀκούῃ ἢ ποιέῃ· 13 ἀλλὰ κεχηνὼς κέεται σιαλοχέων, τοιάδε ποιέων. 14 οὗτος ἀποθνήσκει πεμπταῖος, ἢ ἑβδομαῖος, ἢ ἐναταῖος.

XI. Παρακυνάγχη. 2 Ὅταν δὲ τούτων ἀπῇ τι τῶν σημείων, χαλαρωτέρην δηλοῖ τὴν νοῦσον. 3 ἣν καλέουσιν αὐτὴν παρακυνάγχην. 4 τοῦτον φλεβοτομέειν χρή· 5 μάλιστα δὲ ὑπὸ τὸν τιτθόν. 6 ξυνανα-λεῦται γὰρ ταύτῃ ἐκ τοῦ πλεύμονος θερμὸν πνεῦμα. 7 χρὴ δὲ καὶ τὰ κάτω καθαίρειν φαρμάκῳ, ἢ κλύσματι. 8 καὶ τοὺς αὐλίσκους παρῶσαι τὴν φάρυγγα κατὰ τὰς γνάθους, ὡς [illegible]ται τὸ πνεῦ-

oportet calefactoriis humidis & potionibus, excepto vino. 9 Et siquidem fieri poterit, sursum purgare, & per tussim ac spuitionem educere oportet, quemadmodum in peripneumonia. 10 Sin minus, inferna alvus præparanda est, ut egerat. 11 Humectato autem potionibus. hoc enim conducit. 12 Morbus autem lethalis est. 13 Moriuntur enim tertia aut quinta, aut septima die. 14 Si vero leniter corripiat, judicat velut peripneumonia.

X. Angina. 2 Ab angina appellata suffocatur homo, 3 & in faucibus magis ipsi inhærere videtur, 4 & neque salivam, neque quicquam aliud detrahit, 5 & oculi affecti sunt ac prominent, velut strangulatis, 6 & intente per ipsos videt, 7 & ipsos convertere non potest, 8 & anxius est, & exilit frequenter, 9 & facies & fauces ardent, imo etiam collum. 10 At videntibus nihil mali habere videtur, 11 & videt ac audit obtusius, 12 & præ suffocatione non intelligit, neque quid dicat, neque quid audiat, aut faciat. 13 Verum hians decumbit salivam fundens, ac talia faciens. 14 Hic quinta, aut septima, aut nona die moritur.

XI. Levis angina, paracynanche appellata. 2 At ubi horum signorum quid abfuerit laxiorem morbum significat, 3 quem paracynanchen vocant. 4 Huic venam secare oportet, 5 maxime sub mamma. 6 Concomitatur enim hac parte ex pulmone spiritus calidus. 7 Oportet quoque deorsum purgare medicamento, aut per clysterem. 8 Fistulas item detrudere convenit in fauces juxta maxillas,

πνεῦμα ἐς τὸν πλεύμονα. 9 καὶ ποιέειν ὡς τάχιστα πτύσαι, 10 καὶ ἰσχναίνειν τὸν πλεύμονα. 11 καὶ ὑποθυμιᾷν δὲ ὕσσωπον κιλίκιον, καὶ θεῖον, καὶ ἄσφαλτον. 12 καὶ ἕλκειν διὰ τῶν αὐλίσκων, καὶ διὰ τῶν ῥινῶν, ὡς ἐξίῃ φλέγμα. 13 καὶ 40 τὴν φάρυγγα καὶ τὴν γλῶτταν ἀνατρίβειν ἐν τοῖσι φλέγμα ἄγουσι. 14 καὶ τὰς φλέβας τὰς ὑπὸ τῇ γλώσσῃ τάμνειν. 15 ἀφιέναι δὲ αἷμα καὶ τῶν ἀγκώνων, ἢν ἰσχύῃ. 16 ἀοινεῖν δὲ, καὶ ῥοφεῖν πτισάνης χυλὸν λεπτόν. 17 ἐπειδὰν δὲ ἀφῇ ἡ νοῦσος, καὶ σιτίων γεύηται, ἐλατηρίῳ νέῳ καθῆραι, ἵνα μὴ ἑτέρῳ κακῷ περιπίπτῃ.

XII. Νοῦσος ἴκτερος. 2 Ἴκτερος τοιόσδε ἐστὶν ὀξὺς καὶ διὰ ταχέως ἀποκτείνει. 3 ἡ χροιὴ 16 δὲ ὅλη σιδιοειδὴς σφόδρα· 4 ἔστι δὲ 45 χλωροτέρη, οἷον οἱ σαῦροι οἱ χλωροί. 5 παρόμοιος δὲ καὶ ὁ 17 χρώς. 6 [ἐ]ν τῷ οὔρῳ ὑφίσταται οἷον ὀρόβιον πυῤῥόν. 7 καὶ πυρετὸς καὶ φρίκη βληχρὴ ἔχει. 8 ἐνίοτε δὲ καὶ τὸ ἱμάτιον οὐκ ἀνέχεται ἔχων, ἀλλὰ δάκνεται καὶ ξύεται. 9 καὶ ἄσιτος ἐὼν τὰ ἑωθινὰ, τὰ σπλάγχνα οἱ μύζει ὡς ἐπὶ τὸ πουλύ. 10 καὶ ὁκόταν ἐγείρῃ τις αὐτὸν, ἢ προσδιαλέγηται, οὐκ ἀνέχεται. 11 οὗτος ὡς ἐπὶ τὸ πουλὺ ἀποθνήσκει ἐντὸς τεσσαρεσκαίδεκα ἡμερέων. ταύτας δὲ διαφυγὼν, ὑγιὴς γίνεται. 12 χρὴ δὲ θερμολουτέειν, 161 13 καὶ πίνειν μελίκρητον, ξὺν καρύων θασίων λεπισθέντων [χυλῷ,] καὶ ἀψινθίου κόμης ἴσον, [καὶ] ἀνίσου σεσησμένου ἥμισυ. 14 πίνειν [δὲ] ὁλκῆς τριώβολον νῆστις. 15 καὶ πάλιν ἐς κοίτην τὸ μελίκρητον τοῦτο, 16 καὶ οἶνον παλαιὸν

las, quo ſpiritus ad pulmonem trahatur. 9 Et faciendum uti quam citiſſime ſpuat, 10 & pulmo gracilis fiat. 11 Et ſuffitus fiat per hyſſopum cilicium, ſulphur, & bitumen: 12 & attrahat & per fiſtulas, & per nares, ut exeat pituita. 13 Fauces & lin- 125 gua confricentur his quæ pituitam ducunt. 14 Et venæ ſub lingua ſecentur. 15 Sed & à cubitis ſanguis dimittatur, ſi vires validæ fuerint. 16 A vino abſtineat, & ptiſanæ ſuccum tenuem ſorbeat. 17 Poſtquam vero remiſerit morbus, & jam cibos guſtarit, elaterio recenti purgato, ut ne in aliud malum incidat.

XII. Morbus regius. 2 Morbus regius hujuſmodi acutus eſt, & cito occidit. 3 Color totus malicorium valde refert, 130 4 & cum virore pallidus eſt, quales ſunt lacerti cum virore pallicantes. 5 Conſimile eſt etiam corpus: 6 & in urina ſubſidet velut ervum fulvum, 7 & febris ac horror debilis habet. 8 Quandoque etiam veſtimenta ferre non poteſt, ſed mordetur ac raditur. 9 Et mane quum cibum non accepit, viſcera plerunque lancinantur. 10 Et quum quis ipſum excitat, aut alloquitur, non patitur. 11 Hic plerunque 135 in quatuordecim diebus moritur. Has ſi effugerit, ſanus evadit. 12 Oportet autem ipſum calida lavare, 13 & aquam mulſam 18 bibendam dare, ita ut de nucibus thaſiis decorticatis, & abſinthii coma, æquis portionibus acceptis, & de aniſo cribrato dimidia parte ammixta, 14 ut obolos tres jejunus ex illa bibat, 15 & rurſus dum cubitum it, hanc aquam mulſam ſumat. 16 Bibat etiam

λαιὸν λεπτὸν, καὶ ῥοφήμασι. [17] ἀσιτέειν δὲ μή.

XIII. Τέτανος. [2] Οἱ τέτανοι ὅταν ἐπιλάβωσιν, [''] αἱ γένυες πεπήγασιν ὡς ξύλα [3] καὶ τὸ στόμα διοίγειν οὐ δύνανται. [4] καὶ οἱ ὀφθαλμοὶ 'δακρύουσί τε καὶ ἰλλαίνονται, [5] καὶ τὸ μετάφρενον πέπηγε. [6] καὶ τὰ σκέλεα οὐ δύνανται συνάγειν. [7] ὁμοίως οὐδὲ τὰς χεῖρας. [8] καὶ τὸ πρόσωπον ἐρυθρόν. [9] καὶ σφόδρα ὀδυνᾶται. [10] καὶ ὁκόταν ἀποθνήσκειν μέλλῃ, ἀνεμέει διὰ τῶν ῥινῶν καὶ τὸ πόμα, καὶ τὸ ῥόφημα, καὶ τὸ φλέγμα. [11] οὗτος τριταῖος, ἢ πεμπταῖος, ἢ ἑβδομαῖος, ἢ τεσσαρεσκαιδεκαταῖος ἀπόλλυται. ταύτας δὲ διαφυγὼν ὑγιὴς γίνεται. [12] '' τούτῳ διδόναι καταπόματα πέπερι, καὶ ἐλλέβορον 'μέλανα, καὶ ζωμὸν ὀρνιθείων πίονα θερμόν. [13] '' καὶ πταρμοὺς ἰσχυροὺς καὶ πολλοὺς ἐμποιέειν, καὶ πυριᾶν. [14] ὁκόταν δὲ μὴ πυριῆται, τὰ χλιάσματα προστιθέναι ὑγρὰ καὶ λιπαρὰ, [15] ἐν κύστεσι καὶ ἀσκίοισι πανταχόθεν, [16] μάλιστα δὲ πρὸς τὰ ὀδυνώδεα. [17] καὶ ἀλείφειν θερμῷ καὶ πολλῷ, καὶ πολλάκις.

XIV. Ὀπισθότονος. [2] Ὅταν δὲ ὀπισθότονος ἔχῃ, τὰ μὲν ἄλλα ὡς ἐπὶ τὸ πολὺ ταὐτὰ, σπᾶται δὲ εἰς τοὔπισθεν. [3] καὶ βοᾷ ἐνίοτε. [4] καὶ ὀδύναι ἴσχουσιν ἰσχυραί. [5] '' καὶ συνάγειν ἐνίοτε οὐκ ἐᾷ τὰ σκέλεα, οὐδὲ τὰς χεῖρας ἐκτείνειν. [6] ξυγκεκαμμένοι γὰρ οἱ ἀγκῶνες τείνονται. [7] καὶ τοὺς δακτύλους πὺξ ἔχει. καὶ τὸν μέγαν δάκτυλον τοῖσιν ἄλλοισι κατέχει ὡς ἐπὶ τὸ πολύ. [8] καὶ βοᾷ, καὶ φλυαρέει ἐνίοτε. [9] καὶ οὐ δύναται ἑαυτὸν κατέχειν, ἀλλ'

ἀνίστ

etiam vinum vetus 'tenue, & sorbitionibus utatur. [17] Nec à cibis abstineat.

XIII. Tetanus. [2] Quum distentiones, Tetani appellati, corripuerint, maxillæ rigent velut ligna, [3] & os aperire non possunt, [4] & oculi lachrymantur ac distorquentur, [5] & dorsum riget, [6] & crura contrahere non possunt, [7] similiter neque manus, [8] & facies rubicunda est, [9] & valde dolet, [10] & ubi moriturus est, & potum, & sorbitionem, & 'pituitam per nares revomit. [11] Hic tertia die, aut quinta, aut septima, aut decimaquarta perit. Ubi vero has effugerit, sanus evadit. [12] Huic catapotia ex pipere & veratro nigro devoranda dato: & jusculum volucrium pingue calidum. [13] Inducendæ sunt etiam fortes ac multæ sternutationes, & fomenta adhibenda. [14] Quum autem fomentis non utitur, calefactoria humida ac pinguia undequaque [15] in 'vesicis ac utriculis apponantur, [16] maxime tamen ad partes dolentes, [17] & calido oleo multo ac sæpe illinatur.

XIV. Opisthotonos. [2] Quum autem distentio in posteriores partes, opisthotonos appellata, tenuerit, reliqua quidem plerunque eadem sunt; verum in posteriores partes convellitur, [3] & vociferatur aliquando, [4] & dolores emergunt vehementes, [5] & crura 'interdum contrahere non permittit, neque manus extendere. [6] Sunt enim cubiti incurvati, [7] & digiti in pugnum contracti, & pollicem plerunque aliis digitis continet, [8] & clamat, & nugas garrit quandoque, [9] & non potest seipsum continere, sed aliquando exilit, ubi

dolor

ἀναΐσσει ἐνίοτε, ὅταν ἡ ὀδύνη ἔχῃ. 10 ὅταν δὲ ἀνῇ ἡ ὀδύνη, ἡσυχίην ἔχει. 11 ἐνίοτε δὲ καὶ ἄφωνοι γίνονται ἅμα ἁλισκόμενοι, ἢ μανικοί τε καὶ μελαγχολικοί. 12 οὗτοι τριταῖοι θνήσκουσι, τῆς φωνῆς λυθείσης. 13 καὶ ἀνεμέουσι 20 διὰ τῶν ῥινῶν. 14 εἰ δὲ φθάσουσι φυγεῖν τὰς τεσσαρεσκαίδεκα, ὑγιέες γίνονται. 15 θεραπεύειν δὲ ὡς τὸν ἄνω. 16 ἢν δὲ βούλῃ, καὶ ὧδε ποιέειν. 17 ὕδωρ ὡς 23 πλεῖστον ψυχρὸν καταχέας, 18 ἔπειτα ἱμάτια λεπτὰ καὶ καθαρὰ καὶ θερμὰ ἐπιβάλλειν. 19 πῦρ δὲ τόδε μὴ προσφέρειν. 20 οὕτως χρὴ ποιέειν καὶ τοὺς τετάνους, καὶ τοὺς ὀπισθοτόνους.

XV. Εἰλεοί. 2 Εἰλεοὶ δὲ γίνονται, τῆς μὲν ἄνω κοιλίης θερμαινομένης, τῆς δὲ κάτω ψυχομένης. 3 ξυναυαίνεται γὰρ τὸ ἔντερον, 4 καὶ ξυμ-25 πλέεται ὑπὸ τῆς φλεγμασίης, 5 ὥστε μήτε τὸ πνεῦμα, μήτε τὰς τροφὰς διεξιέναι, 6 ἀλλὰ τὴν γαστέρα σκληρὴν εἶναι, 7 καὶ ἐμέειν ἐνίοτε, πρῶτον μὲν φλεγματώδεα, ἔπειτα δὲ χολώδεα, τελευτῶν δὲ κόπρον. 8 καὶ δίψαν ἔχει, καὶ ὀδύνην, μάλιστα μὲν περὶ τὰ ὑποχόνδρια. 9 ἀλγέει δὲ καὶ πᾶσαν τὴν γαστέρα, 10 καὶ πεφύσηται, 11 καὶ λύζει, 12 καὶ πυρετοὶ ἐπιλαμβάνουσι. 13 γίνονται δὲ μάλιστα ἑβδομαῖοι. 14 τούτους ὧδε χρὴ θεραπεύειν. 15 καθαίρειν τὴν ἄνω κοιλίην ὡς τάχιστα. 16 καὶ αἷ- 24 30 μα ἀφαιρέειν ἀπὸ τῆς κεφαλῆς τε καὶ ἀγκώνων, ἵνα παύσηται ἡ ἄνω κοιλίη θερμαινομένη. 17 καὶ ψύχειν τὰ ἄνω τῶν φρενῶν, πλὴν τῆς 25 καρδίης. 18 τὰ δὲ κάτω θερμαίνειν ἐν σκάφῃ ὕδατος θερμοῦ καθίζων τὸν ἄνθρωπον καὶ ἀλείφων αἰεί. 19 καὶ χλιάσματα ὑγρὰ προστιθέναι. 20 καὶ βάλανον μέλιτος μόνον ποιέειν ὡς

dolor premit: 10 quum vero dolor remittit, quietem habet. 11 Aliquando etiam vox intercipitur simul ut morbo corripiuntur, aut insani & atra bile per- 160 citi fiunt. 12 Hi tertia die moriuntur voce soluta, 13 & revomunt per nares. 14 Si vero effugerint decimumquartum diem, sani fiunt. 15 Curandus hic est velut superior. 16 Quod si voles, etiam sic facies. 17 Aquam frigidam plurimam superfundito, 18 & postea vestimenta tenuia, pura, ac calida superintegito. 19 Ignem autem tunc non adhibeto. 20 Hoc auxilium & ad tetanos, & ad opisthotonos adhibere oportet.

XV. 2 Volvuli fiunt quum su- 165 pernus ventriculus calescit, infernus vero frigescit. 3 Resiccatur enim simul intestinum, 4 & præ inflammationis caliditate obturatur, 5 ut neque flatus, neque cibi pertranseant, 6 sed venter durus sit, 7 & quandoque vomat, primum pituitosa, deinde biliosa, postremum stercus. 8 Et æger sitim habet ac dolorem, maxime circa præcordia. 9 Verum & totum ventrem dolet, 10 & inflatus est, 11 & an- 170 xius est, 12 & febres corripiunt, 13 & fiunt maxime septima die. 14 Hos sic curare oportet. 15 Supernum ventriculum quam citissime purgato, 16 & sanguinem de capite ac cubitis detrahito, ut superna alvus calescere desinat, 17 & partes supra septum transversum frigefacito, excepto corde. 18 Infernas autem calefacito, homine in solio aquæ calidæ collocato, ac semper oleo illito. 19 Calefactoria quoque humida apponito. 20 Et glan- 175 dulam de melle solum decem digi-

ὡς δεκαδάκτυλον, [21] ἐξ ἄκρου χολὴν ταύρου ἐς τὸ πρόσθεν ἐπιπλάσσων πρόσθες καὶ δὶς καὶ τρίς, [22] ὡς πάντα τὰ ξυγκεκαυμένα περὶ τὸν ἀρχὸν ἐξαγάγῃς τῆς κόπρου. [23] κἢν μὲν οὕτως ὑπακούῃ, κλύζειν ἐπὶ τούτοισιν. [24] ἢν δὲ μή, φῦσαν χαλκευτικὴν ἐσιέναι καὶ φυσᾶν ἐς τὴν κοιλίην, [25] ἵνα διαστήσῃς τήν τε κοιλίην καὶ τὴν τοῦ ἐντέρου ξύστασιν. [26] εἶτα πάλιν, ἐξελὼν τὴν φῦσαν, κλύσαι. [27] εὐθὺς δὲ ἕτοιμον ἔστω τὸ κλύσμα, [28] μὴ πάνυ τῶν θερμαντικῶν, [29] ἀλλὰ τῶν διαλυόντων τὰς κόπρους καὶ τηκόντων. [30] εἶτα βύσας τὴν ἕδρην σπόγγῳ, καθήσθω ἐν ὕδατι θερμῷ, κατέχων τὸ κλύσμα. [31] καὶ ἢν δέξηται τὸ κλύσμα, καὶ πάλιν μεθῇ, ὑγιὴς γίνεται. [32] ἐν δὲ τῷ πρόσθεν χρόνῳ, μέλι ὡς κάλλιστον λειχέτω, [33] καὶ οἶνον αὐτίτην πινέτω ἔγχωρον. [34] ἢν δὲ τοῦ εἰλεοῦ ἀφέντος, πυρετὸς αὐτὸν ἐπιλάβῃ, ἀνέλπιστος. [35] ἴσως γὰρ καὶ ἡ κάτω κοιλίη λυθεῖσα ἀποκλείνειεν αὐ.

XVI. Περιπνευμονίη. [2] Ἡ δὲ περιπνευμονίη τοιάδε ποιεῖ. [3] πυρετός τε ὀξὺς ἔχει. [4] καὶ τὸ πνεῦμα πυκνὸν καὶ θερμὸν ἀναπνεῖ. [5] καὶ ἀπορίη. [6] καὶ ἀδυναμίη. [7] καὶ ῥιπτασμός. [8] καὶ ὀδύνη ὑπὸ τὴν ὠμοπλάτην, καὶ ἐς τὴν κληῗδα, καὶ ἐς τὸν τιτθόν. καὶ βάρος ἐν τοῖσι στήθεσιν. [9] ἐνίοτε δὲ καὶ παραφροσύνη. [10] ἔστι δ' οἷσιν ἀνώδυνός ἐστιν, ἕως ἂν ἄρξωνται βήσσειν. [11] πολυχρονιωτέρη δὲ καὶ χαλεπωτέρη κείνης. [12] τὸ δὲ σίαλον λευκὸν καὶ ἀφρῶδες πτύει τὸ πρῶτον. [13] ἡ δὲ γλῶσσα, ξανθή. [14] προϊόντος δὲ τοῦ χρόνου μελαίνεται. [15] ἢν μὲν

digitorum longitudinis facito, [21] & ex summa anteriori parte fel taurinum oblinito: atque sic bis ac ter subdito, [22] quo omnia combusta stercora circa rectum ac princeps intestinum contenta educas. [23] & siquidem sic obedierit, postea clysterem adhibeto. [24] Sin minus, follem fabrilem indito, & in ventrem flatum immittito, [25] a quo & ventrem, & intestini contractionem distendas. [26] Deinde extracto folle, clysterem adhibeto. [27] Sit autem infusum per clysterem injiciendum paratum [28] non ex valde calefactoriis, [29] sed ex his quæ stercora dissolvunt ac colliquant. [30] Postea obturata per spongiam sede, in aqua calida desideat continens clysteris infusum. [31] Et si hoc infusum susceperit, & rursus dimiserit, sanus evadit. [32] Cæterum priore tempore mel optimum delingat, [33] & vinum splendidum vernaculum bibat. [34] Quod si volvulo amoto, febris ipsum corripiat, desperatus est. [35] Fortassis enim & inferna alvus soluta ipsum occiderit.

XVI. Peripneumonia. [2] Peripneumonia talia facit. [3] Febris acuta tenet, [4] & spiritum frequentem ac calidum respirat, [5] & anxietas adest, [6] & impotentia, [7] & jactatio, [8] & dolor sub scapulas, & ad claviculam: & ad mammam, & gravitas in pectore, [9] quandoque etiam delirium. [10] Quidam dolorem non sentiunt, donec tussire inceperint. [11] Verum hic morbus diuturnior ac difficilior illo est. [12] Salivam tenuem ac spumosam primum spuit. [13] Lingua flava est: [14] verum progressu temporis nigrescit. [15] Si igitur in principio

μὲν ἐν ἀρχῇ μελαίνηται, θᾶσσες καὶ ἀπαλλαγαί. 16 ἢν δὲ ὕστερον, χολαίτεραι. 17 τελευτῶσι δὲ καὶ ῥήγνυται ἡ γλῶσσα. 18 καὶ, ἢν προσθῇς τὸν δάκτυλον, ἔχεται. 19 τὴν δὲ ἀπάλλαξιν τῆς νόσου σημαίνει ἡ γλῶσσα, 20 ὥσπερ καὶ ἐν τῇ πλευρίτιδι ὁμοίως. 21 ταῦτα καὶ πάσχει ἡμέρας τεσσαρεσκαίδεκα, τὸ ἐλάχιστον· τὸ πλεῖστον δὲ, εἴκοσι καὶ μίαν. 22 καὶ βήσσει τοῦτον τὸν χρόνον σφόδρα. 23 καὶ καθαίρεται ἅμα τῇ βηχὶ, 24 τὸ μὲν πρῶτον, πολὺ καὶ ἀφρῶδες σίαλον. 25 ἑβδόμῃ δὲ καὶ ὀγδόῃ, ὁκόταν ὁ πυρετὸς ἐνακμάζῃ, ἢν ὑγρὴ εἴη ἡ περιπλευμονίη, ἴη παχύτερον· ἢν δὲ μὴ, οὔ. 26 ἐνάτῃ δὲ καὶ δεκάτῃ, ὑπόχλωρον καὶ ὕφαιμον. 27 δωδεκάτῃ δὲ μέχρι τῆς τεσσαρεσκαιδεκάτης πολὺ καὶ πυῶδες. 28 ὧν καὶ ὑγραί εἰσιν αἵ τε φύσιες καὶ διαθέσιες τοῦ σώματος, αὐτάρ καὶ ἡ νοῦσος ἰσχυρή. 29 ὧν δὲ ἥ τε φύσις καὶ ἡ κατάστασις τῆς νόσου ξηρὴ, ἧσσον οὗτοι. 30 ἢν μὲν οὖν τῇ τετάρτῃ καὶ δεκάτῃ ξηρανθῇ, καὶ μηκέτι ἀποβήσσῃ πυῶδες, ὑγιής ἐστιν. 31 ἢν δὲ μὴ, πρόσεχε ἐς τὰς εἴκοσι, δυοῖν δεούσας, καὶ τὰς εἴκοσι καὶ μίαν, τὸν νόον. 32 καὶ, ἢν μὲν ἐνταῦθα παύσηται, ἐκφεύγει τοῦ πλύσματος. 33 ἢν δὲ μὴ, ἐροῦ αὐτὸν, εἰ γλυκύτερον τὸ σίαλον. 34 καὶ, ἢν φῇ, ἴσθι, ὅτι ὁ πλεύμων αὐτοῦ ἔμπυός ἐστι. 35 καὶ ἡ νοῦσος καθίσταται ἐνιαυσίη, ἢν μὴ ἐν τῇσι τεσσαράκοντα ἡμέρῃσι [illegible] ἀναγάγῃ τὸ πῦον. 36 ἢν δὲ φῇ ἀηδὲς εἶναι τὸ σίαλον, θανατώδης ἡ στάσις τῆς νόσου. 37 ἀλλ' ἐν τῇσι πρώτῃσιν ἡμέρῃσι μάλιστα διάδηλοι. 38 ἢν γὰρ ἐκπτύσῃ τὸ σαπρὸν

cipio nigrescat, citius morbus finitur. 16 Sin posterius, tardius. 17 Tandem vero etiam rumpitur lingua, 18 & si digitum apponas, inhæret. 19 At liberationem à morbo significat lingua, 20 similiter velut in pleuritide. 21 Hæc autem patitur homo, minimum diebus quatuordecim, ad summum una & viginti, 22 & per hoc tempus tussit vehementer, 23 & una cum tussi purgatur, 24 primum saliva multa & spumosa. 25 Septima vero & octava die ubi febris in vigore fuerit, si humida sit peripneumonia, crassior prodierit: sin minus, non. 26 Nona vero & decima, cum virore pallida ac suberuenta. 27 Duodecima autem usque decimam quartam, multa & purulenta. 28 Atque hoc in his contingit, quorum naturæ, & corporis affectiones humidæ sunt, & morbus fortis est. 29 Quorum vero & natura, & morbi constitutio sicca est, in his minus. 30 Siquidem igitur decimaquarta die resiccatus fuerit, & non amplius purulentum tussiendo rejecerit, sanus est. 31 Sin minus, ad duodevigesimam, & vigesimam primam animum adverte, 32 & siquidem tunc sputum illud quieverit, evadit. 33 Sin minus, interroga ipsum, an dulcior sit saliva: 34 & si affirmaverit hoc, scito pulmonem ipsi suppuratum esse, 35 & morbus annum durabit, si non quadraginta diebus pus eduxerit. 36 Si vero insuavem salivam esse dixerit, status morbi lethalis est. 37 Verum in primis diebus hi maxime manifesti fiunt. 38 Si enim putrefactum ac purulentum expuerit in diebus duobus ac viginti, & non exulceratus

σαπὲν καὶ τὸ πυωθὲν ἐν ἡμέρῃσι δύο καὶ εἴκοσι, καὶ μὴ ἑλκωθῇ, ἐκφεύγει· ἢν δὲ μή, οὔ. 39 αὕτη ἡ περιπλευμονίη οὐδὲν ἀπολείπεται τῶν ἐν τῷ πλεύμονι ἐόντων κακῶν. 40 ἢν δ' ἄν τι τούτων ἀπῇ τῶν κακῶν, εἰδέναι χρὴ, ὅσα τε τὸν κάμνοντα ἔχειν, καὶ τὸν ἰητρὸν μεταχειρίζεσθαι. 41 ἢν δ' ὀλίγα ἔχῃ τούτων τῶν σημείων, μὴ ἐξαπατάτω. 42 ἐπεὶ οὐκ ὀλέθριος περιπλευμονίη ἐστὶν, ἀλλά τις μαλθακή.

XVII. 43 Θεραπεύειν δὲ χρὴ τὴν περιπλευμονίην οὕτως. 44 οὐ μέντοι ἐξαμαρτήσεται καὶ πλευρῖτιν καὶ φρενῖτιν οὕτω μεταχειριζόμενος. 45 ἄρχου τὸ πρῶτον κουφίζειν τὴν κεφαλὴν, ἵνα μηδὲν ἐπιῤῥέῃ πρὸς τὸ στῆθος. 46 τὰς δὲ πρώτας ἡμέρας τὰ ῥοφήματα ἔστω γλυκύτερα. 47 οὕτω γὰρ ἂν μάλιστα τὸ ξυγκαθήμενον καὶ τὸ ξυνεστηκὸς ἀποπλύνοις καὶ κινέοις. 48 τεταρταίοισι δὲ καὶ πεμπταίοισι καὶ ἑκταίοισι μηκέτι γλυκύτερα, ἀλλὰ λιπαρά. 49 ἐς γὰρ τὴν ἄνω πτύσιν ὑποχρέμπτεσθαι ξυμφέρει. 50 ἢν δὲ μὴ δύνηται κατὰ λόγον πτύειν, [ἐκ] τῶν ἀναγόντων φάρμακον διδόναι. 51 τὰς δὲ κοιλίας, ἐν μὲν τῇσι πρώτῃσιν ἡμέρῃσι τέσσαρσιν ἢ πέντε, ὑποχωρέειν χρὴ, καὶ ὀλίγῳ μᾶλλον, 52 ἵνα οἵ τε πυρετοὶ ἀμβλύτεροι ἔωσι, καὶ τὰ ἀλγήματα κουφότερα. 53 ὁκόταν δὲ κεκενωμένος ᾖ, καὶ ἀσθενὴς τὸ σῶμα, τὴν κάτω κοιλίην διὰ τρίτης ὑποκινέειν, 54 ἵνα τό, τε σῶμα δυνατὸν ᾖ, καὶ τὰ ἄνω χωρία ἄνικμα. 55 ἢν γὰρ κάτω ὑγρὸν πολλὸν ὑποχωρέῃ, ἀπὸ τῆς πέμπτης ἡμέρης θάνατον ποιέει. 56 κάτω γὰρ τοῦ ὑγροῦ ὑποχωρέοντος, τὰ ἄνω ξηραίνεται, 57 καὶ ἡ κάθαρσις τοῦ πτύσματος οὐ χωρέει ἄνω. 58 δεῖ οὖν καὶ τὴν κάτω κοιλίην

tus fuerit, evadit: sin minus, non. 39 Hæc peripneumonia nihil abest ab affectionibus quæ in pulmone sunt. 40 Si igitur aliquid harum affectionum abfuerit, cognoscere oportet & quæ ægrotus mala habeat, & quæ medicus 'aggredi debeat. 41 Si vero pauca horum signorum habuerit, ne decipiatur. 42 Nam perniciosa non est peripneumonia, sed mollis.

XVII. 43 Cæterum peripneumoniam hoc modo curare oportet. 44 Non tamen peccabit, si quis tamen pleuritidem & phrenitidem ita curare aggrediatur. 45 Primum caput levius facere incipe, quo nihil influat ad pectus. 46 Primis autem diebus sorbitiones sint 'dulciores. 47 Sic enim id quod consedit ac compactum est, potissimum elueris ac commoveris. 48 Quarta die & quinta ac sexta, non amplius dulces, sed pingues. 49 Nam ad sputum sursum exscreandum conducunt. 50 Si vero pro ratione spuere non possit, ex pharmacis sursum educentibus dato. 51 Alvum autem in primis quatuor aut quinque diebus subducere oportet, & hoc paulo amplius, 52 quo & 'febres obtusiores sint, & dolores leviores. 53 Quum autem evacuatus fuerit, & corpore debilis, infernam alvum tertio quoque die deorsum commoveto, 54 & quo corpus potens sit, & supernæ regiones humoris expertes. 55 Nam si multus humor infra secedat, à quinta die, mortem inducit. 56 Infra enim humore secedente, supernæ partes resiccantur: 57 & sputi purgatio sursum non prodit. 58 Oportet igitur '& infernam alvum, neque

κοιλίην μήτε ἱστάναι λίην, ἵνα μὴ ὀξέες ἔωσιν οἱ πυρετοί, [59] μήτε λίην ὑποχωρέειν, ἵνα τὸ σίαλον ἀνιέναι δύνηται, καὶ ἰσχύῃ ὁ κάμνων. [60] φάρμακα δὲ τῆς ἀναγωγῆς ἑκταίοισι, καὶ ἑβδομαίοισι, καὶ ἐνναταίοισι, καὶ ἔτι προσωτέρω ἰοῦσι τῆς νούσου, μᾶλλον δίδου. [61] τὸ δὲ φάρμακον ἔστω ἐλλέβορος λευκὸς, θαψίη, ἐλατήριον νέον, ἴσον ἑκάστου.

XIIX. [62] Ἢν δὲ τὸ σίαλον μὴ καθαίρηται εὖ, καὶ τὸ πνεῦμα πυκνὸν ᾖ, καὶ τῆς καθάρσιος μὴ ἐπικρατέῃ, [63] προλέγειν, ὅτι ἀνέλπιστός ἐστι τοῦ ζῆν, ἢν μὴ δύνηται τῇ καθάρσει ὑπουργέειν. [64] ποιέειν δὲ καὶ τὰ ἐν τῇ περιπλευμονίῃ, ἢν ὅσοι τὰ τῆς κοιλίης τῆς κάτω καλῶς ὑπουργέῃ. [65] ποιέειν δὲ καὶ ἄλλως. [66] ἀπὸ τῆς πρώτης ἡμέρης ἀρξάμενος, δίδου ἄρου τοῦ μεγάλου κόγχην χοιραμίδα, [67] δαύκου καὶ ἀκαλήφης μίην, [68] καὶ νάπυος καὶ πηγάνου ὅσον τοῖσι τρισὶ δακτύλοισι λαβεῖν, [69] καὶ ὀπὸν σιλφίου ὅσον κύαμον· [70] ταῦτα ἐν ὄξει γλυκεῖ καὶ ὕδατι κεράσας καὶ διηθήσας δίδου νήστει χλιαρόν. [71] ἐπὴν δὲ ἄρχηται καθαρὸν ἐκπτύειν, ἄρου χοιραμίδα, καὶ σήσαμον, καὶ ἀμύγδαλα καθαρὰ, ἐν ὄξει γλυκεῖ κεκρημένῳ πίνειν. [72] ἢν δὲ μᾶλλον βούλῃ ἄγειν, καππάριος τῆς ῥίζης φλοιὸν μιγνύναι τουτέοισιν.

XIX. Πλευρῖτις. [2] Ὁκόταν δὲ πλευρῖτις λάβῃ, τάδε πάσχει. [3] ὀδύνη τὴν πλευρὴν, [4] καὶ πυρετὸς καὶ φρίκη ἴσχει. [5] καὶ ἀναπνεῖ πυκνὸν, [6] καὶ ὀρθοπνοίη ἴσχει. [7] καὶ ἀναβήσσει ὑπόχολα οἷον ἀπὸ σιδίου, ἢν μὴ ῥήγματα ἔχῃ·

que valde suppressam esse, ut ne febres sint acutæ: [59] neque valde egerere, quo saliva sursum educi possit, & æger viribus valeat. [60] At medicamenta sursum educentia, sexta & septima ac nona die, & morbo adhuc ulterius progresso, magis exhibeto. [61] Sit autem medicamentum, veratrũ album, thapsia, elaterium recens, singula æquis portionibus.

XIIX. [62] Quod si saliva non probe purgetur, & spiritus fuerit frequens, & purgatio non prævaleat, [63] prædicendum est nullam spem vitæ reliquam esse, si purgatione nihil efficere possit. [64] Sed & alia facienda sunt quæ in peripneumonia fieri solent, si inferna alvus ministerium suum probe obierit. [65] Quin & aliter facere curationem oportet. [66] A prima die initio sumpto, ari magni conchulam majorem dato, [67] dauci & urticæ utriusque itidem unam, [68] sinapis & rutæ quantum tribus digitis comprehendere potes, [69] & succum silphii magnitudine fabæ. [70] Hæc in aceto dulci & aqua permixta & diluta ac excolata, jejuno tepida bibenda dato. [71] Postquam vero purum exspuere cœperit, ari conchulam majorem, & sesamum, & amygdalas purgatas, in aceto dulci aqua diluto bibenda præbeto. [72] Si vero magis ducere voles, radicis capparis corticem his ammisceto.

XIX. Pleuritis. [2] Quum pleuritis apprehenderit, hæc patitur. [3] Dolor latus, [4] & febris & horror tenet, [5] & frequentem spiritum habet, [6] & erectæ cervicis spiratio urget, [7] & tussiendo rejicit subbiliosa, velut à mali punici corio, si non ruptiones ha-

bucrit:

ἔχῃ. [8] ἢν δὲ ἔχῃ, καὶ αἷμα ἀπὸ τῶν ῥηγμάτων. [9] ἔστι δὲ καὶ αἱματώδης. [10] ἐν δὲ τῇ αἱματώδει, ὕφαιμα. [11] ἔστι δὲ, ἡ μὲν χολώδης, ἠπιωτέρη, ἢν μὴ ῥήγματα ἔχῃ ὁ κάμνων· [12] εἰ δὲ μὴ, ἐπιπονωτέρη μὲν, θανατωδεστέρη δὲ οὔ. [13] ἡ δὲ αἱματώδης ἰσχυρὴ καὶ ἐπίπονος καὶ θανατώδης. [14] ὁπόταν οὖν προσέῃ καὶ λύγξ ἅμα, [15] καὶ αἵματος θρόμβους ἀποβήσσῃ ἅμα τῷ σιάλῳ μέλανας, [16] οὗτος ἀποθνήσκει ἑβδομαῖος. [17] δέκα δὲ ἡμέρας διαφυγὼν τὴν μὲν πλευρῖτιν ὑγιὴς γίνεται· [18] εἰκοστῇ δὲ ἐκπυΐσκεται καὶ ἀποβήσσει πῦον· [19] τελευτῶν δὲ, ἀπεμέει. [20] καὶ πάνυ εὐθεράπευτος οὐ γίνεται.

XX. Ξηραὶ πλευρίτιδες. [2] Εἰσὶ δὲ καὶ ξηραὶ πλευρίτιδες ἄπτυστοι. [3] χαλεπαὶ δὲ αὗται. [4] αἱ δὲ κρίσιες ὅμοιαι τῇσιν ἄλλῃσιν, ὑγρασίη[ς δὲ] πλείονος δέονται τῶν ἄλλων ἐν τῷ ποτῷ. [5] αἱ δὲ χολώδεες καὶ αἱματώδεες κρίνουσιν ἐναταῖαι ἢ ἑνδεκαταῖαι. [6] καὶ οὗτοι ὑγιέες μᾶλλον γίνονται. [7] ἢν δὲ κατ' ἀρχὰς μὲν μαλθακάς τινας ἔχωσιν ὀδύνας, ἀπὸ τῆς πέμπτης δὲ καὶ ἕκτης ὀξείας, [8] αὗται δὲ τελευτῶσι μέχρι δυωδεκάτης, καὶ οὐ μάλα ἐκφεύγουσι. [9] κίνδυνος δὲ μάλιστα μέχρις ἑβδόμης· [10] ἀτὰρ καὶ ἐς τὴν δυωδεκάτην. [11] μετὰ δὲ ταύτας ὑγιαίνονται. [12] αἱ δὲ ἐξ ἀρχῆς μὲν μαλθακαὶ, ἀπὸ δὲ τῆς ἑβδόμης καὶ ὀγδόης ὀξεῖαι, πρὸς τὰς τεσσαρεσκαιδεκάτας κρίνουσί τε καὶ ὑγιαίνονται.

XXI. Πλευρῖτις ἐν νώτῳ. [2] Ἡ δὲ ἐς τὸ νῶτον πλευρῖτις τοσόνδε διαφέρει τῶν ἄλλων. [3] τὸ νῶτον ὀδυνᾶται ὡς πληγῆς. [4] καὶ στένει, καὶ ἀναπνεῖ ἀθρόον. [5] πτύει δὲ εὐθὺς ὀλίγα. [6] καὶ κοπιᾷ

bucerit: [8] si vero habuerit, etiam sanguinem à ruptionibus. [9] Est autem & sanguinea pleuritis, [10] in qua subcruenta rejicit. [11] Et est quidem biliosa, mitior, si non ruptiones æger habeat: [12] sin minus, dolorosior quidem est, sed non lethalior. [13] & sanguinea fortis, & dolorosa, & lethalis est. [14] Quum igitur affuerit simul singultus, [15] simulque cum saliva sanguinis grumos nigros tussiendo rejecerit, [16] septima die moritur. [17] Si vero dies decem transgressus fuerit, à pleuritide quidem sanus fit, [18] verum vigesima suppuratur, & pus tussiendo rejicit, [19] demum vero revomit, [20] & non adeo facilis curatu est.

XX. Pleuritides siccæ. [2] Sunt & siccæ pleuritides sine sputo. [3] Verum hæ difficiles sunt. [4] Judicationes autem similes aliis sunt, sed ampliore in potu humectatione opus habent quam aliæ. [5] Biliosæ vero & sanguineæ, nona & undecima die judicant, [6] atque hi magis sani fiunt. [7] At si à principio quidem molles quidam tenuerint dolores, à quinta vero ac sexta die acuti, [8] hi usque ad duodecimum perveniunt, & non valde effugiunt. [9] Periculum autem maxime est, usque ad septimum. [10] immo etiam usque ad duodecimum. [11] Post has vero sanantur. [12] Quæ vero ab initio molles sunt, à septima autem & octava acutæ ad decimumquartum judicant, & sani fiunt.

XXI. Pleuritis ex dorso. [2] Pleuritis ad dorsum in tantum ab aliis differt: [3] dorsum dolet velut ex plaga, [4] & suspirat, & acervatim respirat. [5] Statim autem spuit pauca, [6] & corpus delassatur.

κοπιᾷ τὸ σῶμα. [7] τρίτῃ ἢ τετάρτῃ οὐρεῖ ἰχῶρας ὕφαιμον· [8] ἀποθνήσκει δὲ μάλιστα πεμπταῖος· εἰ δὲ μή γε, ἑβδομαῖος. [9] ταύτας δὲ διαφυγὼν ζῇ. [10] καὶ ἡ νοῦσος ἠπίη καὶ ἧσσον θανατώδης. [11] φυλάσσειν δὲ χρὴ μέχρι τῶν τεσσαρεσκαίδεκα· μετὰ δὲ ταῦτα ὑγιὴς γίνεται. [12] ἐνίοισι δὲ τῶν πλευριτικῶν, τὸ μὲν σίαλον καθαρόν· [13] ἡ δὲ οὔρησις αἱματώδης, οἷον ἀπὸ κρεῶν ὀπτῶν ἰχωρώδες. [14] ὀδύναι δὲ ὀξεῖαι διὰ τοῦ ῥάχιος ἐς τὸ στῆθος καὶ ἐς τὸν βουβῶνα τείνουσιν. [15] οὗτος τὴν ἑβδόμην διαφυγὼν ὑγιαίνει. [16] ὁκόταν δὲ τούτων τῶν πλευριτικῶν τινὶ προσγένηται τὸ νῶτον ἐρυθριᾶν, [17] καὶ τοὺς ὤμους θερμαίνεσθαι, [18] καὶ ἀνακαθίζοντα βαρύνεσθαι, [19] καὶ ἡ γαστὴρ ἐκταράσσεται χλωρᾷ καὶ δυσώδεϊ σφόδρα· [20] οὗτος, διὰ τὴν ὑποχώρησιν τῆς γαστρὸς, εἰκοστῇ καὶ μιῇ ἀποθνήσκει. [21] ταύτας δὲ διαφυγὼν, ὑγιαίνει. [22] οἷσι δὲ αἱ πτύσιες εὐθὺς παντοδαπαί εἰσι, καὶ τὰ ἀλγήματα πάνυ ὀξέα, οὗτοι τριταῖοι θνήσκουσι. ταύτας δὲ διαφυγόντες ὑγιέες γίνονται. [23] ὁ δὲ μὴ γενόμενος ὑγιὴς, τῇ ἑβδόμῃ, ἢ τῇ ἐνάτῃ, ἢ τῇ ἑνδεκάτῃ ἄρχεται ἐμπυΐσκεσθαι. [24] κρεῖσσον δὲ ἐμπυῆσαι, κἢν ἐπίπονον ᾖ· ἧσσον γὰρ θανατῶδες. [25] πρὸς δὲ τοῖσι σημείοισι τοῖσιν εἰρημένοισιν ἐν ἑκάστῃ τῶν πλευριτίδων, καὶ τήνδε χρὴ σκοπέεσθαι τὴν γλῶσσαν. [26] ἢν πομφόλυγος γὰρ ὑποπελίδνου γενομένης ἐπὶ τῆς γλώσσης, [27] οἷα σιδηρείου βαφέντος ἐς ἔλαιον, [28] ἢν μὲν ἐν ἀρχῇ γένοιτο τρηχεῖα, χαλεπωτέρη ἡ ἀπαλλαξις τῆς νούσου, [29] καὶ ἀνάγκη αἷμα ἀποπτύσαι ἐν τῇσιν ἡμέρῃσιν ἐν ᾗσι δεῖ. [30] ἢν δὲ προκεχωρηκυίης τῆς νούσου γένοιτο, αἱ

lassatur. [7] Tertia aut quarta die saniem mingit subcruentam. [8] Moritur autem maxime quinta die: sin minus, septima. [9] Has si effugerit, vixerit. [10] Et morbus lenis est ac minus lethalis. [11] Custodire tamen oportet usque ad decimumquartum. Postea vero sanus evadit. [12] Cæterum quibusdam pleuriticis saliva quidem pura est, [13] mictio autem cruenta, velut serosa à carnibus assatis sanies: [14] dolores vero acuti per spinam ad pectus, & ad inguen tendunt. [15] Hic si septimum diem effugerit, sanus fit. [16] At si alicui in his pleuritidibus contingat dorsum rubefieri, [17] & humores calescere, [18] & inter desidendum gravari, [19] & venter exturbatur egestione cum virore pallida, ac valde graveolenti, [20] hic propter ventris egestionem, vigesima prima die moritur. [21] Has si effugerit, sanus fit. [22] Quibus autem statim sputa varia sunt, & dolores valde acuti, hi tertia die moriuntur. Hanc autem transgressi, sanescunt. [23] Qui vero sanus non fit, septima, aut nona, aut decima, hic suppurari incipit. [24] Melius est autem suppuratum fieri, etiamsi dolorosum sit. Minus enim lethale est. [25] Porro supra omnia relata signa, in unaquaque pleuritide considerare oportet linguam. [26] Si enim bulla sublivida fiat in lingua, [27] velut ferro in oleum tincto, [28] siquidem in principio fiat aspera, difficilior est morbi emotio, [29] & necesse est sanguinem tussiendo rejicere in diebus, quibus id fieri oportet. [30] Si vero facto morbi progressu fiat, judicationes quidem contingent ad decimum quartum

diem

αἱ μὲν κρίσιες ἐς τὴν πεμπταίην ἢ δεκάτην ἡμέρην. 31 ἀνάγκη δὲ πλύσαι αἷμα. 32 ἔχει δὲ οὕτως περὶ τῆς ἀπαλλάξιος. 33 εἰ μὲν τριταῖος ἄρχοιτο πεπαίνεσθαι καὶ πλύεσθαι, θᾶττους αἱ ἀπαλλάξιες. 34 εἰ δὲ ὕστερον πεπαίνοιτο, ὕστερον καὶ αἱ κρίσιες γίνονται, ὡς ἐν τοῖσι τῆς κεφαλῆς σημηίοισι. 35 τὰ δὲ ἀλγήματα, τὰ ἐν ἁπάσῃσι τῇσι πλευρίτισιν, ὡς ἐπὶ τὸ πολὺ κουφίζει μεθ' ἡμέρην μᾶλλον, ἢ νύκτωρ.

30 XXII. 36 Θεραπεύειν δὲ χρὴ τὰς πλευρίτιδας οὕτως. 37 τὰ μὲν πολλὰ, ὡς τὴν πλευρῖτιν καὶ περιπλευμονίην, 38 πλὴν λουτροῖσι χρῆσθαι θερμοῖσι, καὶ οἴνοισι γλυκέσιν. 39 ἢν μὲν οὖν τῇ πρώτῃ ἢ τῇ ἐπιούσῃ λάβῃς τῆς ἐπιλήψιος, 40 ἢν μὲν ὑπολελυμένη ἡ κόπρος καθαρὴ, ἢ ἀτρέμα χολώδης καὶ ὀλίγη, 41 ὑποκλύσαι θαψίῃ. 42 ἢν δὲ κινηθεῖσα ἡ κοιλίη τὴν μὲν νύκτα χαλάσῃ, τῇ δὲ ὑστεραίῃ ὀδύνη καὶ στρόφος ἔχῃ, πάλιν ὑποκλύσαι. 43 ἢν δὲ ὁ κάμνων χολώδης ᾖ τῇ φύσει, 35 καὶ ληφθῇ τῇ νόσῳ ἀκάθαρτος ἐών, 44 πρὶν ἀναπλύεσθαι τὸ σίαλον χολῶδες, καὶ τῷ φαρμάκῳ καθῆραι χολὴν εὖ. 45 ἐκπλύοντι δὲ ἤδη χολώδεα μὴ δίδου τὸ φάρμακον. 46 ἢν γὰρ δῷς, τὸ πλύσμα οὐ δυνήσεται ἄνω ἀνιέναι, 47 ἀλλ' ἑβδομαῖος ἢ ἐναταῖος ἀποπνιγήσεται, 48 ἢν μάλιστα τὰ ὑποχόνδρια ἀλγέῃ.

XXIII. 49 Ἢν δὲ πρὸς τῇσιν ἐν τῇσι πλευρῇσιν ὀδύνῃσιν καὶ τὰ ὑποχόνδρια ἀλγέῃ, ὑποκλύσαι δεῖ, 50 καὶ νῆστιν δοῦναι πίσαι ἀριστολοχίην, καὶ ὕσσωπον, καὶ κύμινον, καὶ σίλφιον, 40 51 καὶ μήκωνα λευκὴν, 52 καὶ ἄνθος χαλκοῦ, καὶ μέλι, καὶ ὄξος, καὶ ὕδωρ. 53 καὶ ἐπὴν μὲν τὰ φάρμακα

οὕτω

diem. 31 Verum necesse est sanguinem spuere. 32 Habet autem se res de liberatione ab hoc morbo, hoc modo. 33 Siquidem tertia die inceperit maturari ac expui, citius liberabitur. 34 Si vero posterius maturescat, posterius judicationes fiunt, quemadmodum in capitis signis. 35 Dolores porro in omni pleuritide, plerunque magis interdiu quam noctu leviores fiunt.

XXII. 36 Curare vero pleuritidas hoc modo oportet, 37 ut plurimum velut phrenitidem & peripneumoniam, 38 præterquam quod hic balneis calidis & vino dulci utendum est, 39 Si igitur prima aut secunda die, postquam invasit, ægrum accesseris, 40 si stercus prodiit purum aut leviter biliosum & modicum, 41 infusum ex thapsia per clysterem injicito. 42 Si vero alvus commota, noctu quidem egerat, postridie vero dolor & tormen vexet, rursus clysterem adhibeto. 43 At si æger biliosus sit natura, & non purgatus correptus fuerit à morbo, 44 priusquam salivam biliosam expuat, etiam medicamento bilem probe purgato. 45 Si vero jam expuat biliosa, medicamentum ne dederis. 46 Si enim dederis, sputum sursum prodire non poterit, 47 sed septima aut nona die suffocabitur: 48 maxime si præcordia doleant.

XXIII. 49 Quod si ad dolores in lateribus etiam præcordia doleant, clysterem adhibere oportet: 50 & in potu jejuno bibendam dare aristolochiam, hyssopum, cuminum, silphium, peplum, 51 mecona appellatum album, 52 florem æris, mel, acetum, & aquam. 53 Et per medi-

camenta

οὕτω δεῖ ποιέεσθαι τὰς θεραπείας τὰς πρώτας. 54 τὰ δ' ἄλλα ὧδε ἔχει. 55 λούειν πολλῷ θερμῷ, πρὸς τὴν δύναμιν τοῦ κάμνοντος, πλὴν τῆς κεφαλῆς. 56 Καὶ ὁκόταν αἱ κρίσιες ἔωσι, τὰ ὀδυνώμενα χλιαίνειν ὑγρῇσι πυρίῃσιν, καὶ ὑπαλείφειν ἐλαίῳ.

XXIV. 57 Ὁκόταν δὲ καταιγίζωσιν αἱ νοῦσοι, 58 ἡσυχάζειν καὶ τὸν κάμνοντα καὶ τὸν ἰητρὸν τῇσι θεραπείῃσιν, 59 ὅκως μὴ κατεργάσηταί τι κακόν. 60 πτισάνης δὲ χυλὸν κάθεφθον διδόναι, ὀλίγῳ παχύτερον μελικρηκοποιέων. 61 μετὰ δὲ τὰ λουτρὰ, καὶ οἶνον γλυκὺν καὶ ὑδαρέα πιπίσκειν, μὴ ψυχρὸν, 62 ὀλίγον δὲ ἐκ βομβυλίου στενοστόμου, 63 ὁκόταν βῆχες ἐπιῶσιν, ἐπιπίνειν, καὶ χρέμπτεσθαι ὡς μάλιστα, 64 καὶ τῷ ποτῷ ὑγραίνειν, 65 ἵνα ὁ πλεύμων, ὑγρότερος ἐὼν, ῥᾷον καὶ θᾶσσον ἀποδιδῷ τὸ πτύσμα, καὶ ἡ βὴξ ἧσσον πονέῃ. 66 καὶ ῥοιῆς δὲ γλυκέης ἢ οἰνώδεος χυλὸν, γάλακτι αἰγείῳ ὀλίγῳ καὶ μέλιτι μιγνὺς, κατὰ μικρὸν πολλάκις δίδου. 67 νύκτωρ τε καὶ μεθ' ἡμέρην καὶ ὕπνον ὡς μάλιστα διακωλύειν, ἵνα κάθαρσις γένηται, θᾶσσόν τι καὶ πλεῖον.

XXV. 68 Τὴν δὲ αἱματώδεα πλευρῖτιν θεραπεύειν χρὴ ὧδε. 69 μετὰ δὴ τὰς κρίσιας ἀνακομίζειν σιτίοισι κούφοισι, καὶ ἡσυχάζειν. 70 καὶ φυλάσσεσθαι περιουσίως ἡλίους, ἀνέμους, πλησμονὰς, ὀξέα, ἁλυκὰ, λιπαρὰ, καπνὸν, φύσας τὰς ἐν τῇ κοιλίῃ, πόνους, λαγνείας. 71 ἢν γὰρ ἡ νοῦσος ὑποστρέψῃ, θάνατος ἕψεται. 72 ἐν δὲ τῇσι πτύσεσιν, ἢν ὀδύνη τε ἔχῃ, καὶ μὴ δύνηται ἀποπτύειν, 73 νήστει δίδου ἄνθος χαλκοῦ ὅσον κοκκάδα, καὶ ὀποῦ σιλφίου τούτου τὸ ἥμισυ, καὶ τριφύλλου καρποῦ ὀλί-

camenta quidem ita primas curationes facere oportet. 54 Reliqua vero sic se habent. 55 Multa calida pro viribus ægri lavato, capite excepto: 56 & quum judicationes sunt, dolentes locos humidis fomentis tepefacito, & oleo illinito.

XXIV. 57 Quum vero impetu fertur morbus, 58 & ægrum & medicum à curationibus quiescere convenit, 59 ne quid mali inducatur. 60 Dandus autem est ptisanæ succus coctus, aliquanto crassior spissitudine mellis. 61 Post balnea etiam vinum dulce & aquosum bibendum est, non frigidum, 62 modicum, ex angusti oris pocillo, 63 & ubi tusses invaserint, amplius bibendum, & quam maxime exscreandum, 64 & potu humectandum, 65 quo pulmo humidior factus, facilius ac citius sputum reddat, & tussis minus affligat. 66 Sed & mali punici dulcis vinosi succum, lacte caprino modico, & melle ammixto, paulatim sæpe dato, 67 & noctu & interdiu, & somnum quam maxime prohibeto, quo purgatio & citius & copiosior fiat.

XXV. 68 At vero sanguineam pleuritidem sic curare oportet. 69 Post judicationes cibis levibus reficito, & quietem agat: 70 & nimium caveat solem, ventos, repletiones, acida, salsa, pinguia, fumum, flatus in alvo, laborem, venerem. 71 Si enim morbus recidivarit, mors sequetur. 72 In expuitionibus autem si dolor habeat, & expuere non possit, 73 jejuno æris florem dato, magnitudine olivæ, & succi silphii dimidium ejus, & trifolii seminis modicum. Hæc ex mel-

τον ἐν μέλιτι λείχειν. 74 ἢ πεπέρεως κόκκους πέντε, καὶ ὀποῦ σιλφίου ὅσον κύαμον, καὶ μέλι, καὶ ὄξος, καὶ ὕδωρ πίνειν χλιαρὸν νῆστιν διδοὺς. 75 τοῦτο καὶ τὰς ὀδύνας παύει. 10 76 ἢν δὲ μὴ δύνηται πτύειν κατὰ λόγον, ἀλλ' ἐνίσχηται ἐν αὐτῷ, καὶ ῥέγχῃ ἐν τοῖσι στήθεσιν, 77 ἄρου τοῦ μεγάλου ῥίζης χημαμίδα, καὶ ἔλαιον ξὺν μέλιτι μίξας, 78 ἐπιρροφεῖν δὲ ὄξος κεκρημένον. 79 ἄλλο ἰσχυρόν. ἄνθος χαλκοῦ ὅσον κύαμον, καὶ νίτρον διπλάσιον, καὶ ὕσσωπον ὅσον τοῖσι τρισὶ δακτύλοισι λαβεῖν, 80 μέλιτι μίξας, καὶ ὕδωρ καὶ ἔλαιον μικρὸν ἐπιστάξας, χλιήνας χημαμίδι ἐγχέειν, ἵνα μὴ ἀποπνιγῇ. 81 καὶ ἐν περιπλευμονίῃ, ἢν μὴ καθαίρηται, τοῦτο δεῖ ποιέειν. 15 82 ἢν δὲ μήτε ῥέγχῃ, μήτε πτύῃ, ὡς δεῖ, καππάριος καρποῦ ὅσον τοῖσι τρισὶ δακτύλοισι λαβεῖν, καὶ πέπερι, καὶ νίτρον ὀλίγον, καὶ μέλι, καὶ ὄξος, καὶ ὕδωρ μίξας, τοῦτο χλιαρὸν ἐπιρροφεῖν. 83 τῇ δὲ ἄλλῃ ἡμέρῃ, ἐν ὄξει καὶ μέλιτι καὶ ὕδατι ἀναζέσας ἐπιρροφεῖν. 84 τοῦτο καὶ τοῖσι ῥέγχουσι διδόναι, καὶ μὴ δυναμένοισι καθαίρεσθαι. 85 εἰ καὶ ἰσχυρότερον βούλοιο ποιέειν, ὑσσώπου, καὶ νάπυος, καὶ καρδάμου κόγχην χημαμίδα τρίψας ἐν μέλιτι καὶ ὕδατι, καὶ ἀναζέσας καὶ 20 διηθήσας ἐπιρροφεῖν χλιαρὸν δίδου.

XXVI. Οὕτω ταῦτα τὰ νοσήματα θεραπευθέντα ὑγιέα γίνονται, 2 ἢν μή τι τοῦ πτύσματος, ὑπολειφθὲν ἐν τῷ πλεύμονι, πύον γένηται. 3 ὑφ' οὗ βήσσουσι ξηρὰ βηχία. 4 καὶ πῦρ καὶ φρίκη ἴσχει, 5 καὶ ὀρθοπνοίη ἴσχει, καὶ πυκνὸν καὶ ἀθρόον ἀναπνεῖ. 6 καὶ ἡ φωνὴ

le delingat: 74 Aut piperis grana quinque, & succi silphii magnitudinem fabæ, mel, acetum, & aquam, jejuno tepida bibenda præbeto. 75 Hoc etiam dolores sedat. 76 Quod si pro ratione spuere non possit, sed moretur sputum hærens in ipso, & stertat in pectore, 77 ari magni radicis conchulam majorem, & oleum ac acetum mixta dato, 78 & acetum aqua dilutum insuper bibat. 79 Aliud forte. Florem æris magnitudine fabæ, & nitrum assatum dupla portione, & hyssopi quantum tribus digitis comprehendi potest, 80 melli misceto, & aquam ac oleum modicum adstillato, & tepefacta in conchula majore infundito, ut ne suffocetur. 81 Hoc etiam in peripneumonia facere oportet, si non purgetur. 82 Si vero neque stertat, neque velut oportet spuat, capparis fructus quantum tribus digitis comprehendi potest, & piper, & nitrum modicum, & mel, & acetum, & aquam misceto, atque hæc tepida sorbenda præbeto. 83 Altera die eadem in aceto, melle, & aqua fervefacta sorbeat. 84 Hoc etiam stertentibus dato, & his qui purgari non possunt. 85 At si fortius facere voles, hyssopi & sinapis, & nasturtii concham majorem, melle & aqua terito, & fervefacta ac excolata, tepida sorbenda dato.

XXVI. Atque hoc modo hi morbi curati sanantur, 2 si non quid sputi in pulmone relictum pus fiat, 3 à quo arida tussis sequitur, 4 & febris ac horror emergunt, 5 & erecta cervice spiratio tenet, & frequentem & acervatam respirationem æger habet, 6 & vox paulo gravior,

φωνὴ βαρυτέρη ὀλίγον. 7 καὶ χροιὴ ξὺν τῇ θέρμῃ τὸ πρόσωπον ἴσχει. 8 προϊόντος δὲ τοῦ χρόνου, μᾶλλον καὶ ἡ νοῦσος σάφα δηλοῦται. 9 τοῦτον, ἢν ἐντὸς τῶν δέκα ἡμερέων λάβῃς, 25 θερμήναντα ' χρὴ διαίτῃ καὶ λουτρῷ θερμῷ, ἐγχέαι ἐς τὸν πλεύμονα, ὅ, τι πύον ἄξει. 10 καὶ τοῖσιν ἄλλοισι χρῆσθαι, τοῖσι τὸ πύον ἄγουσι, 11 καὶ διαιτᾷν, ὡς ἔμπυον. 12 καὶ τὴν κεφαλὴν ἀποξηραίνειν, ἵνα μὴ ἐπιρρέῃ. 13 ἢν δὲ ἐν τῷ ἐγχύτῳ μὴ ἀνάγηται τὸ πύον, ῥήγνυται αὐτὸ ἐκ τοῦ πλεύμονος ἐς τὸν θώρηκα. 14 καὶ μετὰ τὴν ῥῆξιν δοκέει ὑγιὴς εἶναι, ὅτι ἐκ τῆς στενοχωρίης ἐς τὴν εὐρυχωρίην ἦλθε τὸ πύον. 15 καὶ τὸ πνεῦμα, ὃ ἀναπνέομεν, ἕδρην ἔχει ἐν τῷ πλεύμονι. 16 30 προϊόντος ' δὲ τοῦ χρόνου, τὰ στήθεα πύου πληροῦται. 17 καὶ βῆχες, καὶ πυρετοὶ, καὶ τ' ἄλλα ἀλγήματα πάντα μᾶλλον πιέζει αὐτὸν, 18 καὶ ἡ νοῦσος διαδηλοῦται. 19 τοῦτον, μετὰ τὴν ἔκρηξιν, ἐᾶσαι δεῖ ἡμέρας πεντεκαίδεκα, ὅκως πάλιν πεπανθῇ τὸ πύον. 20 ἅτε γὰρ ἐς εὐρυχωρίην ἐλθὸν τὸ πύον, ἀνέψυξέ τε 21 καὶ τὸ ὑπάρχον ὑγρὸν ἐν τῷ θώρακι προσηγάγετο πρὸς ἑωυτὸ, ὥστε αὐτὸ ἡμισαπὲς εἶναι. 22 ἢν μὲν οὖν αὐτόματον ἄρξηται πτύεσθαι ἐν τούτῳ τῷ χρόνῳ. 23 ἢν [δὲ] 35 μὴ, φαρμάκοισι ' τιμωρέειν, ἢ ποτοῖσιν. 24 ἐν [δὲ] τῇσι τελευταίῃσιν ἡμέρῃσι τῶν ἡμερέων τῶν πεντεκαίδεκα σπεύδειν ἀναστῆσαι, πρὶν μᾶλλον τρύχεσθαι τὸ σῶμα, 25 φυλάσσων τὴν κεφαλὴν καθαρὴν, τῶν ἐπιρρόων εἵνεκα. 26 ἢν δὲ μὴ πτύηται, ἀποσημαίνηται δὲ ἐς τὰς πλευρὰς, ταμέειν ἢ καῦσαι. 27 ἢν δὲ μήτε πτύηται, μήτε ἀποσημαίνηται

vior, 7 & color cum calore faciem occupat. 8 Progressu vero temporis, morbus magis manifestus redditur. 9 Hunc si intra decem dies susceperis, ubi ' victu & balneo calido calefeceris, 340 medicamentum quod pus ducat in pulmonem infundito, 10 aliisque pus ducentibus utitor, 11 atque sic velut suppurato victus rationem præscribas. 12 Caput quoque resiccato, ut ne quid influat. 13 Si vero ex eo quod in pulmonem infusum est, pus non educatur, rumpitur hoc ipsum ex pulmone in thoracem, 14 & post ruptionem sanus esse videtur, quoniam ex angustia ad ' amplam capacitatem pus 345 pervenit, 15 & spiritus quem respirando attrahimus, in pulmone locum ac sedem habet. 16 Verum progrediente tempore pectus pure impletur, 17 & tusses, & febres, & alii dolores omnes magis ipsum premunt, 18 & morbus inclarescit. 19 Hunc post eruptionem per quindecim dies sinere oportet, quo pus rursus maturescat. 20 Nam ex eo quod pus ad ampliorem locum devenit, ' perfrigeratum est: 21 & 350 id quod in thorace humidi erat, ad seipsum attraxit, ita ut ipsum sit semiputrefactum. 22 Siquidem igitur sua sponte expui incipiat in hoc tempore, bene est. 23 Sin minus, medicamentis aut potionibus opem ferre oportet, 24 in ultimis ex quindecim illis diebus, festinando ad corporis excitationem antea quam magis affligatur, 25 ita ut caput purum custodias, influxionum gratia. 26 Si vero non ' spuatur, sed sui 355 significationem ad latera præbeat, secato aut urito. 27 At si neque spuatur, neque ad latera

σημαίνηται ἐς τὰς πλευράς, 28 λούσας πολλῷ καὶ θερμῷ νῆστιν, καὶ ἄποτον καθίσας ἐπὶ ἕδρης ἀκινήτου· 29 ἕτερος δὲ τῶν ὤμων ἀναλαβέτω. 30 αὐτὸς δὲ σεῖε τοῦτον, τὸ οὖς παραβάλλων πρὸς τὰς πλευράς, 31 ἵν' εἰδῇς, ὁκοτέρωθεν ἀποσημαίνει. 32 βούλου δὲ μᾶλλον πρὸς τὰς ἀριστεράς. 33 θανατωδέστερον γὰρ πρὸς τὰς δεξιὰς καίειν ἢ τάμνειν. 34 ὁκόσῳ γὰρ αὐτὰ ἰσχυρότερά ἐστι τὰ δεξιά, τόσῳ καὶ τὰ νοσήματα ἐν αὐτοῖσιν ἰσχυρότερα δείκνυται.

XXVII. Ἢν δὲ ὑπὸ πάχεος τὸ ὑγρὸν μὴ κλυδάζηται, 2 μηδὲ ψόφος ἢ ἐν τῷ στήθει, 3 πυκνὸν δὲ ἕλκῃ τὸ πνεῦμα, 4 καὶ οἱ πόδες οἰδέωσι, 5 καὶ βηχώδης τι προσῇ, 6 μὴ ἐξαπατάτω, ἀλλ' εὖ ἴσθι πλήρη ἐόντα τὸν θώρηκα πύου. 7 ἐς τὴν ἐρετριάδα γῆν ὑγρὴν καὶ λίην τετριμμένην καὶ χλιαρὴν ἐμβάψας ὀθόνιον λεπτὸν, περικάλυψον κύκλῳ τὸν θώρηκα. 8 καὶ, ὅκου ἂν πρῶτον ξηραίνηται, ταύτῃ χρὴ τάμνειν ἢ καίειν, 9 ὡς ἐγγυτάτω τῶν φρενῶν, 10 φυλασσόμενος αὐτῶν τῶν φρενῶν. 11 ἢν δὲ βούλῃ, ἄλειφον τῇ ἐρετριάδι σκόπει ὁμοίως, ὡς ἐν τῷ ὀθονίῳ. 12 πολλοὶ δὲ ἅμα ἀλειφόντων, ἵνα μὴ τὰ πρῶτα ἀλειφόμενα ἀποξηραίνηται. 13 μετὰ δὲ τὴν τομὴν ἢ τὴν καῦσιν, τῷ μοτῷ ἐκ τοῦ ὠμολίνου χρῶ. 14 καὶ ἐξίει κατ' ὀλίγον τὸ πῦον.

XXIIX. Ὁκόταν δὲ μέλλῃς τάμνειν ἢ καίειν, 2 ἀποσημαίνου τὸ αὐτὸ σχῆμα ἔχοντα, ὅπερ ἂν, ὁκόταν μέλλῃς τάμνειν ἢ καίειν, 3 ἵνα μὴ ἐξαπατήσῃ, ἀνωτέρω γινόμενον ἢ κατωτέρω τὸ δέρμα ἐν τῇ μεταβολῇ τοῦ σχήματος. 4 καὶ τὰς βῆχας φυλάσσειν ἐκ τῆς διαίτης, 5 ὅκως μὴ αὖθι-

de se significationem præbeat, 28 ubi multa calida jejunum lavasti, & neque potu usum in firma sella locasti, 29 alter ex humeris ipsum apprehendat, 30 tu vero concute ipsum, aure ad latera admota, 31 quo percipias ex utra parte significationem sui præbeat. 32 Optandum autem esset ex sinistra. 33 Nam dextras urere aut secare lethalius est. 34 Quanto enim robustiores sunt dextræ partes, tanto etiam fortiores morbi in ipsis fiunt.

XXVII. Quod si præ crassitudine humor non fluctuet, 2 neque strepitus sit in pectore, 3 verum spiritum frequentem trahat, 4 & pedes intumescant, 5 & tussicula aliqua adsit, 6 ne te decipiant hæc, sed thoracem pure plenum esse probe noris. 7 Proinde in terra eretriade liquida, & valde trita ac tepida, linteum tenue tingito, eoque thoracem circumcirca integito: 8 & qua parte primum resiccatum fuerit, ea secato aut urito, 9 quam proxime ad septum transversum, 10 cavendo tamen ne hoc ipsum lædas. 11 Si vero voles, ipsam terram eretriadem illinito, & similiter velut in linteo considerato. 12 Multi simul illinunt, ne quæ primum illinuntur resiccentur. 13 Post sectionem aut ustionem, linamento ex lino crudo utere, 14 & paulatim pus emitte.

XXIIX. Cæterum ubi secare vel urere voles, 2 corpori in eadem figura, in qua inter secandum aut urendum futurum est, notam imprimito, 3 ut ne cutis te decipiat, si in figuræ transmutatione sursum aut deorsum magis cedat. 4 Sed & tusses vitare oportet ex victu, 5 ut ne rursus

ἀντισπάσωσι πάλιν ἐς τὸν πλεύμονα τὸ πῦον. ⁶ κακὸν γάρ. ⁷ ἀλλ' ἐᾶν χρὴ τὴν τομὴν ὡς τάχιστα ἀποξηρανθῆναι. ⁸ ἐπειδὰν δὲ δωδεκαταῖος ᾖ, ἅπαν ἀφιέναι τὸ λοιπὸν πῦον, ⁹ καὶ ἀπὸ τοῦ ὀθονίου μοτοῦν, ¹⁰ καὶ ἀφιέναι δὶς τῆς ἡμέρης τὸ πῦον. ¹¹ καὶ τὴν ἄνω κοιλίην ἐκ τῆς διαίτης ὡς μάλιστα ξηραίνειν. ¹² ὧδε χρὴ καὶ τὰς ἐκ τῶν τρωμάτων, καὶ τὰς ἐκ τῆς περιπλευμονίης, καὶ ἐκ καταῤῥόων μεγάλων ἐκπυήσιας, καὶ [ἐκ] προσπεσόντος τοῦ πλεύμονος τῇσι πλευρῇσι, σκοπεῖν καὶ θεραπεύειν.

XXIX. [Ψυκτήρια πόματα ἐν καύσεσι.] ² Ψυκτήρια δὲ τάδε 45 δίδου ἐπὶ τοῖσι καύσοισι πίνειν, ὁκόταν βούλῃ. ³ πολλὰ δὲ ἀπεργάζεται. ⁴ τὰ μὲν γὰρ οὔρησιν ἐμποιέει. ⁵ τὰ δὲ διαχώρησιν. ⁶ τὰ δὲ ἄμφω. ⁷ τὰ δὲ οὐδέτερα, ἀλλὰ ψύχει μοῦνον, ⁸ ὡς ἀγγεῖον ὕδατος ζέοντος εἴ τις ἐπιχέῃ ψυχρὸν ὕδωρ, ἢ ψυχρῷ αὐτὸ τὸ ἀγγεῖον πνεύματι προσαγάγοι. ⁹ δίδου δὲ ἄλλα ἄλλοισιν. ¹⁰ οὔτε γὰρ τὰ γλυκέα πᾶσι ξυμφέρει, ¹¹ οὔτε τὰ στρυφνά, οὔτε τὰ αὐτὰ πίνειν δύνανται.

XXX. Τούτων μὲν, κηρίον ξηρὸν, 46 ὅσον δύο κοτύλας, βρέχων ὕδατι, καὶ ἀνατρίβων γευέσθω, ἕως ἂν ὑπόγλυκυ γένηται, εἶτα διηθήσας, σέλινα ἐμβαλὼν, δίδου πίνειν. ² τούτου δὲ, λίνου καρποῦ ὀξύβαφον, ὕδατος κοτύλας δέκα ἐπιχέας, ἕψειν ἐν καινῇ χύτρῃ ἐπὶ ἀνθράκων ἄζιστον, ἵνα 47 ἀναπνέῃ, ἕως ἂν ὁ χυλὸς ἁπτομένῳ λιπαρὸς γένηται. ³ τούτου δὲ, μελικρήτου 48 ὑδαρέος καθεψήσας τὸ ἥμισυ λείπειν, ἔπειτα σέλινα ἐπιβαλὼν, τοῦτο ψυχρὸν καθ' ὀλί-

γον

rursus pus revellant ad pulmonem. ⁶ Malum enim hoc est: ⁷ quare permittendum est ut ad sectionem quam citissime resiccetur. ⁸ Postquam vero duodecima affuerit dies, reliquum pus totum emittito, ⁹ & ex linteo linamentum indito, ¹⁰ & bis in die pus emittito, ¹¹ & ventrem supernum ex victu quam maxime resiccato. ¹² Atque hoc modo oportet etiam suppurationes ex vulneribus, & ex peripneumonia, & ex magnis destillationibus, & pulmone ad lateres prolapso, considerare ac curare. 375

XXIX. Frigefactoriæ potiones in febre ardenti. ² Frigefactorias potiones in febribus ardentibus, quando voles bibendas dato. ³ Sunt autem multarum operationnm: ⁴ aliæ enim mictionem inducunt, ⁵ aliæ alvi egestionem, ⁶ aliæ utrunque præstant, ⁷ aliæ neutrum, aliæ solum frigefaciunt, ⁸ velut si quis in vas aquæ ferventis frigidam aquam infundat, aut ipsum vas ad frigidum ventum exponat. ⁹ Dabis itaque alias aliis. ¹⁰ Neque enim dulces omnibus conducunt, ¹¹ neque acerbæ, ¹² neque eadem omnes bibere possunt. 380 385

XXX. Favorum siccorum heminarum duarum mensuram aqua macerato, & conterens gustato donec subdulcis aqua fiat, deinde excolato, & injectis apiis bibendam dato. ² Seminis lini acetabulum, aquæ heminis decem affusis, in nova olla prunis imposita coquito, ac fervere sinito ut transpirent, donec succus ad tactum pinguis fiat. ³ Aquam mulsam aquosam ad dimidias coquito, deinde apio 390

injc-

γεν δίδε. [4] τούτῳ δὲ, κρίθας ἀχιλ- 49 λ ηΐδας κοτύλην αὐτῆς, ἄρας τὸ 50 ἀθέρα, καὶ ἀπλύνας δὲ, ἐπιχέας ὕδατος χοέα, ἕψε, καὶ τὸ ἥμισυ ἀπολείπων, ψύχων δίδε πίνειν. [5] τούτῳ δὲ, αἰθιοπικοῦ κυμίνου κοτύλης δέκατον μέρος, ἐπιχέας τρία ἡμιχόεα ἕψε, πηλῷ τριχώδει καταλείψας ἄζειν, ἕως τρίτον μέρος 51 λείπῃ. καὶ ψύχων δίδε τοῦτο πρὸς πάντα καῦσον καὶ λοιπὸν πυρετόν. [6] τούτῳ δὲ, ὕδωρ οὐράνιον αὐτὸ καθ' αὐτό. [7] τούτῳ δὲ, πτισάνης κοτύλη χοέα ὕδατος ἐπιχέας, λείπειν 25 τὸ ἥμισυ ἑψῶν. ἔπειτα διηθήσας, σέλινα ἐπιβαλὼν, δίδε ψυχρόν. [8] τούτῳ δὲ, ἀσταφίδιοι λευκοὶ οἶνοι ὑδαρέες. [9] τούτῳ δὲ, τρύγες σταφυλίτιδες σταφίδων τῶν ὑδαρέες. [10] τούτῳ δὲ, ἀσταφίδος λευκῆς ἄνευ γιγάρτων κοτύλην, καὶ πενταφύλλου ῥιζέων χειροπληθῆ φλάσας, εἴκοσι κοτύλας ὕδατος ἐπιχέας, ἀφεψήσας, καὶ τὸ ἥμισυ λείπων, δίδε ψυχρὸν κατ' ὀλίγον. [11] τούτῳ δὲ, κρίμνων κριθέων ἀδρῶν ἡμιχοίνικα, ὕδατος χοέα ἐπιχέας, ὁκόταν ἤδη 30 ἀνοιδέῃ τὰ κρίμνα, τρίβειν τῇσι χερσὶν, ἕως ἂν λευκὸν τὸ ὕδωρ γένηται, καὶ ἀδιάντου δραχμίδα ἐμβαλὼν, ἀπαιθριάσας δίδε. [12] τούτῳ δὲ, ὠῶν τὸ λευκὸν τριῶν ἢ τεσσάρων καταχυκῶν ἐν ὕδατος χοῒ πινέτω. τοῦτο δὲ ψύχει σφόδρα, καὶ τὴν κοιλίην ὑπάγειν τὸν νοσέοντα προσκαταχυκῶν. [13] τούτῳ δὲ, ἡμιχοίνικον κάχρυος δὲ ἀποπλύνας, ἐν ὕδατος χοῒ ζέσας δὶς ἢ τρὶς, ψυχρὸν δίδε. [14] τούτῳ δὲ, πτισάνης χυλὸν 35 καθεφθὸν λεπτὸν, καὶ οἶνον γλυ- 52 κὺν δίδε. τοῦτο οὖρον ἄγει. [15] τούτῳ δὲ, σικύου πέπονος, ἄνευ τοῦ δέρματος πέλλης, ἐφ' ὕδατι. τοῦτο οὐρεῖται, καὶ

injecto frigidam paulatim exhibeto. [4] Hordeum achilleum magnum ac plenum heminæ mensura siccato, & acutis spicis ablatis, ubi probe laveris, aquæ congio affuso coquito ad dimidias, frigefacito ac bibendum dato. [5] Cumini æthiopici heminæ decimæ parti, tres aquæ semicongios affunde, & olla luto piloso oblita, donec tertia 395 pars restet, fervere sine: & frigidam hanc ad omnem ardentem aliamve febrem exhibe. [6] Aquam cœlestem ipsam per seipsam præbe. [7] Ptisanæ heminæ congio aquæ affuso, ad dimidias coquito: deinde excolato, & apiis injectis frigidam dato. [8] Prosunt & vina alba aquosa ex uvis passis. [9] Prosunt & uvarum passarum expressarum retrimenta aquosa. [10] Uvarum passa- 400 rum albarum exemptis vinaccis heminam, radicum quinquefolii manipulum, tundito, & affusis aquæ heminis viginti, ad dimidias coquito, & frigidam hanc paulatim bibendam dato. [11] Ad farinæ hordei pleni crassæ chœnicem dimidiam, aquæ congium affundas, & quum jam intumescunt crassæ farinæ partes, manibus teras, donec aqua alba fit, & adianti pugillo injecto, sub dio per noctem exponito 405 & exhibeto. [12] Ovorum trium aut quatuor candidum, in aquæ congio concussum bibat. Hoc valde frigefacit, & ægrum ad alvum exonerandam conturbat. [13] Hordei torrefacti probe loti chœnicem dimidiam, in aquæ congio bis aut ter fervere sinito, & frigidam hanc exhibeto. [14] Ptisanæ succum coctum tenuem, & vinum dulce dato. Hoc urinam ducit. [15] Cucumeris 410 pepo-

καὶ ψύχει, καὶ τὴν δίψαν παύει. [16] τούτῳ δὲ, ὀρόβους ἐν ὕδατι προεψήσας, εἶτα χύτραν καινὴν ἐν χύτρῃ μείζονι θεὶς πλέῃ ὕδατος, ἐπιχέας ἕτερον ὕδωρ τοῖσιν ὀρόβοισιν ἕψε ὀλίγον χρόνον. εἶτα ἀποχέας τὸ τρίτον μέρος, ἐπειδὰν καθεφθοὶ ἔωσιν οἱ ὄροβοι, ψύξας δίδου, κατὰ κύαθον ἐπιπάσσων τῆς τε σικύου πάλης τὴν ἐκ τῶν ὀρόβων πάλην. τοῦτο δὲ βεβαίως δίψαν παύει. [17] τούτῳ δὲ, θάσιον οἶνον παλαιὸν, πίνειν καὶ εἴκοσιν ὕδατος καὶ ἵνα οἴνου δίδου. [18] τούτῳ δὲ, τρίφυλλον καὶ σικυῶδες ἐν ὕδατι καὶ κρίμνα κριθέων βρέχων δίδου. [19] τούτῳ δὲ, σέλινα, ὅσον τρεῖς τῇ χειρὶ περιλαβεῖν, καὶ γλήχωνος δραχμίδας δύο ἕψων ἐν ὄξεος κοτύλῃσι δέκα ὡς τρίτον μέρος λείπηται. τοῦτο μέλιτι καὶ ὕδατι κεραννὺς ὑδαρὲς πινέτω, ἀδιάντου δραχμίδα ἐμβαλών. τοῦτο δὲ οὖρον ἄγει καὶ τὴν κοιλίην λύει. [20] τούτῳ δὲ, μῆλα εὐώδεα γλυκέα φλάσας, καὶ ἐν ὕδατι ἀποβρέξας, δίδου πίνειν τὸ ὕδωρ. [21] τούτῳ δὲ, μῆλα κυδώνια ὡσαύτως. ἢν ἡ κοιλίη λελυμένη ᾖ, ἐν πυρετῷ καυσώδει.

XXXI. Περὶ ἰκτέρου. [2] Ἰκτέρου δὲ ἐπιλαβόντος, [3] ἀσταφίδος λευκῆς αὐτῆς γιγάρτων καὶ ἐρεβίνθων λευκῶν, ἡμικοτύλιον ἀμφοτέρων, [4] καὶ κριθέων ἀχιλληΐδων ἴσον, [5] καὶ κνίκου ἴσον, ὕδατος κοτύλας δέκα, [6] καὶ σέλινα, καὶ μίνθην, καὶ κορίανον, ὀλίγον ἑκάστου ἀνατρίβειν, [7] ἕως ἂν ἠρέμα γλυκανθῇ, [8] καὶ ἀδιάντου δραχμίδα ὕστερον ἐμβαλὼν, [9] αἰθριήσας δίδου. [10] τοῦτο δὲ καὶ τὰ τούτοισιν ὅμοια μιμέεσθαι. [11] πάντα δὲ τῷ πυρέσσοντι ἠθριασμένα δίδου,

peponis corio nudati pollinem ex aqua præbeto. Hæc potio urinam ciet, frigefacit, & sitim sedat. [16] Ervum in aqua præcoquito, deinde ollam novam, in majorem ollam aquæ plenam ponito, & alia aqua ervo affusa, ad modicum tempus coquito: postea ubi coctum fuerit ervum, tertiam aquæ partem reliquam excolatam bibendam dato, ita ut ad singulos cyathos, & cucumeris, & ervi pollinem inspergas. Hoc constanter sitim sedat. [17] Vinum thasium vetus parte una, cum vigintiquinque aquæ partibus dato. [18] Trifolium, cucumeris pollinem, & crassam hordei farinam in aqua macerato, & hanc bibendam dato. [19] Apii manipulos tres, pulegii pugillos duos, in aceti heminis decem ad tertias coquito. Hoc melle & aqua dilutum, aquosum bibat, adianti pugillo injecto. Hoc urinam ducit & alvum solvit. [20] Mala odorata dulcia contundito, & aqua macerato, & aquam bibendam dato. [21] Mala cydonea eodem modo, si alvus soluta fuerit in febre ardente.

XXXI. [De Ictero.] [2] Quod si morbus regius insuper corripiat, [3] uvæ passæ albæ exemptis vinaceis, & cicerum alborum, utrorumque dimidiam heminam, [4] & hordei achillei magni ac pleni tantundem, [5] & cnici tantundem, aquæ heminas decem, [6] & apium, & mentam, & coriandrum, de singulis parum, terito, [7] donec placide aqua dulcescat, [8] & adianti pugillo postea injecto, [9] ubi sub dio per noctem exposuisti, exhibeto. [10] Potes etiam alia his similia imitari. [11] Omnia vero per noctem sub

δε, 12 πλὴν οἷσιν αἱ κοιλίαι μᾶλλον τοῦ δέοντος ῥέουσιν. 13 τούτω δὲ γλήχωνος δραχμίδας τρεῖς, σελίνου διπλάσιον οἴνω κεκρημένω ἑψῶν, δίδου. 14 τοῦτο δὲ οὐρέεται, καὶ διὰ τῆς κοιλίης χολὴν ἄγει.

sub dio exposita dabis febrienti 12 exceptis his quibus alvi plus quam convenit fluunt. 13 Pulegii pugillos tres, apii duplum, in vino diluto coquito ac exhibeto. 14 Hoc urinam ciet, & bilem per alvum trahit.

ΙΠΠΟΚΡΑΤΟΥΣ περὶ ΝΟΥΣΩΝ τὸ τέταρτον.

HIPPOCRATIS DE MORBIS liber quartus.

Basil. græc. pag. 166 — Foesius sect. v. 56. 498. — Basil. lat. III pag. 161

1 ΤΟΥ ἀνθρώπου ἐς τὴν γένεσιν ἀπὸ πάντων τῶν μελέων τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς ἐλθὸν τὸ σπέρμα, 2 καὶ ἐς τὰς μήτρας τῆς γυναικὸς πεσὸν, ἐπάγη. 3 χρόνου δὲ γινομένου, φύσις ἀνθρωποειδὴς ἐγένετο ἐξ αὐτέου. 4 ἔχει δὲ καὶ ἡ γυνὴ καὶ ὁ ἀνὴρ τέσσαρα εἴδεα ὑγροῦ ἐν τῷ σώματι, 5 ἀφ' ὧν νοῦσοι γίνονται, 6 ὁκόσαι μὴ ἀπὸ βίης νοσήματα γίνονται. 7 αὗται δὲ αἱ ἰδέαι εἰσὶ, φλέγμα, αἷμα, χολὴ, καὶ ὕδρωψ. 8 καὶ ἀπὸ τούτων ἐς τὸ σπέρμα οὐκ ἐλάχιστον οὐδὲ ἀσθενέστατον συνέρχεται. 9 καὶ ἐπεὰν τὸ ζῶον γένηται κατὰ τοὺς τοκῆας, τοσαύτας ἰδέας ὑγροῦ, ὑγιηροῦ τε καὶ νοσεροῦ, ἔχει ἐν ἑωυτῷ. 10 ἀποφανέω δὲ, ὁκόσα ἐν ἑκάστη τουτέων τῶν εἰδέων καὶ πλέω καὶ ἐλάσσω ἐν τῷ σώματι γίνεται, 11 καὶ ἀπὸ τούτου νοσέουσι, 12 καὶ ὅτι αἱ νοῦσοι κρίνονται ἐν τῇσι περισσῇσιν ἡμέρῃσι, 13 καὶ τίνες ἀρχαὶ τῶν νούσων εἰσὶ, 14 καὶ ὁκοῖα αὐτέων ἑκάστη ἐν τῷ σώματι ἐργασαμένη τὴν νοῦσον ἐπάγει, 15 καὶ περὶ τὸ αὐτὸ ῥῖγος πυρετώδες

1 AD hominis generationem de omnibus & viri & mulieris partibus semen progressum, 2 & in uterum muliebrem illapsum condensatur, 3 temporeque veniente natura hominis formam referens ex ipso producitur. 4 Habet autem & mulier, & vir, quatuor species humoris in corpore, 5 à quibus morbi fiunt, 6 qui non à violentia aliqua fiunt. 7 Sunt autem species hæ, Pituita, sanguis, bilis, & hydrops sive aqua: 8 & de his non minima, neque debilissima, in semen procedit portio. 9 Et quia animal secundum parentes nascitur, tot humorum species, & sanorum & morbosorum in seipso habet. 10 Ostendam autem, quæ in unaquaque harum specierum & plura & pauciora in corpore fiunt, 11 & à quo ægrotant. 12 Et quod morbi in imparibus diebus judicantur. 13 Et quæ sint morborum principia. 14 Et qualia singula ex ipsis in corpore efficiant, ut morbum inducant; 15 & à quo rigor febri-

δὶς γίνεται, [16] καὶ διὰ τί τὸ πῦρ ἐπιπίπτει μετ' αὐτό. [17] ἐθέλω δὲ ἀποφῆναι πρῶτον, πῶς ἡ χολὴ, καὶ τὸ αἷμα, καὶ ὁ ὕδρωψ, καὶ τὸ φλέγμα, πλείονα καὶ ἐλάσσονα γίνεται ἀπὸ τῶν βρωμάτων καὶ τῶν ποτῶν, τρόπῳ τοιῷδε.

II. Ἡ κοιλίη τοῦ σώματος πάντων πηγή ἐστι, πλέη ἐοῦσα. [2] κενεὴ δὲ γινομένη ἐπαυρίσκεται ἀπὸ τοῦ σώματος τηκομένου. [3] εἰσὶ δὲ καὶ ἄλλαι πηγαὶ τέσσαρες, ἀφ' ὧν χωρεῖ τούτων ἕκαστον ἐς τὸ σῶμα. [4] ἐπὴν δὲ αὗται ἀπὸ τῆς κοιλίης λάβωσι, καὶ αὗται ἐπὴν κενῶνται, ἀπὸ τοῦ σώματος ἐπαυρίσκονται. [5] ἕλκει δὲ καὶ αὐτὸ τὸ σῶμα, ἐπὴν ἡ κοιλίη τι ἔχῃ ἐν ἑωυτῇ. [6] τοῦ μὲν δὴ αἵματος ἡ καρδίη πηγή ἐστι. [7] τοῦ δὲ φλέγματος, ἡ κεφαλή. [8] τοῦ δὲ ὕδατος, ὁ σπλήν. [9] τῇ δὲ χολῇ, τὸ χωρίον, τὸ ἐπὶ τοῦ ἥπατος. [10] αὗται αἱ τέσσαρες τούτοισιν εἰσὶ πηγαὶ, ἄνευ τῆς κοιλίης. [11] ἀπὸ τούτων δέ εἰσι κοιλόταται, ἡ κεφαλὴ καὶ ὁ σπλήν. [12] εὐρυχωρίη γὰρ ἐν αὐτοῖς πλείστη ἐστίν. [13] ἀλλὰ περὶ τούτου ὀλίγον ὕστερον ἀποφανέω κάλλιον. [14] ἔχει δὲ καὶ τόδε ὧδε.

III. Ἐν τοῖσι βρωτοῖσι καὶ τοῖσι ποτοῖσιν ἔνεστι πᾶσι καὶ χολῶδές τι, καὶ ὑδρωποειδὲς, καὶ αἱματῶδες, καὶ φλεγματῶδες. [2] τῇ μὲν πλέον, τῇ δὲ ἔλασσον. [3] διότι καὶ διαφέρει τὰ ἐσθιόμενα καὶ πινόμενα ἀλλήλων ἐς τὴν ὑγείην. [4] καὶ ταῦτά μοι ἐς τοῦτο εἴρηται. [5] ἐπὴν δὲ φάγῃ ἢ πίῃ ὁ ἄνθρωπος, ἕλκει τὸ σῶμα ἐς ἑωυτὸ ἀπὸ τῆς κοιλίης τῆς ἰκμάδος τῆς εἰρημένης. [6] καὶ αἱ πηγαὶ ἕλκουσι διὰ τῶν φλεβῶν ἀπὸ τῆς κοιλίης, [7] ἡ ὁμοίη ἰκμὰς τὴν ὁμοίην, [8] καὶ διαδιδοῦσι τῷ σώματι. [9] ὥσπερ ἐπὶ τῶν φυτῶν ἕλκει ἀπὸ τῆς γῆς ἡ ὁμοίη ἰκμὰς τὴν ὁμοίην. [10] ἔχει γὰρ

περὶ

lis fiat, [16] & cur post ipsum febris irruit. [17] Primum autem demonstrare volo, quomodo bilis, & sanguis, & hydrops, & pituita, copiosiora & pauciora fiant à cibis & potibus, hoc modo.

II. Ventriculus dum plenus est, omnium horum corpori fons est. [2] Verum ubi vacuus est, corpore fruitur colliquescente. [3] Sunt autem & alii fontes quatuor, à quibus unusquisque horum humorum in corpus procedit, postquam sane ipsi à ventriculo acceperunt: [4] & hi quoque fontes ubi evacuantur, de corpore fruuntur. [5] Sed & ipsum corpus attrahit, ubi ventriculus in seipso quid habuerit. [6] Et sane sanguini fons est cor, [7] pituitæ caput, [8] aquæ splen, [9] bili locus folliculi in hepate: [10] hi sunt quatuor humoribus his fontes, ventriculo excepto. [11] Ex his autem maxime cavi sunt, caput & splen. [12] Nam in hoc ipso maxima amplitudo est. [13] Verum de hoc paulo postea clarius dicam. [14] Quin & hæc sic se habent.

III. In omnibus cibis & potibus & biliosi quid est, & aquosi, & sanguinei, & pituitosi: [2] in alio plus, in alio minus. [3] Quapropter & quæ eduntur ac bibuntur, alia aliis præstant ad sanitatem. [4] Atque hæc mihi de hoc dicta sunt. [5] Postquam vero comedit aut bibit homo, corpus in seipsum humorem relatum ex ventriculo, [6] & fontes trahunt per venas de ventriculo, [7] similis humor similem, [8] & corpori distribuunt. [9] Quemadmodum etiam in plantis similis humor similem trahit de terra. [10] Habet enim eodem modo ter-

ὧδε ἡ γῆ ἐν ἑωυτῇ δυνάμιας παντοίας καὶ ἀναριθμήτους. [11] ὁκόσα γὰρ ἐν αὐτῇ φύεται, πᾶσιν ἰκμάδα παρέχει ὁμοίην ἑκάστῳ. [12] οἵην καὶ αὐτὸ τὸ φυόμενον αὐτῷ ὁμοίην κατὰ ξυγγένειαν ἔχει. [13] καὶ ἕλκει ἕκαστον ἀπὸ τῆς γῆς τροφὴν, οἷόν περ καὶ αὐτό ἐστι. [14] τό, τε γὰρ ῥόδον ἕλκει ἀπὸ τῆς γῆς ἰκμάδα τοιαύτην, οἵη περ καὶ αὐτὸ δυνάμει ἐστί. [15] καὶ τὸ σκόροδον ἕλκει ἀπὸ τῆς γῆς ἰκμάδα τοιαύτην, οἷόν περ καὶ αὐτὸ δυνάμει ἐστί. 4

40 [16] καὶ τ' ἄλλα 'πάντα τὰ φυόμενα ἕλκει ἀπὸ τῆς γῆς καθ' ἑαυτὸ ἕκαστον. [17] εἰ γὰρ μὴ τοῦτο οὕτως εἶχεν, οὐκ ἂν ἐγίνετο τὰ φυόμενα ὅμοια τοῖσι σπέρμασιν.

IV. Ὅτῳ δὲ τῶν φυομένων ἐν τῇ γῇ ἰκμὰς κατὰ συγγένειαν τοῦ δέοντος πολλῷ πλείων ἐστὶ, νοσέει ἐκεῖνο τὸ φυτόν. [2] ὅτῳ δὲ ἐλάσσων τοῦ καιροῦ, ἐκεῖνο αὐαίνεται. [3] ἢν δὲ ἐξ ἀρχῆς μὴ ἐνῇ ἰκμὰς τῷ φυτῷ, ἣν ἕλκει κατὰ τὸ ξυγγενὲς, οὐδ' ἂν βλαστῆσαι δύναιτο. [4] παρέχει δὲ νοῆσαι, ὅτι, εἰ μὴ ἔχει ἰκμάδα κατὰ

45 'φύσιν τὸ φυτὸν, οὐ βλαστάνει τὴν ἀρχήν. [5] ἡ γὰρ Ἰωνίη χώρη καὶ ἡ Πελοπόννησος [6] τοῦ ἡλίου '' τῶν ὡρέων οὐχ ἥκιστα καίεται, [7] ὥστε δύνασθαι ἐξαρκέειν τοῖσι φυομένοισι τὸν ἥλιον. [8] ἀλλ' ὅμως οὐ δυνατὸν, πολλῶν ἤδη πειραζομένων, οὔτε ἐν Ἰωνίῃ, οὔτε ἐν Πελοποννήσῳ, '' σίλφιον φῦναι. [9] ἐν δὲ τῇ Λιβύῃ αὐτόματον φύεται. [10] οὐ γάρ ἐστιν, οὔτε ἐν Ἰωνίῃ, οὔτε ἐν Πελοποννήσῳ, ἰκμὰς τοιαύτη, ὥστε τρέφειν αὐτό. 5 6

V. Ὅτι δὲ πολλὰ καὶ ἄλλα, ὅσα, τοῦ ἡλίου ἐξαρκέοντος, αἱ χῶ-

167 ραι οὐ δύνανται τῶν θεραπευμάτων τρέφειν, ἄλλαι δὲ φύουσιν αὐτόματα, παρέχει καὶ τοῦ-

το

ra omnigenas in se ipsa ac innumeras facultates. [11] Quæcunque enim in ipsa nascuntur, his omnibus exhibet humorem similem unicuique, [12] qualem & hoc ipsum quod nascitur sibi similem, juxta cognationem habet: [13] & trahit unumquodque de terra alimentum, quale etiam ipsum existit. [14] Nam & rosa de terra trahit talem humorem, qualis ipsa in 'potentia est: [15] & 35 allium de terra humorem ejusmodi trahit, quale ipsum in potentia est. [16] Et alia omnia terræ nascentia, ex terra trahunt, singula juxta seipsa. [17] Si enim hęc res non ita se haberet, non nascerentur plantæ similes seminibus.

IV. Cui porro plantæ in terra cognatus humor multo uberior est quam convenit, ea planta ægrotat. [2] Cui vero paucior quam opportunum est, ea resiccatur. [3] At si ab initio non 'insit terræ humor, quem planta juxta 40 cognationem trahat, ne germinare quidem poterit. [4] Intelligentia autem hujus rei, quod si non habeat planta humorem secundum naturam, ne ab initio quidem germinet, inde nobis suppeditatur. [5] Jonia enim regio & Peloponnesus pro temporibus anni [6] à sole non minime calet ac illustratur, [7] ut sol nascentibus è terra sufficere possit, [8] attamẽ fieri non potest, 'multis frustra jam id tentantibus, ut in Jonia aut Peloponneso Silphiũ nascatur. [9] At 45 in Libya sua sponte nascitur. [10] Non enim est neque in Jonia, neque in Peloponneso ejusmodi humor, qui ipsum alere possit.

V. Quum autem sint & aliæ multæ medicinæ, quas sole sufficiente, regiones alere non possunt, aliæ vero sua sponte producunt,

τὸ σκέψασθαι, ὃ μέλλω ἐρέειν. [2] ὁκόσον [δὴ] χῶρος χώρου κρέσσων πλησιάζων διαφέρει ἐς τὴν ἡδονὴν, τοῦ ἡλίου ὁμοίως ἐξαρκέοντος. [3] ἔνθα μὲν γὰρ τῆς γῆς ἰκμάς ἐστιν, ἥτις τὸν οἶνον ἡδὺν παρέξει· ἔνθα δὲ, οὔ. [4] ἔστι δὲ καὶ ἄγρια φυόμενα ἐν χωρίῳ οὐκ ὀλίγα, μεταχθέντα δὲ ὁκόσον ὀργυιὴν, οὐκ ἂν ὥρης ἔτι φυόμενα. [5] οὐ γὰρ ἔχει ἡ γῆ μεταχθεῖσα τοιαύτην ἰκμάδα, οἵην τοῖσιν ἀγρίοισι φυτοῖσιν ἐκείνη παρέχει. [6] ἔστι γὰρ αὐτοῖσι, τὰ μὲν ἰωδέστερα, τὰ δὲ ὑγρότερα, τὰ δὲ γλυκύτερα, τὰ δὲ ξηρότερα, τὰ δὲ τρηχύτερα. [7] ἀλλὰ καὶ [καὶ] μυρία ἄλλως ἔχει. [8] μυρίαι γὰρ ἐν αὐτῇ δυνάμιές εἰσι. [9] καὶ διὰ ταῦτα τὰ φυτὰ ἐκ τῆς γῆς πρῶτον οὐδὲν ἑτέρῳ ὅμοιον ἔφυ, ὅ, τι μὴ ξυγγενές. [10] ἄγρια δέ μοι δοκέει ταῦτα πάντα εἶναι. [11] ἄνθρωποι δὲ ταῦτα ἡμέρωσαν ἐργαζόμενοι καρποφορέειν κατὰ τὸ σπέρμα ἕκαστον. [12] ἕλκει γὰρ ἐκ τῆς γῆς ἡ ὁμοίη ἰκμὰς τὴν ὁμοίην. [13] καὶ τούτοισιν αὔξεται καὶ τρέφεται. [14] καὶ οὐδὲν ἕτερον ἑτέρῳ ὅμοιόν ἐστι τῶν φυομένων, οὔτε ἴσην οὔτε ὁμοίην ἐκ τῆς γῆς ἰκμάδα ἕλκον. [15] ἕλκει δὲ ἕκαστον τῶν φυομένων, βρωτῶν τε καὶ ποτῶν, ἐν ἑωυτῷ πολλὰς δυνάμιας ἀπὸ τῆς γῆς. [16] ἐν παντὶ δέ ἐστί τι φλεγματώδεος, καὶ αἱματώδεος. [17] ἀνάγκην οὖν τήνδε προσηγαγόμην, ὅτι ἀπὸ τῶν βρωμάτων καὶ τῶν ποτῶν, ἐς τὴν κοιλίην χωρεόντων, ἕλκει τὸ σῶμα κατὰ πηγὰς, ἃς ὠνόμασα, ἡ ὁμοίη ἰκμὰς τὴν ὁμοίην διὰ φλεβῶν.

VI. Ση-

ducunt, hoc ipsum ejus quod nunc dicturus sum considerandi occasionem exhibet, [2] quantum videlicet locus alteri loco etiam valde vicinus præstet ad jucundi vini productionem, sole æqualiter sufficiente. [3] Hic etenim in terra humor est, qui vinum suave exhibere potest, illic non est. [4] Sunt etiam sylvestria non pauca in loco nascentia, quæ ad orgyæ seu cubitorum quatuor spatium translata, nasci minime comperias. [5] Non enim habet terra talem humorẽ translato, qualem illa sylvestribus plantis exhibeat. [6] Sunt enim ex ipsis quædam venenosiores, aliæ humidiores, aliæ dulciores, aliæ ficciores, aliæ asperiores; [7] & innumeræ aliæ aliter se habent. [8] innumeræ enim sunt in ipsa terra facultates. [9] Et propter hæc genera primum nihil alteri simile ex terra productum est, quod non esset cognatum. [10] Et mihi sane videntur hæ omnes plantæ sylvestres fuisse. [11] Verum homines ipsas mansuefecerunt, fructum ferre efficientes unamquamque juxta suum semen. [12] Trahit enim similis humor similem ex terra, [13] & ex hoc augescit ac nutritur: [14] & nullum ex terræ nascentibus alteri simile est, quod non æqualem, neque similem humorem ex terra trahat. [15] Et omnia quæ nascuntur in cibi ac potus usum venientia, multas facultates de terra ad se trahunt, [16] & in omnibus est aliquid pituitosi ac sanguinei. [17] Et ex hoc adeo ad hanc demonstrationis necessitatem deveni, quod à cibis ac potionibus in ventriculum procedentibus trahit corpus, secundũ fontes quos nominavi, similis humor similem per venas.

VI.

VI. Σημήϊον δὲ ἀποφανέω ἕτερον τόδε, ὅτι ἕλκει ἕκαστον κατὰ τὰ εἰρημένα. [2] καὶ ἅμα φράσω, ὅθεν τὸ φλέγμα γίνεται ἐν τῷ σώματι. [3] Ἐπὴν τις φάγῃ τυρὸν, ἢ ὅ, τι ἐστι δριμὺ, ἢ ἄλλο τι φάγῃ, ἢ πίῃ, ὅ, τι ἐστι φλεγματῶδες, [4] αὐτίκα οἱ ἐπιθεῖ ἐπὶ τὸ στόμα καὶ τὰς ῥῖνας. [5] καὶ τοῦτο οὕτως γινόμενον πάντες ἑωρῶμεν· τοῦτο δὲ χρὴ ἐλπίσαι, ὅθεν ἐγὼ ἐρέω. [6] φημὶ δὲ, ὁκόσον ἐν τῷ βρώματι ἢ πόματι φλεγματῶδες ἔνι, κεῖνο ἐς τὴν κοιλίην ἐλθόντος, [7] τὸ μὲν σῶμα ἕλκει ἐς ἑωυτὸ, [8] τὸ δὲ ἡ κεφαλὴ, κοίλη ἐοῦσα· [9] ὥσπερ σικύη ἐπικειμένη, ἕλκει τὸ φλέγμα, ἅτε γλίσχρον ἐόν. [10] ἕπεται δὲ τοῦτο τὸ ἕτερον διὰ τοῦ ἑτέρου ἐς τὴν κεφαλήν. [11] τὸ μὲν νέον φλέγμα, τὸ ἐξηθυνώμενον ἀπὸ τοῦ βρώματος, μένει ἐν τῇ κεφαλῇ· [12] τὸ δὲ παλαιὸν, ὁκόσῳ πλεῖον τὸ νέον, ὑπ' ἐκείνου βιώμενον ἐξέρχεται. [13] καὶ διὰ τοῦτο, ἐπὴν τις φάγῃ ἢ πίῃ ὅ, τι φλεγματῶδες, ἀποχρέμπτεται φλέγμα. [14] ἔχει δὲ καὶ τόδε οὕτως.

VII. Ἢν φαγόντος τι ἢ πιόντος τοῦ ἀνθρώπου, ὅ, τι ἐστι φλεγματῶδες, μὴ ἐξέλθοι πάλιν, ἐν ὅσῳ πλέον ἐλθόντος, μήτε κατὰ τὸ στόμα, μήτε κατὰ τὰς ῥῖνας, [2] ἀνάγκη ἐστὶ μένειν αὐτὸ ἐν τῇ κεφαλῇ, ἢ ἐς τὸ σῶμα κατελθεῖν ἀπὸ τῆς κεφαλῆς, ἢ ἐς τὴν κοιλίην ἀφικέσθαι. [3] καὶ ἄριστον ἂν συμβαίνῃ, εἰ ἐς τὴν κοιλίην ἀφίκοιτο. [4] ἐξέλθοι γὰρ ἂν ξὺν τῇ κόπρῳ, [καὶ,] εἰ μὲν πολλὸν εἴη καὶ ὑγρὸν, ὑγρώσειε τὴν κόπρον· εἰ δὲ ὀλίγον, οὐκ ἂν ποιήσειεν. [5] εἰ δὲ ἐν τῇ κεφαλῇ μένοι, πολλὸν ἂν πόνον παρέχοι τῇ κεφαλῇ ἐν τῇσι φλεψὶν ἐόν. [6] εἰ δὲ ὀλίγον, οὐκ

VI. Referam quoque aliud argumentum, quod singula prout relatum est trahant, [2] & simul dicam, unde pituita in corpore gignatur. [3] Ubi quis caseum comedit, aut aliquid acre, aut aliud quid edit aut bibit, quod pituitosum est, [4] statim ipsi ad os ac nares accurrit: [5] atque hoc ita fieri partim omnes videmus, partim ita esse credere oportet, ex his quæ ego referam. [6] Assero itaque, quod quantum in cibo aut potu pituitæ inest, illud ubi ad ventriculum pervenit, [7] partim corpus ad seipsum trahit, [8] partim caput, ut quod cavum sit, [9] & velut cucurbita corpori incumbat, ad se trahit, utpote viscosa existente pituita, [10] ita ut hanc alia per aliam sequatur ad caput: [11] & quæ quidem recens ex cibo generatur pituita, in capite manet: [12] vetus autem, prout copiosior est recens, ab ipsa violente extruditur. [13] Quapropter ubi quis edit aut bibit aliquid pituitosi, exscreat pituitam. [14] Habet autem & hæc res se hoc modo.

VII. Si ubi edit aut bibit quid pituitosi homo, non rursus exeat quod redundat, neque per os, neque per nares, [2] necesse est ipsum manere in capite, aut ad corpus descendere de capite, & ad ventriculum pervenire. [3] Ac optimum quidem fuerit, si ad ventriculum perveniat. [4] Exire enim poterit una cum stercore: & siquidem multum fuerit ac humidum, stercus humectare poterit: si vero modicum, non hoc effecerit. [5] At si in capite maneat, multum dolorem capiti exhibuerit, quum in venis est. [6] Si vero modicum,

οὐκ ἂν ποιήσει τοῦτο. 7 ἐπισημαίνει δ' αὖ ἐς ἢ πλέον ἢ ἔλασσον. 8 ἢν δὲ ἐς τὸ σῶμα ἀφίκηται, καὶ ἐκεῖσέ οἱ μέμικται τῇ ἄλλῃ ἰκμάδι. 9 καὶ ἢν μὲν πολλὸν ἔῃ τὸ φλέγμα, ἐσίνατο ἂν τὸ σῶμα αὐτίκα. 10 ἢν δὲ ὀλίγον, οὐκ ἂν ἐσίνατο, ἅτε μέγα τὸ σῶμα ἐὸν, εἰ μή τις οἱ ἀρχὴ ὑπολείποιτο καὶ ἄλλη. 11 χρόνῳ δὲ, ἢν μὲν ἕτερον ἐπιγένηται φλέγμα, σίνοιτο ἄν. 12 ἢν δὲ τὸ σῶμα τῇ κύστει καὶ τῇ κοιλίῃ διαφέρῃ, καὶ ταῦτα ἔξω διοίσῃ, οὐδὲν ἂν κακὸν ἐξ αὐτοῦ σχοίη. 13 ἐν τούτῳ μὲν οὖν τῷ λόγῳ ἀποπέφανται, ὅκως ἡ κεφαλὴ ἐκ τῆς κοιλίης φλέγμα ἕλκει, τό, τε ὅμοιον ἔρχεται πρὸς τὸ ὅμοιον. 14 καὶ ἅμα εἴρηταί μοι, ὅκως τε καὶ διότι πλέον γίνεται ἀνθρώπῳ ἀπὸ τῶν βρωμάτων καὶ τῶν ποτῶν.

IIX. Νῦν δὲ ἐρέω περὶ χολῆς, ὅκως τε καὶ διότι πλέων γίνεται ἐν τῷ σώματι, 2 καὶ ὅκως ἕλκει τὸ χωρίον αὐτὴν, τὸ ἐπὶ τῷ ἥπατι. ἔχει δὲ ὧδε ὥς. 3 Ἐπὴν φάγῃ καὶ πίῃ ὁ ἄνθρωπος ὅ, τι ἐστὶ πικρὸν, καὶ ἄλλως χολῶδες καὶ κοῦφον, πλέων καὶ ἡ χολὴ γίνεται ἐπὶ τῷ ἥπατι. 4 καὶ αὐτίκα ἀλγέει τὸ ἧπαρ, ὅπερ οἱ παῖδες καρδίην καλέουσι. 5 καὶ τοῦτο εἰσείδομεν γινόμενον, καὶ ἐμφανές ἡμῖν ἐστιν, ὅτι ἀπὸ τοῦ βρώματος ἢ τοῦ ποτοῦ ἐγένετο. 6 ἕλκει μὲν γὰρ τὸ σῶμα ἐς ἑωυτὸ ἀπὸ τῶν βρωμάτων τὴν πᾶσαν ἰκμάδα τὴν εἰρημένην. 7 ἕλκει δὲ καὶ τὸ χωρίον, τὸ ἐπὶ τῷ ἥπατι, ἐς ἑωυτὸ ὅ, τι ἂν αὐτέῳ οἱ χολῶδες ἐνῇ. 8 Καὶ ἢν ἐξαπίνης πολλὴ γένηται ἡ χολὴ, ὀδυνᾶται τὸ ἧπαρ ὁ ἄνθρωπος, καὶ ἀπὸ τῆς νηδύος πλέον γίνεται. 9 τούτου γὰρ γινομένου, ἔρχεται ἀπὸ τῆς παλαιῆς χολῆς διὰ τὴν πληθὼν ἐς τὴν κοιλίην, καὶ στρόφος ἐν τούτῳ τῇ

cum, non hoc fecerit. 7 Significationem autem de se præbet copiosumne sit an modicum. 8 Quod si ad corpus deveniat, atque illic alio humori ammixtum fuerit, 9 siquidem multa fuerit pituita, statim corpus læserit: 10 si vero pauca, non adeo lædere poterit, quum magnum sit corpus, si non & aliud quoddam principium ipsi reliquum sit. 11 Verum temporis progressu, si alia pituita superaccedat, lædi utique possit. 12 At si corpus vesicæ ac ventriculo deleget, atque hæc foras perferant, nihil mali ex ipsa habuerit. 13 In hoc igitur sermone demonstratum est, quomodo caput pituitam ex ventriculo trahat, & simile ad simile perveniat, 14 & simul à me dictum est, quomodo & quare copiosior pituita homini à cibis ac potibus fiat.

IIX. Nunc vero dicam de bile, quomodo & cur copiosior in corpore fiat, 2 & quomodo locus folliculi in hepate ipsam trahat. Habet se res hoc modo. 3 Postquam comedit & bibit homo aliquid amari, quodque alias biliosum ac leve est, copiosior etiam bilis fit in hepate, 4 & statim dolet hepar, quod pueri cor vocant: 5 atque hoc ita fieri videmus, & clarum nobis est quod à cibo aut potu factum est. 6 Trahit etenim corpus in seipsum de cibis omnem prædictum humorem. 7 Trahit etiam folliculus in hepate, quicquid isthic biliosi inest. 8 Et si derepente multa bilis fiat, homo hepar dolet, & de ventre copiosior fit. 9 Hoc enim contingente, procedit de veteri bile propter multitudinem ad ventriculum, & ex hoc tormen ventriculo oboritur

τῇ κοιλίῃ γίνεται. 10 καὶ ἐξέρχεται ἐξ αὐτέης, τὸ μὲν κατὰ τὴν κύστιν, τὸ δὲ κατὰ τὴν κοιλίην. 11 καὶ οὕτως ἐλάχιστον ἐς τὸν ἄνθρωπον γίνεται, καὶ παύονται οἱ πόνοι. 12 ἢν δὲ τούτων μηδ' ἕτερον γένηται, χωρέει τὸ πρῶτον ἀπὸ τῆς παλαιῆς ἐς τὸ σῶμα· 13 διαδίδοται γὰρ ἐς αὐτό. 14 καὶ ἢν μὲν πουλὺ ἔῃ, αὐτίκα ἐπισημαίνει μιχθεῖσα τῷ ἄλλῳ ὑγρῷ. 15 ἢν δὲ ὀλίγη, οὐκ ἂν ἐσινάσειεν, ἅτε μέγα τὸ σῶμα ἐόν, ἢν μή τις καὶ ἄλλη ἀρχὴ ὑπογένηται. 16 χρόνῳ δέ, ἢν μὲν ἑτέρη χολὴ ἐπιγένηται, πλείω σίνεται τὸν ἄνθρωπον. 17 ἢν δὲ μὴ ἐπιγένηται, διηθήσειεν ἂν τὸ σῶμα, ὥστε τὴν χολὴν προϊέναι, ὁκόσα τε ἐστὶ χολώδεα. 18 ἕτερα γὰρ τῶν ἑτέρων τὰ ἐσθιόμενα καὶ πινόμενα φάρμακά ἐστιν. 19 οὕτω δὴ καὶ τὰ ἄλλα, ὁκόσα πινόμενα φάρμακά ἐστιν, ὑφ' ἑτέρου ἕτερον, ἐσπεσὸν ἐς τὴν κοιλίην, τῇ ἑωυτοῦ δυνάμει αἰτίην ἔχον, τὸ κρατηθὲν ἔξω, καὶ σινεῖται τοῦτο. 20 ἢν δὲ ἐπιγένηται ἄλλη χολὴ ἐν τῷ σώματι ἀπὸ τῶν ἐς τὴν κοιλίην πιπτόντων, νοῦσος ἐντεῦθεν γίνεται. 21 ἐν τούτῳ δὲ ἐγὼ διεσήμηνον, ὅκως ἡ χολή, καὶ διότι πλείων γίνεται ἐν τῷ σώματι ἀπὸ τῶν βρωμάτων καὶ τῶν ποτῶν. 22 καὶ ὅτι ἕλκει ἐς ἑωυτὸ [τὸ] χωρίον, τὸ ἐπὶ τῷ ἥπατι, κατὰ τὸ ὁμοῖον τὸ χολῶδες ἀπὸ τῶν σιτίων καὶ τῶν ποτῶν.

IX. Νῦν δὲ ἐρέω περὶ ὕδρωπος, ὥστε καὶ διότι πλεῖον γίνεται ἐν τῷ σώματι, καὶ ὅκως ἕλκει ὁ σπλὴν ἐς ἑωυτόν. 2 φημὶ δέ, ἢν ὁ ἄνθρωπος πίνῃ πλεῖον, ἕλκειν ἐς ἑωυτὸ ἐκ τῆς κοιλίης τοῦ ὕδατος καὶ τὸ σῶμα καὶ τὸν σπλῆνα. 3 καὶ ἢν πλεῖον εἰρύσῃ τοῦ καιροῦ, πονέειν αὐτίκα τὸν ἄνθρωπον. 4 καὶ τοῦτο

tur, 10 & pars ipsius per vesicam, pars per alvum egreditur, 11 atque sic minima pars in homine manet, & dolores cessant. 12 Si vero neutrum horum contingat, procedit primum de veteri bile ad corpus, 13 distribuitur enim ad ipsum: 14 & si multa fuerit, statim significationem sui præbet alii humori ammixta: 15 si vero modica, non adeo læserit, quum magnum sit corpus, si non & aliud quoddam principium suboriatur. 16 Verum temporis progressu, si alia bilis superaccedat copiosior, hominem utique læserit. 17 Si vero non superaccedat, excolare illam poterit corpus, ut & bilis, & quæcunque biliosa sunt prodeant. 18 Nam quæ in cibo ac potu sumuntur, alia aliorum medicamenta sunt. 19 Sic sane etiam alia quæcunque lædentia sunt medicamenta, ubi aliud ab alio in ventriculum incidit, sua ipsius potestate caussam habens, id quod superatum est expellit, ac ipsum lædit. 20 At si superaccedat alia bilis in corpore, ab his quæ in ventriculum incidunt, morbus huic oboritur. 21 Atque in hoc sermone jam ego declaravi, quomodo bilis, & cur copiosior fiat in corpore, à cibis & potibus: 22 & quod trahit in seipsum folliculus in hepar, juxta similitudinem id quod biliosum est à cibis ac potibus.

IX. Nunc vero dicam de aqua, quomodo, & cur copiosior fiat in corpore, & quomodo splen trahat in seipsum. 2 Assero autem ubi homo bibit amplius, & corpus, & splenem, aquam in seipsa trahere ex ventriculo. 3 Et si plus traxerint quam oportet, statim hominem affligi: 4 atque

τοῦτο ἑωυτέου γενόμενον. ὁκόσοι σπληνώδεες τῶν ἀνθρώπων εἰσίν. [5] ἐπὴν δὲ εἰρύσῃ ὁ σπλὴν, ἄριστα μὲν, εἰ ἐν τῇ κύστει διηθηθείη ἀπὸ τοῦ ὕδατος τὸ παλαιὸν τοῦ ἐνεόντος ἐν τῷ σπληνὶ ἢ τῇ κοιλίῃ, καὶ ταῦτα ἐκδιηθήσεται. [6] κατὰ τὰ ἄνω γὰρ χωρία οὐκ ἀποκαθαίρεται τὸ ὕδωρ ἀπὸ τοῦ σπληνὸς, ἢν μὴ ὁκόσον δὴ ἐν τοῖς ἀγγείοις ἐνεόν ἐστι τοῖσιν ἀπὸ τοῦ σπληνός. [7] ἀλλ' οἵη ἐστὶν ἀποκάθαρσις ἐς τὴν κοιλίην καὶ ἐς τὴν κύστιν. [8] ἢν δὲ ταῦτα μὴ εὔροα ᾖ, μηδὲ διηθῇ ἔξω, ἀπὸ τοῦ σπληνὸς ἔρχεται τὸ ὕδωρ ἐς τὰ κάτω. [9] κἀκεῖ δὲ μίσγεται τῇ ἄλλῃ ἰκμάδι. [10] καὶ ἢν μὲν ὀλίγον ᾖ, οὐκ ἂν ἐσινάσθη, ἀλλὰ διηθείη ἂν ἀπὸ τοῦ σώματος ἐς τὴν κύστιν, καὶ ἐς τὴν κοιλίην διὰ φλεβῶν. [11] εἰσὶ γὰρ ἐκ τούτου καθήκουσαι πολλαὶ, αἳ ἕλκουσιν ἐς ἑωυτὰς ἐκ τῶν κάτωθεν χωρίων, ἐπὴν ξηρότεραι γένωνται ἢ πρὶν ἦσαν. [12] ἢν δὲ γίνηται ἕτερον ὕδωρ, καὶ ἡ κοιλίη καὶ ἡ κύστις μὴ διηθῇ ἔξω, ἀείρεται ὁ σπλήν. [13] καὶ τὰ κάτω τοῦ σώματος ἐπίπονα γίνεται. [14] ταῦτα δέ μοι εἴρηται, ὅκως τε καὶ διότι τὸ ὕδωρ πλεῖον γίνεται ἐν τῷ σώματι ἀπὸ τοῦ ποτοῦ, καὶ ὅκως ὁ σπλὴν ἕλκει.

X. Νῦν δὲ ἐρέω περὶ αἵματος, ὅκως τε καὶ διότι πλεῖον γίνεται ἐν τῷ σώματι. [2] ἐπὴν τι πίῃ ἢ φάγῃ ὁ ἄνθρωπος, ὅ,τι ἐστὶν αἱματῶδες, ἕλκει μὲν καὶ τὸ σῶμα ἅπαν ἐς ἑωυτό. [3] ἕλκει δὲ καὶ ἡ καρδίη τὸ αἱματῶδες ἐς ἑωυτήν. [4] καὶ ἐπὴν πλεῖον εἰρύσῃ, οὐ γίνεταί οἱ τῇ καρδίῃ πόνος. [5] στερεόν τε γάρ τι χρῆμα καὶ πυκνόν ἐστιν ἡ καρδίη, καὶ διὰ τοῦτο οὐ πονέει. [6] καὶ ἐξ αὐτῆς παχεῖαι φλέβες τείνουσιν, αἱ σφάγιαι καλεό-

atque hoc ita fieri intelligunt quicunque homines splenici existunt. [5] Postquam autem traxit splen, optimum est, si vetus aqua quæ in splene inerat, ad vesicam aut ventriculum excoletur, & per hæc expellatur. [6] Nam per supernas regiones non purgatur aqua de splene, nisi quantum ejus in vasis inest, quæ de liene procedunt: [7] verum ad ventriculum & vesicam depurgatio fieri potest. [8] Si vero hæc ad fluxionem apta non fuerint, neque aqua per ea foras excoletur: de splene ad infernas partes aqua procedit, [9] atque isthic alii humori miscetur. [10] Et siquidem pauca fuerit, non sane læserit: sed de corpore ad vesicam, & ad ventriculum, per venas excolari poterit. [11] Sunt enim multæ ex hoc tendentes deorsum, quæ ex infernis partibus ad seipsas trahunt, ubi sicciores fuerint, quam prius erant. [12] At si alia aqua generetur, & ventriculus ac vesica foras non expellant, splen elevatur, [13] & infernæ corporis partes dolore afficiuntur. [14] Atque hæc à me dicta sunt, quomodo & cur aqua copiosior generetur in corpore à potu: & quomodo splen trahit.

X. Nunc autem de sanguine dicam, quomodo & cur amplior in corpore generetur. [2] Postquam bibit aut comedit homo aliquid quod sanguineum est, trahit quidem & totum corpus in seipsum, [3] trahit autem & cor sanguineum ad seipsum. [4] Et ubi plus attraxit, non oboritur cordi dolor. [5] Est enim cor res solida ac densa, & propterea dolore non affligitur. [6] Et ex ipso procedunt venæ crassæ jugula-

res

καλεόμεναι, 7 ἐς ἃς ταχέως, ἢν οἱ πλεῖον προσγίνηται, διαδίδοται 30 τὸ αἱματῶδες. 8 καὶ πιμπλάμεναι κεῖναι τῇ κεφαλῇ καὶ τῷ σώματι διδόασιν ἐν τάχει. 9 καὶ ἐπὴν ἢ φάγῃ ἢ πίῃ ὅ, τι ἐστὶν αἱματῶδες, αὐτίκα αἱ σφαγίτιδες φλέβες ἀείρονται, καὶ τὸ πρόσωπον ἐρεύθει. 10 προσγινομένου δὲ τῇ καρδίῃ καὶ τῷ σώματι τοῦ αἵματος πλείονος τοῦ ἱκανοῦ ἀπὸ τῶν βρωμάτων καὶ τῶν ποτῶν, καὶ μισγομένου τῷ ἄλλῳ ὑγρῷ, 11 ἢν μὴ ἀπ' αὐτοῦ ἐξέλθῃ κατὰ τὴν κοιλίην ἢ κατὰ τὴν κύστιν, μιχθὲν τῇ ἄλλῃ ἰκμάδι ἐν τῷ σώματι πόνον παρέχει. 12 ἢν δὲ ὀλίγον προσγίνηται, 35 οὐκ ἐσίνατο ἂν τὸ σῶμα, 13 χρόνῳ δὲ διαδίδοται ἀπ' αὐτοῦ ἐς τὴν κοιλίην ἢ κατὰ τὰς ῥῖνας. 14 τὰ δὲ διηθέει ἔξω, καὶ ἀσινέες γίνονται. 15 ἢν δὲ ἐξ ὀλίγου πλεῖον γίνηται, ἐπίνοσον γίνεται. 16 ὅκως δὲ πλεῖον τὸ αἷμα γίνεται, ἡρμήνευταί μοι. 17 τεσσάρων δὲ ἐόντων, τό, τε αἷμα καὶ ἡ χολὴ καὶ τὸ φλέγμα καὶ ὁ ὕδρωψ, ἀποπέφανται ταῦτα πάντα, ὅκως τε καὶ διότι πλεῖον γίνεται ἐν τῷ σώματι ἀπὸ τῶν βρωμάτων καὶ τῶν ποτῶν. 18 ὅτι δὲ γίνεται ἀπὸ τούτων, σημήϊον τόδε ἐστίν. 19 εἰ ἄνθρωπος ὀλίγα ἐσθίει καὶ ὀλίγα 40 πίνει, οὐδεμίαν τούτῳ νοῦσον ἐπάγει. 20 καὶ ταῦτα μὲν ἐς τοῦτό μοι εἴρηται. 21 παρέψαυσα δέ μοι δηλῶσαι τῷ συνετῷ καὶ ὅκως ταῦτα ἐλάσσονα γίνεται. δηλώσω δὲ περὶ αὐτοῦ κάλλιον ὀλίγῳ ὕστερον.

XI. Τὰς δὲ πηγάς, ἃς ὠνόμασα, αὗται τῷ σώματι, ὁκόταν πλήρεες ἔωσιν, αἰεὶ ἐπιδιδόασιν· 2 ὁκόταν δὲ κεναί, ἐπισπῶνται ἀπ' αὐτοῦ. 3 οὕτω δὲ καὶ ἡ κοιλίη ποιέει. 4 ἔχει γὰρ οὕτως, ὥσπερ εἴ τις ἐς χαλκεῖα τρία καὶ πλείονα ὕδωρ ἐγ-

res appellatæ, 7 ad quas statim si copiosius accedat, sanguineum illud distribuitur, 8 & illæ impletæ brevi ad caput & corpus 140 delegant. 9 Et quum ederit aut biberit homo quid sanguinei, statim venæ jugulares attolluntur, & facies rubet. 10 Accedente vero ad cor & corpus sanguine quam satis est uberiore, à cibis ac potibus, & ad alium humorem ammixto, 11 si non ab ipso egressus fuerit, per alvum aut vesicam, reliquo humori ammixtus, dolorem corpori inducit. 12 Si vero modicus accedat, non sane læserit corpus. 13 Verum 145 temporis progressu distribuitur ab ipso ad ventriculum, aut ad nares, 14 quæ ipsum foras excolant, & nulla læsio contingit. 15 Si vero paulatim copiosior fiat, morbosus efficitur. 16 Atque ita quomodo copiosior sanguis generetur, à me declaratum est. 17 Quum autem sint quatuor: Sanguis, bilis, pituita, & aqua, omnia hæc à me demonstrata sunt, & quomodo, & cur copiosiora fiant, à cibis ac po- 150 tibus. 18 Quod autem ex his fiant ac generentur, hoc argumento constat. 19 Si homo parum edit, & parum bibit, nullum morbum hoc ipsi inducit. 20 Et hæc quidem de hoc mihi dicta sunt. 21 Attigi etiam obiter ostendere intelligenti, quomodo hæc pauciora fiant. Verum de hoc paulo post melius tractabo.

XI. Cæterum fontes hi quatuor quos nominavi, quum pleni fuerint, semper corpori di- 155 stribuunt: 2 quum vero vacui, vice versa trahunt ab ipso. 3 Sic etiam ventriculus facit. 4 Et habet se res hoc modo, veluti si quis tria aut plura æneа vasa in pla-

ἐγχέας, 5 καὶ ξυνθεὶς ὡς ἐπὶ ὁμαλωτάτου χωρίου, καὶ συναρμόσας ὡς κάλλιστα, 6 ἐπιδιαθείη αὐλοὺς ἐναρμόσας ἐς τὰ τρυπήματα, 7 καὶ ἐγχέῃ ἡσυχῇ ἐς ἓν τῶν χαλκείων ὕδωρ, μέχρις οὗ πλησθῇ ἀπὸ τοῦ ὕδατος πάντα. 8 ἀπὸ γὰρ τοῦ ἑνὸς ῥεύσεται ἐς τὰ λοιπὰ χαλκεῖα, μέχρις ὅτου καὶ τὰ ἄλλα πλησθῇ. 9 ἐπὴν δὲ πλήρεα γένηται τὰ χαλκεῖα, ἤν τις ἀπὸ τοῦ ἑνὸς ἀπαρύσῃ τοῦ ὕδατος, αὐτίκα ποδώσει ὀπίσω ῥέον τὸ ὕδωρ ἐς τὸ χαλκεῖον, 10 καὶ κενεὰ ἔσται τὰ χαλκεῖα πάλιν, ὥσπερ καὶ ἐδέξατο. 11 οὕτω δὴ καὶ ἐν τῷ σώματι ἔχει. 12 ἐπὴν γὰρ ἐς κοιλίην πέσῃ τὰ βρώματα καὶ τὰ ποτὰ, ἐπαυρίσκεται τὸ σῶμα ἀπὸ τῆς κοιλίης, καὶ πληροῦται ξὺν τῇσι πηγῇσιν. 13 ἐπὴν δὲ ἡ κοιλίη κενῶται, ἀποδίδοται αὖθις ὀπίσω ἡ ἰκμὰς, ὥσπερ καὶ ἐπεδέξατο, ὡς ἐκ τῶν ἄλλων ἐς τὸ ἓν χαλκεῖον. 14 φλέβες τε γάρ εἰσι διὰ παντὸς τοῦ σώματος τείνουσαι, αἱ μὲν λεπτότεραι, αἱ δὲ παχύτεραι, πολλαὶ καὶ πυκναί. 15 αὗται δὲ, μέχρις οὗ ἂν ζώῃ ὁ ἄνθρωπος, ἀνεῴγασι, καὶ δέχονται, καὶ ἀφιᾶσι [παλαιόν] τι καὶ νέον ὑγρόν. 16 ἐπὴν δὲ ἀποθάνῃ, ξυμμύουσι καὶ γίνονται λεπταί. 17 μέχρι μὲν οὖν ζώῃ ὁ ἄνθρωπος, ἐπαυρίσκεται μὲν τὸ σῶμα ἀπὸ τῆς κοιλίης, ἐπὴν τι ἔχῃ ἐν ἑωυτῇ· 18 ἐπαυρίσκονται δὲ αἱ πηγαὶ καὶ πιμπλάμεναι διαδιδόασι τῷ σώματι. 19 εἰ γὰρ τὸ σῶμα μὴ ἕλκῃ ἀπὸ τῆς ἰκμάδος τῆς κοιλίης, ἀλλ᾽ αἱ πηγαὶ μόναι, καὶ ἐς τὸ σῶμα μὴ ἐδίδοσαν, 20 οὐκ ἂν εἶχε τὸ σῶμα τροφὴν ἀρκέουσαν, ἀλλὰ ἐλάσσονα. 21 οὐ γὰρ ἂν ἔτι εἶχον τῷ σώματι τὴν τροφὴν διαδιδοῦσαι πηγαί.

XII. Αἱ δὲ πηγαὶ αὗται εἰ μὴ ἦσαν, ἐσθίοντες ἂν καὶ πίνοντες οὐκ ἂν διεγινώσκομεν ἀτρεκέως, οὔτε ὅ-

τι

planissimo loco componat, 5 & coaptata quam optime disponat; 6 fistulis ad foramina insertis, 7 atque ita placide in unum vas aquam infundat, donec omnia ab aqua fuerint expleta. 8 Ab uno enim diffluet in reliqua vasa, donec etiam alia fuerint expleta. 9 Postquam autem plena facta fuerint vasa, si quis de uno aquam effundat, retribuet se retro fluens aqua ad unum vas, 10 & vacua fient reliqua vasa rursus, quemadmodum etiam susceperunt. 11 Sic sane & in corpore res se habet. 12 Postquam enim cibi ac potus in ventriculum inciderint, fruitur corpus de ventre, & una cum fontibus impletur. 13 Ubi vero alvus vacuatur, rursus retro humor ab ipsa redditur, quemadmodum susceperat, veluti ex aliis ad unum vasculum. 14 Venæ enim sunt per totum corpus tendentes, aliæ tenuiores, aliæ crassiores, multæ ac frequentes. 15 Hæ autem donec vivit homo apertæ sunt, & suscipiunt & dimittunt novum humorem. 16 Ubi vero mortuus fuerit, clauduntur & extenuantur. 17 Quandiu igitur vivit homo, fruitur corpus de ventriculo, ubi quid in seipso habuerit: 18 fruuntur etiam fontes, & impleti corpori distribuunt. 19 Si enim corpus non traheret de ventriculi humore, sed soli fontes, & hi ad corpus distribuerent, 20 non sane haberet corpus sufficiens alimentum, sed paucius. 21 Non enim amplius haberent alimentum fontes, quod corpori subministrarent.

XII. At vero si fontes isti non essent, dum edimus ac bibimus, vere non cognosceremus, neque

εἶναι ἡδὺ ἐστιν, οὔτε ὅ, τι ἀηδές, ² κατ' ἀνάγκην τοιήνδε, ἣν μέλλω ἐρέειν. ³ ταῦτα τὰ χωρία, ἅτε μικρότερα ἐόντα, καὶ ἔνδοθεν τοῦ ἄλλου σώματος, ⁴ αἰεὶ καὶ πρὸ τοῦ ἐσπάσαι ἕκαστον κατὰ τὴν ἑωυτοῦ δύναμιν, ἐμήνυσε τῷ ἄλλῳ σώματι τῶν ἐδηδεσμάτων καὶ πομάτων, ⁵ ὅ, τι τε χολῶδές ἐστι, καὶ ὅ, τι φλεγματῶδες, καὶ ὅ, τι αἱματῶδες, καὶ ὅ, τι ὑδρωπῶδες. ⁶ τούτων γὰρ ἡμῖν, ὅ, τι ἂν ἐνέῃ πλεῖον τοῦ καιροῦ γίνεται καὶ ἐν τοῖσι ποτοῖσι καὶ ἐν τοῖσι βρωτοῖσι, κεῖνα οὐδὲ ἡδέα γίνεται. ⁷ ὅσα δὲ χατίζει μάλιστα, κατὰ ταῦτα κεῖνα ἡδέα ἐστί. ⁸ εἰ δὲ βρωμάτων καὶ ποτῶν ἐνδεής ἐστι τῶν πηγέων τις, ⁹ κατὰ τοῦτο καὶ τὸ σῶμα ἑλκύσει ἀπ' αὐτέων, ἕως καὶ τὸ ὑγρὸν ἔλασσον τοῦ καιροῦ γένηται, ¹⁰ τότε ἱμείρεται ὥνθρωπος ἢ φαγέειν ἢ πιέειν τοιοῦτον, ὅ, τι τὴν μοίρην ἐκείνην ἐπιπλήσει, καὶ ἰσώσει τῇσιν ἄλλῃσι. ¹¹ καὶ διὰ τοῦτο, βεβρωκότες πολλὰ ἢ πεπωκότες, ἔστιν ὅτε ἱμειρόμεθα ἢ βρωτοῦ ἢ ποτοῦ, ¹² καὶ ἄλλο οὐδὲν ἂν ἡδέως φαγοίμεθα, εἰ μὴ ὅ, τι ἱμειρόμεθα. ¹³ ἐπὴν δὲ φάγωμεν, καὶ ἰσωθῇ ἡ ἰκμὰς κατὰ ταῦτα αὐτὴ ἐν τῇσι πηγῇσι καὶ ἐν τῷ σώματι, τότε οἱ πίπτουσιν ὁ ἵμερος. ¹⁴ καὶ ταῦτα μὲν ἐς τοῦτό μοι εἴρηται.

XIII. Ἔχει δὲ καὶ τόδε, ² ὅτι ἐς μὲν τὸ χωρίον, τὸ ἐπὶ τῷ ἥπατι, ἀπὸ τῶν βρωμάτων καὶ τῶν ποτῶν ἀποκρίνεται ἡ χολὴ μοῦνον. ³ τὰ γὰρ φλέβια, ἀσθενέα καὶ λεπτὰ ὑπάρχοντα, οὐ δύναται ἕλκειν τὴν ἄλλην ἰκμάδα παχυτέρην καὶ βαρυτέρην ἐοῦσαν. ⁴ καὶ ἅμα εὐρυχωρίη οὐκ ἔστι τῇ ἄλλῃ ἰκμάδι, ὥστε ἐν τούτῳ τῷ χωρίῳ εἶναι. ⁵ ξυνήθης τέ ἐστι τῇ χολῇ τοῦτο τὸ χωρίον κατὰ φύσιν μάλι-

que quid jucundum, neque quid injucundum esset, ² propter hanc quam referam necessitatem. ³ Hi loci quum minores sint, & intra reliquum corpus, ⁴ semper etiam antea quam attrahat unusquisque juxta suam facultatem, reliquo corpori denunciat de cibis ac potibus, ⁵ qui biliosus sit, & qui pituitosus, & qui sanguineus, & qui aquosus. ⁶ Quicquid enim horum humorum plus quam opportunum est, in cibis ac potibus nobis obvenerit, neque cibos illos jucundos facit. ⁷ Quæ vero maxime appetimus, pro eorum ratione etiam illi jucundi sunt. ⁸ Si vero cibis ac potibus opus habuerit fons quidam, ⁹ pro hac ratione etiam corpus trahet ab ipsis fontibus, donec humor paucior quam oportet fiat, ¹⁰ & tunc sane appetit homo aut edere, aut bibere tale quid, quod portionem illam expleat, ac reliquis adæquet. ¹¹ Et propterea ubi multum cibi sumpsimus aut bibimus, quandoque adhuc cibum aut potum appetimus, ¹² & nihil aliud libenter edimus, quam quod appetimus. ¹³ Postquam autem comedimus, & adæquatus fuerit humor, his perfectis & in fontibus, & in corpore, tunc cessat appetentia. ¹⁴ Atq; hæc de hoc à me dicta sunt.

XIII. Quin & hoc se ita habet, ² quod ad folliculum in hepate, sola bilis à cibis ac potibus secernitur. ³ Venulæ enim quum debiles & tenues sunt, alium humorem trahere non possunt, qui & gravior & crassior existit: ⁴ & simul non est ea loci capacitas, ut alius humor in hoc folliculo consistat: ⁵ & est hic locus maxime familiaris bi-

μάλιστα. 6 καὶ διὰ τοῦτο ἐν αὐτῇ οὐδεμία νοῦσος γίνεται ἄλλη, ἢ ἣν ἵνα "καρδιωγμὸν" οἱ ἄνθρωποι καλέουσιν. 7 ἡ δὲ κεφαλὴ καὶ ἡ καρδίη καὶ ὁ σπλὴν μετέχουσι τῆς ἰκμάδος πάσης. 8 ἕκαστον, ἢν μὴ νοσέῃ, μετέχει πλείστων κατὰ φύσιν τὴν ἑωυτοῦ τῶν εἰρημένων. 9 ἡ μὲν κεφαλὴ, τοῦ φλέγματος· 10 ἡ δὲ καρδίη, τοῦ αἵματος· 11 ὁ δὲ σπλὴν, τοῦ ὕδατος. 12 ἕλκουσι δὲ καὶ τῆς ἄλλης ἰκμάδος αἱ φλέβες ἐς ἑωυτὰς, εὐρεῖαι καὶ παχεῖαι καὶ ἑλικοειδέες ἐοῦσαι, 13 ὥστ', ἐπὴν ἕλκωσιν, ἕπεσθαι ἕτερον ἑτέρῳ τῆς ἄλλης ἰκμάδος. 14 καὶ τῇ μὲν καρδίῃ πλησιάζουσιν αἱ σφάγιαι φλέβες, παχεῖαι ἐοῦσαι· 15 ἐς ἃς διαδίδοται ταχέως, ἐπὴν οἱ πλεῖον τοῦ καιροῦ προσγένηται. 16 αἱ δὲ τῷ ἄλλῳ σώματι ἐκδιδόασι, ἅμα τῇ καρδίῃ. 17 αὕτη δὲ στερεὴ καὶ πυκνή ἐστιν, ὥστε μὴ νοσέειν ὑπὸ τῆς ἰκμάδος. 18 καὶ διὰ τοῦτο νόσημα ἐν τῇ καρδίῃ οὐδὲν γίνεται.

XIV. Ἡ δὲ κεφαλὴ καὶ ὁ σπλὴν, μάλιστα ἐπίνοσά ἐστι. 2 νοσέει γὰρ καὶ ἀπὸ τῶν φύσει ἐόντων, ὅταν πλείονα προσγένηται τοῦ καιροῦ· 3 νοσέει δὲ καὶ ἀπὸ τῆς ἄλλης ἰκμάδος. 4 φλέβες γὰρ ἐς αὐτὰ παχεῖαί τε καὶ πολλαί εἰσι, 5 καὶ αὐτὰ φλεβώδεα κάρτα ἐστὶ καὶ ἔγκοιλα, 6 ὥστε εὐρυχωρίην καὶ τῇ ἄλλῃ ἰκμάδι ἐν αὐτοῖσιν εἶναι χωρεούσῃ κατ' ὀλίγον καὶ μισγομένῃ τῇ φύσει ἐούσῃ. 7 ὥσπερ ἐν ἀγγείῳ μεγάλῳ εὐρυχωρίη ἐστὶ πολλὴ, ἢ ἐν μικρῷ· οὕτω δὴ καὶ ἐν τῇ κεφαλῇ ἢ ἐν τῷ σπληνὶ ἔχει. 8 εὐρυχωρίη γὰρ τούτων τῶν χωρίων μάλιστα ἐν αὐτοῖσιν ἐστί· 9 ἢν δὲ πλησθῶσιν ἰκμάδος αἱ φλέβες, αὐτίκα ἀπ' ἐκείνης ἐν αὐτοῖσι νοῦσος

li secundum naturam, 6 & ob id in ipso nullus alius fit morbus, quam is quem homines cardiogmum, hoc est cordis morsum vocant. 7 At caput, & cor, & splen, de omnibus participant. 8 Unumquodque tamen si non ægrotet, plurimum de relatis participat, juxta suam ipsius naturam, 9 caput pituita, 10 cor sanguine, 11 splen aqua. 12 Trahunt autem & de alio humore venæ in seipsas, amplæ & crassæ, & instar pampini retortæ existentes, 13 ita ut ubi trahant, alius humor alium sequatur. 14 Et cordi quidem propinquant venæ jugulares crassæ, 15 ad quas cito distribuitur, ubi illi amplior quam commodus est humor accedat. 16 Hæ vero ad reliquum corpus delegant: & simul ipsum cor, 17 solidum est ac densum, ut ab humore non ægrotet, 18 & propterea nullus morbus in corde oboritur.

XIV. Caput autem & splen maxime sunt morbis obnoxia. 2 Ægrotant enim & ab his quæ à natura insunt, quum plura quam opportunum est, accesserint. 3 Ægrotant item ab aliis humoribus. 4 Venæ enim in ipsis crassæ ac multæ sunt, 5 & ipsa quoque venosa sunt ac cava, 6 ut & aliis humoribus recipiendis capacitas in ipsis sit, paulatim nimirum accedentibus, & ad eum humorem qui à natura inest, se ammiscentibus. 7 Quemadmodum in vase magno amplior capacitas est quam in parvo: sic sane & in capite, aut in splene, res se habet. 8 Magna enim capacitas maxime in ipsis est. 9 Si repletæ fuerint humore venæ; ab ipso sane in illis morbus

σος γίνεται. [10] ταῦτα δέ μοι ἐς τοῦτο εἴρηται νῦν.

XV. Ἐθέλω δὲ ἀποφῆναι κάλλιον, ὅκως ἑκάστη ταύτης τῆς ἰκμάδος ἐν τῷ σώματι ἐλάσσων γίνεται. [2] τέσσαρα μὲν δὴ ὑγρὰ ἐόντα ἀπέδειξα τὸν ἄνθρωπον σινόμενα. [3] τέσσαρας δέ σφι πηγὰς λέγω εἶναι, ᾗσιν ἀποκαθαίρεται ὁ ἄνθρωπος τούτων ἕκαστον. [4] ταῦτα δ' ἐστὶ τό, τε στόμα, καὶ αἱ ῥῖνες, καὶ ὁ ἀρχὸς, καὶ ἡ οὐρήθρη. [5] καὶ, ἐπὴν τις πλείων γένηται τῆς ἰκμάδος τῆς πονεούσης, ἢν ἀποκαθαίρηται ὁ ἄνθρωπος ταύτῃ, οὐδεμία μιν νοῦσος πιέζει ἀπὸ ταύτης. [6] καὶ, ἢν ἡ κοιλίη πλήρης ᾖ, τηκομένου τοῦ σώματος, ἀπὸ τῆς ἰκμάδος καταῤῥέει ἐς αὐτὴν, καὶ ἔξω ἔρχεται κατά τι τῶν χωρίων τούτων. [7] καὶ διὰ ταῦτα τὸ ὑγρὸν ἔλασσον γίνεται ἐν τῷ σώματι. [8] τὸ γὰρ σῶμα, ὥσπερ μοι καὶ πρότερον εἴρηται, τῇ κοιλίῃ ἐπιδιδοῖ, ἐπὴν κενεὴ ἔῃ, [9] καὶ ἐπαυρίσκεται, ἐπὴν πλήρης ἔῃ, ἀπ' αὐτῆς. [10] ταῦτα δέ μοι εἴρηται, ὅκως τε καὶ διό, τι ἐλάσσονα γίνεται τὰ πονέοντα τὸν ἄνθρωπον.

XVI. Ὅκως δὲ, καὶ διό, τι ὁ ἄνθρωπος ὑγιαίνῃ, ἐρέω. [2] ἐπὴν φάγῃ καὶ πίῃ, καὶ ἀφίκηται ἡ ἰκμὰς ἐς τὸ σῶμα, τρόπῳ ὥσπερ εἴρηται, [3] μιγεῖσα καὶ τῇ ἄλλῃ, καὶ τῇ ἐν τῷ σώματι, καὶ τῇ ἐν τῇ πηγῇ ἐούσῃ, [4] τῇ μὲν ἡμέρῃ ᾗ προσγένηται, μένει ἐν τῷ σώματι· τῇ δὲ ὑστεραίῃ ἄλλη οἱ ἰκμὰς προσγίνεται. [5] αὗται δύο μὲν ἡμέραι εἰσί, δύο δὲ ἰκμάδες ἐν τῷ σώματι. [6] τῇ μὲν ἑτέρῃ τῶν ἰκμάδων δύο ἡμέραι εἰσί· τῇ δὲ ἑτέρῃ, μία. [7] ἡ μὲν δὴ ὑστεραίη μένει ἐν τῷ σώματι, ἅτε παχεῖα ἐοῦσα· [8] ἡ δὲ ἑτέρη, πιφθεῖσα ὑπὸ τῆς θέρμης, διαχέεται [9] καὶ, λεπτὴ γινομένη, παρα-

morbus oboritur. [10] Atque hæc mihi de hoc nunc dicta sunt.

XV. Volo autem melius declarare, quomodo unusquisque horum humorum in corpore paucior fiat. [2] Quatuor equidem humores esse demonstravi hominem lædentes: [3] Quatuor item ipsorum fontes. Quatuor quoque esse dico locos, per quos homo de singulis his expurgatur. [4] Sunt autem hi, os, nares, podex, urinæ meatus. [5] Et ubi humor aliquis affligens copiosior factus fuerit, si his locis homo depurgetur, nullus ipsum morbus ab illo premit. [6] Et si ventriculus plenus fuerit, liquescente corpore ab humore, defluit ad ipsum, & extra prodit per aliquem horum locorum, [7] & propterea humor paucior fit in corpore. [8] Corpus enim, velut & antea dixi, ventriculo retribuit, ubi vacuus fuerit: [9] & fruitur de ipso, ubi plenus existit. [10] Atque hæc à me dicta sunt, quomodo & cur pauciores fiant humores hominem affligentes.

XVI. Quomodo vero & cur homo sanus degat, referam. [2] Postquam comedit ac bibit, & humor ad corpus pervenit, eo quo dictum est modo, [3] ammixtus alii, tum ei qui in corpore, tum ei qui in fonte est, [4] ea quidem die qua accesserit, in corpore manet: postridie vero alius humor ad ipsum accedit. [5] Atque hi quidem duo sunt dies, duo vero in corpore humores. [6] Et alteri quidem humori duo dies sunt, alteri unus. [7] Et qui quidem postridie accessit, manet in corpore, ut qui sit crassus. [8] Alter autem coctus à caliditate diffunditur, [9] & tenuis factus, postera die ad ventri-

διαχωρεῖται] ἐν τῇ ὑστεραίῃ ἡμέρῃ ἐς τὴν κοιλίην, [10] διὰ παντὸς τοῦ χρόνου ἐξωθουμένη ὑπὸ τῆς νέης. [11] ἐλθοῦσα δὲ ἐς τὴν κοιλίην πέσσει τὰ σιτία ἐν τῷ τόπῳ, [12] καὶ ποιέει τὸ αἷμα ἀπ' αὐτῆς ἐν τῷ σώματι. [13] μείνασα δὲ γίνεται ὑπὸ τοῦ χρόνου κάκοδμος. [14] τῇ δὲ τρίτῃ ἡμέρῃ ἐξέρχεται ἔξω σὺν τῇ κόπρῳ καὶ τῷ οὔρῳ, [15] πλῆθος αὐτὴ ἑωυτῇ πάσῃ ἴση τε καὶ παραπλησίη καὶ ἰσόρροπος. [16] κἢν ἑωυτῆς μέρος τι εἴη, ὅμως ἡ ἰκμὰς μένει ἐν τῷ σώματι κατὰ λόγον τὸν εἰρημένον. [17] ἐπιρρέει δὲ καὶ τῇ τρίτῃ ἡμέρῃ τῆς ἰκμάδος ἀπὸ τοῦ σώματος ἐπὶ τὴν κοιλίην, πλεῖον καὶ κακοδμότερον τὸ ἐπίλοιπον γενόμενον ὑπὸ τῆς δευτέρης, [18] καὶ καταφέρει τὰ βρώματα πεπεμμένα, καὶ ὅ, τι ἐν τῷ σώματι νοσερόν ἐστι, καὶ αὖθις ξυνεξέρχεται. [19] σημαίνει δὲ τὸ οὖρον, ἁλμυρὸν ἐόν, ὅτι καταφέρει ἀπὸ τοῦ σώματος τὸ νοσερόν. [20] τὰ σιτία δὲ ἐς τὴν ὑστεραίην αἰεὶ διαχωρέει· ἡ δὲ ἰκμὰς, ἐς τὴν τρίτην. [21] οὕτω ἡ ὑγιείη ξυμβαίνει γίνεσθαι. [22] καὶ ταῦτα μὲν εἴρηται, ὅκως τε καὶ διό, τι ὑγιαίνουσιν οἱ ἄνθρωποι. [23] ἡ δὲ ἰκμὰς αὕτη εἰ κατὰ μέρος ἔξω χωρέοι, ἐς τὴν ὑστεραίην τὰ σιτία, οὐχ ὁμοίως ἂν ἐκ τῆς κοιλίης κάκοδμα γενόμενα, ἔξω χωρέει, ἀλλ' ὥσπερ ἑφθά. [24] καὶ τὸ οὖρον τῷ ποτῷ παρόμοιον. [25] κενοῖτο τὸ σῶμα ἂν ἐκείνου τοῦ αἰεί, [26] καὶ ἔχρηζε διὰ παντὸς τοῦ χρόνου ὁ ἄνθρωπος, ἐπὴν ἀποπατήσῃ καὶ οὐρήσῃ, αὐτίκα πόσιος καὶ βρώσιος. [27] κατὰ δὲ τοῦ ἀποπάτου πλῆθος ἔμελλεν ἰσχύειν, ἰκμάδος μὴ ὑπολειπομένης ἐν τῷ σώματι ἀρκεούσης, ἀλλὰ χωρεούσης ξὺν τῇ κόπρῳ ἔξω τῇ ὑστεραίῃ, ἢ τῇ αὐτῇ ἡμέρῃ, [28] καὶ, εἰ μέν τι ἔφαγεν· εἰ δὲ μὴ [καὶ] κενωθεῖσα ἀκρασύς τε ἦν,

οὐκ ἂν

ventriculum accedit, [10] & per omne tempus à recenti expellitur. [11] Ubi vero ad ventriculum pervenit, cibos in hoc loco coquit, [12] & de se sanguinem in corpore facit. [13] Si vero permanserit, tempore graveolens fit. [14] Tertia vero die una cum stercore, & urina exit, [15] copia ipse sibiipsi æqualis, & consimilis, & æquilibris, [16] etiamsi suiipsius pars quædam sit, quo humor maneat in corpore juxta relatam rationem. [17] Influit autem & tertia die humor de corpore ad ventriculum amplior & graveolentior, qui videlicet reliquus fuit à secundo, [18] & defert cibos concoctos, & quicquid est in corpore morbosum, & rursus simul exit. [19] Indicio est autem urina quæ salsuginosa est, quod cibi deferunt de corpore etiam id quod morbosum est. [20] Et cibi quidem semper postridie per alvum secedunt, humor autem ad tertiam diem. [21] Hoc modo sanitas contingere solet. [22] Atque hæc dicta sunt, quomodo, & cur homines sani degunt. [23] At vero humor hic si particulatim foras prodiret postridie, cibi non similiter ex ventriculo graveolentes facti foras prodirent, sed veluti cocti: [24] & urina potui similis, [25] & corpus semper evacuaretur, [26] & per omne tempus homo, ubi ventrem exonerasset ac minxisset, opus haberet statim potu ac cibo, [27] pro egestionis factæ copia, si modo validus esse deberet, quum humor sufficiens in corpore non relinquatur, sed una cum stercore foras prodeat postridie, aut eadem die. [28] Et siquidem comedisset, bene esset: sin minus, & evacuatus debilis

esset,

οὐκ ἂν δυνάμενος παχυνθῆναι ἡ ἰκμὰς τῇ ὑστεραίῃ ἔξω χωρέειν. [29] οὐ γὰρ περιλιμπάνεται ἐν τῷ σώματι ἀρκέουσα. [30] νῦν δὲ ἐξαποπατέοντες εὖ πρήσσομεν, καὶ δύο ἡμερέων μηδὲν φαγόντες, καὶ εἶναι καὶ πρήσσειν τι ὑπομένομεν. [31] καὶ οὐκ ἐξασθενέομεν τελέως ὑπὸ κενώματος ἐν τούτῳ τῷ χρόνῳ. [32] ἡ γὰρ ἰκμὰς ἡ ἐν τῷ σώματι μένουσα, τὴν ἰσχὺν παρέχει. [33] καὶ ταῦτα μὲν εἴρηταί μοι, ὅκως τε καὶ διότι οὐχ οἷόν τε τὴν ἰκμάδα, τὴν προσγινομένην ἐν τῷ σώματι, ἐξελθεῖν ἔξω αὐθημερὸν, ἀλλ' οὐδὲ τῇ ὑστεραίῃ. [34] φημὶ δὲ, ἢν τε ἐμμένῃ πλείονας τῶν τριῶν ἡμερέων ἡ ἰκμὰς ἐν τῷ σώματι, ἢ ἄλλη προσγένηται πολλὴ πιμπλαμένη, [35] τῶν φλεβῶν θερμαινομένων καὶ ἱσταμένων, ἐπισημαίνει τῷ ἀνθρώπῳ κακὸν, ἢ μεῖζον, ἢ ἔλασσον. [36] χειμῶνος μὲν ἔλασσον καὶ ὕστερον· θέρεος δὲ μεῖζον καὶ πρόσθεν. [37] ταῦτα δέ μοι εἴρηται, ὅ, τι ξυμβαίνει γίνεσθαι, ἢν μένῃ ἡ ἰκμὰς ἐν τῷ σώματι. [38] εἰ δὲ [τὰ] βρώματα διαχωρέει τὸ σῶμα, οὐκ ἂν ἐπαυρίσκετο ἡμῖν τῆς ἰκμάδος ἐπαρκέον, ἀλλ' ἦσαν οἱ ἄνθρωποι λεπτοί τε καὶ ἀσθενέες. [39] νῦν δὲ ἐμμενόντων τῶν βρωμάτων καὶ τῶν ποτῶν, ὁκόσον χρόνον διαμένει, τὸ σῶμα ἐπαυρίσκεται κατ' ὀλίγον, ἕλκον ἀπὸ τῆς κοιλίης, καὶ πίμπλαται. [40] ταῦτα δέ μοι εἴρηται, ὅκως τε καὶ διότι τὰ βρώματα οὐχ οἷά τέ ἐστιν αὐθημερὸν ἐξιέναι.

XVII. [1] Ἢν δὲ ἐμμένῃ τὰ σιτία ἐν τῇ κοιλίῃ πλείονα τοῦ δέοντος χρόνου, καὶ ἕτερα ἐς αὐτὰ πίπτῃ, [2] τὸ σῶμα πληρωθείη ἄν, [3] καὶ πιεζομέναι τῶν φλεβῶν ὑπὸ τῆς πληθώρης, [4] θέρμη ἂν καὶ πόνος τῷ σώματι παραγίνοιτο. [5] θέρεος μὲν θᾶσσον, χειμῶνος δὲ ὕστερον. [6] τοῦ μὲν γὰρ θέρεος τῷ ἀνθρώ-

essent, neque humor crassus fieri posset, ut postridie foras prodiret. [29] Non enim sufficiens in corpore relinquitur. [30] Nunc vero alvum exonerantes probe valemus: & si per biduum nihil cibi acceperimus, & vivere, & facere quid possumus, [31] & non penitus debilitamur ex evacuatione in hoc tempore. [32] Humor enim in corpore manens, robur exhibet. [33] Atque hæc à me dicta sunt, quomodo & cur fieri non possit, ut humor qui corpori accessit, foras egrediatur eadem die, immo neque postridie. [34] Id porro assero, si humor pluribus quam tribus diebus in corpore permaneat, aut alius multus implens accedat, [35] venis calescentibus ac stantibus, majus malum, aut minus, homini significationem de se præbere: [36] hyeme quidem minus, & posterius: æstate vero majus, ac prius. [37] Atq; hæc à me dicta sunt, de eo quod fieri solet, si humor in corpore maneat. [38] At vero si corpus cibos eadem die egereret, non sufficienter humore uti posset, sed essent homines tenues ac debiles. [39] Nunc vero quum maneant cibi ac potus, quamdiu permanent, corpus fruitur sensim de ventriculo trahens, & impletur. [40] Hæc dixi & quomodo, & cur cibi non possint eadem die exire.

XVII. Si vero cibi maneant in ventriculo, ampliore tempore quam opportunum est, & alii ad ipsos incidant, [2] corpus utique repleatur: [3] & dum premuntur à plenitudine venæ, [4] calor ac dolor corpori accesserint, [5] æstate quidem citius, hyeme vero posterius. [6] Æstate enim calidus est aer ambiens,

ποῦ θερμοῦ ἐστι τὸ περιέχον, καὶ θερμότερον ἕλκει τὸ πνεῦμα ἐς ἑωυτό. 7 κἢν ἔτι θερμῆς τῆς κοιλίης ἐούσης, θερμότερον τοῦ καιροῦ τὸ πνεῦμα τῷ ἀνθρώπῳ προσγένηται, 8 οὐ θαῦμά ἐστι τὸν ἄνθρωπον ἐκ τοῦ τοιούτου πυρετῆναι. 9 χειμῶνος δὲ ψυχρὸν ἕλκοντος τὸ πνεῦμα ἐς ἑωυτόν, μᾶλλον πολλῷ δύναιτ' ἂν τὴν πληθώρην ἀναφέρειν τὸ σῶμα, τοῦ ἀνθρώπου ἀποπατέοντος ὀλίγον. 10 ταῦτα δέ μοι εἴρηται, ὅ,τι ξυμβαίνειν γίνεται, ἢν ἐμμένῃ τὰ σιτία πλείονα χρόνον ἐν τῇ κοιλίῃ. 11 καὶ παρέψαυσταί μοι ἀποφῆναι ἅπαντα περὶ τῆς ἰκμάδος καὶ τῆς διαβρώσιος τοῦ χρόνου τοῦ πλείονος καὶ τοῦ ἐλάσσονος τὸ διαφέρον, διότι νοσέουσιν οἱ ἄνθρωποι. 12 δηλώσω δὲ περὶ τούτου κάλλιον τοῦ χρόνου προϊόντος.

XIIX. Ἀναβήσομαι δ' αὖθις ὀπίσω, περὶ τῆς ὑγείης ἐρέων, 2 ὅτι δὴ τὸ σῶμα τοῦ ἀνθρώπου ἀπὸ τῶν βρωμάτων καὶ τῶν ποτῶν τῆς ἰκμάδος ἐπαυρίσκεται. 3 καὶ χωρεῖ ἔξω τῷ ὑγιέϊ κατὰ τὸν εἰρημένον λόγον τά τε βρώματα καὶ ἡ ἰκμάς. 4 καὶ ἢν μὲν ἔξω χωρέῃ τῆς ἰκμάδος πλεῖον ἢ ὅσον προσγίνεται ἀπὸ τῶν σιτίων καὶ τῶν ποτῶν, λεπτὸς γίνεται ὁ ἄνθρωπος. 5 πλείω δὲ χωρεῖ ἔξωθεν τῆς προσγινομένης διὰ τόδε. 6 ἢν μὲν δὴ ἡσυχάζῃ ὁ ἄνθρωπος καὶ μὴ ταλαιπωρέῃ, κακόν τι οἱ ἐν τῷ σώματι ἔνεστιν· 7 ὑπὸ δὲ τῆς ἄλλης ὑγείης, πολλῆς ἐούσης, οὐκ ἰσχυρῶς κάρτα. 8 τὸ δὲ κακὸν τοιόνδε ἐστίν. 9 ἐπὴν τούτων τι τῶν τεσσάρων, τῶν γινομένων τῷ σώματι, ἐπέλθῃ πλέον τι μὴ πολλῷ, 10 τὸ σῶμα θερμαίνεται καθ' ἡσυχίην, ὡς μὴ ἰσχυρῶς κάρτα, 11 καὶ τήκεται ἐν τῇ κοιλίῃ, 12 καὶ τὸν σῖτον ἀηδέα τῷ ἀνθρώπῳ ποιεῖ. 13 ἢν δὲ πλέον εἴη ἡ ἰκμὰς ἡ ἑτέρη τῆς ἑτέρης, πυρετὸς ἐκ τούτου τῷ ἀνθρώπῳ προσγίνεται. 14

ἀλλὰ

& calidiorem corpus in ſeipſum trahit. 7 Et ſi calido adhuc exiſtente ventriculo, calidior quam opportunus eſt ſpiritus homini accedat, 8 nihil miri eſt hominem ex tali febrire: 9 hyeme vero quum frigidum ſpiritum trahat in ſeipſum, multo magis poterit corpus repletionem ferre; homine modice ventrem exonerante. 10 Et hæc à me dicta ſunt de eo quod fieri ſolet, ſi cibi ampliore tempore in ventriculo maneant. 11 Et attigi quoque obiter ut declararim omnem humoris ac cibi, & longioris, & brevioris temporis differentiam, cur homines ægrotent. 12 Verum de hoc melius tractabo temporis progreſſu.

XIIX. Revertar rurſus retro de ſanitate dicturus, 2 quod ſane corpus hominis humore de cibis ac potibus fruitur, 3 & prodeunt foras in ſano, tum cibi, tum humor, juxta relatam rationem. 4 Et ſiquidem foras prodeat plus humoris, quam de cibis ac potibus acceſſit, homo attenuatur. 5 Prodit autem foras plus quam acceſſit ob hanc cauſam. 6 Si in quiete degat homo, & non laboret, mali aliquid ipſi in corpore ineſt: 7 verum præ alia ſanitate quæ multa eſt, non lædit valde. 8 Malum vero illud hujuſmodi eſt. 9 Poſtquam aliquid ex his quatuor corpori accedentibus, advenerit copioſius, non ita multo, 10 corpus caleſcit ſenſim, ut non valde lædatur: 11 & liqueſcit in ventriculo, 12 & cibum homini injucundum facit. 13 Si vero humor alius alio copioſior fuerit, febris ex hoc homini oboritur. 14 Verum

rum

ἀλλὰ περὶ τούτου ἀτρεκέστερον ὀλίγῳ ὕστερον ἀποφανέω. [15] ἔστι δ' ὅτε καὶ τοῦ σιτίου ἐόντος ἡδέος, λεπτὸς γίνεται ὁ ἄνθρωπος. [16] αἴτιον δὲ τὸ αὐτό. [17] τούτων δὲ γενομένων, ἐξέρχεται τῆς ἰκμάδος πλεῖον, ἢ καθίσταται. [18] καὶ διὰ ταῦτα τῷ μὲν ἡσυχάζοντι ξυμβαίνῃ λεπτῷ γίνεσθαι. [19] ταλαιπωρέοντος δὲ τοῦ ἀνθρώπου, καὶ τὸ σῶμα θερμαίνεται. [20] καὶ γὰρ ἀπὸ τῆς ταλαιπωρίης τούτου θερμαινομένου. [21] καὶ ἡ ἰκμὰς ἐν αὐτῷ διαχέεται, [22] καὶ γίνεται ἡ νοῦσος ἥδε λεπτή. [23] ἀχρεῖος δὲ γενομένη καταρρέει, καὶ ἐς τὴν κοιλίην, καὶ ἐς τὴν κύστιν [24] ταῦτα δὲ διηθέει ἔξω. [25] τὸ δὲ δὴ αὐτῆς διαθμίζει ἔξω διὰ τοῦ ἔνδον ἀραιώματος. [26] τὸ δ' ἔτι καὶ ἐμμένον, ἱδρὼς γενόμενος, ἔξω χωρέει κατὰ τὸ σῶμα. [27] ὡσαύτως δὲ καὶ τὰ γυμνάσια τῶν νέων τὸ αὐτὸ τῇ ταλαιπωρίῃ προσεξεργάζεται. [28] ἢν δὲ καὶ ἔτι ἐλάσσων ἡ ἰκμὰς τῆς πρότερον ἐξιούσης, προσγίνεται δὲ ἔτι ἄλλη ἀπὸ τῶν ποτῶν, καὶ προσέτι ἀπὸ τῶν βρωμάτων, λεπτὸς γίνεται διὰ ταῦτα ὁ ἄνθρωπος. [29] ἐλάσσων δὲ προσγίνεται, ἢν μὴ ἄλλο τι δύνηται ἐσθίειν. [30] καὶ πρὸς μὲν τῷ πονέειν κατὰ τὴν προτέρην ταλαιπωρίην ἢ γυμνασίην ἄλλοισιν ἄλλα ἔλασσον γίνεται.

XIX. Ἐπιγίνεται δὲ κατὰ τὴν βρῶσιν εὐεξίη διὰ τόδε. [2] ἐπὴν ἀναίνηται ἐν τῷ τῆς ἰκμάδος χρόνῳ, καὶ ἐν τῇ προτέρῃ ταλαιπωρίῃ ἐξέλθῃ πρότερον ἑτέρη τῆς ἑτέρης, [3] ἔστιν ὅτε πλείων, καὶ κρατέῃ μὴν ἄλλη τῶν ἄλλων κάρτα, πληθωρὴς ἐστιν. [4] ἢν μὲν δὴ ὑπὸ πολλῶν κάρτα κρατῆται, πῦρ ἐκ τοῦ τοιούτου τρόπου γίνεται. [5] ἢν δὲ ὑπ' ὀλίγων, ὀλίγον. [6] τὸ σῶμα δὲ ἧττον ὑποφέρειν δύναται

καὶ

rum de hoc exactius paulo post tradam. [15] Quandoque etiam ubi cibus jucundus est, homo attenuatur. [16] Causa vero eadem est. [17] His autem contingentibus, plus humoris extra prodit, quam succenturiatur. [18] Et propterea in quiete degenti contingit ut attenuetur. [19] At vero laborantibus hominibus itidem corpus calescit ([20] & hoc à labore calescente:) [21] tum humor in ipso diffunditur, [22] tum attenuationis morbus oboritur. [23] Quum autem inutilis fiat humor, & ad ventriculum, & ad vesicam defluit, [24] hæc autem foras expellunt. [25] Pars vero ipsius extra exhalat, per internam corporis raritatem. [26] Pars autem quæ adhuc intus manet, sudor fit, & per corpus foras procedit. [27] Eodem modo & exercitationes juvenum idem efficiunt quod labor. [28] Si vero etiam non paucior fuerit humor eo qui prius exivit, accedatque insuper alius à cibis ac potibus, attenuatur propterea homo. [29] Paucior autem accedit, si non aliud quid edere poterit: [30] & si neque laboret pro prioris laboris aut exercitationis ratione, alii aliis pauciores fiunt.

XIX. Cæterum bonus corporis habitus accedit ex esu, hac de causa. [2] Postquam resiccatus est tempore humor, & in priore labore prius egressus [3] est alius alio copiosior, & unus alius alios valde superavit, homo repletus fit. [4] Et siquidem à multis valde superetur, febris ex hoc modo oboritur. [5] Si vero à paucis, parum superatur. [6] Sed & corpus hoc modo sufferre ac revalescere potest: humiditate enim uberiore in ipso existente, calo-

rem

καὶ τῆς ὑγρότητος πλείονος αὐτοῦ ἐούσης, τὴν θέρμην ἀπέλυσεν. 7 θερμαίνεται γὰρ τὸ σῶμα τοῦ πυρός. 8 ἢν μὲν ὀλίγον ᾖ τὸ λυπέον, τῇ τρίτῃ ἡμέρῃ μεθῆκε τρόπῳ τοῦ αὐτοῦ· δύο δὲ ἔχει ξυνεχέως. 9 ἢν δὲ πλεῖον, πέμπτῃ ἡμέρῃ· τὰς δὲ τέσσαρας ἔχει κατὰ λόγον. 10 οὕτω δὲ ἡμερέων αἱ νοῦσοι κρίνονται. 11 ἢν δὲ μεθῇ τὸ πῦρ ἐν τῇσι περισσῇσι τῶν ἡμερέων, καὶ ὑγιὴς γίνεται ὁ ἄνθρωπος, καὶ θνήσκει. 12 δι' ὃ δὲ, ὀλίγον ὕστερον ἀποφανέω.

XX. Νῦν δὲ ἐρέω, διότι μεθίει τὸ πῦρ. 2 φημὶ δὲ εἶναι, ὅτι, ἂν ἀπὸ τοῦ σώματος πῦρ λάβῃ τὸν ἄνθρωπον, ἀνάγκη ἐστὶ τῇ τρίτῃ ἡμέρῃ ἐξιέναι τὴν ἰκμάδα τὴν λυπέουσαν ἀπὸ τοῦ σώματος, ἢ ἐν ἄλλῃ τινὶ τῶν περισσῶν ἡμερέων, κατὰ τὸν πρότερον εἰρημένον λόγον. 3 οὐ γὰρ ἐξέρχεται πρὶν ἢ οἱ ἑτέρη προσγένηται ἀπὸ τῆς κοιλίης ἀγαθή. 4 τῇ γὰρ μέσῃ καὶ τῇ ὑστεραίῃ ἕλκει τὸ σῶμα ἀπὸ τῆς κοιλίης ὅ, τι ἂν αὐτὸ ἐς ἑωυτὴν ἀφῇ τῇ προτέρῃ ἡμέρῃ, 5 ἢν μὴ ἡ κοιλίη διηθήσῃ, καὶ ἑτέρην σχῇ ἰκμάδα. 6 καὶ τοῦτο πονηρὸν τῷ ἀνθρώπῳ γίνεται. 7 ἢν δὲ μεθῇ τὸ πῦρ τριταῖον, τοῦ αὐτοῦ τρόπου μεθίει, ὥσπερ καὶ αὐθημερὸν, ὡς εἴρηται. 8 καὶ οὕτω μὲν ξυμβαίνει τὸ πῦρ, γενόμενον ἀπὸ τοῦ σώματος, ἐν τῇ τρίτῃ ἡμέρῃ ἀνιέναι. 9 φημὶ δὲ, καὶ ἢν πέμπτῃ ἡμέρῃ, καὶ ἢν ἑβδόμῃ, καὶ ἢν ἐνάτῃ μεθῇ, τρόπῳ τοῦ αὐτοῦ μεθιέναι, ὥσπερ καὶ τὸ τριταῖον ἐξέρχεται. 10 καὶ γὰρ ἡ τροφὴ τοῦ πυρὸς κατὰ τὰ χωρία, ὁκοῖα ὀλίγῳ πρότερον εἴρηκα. 11 ἐπικρατήσαντος γὰρ μᾶλλον τοῦ ὑγροῦ, πλείονος ἐόντος, ἀνεῖθη ὁ ἄνθρωπος. 12 μεθίει δὲ τὸ πῦρ ἐν τῇσι περισσῇσι διὰ τόδε, 13 ὅτι ἐν τῇσιν ἀρτίῃσι τῶν ἡμερέων ἕλκει τὸ σῶμα

rem exolvit. 7 Calescit enim corpus à febre. 8 Et siquidem modicum fuerit id quod affligit, tertia die eodem modo dimittit, per duas autem continue tenet. 9 Si vero copiosius, quinta die: per quatuor vero tenet pro ratione. 10 Atque hoc modo morbi per dies judicantur. 11 At si dimiserit febris in imparibus diebus, & sanus homo fit, & moritur. 12 Qua de caussa, paulo post dicam.

XX. Nunc autem referam cur febris dimittat. Sic autem sentio. 2 Quæcunque febris de corpore hominem corripuerit, necesse est tertia die humorem affligentem exire de corpore, aut in alio quopiam impari die, juxta rationem antea relatam. 3 Non enim exit prius quàm alius bonus de ventriculo ipsi accedat. 4 Nam intermedia & postera die corpus trahit de ventriculo, quicquid ipsi in seipso dimiserit priore die, 5 nisi ventriculus id expulerit, & alium humorem habuerit, 6 quod sane malum homini esset. 7 Si vero dimiserit febris tertia die, eodem modo dimittit quo etiam eadem die, velut dictum est. 8 Atque ita quidem contingit, ut febris de corpore oriens, tertia die remittat. 9 Dico autem, etiamsi quinta die, aut septima, aut nona dimittat, eodem modo dimittere, quemadmodum & tertia exivit. 10 Etenim alimentum febri contingit, secundum locos quos paulo antea dixi. 11 Ubi enim humor copiosior prævaluerit, homo liberatur à febre. 12 Dimittit autem febris in diebus imparibus ea de caussa. 13 Quod videlicet in paribus diebus,

σῶμα ἀπὸ τῆς κοιλίης, ἐν δὲ τῇσι περισσῇσιν ἀφίει. 14 ἡ δὲ κοιλίη διηθέει ἔξω τῷ ὑγιέι. 15 καὶ ἀνάγκην τοιήνδε αἱ νοῦσοι κρίνονται ἐν τῇσι περισσῇσι τῶν ἡμερέων. 16 καὶ ἐν τούτῳ μὲν τῷ χρόνῳ ὁ ἄνθρωπος πυρετήνας, ὑγιὴς ἐγένετο. 17 φημὶ δὲ, καὶ τὸ πονέεσθαι μάλιστα τοὺς νοσέοντας ἐν τῇσι περισσῇσιν ἡμέρῃσι διὰ τόδε κατὰ λόγον γίνεσθαι. 18 τετάρακται μὲν δὴ ὁ ἄνθρωπος, ὁκόταν πυρετήνῃ. 19 σημήιον δὲ τοῦτο, ὅτι φρίκη διαΐσσει διὰ τοῦ σώματος ἄλλοτε καὶ ἄλλοτε. 20 τοῦτο δὲ οὐκ ἂν ἐγίνετο οὕτως, εἰ μὴ ἐταράσσετο τὸ ὑγρὸν, καὶ ἀπεκρίνετο ἀπ' αὐτοῦ ἢ πλέον ἢ ἔλασσον, καὶ ἐκράτει ἄλλοτε ἄλλο. 21 μάλιστα δὲ καὶ τετάρακται ἐν τῇσι περισσῇσι τῶν ἡμερέων, ὁκόταν νοσέῃ. 22 καὶ ἡ φρίκη δὲ μάλιστα τότε γίνεται. ἔχει γὰρ ὧδε. 23 ἀπὸ τοῦ ὑγροῦ τοῦ πονέοντος ἐξωθέεταί τι ἐκ τοῦ σώματος, 24 ὑπὸ τῆς νεωτάτης ἰκμάδος νικώμενον, 25 καὶ χωρέει ἐς τὴν κάτω κοιλίην, 26 καὶ ἡ κοιλίη προσεκθερμαίνεται τοῦ πονέοντος, 27 δεχομένη ἐς ἑωυτὴν μᾶλλον ἢ τῷ πρὶν χρόνῳ. 28 τοῦτο δὲ γίνεται μάλιστα ἐν τῇ κρίσει τῆς νούσου. 29 καὶ, ἢν κατ' ὀλίγον τὸ σῶμα ἐς τὴν κοιλίην ἀφίῃ, καὶ μὴ πολλὸν ἔῃ τὸ λυπέον τὸν ἄνθρωπον, 30 ἀναφέρει τὴν θέρμην ἡ κοιλίη καὶ τὸ σῶμα δύναται ἐν τῇ κρίσει, 31 καὶ γίνεται ὑγιὴς ὁ ἄνθρωπος, ἐπὴν ἐξέλθῃ ἡ ἰκμὰς ἡ πονέουσα. 32 καὶ, ἢν ἡ τροφὴ τοῦ πυρὸς ἐοῦσα ἐξαναλωθῇ. 33 ἢν δὲ ἡ ὑγιηρὴ ἐπικρατήσῃ, ἐν τούτῳ τῷ χρόνῳ νοσήσας ὁ ἄνθρωπος, ὑγιὴς ἐγένετο, δι' αἰτίας τὰς προειρημένας.

XXI. Νῦν δὲ ἐρέω, διότι θνήσκουσιν ἐν τῇσι περισσῇσι τῶν ἡμε-

bus trahit corpus de ventriculo: in imparibus vero dimittit. 14 Ventriculus autem extra propellit in homine sano. 15 Juxta hujusmodi necessitatem morbi in imparibus diebus judicantur. 16 At hac quidem ratione homo febricitans sanus evadit. 17 Assero autem & quod doleant maxime homines ægroti in imparibus diebus, propter hoc & secundum rationem fieri. 18 Conturbatur equidem homo quum febricitat. 19 Cujus rei signum est, quod horror alias atque alias per corpus transcurrit. 20 Hoc vero non sane ita contingeret, si non conturbaretur humor, & de ipso aut plus, aut minus secerneretur, & alius alium superaret. 21 Conturbatur autem maxime in imparibus diebus quum ægrotat. 22 Sed & horror maxime tunc fit. Habet enim se res hoc modo. 23 De humore affligente expellitur aliquid ex corpore, 24 à recentissimo humore superatum, 25 & procedit ad alvum infernam, 26 & alvus ipsa una cum affligente calescit, 27 suscipiens in seipsam magis quam priore tempore. 28 Hoc autem maxime fit in morbi judicatione. 29 Et si paulatim corpus ad alvum dimiserit; & non multum fuerit id quod hominem affligit, 30 & alvus, & corpus, calorem sufferre in judicatione potest: 31 & homo sanus evadit, ubi humor affligens egressus fuerit, 32 & is qui febri alimentum præbuit consumptus, 33 & sanus prævaluerit. Atque hac ratione propter relatas à me caussas homo ægrotus sanus evasit.

XXI. Nunc vero referam cur moriantur homines in imparibus

ἡμερέων. ² φημὶ δὲ, ἢν πολλὸν ἔῃ τὸ πονέον ἐν τῷ σώματι, μᾶλλον τοῦ καιροῦ τετάραχθαι, ³ καὶ ἄλις ἰσχυρὸν ἐς τὴν κοιλίην καὶ μὴ δυνάμενον ἀναφέρειν τὴν θέρμην, τὸ σῶμα ἐπαυρίσκεται. ⁴ καὶ δυσωδίην δὴ γίνεσθαι περὶ τὸ πνεῦμα. ⁵ καὶ οὐ δυνάμενον τὸ σῶμα ὑπὸ ἀσθενείης, ἅτε τοῦ ὑγροῦ παντὸς νοσεροῦ γινομένου, τὴν πνοιὴν ἕλκειν, ⁶ ὡς διαψύχηται τὰ ἐν τῇ κοιλίῃ, ἐξατμίζει ἔξω τοῦ ὑγροῦ πᾶν τὸ ζωτικὸν, καὶ οὕτω θνήσκει ὁ ἄνθρωπος. ⁷ οὐ γὰρ ἐπικρατέει ἑτέρη ἡ ὑγιηρὴ ἰκμὰς, ⁸ ἀλλὰ πᾶσα ὑπὸ τῆς νοσερῆς, πολλῆς ἐούσης, ⁹ ἐπαιρομένη [καὶ] ἐξαναλωμένη ὑπὸ τοῦ πυρὸς διεξήτμισεν. ■ οὕτω δὴ περὶ ἐν τῇσι περισσῇσιν ἡμέρῃσι μάλιστα ὁ πόνος γίνεται. ¹⁰ τοῦτο πᾶς οἶδεν ὅς τίς ποτε. ¹¹ καὶ μὴν, ὅτι τὸ ὑγρὸν τετάρακται ἐν αὐτῇσι τῇσιν ἡμέρῃσι, σημήϊόν ἐστι τόδε. ¹² ὁκόσοι ἤδη ὑπὸ πυρὸς ξυνεχέος ἐχόμενοι ἐφαρμακεύθησαν ἐν τῇσιν ἀρτίῃσι τῶν ἡμερέων, οὗτοι οὐ μὴν ὑπερεκαθάρθησαν. ¹³ ὁκόσοι δὲ ἐν τῇσι περισσῇσιν ἐφαρμακεύθησαν ἰσχυρῇ φαρμακείῃ, ὑπερεκαθάρθησαν. ¹⁴ πολλοὶ δὲ καὶ ἀπώλοντο ὑπερκαθαρθέντες. ¹⁵ οἱ γοῦν πρόσθεν ἰητροὶ ἐν τούτῳ μάλιστα ἡμάρτανον. ¹⁶ ἐφαρμάκευον γὰρ ἐν τῇσι περισσῇσιν ἡμέρῃσι, καὶ ἀπώλλυον τοὺς ἀνθρώπους, οὐ γινώσκοντες, ὅτι τοῦθ' οὕτως ἔχει. ¹⁷ τὸ γὰρ ὑγρὸν ἐν τῷ σώματι τοῦ νοσέοντος τετάρακται μᾶλλον ἐν τῇσι περισσῇσι τῶν ἡμερέων. ¹⁸ οἷα τοῦ σώματος ἐς τὴν κοιλίην μεθιέντος τῆς ἰκμάδος. ¹⁹ καὶ ἤν τις ἐπιτεταραγμένῳ ἐόντι ἔτι μᾶλλον ταράξῃ φάρμακον ἐμβαλὼν, οὐ θαῦμά ἐστιν, ἐκ τῶν τοιούτων ἀπολέσθαι τὸν ἄνθρωπον.

XXII. Καὶ

bus diebus. ² Sic autem sentio. Si multum fuerit id quod affligit in corpore, magis quam opportunum est, ³ & acervatim robustum, turbatur ad ventriculum: & quum non possit calorem sufferre corpus, eo fruitur, ⁴ & graveolentiam circa spiritum fieri necesse est, ⁵ & quum nequeat corpus prae debilitate, nimirum omni humore morboso existente, spiritum trahere, ⁶ quo ea quae in ventriculo sunt refrigerentur, quicquid est humoris vitalis id foras exhalat, atque ita homo moritur. ⁷ Non enim superat alius salubris humor, ⁸ sed totus à morboso qui multus est elevatus, ac consumptus à febri, exhalavit ac perspiravit. ⁹ Atque hoc modo in imparibus diebus maxime dolor affligit. ¹⁰ Neque est quisquam, cui hoc non sit notum. ¹¹ At vero quod humor turbetur in iisdem diebus, hoc signum est. ¹² Quicunque jam à febre continua correpti, pharmaco usi sunt in diebus paribus, hi nimium purgati nunquam sunt. ¹³ Qui vero in diebus imparibus medicamento forti usi sunt, nimium purgati sunt. ¹⁴ Multi vero etiam perierunt nimium purgati. ¹⁵ Proinde priores Medici in hoc maxime peccarunt. ¹⁶ Medicamenta enim exhibuerunt in diebus imparibus, & homines peremerunt, non scientes quod haec res se ita habet. ¹⁷ Humor enim in corpore aegroti magis turbatur in imparibus diebus, ¹⁸ nimirum corpore humorem ad ventriculum transmittente. ¹⁹ Et si quis jam turbatum, adhuc magis perturbet medicamento immisso, nihil miri est ex talibus hominem perire.

XXII.

XXII. Καὶ τὰ ἕλκεα, ἢν μελεδαίνηται, φλεγμαίνει μάλιστα ἐν ταύτῃσι τῇσιν ἡμέρῃσιν. ² ἔρχεται γὰρ τὸ ὑγρὸν ἐς ἁπάσας τὰς φλέβας, ὁκόταν ταράσσηται. ³ καὶ πληροῖ, ἐπὴν ἔλθῃ ἐς τὸ ἕλκος ἡ νοῦσος. ⁴ καὶ, ἢν μὲν μελεδαίνηται, καὶ ἔχῃ ἔξοδον τὸ πύος ἐξωθεόμενον ὑπὸ τοῦ ὑγροῦ τοῦ ἐλθόντος ἐν τῇ ταραχῇ, ἔξω ἀποκαθαίρεται τὸ ἕλκος. ⁵ ἢν δὲ μὴ μελεδαίνηται, οὐκ ἔχον ἔξοδον τὸ πύος αὐτοῦ, καταμένον ξὺν τῷ καταπλῆθόντι, πόνον παρέχει, καὶ αἴρει τὴν σάρκα τὴν περὶ τὸ ἕλκος. ⁶ καὶ ἀπ' ἐκείνου, ἢν μὲν ἐν τοῖσι σκέλεσιν ἔχῃ τὸ ἕλκος, αἴρονται αἱ φλέβες, αἱ ἐν τῇσι προσφύσεσι τῶν σκελέων ἐοῦσαι· ⁷ ἢν δὲ ἐν τῇσι χερσὶν, αἱ ἐν τῇσι προσφύσεσι τῶν χειρῶν ἐοῦσαι. ⁸ καὶ ἐκ τούτων βουβῶνες γίνονται. ⁹ ὁκόσοισι δὲ τῶν ἀνθρώπων πῦρ ἐμπίπτει, ἄλλο μηδὲν τοῦ ἀνθρώπου κακὸν ἔχοντος, ἀπὸ τῆς πιοτέρης ἐούσης τοῦ χυμοῦ ἐμπίπτει. ¹⁰ καὶ πληρούμεναι αἱ φλέβες πόνον καὶ θέρμην τῷ ἕλκει παρέχουσι. ¹¹ τὸ δὲ θερμανθὲν καὶ τὸ ἄλλο σῶμα θερμαίνει. ¹² καὶ ἡ θερμασίη οὕτως ἐς τὰ ἕλκεα γίνεται. ¹³ θερμαίνεται γὰρ τὸ σῶμα καὶ τὰ ἕλκεα ὑπὸ τῆς κλονήσιος τοῦ ὑγροῦ. ¹⁴ καὶ ἡ ταλαιπωρίη τοιαῦτα ἐργάζεται. ¹⁵ ἀποφλεγμαίνει δὲ τὰ ἕλκεα πεμπταῖα. ¹⁶ καὶ κατὰ λόγον τουτέων τῶν ἡμερέων, ὡς ἂν καὶ τὰ ἕλκεα μέγεθος ἔχῃ, καὶ τριταῖα, καὶ πεμπταῖα, καὶ ἑβδομαῖα, καὶ ἐνναταῖα, καὶ ἑνδεκαταῖα. ¹⁷ εἶτα, ἀπηρτισμένης πρώτης περιόδου, πάλιν δευτέρης ἀρχὴ τρίτη, ¹⁸ ἥτις ἐστὶν ἀπὸ τῆς πρώτης τεσσαρεσκαιδεκάτη. ¹⁹ τὰ δὲ μέγιστα αὐτῶν τεσσαρεσκαιδεκαταῖα ἀποφλεγμαίνει. ²⁰ οὕτως ὁ λόγος ἐρεῖ, τὰ νοσήματα κρίνεσθαι ἐν τῇσι περισσῇσι τῶν ἡμερέων, ²¹

καὶ

XXII. Quin & ulcera si curentur, maxime in his diebus inflammantur. ² Venit enim humor ad omnes venas, quum turbatur, ³ easque replet. Et ubi ad ulcus pervenit, ⁴ siquidem non curetur, & pus exitum habeat: expellitur ab humore qui in turbatione accessit, & ulcus foras expurgatur. ⁵ Si vero curetur, pus exitum non habens, & istic una cum eo qui accessit permanens, dolorem inducit, & carnem circa ulcus attollit: ⁶ & ex illo, siquidem in cruribus habuerit ulcus, attolluntur venæ quæ in juncturis crurum existunt. ⁷ Si vero in manibus, quæ in manuum juncturis sunt: ⁸ & ex hoc glandularum tumores fiunt. ⁹ Quibuscunque vero hominibus febris incidit, si nihil aliud male habeat homo, à pinguiore quam oportet existente humore incidit: ¹⁰ & venæ impletæ dolorem ac calorem ulceri inducunt. ¹¹ Hoc autem calefactum, etiam reliquum corpus calefacit. ¹² Atque hoc modo caliditas ad ulcera pervenit. ¹³ Calescit enim corpus, & ulcera ab humoris commotione. ¹⁴ Et labor talia efficit. ¹⁵ Liberantur autem ulcera ab inflammatione quinta die, ¹⁶ & juxta horum dierum rationem, prout etiam ulcera fuerint magna, & tertia, & quinta, & septima, & nona, & undecima. ¹⁷ Deinde absoluto primo circuitu, rursus secundi principium tertia sequens hinc est, ¹⁸ quæ à prima decimaquarta est. ¹⁹ Maxima vero ulcera decimaquarta die ab inflammatione liberantur. ²⁰ Atque hæc ratio docet morbos in imparibus diebus judicari, ²¹ &

hu-

καὶ τὴν ἰκμάδα τὴν ὑγιέα τριταίην ἐξιέναι, ²² τὴν δὲ κόπρον, δευτεραίην. ²³ καὶ ταῦτα τριταῖα ἐόντα, ἱστορέει ἀλλήλοισιν, ὅτι οὕτως ἔχει. ²⁴ οὕτω δέ μοι ὁ λόγος οὗτος πᾶς ἐκκεκορύφωται.

XXIII. Νῦν δὲ ἐθέλω ἀτρεκέστερον εἰπεῖν, διότι νοσέουσιν οἱ ἄνθρωποι. ² ἐρέω δὲ ξὺν τούτῳ τῷ λόγῳ καὶ τίνες ἀρχαὶ τῶν νούσων εἰσί, ³ καὶ ὁκοῖα ἑκάστη αὐτέων ἐργάζεται. ⁴ φημὶ δὲ, ἢν μὲν ἐμμένῃ τὰ σιτία πλείονα τοῦ καιροῦ ἤδη πεπεμμένα ἐόντα, ⁵ καὶ ὁ ἄνθρωπος μὴ ἀποκαθαίρηται, καὶ ἕτερα σιτία ἐπιπίπτῃ, ⁶ τὸ σῶμα πληρεύμενον ὑπὸ τῆς ἰκμάδος τῆς προτέρης καὶ τῆς νέης θερμαίνεται, ⁷ καὶ πῦρ ἐκ τούτου γίνεται τῷ ἀνθρώπῳ. ⁸ τὸ δὲ πῦρ οὕτως γινόμενον, ἀκίνδυνον, οὐδὲ ἰσχυρόν ἐστιν, ⁹ ἐν ᾧ ἰκμὰς ἰσάζει, καὶ πλῆθος ἡμέας λυπέουσα ὀλίγῳ πλέον. ¹⁰ ἢν γὰρ τοῦθ' οὕτως ἔχῃ, καί τις κάρτα ἰσχύῃ καὶ τὰ ἐπιτήδεια προσενέγκῃ, ὑγιὴς γίνεται. ¹¹ ἓν δὲ νόσημα μοῦνον ἀπὸ πάσης τῆς ἰκμάδος, καὶ σημήϊα ἔχει ἑπτά. ¹² βήξ τε γὰρ ἔχει μιν, ¹³ βληχρὴ καὶ ξηρὴ ἐοῦσα. ¹⁴ [ἡ] γαστὴρ δὲ σκληρὴ γίνεται, ἅτε τοῦ ἀποπάτου ἐόντος ἔσω. ¹⁵ καὶ τὴν κεφαλὴν βαρέεται. ¹⁶ καὶ ἐξεμέει. ¹⁷ καὶ πυρεταίνει. ¹⁸ καὶ οὖρον οὐ χρηστὸν διεξέρχεται. ¹⁹ ταῦτα δέ ἐστι τῆς νούσου ταύτης, ἀπὸ πάσης τῆς ἰκμάδος γινομένης, σημήϊα ἑπτά. ²⁰ ἢν δὲ, τοῦ ἀποπάτου μὴ διαχωρέοντος, κρατέῃ μία τῶν ἄλλων ἰκμὰς, κάλλιον ἐμπολήσει ὁ ἄνθρωπος. ²¹ καὶ, ἤν τις τοῦ πυρετοῦ γινομένου ἀπὸ πάσης τῆς ἰκμάδος τὰ ἐπιτήδεια μὴ προσενέγκῃ, ²² τελειοῦται ἡ νοῦσος, ὅσον δὲ αὐτὴ κρατέει τῶν ἰκμάδων, τρόπῳ

humorem in ſano homine tertia die exire, ²² ſtercus autem ſecunda. ²³ Et hæc tertia die contingentia mutuum inter ſe teſtimonium præbent, quod res ſe ita habeat. ²⁴ Atque ita mihi hic ſermo univerſus ad ſummum perductus eſt.

XXIII. Nunc vero exactius referre volo, cur homines ægrotent, ² ſimulque cum hoc ſermone dicam quæ ſint principia morborum, ³ & qualia unumquodque ipſorum efficiat. ⁴ Sic autem aſſero. Si cibi plures quam opportunum eſt, qui jam concocti ſunt, intus maneant, ⁵ & homo non purgetur, & alii cibi ſuperingerantur, ⁶ corpus ab humore priore ac recenti repletum caleſcit, ⁷ & febris ex hoc homini oboritur. ⁸ Verum febris hoc modo oboriens, non periculoſa, neque fortis eſt, ⁹ in qua humor æqualis eſt, copia paululum uberiore nos affligens. ¹⁰ Si enim hoc ita ſe habuerit, & quis admodum validus ſit, & quæ commoda ſunt adhibuerit, ſanus evadit. ¹¹ Unus autem morbus ſolus eſt ex omni humore, & ſeptem ſigna habet. ¹² Nam & tuſſis ipſum habet, ¹³ quæ & debilis, & ſicca eſt: ¹⁴ & venter durus fit, utpote ſtercore intus contento: ¹⁵ caput gravatur, ¹⁶ & vomit, ¹⁷ & febrit, ¹⁸ & urina non probe prodit. ¹⁹ Hæc ſeptem ſigna hujus morbi ſunt ex omni humore orientis. ²⁰ Si vero alvi egeſtione non prodeunte, unus ex aliis humoribus ſuperet, melius deget homo. ²¹ Et ſi quis febre oboriente ab omni humore, non adhibeat idonea, ²² invaleſcet morbus quantum ipſe humores ſuperaverit, hoc modo.

τρόπῳ τοιῷδε. [23] θερμαινομένου τοῦ αἵματος, ἐξατμίζει μάλιστα διὰ τούτου τοῦ ὑδρωποειδέος, ὅ τι ἐστὶ τῷ πυρὶ πολεμιώτατον. [24] καταλείπεται δὲ τὸ λιπαρὸν καὶ κοῦφον, ὅ τι ἐστὶ χολῶδες, καὶ τῷ πυρὶ τροφὴ μάλιστά ἐστιν. [25] ἐξατμίζει δὲ τρόπῳ τοιῷδε, ὥσπερ εἴ τις ὕδωρ καὶ ἄλειφαρ ἐς χαλκεῖον ἐγχέας, ξύλα πολλὰ ὑποκαίοι πουλὺν χρόνον. [26] τὸ μὲν δὴ ὕδωρ πολλῷ ἔλασσον ἔσται· ἐξατμισθήσεται γὰρ ἐκ τοῦ χαλκείου. [27] τὸ δὲ ἄλειφαρ ὀλίγῳ ἔλασσον. [28] ὅτι τὸ μὲν ὕδωρ ὑπὸ τῆς ἀραιότητος καταλεπτύνεσθαι δύναται ὑπὸ τοῦ πυρὸς, καὶ κοῦφον γινόμενον ἐξατμίζει. [29] τὸ δὲ ἄλειφαρ, ἅτε ξυναφὲς ἐὸν καὶ πυκνὸν, οὐ δύναται καταλεπτύνεσθαι, οὐδὲ ἀτμίζειν ὁμοίως τῷ ὕδατι. [30] οὕτω δὴ καὶ ἐν τῷ ἀνθρώπῳ ἔχει. [31] ὁ μὲν γὰρ ὕδρωψ, θερμαινομένου τοῦ σώματος, ἐξατμίζει ἔξω. [32] τὸ δὲ χολῶδες, ἅτε ξυναφὲς ἐὸν καὶ πυκνὸν, οὐ δύναται ἀτμίζειν καταλεπτυνόμενον ὁμοίως. [33] τὸ δὲ χολῶδες καταλεπτυνόμενον, μᾶλλον ποιέει θερμαίνεσθαι τὸ σῶμα· [34] πλείων γὰρ καὶ καλλίων τροφὴ τῷ πυρὶ γίνεται ἡ χολή. [35] καὶ ῥακύμενον ἐν τῷ σώματι, ἢ στηριξάμενον, τὴν νοῦσον ἐπικρατύνει αὐτῆς τὸ πρόσθεν. [36] καὶ ταῦτα μὲν εἴρηται, ὅ τι πάσχει ὁ ἄνθρωπος, ἢν μὴ καθαίρηται καὶ μελεδαίνηται. [37] ἢν δὲ μὴ αὐτῶν πλῆθος κρατήσῃ, εἴτε ἐς ἅπαξ πολλὴ γινομένη, εἴτε κατὰ μικρὸν ξυλλέγηται, καὶ τὸ ἄλλο σῶμα δύναται. [38] τοῦτο [δὲ] γινόμενον ὑπὸ ἰσχύος ἀναφέρει, μέχρις οὗ ἀρχή τις ἐπιγένηται. [39] καὶ, ἢν τὸ πλεῖον γινόμενον ὑγρὸν μὴ ἀποκαθαίρηται ὁ ἄνθρωπος, νοῦσος ἔνθεν γίνεται τρόπῳ τοιῷδε.

XXIV. Ἀρχαὶ εἰσὶ τρεῖς, ἀφ' ὧν αἱ νοῦσοι γίνονται. [2] καὶ μία μὲν ἤδη εἰρη-

modo. [23] Calescente sanguine exhalat maxime per hunc humor aquosus, qui febri est infestissimus. [24] Relinquitur autem pinguis ac levis, qui est biliosus, & febri maxime nutrimentum est. [25] Exhalat autem hoc modo: velut si quis aquam & oleum in vas æneum infundat, & ligna multa subjecta ad multum tempus exurat. [26] Aqua enim multo paucior erit, ex vase enim exhalabit: [27] oleum autem paululum imminuetur. [28] Nam aqua præ raritate ab igne attenuari potest, & levis reddita exhalare. [29] Oleum vero, utpote quod est conjunctum ac densum, attenuari non potest, neque similiter ut aqua exhalare. [30] Sic sane & in homine se res habet. [31] Aqua enim calescente corpore foras exhalat. [32] Biliosus autem humor, ut qui conjunctus est ac densus, non similiter attenuatus exhalare potest. [33] Verum attenuatus hic biliosus humor, corpus magis calere facit. [34] Copiosius enim & melius alimentum febri bilis suppeditat, [35] & prorumpens aut firmata in corpore, morbum supra priora corroborat. [36] Atque hæc quidem dicta sunt de eo quod afficitur homo, si non purgetur & curetur. [37] Si vero non ipsa copia prævaluerit, sive semel multa fiat, sive paulatim colligatur, reliquum corpus [38] dum hoc fit, præ robore sufferre potest, donec principium aliquod superaccedat. [39] Atque hoc sane modo morbus fit, si homo à copiosiore humore non expurgetur.

XXIV. Principia ex quibus fiunt morbi, tria sunt. [2] Et unum

εἴρηταί μοι, ὁκοῖα καὶ ὅσα ἐργάζεται ἐν τῷ σώματι.[3] ἀπέδειξα γὰρ, ὅκως τε καὶ διότι, ἢν μὴ ἀποκαθαί-
25 ρηται ὁ ἄνθρωπος, νοσεῖ.[4] δευτέρα δέ ἐστιν, ἢν ξυμβῇ τὰ ἐκ τοῦ οὐρανοῦ ἀνεπιτήδεια, καὶ παρὰ δίαιταν εἶναι.[5] τρίτη δέ ἐστιν, ἢν τι βίαιον προσπέσῃ.[6] βίαιον δὲ λέγω εἶναι, καὶ πτῶμα, καὶ τρῶμα, καὶ πληγὴν, καὶ ταλαιπωρίην, καὶ εἴ τι ἄλλο ἐστὶ τοιοῦτον.[7] τούτων δὲ τῶν ἀρχέων μεγίστη ἐστὶ βίη, ἢν μεγάλη ᾖ· ἢν δὲ μικρὴ, οὐ μεγίστη.[8] δευτέρη δὲ, ἢν μὴ ἀποκαθαίρηται ὁ ἄνθρωπος.[9] τρίτη δὲ, ἢν τὰ ἐκ τοῦ οὐρανοῦ ἀνεπιτήδεια ᾖ πρὸς τὴν ὑγιείην.[10] τούτων τοιγαροῦν δεῖ φυλακὴν ἔχειν.[11] ἕκα-
30 στα δ' αὐτῶν τοιοῦτον ἐργάζεται ἐν τῷ σώματι, ὁκοῖον ἐγὼ ἐρέω.

XXV. Ἢν μὲν τρῶμα γένηται, δῆλον, ὅτι σὰρξ διακέκοπται, καὶ ἕλκος ἐγένετο.[2] τοῦτο δὲ νόσημα ὀνομάζω εἶναι.[3] ἢν δὲ φλάσμα γένηται, πληγέντος, ἢ πεσόντος, ἢ τι ἄλλο τοιοῦτο παθόντος, καὶ οἴδημα γένηται,[4] τὸ [γὰρ] αἷμα, αὐτίκα θερμανθὲν ὑπὸ τῆς βίης, καὶ ὑποδεχομένων ἐς τὰς φλέβας χανούσας, οὐκ ἔχον ἔξοδον ὑπὸ πλήθεος ἀπελθεῖν, ξυνεστράφη.[5] καὶ τὸ οἴδημα διὰ τοῦτο ἐγένετο, καὶ μέχρι τούτου παρα-
35 μένει,[6] μέχρις ἀποκαθαρθῇ, καθότι εἴρηται, ἀπὸ τῶν χωρίων, ἢ καὶ αὐτὸ τὸ οἴδημα,[7] καὶ, εἴτε ξὺν χειρουργίῃ, εἴτε καὶ μὴ, διέξοδος γένηται τῷ αἵματι, ἢ πυωθέντι ὑπὸ χρόνου, ἢ καὶ μή.[8] καὶ ἡ ταλαιπωρίη δὲ τοιοῦτον ἐργάζεται.[9] ὁκόταν γὰρ οἱ ἄνθρωποι ταλαιπωρέωσιν, οἷσιν ἂν μάλιστα τοῦ αἵματος ταλαιπωρίη ᾖ, κεῖθι στηρίζεται, καὶ θερμαίνεται.

unum quidem jam à me relatum est, qualia & quot efficiat in corpore.([3] demonstravi enim quomodo & cur ægrotet homo, si non purgetur.)[4] Alterum est, si contingat ut ea quæ ex cœlo obveniunt, inepta & præter
35 victus rationem sint.[5] Tertium est, si violentum quid accidat.[6] Violentum autem esse dico, & casum, & vulnus, & plagam, & laborem, & si quid aliud est hujusmodi.[7] Horum vero principiorum maximum est violentia, si magna fuerit: si vero parva, non ita maximum.[8] Secundum est, si non purgetur homo.[9] Tertium, si quæ ex cœlo obveniunt, inepta fuerint ad sanitatem.[10] Proinde diligenter ab his se custodire opor-
40 tet.[11] Singula vero talia in corpore faciunt, qualia ego dicturus sum.

XXV. Equidem si vulnus fiat, manifestum est quod caro dissecta est, & ulcus factum est:[2] hoc autem morbum esse dico.[3] Si vero contusio fiat, homine percusso, aut lapso, aut aliud quid tale perpesso, & tumor oboriatur,[4] sanguis statim præ violentia calefactus, & venis hiantibus illapsus, non habens exitum præ copia, quo abire
45 possit, conglobatur:[5] & propterea tumor fit, & tamdiu adest,[6] donec depurgatus fuerit, eo modo quo de locis depurgari dictum est, aut etiam per ipsum tumorem,[7] & sive per chirurgiam, sive sine ea, sanguini transitus fiat, aut per tempus suppurato, aut non.[8] Sed & labor tale quid efficit.[9] Quum enim homines laborarint, quibus sane maxime sanguinis afflictio contigerit, illic firmatur ac ca-
50 lescit,

γίνεται. ¹⁰ καὶ πόνος ἐκ τοῦ πιέζειν γίνεται. ¹¹ ἢν δὴ κρατηθῇ μὲν τούτων, κάρτα δὲ πλῆθος γένηται ταλαιπωρέῃ, καὶ ἡ κοιλίη καὶ ἡ κύστις μηδαμῶς ἀποκαθήσῃ ἐν τάχει τὸ πλῆθος, πῦρ ἐπιπίπτει αὖ ἐκ τούτου. ¹² κἢν μὲν ἡ πρόσθεν ἰσάζῃ ἰκμὰς, οὐδαμῶς. ¹³ ἢν δ' ἐν τῇ ταλαιπωρέῃ αὐτέων πλείστη ἐν τῷ σώματι καταμένῃ, κρατέει κείνη. ¹⁴ ταῦτα δέ μοι εἴρηται περὶ βίης, ὁκοῖα ἐν τῷ σώματι κατεργάζεται. ¹⁵ καὶ αὗται μὲν δύο ἀρχαὶ εἰσὶν, ἥτε βίη, καὶ ἡ πληθώρη, ἢν μὴ ἀποκαθαίρωνται οἱ ἄνθρωποι, θερμαίνουσι τὰ σώματα. ¹⁶ ἡ δὲ ἐκ τοῦ οὐρανοῦ ἀνεπιτήδειος γενομένη ἐν τῷ ἀνθρώπῳ, ἐκράτησέ τι τοῦ ὑγροῦ, καὶ θερμαίνει ὡς ἐς νοῦσον, καὶ ψύχει πρότερον, ἢν τύχῃ γενόμενον. ¹⁷ ἐρέω δὲ πρότερον περὶ τοῦ ὡς θερμαίνει. ¹⁸ φημὶ οὖν, ἢν ἐν τῷ αὐτῷ ἀνθρώπῳ ἐνέῃ τι νοσηρὸν, ὁκοῖον ἐν τῷ προτέρῳ εἴρηκα, καὶ τὰ ἐκ τοῦ οὐρανοῦ ἀνεπιτήδεια γένηται, καὶ θερμανθῇ ὁ ἄνθρωπος, ταράσσεται τὸ ὑγρὸν πᾶν θερμαινόμενον ἐν τῷ σώματι. ¹⁹ τοῦτο δὲ ποιέει βίη. ²⁰ καὶ, ἢν μὲν ἀποκαθαίρηται ὁ ἄνθρωπος, τοῦ δὲ ταρασσομένου ἀποκρίνεται, ὁκόσον ἂν πλέον ᾖ τοῦ καιροῦ. ²¹ ἔοικε δὲ τοῦτο, ὥσπερ οἱ Σκύθαι ποιέουσιν ἐκ τοῦ ἱππείου γάλακτος. ²² ἐγχέοντες γὰρ τὸ γάλα ἐς ξύλα κοῖλα, σείουσι. ²³ τὸ δὲ ταρασσόμενον ἀφρέει καὶ διακρίνεται. ²⁴ καὶ τὸ μὲν πῖον, ὃ βούτυρον καλέουσιν, ἐπιπολῆς διίσταται, ἐλαφρὸν ἐόν. ²⁵ τὸ δὲ βαρὺ καὶ παχὺ κάτω ἵσταται ²⁶ ὃ καὶ ἀποκρίναντες ξηραίνουσιν. ²⁷ ἐπὴν δὲ παγῇ καὶ ξηρανθῇ, ἱππάκην μιν καλέουσιν.

28

lescit, ¹⁰ & ex hoc dolor oboritur. ¹¹ Si vero hæc quidem superarit homo, verum multa copia labor accedat, & alvus ac vesica non brevi copiam expulerint, febris sane ex hoc irruerit. ¹² Et siquidem prior humor æqualis fuerit, nequaquam. ¹³ Si vero in labore ipsorum plurimus in corpore permaneat, superat ille. ¹⁴ Atq; hæc à me dicta sunt de violentia, qualia in corpore efficit. ¹⁵ Et hæc quidem duo sunt principia, violentia, & plenitudo: quæ si non purgentur homines, corpora calefaciunt. ¹⁶ At vero quod ex cœlo obvenit principium, si ineptum fiat in homine, superat aliquid humoris, & velut ad morbum calefacit, & frigefacit prius, si fieri contingat. ¹⁷ Dicam autem prius de eo, quod calefacit. ¹⁸ Sic igitur sentio. Si eodem homine fuerit aliquid morbosi, quale in priori dixi, & ea quæ ex cœlo obveniunt incommoda fuerint, & calescat homo, turbatur humor omnis in corpore calescens. ¹⁹ Hoc autem violentia facit. ²⁰ Et siquidem depurgetur homo, humore illo turbato, secernitur quantum ejus plus quam commodum est redundarit. ²¹ Et habet hæc res similitudinem ad id quod Scythæ faciunt ex equino lacte. ²² Lac enim in cava vasa lignea infusum concutiunt. ²³ Illud autem dum turbatur, spumescit ac secernitur: ²⁴ & pingue quidem, quod butyrum vocant, quum leve sit, in superficie consistit: ²⁵ grave vero & crassum, deorsum sidit, ²⁶ quod etiam secretum siccant. ²⁷ Ubi vero concretum ac siccatum fuerit, hippacen ipsum vocant.

28 At

28 ὁ δὲ ὀῤῥὸς τοῦ γάλακτος ἐν μέσῳ
ἐστίν. 29 οὕτως δὲ καὶ ἐν τῷ ἀνθρώ-
5 πῳ, ταρασσομένου τοῦ ὑγροῦ πᾶν τὸ
ἐν τῷ σώματι ἀπὸ τῶν ἀρχῶν, ὧν εἴ-
ρηκα, διΐσταται. 30 διΐσταται δὲ οὐ πάν-
τα· 31 καὶ ἐπιπολῆς μὲν τὸ τῆς χολῆς·
κουφότατον γάρ ἐστι. 32 δεύτερον δὲ
τοῦ αἵματος. 33 τρίτον δὲ τοῦ φλέγ-
ματος. 34 βαρύτατον δέ ἐστι τῶν
ὑγρῶν τούτων ὁ ὕδρωψ. 35 τούτων δὲ
ὄντων, ὅ, τι ἂν ἐν νούσῳ πλεῖστον ᾖ, ἐν
ἀρχῇ τι, γινομένης τῆς ταραχῆς, ἔρ-
χεται ἐς χωρίον, ἵνα ἂν πλεῖστον εἴη.
36 ἐν δὲ τῇ ταραχῇ, εὐρυχωρίης γι-
νομένης, εἰλέεται ἀποκεκριμένον, καὶ 60
10 θερμαίνει τὸ σῶμα, 37 ἢ στηρίξιν 61
ἔχον πῃ τοῦ σώματος ξὺν τῷ ἄλλῳ
ὑγρῷ, τῷ ξυνεόντι ἐν τῷ ἄλλῳ χω-
ρίῳ, πόνον καὶ θέρμην παρέχει. 38
τὸ δὲ θερμαινόμενον προσξυνθερ-
μαίνει καὶ τὸ ἄλλο σῶμα. 39 κἀκ τού-
του ὁ πυρετὸς γίνεται. 40 καὶ μᾶλλον
ἀπὸ τῆς χολῆς, καὶ τοῦ φλέγματος, καὶ
ἀπὸ τοῦ αἵματος. 41 θερμότατα γὰρ
ταῦτά ἐστι. 42 καί, ἢν τι τούτων ἀπο-
στηρίξῃ πη τοῦ σώματος, ὡς ἐπὶ τὸ
πλεῖστον ὀνομάζεται κεῖθεν τὸ νόση-
μα, καὶ ἐπωνυμίην ἔχει. 43 ἀπὸ δὲ
15 τοῦ ὕδρωπος οὐ γίνεται πυρε-
τὸς ἰσχυρὸς κάρτα, οὐδὲ πολυ-
χρόνιος. 44 τῷ γὰρ πυρὶ οὐκ
ἀγαθὴ τροφὴ ὁ ὕδρωψ ἐστίν. 45
καὶ ταῦτα μὲν ἐς τοῦτο εἴρηται.
46 πρὶν δὲ ταραχθῆναι, οὐκ ἔχει
ἐκχωρέειν τὸ πλεῖον τοῦ ὑγροῦ, ἀλλ'
ἄνω καὶ κάτω εἰλέεται μεμιγμένον
τῷ ἄλλῳ ὑγρῷ· 47 πάντα γὰρ πλήρεά
ἐστιν· 48 ἐν δὲ τῇ ταραχῇ κενοῦται. 49
κενοῦται δὲ τὸ ἕτερον ἑτέρου μᾶλλον.
50 καὶ τὸ πλεῖον ἐόν, χωρίον κατ-
έχει. 51 καὶ τὸ μὲν ἀλλότριον
οὐκ ἐπιμίσγεται τῷ ἄλλῳ, ἢν
προσστηρίξῃ, πρὶν ἰσωθῇ ἐς δυνά-
μιν.

28 At serum lactis medium locum
tenet. 29 Sic etiam in homine,
dum turbatur humor, quicquid
ejus est in corpore, à principiis,
quæ dixi, disparatur. 31 Et in su- 70
perficie quidem bilis consistit (le-
vissima enim existit.) 32 secundo
loco sanguis: 33 tertio pituita. 34
Gravissimus autem horum hu-
morum est aqua. 35 His vero ita se
habentibus, quisquis ex his in
morbo plurimus fuerit, in prin-
cipio contingente turbatione, de-
venit ad locum, ubi plurimus esse
possit. 36 Verum in turbatione,
spaciosa capacitate evadente, se-
cretus distrahitur, & calefacit
corpus. 37 Aut aliqua corporis 75
parte firmatus, una cum alio
humore, cum quo est in alio lo-
co, dolorem ac calorem exhibet.
38 Qui vero calefactus est locus,
insuper etiam reliquum corpus
concalefacit, 39 & ex hoc febris
oboritur. 40 Et oboritur magis
à bile, & pituita, & sanguine:
41 calidissimi enim hi humores
existunt. 42 Et si quis horum in
aliqua corporis parte firmatus
fuerit, utplurimum morbus il-
linc nominatur, & cognomen 80
habet. 43 Cæterum ab aqua non
valde fortis febris oboritur, ne-
que diuturna. 44 Nam igni non
bonum alimentum aqua præbet.
45 Atque hæc quidem de hoc di-
cta sunt. 46 At vero ante turbatio-
nem non habet multus humor
quo procedat, sed sursum ac
deorsum volvitur & distrahitur
alii humori permixtus (47 omnia
enim plena existunt) 48 in turba-
tione vero evacuantur. 49 Ve-
rum aliud alio magis evacua- 85
tur. 50 Et multus humor suum
locum occupat, 51 & alienus alii
non ammiscetur, si firmatus fue-
rit, priusquam ille viribus adæ-
quetur.

20 μιν. 52 Ἔστι δέ μιν ἰσοῦσθαι καὶ ὁ ἐπ' αὐτοῦ ἐπανέλθοι ἐς τὴν νοῦσον, ἕως οὗ ἀποκαθαρθῇ τὸ χωρίον, ὁποίη ἡ κάθαρσίς ἐστιν. 53 ἢν δὲ πολλὸν ἔῃ τὸ πονέον, ἐπαυρίσκεται καὶ ἐξαναλίσκεται ἐς τὴν νοῦσον καὶ τὸ ἄλλο, πρὶν ὑγιηρὸν ἐόν. 54 καὶ θνήσκει ὁ ἄνθρωπος τρόπῳ τοιῷδε. 55 προσεπαυρίσκεται γὰρ, ἢν μηκέτι τροφὴν ἀρκέουσαν ἔχῃ τὸ νόσημα, ἀλλ' ἐξαναλίσκεται ὑπὸ τοῦ ὑγροῦ, τοῦ ἐν τῷ ἐπιπόνῳ χωρίῳ ἐόντος. 56 πρῶτον τὸ πλησίον προσλαμβάνει. 57 εἶτα
25 ἐπὶ τὸ προσωτέρω νέμεται, μέχρις ἂν ἐξαναλωθῇ, καὶ μηκέτι ἐνῇ τῷ σώματι τροφή. 58 τροφὴ δέ ἐστιν ἀνθρώπῳ τὸ κοῦφον ὑγρόν. 59 ὥσπερ οὖν χρὴ, τὸ πρῶτον κατὰ μικρὸν σηπεδὼν ἐγγίνεται, ἢν μάλιστα θερμαίνηται. 60 ἔπειτα, ἐπὴν κεῖθι τῇ σηπεδόνι τροφὴ μηκέτι ἀρκέῃ, νέμεται, ἀπὸ τοῦ ὑγιέος τοῦ πλησίον ἀρξαμένη, πρὸς τὸ σῶμα, μέχρις ἂν ὅλον τὸ σαρκῶδες σήψῃ. 61 ἐπεὶ δὲ ὡς ἐπίπαν νέ-
30 μηται, ἀναλοῦται ἡ τροφὴ τῇ σηπεδόνι. 62 οὕτω δὴ καὶ [ἐν] τῇ νούσῳ. ἀπὸ [γὰρ] τοῦ χωρίου κείνου ἀρξαμένη, ἐπὴν κεῖθι ἡ τροφὴ μηκέτι ἀρκέουσα ἐνῇ, νέμεται ἐς τὸ πρόσω ἀπὸ τοῦ πλησίον ἀρξαμένη. 63 ἐπὴν γὰρ ἐπίπαν ἔλθοι, ἀναλοῦται ἡ τροφὴ τῇ νούσῳ, καὶ ἕτερον ὑγιηρὸν οὐκ ἐπικρατέει. 64 κἢν τοῦτο γένηται, θνήσκει ὁ ἄνθρωπος. 65 ἔτι δὲ ἐν τῇ ταραχῇ, ἐπὴν τοῦτο πλείονος χωρίου λάβηται καὶ μὴ στηρίξῃ, ἀλλὰ εἰλέηται, οὐκέτι τῷ ἄλλῳ μίσγεται, ἀλλ' ἐξαναλίσκεται ἐς τὴν νοῦσον,
35 ἢν μὴ ἀποκαθαίρηται. 66 εἶτα αἱ φλέβες ὑπερεμπιπλῶνται. 67 πλήθουσι δὲ κόρον, οὐ χαλῶσιν ἐξ αὐτέων

quetur. 52 Poteſt autem ipſi adæquari is qui ab ipſo poſtea ad morbum ſuperacceſſit, donec purgatus fuerit locus qualicunque purgatione. 53 Si vero multus fuerit affligens humor, fruitur: & conſumitur ad morbum etiam alius qui prius ſalubris erat. 54 Et tali modo homo 90 moritur. 55 Fruitur autem, ſi morbus non amplius ſufficiens alimentum habuerit, & conſumitur ab humore qui in loco dolente exiſtit: 56 primum enim propinquum aſſumit, 57 deinde longius depaſcitur, donec conſumptum fuerit, & non amplius ineſt in corpore alimentum. 58 Alimentum autem eſt homini humor levis. 59 Quemamodum igitur ut certum eſt, putrefactio primum paulatim fit, ſi maxime calefiat. 60 Poſtea ubi iſthic ali- 95 mentum putrefactioni non amplius ſufficit, depaſcitur de ſano, initio ſumpto à proximo ad totum corpus, donec totum quicquid carnoſum eſt putrefecerit: 61 poſtquam vero in totum depaſta eſt, alimentum putredini conſumitur. 62 Sic ſane etiam in morbo. Sumpto enim à loco illo initio, ubi iſthic alimentum ſufficiens non amplius ineſt, depaſcitur ulterius, à proximo initio facto. 63 Poſtquam enim 100 per totum graſſatus fuerit, alimentum morbo conſumitur, & alius ſalubris humor non ſuperat. 64 Et ſi hoc fiat, homo moritur. 65 Quin & in turbatione, ubi hic ſalubris humor ampliorem locum occuparit, & non firmatus fuerit, ſed volvatur ac diſtrahatur, non amplius alii miſcetur, ſed ad morbum conſumitur, ſi non depurgetur. 66 Deinde venæ ſuperimplentur. 67

Val-

αὐτέων, πρὶν εὐρυχωρίη σφιν γένηται. 68 ὥσπερ, ἐπὴν τις πληγῇ καρτερῶς, ὑποτρέχει ὑπὸ τὴν πληγὴν αἷμα, ἅτε τῶν φλεβίων κενωθεισέων ὑπὸ τῆς πληγῆς. 69 ἐπὴν δὲ αἱ σάρκες πλησθῶσιν ὅκως περ σπόγγος, οὐκ ἔτι χαλῶσιν, 70 ἀλλὰ ἔχουσιν ἐν ἑωυτῇσι, μέχρις οὗ κενωθῇ κατὰ τὸ χωρίον τι αὐτέων. 71 ἀπολαμβάνει γὰρ, ἐπὴν ξυλλεχθῇ τὸ αἷμα, τὴν ὁδὸν ὑπὸ πλήθεος. 72 ὥσπερ εἴ τις λήκυθον σκυτίνην στενόστομον ἐμπλήσας ἀλείφατος, 60 καταστρέψειεν ἐπὶ τὸ στόμα κατ' ἰθὺ, 73 καὶ τοῦτο ποιήσειεν, οὐ δυνήσεται ἐξ αὐτῆς χωρέειν τὸ ἔλαιον. 74 ἐπιπιέζει γὰρ τὴν ὁδὸν τὸ ἄλειφαρ, ἅτε πολλὸν καὶ ἀλὲς ἐπικείμενον. 75 ἢν δὲ ἐπικλίνῃ τις τὴν λήκυθον, κενεὴ ἔσται ἡ ἀπὸ τοῦ στόματος πίεξ, καὶ ῥεύσεται ἐξ αὐτῆς τὸ 62 ἄλειφαρ. 76 τὸ δ' αὐτὸ ποιήσει καὶ ἐπὶ τραπέζης ὕδωρ. 77 οὕτω δὴ καὶ ἐπὴν τὸ πλεῖον ὑγρὸν ἐν τῷ σώματι ὑπὸ τῆς ταραχῆς χωρίου λάβηται καὶ πλήσῃ τὰς φλέβας, 78 οὐκ ἔτι ἀπέρχεται ἐξ αὐτέων, πρὶν ἢ 65 ὅκου ἐστὶ τὸ χωρίον κενεὸν, τῆς τροφῆς ἐξαναλισκομένης τῇ νούσῳ. 79 καὶ ταῦτα μὲν εἴρηταί μοι, ἐπὴν τι ἐν τῷ σώματι ᾖ, ἀφ' ὧν αἱ νοῦσοι γίνονται, πληθυόντων καὶ τῶν ἄλλων. 80 καὶ ὅκως ἐργάζονται αἱ ἀρχαὶ τὴν θέρμην καὶ τὴν ταραχὴν τοῦ ὑγροῦ ὑπάγουσαι ἐς νοῦσον.

XXVI. Νῦν δὲ ἐρέω, 2 τὰ ἐκ τοῦ οὐρανοῦ, ἢν ἀνεπιτήδεια γένηται φύντα ἐν τῷ σώματι, τίνα ἐργάζεται, 3 καὶ ὁκόταν κρατέῃ ἐν τῷ σώματι τοῦ ὑγροῦ. 4 Φημὶ δὲ, τὸ μέν τι ξυστρέφεσθαι καὶ παχύνεσθαι τῆς ἐν τῷ ἀνθρώπῳ ἰκμάδος,

Valde autem impletæ, nihil ex 105 seipsis remittunt, priusquam spaciosa capacitas ipsis contingat.[68] Quemadmodum ubi quis vehementer percussus est, sanguis sub plagam subtercurrit, nimirum venis à plaga evacuatis. [69] Postquam autem carnes veluti spongia fuerint repletæ, non amplius remittunt, [70] sed continent in seipsis, donec in loco aliquid ab ipsis evacuatum fuerit. [71] Quum enim collectus fuerit sanguis, præ copia viam inter- 110 cipit. [72] Quemadmodum si quis vas olearium coriaceum angusti oris oleo impletum, in osculum vertat è directo. [73] & si hoc fecerit, oleum ex ipso prodire non poterit: [74] viam enim ipsum oleū intercepit, utpote multum & acervatim incumbens. [75] Si vero quis ipsum vas inclinet, libera erit via osculi intercepta, qua effluet oleum ex ipso. [76] Idem fecerit etiam aqua in mensa. [77] Ita sane etiam ubi multus hu- 115 mor in corpore, præ turbatione locum occuparit, & venas impleverit, [78] non amplius ab ipsis discedit, priusquam ubi locus vacuus est, alimento à morbo consumpto. [79] Atque hæc à me dicta sunt de hoc, si in corpore quid fuerit unde morbi gignantur, redundantibus etiam aliis: [80] & quomodo principia efficiant calorem & turbationem humorum deducentia ad morbum.

XXVI. Nunc vero dicam [2] quæ efficiant ea quæ ex cœlo 120 nobis obveniunt, si ad ea quæ in corpore generata sunt inepta fiant, [3] & quum humorem in corpore superarint. [4] Assero autem partem humoris in homine, ubi liquatus fuerit, conglo- bari

δος, ἐπὴν τηχθῇ ἕως νοῦσον ἀποτέκῃ· [5] τὸ δὲ διουρεῖσθαι καὶ διακρίνεσθαι. [6] ἔοικε [δὲ] καὶ τοῦτο τὸ πάθος γάλακτι. [7] ἐπὴν γάρ τις ὀπὸν ἐμβάλῃ ἐς τὸ γάλα, [8] ψύξις, γινομένη ἐπ' αὐτῷ τῷ γάλακτι, ξυνεπήχυνε τὸ γάλα καὶ ὁμοῦ ἐποίησε, [9] ἀπὸ δὲ τοῦ παχυνθέντος ὁ ὀῤῥός ἐστιν. [10] οὕτω δὴ καὶ ἐπὶ τῷ ἀνθρώπῳ τὸ ὑγρὸν, τῆς ἐπὶ νούσῳ ψύξιος γινομένης, ξυνεστράφη καὶ ξυνεπαχύνθη. [11] περὶ δὲ αὐτὸν τὸν ὕδρωπα ἐστὶ καὶ τὸ ἄλλο ὑγρὸν, ὁκόσῳ ἂν πλεῖον ἔῃ, ἐν τῷ ἄλλῳ σώματι ξυμμέμικται. [12] ἀλλ', ἢν μὲν ἐς τὴν κοιλίην ἔλθῃ, διετάραξε τὴν κόπρον, [13] καὶ στρόφον ἐν τῇ κοιλίῃ ἐποίησε, [14] καὶ διεξῆλθεν ἔξω, οὐδὲν μέγα σίνος παρασχών. [15] ἢν δὲ μὴ ἐς τὴν κοιλίην ἔλθῃ, στηρίζει τοῦ σώματός πῃ, ἵνα οἱ εὐρυχωρίη πλείστη. [16] εἱλέεται οὖν ἐξερευνῶν ἑωυτῷ εὐρυχωρίην. [17] καὶ τοῦ μὲν ὕδρωπος τὸ ἀποκριθὲν ἀπὸ τῆς ξυστροφῆς ἔρχεται, ἅτε ψυχρότατον καὶ βαρύτατον ἐὸν ἐν τῷ σώματι, ἐς τὸ κάτω, [18] καὶ περὶ τὰ ὀστέα καὶ περὶ τὰ νεῦρα εἱλεύμενον, ἔτι μᾶλλον τὸ σῶμα ἐς φλεγμονὴν ἄγει. [19] καὶ δῆλον, ὅτι περὶ τὰ νεῦρα, καὶ μάλιστα περὶ τὰ ὀστέα ὁ ὕδρωψ, ὁ τὸν φλογμὸν ποιέων, ἐστί. [20] τὰ γὰρ ὀστώδεα τοῦ σώματος μάλιστα ῥιγᾷ ὁ ἄνθρωπος. [21] καὶ αἱ τρίχες ὀρθαὶ ἵστανται, ξυστραφείσης τῆς ἐπιδερμίδος, καὶ ξηροτέρης γινομένης, ἢ ἐν τῷ πρὶν χρόνῳ, [22] ἅτε τοῦ ὕδρωπος ἐκλείποντος αὐτόθεν, καὶ περὶ τὰ ὀστέα εἱληθέντος. [23] ἐντεῦθεν δὴ μοῦνον τὸ χωρίον, ὅκου ἐστὶ τὸν πρῶτον χρόνον, οὐ δύναται φλογμὸν ποιέειν, ὅθεν καὶ τὸ ῥῖγος γίνεται. [24] τὸ δὲ ἄλλο ὑγρὸν, τὸ ἰσώτατον παχυνθὲν, τὸ

[μὲν]

bari ac spissari, donec morbum pepererit: [5] partem vero dilatari, ac secerni. [6] Habet autem & hæc affectio similitudinem ad lac. [7] Si quis enim succum in lac immittat, [8] frigiditas in ipso oborta, lac inspissat ac conglobat. [9] At circum inspissatum, serum est. [10] Sic etiam in homine humor, frigiditate in morbo oborta, conglobatur & inspissatur. [11] Circum ipsum vero aquosum humorem, adhuc etiam alius humor, quanto copiosior fuerit in alio corpore, ammixtus est. [12] At siquidem ad alvum devenerit, stercus conturbat, [13] & tormen in alvo inducit, [14] & foras pertransit, nullo magno damno illato. [15] Si vero non ad alvum devenerit, firmabit se aliqua corporis parte, ubi ipsi plurima capacitas erit. [16] Volutatur itaque exquirens sibiipsi loci capacitatem. [17] Et quod quidem aquosi humoris de conglobatione secretum est, utpote frigidissimum ac gravissimum in corpore existens, ad infernas partes descendit, [18] & circum ossa ac nervos volutatum, adhuc magis corpus ad inflammationem perducit, [19] & clarum est quod circa nervos, & præsertim circa ossa, aquosus humor qui humorem facit, existit. [20] Circa osseas enim corporis partes, homo maxime riget, [21] & capilli erecti stant, contorta cuticula, ac ficciore evadente quam priori tempore: [22] nimirum aquoso humore isthic deficiente, & circa ossa obvoluto. [23] Atque hinc sane solus ille locus, ubi primo tempore erat, humorem facere non potest, unde etiam rigor oboritur. [24] At vero reliquus humor, qui æqualissime

[μὲν] ἐν τῷ σώματι παντί ἐστι, 25 τὸ δὲ ὅσον πλεῖον, ἢν μὲν μὴ τύχῃ 67 ἡ κοιλίη πλέη ἐοῦσα, καὶ ὀλίγον ᾖ τὸ λυπέον. 26 ἔστιν ὅτε ἐς τὴν κοιλίην ἔρχεται, καὶ σίνος οὐδὲν μέγα ἐποίησε. 27 καὶ ποτὲ μὲν πῦρ οὐκ ἐπήγαγε, ποτὲ δὲ βληχρὸν καὶ ἀσινές. 28 καὶ ἐξῆλθε τὸ πονέον ξὺν τῇ κόπρῳ. 29 ἢν δὲ ἡ κοιλίη πλήρης ἐοῦσα πολλὸν ἔχῃ τὸ λυπέον, κίνδυνός ἐστιν ἐξ αὐτέου νοῦσον τινὰ γενέσθαι, 30 ἤν πῃ στηρίζῃ τὸ σινεόμενον, ἢ πρὸς πλευρὸν, ἢ πρὸς 20 σπλάγχνον, ἢ πῃ ἄλλῃ ξυνθερμαίνῃ, ἵνα ξυνταράξῃ πρῶτον ἐκεῖνο. 31 ὁκόσοι δὲ οὐχὶ κάρτα ἀπὸ τῆς 68 θέρμης ὑπὸ τοῦ ὕδρωπος νενικημένοι, ἅτε περὶ τοῖσιν ὀστέοισιν ἐόντος, καὶ πλησίον τοῦ μυελοῦ, χρόνῳ δὴ μᾶλλον πονέουσι. 32 καὶ πρῶτον μὲν αὐτὸ τὸ χωρίον, ἔπειτα [δὲ] τὸ πλησίον αὐτοῦ. 33 καὶ δὴ νέμεται ἐς τὸ προσωτέρω, καὶ ἡ κοιλίη οἱ προσλαμβάνει, θερμὴ ἐοῦσα. 34 ἔπειτα ἐπὶ μᾶλλον θερμαίνει ἥ, τε κοιλίη καὶ τὸ σινεόμενον. 35 τὸ δὲ ὑγρὸν παχὺ θερμαινόμενον διαχέεται 25 πρῶτον, τὸ πλησίον τοῦ πονέοντος ἐόν. 36 διαχεόμενον δὲ, μίσγεται τῷ πονέοντι ὕδρωπι· 37 εἶτα κενώτερον ἐγένετο τοῦ σώματος ἐν τῇ ξυστροφῇ. 38 καὶ μέχρι τούτου ῥῖγος ἔχει, μέχρις οὗ ὁ ὕδρωψ τῷ ἄλλῳ ὑγρῷ. 39 καὶ τὸ 69 πῦρ ὧδε γενηθὲν γίνεται. τὰ γὰρ πονέοντα πρὸς τὸ χωρίον στηρίξαντα, θερμαινόμενον τὸ σῶμα ἀναγκάζει ἐς ἑωυτὸ πῦρ γίνεσθαι. 40 καὶ ὑπὸ τοῦ σινομένου καὶ ὑπὸ τῆς κοιλίης θερμανθὲν, ἐπικρατέει τοῦ ἄλλου ὕδρωπος. 41 καὶ οὕτω τὸ μὲν πῦρ μετὰ 30 τὸ κρυμὸν, ἤν πῃ τοῦ σώματος στηρίζῃ

lissime crassus est, partim quidem in toto corpore est, partim vero quantum abundaverit, siquidem alvus plena non fuerit, & quod affligit modicum sit: 26 quandoque ad alvum devenit, & nullum magnum damnum inducit: 27 & aliquando quidem febrem non inducit, aliquando vero debilem & innoxiam: 28 & quod affligit, una cum stercore exit. 29 Si vero alvus ple- 145 na multum, quod affligit, habeat, periculum est ex ipso morbum aliquem fieri, 30 si alicubi se firmet id quod affligit, aut ad latus, aut ad viscus, aut alicubi aliam partem concalefaciat, ut primum illum humorem simul turbet. 31 Qui vero non valde ex calore ab aquoso humore victi sunt, utpote qui circa ossa, & prope medullam consistit: hos progressu temporis magis lædet, 32 primum qui- 150 dem in illum ipsum locum, deinde ipsi propinquum: 33 & semper ulterius depascitur, & alvus ipsum assumit, ut quæ calida sit: 34 & postea tum alvus, tum lædens humor, adhuc magis calefacit. 35 At humor crassus calescens primum diffunditur, is qui propinquus affligenti existit: 36 diffusus autem aquoso humori affligenti miscetur, 37 deinde in concussione corporis inanior redditur: 38 & tam diu rigor tenet, quamdiu aquosus 155 humor alii humori ammixtus est. 39 Quin & febris hoc modo generata oboritur. Affligentia ad locum firmata, calescens corpus febrem in se suscipere cogunt: 40 & ab affligente, & ab alvo calefactum, reliquum aquosum humorem superat. 41 Atque sic febris fit post frigus, si

ξῃ τὸ ὑγρὸν, τὸ πλεῖον. 42 ἢν δὲ εἰλέηται, τρόπῳ τοιῷδε γίνεται. 43 μετὰ τὸν κρυμὸν τὸ πῦρ εἰλέεται, μάλιστα πονεόμενον περὶ τὴν κοιλίην, καὶ τὴν ἄνω, καὶ τὴν κάτω. 44 ἔνθεν γὰρ ἡ εὐρυχωρίη πλείστη ἐστί. 45 εἰλεομένου δὲ αὐτοῦ, πρῶτον τὰ πλησίον θερμαίνεται, τά τε σπλάγχνα, καὶ τὰ ἐν τῇ κοιλίῃ ἐς τὴν θέρμην. 46 ἔπειτα ἐπαυρίσκεται τῆς θέρμης, καὶ τὸ ἄλλο ὑγρὸν διαχεόμενον μίσγεται τῷ ὕδρωπι. 47 καὶ τὸ πῦρ κατὰ τὸ ῥῖγος ἐνθάδε 35 γίνεται, ἐπὴν μὴ εἰλέηται τὸ πονέον, ἀλλὰ στηρίξῃ πρὸς τοῦ σώματός τι. 70 48 ταῦτα δέ μοι εἴρηται, ὅκως τε [καὶ ὁκόθεν] τὸ ῥῖγος γίνεται τὸ νοσῶδες· 71 49 καὶ ὁκόθεν, καὶ ὅκως, καὶ ὁκοίης ἐξ ἀνάγκης ὁ πυρετὸς μετὰ τοῦτο ἐπιπίπτει· 50 καὶ αἵτινες αἱ ἀρχαὶ τῶν νούσων εἰσί· 51 καὶ ὁκοίην ἑκάστη αὐτέων νοῦσον ἐν τῷ σώματι ἐπάγει· 52 καὶ ὅκως τε καὶ διό, τι ἐν τῇσι περισσῇσιν ἡμέρῃσιν αἱ νοῦσοι κρίνονται· 53 καὶ ὑπὸ τοῦ ὑγιαίνουσιν οἱ ἄνθρωποι, 54 καὶ ὑπὸ τοῦ νοσέουσι· 55 καὶ ἥ, τε χολὴ 56 καὶ τὸ φλέγμα πλέον καὶ 40 ἔλασσον γίνεται, 57 καὶ τ' ἄλλα ἐν αὐτῇ φύσει ἐόντα τῇ ἀνθρωπίνῃ, ἀπέδεξα πολλά, ὁκόσα καὶ ἀποδέξαι ἔχρῃζεν οὗτος ὁ λόγος. 58 καὶ ταῦτα μὲν εἰρημένα οὕτως τέλος ἔχει.

XXVII. Νῦν δὲ ἐρέω περὶ ἑλμίνθων τῶν πλατέων. 2 γίνεσθαι γάρ φημι ἐν τῷ παιδίῳ, ἐν τῇσι μήτρῃσιν ἐόντι. 3 οὐ γάρ ἐστιν, ἐπὴν ἅπαξ ἐκ τῶν μητρέων ἐξέλθῃ, χρόνος τῇ κόπρῳ ὥσπερ ἐν τῇ κοιλίῃ τοσοῦτος, 4 ὥστε, σαπείσης καὶ χρονισάσης, ζῶον παγῆναι ἐν αὐτῇ, ὃ, τι τοσοῦτον μέγεθος γίνεται. 5 ἀποπατεῖ γὰρ αἰεὶ τὴν ἔνηλον κόπρον αὐθ-

qua corporis parte copiosior humor formatus fuerit. 42 Si vero volvatur ac distrahatur, tali modo febris oboritur. 43 Post 166 frigus febris volutatur, maxime affligens circa alvum & supernam, & infernam. 44 Isthic enim plurima loci capacitas existit. 45 Dum autem volutatur, primum propinqua calescunt, & viscera, & quæ in alvo sunt. 46 Postea etiam alius humor diffusus calore fruitur, & aquoso humori miscetur. 47 Atque febris post rigorem hinc fit, ubi affligens volutatur, immo etiam ubi firmatum fuerit reliqua corporis parte. 48 Et hæc à me 169 dicta sunt, quomodo, & quando rigor morbosus fiat, 49 & quomodo, & ex quali necessitate febris post ipsum irruit. 50 Et quæ sint principia morborum, 51 & qualem unumquodque ipsorum morbum in corpore inducat: 52 & quomodo & cur in diebus imparibus morbi judicantur. 53 Et unde homines sani sint, 54 & unde ægrotent: 55 & quomodo bilis, 56 & pituita copiosior & paucior fiat. 57 Item- 170 que alia multa quæ in ipsa natura humana sunt demonstravi, quæ sane hic sermo exigebat. 58 Atque hæc ita relata finem habent.

XXVII. Nunc autem de lumbricis latis dicam. 2 Assero enim ipsos in puero dum adhuc in utero est nasci. 3 Postquam enim semel ex utero egressus est, non tanto tempore stercus in alvo manet, 4 ut ex ejus diuturnitate ac putrefactione, tantæ magnitudinis animal genera- 171 ri possit. 5 Excernit enim semper hesternum stercus per omnes dies, si sanus homo esse debet.

ἐς ἀνὰ πάσας ἡμέρας, ἢν μέλλῃ ὑγιαίνειν ὁ ἄνθρωπος. [6] γένοιτο δ' ἂν τοιοῦτο ζῶον οὐδ', ἢν πολλῶν ἡμερέων μὴ ἀποπατήσῃ ἄνθρωπος. 72 [7] πολλὰ γὰρ γίνεται ἐν τῇσι μήτρῃσιν ἐόντι τῷ παιδίῳ, τρόπῳ τοιῷδε. [8] ἐπὴν γένηται πῦος καυσῶδες ἀπὸ τοῦ γάλακτος καὶ τοῦ αἵματος συσσηπομένου καὶ πλεονάζοντος, ἅτε γλυκέος ἐόντος, ζῶον ἀπογίνεται αὐτόθι. [9] γίνονται δὲ καὶ στρογγύλαι ἕλμινθες αὐτοῦ, τρόπῳ τοιῷδε. [10] σημεῖον δὲ, ὅτι τοῦθ' οὕτως ἔχει. [11] ἐπὴν 176 τὰ παιδία γένηται, ψωμίζουσιν αὐτὰ αἱ γυναῖκες τὰ αὐτὰ φάρμακα, [12] ὥστε ἂν κόπρος ἐξέλθῃ ἐκ τοῦ ἐντέρου, καὶ μὴ ξυγκαυθῇ, καὶ ἅμα τὸ ἔντερον εὐρυνθῇ. [13] ἐπὴν δὲ ψωμίσωσι πολλὰ δὴ τῶν παιδίων, καὶ στρογγύλας καὶ πλατείας ἕλμινθας ἀπεπάτησαν ἅμα τῇ κόπρῳ τῇ πρώτῃ. [14] ἢν δὲ μὴ ἀποπατήσῃ, γίνονται καὶ ἐν τῇσι γαστῆρσι. [15] καὶ αἱ μὲν στρογγύλαι τίκτουσιν. [16] αἱ δὲ πλα-5 τεῖαι, οὐκ ἔτι· καίτοι φασὶ τίκτειν αὐτάς. [17] ἀποπατέει γὰρ ὁ ἄνθρωπος ἔχων τὴν ἕλμινθα τὴν πλατεῖαν, ὁκοῖον σικύου σπέρμα, ἄλλοτε καὶ ἄλλοτε ξὺν τῇ κόπρῳ. [18] καὶ τοῦτό εἰσιν οἱ φήσαντες τῶν ἀνθρώπων, τῆς ἕλμινθος τέκνα εἶναι. [19] ἐμοὶ δὲ δοκέουσι λέγειν οὐκ ὀρθῶς, οἱ τὰ τοιαῦτα λέγοντες. [20] οὔτε γὰρ ἀφ' ἑνὸς ζώου γένοιτ' ἂν τοσαῦτα τέκνα, [21] οὔτ' εὐρυχωρίη ἐστὶν ἐν τῷ ἐντέρῳ, ὡς ἐκτρέφειν τέκνα. [22] τοῦ δὲ παιδίου αὐξανομένου ξυν- 73 αύξεται ἐν τῷ ἐντέρῳ καὶ ἡ ἕλμινς, ἀπὸ τῶν ἐς τὴν κοιλίην ἐσιόν-10 των. [23] καὶ γίνεται ἴση τῷ ἐντέρῳ· τοῖσι μὲν ἅμα τῇ ἥβῃ· τοῖσι δὲ ὕστερον· τοῖσι δὲ πρόσθεν ὀλίγῳ. [24] καὶ, ἐπὴν ἰσωθῇ τῷ ἐντέρῳ, ὁμοίως ἐπαύ-

bet. [6] Tale vero animal nasci non possit, etiamsi multis diebus homo stercus non egereret. [7] Multa enim nascuntur dum puer in utero est hoc modo. [8] Ubi ex lacte & sanguine computrescente ac redundante, utpote quod dulce est, pus factum fuerit fervidum, animal isthic generatur, [9] Nascuntur autem & rotundi lumbrici isthic eodem 180 modo. [10] Signum vero, quod hæc res ita se habet, hoc est. [11] Postquam in lucem editi sunt pueri, mulieres ipsis in cibo offerunt medicamenta, [12] quo stercus ex intestino exeat, & non comburatur, & simul ut intestinum dilatetur. [13] Ubi vero cibum obtulerunt, multi sane pueri & rotundos & latos lumbricos una cum primo stercore excernunt. [14] Si vero non excreverint, fiunt etiam insuper- 185 que nascuntur in ventribus. [15] Et rotundi quidem pariunt, [16] lati vero non amplius, etiamsi quidam ipsos parere dicant. [17] Nam homo, qui latum lumbricum habet, velut cucumeris semen excernit alias atque alias, una cum stercore ipso, [18] & sunt homines qui hoc lumbrici partus esse dicunt. [19] Mihi vero non recte dicere videntur qui talia dicunt. [20] Neque enim ab uno animali tot pulli generari possunt: [21] neque ea est lo- 190 ci in intestino capacitas, ut partus educare queant. [22] Augescente autem puero, augescit etiam lumbricus in intestino, ab his quæ in ventriculum ingesta sunt, [23] & æqualis fit in intestino, quibusdam in pubertate, quibusdam posterius, quibusdam paulo prius. [24] Et postquam intestino adæquatus est, simi-

ἐπαύξεται. 25 καὶ ὁκόσα ἂν μείζω
γένηται, ἀποκρίνεται ἀπὸ τοῦ ἀρχοῦ ἔξω
σὺν τῷ ἀποπάτῳ. 26 καὶ ἐκπίπτει οἷον
σικύου σπέρμα· πολλάκις δὲ καὶ μείζω.
27 ἔστι δὲ οἷσιν ὁδοιπορέουσιν ἢ τα-
λαιπωρέουσι, καὶ τῆς κοιλίης θερμαι-
νομένης, ἔρχεται ἐς τὸ κάτω, καὶ 74
ἐξίσχει ἐκ τοῦ ἀρχοῦ αὐτοῖσι τὸ πι- 75
φυκός. 28 τοῦτο δὲ ἐποίδεε, καὶ ἀπο-
κρίνεται ἀπὸ τοῦ ἀρχοῦ. ἢν [δὲ μή,]
15 ὀπίσω ἔρχεται. 29 σημήϊα δέ ἐστιν, ὅτι
οὐ τίκτει, ἀλλ' οὕτως ἔχει ὡς ἐγὼ λέγω.
30 ἐπὴν ἰῆται τὸν ἄνθρωπον τὸν ἕλ-
μινθα ἔχοντα, καὶ φάρμακον διδοῖ ἢ
ποτὸν, 31 ἢν μὲν τύχῃ ὁ ἄνθρωπος κα-
λῶς παρεσκευασμένος, 32 ἐξέρ-
χεται ὅλη, στρογγύλη γενομένη ὥσπερ
σφαῖρα, καὶ ὑγιὴς γίνεται ὁ ἄνθρω-
πος. 33 ἢν δὲ ἐς τὴν φαρμακείην 76
ἔρχεται καθ' εὐθεῖαν ἀπορρήγνυται ἀπὸ
τῆς ἕλμινθος ὁκόσον δύο ἢ τρεῖς πή-
χεας, ἢ καὶ πολλῷ πλεῖον. 34 καὶ, ἐπὴν
ἀπορραγῇ, χρόνῳ πολλῷ οὐ γίνεται
20 ἔξω σὺν τῷ ἀποπάτῳ τὰ σημήϊα. 35
ὕστερον δὲ αὔξεται. 36 ταῦτα δὲ ἰσό-
ρια ἐστιν, ὅτι οὐ τίκτει ἡ ἕλμινς, ἀλλὰ
περιρρήγνυται. 37 ἔστι δὲ τὸ εἶδος αὐ-
τῆς, ὁκοῖον περ ἐντέρου ξύσμα λευ-
κόν. 38 σημήϊα δὲ ἴσχει· 39 ἀποπατέει
τε καὶ ἄλλοτε καὶ ἄλλοτε, οἷον σικύου
σπέρμα. 40 καὶ, ἐπὴν νῆστις ὁ ἄν-
θρωπος ᾖ, ἀΐσσει πρὸς τὸ ἧπαρ
ἄλλοτε καὶ ἄλλοτε, καὶ πόνον παρέχει.
41 καὶ ἔστι μὲν ὅτε πτύαλα ἐπιρρέει τῷ
στόματι, ἐπὴν ἀΐξῃ πρὸς τὸ ἧπαρ·
ὅτε δὲ, οὐκ. 42 ἔστι δὲ καὶ οἷσιν ἀναυ- 77
δίην ἐμβάλλει, ἐπὴν ἰσχυρῶς προσ-
25 πέσῃ πρὸς τὸ ἧπαρ. 43 καὶ πτύα-
λά τε πολλὰ ῥέει ἐκ τοῦ στόματος κάρ-
τα. 44 ὀλίγῳ δὲ ὕστερον ἀνίσταται. 45 78
καὶ στρόφος ἐγγίνεται πολλὸς ἐν τῇ κοι-
λίῃ, ἄλλοτε καὶ ἄλλοτε. 46 ἔστι δ'
ὅτε καὶ ἐς τὸ μετάφρενον ὀδύνη ἐμ-
πίπτει·

similiter augescit, 25 & quanto
major factus fuerit, una cum
stercore excernitur de intestino
recto, 26 & excidit velut cucu- 195
meris semen, sæpe vero etiam
major. 27 Quibusdam vero iter
facientibus, aut laborantibus, &
ventriculo calescente, deorsum
descendit, ipsisque prominet ex
podice inflatus, 28 hocque facit,
& de podice resecatur, aut re-
trocedit. 29 Signa vero quod non
pariat, sed ita habeat velut ego
dico, hæc sunt. 30 Si quis curet
hominem latum lumbricum ha-
bentem, & medicamentum de-
derit aut potionem, 31 siquidem 200
fuerit homo bene præparatus, 32
totus rotundus factus ad pilæ fi-
guram exit, & homo sanus eva-
dit. 33 Si vero ad medicinam
hæreat, recta pars de lumbrico
abrumpitur, longitudine duo-
rum aut trium cubitorum, aut
etiam longe amplior: 34 & ubi
abruptus fuerit, per multum
tempus signa cum stercore non
prodeunt. 35 Postea vero auge-
scunt. 36 Atque hæc argumenta
sunt, quod lumbricus latus non 205
parit, sed abrumpitur. 37 Est
autem species ipsius, qualis al-
ba intestini rasura. 38 Signa ha-
bet hæc. 39 Cacat alias atque
alias cucumeris semen: 40 & ubi
jejunus est homo, exilit ad he-
par alias atque alias, & dolorem
inducit: 41 & quandoque sputa
ori influunt ubi ad hepar assilit,
quandoque non. 42 Quibusdam
etiam vocem intercipit, si forti-
ter ad hepar irruat, 43 & valde
multa sputa ex ore fluunt, 44
paulo autem post sedantur, 45 210
& tormen multum in ventricu-
lo alias atque alias oboritur. 46
Quandoque etiam ad dorsum
dolor incidit. Nam & hic ali-
quando

πίπτει· στηρίζει γὰρ καὶ ἐνθάδε. 47 ἔστι δ' ὅτι ταῦτα σημεῖά ἐστιν ἕλμινθος πλατείης. 48 γίνεται δὲ καὶ τόδε. 49 ὃς ἔχει τοῦτο τὸ θηρίον, ἐν μὲν τῷ ξύμπαντι χρόνῳ δεινόν τι κάρτα οὐκ ἂν γένοιτο· 50 ἐπειδὰν δὲ ἀσθενήσῃ, μόλις ἀναφέρεται. 51 καὶ γὰρ ἡ ἕλμινς μετέχει τι μέρος τῶν εἰσιόντων ἐς τὴν κοιλίην. 52 ἢν μὲν οὖν μελεδανθῇ κατὰ τρόπον, ὑγιαίνεται. 53 ἢν δὲ μὴ μελεδανθῇ, αὐτομάτη οὐκ ἐξέρχεται. 54 θάνατον μέντοι οὐκ ἐπάγει, ἀλλὰ ξυγκαταγηράσκει. 55 ταῦτα δέ μοι εἴρηται περὶ ἕλμινθος πλατείης, ὅθεν γίνεται, καὶ τὰ σημεῖα τοῦ [ἐξ] αὐτῆς νοσήματος.

XXIIX. Περὶ δὲ λιθιῶντος. 2 ἀρχὴ μὲν γίνεται ἀπὸ τοῦ γάλακτος τῇ νούσῳ, ἐπὴν τὸ παιδίον θηλάζῃ γάλα μὴ καθαρόν. 3 τὸ δὲ γάλα γίνεται ἐκ τῆς τροφῆς οὐ καθαρὸν, ἐπὴν φλεγματώδεσι τροφῇσι καὶ σιτίοισι, καὶ ποτοῖσι χρῆται μὴ καθαροῖσιν ἡ τροφός. 4 ξυμβάλλεται γὰρ πάντα [τὰ] ἐς τὴν κοιλίην πίπτοντα ἐπ' αὐτῷ ἐς τὸ γάλα. 5 ἔχει δὲ καὶ τόδε οὕτως. 6 ἢν ἡ τροφὸς μὴ ὑγιηρὴ ἔῃ, ἀλλὰ χολώδης, ἢ ὑδρωπώδης, ἢ αἱματώδης, ἢ φλεγματώδης, καὶ γάλα γίνεται πονηρὸν τῷ παιδίῳ. 7 ξυμβάλλεται γὰρ τὸ σῶμα καὶ ἡ κοιλίη. 8 πλεῖστον δὲ ἄγει αὐτῷ ἐς τὸ γάλα, ὅ, τι ἂν αὐτὸ πλεῖστον ἔχῃ ἐν ἑωυτῷ. 9 καὶ τὸ παιδίον, ἢν θηλάζῃ ἀπὸ τῆς τροφοῦ γάλα μὴ καθαρὸν, ἀλλὰ χολῶδες, ὡς ἔλεξα, ἐπίνοσον γίνεται καὶ ἀσθενές· 10 καὶ τὸ παρὸν μάλιστα λυπέεται, μέχρις ἂν θηλάζῃ γάλα πονηρὸν καὶ ἐπίνοσον. 11 καὶ, ἐπὴν θηλάζῃ γάλα μὴ καθαρὸν, ἀλλὰ γεῶδες καὶ φλεγματῶδες, 12 καὶ ἔχῃ τὸ παιδίον τὰς φλέβας, τὰς ἀπὸ τῆς κοιλίης ἐς τὴν κύστιν τεινούσας, εὐρείας καὶ ὁλκούς. 13 χωρίζεται

quando firmatus innititur. 47 Hæc lumbrici lati signa sunt. 48 Contingit & hoc. 49 Qui hoc animalculum habet, in toto quidem tempore valde debilis fieri non poterit. 50 Ubi vero debilis factus fuerit, vix revalescit. 51 Latus enim lumbricus partis alicujus particeps fit, ex his quæ in ventriculum ingesta sunt. 52 Siquidem igitur curatus fuerit justo modo, sanus fieri poterit. 53 Si vero non curetur, sua sponte non exit. 54 Mortem tamen non inducit, sed consenescit. 55 Atque hæc a me dicta sunt de lumbrico lato, unde nascitur, & quæ morbi ipsius signa sunt.

XXIIX. Cæterum calculi morbo 2 principium oboritur à lacte, ubi puer lac impurum sugit. 3 Lac autem in nutrice impurum fit, si pituitosis cibis ac potibus, & alimentis impuris nutrix utatur. 4 Conferunt enim omnia in ventriculum illabentia in ipsa ad lac. 5 Habet autem & hæc res se hoc modo. 6 Si nutrix non sana fuerit, sed biliosa, aut aquosa, aut sanguinea, aut pituitosa: lac etiam malum puero generatur. 7 Consentiunt enim corpus & ventriculus. 8 Plurimum vero ipsi ad lac cedit, de eo quod ipsa plurimum in seipsa habuerit. 9 Et puer si de nutrice lac non purum suxerit, sed biliosum velut dixi, morbosus fit ac debilis: 10 & in præsens maxime affligitur, quandiu lac pravum ac morbosum suxerit. 11 At ubi suxerit lac non purum, sed terreum & pituitosum, 12 & habuerit puer venas de ventriculo ad vesicam tendentes amplas ac attrahentes: 13 procedit autem

ῥέεται δὲ καὶ τὸ ποτὸν καὶ τὸ γάλα ὑπὸ τῆς τροφοῦ ἐς τὴν κοιλίην τοῦ παιδίου, [14] ὁκοίην ἕλκει ἀπὸ τῆς κοιλίης ἀπὸ τοῦ 84 γάλακτος, τὸ πᾶν ὁμοίως, ὅ, τι 45 ἂν αἱ φλέβες ' διαθέειν δυνῶνται ἐς τὴν κοιλίην. [15] καὶ ἤν τι ἐπὶ τῷ γάλακτι μὴ καθαρὸν ᾖ, τὸ ἐπαυρισκόμενον ἐν τῇ κύστει γίνεται λίθος, τρόπῳ τοιῷδε. [16] ὥσπερ ἐφ' ὕδατι μὴ καθαρῷ ταραχθέντι ἐν κύλικι, ἢ ἐν χαλκῷ, καὶ καταστάντι ὑπόστασις ἅλις γίνεται ἐν τῷ μέσῳ· [17] οὕτως καὶ ἐν τῇ κύστει 85 ἀπὸ τοῦ οὔρου μὴ καθαροῦ ἐόντος. [18] καὶ οὐκ ἐξουρέεται, ἅτε ἐν τῷ κοίλῳ ἐοῦσα, καὶ μάλιστα ἅλις γενομένη ὑπὸ ὀδύνης οὐ διέρχεται διὰ τῆς οὐρήσιος, [19] πήγνυταί τε ὑπὸ τοῦ φλέγ-177 ματος ' ὠμοῦ ἐόντος· [20] κόλλα γὰρ γίνεται τῇ ὑποστάθμῃ τὸ φλέγμα μεμιγμένον. [21] καὶ τὸ πρῶτον μικρὴ ἄχνη ἐπιγίνεται. [22] ἔπειτα τὸ ἐπιὸν ψαμμῶδες προσγίνεται, κόλλης γενομένης τοῦ φλέγματος τοῦ ἐν τῇ κύστει ἐνεόντος ἀπὸ τοῦ γάλακτος, καὶ αὔξεται. [23] καὶ ὅ, τι μὲν ἂν ὑγρὸν ἐν τῇ κολλήσει ἐπιγένηται, ἐξουρέεται. [24] αὖθις δὲ ἡ ὑποστάθμη στερεοῦται ἢ λιθοειδὴς γίνεται. 5 [25] ὥσπερ σίδηρος ' ἐκ τῶν λίθων καὶ τῆς γῆς συγκαιομένης γίνεται. [26] καὶ ἐν μὲν τῇ πρώτῃ ἐς τὸ πῦρ ἐμβολῇ κεκόλληνται τῇ σκωρίῃ λίθοι, καὶ ἡ γῆ πρὸς ἄλληλα. [27] καὶ, ἐπὴν τὸ δεύτερον καὶ τὸ τρίτον ἐς τὸ πῦρ ἐμβληθῇ, ἡ μὲν σκωρίη οἱ ἔξω ἔρχεται, τηκομένη ὑπὸ τοῦ σιδήρου, καὶ ὄψει ὁρᾶται τὸ γινόμενον. [28] ὁ δὲ σίδηρος λιμπάνεται ἐν τῷ πυρὶ, καὶ ξυμπίπτει προσιδούσης τῆς σκωρίης, καὶ γίνεται στερεός τε καὶ πυκνός. [29] οὕτω δὴ καὶ ἡ ὑποστάθμη ἐν τῇ 10 κύστει, κόλλης γενομένης τοῦ ' φλέγματος, ἐξουρέεται τηκόμενον ἀπὸ τοῦ οὔρου. [30] αὕτη δὲ καὶ ξυμπίπτει, καὶ πυκνὴ γίνεται, καὶ στερεοῦται ὥσπερ σίδηρος. [31] ἐπὴν δὲ

tem & quod bibit nutrix, & lac in ventriculum pueri tale, [14] quale trahit à ventriculo de lacte, in totum similiter prout venæ ad ventriculum detrudere possunt: [15] si quid sane in lacte non purum fuerit, id quo vesica fruitur lapis fit tali modo, [16] velut in aqua non pura, in calice aut vase æneo turbata, & rursus sedata, fex acervata fit in medio. [17] Sic sane & in vesica de urina non pura existente. [18] Et non per urinam ejicitur, ut quæ in cavo sit loco, & maxime ' acervata collecta, præ dolore per mictionem non pertransit, [19] & à pituita cruda concrescit. [20] Glutinum enim fit pituita ad fecem ammixta. [21] Et primum parva lanugo superstat, [22] deinde quod accedit arenosum fit, glutino existente pituita, quæ est in vesica de lacte, & augetur, [23] & quicquid humoris in glutinatione accesserit, emingitur. [24] Rursus autem fex solida fit, & lapidis speciem accipit. [25] Quemadmodum ' ferrum ex lapidibus ac terra dum comburuntur fit. [26] Et in prima quidem in ignem immissione, conglutinati sunt lapides cum terra ad ferri recrementum. [27] At ubi iterum atque iterum in ignem immissa fuerint, recrementum quidem foras decedit liquescens ex ferro, id quod ita fieri oculis videmus. [28] Ferrum autem in igne relinquitur, & recremento decedente subsidet, fitque solidum ac densum. [29] Sic ' profecto etiam fex in vesica, dum pituita glutinum fit, emingitur id quod ab urina liquescit. [30] Fex autem subsidet, & densatur, ac solida fit velut ferrum. [31] Ubi vero subsedit ac solida facta est,

sursum

δὲ ξυμπίπτῃ καὶ στρέφηται, κλονέεται ἐν τῇ κύστει ἄνω καὶ κάτω, [32] καὶ πόνον παρέχει κόπτουσα τὴν κύστιν, [33] καὶ ἀποφέρει τι ἀπ' αὐτῆς, ἢν ἰσχυρῶς κόπτῃ καὶ ἕλκῃ. [34] Τὸ δὲ ἐπιφερόμενον ἔτι μᾶλλον τοῦ ἀπιόντος ψαμμώδεος σύμπηξιν ἐργάζεται. ἐξ οὗ ὁ λίθος. [35] καὶ γίνεται τρόπῳ τοιῷδε ἀπὸ τοῦ γάλακτος ἐς τὴν κύστιν. 86

[36] ἔστι δ' ὅτε γίνεται, ἢν τῷ παιδίῳ ἐόντι ἄση τις ἀπὸ τούτου φύηται. [37] ἄλλοτε γὰρ καὶ ἄλλοτε, ἐπὴν οὐρήσῃ, ταχέως ἐπιλαμβάνεται τῆς οὐρήθρης. [38] ἢν δὲ τῷ παιδὶ ἤδη αὐξανομένῳ λίθος φύηται ἀπὸ κρεωφαγίης, [39] ὁ πόνος οὐ πάρεστιν οἱ πρὶν ἢ σῖτον αὐτὸς ἑωυτῷ αἱρέηται. [40] καὶ ταῦτα μὲν ἐς τοῦτό μοι εἴρηται. 87

XXIX. Σημεῖα δὲ ἡ νοῦσος ἔχει πέντε. [2] ἐπὴν τε οὐρῆσαι θέλῃ, πονέεται. [3] καὶ τὸ οὖρον κατ' ὀλίγον ῥέει ὥσπερ στραγγουριῶσι. [4] καὶ ἔστιν ὕφαιμον, οἷα τῆς κύστιος ἡλκωμένης ὑπὸ τοῦ λίθου. [5] καὶ ἡ κύστις φλεγμαίνει. [6] ἀλλὰ τοῦτο μὲν ἀφανές. [7] σημεῖον δὲ ἀκροποσθίη. [8] ἔστιν ὅτε διουρέεται ψαμμώδεα· [9] ὑπὸ τοιούτων δὲ, οἵων ἐγὼ ἐρέω· [10] ἔστι δ' ὅτε διουρέεται λίθος, [ἢ] δύο ἢ καὶ πλέονες. [11] ἕτεροι δὲ σμικροὶ τρόπῳ τῷ αὐτῷ, ὥσπερ καὶ τὴν ψάμμον εἴρηκα. [12] γίνεται δὲ καὶ ὑπὸ τοῦ τοιούτου. [13] ἐπὴν ὁ λίθος συμπαγῇ, καὶ βάθος φύηται ἐς τὴν κύστιν τῇ ψάμμῳ τῇ γινομένῃ χωρίς, [14] ἐλθούσης δὲ τῆς ψάμμου ὁ λίθος μὴ προσλάβῃ πρὸς ἑωυτόν, [15] ἀλλὰ βαρυτέρη καὶ πλείων φύηται, ὥστε μὴ πήγνυσθαι αὐτὴν πρὸς ἑωυτήν, [16] καὶ οὕτως δύο λίθοι γίνονται. [17] γίνονται δὲ καὶ πλέονες τρόπῳ τῷ αὐτῷ. [18] καὶ ξυγκρουομένων πρὸς ἀλλήλους [ἐν] τῇ κλονήσει περιθραύεται, καὶ διουρέεται τὸ ψαμμῶδες, [19] ἔστι δ' 89

ὅτε

sursum ac deorsum in vesica volutatur, [32] & feriens vesicam dolorem inducit: [33] & si vehementer feriat ac ulceret, aliquid de ipsa aufert. [34] Verum id quod insuper affertur, adhuc magis quam id quod arenosum decessit, concretionem efficit. [35] Atque tali modo fit lapis de lacte in vesica: [36] & si puero anxietas aliqua ab hoc oboriatur, [37] alias atque alias, ubi mejere vult, urinæ meatum apprehendit. [38] At si puero jam adulto lapis gignatur ex terræ esu, [39] dolor non adest ipsi prius quam ipse sibiipsi cibum deligat. [40] Et hæc à me de hoc relata sunt.

XXIX. Cæterum morbus signa quinque habet. [2] Nam ubi mejere vult, dolore affligitur, [3] & urina paulatim fluit velut in urinæ stillicidio, [4] & est subcruenta, nimirum vesica à lapide exulcerata, [5] & vesica inflammata est. [6] Verum hoc signum inconspicuum est, [7] indicat tamen summa pars præputii. [8] Quandoque mingit arenosa, [9] verum à talibus, qualia ego dicam. [10] Ejicit autem aliquando lapides duos, aut etiam plures parvos, [11] generatos eodem modo, velut de uno dixi. [12] Fiunt etiam tali modo. [13] Quum lapis fuerit concretus, & profunde subsederit in vesicam in arena separata, [14] ita ut ipsam advenientem lapis non assumat in seipsum, [15] sed gravior ac copiosior fiat, ut tamen ipsa ad seipsam non concrescat, [16] etiam sic duo lapides fiunt. [17] Fiunt etiam plures eodem modo. [18] Sed & collisis inter se in agitatione aliquid disparatur, & arenosum per urinam ejicitur. [19] Quod etiam aliquando con-

ὅτε καὶ ἐπὴν κατέλθῃ ψάμμος πρὸς τὴν κύστιν, καὶ μὴ συμπαγῇ.

XXX. Λέγουσι δέ τινες, ὅτι 90 τὸ πινόμενον ἐς τὸν πλεύμονα ἔρχεται, ἐκ δὲ τούτου ἐς τὸ ἄλλο σῶμα. [2] οὗτοι δὲ, οἱ ταῦτα λέγοντες, διαβάλλονται τούτῳ, ᾧ 30 μέλλω ἐρέειν, [3] ὅτι ὁ πλεύμων κοῖλός ἐστι, καὶ πρὸς αὐτῷ ἐστι σύριγξ. [4] ὁ δὲ πλεύμων εἰ μὴ κοῖλος ἦν, καὶ οἱ ἡ σύριγξ προσέχετο, οὐκ ἂν ἐφώνει τὰ ζῶα. [5] φθεγγόμεθα γὰρ ἀπὸ τοῦ 91 πλεύμονος, ὅτι κοῖλός ἐστι, καὶ οἱ ἡ σύριγξ πρόσεστι. [6] διαρθροῖ δὲ τὸν φθόγγον τὰ χείλεα καὶ ἡ γλῶσσα. [7] κάλλιον δέ μοι περὶ τούτου δεδήλωται ἐν τῇ περιπλευμονίῃ. [8] τοῖσιν οὖν δοκέουσιν ἀνθρώποισιν τὸ ποτὸν ἐς τὸν πλεύμονα φέρεσθαι ἐναντιώσομαι. [9] ἔχει δὲ οὕτως. χωρέει τὸ ποτὸν ἐς τὴν κοιλίην· ἀπὸ 35 δὲ τῆς κοιλίης ἐς τὸ ἄλλο σῶμα 92 ἀπαναλίσκεται. [10] νοῆσαι δὲ χρὴ, ὁκόσα μέλλω ἐρέειν. λέγω δὲ τεκμήρια, ὅτι τὸ ποτὸν οὐ χωρέει ἐς τὸν πλεύμονα, ἀλλὰ ἐς τὴν κοιλίην, τάδε. [11] εἰ γὰρ τὸ ποτὸν χωρέει ἐς τὸν πλεύμονα, ὁκότε ὁ πλεύμων πλησθῇ, οὐκ ἂν ῥηϊδίως τὸν ἄνθρωπον ἀναπνέειν, οὐδὲ φθέγξασθαι δύνασθαι. [12] οὐ γὰρ ἂν εἴη τὸ ἀντηχέον τοῦ πλεύμονος πλήρεος ἐόντος. [13] καὶ ἓν μὲν τοῦτο τεκμήριόν ἐστιν. [14] ἔπειτα, εἰ ἐχώρει τὸ ποτὸν ἐς τὸν πλεύμονα, τὰ σιτία ἂν ἡμῖν ξηρὰ ἐόντα, οὐκ ἂν ὁμοίως ἐπέσσετο. 40 [15] δύο δὲ τεκμήρια ταῦτά ἐστι. [16] καὶ τὰ φάρμακα δὲ τὰ ὑπήλατα, ἐπὴν πίωμεν, χωρέει τῆς κοιλίης ἔξω. [17] ἔχει δὲ καὶ τάδε οὕτως.

XXXI. Ὁκόσα φάρμακα καθαρτικά ἐστιν, ἢ ἄνω, ἢ κάτω, ἢ καὶ ἀμφο-

contingit, ubi arena ad vesicam descendit, & non coaluit. 165

XXX. Quidam dicunt, quod potus in pulmonem devenit, ex hoc vero in reliquum corpus. [2] Hi autem qui hæc dicunt, redarguuntur ex hoc, quod dicturus sum,[3] quod videlicet pulmo cavus est, & in ipso fistula est. [4] Quod si pulmo cavus non esset, & fistula non ipsi adhæreret, animalia vocem non ederent. [5] Vocem enim edimus de pulmone, quia cavus est, & fistula ipsi adest. 170 [6] Vocem autem articulant labia & lingua. [7] Verum de hoc exactius in peripneumoniæ tractatione egi. [8] Cæterum hominibus quibus potus in pulmonem ferri videtur, adversabor,[9] habetque res se hoc modo. Procedit potus in ventrem, à ventre autem in reliquum corpus expenditur. [10] Oportet autem his quæ dicturus sum mentem adhibere. Sermonis argumenta, quod potus 175 non procedit in pulmonem, sed in ventrem, hæc sunt. [11] Si enim potus procederet in pulmonem, quum pulmo expletus esset, homo non facile respiraret, neque loqui posset. [12] Non enim esset, pulmone pleno existente, quod resonaret. [13] Et hoc quidem unum argumentum est. [14] Deinde, si potus in pulmonem procederet, cibi in nobis sicci existentes non similiter concoquerentur. [15] Atque hæc duo argumenta existunt.[16] 180 Sed & medicamenta alvum subducentia, si in potu sumantur, extra ventrem procederent. [17] Habet autem hæc res hoc modo.

XXXI. Quæcunque medicamenta purgatoria sunt aut superne, aut inferne, aut etiam utrun-

ἀμφότερα, ταῦτα ποιεῖ. 2 πάντα καίει κάρτα. 3 καὶ τὰ μὲν ἰσχυρὰ αὐτῶν, ἢν τύχῃ ἅψασθαί τι τῶν ἁπαλῶν τοῦ σώματος, ἑλκοῖ. 4 τὰ δὲ μαλακώτερα ἄραδον ποιεῖ τοῦ χρωτὸς, ὅ, τι ἂν ἐλλαφθῇ. 5 εἰ δὲ ἔλθοι τι τούτων τῶν φαρμάκων ἐς τὸν πλεύμονα, δοκεῖ ἄν μοι τι μέγα ποιῆσαι κακόν. 6 τὸ γὰρ φλέγμα, τὸ ἀπὸ τῆς κεφαλῆς, ἐν κάρτα ὀλίγῳ χρόνῳ ἑλκοῖ. 7 ἁπαλὸν γὰρ καὶ ἀραιὸν χρῆμά ἐστιν ὁ πλεύμων. 8 καὶ, ἢν ἑλκωθῇ, οὐ καλῶς ἕξει κεῖνος ὁ ἄνθρωπος διά γε πολλά. 9 ἡ δὲ κοιλίη ὑπὸ τοῦ φαρμάκου οὐχ ἑλκοῦται, 10 ὅτι χρῆμά ἐστιν ἰσχυρὸν, ὥσπερ δηλαδὴ δέρμα. 11 καὶ τῶν μὲν Λιβύων χρέονται οἱ πλεῖστοι τῶν κτηνέων τοῖσι μὲν δέρμασιν ἀντὶ ἱματίων, 12 τῇσι δὲ κοιλίῃσιν ἀντὶ θυλάκων. 13 ἰσχυρὸν γὰρ χρῆμα ἡ κοιλίη ἐστίν. 14 ἔπειτα, ἐπὴν ὑπὸ οἴνου μέλανος θωρηχθῶσιν οἱ ἄνθρωποι, ἀποπατέουσι μέλανα. ταῦτα δὲ πάντα ἱστορία ἐστί.

XXXII. Καὶ, ἐπὴν σκόροδα φάγωμεν, ἢ τι ἄλλο ὀδμαλέον βρῶμα, διουρέομεν ὀζόμενον τοῦ βρώματος. 17 ταῦτα μὲν τὰ ἱστόρια. 18 σκέψασθαι δὲ ἔξεστι καὶ τόδε, ὅ, τι μέλλω ἐρέειν. 19 εἴ τις κυκεῶνα πιήσῃ, ἢ ἄλητον ἑφθὸν ῥοφοίη, ἢ τι ἄλλο τοιοῦτο, καὶ ἔλθοι ἐς τὸν πλεύμονα τοῦτο, δοκέομεν ἂν αὐτὸν οὐδὲ ζώειν, οὐδ' ὀλίγον χρόνον. 20 ἐπὴν γάρ τι μικρὸν ἔλθῃ ἐς τὸν πλεύμονα φλέγμα, ἢ ἐς τὴν σύριγγα αὐτοῦ, 21 πολλή βήξ τε καὶ ἰσχυρὴ γίνεται καὶ σπασμός. 22 εἰ δ' οὖν ἄρα καὶ ζώῃ ὁ ἄνθρωπος πιὼν τὸν κυκεῶνα

utrunque præstant, ea hæc faciunt. 2 Omnia valde urunt: 3 & fortia quidem ex ipsis, si partem aliquam teneram corporis contigerint, eam exulcerant. 4 Mitiora vero turbulentum corporis motum faciunt, quamcunq; tandem partem occuparint. 5 Si vero aliquod ex his medicamentis in pulmonem perveniret, videtur mihi magnum aliquod malũ inducturum esse. 6 Pituita enim de capite descendens, eum in valde brevi tempore exulcerat. 7 Tenera enim & rara res est pulmo, 8 & si exulceratus fuerit, non bene habebit homo ille, ob multas sane caussas. 9 At vero venter à medicamento non exulceratur. 10 Nam res est valida ac robusta, nimirum velut pellis & corium. 11 Et plerique sane ex Libyæ incolis pecorum pellibus pro vestibus utuntur, 12 ventribus autem pro utriculis. 13 Robusta enim res venter existit. 14 Deinde, ubi à vino nigro homines repleti fuerint, nigra recrementa excernunt. 15 Atque hæc omnia argumenta existunt.

XXXII. Et ubi allia comederimus, aut aliud quoddam edulium olidum, urinam reddimus comesta odore referentem. 17 Et hæc quidem omnia argumenta sunt. 18 Sed & hoc considerandum venit quod dicturus sum. 19 Si quis cyceonem biberit, aut farinam coctam sorbuerit, aut aliud quid ejusmodi, & hoc ipsum in pulmonem pervenerit, certe arbitramur ipsum ne minimum quidem tempus vivere posse: 20 Ubi enim modicum quiddam pituitæ in pulmonem pervenerit, aut in fistulam ipsius, 21 multa ac fortis tussis oboritur, ac convulsio. 22 Si vero utique

κεῶνα ἢ τὸ ἄλητον ῥοφέων. [23] πεσσομένου γὰρ τοῦ ῥοφήματος. [24] θέρμην ἂν δοκέω πολλήν τε καὶ ἰσχυρὴν τῷ σώματι γίνεσθαι καὶ πόνον πολλὸν; [25] ὥστε ἢ ἀποπνιγείη κατὰ τρόπον, ἢ ἐς τὸν πλεύμονα ἔλθοι. [26] ταῦτα δὲ ἰστόρια ἑπτά ἐστιν. [27] ἔπειτα τὸ γάλα πῶς ἂν ἔτρεφε τὰ παιδία, εἴγε χωρέει πρὸς τὸν πλεύμονα. [28] τοῦτο δέ ἰστόριον ἄλλο μοι. [29] καὶ ταῦτα οὐδ' ἂν ἐπηγαγόμην ἔγωγε τῷ λόγῳ τοιοῦτο ἰστόριον οὐδὲν, εἰ μὴ ὅ, τι πολλοὶ κάρτα τῶν ἀνθρώπων τὸ ποτὸν δοκέουσιν ἐς τὸν πλεύμονα χωρέειν. [30] καὶ ἀνάγκη ἐστὶ πρὸς τὰ ἰσχυρῶς δοκέοντα τὰ πολλὰ ἰστόρια ἐπάγεσθαι, [31] εἰ μέλλει τὸν ἀκούοντα ἐκ τῆς πρὶν γνώμης μεταστρέψαι, τοῖς ἑωυτοῦ τε λόγοισι πείθειν. [32] καὶ διὰ τόδε οὐ χωρέει τὸ ποτὸν ἐς τὸν πλεύμονα, ἀλλ' ἐς τὴν κοιλίην, [33] ὅτι προσεχὴς αὐτῷ ἐστιν ὁ στόμαχος τοῦ ἀνθρώπου, αἰεὶ χάσκων, [34] καὶ χωρέει ἐς ἐκεῖνον. [35] καὶ ἅμα ἐπίκειται τῇ σύριγγι τοῦ πλεύμονος ὥσπερ κισσοῦ φύλλον· [36] ὥστε οὐκ ἂν παραχωρήσειεν ἐν τῇ καταπόσει, εἰ χωρέει ἐς ἑωυτόν. [37] καὶ ταῦτα ἐς τοῦτό μοι εἴρηται. [38] χωρέει δὲ καὶ τὸ ποτὸν ἐς τὴν κοιλίην. [39] καὶ, ἐπὴν πλησθῇ, ὁ σπλήν τε ἀπ' αὐτῆς δέχεται, [40] καὶ διαδιδοῖ ἐς τὰς φλέβας, καὶ ἐς τὸ ἐπίπλοον, καὶ ἐς τὸ κάταντες, ἔς τε τὴν ὄσχην, καὶ ἐς τὰ σκέλεα, καὶ ἐς τοὺς πόδας.

XXXIII. Καὶ, ἐπὴν νοῦσος ἐπιγένηται τοῦ ὕδατος πολλοῦ, χωρέει ὑπὸ τῆς κοιλίης. [2] καὶ ἐς τὸν σπλῆνα ἔρχεται αἰεὶ ἀπὸ τοῦ ποτοῦ, ἐπὴν πίνῃ ὁ ἄνθρωπος. [3] γίνεται δὲ ἐπὶ

utique & vixerit homo qui cyceonem biberit, aut farinam coctam sorbuerit, [23] ubi sane concocta fuerit sorbitio, [24] videtur mihi multa & fortis caliditas corpori oboritura esse, multusque dolor, [25] ut omnino moriatur homo hoc modo, si illa in pulmonem perveniant. [26] Atque hæc jam argumenta septem sunt, [27] Præterea quomodo lac infantes pueros nutrire posset, si ad pulmonem descenderet. [28] Atque hoc mihi aliud adhuc argumentum est. [29] Et hæc ne produxissem quidem ad sermonis mei confirmationem, nisi multi adeo homines essent, quibus potus in pulmonem procedere videtur: [30] & necesse est ad opiniones fortiter inhærentes multa argumenta adducere, [31] si quis velit auditorem à priore sententia abducere ac convertere ut suis verbis fidem habeat. [32] Et propter hoc etiam potus in pulmonem non procedit, sed in ventrem: [33] quia contigua & annexa est ipsi gula hominis semper hians, [34] & in hanc procedit. [35] Et simul pulmonis fistulæ velut hederæ folium incumbit, [36] quare neque descendere permitteret in transglutiendo, si in ipsum procederet. [37] Atque hæc mihi de hoc relata sunt. [38] Procedit namque potus in ventriculum, [39] & ubi expletus est, splen de ipso suscipit, [40] & distribuit ad venas, & ad omentum, & in declive deorsum, & in scrotum, & ad crura, & ad pedes.

XXXIII. Et postquam morbus ex aqua multa obortus fuerit, procedit de ventriculo, [2] & semper ad splenem venit de potu, ubi biberit homo. [3] Contingit

ἐπὶ τῆς νούσου ταύτης, ὥστε μὴ πυρεταίνειν ἄλλως ἐν τῇ κοιλίῃ, ἢ ὁκόταν ὁ ἄνθρωπος διψῇ. ⁴ ἢν δὲ ἡ κύστις καὶ ἡ κοιλίη μὴ διηθέωσι κατὰ τρόπον, ⁵ μηδὲ ἐπιτηδείῃ διαίτῃ ὁ ἄνθρωπος χρῆται, ⁶ ὁ δὲ σπλὴν ὑπονοσέων ἕλκει ἀπὸ τῆς κοιλίης ἀπὸ τοῦ ποτοῦ, ⁷ ἥ τε νοῦσος γίνεται. ⁸ καὶ ἡ ὄσχη διαφανὴς γίνεται, ⁹ καὶ αἱ κληῖδες, καὶ ὁ τράχηλος, καὶ τὰ στήθεα καταλεπτύνεται. ¹⁰ τήκεται δὲ ὑπὸ τῆς νούσου ταύτης, καὶ καταῤῥέει ἐς τὴν κοιλίην, ¹¹ τά τε κάτω ὕδατος πλέα ἐστί. ¹² καὶ ἀσιτέει ἡ κοιλίη. ¹³ καὶ ὁτὲ μὲν κάρτα ἵσταται, ὁτὲ δὲ καταῤῥέει. ¹⁴ ἥ τε κύστις οὐ διηθέει κατὰ τρόπον· ¹⁵ ὡς ἐπὶ τὸ πλεῖστον φρίκη τε διαΐσσει ἄλλοτε καὶ ἄλλοτε διὰ τοῦ σώματος, ¹⁶ καὶ πῦρ ἔστιν ὅτε ἐπιλαμβάνει. ¹⁷ καὶ τὸ πρόσωπον, τῶν μὲν οἰδαλέον γίνεται, τῶν δὲ οὔ. ¹⁸ ἔστι δ' οἷσι καὶ καταῤῥήγνυνται αἱ κνῆμαι, ἐπὴν χρόνιον τὸ νόσημα γένηται, καὶ ῥέει αὐτόθεν ὕδωρ. ¹⁹ καὶ ἀγρυπνίη ἐπιπίπτει, καὶ ἀδυναμίη τοῦ σώματος, καὶ μάλιστα τῆς ὀσφύος. ²⁰ καὶ, ἐπὴν τι φάγῃ ἢ πίῃ, καὶ ὀλίγῳ πλέον, πονέεται ὁ σπλὴν, καὶ τὸ πνεῦμα πυκνὸν αἰὲν ἀφίει. ²¹ ταῦτα δὲ σημεῖα ὕδρωπός ἐστιν. ²² ἔστι δὲ καὶ περὶ τὴν κοιλίην μοῦνον, ἢ καὶ πυρὸς λαβόντος, ἢ καὶ οὐχὶ, ²³ καὶ ἡ γαστὴρ μεγάλη γίνεται, ²⁴ καὶ τὰ σκέλεα πίμπλαται ὕδατος, ²⁵ τὰ δὲ ἄνω τοῦ σώματος λεπτὰ γίνεται οὕτω οἰηθεῖσι. ²⁶ τὰ δὲ σημεῖα ἅπαντα βληχρότερά ἐστι, ²⁷ καὶ ἅμα καὶ ἐν τοῖσι σκέλεσιν ὕδωρ οὐκ ἐπιγίνεται, καὶ ὁ πόνος τοσούτῳ ἐλάσσων. ²⁸ περὶ δὲ τὴν κοιλίην μοῦνον διὰ τόδε ὕδρωψ γίνεται. ²⁹ ἐπὴν γὰρ ἀλὲς ἐπέλθῃ, καὶ ὁδὸς

tingit autem in hoc morbo, ut neque febricitet alias ex ventre, quam ubi homo sitiat, ⁴ vesica autem & ventriculus non justo modo excolent, ⁵ neque conveniente diæta homo utatur. ⁶ At splen subægrotans à ventre de potu trahit. ⁷ Morbus autem oboritur, ⁸ & scrotum pellucidum fit; ⁹ & claviculæ, & collum, & pectora attenuantur. ¹⁰ Colliquantur enim ab hoc morbo, & humor ad ventriculum defluit, ¹¹ & infernæ partes aqua plenæ sunt: ¹² & venter cibum aversatur, ¹³ & quandoque valdè adstringitur: quandoque defluit. ¹⁴ Nec vesica justo modo excolat, ¹⁵ & plerunque horror alias atque alias per corpus discurrit, ¹⁶ & quandoque febris corripit. ¹⁷ Et quibusdam facies tumida fit, quibusdam non. ¹⁸ Aliquibus etiam tibiæ rumpuntur, ubi morbus diuturnus factus fuerit, & aqua illinc effluit. ¹⁹ Incidunt & vigiliæ, & impotentia corporis, ac maxime lumborum. ²⁰ Et postquam edit aut bibit, etiam paulo amplius splen affligitur, & spiritum frequentem semper emittit. ²¹ Atque hæc signa hydropis sunt. ²² Est autem & circa ventriculum solum, sive febris corripuerit, sive non. ²³ Et venter magnus fit, ²⁴ & crura implentur aqua. ²⁵ Verum supernæ corporis partes attenuantur his qui ita affecti putantur. ²⁶ At signa omnia debiliora sunt, ²⁷ & simul in cruribus aqua non accedit, & dolor tanto minor existit. ²⁸ Cæterum circa ventriculum solum hydrops & aqua hac de caussa fit. ²⁹ Etenim ubi acervatim aqua accessit, & via in principio

ὁδὸς ἐν ἀρχῆσι μὴ γένηται ἐς τὸ κάτω, 30 ἀλλ' ἀποληφθῇ ἁλὲς ἐν τοῖσι φλεβίοισιν, 31 ἅτε καὶ ἀναπνοὴν μὴ ἔχον, μήτε ἄνω μήτε κάτω ἀπιστήριξιν ἔχει. 32 ὥσπερ εἴ τις ἄγγος μέγα μικρόστομον ἀναλαβὼν, καταστρέψειεν ἐν τάχει, 33 εἶτα καθ' ἡσυχίην ἀπὸ τοῦ στόματος ἀφέλοι τὸ ἐπικείμενον. 34 καὶ ἢν τοῦτο ποιήσῃ, τὸ ὕδωρ οὐκ ἂν ῥεύσειεν ἔξω. 35 οὐδὲ γὰρ ἔχει πνοὴν, ἀλλ' ἀποκέκλεισται ἀπὸ τοῦ ἐντὸς πνεύματος. 36 ἐνεὸν γὰρ τὸ πνεῦμα πληροῖ τὸ ἄγγος, καὶ ἀντιστηρίζει τῷ ἔξω πνεύματι, 37 καὶ οὐκ ἔστι τῷ ὕδατι ἐκδρομὴ ὑπὸ τοῦ πνεύματος, τοῦ πληροῦντος τὸ ἄγγος, καὶ ἅμα ἐπικειμένου τοῦ ἠέρος. 38 ἢν δέ τις κλίνειε καθ' ἡσυχίην τὸ ἄγγος, ἢ κατὰ πυθμένα τρήσειεν, ἐξελεύσεται τὸ πνεῦμα ἐκ τοῦ ἄγγεος. 39 ἐξιόντος δὲ τοῦ πνεύματος, χωρέει καὶ τὸ ὕδωρ ἔξω. 40 οὕτω δὴ καὶ τῷ ὕδρωπι. 41 ἢν μὲν διαπνοὴ ἄνω ἢ κάτω διὰ τῶν φλεβίων γένηται ἐν ἀρχῇ τῆς νούσου, ἔρχεται ἐς τὰ σκέλεα καὶ ἐς τοὺς πόδας ὁ ὕδρωψ. 42 ἢν δὲ μὴ, αὐτοῦ μοῦνον εἱλέεται περὶ τὴν κοιλίην. 43 καὶ οὕτω μέν μοι περὶ τούτων εἴρηται.

XXXIV. Γίνεται δὲ καὶ τῇσι γυναιξὶν ὁ ὕδρωψ ἐν τῇσι μήτρῃσι, 2 καὶ τὰ ἐν τῇσι κοιλίῃσι, καὶ τὰ ἐν τοῖσι σκέλεσι, καὶ τ' ἄλλα σημήϊα ταὐτὰ ἴσχει. 3 ἀποπέφανται δέ μοι ἐν τοῖσι γυναικείοισι νουσήμασι περὶ αὐτοῦ. 4 καὶ αὗται αἱ τρεῖς ἰδέαι τῶν νουσημάτων ἀπὸ τοῦ ὕδρωπος.

5 Γίνεται δὲ τὰ νουσήματα πάντα ταῦτα ταχέως χαλεπά. 6 καὶ πάντα αὔξεται ταχέως. 7 ἔτι δὲ χαλεπώτερα γίνεται, ἢν ἐξ ἑτέρης νούσου τὸ σῶμα τηχθὲν ἐς τοῦτο περιέλθῃ. 8 ἢν μὲν οὖν ἐν τάχει περικαταλάβηται τὸ νούσημα τὸν ἄνθρωπον, θνήσκει, 9 ἅτε

τῆς

piis non pateat ad infernas partes, 30 ſed accervatim in venis concludatur, 31 nimirum ut quæ reſpirationem non habeat, neque ſurſum neque deorſum inniti poteſt: 32 (haud aliter quam ſi quis magnum vas anguſti oſculi occludat, ac ſubito invertat, 33 deinde ſenſim operculum de oſculo detrahat. 34 Etſi enim hoc fecerit, aqua non effluet foras, 35 neque enim reſpirationem habet, ſed à ſpiritu qui intus eſt, concluſa eſt. 36 Nam ſpiritus qui intus eſt replet vas, & externo ſpiritui renititur, 37 & excurſus aquæ non datur præ ſpiritu vas implente, & ſimul aere incumbente. 38 Si vero quis ſenſim vas inclinarit, aut fundum perforarit, ſpiritus de vaſe exibit: 39 egreſſo autem ſpiritu, procedit etiam aqua foras. 40 Sic ſane in hydrope, 41 ſiquidem perſpiratio ſurſum aut deorſum contingat, in principio morbi, tranſit ad crura hydrops, & ad pedes. 42 Sin minus, iſthic ſolum volutatur circa ventriculum. 43 atque ita quidem de his à me dictum eſt.

XXXIV. Fit autem & mulieribus hydrops in utero ipſo, 2 & ſigna ſane in ventriculo, & in cruribus, & reliqua ſigna eadem habet. 3 Et de hoc ipſo à me dictum eſt in Morbis muliebribus. 4 Atque hæ tres ſunt ſpecies morborum ab hydrope.

5 Fiunt autem hi morbi omnes cito difficiles, 6 & omnes cito augentur. 7 Adhuc autem difficiliores fiunt, ſi ex alio morbo corpus liquefactum, ad hunc devenerit. 8 Siquidem igitur ſubito occupaverit morbus hominem, moritur, 9 nempe alio

morbo

τῆς νόσου χρονιωτάτης γινομένης. [10] ἐπὴν δὲ ἡ κοιλίη ῥόος γένηται, κάρτα θνήσκει τάχιστα, [11] ἐπαΐων τε καὶ διαλεγόμενος. [11] ταῦτα δέ μοι εἴρηται περὶ ὕδρωπος, ὅθεν τε γίνεται, καὶ ὅτι τὰ σημεῖα αὐτοῦ τάδε.

morbo diutissime jam affligente. [10] At ubi jam alvus valde fluida fuerit, citissime moritur, & sentiens & loquens. [11] Atque hæc à me relata sunt de hydrope, & unde oriatur, & quod hæc sint ipsius signa.

ΙΠΠΟΚΡΑΤΟΥΣ περὶ ΠΑΘΩΝ.

HIPPOCRATIS DE AFFECTIONIBUS.

Basil. græc. Foesius sect. v. 75. 516. Basil. lat.

ΑΝΔΡΑ χρὴ, ὅστις ἐστὶ συνετὸς, λογισάμενον, [2] ὅτι τοῖσιν ἀνθρώποισι πλείστου ἄξιόν ἐστιν ὑγιείη, [3] ἐπίστασθαι ἀπὸ τῆς ἑωυτοῦ γνώμης, ἐν τῇσι νούσοισιν ὠφελέεσθαι. [4] ἐπίστασθαι δὲ τὰ ἀπὸ τῶν ἰητρῶν, καὶ λεγόμενα, [5] καὶ προσφερόμενα πρὸς τὸ σῶμα τὸ ἑωυτοῦ, καὶ διαγινώσκειν. [6] ἐπίστασθαι δὲ τούτων ἕκαστα, ὅσον εἰκὸς ἰδιώτην. [7] ταῦτ᾽ οὖν ἠπίσταιτο ἄν τις, μάλιστα εἰδὼς καὶ ἐπιτηδεύων τάδε. [8] νοσήματα τοῖσιν ἀνθρώποισι γίνεται ἅπαντα ἀπὸ χολῆς καὶ φλέγματος. [9] ἡ δὲ χολὴ καὶ τὸ φλέγμα τὰς νούσους παρέχει, ὅταν ἐν τῷ σώματι ἢ ὑπερξηραίνηται, ἢ ὑπερυγραίνηται, ἢ ὑπερθερμαίνηται, ἢ ὑπερψύχηται. [10] πάσχει δὲ ταῦτα τὸ φλέγμα καὶ ἡ χολὴ, καὶ ἀπὸ σιτίων καὶ ποτῶν, [11] καὶ ἀπὸ πόνων καὶ τρωμάτων, [12] καὶ ὀσμῆς, καὶ ἀκοῆς, καὶ ὄψιος, [13] καὶ λαγνείης. [14] καὶ ἀπὸ τοῦ θερμοῦ, καὶ τοῦ ψυχροῦ. [15] πάσχει δὲ, ὅταν τούτων ἕκαστα τῶν εἰρημένων, ἢ μὴ ἐν τῷ δέοντι προσφέρηται τῷ σώματι, ἢ μὴ τὰ εἰωθότα· [16] ἢ πλείω τε καὶ ἰσχυρότερα, ἢ ἐλάσσω

VIRUM prudentem in ratione apud se inita, [2] quod maximi pretii res est hominibus sanitas, [3] nosse convenit, quomodo ex sua ipsius intelligentia, in morbis utilitatem capiat. [4] Nosse autem convenit ea quæ à medicis & dicuntur, [5] & adhibentur corpori suo, eaque dijudicare posse. [6] Atque hæc singula hactenus nosse satis est, quatenus idiotæ contingere potest. [7] Hæc vero noverit quis maxime, si harum rerum cognitione ac studio teneatur. [8] Morbi omnes hominibus à bile ac pituita fiunt. [9] Bilis autem & pituita morbos exhibent, quum in corpore nimium aut resiccantur, aut humectantur, aut incalescunt, aut frigefiunt: [10] patiuntur autem hæc pituita & bilis, & à cibis, & à potibus, [11] & à laboribus, & à vulneribus, [12] & olfactu, & auditu, & visu, [13] & coitu, [14] & à calido, & à frigido: [15] Patiuntur autem quum singula ex relatis, aut non in debito tempore corpori exhibentur, aut non consueta, [16] aut plura

ἐλάσσω τε καὶ ἀσθενέστερα. [17] τὰ μὲν οὖν νοσήματα γίνεται τοῖσιν ἀνθρώποισιν ἅπαντα ἀπὸ τούτων. [18] δεῖ δὲ πρὸς ταῦτα τὸν ἰδιώτην ἐπίστασθαι, ὁκόσα εἰκὸς γινώσκειν ἰδιώτην. [19] ὅσα δὲ τοὺς χειροτέχνας εἰκὸς ἐπίστασθαι, καὶ προσφέρειν καὶ διαχειρίζειν. [20] περὶ δὲ τούτων, καὶ τῶν λεγομένων, καὶ τῶν ποιευμένων, οἷόν τε εἶναι τὸν ἰδιώτην γνώμῃ τινὶ ξυμβάλλεσθαι. [21] ἤδη οὖν, τούτων ὁπόθεν ἕκαστα δεῖ ἐπίστασθαι, ἐγὼ φράσω.

II. [1] Ἢν ἐς τὴν κεφαλὴν ὀδύναι ἐμπίπτωσι, τούτου τὴν κεφαλὴν ξυμφέρει διαθερμαίνειν, [2] λούοντα πολλῷ καὶ θερμῷ, [3] καὶ πταρμὸν ποιέοντα, φλέγμα καὶ μύξας ὑπάγειν. [4] καὶ, ἢν μὲν πρὸς ταῦτα ἀπαλλάσσηται τῆς ὀδύνης, ἀρκεῖ ταῦτα. [5] ἢν δὲ μὴ ἀπαλλάσσηται, καθῆραι τὴν κεφαλὴν φλέγματος. [6] διαιτᾶν δὲ ῥοφήματι, καὶ ποτῷ ὕδατι. [7] οἶνον δὲ μὴ προσφέρειν, ἕς τ' ἂν ἡ περιωδυνίη πεπαύσηται. [8] τὸν γὰρ οἶνον ὅταν θερμὴ ἐοῦσα ἡ κεφαλὴ σπάσῃ, ἡ περιωδυνίη ἰσχυροτέρη γίνεται. [9] τὰ δὲ ἀλγήματα ἐμπίπτει ὑπὸ φλέγματος, ὅταν ἐν τῇ κεφαλῇ κινηθὲν ἀθροισθῇ. [10] ἢν δὲ ἄλλοτε καὶ ἄλλοτε ὀδύνη καὶ σκοτοδινίη ἐμπίπτῃ ἐς τὴν κεφαλὴν, ὠφελεῖ μὲν καὶ ταῦτα προσφερόμενα. [11] ὠφελεῖ δὲ καὶ, ἢν αἷμα ἀφαιρεθῇ ἀπὸ τῶν μυκτήρων, ἢ ἀπὸ τῆς φλεβὸς τῆς ἐν τῷ μετώπῳ. [12] ἢν δὲ πουλυχρόνιον καὶ ἰσχυρὸν τὸ νόσημα ἐν τῇ κεφαλῇ γίνηται, καὶ μὴ ἀπαλλάσσηται καθαρθείσης τῆς κεφαλῆς, [13] ἢ σχάσαι δεῖ τούτου τὴν κεφαλὴν, ἢ τὰς φλέβας κύκλῳ ἀποκαῦσαι. [14] τὸ γὰρ λοιπὸν, [15] [καὶ] ἀπὸ τούτων μοῦνον ἐλπὶς ὑγιέα γενέσθαι. [16] τοὺς νοσέοντας [δὲ] χρὴ σκοπεῖν εὐθὺς ἀρχομένους ἐν τῇ καταστάσει τῶν νοσημάτων, [17] ὅτου ἂν δέωνται, [18] καὶ οἷοί τε ὄντες φαρμα-

κεύ-

plura & fortiora, aut pauciora & debiliora. [17] Universi igitur morbi hominibus ex his fiunt. [18] Oportet autem ad hæc idiotam nosse, quæ par est nosse idiotam. [19] Quæ vero artifices nosse par est, ea etiam adhibere ac tractare. [20] De his autem quæ dicuntur & fiunt, fieri potest ut idiota ex intelligentia quadam conjecturam faciat. [21] Jam vero unde singula hæc nosse oportet, ego referam.

II. Si in caput dolores inciderint, hujus caput calefacere conducit: [2] ita ut multa calida lavemus, [3] & sternutatione facta pituitam ac mucos subducamus. [4] Et siquidem ex his à dolore liberetur, sufficiunt hæc. [5] Si vero non liberetur, purgandum est caput à pituita. [6] Victus autem sit sorbitio, & potus aqua. [7] Vinum autem non exhibeatur, donec dolor sedetur. [8] Quum enim calidum existens caput, vinum attraxerit, dolor fortior evadit. [9] Dolores incidunt à pituita, quum in capite mota cumulata fuerit. [10] Si vero alias atque alias dolor & vertigo in caput inciderit, prosunt quidem & hæc adhibita, [11] prodest autem etiam, si sanguis à naribus fuerit detractus, aut à vena in fronte. [12] Si vero diuturnus & fortis in capite fiat morbus, & purgato capite non decedat, [13] hujus caput aut scarificare oportet, aut venas in circuitu inurere. [15] Ex his enim solum sanum fore spes est. [16] Ægrotos considerare oportet statim in constitutionis morborum principio, [17] qua re opus habeant: [18] & quales sint ut

phar-

καθῆραι, 19 καὶ ἄλλο, ὅπερ ἄν τις θέλῃ προσενέγκαι. 20 ἢν δὲ τὴν ἀρχὴν παρεὶς, τελευτώσης τῆς νούσου προσφέρῃς ἐν ἀπειρηκότι ἤδη τῷ σώματι, δεδιὼς ἰσχυρόν τι προσενέγκαι, 21 κίνδυνος ἁμαρτάνειν μᾶλλον, ἢ ἐπιτυγχάνειν.

III. Ἢν ἐς τὰ ὦτα ὀδύνη ἐμπίπτῃ, 2 λούειν ξυμφέρει πολλῷ καὶ θερμῷ, καὶ πυριῆν τὰ ὦτα. 3 καὶ, ἢν μὲν πρὸς τὰ ὦτα περιΐσηται τὸ φλέγμα, λεπτυνόμενον ἀπὸ τῆς κεφαλῆς, καὶ ἡ ὀδύνη ἀπολείπῃ, ἀρκεῖ ταῦτα. 4 ἢν δὲ μὴ, τῶν λοιπῶν ἄριστον, φάρμακον πῖσαι, ὅ, τι ἄνω φλέγμα καθαίρει. 5 ἢ τὴν κεφαλὴν καθῆραι, ᾧ καθαίρεται τὸ τῆς κεφαλῆς φλέγμα. 6 τὸ δὲ ἄλγημα καὶ [διὰ] τοῦτο γίνεται, ὅταν ἔσωθεν πρὸς τὴν ἀκοὴν φλέγμα ἐκ τῆς κεφαλῆς προσπαρέσῃ.

IV. Ἢν δὲ τὰ παρὰ τὴν φάρυγγα φλεγμαίνῃ, ἀναγαργαρίζειν χρή. 2 γίνεται δὲ καὶ ταῦτα ἀπὸ φλέγματος. 3 ἢν δὲ τὰ οὖλα, ἤ τι τῶν ὑπὸ τῇ γλώσσῃ φλεγμήνῃ, διαμασσητοῖσι χρῆσθαι. 4 ἀπὸ φλέγματος δὲ καὶ ταῦτα γίνεται. 5 Ἢν δὲ ἡ σταφυλὴ καταკρεμασθῇ καὶ πνίγῃ· 6 ἔνιοι δὲ τοῦτο καλέουσι γαργαρεῶνα· 7 παραχρῆμα μὲν τοῖσιν ἀναγαργαλίκτοισι χρῆσθαι, σκευάζων, ὡς γέγραπται ἐν τοῖσι φαρμακίτισιν. 8 ἢν δὲ πρὸς ταῦτα μὴ ἰσχνὴ γίνηται, 9 ὄπισθεν ξυρήσαντα τὴν κεφαλὴν, σικύας προσβάλλειν δύο, 10 καὶ τοῦ αἵματος ἀφαιρέειν ὡς πλεῖστον, 11 καὶ ἀνασπᾶσαι ὀπίσω τὸ ῥεῦμα τοῦ φλέγματος. 12 ἢν δὲ μὴ τούτοισι καθίστηται, χάσαντα μαχαιρίῳ τὸ ὕδωρ ἐξαγαγεῖν. 13 χάζειν δὲ, ὅταν τὸ ἄκρον ὑπέρυθρον γένηται. 14 ἢν δὲ μὴ τοιοῦτον

pharmaco purgentur, 19 aut ut aliud quid, quodcunque tandem volueris exhibeas. 20 Si vero omisso principio, ad finem jam vergente morbo exhibueris, in desperato jam corpore, forte quiddam præbere veritus, 21 periculum est ne magis delinquas, quam successum consequaris.

III. Si in aures inciderit dolor, 2 conducit multa calida lavare, & auribus fomentum adhibere. 3 Et siquidem ad hæc cesserit pituita de capite attenuata, & dolor cessaverit, sufficiunt hæc. 4 Sin minus, optimum omnium pharmacum fuerit, quod in potu exhibitum, sursum pituitam purgat. 5 Aut purgandum est caput medicamento, quo capitis pituita purgatur. 6 Fit autem & hic dolor, quum intrinsecus ad aures pituita ex capite allapsa fuerit.

IV. Si vero fauces inflammatæ fuerint, gargarismis uti oportet. 2 Fit autem & hoc à pituita. 3 Si vero gingivæ, aut aliquid sub lingua inflammatum fuerit, his quæ commendantur utendum est. 4 A pituita autem & hæc fiunt. 5 Si vero uva dependerit & suffocarit, (6 quidam hoc gurgulionem vocant) 7 statim gargarismis utendum est, præparatis velut scriptum est in Medicamentis. 8 Si vero ex his gracilis non fiat, 9 retro raso capiti cucurbitæ duæ adhibeantur, 10 & sanguinis plurimum detrahatur, 11 & pituitæ fluxus retro revellatur. 12 Si vero neque ex his detumescat, scalpello incidito, & aquam educito. 13 Sectio autem facienda est: ubi summum subrubicundum factum fuerit. 14 Nam si tale factum sectum non fuerit, inflam-

τὸν θλιβόμενον τμηθῇ, φλεγμαίνει θᾶλλ. [15] καὶ ἔστιν ὅτε ἐξάπινον ἔπνιξε. [16] γίνεται δὲ καὶ τοῦτο ἀπὸ φλέγματος, ὅταν ἐκ τῆς κεφαλῆς θερμανθείσης, ἀθρόον καταῤῥυῇ.

V. Ὅσα δὲ περὶ ὀδόντας γίνεται ἀλγήματα, ἢν μὲν βεβρωμένος ᾖ καὶ κινέηται, ἐξαιρεῖν. [2] ἢν δὲ μὴ βέβρωται, μηδὲ κινέηται, ὀδύνην δὲ παρέχῃ, καύσαντα ἀποξηραίνειν. [3] ὠφελέει δὲ καὶ τὰ διαμασήματα. [4] αἱ δὲ ὀδύναι γίνονται, ὅταν φλέγμα ὑπέλθῃ ὑπὸ τὰς ῥίζας τῶν ὀδόντων. [5] ἐσθίονται δὲ καὶ βιβρώσκονται, οἱ μὲν ἀπὸ φλέγματος, οἱ δὲ ἀπὸ σιτίων, [6] ἢν φύσει ἀσθενέες ἔωσι, καὶ κοιλίην ἔχοντες καὶ πεπηγότες ἐν τοῖσιν οὔλοισι κακῶς.

VI. Ἢν δὲ ἐν τῇ ῥινὶ πώλυπος ἐγγένηται, [2] οἷον πτύσμα τείνεταί τε καὶ ἀποσκεδ ἐκ τοῦ μυκτῆρος ἐς τὸ πλάγιον. [3] ἐξαιρέεται δὲ βρόχῳ διελκόμενος ἐς τὸ στόμα ἐκ τῆς ῥινός. [4] οἱ δὲ καὶ φαρμάκοισιν ἐκσήπονται. [5] φύεται δὲ ἀπὸ φλέγματος. [6] ταῦτα μὲν, ὅσα ἀπὸ τῆς κεφαλῆς φύονται νοσήματα, [7] πλὴν ὀφθαλμῶν. ταῦτα δὲ ἰδίως γεγράψεται.

VII. Περὶ δὲ τῶν κατὰ κοιλίην νοσημάτων ἐνθυμέεσθαι χρὴ τάδε. [2] πλευρῖτις, περιπλευμονίη, καῦσος, φρενῖτις, αὗται καλέονται ὀξεῖαι. [3] καὶ γίνονται μὲν μάλιστα καὶ ἰσχυρόταται τοῦ χειμῶνος. [4] γίνονται δὲ καὶ τοῦ θέρεος, ἧσσον δὲ, καὶ μαλακώτεραι. [5] ἢν δὲ παρατυγχάνῃς, ταῦτα ἂν καὶ ποιέων καὶ ξυμβουλεύων τυγχάνοις μάλιστα.

IIX. Πλευρῖτις. [2] πυρετὸς ἴσχει, [3] καὶ τοῦ πλευροῦ ὀδύνη, [4] καὶ ὀρθόπνοιη, [5] καὶ βήξ. [6] καὶ τὸ σίαλον κατ' ἀρχὰς μὲν ὑπόχολον πτύει. [7] ἐπὴν δ' ἂν δὲ πεμ-

inflammatur, [15] & aliquando derepente strangulat. [16] Fit autem & hoc à pituita, ubi ex calefacto capite acervatim defluxerit.

V. [1] Cæterum quod ad dentium dolores attinet, si corrosus fuerit dens, & movetur, eximatur. [2] Si vero non corrosus est, neque movetur, dolorem autem exhibet, per ustionem resiccatur. [3] Prosunt etiam quæ commanducantur. [4] Dolores autem fiunt, quum pituita sub radices dentium subierit. [5] Exeduntur autem & corroduntur, partim à pituita, partim à cibis, [6] si natura debiles fuerint, & cavitatem [1] habuerint, & male in gingivis fixi fuerint.

VI. Si in nare Polypus nascatur ([2] quæ res ex naso in obliquum per respirationem difflatur, ac intumescit:) [3] eximitur laqueo ex naso ad os distractus. [4] Aliqui etiam pharmacis eroduntur. [5] Nascitur autem à pituita. [6] Atque hi quidem sunt morbi qui à capite oriuntur, [7] exceptis oculorum morbis, de quibus privatim agemus.

VII. At vero de morbis circa ventrem, hæc [1] considerare oportet. [2] Pleuritis, peripneumonia, febris ardens, phrenitis, hi morbi acuti vocantur, [3] & fiunt maxime quidem ac fortissimi hyeme: [4] fiunt etiam æstate, verum minus, & molliores. [5] Quod si forte in tales incideris, hæc sane faciens & consulens, maxime successum senseris.

IIX. Pleuritis. [2] In pleuritide febris detinet, [3] & lateris dolor, [4] & erecta cervice spiratio, [5] & tussis, [6] & sputum [1] ab initio quidem subbiliosum spuit. [7] Postquam autem quinta aut sexta

πεμπταῖος γένηται, ἢ ἑκταῖος, καὶ ὑπόπυον. [8] τούτῳ τοῦ μὲν πλευροῦ τῆς ὀδύνης διδόναι, ὅ, τι ἀπάξει ἀπὸ τοῦ πλευροῦ τό, τε φλέγμα καὶ τὴν χολήν. [9] ἡ γὰρ ὀδύνη οὕτως ἂν εἴη μαλακωτάτη. [10] τὴν δὲ κοιλίην θεραπεύειν ὑπάγοντα καὶ ψύχοντα κλύσματι. [11] οὕτω γὰρ τῇ νόσῳ τῇ ξυμπάσῃ ξυμφορώτατα. [12] προσφέρειν δὲ ποτόν τε καὶ ῥόφημα. [13] καὶ τὰ πόματα διδόναι ὀξύτερα, ὡς τὸ σίαλον ἀνακαθαίρηται ἀπὸ τοῦ πλευροῦ. [14] ὅταν δὲ καθαίρεσθαι ἄρξηται τὸ πῦον, θερμαίνοντα ξυμφέρει τὸ πλευρὸν ἔξωθεν πεπαίνειν τὰ πρὸς τὸ πλευρόν. [15] πρόσθεν δὲ οὐ ξυμφέρει· ξηραίνεται γάρ. [16] γίνεται δὲ ἡ νοῦσος αὕτη μάλιστα μὲν ἐκ πόσιων, ὅταν τις, ὑγραζόντος τοῦ σώματος, ἢ μεθύων, ἢ νήφων, ῥιγώσῃ. [17] γίνεται δὲ καὶ ἄλλως. [18] κρίνεται δὲ ἡ νοῦσος, ἡ μὲν βραχυτάτη, ἑβδόμῃ· ἡ δὲ μακροτάτη, τεταρτῃ καὶ δεκάτῃ. [19] καὶ, ἢν μὲν ἐν ταύτῃ πτυσθῇ καὶ καθαρθῇ τὸ πῦον ἀπὸ τοῦ πλευροῦ, ὑγιὴς γίνεται. [20] ἢν δὲ μὴ πτυσθῇ, ἔμπυος γίνεται, καὶ ἡ νοῦσος μακρή. [21] κρίνεσθαι δέ ἐστιν ἐν τῇσι νούσοισιν, ὅταν αὔξωνται αἱ νοῦσοι, ἢ μαραίνωνται, ἢ μεταπίπτωσιν ἐς ἕτερον νόσημα, ἢ τελευτῶσιν.

IX. [1] Περιπλευμονίη. [2] πυρετὸς ἴσχει, [3] καὶ βήξ. [4] καὶ ἀποχρέμπτεται, τὸ μὲν πρῶτον, φλέγμα παχὺ καὶ καθαρόν· [5] τῇ ἕκτῃ δὲ καὶ ἑβδόμῃ, ὑπόχολον καὶ ὑποπέλιον· [6] ὀγδόῃ δὲ καὶ ἐνάτῃ, ὑπόπυον. [7] τούτῳ, ἢν μὲν ὀδύνη ἐγγίνηται ἢ τοῦ νώτου ἢ τῶν πλευρέων, διδόναι, ὅπερ ἐν τῇ πλευ-

ρίτιδι

sexta dies advenerit, etiam subpurulentum. [8] Huic ad lateris quidem dolorem dandum est, quod pituitam & bilem à latere deducat. [9] Sic enim dolor lenissimus fuerit. [10] Alvus autem curanda est per clysterem subducentem ac frigefacientem. [11] Hoc enim universo morbo commodissimum erit. [12] Exhibendus est etiam potus & sorbitio. [13] Et potiones dandæ sunt acidiores, quo sputum de latere repurgetur. [14] Quum autem pus purgari inceperit, latus calefacere conducit, & forinsecus maturare ea quæ circa latus sunt: [15] prius autem hoc facere non expedit. Resiccatur enim. [16] Fit autem hic morbus maxime ex potu, quum quis humecto corpore, aut ebrius, aut sobrius, friguerit. [17] Fit etiam aliter. [18] Judicatur autem morbus brevissimus septima die, longissimus decima quarta. [19] Et siquidem in hac, per sputum rejectum ac purgatum fuerit pus à latere, sanus fit. [20] Si vero per sputum non fuerit pus rejectum, pectore suppuratus efficitur, & morbus longus erit. [21] Porro judicari in morbis est, quum morbi augescunt, aut marcescunt, aut in alium morbum transeunt, aut desinunt.

IX. Peripneumonia.[2] In peripneumonia febris detinet, [3] & tussis, [4] & exscreat primum quidem pituitam crassam ac puram: [5] sexta vero & septima subbiliosam & sublividam: [6] octava autem & nona suppurulentam. [7] Huic, siquidem dolor adest aut dorsi, aut laterum, dandum est medicamentum, quod in pleuritide ad lateris dolorem, in Medicamentario libro

ρείτιδι. [8] ποτοῖσι δὲ καὶ ῥοφήμασι, καὶ τῆς κοιλίης ἐς τὴν ὑποχώρησιν καὶ ψύξιν, κατὰ ταὐτὰ θεραπεύειν τῇ πλευρίτιδι. [9] ὅκως δὲ τὸ σίαλον ἐκ τοῦ πλεύμονος ἀνακαθαίρηται, καὶ τὸ πύον, διδόναι φάρμακα ποτά, [10] οἷσιν ὁ πλεύμων ὑγραίνεται, καὶ καθαίρεται τὸ πύον ἄνω. [11] ἡ δὲ νοῦσος αὕτη γίνεται, ὅταν ἐκ τῆς κεφαλῆς φλέγμα ἀθρόον ῥυῇ ἐς τὸν πλεύμονα. [12] ἔστι δ' ὅτε καὶ ἐκ πλευρίτιδος μεθίσταται ἐς περιπλευμονίην καὶ καῦσον. [13] κρίνεται δὲ ἐν ἡμέρῃσιν, ἡ μὲν βραχυτάτη, τεσσαρεσκαίδεκα· ἡ δὲ μακροτάτη, ἐν δυοῖν δεούσαις εἴκοσι. [14] διαφεύγουσι δὲ ταύτην ὀλίγοι. [15] γίνονται δὲ καὶ ἔμπυοι ἐκ ταύτης τῆς νούσου, ἢν μὴ ἐν τῇσι κρισίμοισιν ὁ πλεύμων καθαρθῇ.

X. Φρενῖτις ὅταν λάβῃ, πυρετὸς ἴσχει βληχρὸς τὸ πρῶτον, [2] καὶ ὀδύνη πρὸς τὰ ὑποχόνδρια [3] μᾶλλον δὲ ἐς τὰ δεξιὰ πρὸς τὸ ἧπαρ. [4] ὅταν δὲ τεταρταῖος γένηται καὶ πεμπταῖος, [5] ὅ, τε πυρετὸς ἰσχυρότερος γίνεται, καὶ αἱ ὀδύναι, [6] καὶ τὸ χρῶμα ὑπόχολον γίνεται, [7] καὶ τοῦ νοῦ παρακοπή. [8] τούτῳ τὰ μὲν ὀδύνης, ἅπερ ἐν τῇ πλευρίτιδι, διδόναι, [9] καὶ χλιαίνειν, ἵν' ἡ ὀδύνη ἔχῃ. [10] τὴν κοιλίην δὲ θεραπεύειν, καὶ τἆλλα ποιέειν τὰ ἴσα αὐτοῖσιν, πλὴν τοῦ ποτοῦ. [11] ποτῷ δὲ χρῆσθαι τῶν ἄλλων ὅτῳ ἂν ἐθέλῃς, πλὴν οἴνου. [12] ἢ ὄξος καὶ μέλι καὶ ὕδωρ διδόναι. [13] οἶνος δὲ οὐ ξυμφέρει τοῦ νοῦ παρακεκομμένου, οὔτε ἐν αὐτῇ τῇ νούσῳ τῶν πυρετῶν, οὔτε ἐν τῇσιν ἄλλῃσι. [14] λούειν δὲ πολλῷ καὶ θερμῷ κατὰ τῆς κεφαλῆς ἐν ταύτῃ τῇ νούσῳ ξυμφέρει. [15] μαλασσομένου γὰρ τοῦ σώματος, καὶ ἱδρὼς μᾶλλον γίνεται, καὶ ἡ κοιλίη

καὶ

scriptum est. [8] Per potus autem, & sorbitiones, & ventris subductionem ac frigefactionem, eadem curatio adhibeatur quæ in pleuritide. [9] Quo vero sputum & pus ex pulmone repurgetur, danda sunt pharmaca in potu, [10] quibus pulmo humectatur, & pus sursum purgatur. [11] Fit autem hic morbus, quum pituita acervatim ex capite ad pulmonem fluxerit. [12] Aliquando etiam ex pleuritide in peripneumoniam & febrem ardentem transitus fit. [13] Judicatur autem brevissimus quidem in diebus quatuordecim, longissimus vero in duobus de viginti. [14] Pauci vero hunc morbum effugiunt. [15] Fiunt etiam pectore suppurati ex hoc morbo, si non in judicatoriis diebus pulmo fuerit purgatus.

X. Phrenitis ubi apprehenderit, febris primum debilis detinet, [2] & dolor circa præcordia, [3] magis autem dextra, ad hepar. [4] Quum autem quarta aut quinta advenerit, [5] & febris fortior fit, & dolores augescunt, [6] & color subbiliosus efficitur, [7] & mens percellitur. [8] Huic ad dolorem quidem danda sunt quæ in pleuritide, [9] & tepor faciendus ubi dolor hæret. [10] Sed & alvus curanda, & reliqua similiter facienda sunt, excepto potu. [11] Potu vero utendum est quocunque alio volueris, præter vinum. [12] Aut acetum & mel ac aquam dato. [13] Vinum autem non convenit mente motis, neque in hoc morbo, neque in quibusvis aliis. [14] Conducit autem in hoc morbo etiam caput multa calida lavare. [15] Mollito enim corpore, sudor quoque magis sequitur, & alvus & urina

na

καὶ τὸ οὖρον διαχωρέει, [16] καὶ αὐτὸς ἑωυτοῦ ἐγκρατέστερος γίνεται. [17] ἡ δὲ 18 νοῦσος γίνεται ὑπὸ χολῆς, ὅταν κινηθεῖσα πρὸς τὰ σπλάγχνα καὶ τὰς φρένας προσίζῃ. [18] ἡ δὲ νοῦσος κρίνεται, ἡ μὲν βραχυτάτη, ἑβδομαίη· ἡ δὲ μακροτάτη, ἑνδεκαταίη. [19] διαφεύγουσι δὲ καὶ ταύτην ὀλίγοι. [20] μεθίσταται 7 δὲ καὶ αὕτη ἐς περιπλευμονίην. [21] καὶ ἢν μεταστῇ, ὀλίγοι διαφεύγουσιν.

XI. Καῦσος δὲ ὁπόταν ἔχῃ, πυρετὸς ἴσχει, καὶ δίψα ἰσχυρή. [1] καὶ ἡ γλῶσσα τρηχέη, καὶ μέλαινα γίνεται 5 ὑπὸ θερμότητος τοῦ πνεύματος. [3] καὶ τὸ χρῶμα ὑπόχολον γίνεται, [4] καὶ τὰ ὑπιόντα χολώδεα. [5] καὶ τὰ μὲν ἔξω ψυχρὸς γίνεται· τὰ 8 δὲ ἔσω λίην θερμός. [6] τούτῳ ξυμφέρει ψύγματα προσφέρειν, καὶ πρὸς τὴν κοιλίην, καὶ ἔξωθεν πρὸς τὸ σῶμα, [7] φυλασσόμενον μὴ φρίξῃ. [8] καὶ τά τε πόματα καὶ τὰ ῥοφήματα διδόναι πυκνὰ, καὶ κατ' ὀλίγον ὡς ψυχρότατα. [9] τὴν δὲ κοιλίην θεραπεύειν, ἢν μὲν μὴ ὑποχωρέῃ τὰ ἐνεόντα, κλύσαι, ψύχειν τε κλύσμασιν ὡς ψυχροτάτοισιν, ἢ ὁσημέραι, ἢ διὰ τρίτης. [10] ἡ δὲ νοῦσος 10 αὕτη γίνεται ὑπὸ χολῆς, ὅταν κινηθεῖσα ἐντὸς τοῦ σώματος καταστηρίξῃ. [11] φιλέει δὲ καὶ ἐς περιπλευμονίην μεθίστασθαι. [12] κρίνεται δὲ ἡ μὲν βραχυτάτη, ἐναταίη ἢ δεκάτη· ἡ δὲ μακροτάτη, τεσσαρεσκαιδεκάτη. [13] καὶ ἢν μὲν καταστῇ ἐς περιπλευμονίην, ὀλίγοι διαφεύγουσιν. [14] ἢν δὲ μὴ μεταστῇ, διαφεύγουσι πολλοί. [15] αὗται μὲν οὖν ὀξεῖαι καλέονται. [16] καὶ δεῖ ταύτας οὕτω θεραπεύειν.

XII. Ὁκόσοι δὲ ἄλλοι τοῦ χειμῶνος πυρετοὶ γίνονται, εἴτε ἐξ οἴνου, 15 εἴτε ἐκ κόπου, εἴτε ἐξ ἄλλου τινὸς, φυλάσσειν χρή. [2] μεθίστανται γὰρ ἐνίοτε

na secedit. [16] Et æger ipse seipso temperatior evadit. [17] Fit hic morbus à bile, quum mota visceribus ac septo transverso insederit. [18] Iudicatur autem morbus, brevissimus septima die; longissimus, undecima. [19] Effugiunt & hunc pauci, [20] transitque etiam ipse in peripneumoniam, [21] & si transierit, pauci effugiunt.

XI. Febris ardens, sive causos, quum habuerit, febris detinet, & sitis 'fortis, [2] & lingua 105 aspera ac nigra fit, à spiritus sane caliditate. [3] Et color subbiliosus fit, [4] & sputa biliosa. [5] Et æger extrinsecus quidem frigidus fit, intrinsecus vero valdo calidus. [6] Huic conducit frigefacientia adhibere, & ad alvum, & forinsecus ad corpus, [7] cavendo ne inhorrescat: [8] potiones quoque ac sorbitiones dandæ sunt frequentes, & paulatim quam frigidissimæ. [9] Venter autem curetur: & siquidem non subeant ' quæ insunt, infusa fri- 110 gidissima per clysterem immittantur, aut quotidie, aut alternis. [10] Hic autem morbus fit à bile, quum mota intra corpus firmata fuerit. [11] Solet etiam in peripneumoniam transire. [12] Iudicatur autem brevissimus quidem nona aut decima die; longissimus autem decimaquarta. [13] Et siquidem transierit in peripneumoniam, pauci effugiunt. [14] Si vero non transierit, multi effugiunt. [15] Atque hi quidem morbi ' acuti vocantur, [16] & 115 oportet hos sic curare.

XII. Quæcunque vero aliæ febres hyeme fiunt, sive ex vino, sive ex lassitudine, sive ex aliqua alia re, eas observare oportet. [2] Transeunt enim ali-

ἐνίοτε quando

ἐνίοτε ἐς τὰς ὀξείας νούσους. [3] ἡ δὲ μετάστασις αὐτῶν τοιαύτη γίνεται, ὅταν, δύο κεκινημένων, τοῦ φλέγματός τε καὶ τῆς χολῆς, μὴ τὰ ξυμφέροντα προσφέρηται τῷ σώματι, [4] ξυστρεφόμενα [δὲ] αὐτὰ πρὸς ἑωυτὰ, τό, τε φλέγμα καὶ ἡ χολὴ προσπίπτει τοῦ σώματος, ᾗ ἂν τύχῃ. [5] καὶ γίνεται ἢ πλευρῖτις, ἢ φρενῖτις, ἢ περιπλευμονίη. [6] φυλάσσεσθαι οὖν χρὴ τοὺς πυρετοὺς τοὺς ἐν τῷ χειμῶνι. [7] ἡ δὲ φυλακὴ αὐτῶν ἔστω, ἡσυχίη καὶ ἰσχνασίη, καὶ τῆς κοιλίης κένωσις. [8] ῥοφήμασι δὲ καὶ πόμασι διάγειν, ἕως ἂν ὁ πυρετὸς μειωθῇ. [9] τῶν νούσων σχεδόν τι μάλιστα αἱ ὀξεῖαι καὶ ἀποκτείνουσι καὶ ἐπιπονώταταί εἰσι. [10] καὶ δεῖ πρὸς αὐτὰς φυλακῆς τε πλείστης, καὶ θεραπείης ἀκριβεστάτης. [11] καὶ ἀπὸ τοῦ θεραπεύοντος κακὸν μὲν μηδὲν προσγίνεσθαι, [12] ἀλλ' ἀρκέειν τὰ ἀπ' αὐτῶν τῶν νοσημάτων ὑπάρχοντα· [13] ἀγαθὸν δὲ ὅ, τι ἂν οἷός τε ᾖ. [14] καὶ, ἢν μὲν, ὀρθῶς θεραπεύοντος τοῦ ἰητροῦ, ὑπὸ μεγέθεος τῆς νούσου κρατέηται ὁ κάμνων, οὐχὶ καὶ αὕτη ἡ ἁμαρτία τοῦ ἰητροῦ ἐστίν. [15] ἢν δὲ μὴ θεραπεύοντος ὀρθῶς, μηδὲ γινώσκοντος, ὑπὸ τῆς νούσου κρατέηται, τοῦ ἰητροῦ.

XIII. Τοῦ δὲ θέρεος τάδε γίνονται. [2] πυρετὸς ἴσχει ἰσχυρὸς, καὶ δίψα. [3] καὶ ἐμέουσιν ἔνιοι χολήν. [4] ἐνίοισι δὲ καὶ κάτω διαχωρέει. [5] τούτοισι δὲ πίνειν διδόναι καὶ ῥοφεῖν, ὅ, τι ἂν σοι δοκέῃ ἐπιτήδειον εἶναι. [6] ἢν δὲ προσίστηται πρὸς τὴν καρδίην χολὴ ἢ φλέγμα, ἐπιπίνοντες ὕδωρ ψυχρὸν, ἢ μελίκρητον, ἐμέειν. [7] ἢν δὲ ἡ γαστὴρ μὴ ὑποχωρέῃ, κλύσματι χρῆσθαι, ἢ βαλάνῳ. [8] ἡ δὲ νοῦσος γίνεται ὑπὸ χολῆς. [9] ἀπαλλάσσονται δὲ μάλιστα ἑβδομαῖοι, ἢ

ἐννα-

quando in morbos acutos. [3] Transitio vero ipsarum talis est. Quum commotis duobus humoribus, pituita & bile, non conducentia corpori exhibentur, [4] ipsi inter seipsos coacti, pituita videlicet ac bilis, corpori ubicunque tandem contigerit, allabuntur. [5] Et fit pleuritis, aut phrenitis, aut peripneumonia. [6] Observare igitur ac vitare oportet febres in hyeme. [7] Sit autem observatio, & tutela ab ipsis, quies, & gracilitas, & ventris evacuatio [8] In sorbitionibus autem & potionibus degendum est, donec febris imminuta fuerit. [9] Ex morbis ferme maxime acuti & occidunt, & laboriosissimi sunt, [10] & opus est ad ipsos plurima tutela, & exactissima curatione. [11] Et à curante nullum malum accedere oportet ([12] sufficiunt enim quæ ab ipsis morbis adsunt) [13] verum ut boni quid præstet, pro viribus conetur. [14] Et siquidem recte curante medico, à magnitudine morbi superetur æger, non hæc culpa medici est. [15] Si vero non recte curante, neque cognoscente, à morbo superetur, medici culpa est.

XIII. Æstate porro hæc fiunt: [2] febris detinet fortis, & sitis, [3] & vomunt aliqui bilem, [4] aliquibus vero etiam inferne secedit. [5] His in potu dandum est, & ad sorbendum, quodcunque tandem tibi idoneum esse visum fuerit. [6] Si vero bilis aut pituita ad cor consederit, aqua frigida, aut aqua mulsa pota, vomant. [7] Si vero venter non secesserit, clysteri utendum est, aut subdititia glande. [8] Morbus autem fit à bile. [9] Liberantur autem maxime septima die, aut

nona.

ἐνιαύσιοι. [10] ἢν δὲ, τοῦ πυρετοῦ ἔχοντος, μὴ καθαίρωνται, μήτε κάτω, μήτε ἄνω, [11] πόνος δὲ ἐνῇ καθ' ἅπαν τὸ σῶμα, ὅταν ᾖ τεταρταῖος, ἢ τριταῖος, [12] φαρμάκῳ ὑποκαθῆραι ἐλαφρῷ κάτω, ἢ πόματι. [13] ποιέειν δὲ ῥόφημα ἀπὸ κέγχρου, ἢ ἀλήτου. [14] καὶ πόμασι τοῖσιν αὐτοῖσι θεραπεύειν. [15] πάσχουσι δὲ καὶ ταῦτα ὑπὸ χολῆς.

35 XIV. Ἢν δὲ τὰ μὲν ἔξω μὴ πυρώδης ἢ σφόδρα, τὰ δὲ ἔσω, [2] καὶ ἡ γλῶσσα τρηχείη καὶ μέλαινα γίνηται, [3] ἢ οἱ πόδες καὶ αἱ χεῖρες 10 ἄκραι ψυχραί, [4] τούτῳ φάρμακον μὲν μὴ διδόναι, [5] θεραπεύειν δὲ προσφέρων ψύγματα, καὶ πρὸς τὴν κοιλίην, καὶ πρὸς τὸ ἄλλο σῶμα. [6] καλέεται δὲ καυσώδης ὁ πυρετὸς οὗτος. [7] κρίνεται δὲ μάλιστα 11 δεκαταῖος, καὶ τεσσαρεσκαιδεκαταῖος. [8] ἢν δὲ τὸ πῦρ λαμβάνῃ καὶ μεθίῃ, τοῦ δὲ σώματος βάρος αὐτὸν ἔχῃ, [9] τοῦτον, ἕως μὲν ἂν τὸ 40 πῦρ ἔχῃ, ῥοφήμασι καὶ πόμασι θεραπεύειν. [10] ὅταν δὲ μὴ ἔχῃ, διδόναι καὶ σιτία. [11] καθῆραι δὲ ὡς τάχιστα φαρμάκῳ, ἤν τι ἄνω δοκέῃ σοι δεῖσθαι, ἤν τι κάτω. [12] ἢν δὲ πυ- 12 ρετὸς μὲν μὴ ἔχῃ, τὸ δὲ στόμα πικρὸν ἔχῃ, καὶ τὸ σῶμα βαρύνηται, καὶ ἀσιτέῃ, φάρμακον διδόναι. [13] πάσχει δὲ ταῦτα ὑπὸ χολῆς, ὅταν ἐς τὰς φλέβας καὶ τὰ ἄρθρα κατάστηρίξῃ.

XV. Ὁκόσαι δὲ ἄλλαι ὀδύναι ἐν τῷ θέρει περὶ τὴν κοιλίην γίνονται, ὁκόσαι μὲν πρὸς τὰ ὑποχόνδρια καὶ τὴν καρδίην, [2] μελίκρητον ὑδαρὲς ποιέων, ὅσον τρεῖς 45 κοτύλας ὄξος παραχέας, δὸς πιεῖν χλιαρόν. [3] καὶ ἐπισχὼν ὀλίγον χρόνον, ξυνειλήσας πυρὶ καὶ ἱμα-

nona. [10] Si vero febre detinente non purgentur, neque deorsum, neque sursum, [11] dolor autem affuerit per totum corpus, tertia aut quarta die, [12] pharmaco levi aut potione, deorsum purgato: [13] facito autem sorbitionem ex milio, aut farina: [14] & iisdem potionibus curato. [15] Patiuntur autem & hæc à bile. 135

XIV. Si vero externæ partes, non valde fervidæ fuerint, verum internæ, [2] & lingua aspera ac nigra fit, [[3] & pedes ac manus summæ frigidæ sunt,] [4] huic pharmacum ne dederis: [5] curato autem frigefacientia adhibendo, & ad alvum, & ad reliquum corpus. [6] Vocatur autem hæc febris æstuosa. [7] Judicatur maxime undecima die, & decimaquarta. [8] Si vero febrilis calor apprehenderit ac dimiserit, gravitas autem corporis ipsum detinuerit: [9] hunc, donec quidem calor tenuerit, sorbitionibus ac potionibus curato: [10] quum autem non detinuerit, etiam cibos dato. [11] Purgato autem quam celerrime pharmaco, sive sursum sive deorsum opus habere tibi visum fuerit. [12] Si vero febris quidem non tenuerit, os vero amarum habuerit, & corpus gravetur, & cibum aversetur, pharmacum dandum est. [13] Patitur autem hæc à bile, quum in venas ac articulos incubuerit & firmata fuerit. 140 145

XV. Quicunque vero alii dolores in æstate circa ventrem fiunt, siquidem ad præcordia & cor tenderint, [2] aquam mulsam aquosam facito, & aceti tribus heminis affusis, tepidam bibendam dato: [3] & ubi modico tempore ipsam retinuerit, & igne ac vesti- 150

ἱματίοισιν, ἐμεέτω. 4 ἢν δὲ ἀπεμέσαντι αὖθις προσίστηται, καὶ πνίγῃ, αὖθις ἔμετον ποιείσθω. 5 ἢ λούσας αὐτὸν πολλῷ καὶ θερμῷ, ὑποκλύσαι· 6 καὶ χλιάσματα προστιθέναι, ἐὰν ἡ ὀδύνη ἔχῃ. 7 πάσχουσι δὲ ταῦτα μάλιστα ὑπὸ τοῦ φλέγματος, ὅταν κινηθὲν προσπέσῃ πρὸς τὴν καρδίην. 8 διδόναι δὲ τοῖσι τὰ τοιαῦτα ἀλγήματα ἀλγέουσι, καὶ τῶν φαρμάκων, ἃ γέγραπται ποιοῦντα τὴν τοιαύτην ὀδύνην ἐν τῇ φαρμακίτιδι. 9 ἢν δὲ μεθίστηται ἡ ὀδύνη ἄλλοτε ἄλλῃ τῆς κοιλίης καὶ ἀπύρετος ᾖ, λούειν πολλῷ καὶ θερμῷ, 10 καὶ πίνειν διδόναι, τῆς ὀδύνης εἵνεκα, ὅπερ ἐν τῇ πλευρίτιδι γέγραπται, ἢ τῶν ἄλλων ὅ, τι ἄν σοι δοκέῃ. 11 ἢν δὲ μὴ ἀπαλλάσσηται τῆς ὀδύνης, ὑποκαθῆραι φαρμάκῳ κάτω. 12 σιτίων δὲ ἀπέχεσθαι, ἕως ἂν ἡ ὀδύνη ἔχῃ. 13 τὰ δὲ τοιαῦτα ἀλγήματα, ὅσα οὕτως πλανᾶται, ὑπὸ χολῆς γίνεται.

XVI. Ὅσαι δὲ κάτωθεν τοῦ ὀμφαλοῦ ὀδύναι γίνονται, ὑποκλύσαι μαλακῷ κλύσματι. 2 ἢν δὲ μὴ παύωνται, φάρμακον δοῦναι κάτω. 3 ὁκόσαι δὲ ὀδύναι ἐξαπίνης γίνονται ἐν τῷ σώματι ἄνευ πυρετοῦ, ξυμφέρει λούειν πολλῷ καὶ θερμῷ, καὶ χλιαίνειν. 4 τὸ γὰρ φλέγμα καὶ ἡ χολὴ, ξυνεστηκότα μὲν, ἰσχυρά τέ ἐστιν, καὶ κρατεῖ, καθ' ὁκοῖον ἂν τοῦ σώματος στῇ, καὶ πόνον τε καὶ ὀδύνην ἰσχυρὴν παρέχει. 5 διακεχυμένα δὲ, ἀσθενέστερά ἐστι, καθ' ὅ ἂν δῆλα ᾖ τοῦ σώματος.

XVII. Τὰ δὲ νοσήματα ὅσα τοῦ θέρεος γίνονται, ὧδε γίνεται οὕτως. 2 ὅταν τὸ σῶμα ὑπὸ τοῦ ἡλίου θερμανθῇ, ὑγραίνεται. 3 ὑγραινόμενον δὲ

vestibus concalefactus fuerit, vomat. 4 Si vero à vomitu rursus accesserint ac suffocaverint, rursus vomitum faciat. 5 Aut ipsum multa calida lotum, per clysterem sublue: 6 & tepefactoria adhibe, si affuerit dolor. 7 Patiuntur autem hæc maxime à pituita, quum commota ad cor allapsa fuerit. 8 Danda sunt etiam his qui talibus doloribus vexantur, pharmaca quæ descripta sunt ad ejusmodi morbum in Medicamentario libro. 9 Si vero transierit dolor alias ad alium ventris locum, & febre caruerit, multa calida lavetur, 10 & doloris gratia bibenda dentur, quæ in pleuritide sunt descripta, aut alia prout tibi visum fuerit. 11 Si vero à dolore non liberetur, per pharmacum deorsum subpurgetur. 12 A cibis autem abstineat, quousque dolor affuerit. 13 Tales autem dolores, qui sic errant, à bile fiunt.

XVI. Quicunque vero dolores infra umbilicum fiunt, in his molli infuso per clysterem immisso subluito. 2 Si vero non sedentur, pharmacum deorsum purgans dato. 3 Quicunque vero dolores derepente in corpore fiunt citra febrem, in his lavare multa calida conducit, & tepefacere. 4 Nam pituita & bilis compacta quidem, fortia sunt, & prævalent in quacunque corporis parte constiterint, & laborem ac dolorem fortem exhibent. 5 Diffusa vero debiliora sunt, quacunque corporis parte manifesta fuerint.

XVII. At vero morbi qui in æstate fiunt, sic fieri solent. 2 Quum corpus à sole fuerit calefactum, humectatur: 3 humectatum

δὲ νοσέει, ἢ πᾶν, ἢ ἐς ὅ, ἂν μέρος αὖ κατασκήψῃ τὸ φλέγμα καὶ ἡ χολή. 4 ἢν μὲν οὖν τις αὐτὰ ἀρχόμενα θεραπεύῃ, οὔτε μακρὰ γίνεται οὔτε ἐπικίνδυνα. 5 ἢν δὲ μὴ θεραπεύῃ, ἢ κακῶς θεραπεύῃ, φιλέει καὶ μακρότερα γίνεσθαι, πολλάκις δὲ καὶ κτείνει. 6 καὶ τριταῖοι δὲ καὶ τεταρταῖοι πυρετοὶ ἐκ τῶν τοιούτων γίνεσθαι πεφύκασιν. 7 αὕτη ἡ κατάστασις τῶν νοσημάτων μάλιστα μὲν τοῦ θέρεος γίνεται, ἐνίοισι δὲ καὶ τοῦ χειμῶνος.

XIIX. Τριταῖος δὲ πυρετὸς ὅταν ἔχῃ, ἢν μέν σοι δοκέῃ ἀκάθαρτος εἶναι, τῇ τετάρτῃ φάρμακον δοῦναι. 2 ἢν δὲ μή σοι δοκέῃ φαρμάκου δεῖσθαι, διδόναι φάρμακα ποτά, οἷσιν ἢ μεθίσταται ὁ πυρετὸς, ἢ ἀπολείπει. 3 διδόναι δὲ, ὥσπερ γέγραπται ἐν τοῖσι φαρμάκοισι. 4 καὶ τῇ μὲν λήψει ῥοφήμασι καὶ ποτοῖσι διαιτᾶν· 5 ταῖς δὲ διαλείψεσι, σιτίοισι διαχωρητικοῖσι. 6 λαμβάνει δ' ὡς ἐπὶ τὸ πολὺ, οὐκ ἐπὶ πλεῖστον. 7 ἢν δὲ μὴ θεραπεύηται, ἐθέλει μεθίστασθαι ἐς τεταρταῖον, καὶ γίνεσθαι πολυχρόνιος.

XIX. Ἢν δὲ τεταρταῖος λαμβάνῃ, ἢν μὲν ἀκάθαρτος ᾖ, καθαίρειν πρῶτον μὲν τὴν κεφαλήν. 2 καὶ, διαλείπων τρεῖς ἢ τέσσαρας ἡμέρας, φάρμακον διδόναι ἄνω κατ' αὐτὴν τὴν λῆψιν. 3 διαλιπὼν δὲ, κάτω δοῦναι ἕτερον ἐν αὐτῇ τῇ λήψει. 4 ἢν δὲ πρὸς ταῦτα μὴ παύηται, διαλιπὼν πάλιν, λούειν πολλῷ καὶ θερμῷ, δοῦναι τῶν φαρμάκων ἃ γέγραπται. 5 ποτοῖσι δὲ, καὶ ῥοφήμασι, καὶ τῇ ἄλλῃ διαίτῃ χρῆσθαι, ὥσπερ ἐπὶ τοῦ τριταίου. 6 λαμβάνει δὲ οὗτος ὁ πυρετὸς τοὺς

ætatum autem ægrotat, aut totum, aut ea parte, in quam pituita & bilis incubuerint. 4 Siquidem igitur quis ipsos incipientes curet, neque longi fiunt, neque periculosi. 5 Si vero non curet, aut male curet, & longiores fiunt, & sæpe quoque occidunt. 6 Sed & tertianæ & quartanæ febres ex talibus fieri solent. 7 Hæc morborum constitutio maxime quidem æstate fit, aliquibus vero etiam hyeme.

XIIX. Tertiana febris quum apprehenderit, siquidem videbitur tibi non purgatus esse, quarta die pharmacum dato. 2 Si vero pharmaco non videbitur opus habere, medicamenta in potu exhibeto, quibus febris aut transmutetur, aut deficiat. 3 Exhibeto autem velut scriptum est in Medicamentis. 4 Et in apprehensione quidem, sorbitione & potu nutrito. 5 Interposito vero tempore, cibis per alvum secedentibus. 6 Apprehendit autem plerunque non ita sæpe. 7 Si vero non curetur, in quartanam transire solet, & diuturna fieri.

XIX. Si vero quartana apprehenderit, siquidem impurgatus fuerit, primum caput purgato, 2 & interpositis tribus aut quatuor diebus, pharmacum sursum versus purgans dato in ipsa apprehensione. 3 Et interpositis diebus, rursum aliud deorsum purgans dato in ipsa apprehensione. 4 Si vero ex his non sedetur: rursus interpositis diebus, multa calida lavato, & pharmaca quæ scripta sunt dato. 5 Potibus autem & sorbitionibus, & reliqua diæta utendum est, velut in tertiana. 6 Apprehendit autem hæc febris plurimos

τοὺς μὲν πλείστους, πουλὺν χρόνον· τοὺς δὲ, καὶ ὀλίγον. [7] καὶ γίνεται μὲν ὅ, τε τριταῖος καὶ [ὁ] τεταρταῖος ὑπὸ χολῆς καὶ φλέγματος. [8] διότι δὲ ὁ τριταῖος καὶ ὁ τεταρταῖος, ἑτέρωθί μοι γέγραπται. [9] δύναμιν δὲ ἔχει τῶν πυρετῶν τὰ φάρμακα τούτων, ὥστε πινόμενα τὸ σῶμα κατὰ χώρην εἶναι ἐν τῇ εἰωθυίῃ θερμότητί τε καὶ ψυχρότητι, [10] καὶ μήτε θερμαίνεσθαι παρὰ φύσιν, μήτε ψύχεσθαι. [11] διδόναι δὲ, ὡς ἐν τῇ φαρμακίτιδι γέγραπται.

XX. Φλέγμα [δὲ] λευκὸν ὅταν ἔχῃ, τὸ σῶμα οἰδέει πᾶν λευκῷ οἰδήματι. [2] καὶ τῆς αὐτῆς ἡμέρης, τοτὲ μὲν δοκέει ῥάων εἶναι, τοτὲ δὲ φλαυρότερος. [3] καὶ τὸ οἴδημα ἄλλοτε ἄλλῃ τοῦ σώματος μεῖζόν τε καὶ ἔλασσον γίνεται. [4] τούτῳ φάρμακα διδόναι κάτω, ὑφ' ὧν ὕδωρ ἢ φλέγμα καθαίρεται. [5] διαιτῶν δὲ σιτίοισι καὶ ποτοῖσι καὶ πόνοισιν, ὑφ' ὧν ὡς ξηρότατος ἔσται καὶ ἰσχνότατος. [6] ἡ δὲ νοῦσος αὕτη γίνεται ἀπὸ φλέγματος, [7] ὅταν τις ἐκ πυρετῶν πολυχρονίων φλεγματώδης ὢν, ἀκάθαρτος γένηται, τρέπηταί τε τὸ φλέγμα αὐτοῦ ἀνὰ τὰς σάρκας. [8] καὶ λευκότερον μὲν οὐδὲν τοῦτο τοῦ ἄλλου ἐστὶ φλέγματος, [9] ὁ δὲ χρὼς φαίνεται λευκότερος. [10] τὸ γὰρ αἷμα ὑπὸ πλήθεος τοῦ φλέγματος ὑδαρέστερον γίνεται, καὶ οὐκ ἔνι ὁμοίως ἐν αὐτῷ τὸ εὔχροον. [11] καὶ διὰ τοῦτο λευκότεροί τε φαίνονται, καὶ καλέεται ἡ νοῦσος φλέγμα λευκόν. [12] ἢν μὲν οὖν θεραπευθῇ ἀρχομένης τῆς νούσου, ὑγιὴς γίνεται. [13] ἢν δὲ μὴ, ἐς ὕδρωπα μεθίσταται ἡ νοῦσος, καὶ διέφθειρε τὸν ἄνθρωπον.

XXI. Ὁκόσοι δὲ σπλῆνα ἔχουσι μέγαν, [2] ὅσοι μὲν εἰσὶ χολώδεες, [3] κακόχροοί τε γίνονται, [4] καὶ κακελκέες, [5] καὶ

rimos multo tempore, alios vero pauco. [7] Et fit tum tertiana, tum quartana, à bile & pituita. [8] Cur autem tertiana & quartana, alibi à me ſcriptum eſt. [9] Vim porro habent medicamenta in his febribus, ut potis his corpus in loco ſit, in conſueta caliditate ac frigiditate: [10] & neque præter naturam calefiat, neque frigefiat. [11] Danda ſunt autem velut ſcriptum eſt in Medicamentario libro.

XX. Pituita alba quum tenuerit, corpus totum intumeſcit albo tumore: [2] & in eadem die alia parte melius ſibi videtur habere, alia deterius. [3] Et tumor alias in alia corporis parte major & minor fit. [4] Huic pharmaca danda ſunt deorſum purgantia, à quibus aqua, aut pituita purgatur. [5] Victus autem ratio conſtituenda eſt, in cibis & potibus, ac laboribus, à quibus ſicciſſimus ac graciſſimus evadat. [6] Morbus autem hic fit à pituita, [7] quum quis ex febribus diuturnis pituitoſus exiſtens, impurgatus manſerit, & pituita ad carnes ipſius converſa fuerit. [8] Et nihil quidem albidior eſt hæc pituita quam alia, [9] verum corporis color albidior apparet. [10] Sanguis enim à pituitæ copia aquoſior fit, & non ineſt ſimiliter in ipſo bonus color. [11] Quapropter albidiores apparent: & vocatur hic morbus pituita alba. [12] Siquidem igitur curatus fuerit inchoante morbo, ſanus fiet. [13] Sin minus, in hydropem tranſit morbus, & hominem corrumpit.

XXI. Quicunque ſplenem habent magnum, [2] qui quidem fuerint bilioſi, [3] hi mali coloris fiunt, [4] malis ulceribus ſcatent, [5] &

[5] καὶ δυσώδεες ἐκ τοῦ στόματος, [6] καὶ λεπτοί· [7] καὶ ὁ σπλὴν σκληρὸς, καὶ αἰεὶ παραπλήσιος τὸ μέγεθος· [8] καὶ τὰ σιτία οὐ διαχωρέει. [9] ὁκόσοι δὲ φλεγματίαι, [10] ταῦτα πε[ρὶ] ἧσσον πάσχουσι, [11] καὶ ὁ σπλὴν ἄλλοτε μείζων γίνεται, ἄλλοτε δὲ ἐλάσσων. [12] τούτοισι ξυμφέρει, ἢν μὴ ἀκάθαρτοι φαίνωνται, καθαίρειν καὶ τὴν κεφαλὴν καὶ τὸ ἄλλο σῶμα. [13] ἢν δὲ μὴ δέωνται φαρμακείης, διαιτᾷν. [14] ὁκόσοι μὲν φλεγματώδεες, ξηραίνοντα τὸ σῶμα καὶ ἰσχναίνοντα σιτίοισι καὶ ποτοῖσι, καὶ ἐμέτοισι, καὶ γυμνασίοισιν ὡς πλείστοισι, καὶ περιπάτοισι· [15] καὶ τοῦ ἦρος ἐλλεβόρῳ καθαίρειν ἄνω. [16] ὁκόσοι δὲ χολώδεες, ξυμφέρει διυγραίνοντα τῇ διαίτῃ ὑπάγειν τὴν κοιλίην καὶ τὴν κύστιν, [17] καὶ τὴν φλέβα τὴν σπληνῖτιν ἀφιέναι πυκνά. [18] καὶ τοῖσι διουρητικοῖσι φαρμάκοισι χρῆσθαι, ἃ γέγραπται μαλθάσσοντα τὸν σπλῆνα. [19] καὶ καθαίρειν ἐπὶ τῇ ὥρῃ, καὶ τοῦτο χολήν. [20] ἔνιοι δὲ τῶν σπληνιώντων ὑπὸ μὲν τῶν φαρμάκων πίνοντες οὐκ ὠφελέονται, [21] οὐδ' ὑπὸ τῆς ἄλλης θεραπείης οὐδὲν ἰσχνότερος γίνεται αὐτῶν ὁ σπλὴν, [22] ἀλλὰ κρατέεται τὰ προσφερόμενα ὑπὸ τοῦ μεγέθεος τῆς νούσου. [23] προϊόντος δὲ τοῦ χρόνου, ἐνίοισι μὲν ἐς ὕδρωπα περιίσταται ἡ νοῦσος, καὶ διαφθείρονται· [24] ἐνίοισι δὲ καὶ ἐκπυΐσκεται, καὶ καυθέντες ὑγιέες γίνονται· [25] ἐνίοισι δὲ καὶ ξυγκαταγηράσκει, σκληρότερος ὢν καὶ μέγας. [26] τὸ δὲ νόσημα γίνεται, ὅταν ἐκ πυρετῶν καὶ κακοθεραπείης χολὴ ἢ φλέγμα ἢ καὶ ἀμφότερα ἐς τὸν σπλῆνα καταστηρίξῃ. [27] καὶ πολυχρόνιον μὲν ἐστι τὸ πάθος, θανατῶδες δὲ οὔ. [28] τῶν δὲ φαρμάκων, ὅσα δίδοται τοῦ σπληνὸς, τὰ μὲν διὰ τῆς κύστιος

[5] & ex ore grave olent, [6] & tenues evadunt. [7] & ſplen durus eſt, & ſemper conſimili magnitudine, [8] & cibi non ſecedunt. [9] Qui vero pituitoſi ſunt, [10] hæc & minus patiuntur, [11] & ſplen alias major, alias minor efficitur. [12] His conducit, ſiquidem impurgati fuerint, & caput & reliquum corpus purgare. [13] Si vero purgatione non egeant, victus ratio conſtituenda eſt, [14] ita ut pituitoſis corpus reſiccemus ac attenuemus, cibis & potibus, & vomitibus, & exercitiis plurimis, & deambulationibus. [15] Et in vere ſurſum per veratrum purgentur. [16] Bilioſis autem conducit, ut per victum humectantem, alvum & veſicam ſubducamus, [17] & ut de vena ſplenitide frequenter ſanguinem mittant: [18] & medicamentis urinam cientibus utantur, quæ ſplenem mollire ſcripta ſunt, [19] & ut pro anni tempore bilem purgent. [20] Quidam vero ſplenici à pharmacorum potu nihil utilitatis ſentiunt, [21] neque à reliqua curatione, quicquam gracilior ſplen ipſorum evadit, [22] ſed quæ adhibentur à magnitudine morbi ſuperantur: [23] progreſſu vero temporis, aliquibus in hydropem morbus degenerat, & corrumpuntur. [24] Aliquibus autem ſplen ſuppuratur, & uſti ſani fiunt. [25] Cum quibuſdam vero conſeneſcit, durus & magnus exiſtens. [26] Morbus autem fit, quum ex febribus & mala curatione, bilis aut pituita, aut ambo in ſplenem incubuerint. [27] Et diuturna quidem eſt affectio, non autem lethalis. [28] Ex pharmacis quæ ſplenis gratia exhibentur, alia per veſicam purgant, & ipſum

σι@ καθαίρει, καὶ ποιεῖ λαπαρώτερον. [29] τὰ δὲ καθαίρει μὲν, οὔτε διὰ τῆς κύστιος οὐδὲν, ὅ, τι καὶ φανερώτερον, οὔτ' ἄλλῃ οὐδαμῇ. [30] λαπάσσει δὲ τὸν σπλῆνα.

XXII. Εἰλεὸς ὅταν λάβῃ, [2] ἡ γαστὴρ σκληρὴ γίνεται, καὶ διαχωρεῖ οὐδέν. [3] καὶ ὀδύνη πᾶσαν τὴν κοιλίην ἔχει, [4] καὶ πῦρ, καὶ δίψα. [5] ἐνίοτε δὲ ὑπὸ πόνου ἐμεῖ καὶ χολήν. [6] τοῦτον χρὴ διυγραίνειν, καὶ ἔσωθεν, καὶ ἔξωθεν. [7] λούειν τε πολλῷ καὶ θερμῷ. [8] καὶ πίνειν ὅσα τήν τε κοιλίην κινεῖ, καὶ τὸ οὖρον ὑπάγει. [9] καὶ ὑποκλύζειν, ἢν δέχηται. [10] ἢν δὲ μὴ δέχηται τὸ κλύσμα, [11] αὐλίσκον προσδήσας πρὸς [τὸν] ποδεῶνα ἀσκοῦ φυσήσας, ἐνιέναι τὴν φῦσαν πολλήν. [11] καὶ, ἐπειδὰν ἀρθῇ τὸ ἔντερον ὑπὸ τῆς φύσης καὶ ἡ γαστὴρ, ἐξελὼν τὸν αὐλίσκον, ἐνιέναι παραχρῆμα κλύσμα. [12] καὶ, ἢν δέξηται, ὑποχωρήσει καὶ ὑγιὴς ἔσται. [13] ἢν δὲ μὴ οὕτω δέξηται τὸ κλύσμα, ἀποθνήσκει μάλιστα ἑβδομαῖος. [14] ἡ δὲ τοιαύτη νοῦσος γίνεται, ὅταν τῆς κόπρου ξυγκαυθῇ ἀθρόον ἐν τῷ ἐντέρῳ, [καὶ] περὶ τοῦτο περιίσταται φλέγμα. [15] καὶ τὸ ἔντερον, ἅτε τούτων ἀθρόων ἐνεσκληκότων, περιοιδεῖ. [16] καὶ οὔτε τῶν ἄνωθεν πινομένων φαρμάκων δέχεται, ἀλλ' ἀνεμεῖ, [17] οὔτε τῶν κάτωθεν προσφερομένων κλυσμάτων δέχεται. [18] ἔστι δὲ τὸ νόσημα ὀξὺ καὶ ἐπικίνδυνον.

XXIII. Ὕδερος δὲ γίνεται, τὰ μὲν πλεῖστα, ὅταν τις ἐκ νόσου μακρῆς ἀκάθαρτος διαφέρηται πουλὺν χρόνον. [2] φθείρονται γὰρ αἱ σάρκες, καὶ τήκονται, καὶ γίνονται ὕδωρ. [3] γίνεται δὲ ὕδρωψ καὶ ἀπὸ τοῦ σπληνὸς, ὅταν νοσήσῃ. [4] καὶ ἀπὸ τοῦ ἥπατος, [5] καὶ ἀπὸ λευκοῦ φλέγματος, [6] καὶ ἀπὸ

sum molliorem faciunt. [29] Alia vero purgant quidem, verum neque per vesicam quicquam, quod manifestius fiat, neque usquam alia parte. [30] Splenem tamen molliunt.

XXII. Volvulus quum apprehenderit, [2] venter durus fit, & nihil secernit, [3] & dolor inferne omnem alvum tenet, [4] & febris, & sitis. [5] Aliquando vero præ dolore æger etiam bilem vomit. [6] Hunc humectare oportet, & intrinsecus, & extrinsecus: [7] & multa calida lavare. [8] Et bibenda dare quæ alvum movent, & urinam subducunt. [9] Et clysterem adhibere, si admittat. [10] Si vero non admiserit clysterem, fistulam ad utriculi extremitatem alligato, & insufflando multum flatum immittito. [11] Et ubi intestinum & venter elevata fuerint à flatu, exempta fistula, statim infusum per clysterem immittito. [12] Et si susceperit, secessum emittet, & sanus evadet. [13] Si vero non sic susceperit infusum, moritur maxime septima die. [14] Talis autem morbus fit, quum stercore acervatim combusto in intestino, pituita circa hoc colligitur. [15] Et intestinum intumescit, utpote his acervatim induratis: [16] & neque pharmaca quæ superne bibuntur suscipit, sed revomit: [17] neque infusa inferne adhibita admittit. [18] Est autem morbus acutus & periculosus.

XXIII. Aqua inter cutem fit plerunque, quum quis ex longo morbo, impurgatus multo tempore manet. [2] Corrumpuntur enim carnes, & liquantur, & fit aqua. [3] Fit etiam hydrops à splene, quum ægrotaverit: [4] & ab hepate, [5] & à pituita alba, [6] & à dysen-

ἀπὸ δυσεντερίης, [7] καὶ λειεντερίης. [8] καὶ, ἢν μὲν ἐξ ἀκαθαρσίης γένηται ὕδρωψ, [9] ἡ μὲν γαστὴρ ὕδατος πίμπλαται· [10] οἱ δὲ πόδες καὶ αἱ κνῆμαι ἐπαίρονται· [11] οἱ δὲ ὦμοι καὶ αἱ κληῗδες καὶ τὰ στήθεα καὶ οἱ μηροὶ τήκονται. [12] τοῦτον ἢν ἀρχόμενον λάβῃς πρὶν ὑπέρυθρον γενέσθαι, [13] φάρμακα πιπίσκειν κάτω, ὑφ' ὧν ὕδωρ ἢ φλέγμα καθαίρεται. [14] χολὴν δὲ μὴ κινέειν. [15] σιτίοισι δὲ καὶ ποτοῖσι καὶ πόνοισι καὶ περιπάτοισι διαιτᾷν, ὑφ' ὧν ἰσχνὸς καὶ ξηρὸς ἔσται, καὶ αἱ σάρκες ὡς ἰσχυρόταται. [16] ἡ δὲ νοῦσος θανατώδης, ἄλλως τε καὶ ἢν φθῇ ἡ γαστὴρ μεστωθεῖσα ὕδατος. [17] ὅταν δὲ ἀπὸ σπληνός, ἢ ἥπατος, ἢ λευκοῦ φλέγματος, ἢ δυσεντερίης ἐς ὕδρωπα μεταστῇ, θεραπεύειν μὲν τοῖσιν αὐτοῖσι ξυμφέρει. [18] διαφεύγουσι δὲ οὐ μάλα. [19] τῶν γὰρ νοσημάτων ὅ, τι ἂν ἕτερον ἐφ' ἑτέρῳ γένηται, ὡς τὰ πολλὰ ἀποκτείνει. [20] ὅταν γὰρ ἀσθενὲς τὸ σῶμα ὂν ὑπὸ τῆς παρεούσης νούσου, ἑτέρη νοῦσος ἐπιγένηται, ἀπόλλυται ὑπὸ ἀσθενείης, πρὶν ἢ τὴν ἑτέρην νοῦσον, τὴν ὑστέρην γενομένην, τελευτῆσαι. [21] τὸ δὲ ὕδωρ γίνεται οὕτως. [22] ἐπειδὰν αἱ σάρκες ὑπὸ φλέγματος, καὶ χρόνου, καὶ νούσου, καὶ ἀκαθαρσίης, καὶ κακοθεραπείης, καὶ πυρετῶν διαφθαρῶσι, τήκονται καὶ γίνονται ὕδωρ. [23] καὶ ἡ μὲν κοιλίη οὐ μεταδιδοῖ ὕδωρ ἐς ἑωυτήν, κύκλῳ δὲ περὶ αὐτὴν γίνεται. [24] καὶ, ἢν μὲν οὖν ὑπὸ τῶν φαρμάκων καὶ τῆς ἄλλης διαίτης ὠφελέηται, καὶ ἡ γαστὴρ λαπάσσηται αὐτοῦ. [25] ἢν δὲ μή, ταμὼν ἀφεῖναι τοῦ ὕδατος. [26] τάμνεται δέ, ἢ παρὰ τὸν ὀμφαλόν, ἢ ὄπισθεν κατὰ τὴν λαγόνα. [27] διαφεύγουσι δὲ καὶ ἐντεῦθεν ὀλίγοι.

XXIV. Δυσ-

dyſenteria, [7] ac lienteria. [8] Et ſiquidem expurgatione non facta fiat hydrops, [9] venter aqua impletur: [10] pedes autem & ſuræ attolluntur: [11] humeri vero & claviculæ, & pectora, & femora liqueſiunt. [12] Hunc ſi à principio acceperis, priuſquam aqua ſuperexcreſcat, [13] pharmaca bibenda dato, à quibus aqua aut pituita purgatur. [14] Bilem vero ne moveto. [15] Cibos autem & potus & labores ac deambulationes conſtituito, à quibus gracilis ac ſiccus evadat, & carnes quam robuſtiſſimæ fiant. [16] Morbus autem eſt lethalis, cum alias, tum ſi venter aqua repletus fuerit. [17] Quum vero à ſplene, aut hepate, aut pituita alba, aut dyſenteria in hydropem tranſitus fit, conducit quidem per eadem curare, [18] effugiunt autem non valde. [19] Nam in morbis quum alter alteri ſuccedit, plerunque occidit. [20] Quum enim corpori à præſenti morbo debilitato, alius morbus acceſſerit, præ imbecillitate perit, priuſquam alter morbus qui poſterior acceſſit, deſinat. [21] Aqua porro ſic fit. [22] Quum carnes à pituita, & tempore, & morbo, & non purgata immundicia, & mala curatione, ac febribus corruptæ fuerint, liqueſcunt & fiunt aqua. [23] Et venter quidem non diſtribuit aquam in ſeipſum, verum in circuitu circa ipſum conſiſtit. [24] Siquidem igitur à pharmacis, & alia victus ratione, æger utilitatem percipiat, & venter ipſius evacuatur, bene eſt. [25] Sin minus, ſectione facta, aquam emittito. [26] Secatur autem vel juxta umbilicum, vel retro juxta lumbos. [27] Effugiunt autem & hinc pauci.

XXIV. Dy-

XXIV. Δυσεντερίη ὅταν ἔχῃ, 2 ὀδύνη ἔχει κατὰ πᾶσαν τὴν κοιλίην, καὶ στρόφος, 3 καὶ διαχωρέει χολήν τε καὶ φλέγμα, καὶ αἷμα ξυγκεκαυμένον. 4 τούτου καθήρας τὴν κεφαλὴν, φάρμακον πίσαι ἄνω, ὅ, τι φλέγμα καθαίρει. 5 καὶ τὴν κοιλίην γάλακτι ἑφθῷ διανίψας, τὸ ἄλλο σῶμα θεραπεύειν. 6 καὶ, ἢν μὲν ἄπυρος ᾖ, τὴν μὲν κοιλίην λιπαροῖσι, καὶ πίοσι, καὶ γλυκέσι, καὶ ὑγροῖσιν ὑπάγειν αἰεὶ τὰ ἐνεόντα. 7 45 καὶ λούειν πολλῷ καὶ θερμῷ τὰ κάτω τοῦ ὀμφαλοῦ, ἢν ὀδύνη ἔχῃ. 8 τὰ δὲ πόματα καὶ τὰ ῥοφήματα καὶ τὰ σιτία προσφέρειν, κατὰ τὰ γεγραμμένα ἐν τῇ φαρμακίτιδι. 9 ἡ δὲ νοῦσος γίνεται, ἐπειδὰν χολὴ καὶ φλέγμα καταστηρίξῃ ἐς τὰς φλέβας καὶ τὴν κοιλίην, 10 νοσέει μὲν τὸ αἷμα καὶ διαχωρέει ἐφθαρμένον· 11 νοσέει δὲ καὶ τὸ ἔντερον, καὶ ξύεται καὶ ἑλκοῦται. 12 γίνεται δὲ αὕτη ἡ νοῦσος καὶ μακρὴ, καὶ πολύπονος, καὶ θανατώδης. 13 καὶ, ἢν μὲν ἔτι τοῦ 184 σώματος ἰσχύοντος θεραπεύηται, ἐλπὶς διαφυγεῖν. 14 ἢν δὲ ἤδη ἐκτετηκότος, καὶ τῆς κοιλίης παντάπασιν ἡλκωμένης, ζωῆς οὐδεμία ἐλπίς.

XXIV. Dyſenteria quum habuerit, 2 dolor adeſt per totum ventrem, & tormen, 3 & egerit bilem ac pituitam, & ſanguinem combuſtum. 4 Hujus ubi purgaveris caput, pharmaco in potu exhibito, quod ſurſum pituitam purgat, 5 & alvum lacte cocto elueris, reliquum corpus curato: 6 & ſiquidem febre caruerit, pinguibus & dulcibus ac liquidis ſemper ea quæ inſunt ex alvo ſubducito. 7 Et multa calida partes ſub umbilico lavato, ſi dolor affuerit. 8 Potus autem & ſorbitiones ac cibos exhibeto; velut ſcriptum eſt in Medicamentario libro. 9 Morbus hic fit, ubi bilis & pituita in venas ac alvum incubuerint: 10 ægrotat quidem ſanguis, & corruptus ſecedit: 11 ægrotat autem & inteſtinum, & raditur 265 ac exulceratur. 12 Fit autem hic morbus, & longus, & laborioſus ac lethalis. 13 Et ſiquidem robuſto adhuc corpore curetur, ſpes eſt fugæ: 14 Si vero colliquato jam, & ventre omnino exulcerato, nulla vitæ ſpes ſupereſt.

XXV. Λειεντερίη. 2 τὰ σιτία διαχωρέει ἄσηπτα [καὶ] ὑγρά. 3 ὀδύνη δὲ οὐκ ἔνι. 4 λεπτύνεται δὲ καὶ τὸ σῶμα. 5 τοῦτον θεραπεύειν ἐν τοῖσιν αὐτοῖσιν, οἷσιν τοὺς ὑπὸ δυσεντερίης ἐχομένους. 6 ἡ δὲ νοῦσος γίνεται, ὅταν ἐκ τῆς κεφαλῆς καὶ τῆς ἄνω 5 κοιλίης κατάῤῥοος γένηται τοῦ φλέγματος ἐς τὴν κάτω κοιλίην. 7 ὅταν δὲ τοῦτο, τὰ σιτία ὑπ᾽ αὐτοῦ ψύχεται καὶ ὑγραίνεται, 8 καὶ ἡ ἄφοδος αὐτῶν ἀσήπτων ταχέη γίνεται, 9 καὶ τὸ σῶμα τήκεται· 10 ἅμα μὲν οὐ πισσομένων τῶν σιτίων ἐν τῇ κοιλίῃ χρόνον ἱκανόν· 11 ἅμα δὲ ὑπὸ τῆς κοιλίης

22 XXV. Lienteria. 2 In lienteria, hoc eſt, inteſtinorum lævitate, cibi ſecedunt non putrefacti, liquidi: 3 dolor autem non adeſt, 4 & corpus attenuatur. 5 Hunc per eadem curato, velut 270 à dyſenteria detentos. 6 Morbus autem fit, quum ex capite & ſuperiore ventre, pituitæ defluxus fit in ventrem inferiorem. 7 Quod ubi contingit, cibi ab ipſo frigefiunt ac humectantur. 8 Et receſſus ipſorum non putrefactorum velox contingit: 9 Et corpus liqueſcit, 10 dum ſimul cibi per multum tempus in ventre non coquuntur, 11 & ſimul

κοιλίης θερμῆς ἐούσης παρὰ φύσιν θερμαινόμενον.

XXVI. Διάῤῥοια δὲ ἡ μακρὴ ὅταν ἔχῃ, ³ διαχωρέει πρῶτα μὲν τὰ ἐσιόντα ὑγρά, ⁴ ἔπειτα [δὲ] φλέγμα. ⁵ καὶ ἐσθίει μὲν ἐπιεικῶς· ὑπὸ δὲ τῆς πολλῆς διαχωρήσιος ἀσθενὴς καὶ λεπτὸς γίνεται. ⁷ τοῦτον ἄνω ἀποξηραίνειν, ἐλλέβορον πιπίσκων, ⁸ καὶ τὴν κεφαλὴν καθαίρων φλέγματα. ⁹ διανίψαι δὲ καὶ τὴν κοιλίην γάλακτι ἑφθῷ. ¹⁰ ἔπειτα τἄλλα σιτίοισι καὶ ποτοῖσι θεραπεύειν, ¹¹ ὑφ' ὧν ξηρανεῖται ἡ κοιλίη καὶ τὸ σῶμα πᾶν. ¹² ἡ δὲ νοῦσος ἀπὸ τῶν αὐτῶν γίνεται, ἀφ' ὧν καὶ ἡ λειεντερίη. ¹³ αὗται αἱ νοῦσοι, ἥ τε δυσεντερίη, καὶ ἡ λειεντερίη, καὶ ἡ διάῤῥοια, παραπλήσιαί εἰσι. ¹⁴ καὶ δεῖ αὐτὰς οὕτως ἰῆσθαι. ¹⁵ τὸ μὲν καταῤῥέον ἀπολαμβάνειν ἀπὸ τῆς κεφαλῆς καὶ τῆς ἄνω κοιλίης, ἢ ἀποτρέπειν. ¹⁶ ἐντεῦθεν γὰρ νοσήματος ἡ φύσις ἐντεῦθεν γίνεται, ¹⁷ καὶ οὐδεὶς οὐδέν σου μέμψεται τὴν διάνοιαν. ¹⁸ σχεδὸν δὲ καὶ τἄλλα νοσήματα ὧδε δεῖ σκοπεῖν, ὁκόθεν ἑκάστῳ ἡ φύσις γίνεται. ¹⁹ καὶ οὕτω σκοπῶν καὶ λαμβάνων τὴν ἀρχὴν τῶν νοσημάτων, ἥκιστ' ἂν ἁμαρτάνοις.

XXVII. Τεινεσμὸς ὅταν λάβῃ, ² διαχωρέει αἷμα καὶ μύξα. ³ καὶ πόνος ἐν τῇ κάτω κοιλίῃ γίνεται, καὶ μάλιστα ὅταν ἐς ἄφοδον ἴῃ. ⁴ τοῦτον ξυμφέρει τὴν κοιλίην ὑγραίνειν καὶ λιπαίνειν, καὶ λιαίνειν. ⁵ καὶ ὑπάγειν τὰ ἐνεόντα. ⁶ καὶ λούειν θερμῷ, πλὴν τῆς κεφαλῆς. ⁷ φιλέει δὲ ἡ νοῦσος αὕτη τὰ σιτία πλείω ποθέειν. ⁸ οἱ γὰρ στρόφοι, κενουμένης τῆς κοιλίης ὑπὸ τοῦ αἵματος διεξιόντος καὶ τῆς μύξης, καὶ προσπιπτόντων πρὸς τὸ ἔντερον, γίνον-

mul à ventre calido, præter naturam calescit.

XXVI. Profluvium ventris longum quum detinuerit, ³ secedunt primum quidem liquida, quæ sunt ingesta: ⁴ postea pituita. ⁵ Et probe quidem edit, ⁶ verum à multo secessu debilis ac tenuis fit. ⁷ Hunc sursum versus resiccato, veratro in potu dato, ⁸ & capite à pituita purgato. ⁹ Ventrem quoque lacte cocto eluito. ¹⁰ Deinde reliqua cibis ac potibus curato, ¹¹ à quibus venter & totum corpus resiccetur. ¹² Morbus autem ab iisdem fit, à quibus etiam intestinorum lævitas. ¹³ Hi morbi, dysenteria inquam, & lienteria, ac diarrhœa sive profluvium ventris, consimiles sunt. ¹⁴ Et oportet ipsos sic sanare, ¹⁵ ita ut defluxum à capite, & superiore ventre intercipias, aut avertas. ¹⁶ Morbi enim natura hinc est. ¹⁷ Et nemo sententiam tuam reprehendet. ¹⁸ Ferme autem & reliquos morbos sic considerare oportet, unde unicuique natura sit. ¹⁹ Et si sic consideraveris ac deprehenderis principium morborum, minime aberraveris.

XXVII. Tenesmus ubi apprehenderit, ² secedit sanguis ac mucus, ³ & dolor fit in ventre inferiore, maxime ubi ad secessum devenerit. ⁴ Huic conducit ventrem humectare, & pinguefacere, ac tepefacere: ⁵ & quæ insunt subducere, ⁶ & calida lavare, excepto capite. ⁷ Solet autem hic morbus plures cibos expetere. ⁸ Tormina enim evacuato ventre à sanguine ac muco pertranseuntibus, & ad intestinum allabentibus,

γένωνται. [9] ἐνεόντων δὲ τῶν σιτίων, ἧσσον δῆξιν παρέχει τῷ ἐντέρῳ. [10] καὶ γίνεται μὲν ἀπὸ τῶν αὐτῶν, ἀφ' ὧν καὶ ἡ δυσεντερίη. [11] ἀσθενεστέρη δὲ καὶ ὀλιγοχρονίη, καὶ οὐ θανατώδης.

XXIIX. Ὅταν δὲ ἐξ οἴνου ἢ ἀπ' 25 εὐωχίης χολέρη λάβῃ ἢ διάρροια, [2] τῇ μὲν διαρροίῃ ξυμφέρει διανηστεύειν, [3] καὶ, ἢν δίψος ἔχῃ, οἶνον διδόναι γλυκὺν, [a] ἢ στέμφυλα γλυκέα. [4] ἐς ἑσπέρην δὲ διδόναι ταῦτα, ἃ καὶ τοῖσιν ὑπὸ φαρμάκου κεκαθαρμένοισιν. [5] ἢν δὲ μὴ παύηται, ἐθέλῃς δὲ παῦσαι, ἔμετον ἀπὸ σιτίου ἢ φακοῦ ποιῆσαι. [6] καὶ παραχρῆμα ἀνασπᾶται ἄνω ἡ κάτω ἄφοδος, [7] καὶ ἢν διακλύσῃς χυλῷ φακῶν ἢ ἐρεβίνθων, καὶ οὕτως που παύσεται. [8] τῇ δὲ χολέρῃ ξυμφέρει, ἢν μὲν ὀδύνην ἔχῃ, [9] διδόναι ἃ γέγραπται ἐν 30 τοῖσι φαρμάκοισι, παύοντα τὴν ὀδύνην. [10] τὴν δὲ κοιλίην θεραπεύειν, τήν τε ἄνω καὶ τὴν κάτω, διυγραίνοντα πόμασι, [11] καὶ μαλάσσοντα τὸ σῶμα λουτροῖσι θερμοῖσι, πλὴν τῆς κεφαλῆς. [12] καὶ ὁ γάρ τε ἔμετος οὕτως εὐπετέστερος γίνεται, [13] καὶ ἢν ἐσίῃ τι ὑγρὸν, καὶ τὰ προεστηκότα ἄνω ἀπεμέεται, [14] καὶ ἡ κάτω ὑποχώρησις μᾶλλον διαχωρέει. [15] ἢν δὲ κενώσῃ, ἐμέεται βιαίως, καὶ ὑποχωρέει βιαιότερον. [16] ἐς ἑσπέρην δὲ διδόναι καὶ τούτῳ, ὥσπερ τῷ φαρμακοποτέοντι. [17] 35 γίνεται δὲ καὶ ταῦτα τὰ ἀλγήματα, ὅσα ἐκ πόσιων γίνεται, ἢ ἐξ εὐωχίης, [18] ὅταν τὰ σιτία καὶ τὰ ποτὰ πλέον τοῦ εἰωθότος ἐς τὴν κοιλίην ἐσέλθῃ, καὶ τὰ ἔξωθεν εἰωθότα ὑπερθερ-

tibus, fiunt. [9] Quum autem insunt cibi, minorem mordacitatem intestino inferunt. [10] Et fit quidem ex iisdem à quibus & dysenteria, [11] verum debilior, & brevis, & non lethalis.

XXIIX. [1] Quum ex vino aut à convivio, bilis superne ac inferne fluxus, aut diarrhœa corripuerit, [2] diarrhœæ quidem conducit jejunare: [3] & si sitim habeat, vinum dulce dare, aut uvarum expressarum dulcium retrimenta. [4] Ad vesperam vero danda sunt, quæ etiam his qui à pharmaco purgati sunt dantur. [5] Si vero non cesset, velis autem sedare, vomitum à cibo, aut lenticulæ decocto facito, [6] & confestim sursum revellitur infernus secessus: [7] & si sicco lentium aut cicerum infuso elueris, etiam sic sane sedabitur. [8] At vero bilis fluxui conducit, si dolor adsit, [9] dare quæ in Pharmacis scripta sunt sedantia dolorem. [10] Venter autem curetur, tum superior, tum inferior, per potiones humectantes, [11] & per balnea calida corpus mollientia, capite excepto: [12] & sic tum vomitus proclivior fit: [13] & si liquor aliquis ingressus fuerit, ea quæ adversantur, sursum revomuntur: [14] tum infernus secessus magis prodit. [15] Si vero evacuaveris, violenter vomuntur, & violentius secedunt. [16] Ad vesperam vero dato & huic ea quæ dari solent ei qui pharmacum bibit. [17] Fiunt autem & hi dolores qui ex potationibus aut ex convivio oriuntur, [18] quum cibi & potus plus solito in ventrem ingressi fuerint, & quæ extrinsecus corpus superca-

θερμαίνει τὸ σῶμα, κινέει χολὴν καὶ φλέγμα.

XXIX. Στραγγουρίης τρόποι μὲν πολλοὶ καὶ παντοῖοι. [2] ξυμφέρει δὲ ἔξωθεν μὲν τὸ σῶμα μαλάσσειν λουτροῖσι θερμοῖσιν· [3] ἔσωθεν δὲ διυγραίνειν, [4] τὴν μὲν κοιλίην σιτίοισιν, ἀφ' ὧν ὑγρὸς ἔσται· [5] τὴν δὲ κύστιν ποτοῖσιν, ἀφ' ὧν τὸ οὖρον ὡς πλεῖστον 40 διαχεῖται. [6] διδόναι δὲ καὶ τῶν διουρητικῶν φαρμάκων, ἃ γέγραπται ἐν τῇ φαρμακίτιδι, παύοντα τῆς ὀδύνης. [7] ἡ δὲ νοῦσος ὑπὸ τοῦ φλέγματος γίνεται. [8] καὶ ὅταν μὲν ἡ κύστις ξηρανθῇ, ἢ ψυχθῇ, ἢ κενωθῇ, ὀδύνην παρέχει· [9] ὅταν δὲ ὑγρή τε ἐστι καὶ πλήρης, ἢ καὶ κεχυμένη, ἧσσον. [10] ἡ δὲ νοῦσος τοῖσι μὲν πρεσβυτέροισι μακροτέρη γίνεται· τοῖσι δὲ νεωτέροισι βραχυτέρη· θανατώδης δὲ οὐδετέροισιν.

XXX. Ἰσχιὰς δὲ ὅταν γένηται, [2] ὀδύνη λαμβάνει ἐς τὴν ἀρθρόσφυσιν 45 τοῦ ἰσχίου, καὶ ἐς ἄκρον τὸν πυγαῖον, καὶ ἐς τὸν γλουτόν· [3] τέλος δὲ καὶ διὰ παντὸς τοῦ σκέλεος πλανᾶται ἡ ὀδύνη. [4] τούτῳ ξυμφέρει, ὅταν ἡ ὀδύνη ἔχῃ, μαλάσσειν, καθ' ὁκοῖον ἂν τυγχάνῃ τοῦ σκέλεος στηρίζουσα ἡ ὀδύνη, ἐν λουτροῖσι καὶ χλιάσμασι καὶ πυριήσι, [5] καὶ τὴν κοιλίην ὑπάγειν. [6] ὅταν δὲ λωφήσῃ ἡ ὀδύνη, φάρμακον δοῦναι κάτω. [7] καὶ μετὰ ταῦτα πιεῖν γάλα ὄνου ἑφθόν. [8] διδόναι δὲ τῆς ὀδύνης, ἃ γέγραπται παρὰ τοῖσι φαρμάκοισιν. [9] ἡ δὲ νοῦσος γίνεται, ἐπειδὰν χολὴ καὶ φλέγμα 50 ἐς τὴν αἱμόῤῥοον φλέβα κατασκήψῃ, ἢ ἐξ ἑτέρης νούσου, ἢ ἄλλως, ὁκόσον ἂν τοῦ αἵματος ὑπὸ φλέγματος καὶ τῆς χολῆς νοσήσῃ ξυνεστηκότος. [10] τοῦτο γὰρ πλανᾶται ἀνὰ τὸ σκέλος διὰ τῆς

percalefacere solent, bilem ac pituitam moverint.

XXIX. Urinæ stillicidii modi quidem multi & omnigeni sunt. [2] Conducit autem forinsecus quidem corpus balneis calidis mollire, [3] intrinsecus vero humectare: [4] alvum quidem per cibos, à quibus fluida fiat: [5] vesicam vero per potus, à quibus urina quam plurimum 20 diffunditur. [6] Danda sunt & urinam cientia medicamenta, quæ scripta sunt in Medicamentario libro, sedantia dolorem. [7] Morbus autem fit à pituita. [8] Et quum quidem vesica siccata fuerit, aut perfrigerata, aut evacuata, dolorem exhibet. [9] Quum vero humida est, & plena, aut etiam diffusa, minus. [10] Fit autem senioribus diuturnior hic morbus: junioribus autem brevior: neutris vero lethalis. 25

XXX. Coxendicum morbus quum fit, [2] dolor corripit coxæ juncturam, & summas nates, ac coxendicem. [3] Tandem vero etiam per totum crus dolor vagatur. [4] Huic confert quum dolor tenuerit, mollire in quacunque tandem cruris parte dolor hæserit, per balnea, & tepefactoria ac fomenta, [5] & alvum subducere. [6] Ubi vero quieverit dolor, pharmacum dandum est infra purgans. [7] Et postea bibat lac asininum co- 30 ctum. [8] Doloris autem gratia dentur quæ scripta sunt in Medicamentis. [9] Morbus hic fit, quum bilis & pituita in sanguifluam venam incubuerint: aut ex alio morbo, aut aliter, quantumcunque sanguinis à pituita & bile compactum ægrotarit. [10] Hic enim per crus vagatur per

τῆς φλεβὸς τῆς αἱμοῤῥόου. [11] καὶ ὅκου ἂν στῇ, κατὰ τοῦτο καὶ ἡ ὀδύνη ἔνδηλος γίνεται μάλιστα καὶ ἐπίπονος· θανατώδης δὲ οὔ. [12] ἢν δὲ ἐς ἕν τι χωρίον καταστηρίξῃ ἡ ὀδύνη καὶ στῇ, καὶ τοῖσι φαρμάκοισι μὴ ἐξελαύνηται, καῦσαι καθ' ὁκοῖον ἂν τόπον τυγχάνῃ ἐοῦσα ἡ ὀδύνη. [13] καίειν δὲ τῷ ὠμολίνῳ.

XXXI. [1] Ἀρθρῖτις νοῦσος ὅταν ἔχῃ, [2] λαμβάνει πῦρ καὶ ὀδύνη τὰ ἄρθρα τοῦ σώματος. [3] λαμβάνει δὲ καὶ ὀξέη. [4] καὶ ἐς ἄλλο τε καὶ ἄλλο τῶν ἄρθρων ὀξύτεραί τε καὶ μαλακώτεραι καταστηρίζουσιν αἱ ὀδύναι. [5] τούτῳ ξυμφέρει προσφέρειν, ᾗ ἂν ἡ ὀδύνη ἔχῃ, ψύγματα. [6] καὶ ἐκ τῆς κοιλίης ὑπάγειν τὰ ἐνεόντα, κλύσμασιν ἢ βαλάνῳ. [7] καὶ ῥοφανὰ ἐπιδιδόναι καὶ πιεῖν, ὅ,τι ἂν δοκέῃ σοι ξυμφέρειν. [8] ὅταν δὲ ἡ ὀδύνη ἀνῇ, φάρμακον κάτω πίσαι. [9] καὶ μετὰ τοῦτο πίνειν ὀῤῥὸν ἑφθὸν, ἢ ὄνου γάλα. [10] ἡ δὲ νοῦσος γίνεται ὑπὸ χολῆς καὶ φλέγματος, ὅταν κινηθέντα ἐς τὰ ἄρθρα καταστηρίξῃ. [11] καὶ ὀλιγοχρονίη μὲν γίνεται καὶ ὀξέη, θανατώδης δὲ οὔ. [12] νεωτέροισι δὲ εἴωθε μᾶλλον ἢ γεραιτέροισι γίνεσθαι.

XXXII. [1] Ποδάγρη βιαιότατον μὲν τῶν τοιούτων ἁπάντων, ὁκόσα περὶ τὰ ἄρθρα, καὶ πολυχρονιώτατον, καὶ δυσαπαλλακτότατον. [2] καὶ ἔστι μὲν ἡ νοῦσος αὕτη τοῦ αἵματος ἐφθαρμένου τοῦ ἐν τοῖσι φλεβίοισιν, ὑπὸ χολῆς καὶ φλέγματος. [3] ὅσῳ δὲ ἐν λεπτοτάτοισιν ἡ φλεβίοισιν καὶ ἐν ἀνάγκῃ πεφυκόσι πλείστη τοῦ σώματος, καὶ ἐν νεύροισι καὶ ὀστέοισι πολλοῖσί τε καὶ πυκνοῖσι, [4] τοσούτῳ δὴ παραμονιμώτατόν τέ ἐστι τὸ νόσημα καὶ δυσαπαλλακτότατον.

[5] ξυμ-

per sanguifluam venam: [11] & ubicunque constiterit, ibi etiam dolor manifestus fit maxime, molestus quidem, sed non lethalis. [12] Si vero in unum aliquem locum incubuerit dolor, & constiterit, & medicamentis non fuerit exactus, urito quocunque loco fuerit dolor. [13] Urito autem lino crudo.

XXXI. Articularis morbus quum tenuerit, [2] corripit calor & dolor corporis articulos. [3] Corripit autem acutus, [4] & in alium atque alium articulum dolores incumbunt, tum acutiores, tum molliores. [5] Huic conducit adhibere qua parte dolor hæret, frigefactoria. [6] Et quæ insunt ex alvo subducere, per clysteres, aut glandem subditam. [7] Ad sorbendum vero & bibendum dato quodcunque tibi condutibile visum fuerit. [8] Quum vero dolor intus fuerit, pharmacum infra purgans bibendum dato, [9] & post hoc serum coctum, & asininum lac. [10] Hic morbus à bile fit & pituita, quum commota in articulos incubuerint. [11] Et brevis quidem fit & acutus, non autem lethalis. [12] Solet autem junioribus magis quam senioribus contingere.

XXXII. Podagra violentior est omnibus ejusmodi circa articulos morbis, diuturnissimus ac ægre cedens morbus. [2] Et est quidem hic morbus sanguinis in venulis à bile ac pituita corrupti. [3] Quanto autem in tenuioribus fuerit venulis, & in plurima corporis necessitate constitutis, & in nervis, & ossibus multis ac densis: [4] tanto sane durabilior est morbus, & qui ægerrime depelli possit.

[5] Con-

[5] ξυμφέρει δὲ καὶ ταύτῃ τὰ αὐτὰ, ἃ καὶ τῇ ἀρθρίτιδι. [6] καὶ μακρὴ μὲν καὶ αὕτη ἡ νοῦσος καὶ ἐπίπονος· θανατώδης δὲ οὔ. [7] ἢν δὲ τοῖσι δακτύλοισιν ἡ ὀδύνη ἐγκαταλείπηται, [8] καῦσαι τὰς φλέβας τῶν δακτύλων ὑπὲρ τῶν κονδύλων ὀλίγον. [9] καίειν δὲ ὠμολίνῳ.

XXXIII. Τὸν δὲ ἴκτερον ὧδε χρὴ θεραπεύειν. [2] ἔξωθεν μὲν τὸ σῶμα μαλθάσσειν λουτροῖσι θερμοῖσι· [3] τὴν δὲ κοιλίην διυγραίνειν, καὶ τὴν κύστιν· [4] καὶ τῶν διουρητικῶν διδόναι, ἃ προγέγραπται. [5] ἢν δὲ ἰσχυρὸς ᾖ, καθήρας τὴν κεφαλὴν, φάρμακόν τι πίσαι κάτω, ὃ χολὴν καθαίρει. [6] ἔπειτα δὲ τοῖσι διουρητικοῖσι χρῆσθαι. [7] ἡ δὲ νοῦσος γίνεται, ὅταν χολὴ κινηθεῖσα ὑπὸ τὸ δέρμα τράπηται. [8] ταῦτα δὲ ἐπιστάμενος ἀνὴρ ἰδιώτης, οὐκ ἂν ὁμοίως ἐμπίπτοι ἐς ἀνήκεστα νοσήματα. [9] καὶ γὰρ νοσήματα εἴωθεν ἀπὸ μικρῶν προφασίων μεγάλα καὶ πολυχρόνια γίνεσθαι. [10] καὶ ὅσα μὲν σιτίων ἢ ποτῶν ἐχόμενά ἐστιν, ἢ ῥοφημάτων ἢ φαρμάκων, [καὶ] ὅσα ὀδύνης εἵνεκα δίδοται, [11] ἀκίνδυνά ἐστιν ἅπαντα προσφέρειν αἰεὶ, ἐὰν κατὰ τὰ γεγραμμένα προσφέρῃς. [12] ὅσα δὲ καθαίρει τῶν φαρμάκων χολὴν ἢ φλέγμα, ἐν τούτοισιν οἱ κίνδυνοι γίνονται, [13] καὶ αἱ αἰτίαι τοῖσι θεραπεύουσι. [14] φυλάσσεσθαι οὖν χρὴ τὰ μάλιστα. [15] [καὶ] ταῦτα μὲν, ὅσα κατὰ κοιλίην γίνεται νοσήματα, πλὴν περὶ ἐμπύων καὶ φθινόντων, καὶ τῶν γυναικείων. [16] ταῦτα γὰρ χωρὶς γράψεται.

XXXIV. Φύματα, ὅσα φύεται, πάντα ὑπὸ φλέγματος ἢ αἵμα-

[5] Conducunt autem & huic eadem quæ morbo articulari. [6] Et longus quidem est & hic morbus ac molestus, sed non lethalis. [7] Si vero in digitis dolor relinquatur, [8] venas paululum supra articuli in digito nodum inurito. [9] Urito autem cum lino crudo.

XXXIII. Morbum autem regium sic curare oportet. [2] Extrinsecus quidem corpus mollиendum est balneis calidis: [3] alvus vero & vesica humectanda, [4] & urinam cientia danda, quæ sunt præscripta. [5] Si vero fortis fuerit, purgato capite, pharmacum quoddam potandum dato, quod bilem deorsum purgat. [6] Postea vero urinam cientibus utendum est. [7] Morbus autem fit, quum bilis commota sub cutem vertitur. [8] Quod si hæc noverit vir idiota, non similiter in incurabiles morbos inciderit. [9] Solent enim morbi ex parvis occasionibus magni ac diuturni fieri. [10] Et quicunque cibi, aut potus, aut sorbitiones congrue ac consequenter se habent, & quæcunque pharmaca doloris gratia, [11] ea omnia sine periculo semper exhibentur, si juxta præscriptum exhibueris. [12] Quæcunque vero pharmaca purgant bilem aut pituitam, in his pericula fiunt, [13] & culpæ medentibus imputantur. [14] Quam maxime igitur ea vitare oportet. [15] Atque hi quidem sunt morbi qui circa ventrem fiunt; exceptis pectore suppuratis, & tabidis, & muliebribus morbis. [16] Hi enim seorsim describentur.

XXXIV. Tubercula quæ enascuntur, omnia à pituita

aut

αἵματος φύεται. 2 ὅταν δὲ ὑπὸ τρώματος ἢ πτώματος ἀθροισθῇ, 3 ξυμφέρει δὴ τούτων, τὰ μὲν καταπλάσσοντα, καὶ φάρμακα πιπίσκοντα διαχεῖν· 4 τὰ δὲ καταπλάσσοντα πεπαίνειν. 5 καὶ διαχεῖ μὲν τῶν καταπλασμάτων, ὅσα θερμὰ ὄντα ὑγραίνει, καὶ μὴ ἀνω ἐς ἑωυτά. 6 πεπαίνει δὲ, ὅσα θερμαίνοντα ξυνάγει. 7 ὅταν δέ τι τμηθῇ, ἢ αὐτόματον ῥαγῇ, φαρμάκῳ ἀνακαθαίρειν τὸ ὑγρόν. 8 ὅταν δὲ πυοῤῥοῦντα παύσηται, ὡς ἕλκος ἰῆσθαι.

XXXV. 1 Λέπρη, 2 καὶ κνησμὸς, 3 καὶ ψώρη, 4 καὶ λειχῆνες, 5 καὶ ἀλφὸς, 6 καὶ ἀλώπεκες, 7 ὑπὸ φλέγματος γίνονται. 8 ἔστι δὲ τὰ τοιαῦτα αἶσχος μᾶλλον, ἢ νοσήματα. 9 κηρίον, 10 καὶ χοιράδες, 11 καὶ φύγεθλα, 12 καὶ δοθιῆνες, 13 καὶ ἄνθραξ, 14 ὑπὸ φλέγματος φύεται. 15 τούτοισι τοῖσι φαρμάκοισιν ἀποκαθαίροντα, ὧδε χρῆσθαι. 16 ὅσοι μὲν χολώδεές εἰσι, διδόναι τὰ, ὑφ' ὧν χολὴ καθαίρεται· 17 ὅσοι δὲ φλεγματώδεες, τὰ, ὑφ' ὧν φλέγμα· 18 ὅσοι δὲ μελαγχολῶσι, τὰ, ὑφ' ὧν μέλαινα χολή· 19 τοῖσι δὲ ὑδρωπιῶσι, τὰ, ὑφ' ὧν ὕδωρ. 20 ὅσα δὲ δίδοται φάρμακα ποτὰ, καὶ μὴ καθαίρει, μήτε χολὴν, μήτε φλέγμα, 21 ὅταν ἐς τὸ σῶμα ἐσέλθῃ, τὴν δύναμιν αὐτὰ παρέχειν δεῖ, ἢ ψύχοντα, ἢ θερμαίνοντα, ἢ ξηραίνοντα, ἢ ὑγραίνοντα, ἢ ξυνάγοντα, ἢ διαχέοντα. 22 ὅσα δὲ ὕπνον ποιέει, ἀτρεμίην δεῖ τῷ αἵματι παρέχειν τὸ φάρμακον.

XXXVI. 1 Ὅταν δὲ ἐπὶ νοσέοντα ἀφίκῃ, 2 ἐπανερωτᾷν χρὴ, 3 ἃ πάσχει, 4 καὶ ἐξ ὅτου,

32 aut sanguine nascuntur, 2 quum sane à vulnere, aut casu fuerint collecta. 3 Conducit autem horum aliqua vero cataplasmatis integere, & per pharmaca in potu data diffundere. 4 Aliqua vero impositis cataplasmatis maturare. 5 & diffundunt quidem cataplasmata, quæ quum calida sint humectant, & non in seipsa trahunt. 6 Maturant autem, quæ calefacientia contrahunt. 7 Quum vero aliquod sectum fuerit, aut sua sponte ruptum, pharmaco humorem repurgare convenit: 8 ubi autem pus effluere desiverit, velut ulcus sanare.

33 XXXV. Lepra, 2 & pruritus, 3 & scabies, 4 & impetigines, 5 & vitiligo, 6 & alopeciæ, 7 à pituita fiunt. 8 Sunt autem talia turpitudo magis quam morbi. 9 Favus, 10 & strumæ, 11 & pani, 12 & furunculi, 13 & carbunculus, 14 à pituita fiunt. 15 Quo vero hæc depurges, pharmacis sic utendum est. 16 Quicunque biliosi sunt, his dato ea, à quibus bilis purgatur: 17 pituitosis vero ea, à quibus pituita: 18 atrabiliariis autem ea, à quibus atra bilis: 19 hydropicis ea, per quæ aqua. 20 Quæcunque vero pharmaca 34 in potu dantur, & non purgant neque bilem, neque pituitam, 21 ea quum in corpus ingressa fuerint, vim exhibere oportet aut frigefacientia, aut calefacientia, aut siccantia, aut humectantia, aut contrahentia, aut diffundentia. 22 Quæ vero somnum faciunt, ea quietem sanguini exhibere oportet.

XXXVI. Quum ad ægrotum deveneris, 2 interrogare oportet, 3 quæ patitur, 4 & ex qua caussa,

ὅτευ, 5 καὶ ποσταῖος, 6 καὶ τὴν κοιλίην εἰ διαχωρέει, 7 καὶ ᾧτινι διαιτᾶται. 8 καὶ ἐνθυμέεσθαι, πρῶτα μὲν, τὸ νόσημα πότερον ἀπὸ χολῆς ἢ φλέγματος γεγονὸς, ἢ ἀμφοτέρων. 9 καὶ τοῦτο δεῖ εἰδέναι, ὅ, τι ἀνάγκην ἔχει, ὥστε ὑπὸ τούτων τοῦ ἑτέρου, ἢ ἀμφοτέρων γίνεσθαι. 10 ἔπειτα, πότερον ξηρασίης ἢ ὑγρασίης χρήζει· 11 ἢ, τὰ μὲν τοῦ σώματος, ξηρασίης, τὰ δὲ, ὑγρασίης. 12 ἔπειτα τὴν νοῦσον, εἴτε ἄνω δεῖ θεραπεύειν, εἴτε κάτω, εἴτε διὰ τῆς κύστιος. 13 καὶ, εἴτε αὔξεται ἡ νοῦσος, εἴτε μαραίνεται, εἴτε λύεται, εἴτε μεταπίπτει ἐς ἑτέρην νοῦσον.

XXXVII. Τοὺς τρωματίας λιμοκτονέειν, 2 καὶ ἐκ τῆς κοιλίης ὑπάγειν τὰ ἐνεόντα, ἢ ὑποκλύζοντα, ἢ φάρμακον κάτω διδόντα. 3 καὶ πίνειν ὕδωρ ἢ ὄξος, ἢ ῥοφεῖν. 4 τὰ φλεγμαίνοντα ψύχειν καταπλάσμασι. 5 τὰ δὲ τοιαῦτα καταπλάσματα εἶναι, ἢ τεῦτλα ἑφθὰ ἐν ὕδατι, ἢ σέλινον, ἢ ἐλαίης φύλλα, ἢ συκῆς φύλλα, ἢ βάτου, ἢ βαλάνου, ἢ ῥοιῆς γλυκείης. 6 ἑφθοῖσι δὲ τούτοισι χρέεσθαι. 7 ὠμοῖσι δὲ, ῥάμνου φύλλοισιν, ἢ ἄγνου, ἢ ἐλελισφάκου, τιθυμάλλου, ἢ γλήχωνα χλωρὴν, ἢ πράσα, ἢ σέλινα, ἢ κορίαννον, ἢ ἰσάτιδος φύλλα. 8 ἢν δὲ μηδὲν ἀπὸ τούτων ἔχῃς, μηδὲ ἄλλο τι μηδὲν κατάπλασμα, ἄλφιτον φυρήσας ὕδατι ἢ οἴνῳ κατάπλασσε. 9 τοσοῦτον δὲ χρόνον καταπλάσματα τοῖσιν ὠφελέει, ὁκόσον ἂν ψυχρότερα ᾖ ἢ τὸ ἕλκος. 10 ὅταν δὲ ἢ θερμότερα, ἢ ὁμοίως θερμὰ, βλάπτει. 11 τὰ λιπαρὰ πρὸς τὰ φλεγμαίνοντα οὐ ξυμφέρει, 12 οὐδὲ πρὸς τὰ ἀκάθαρτα

caussa, 5 & quot jam diebus; 6 & an venter secedat, 7 & quo victu utitur. 8 Et primum considerare, an morbus à bile aut pituita factus sit, aut utrisque. 9 Et hoc probe nosse convenit, quod necesse est, ut ab altero horum, aut utrisque fiat. 10 Deinde utrum siccitate aut humiditate opus habeat: aut aliquæ quidem partes corporis siccitate, aliquæ vero humiditate. 11 Postea an morbum sursum purgare oportet, aut deorsum, sive per vesicam. 12 Et an augescit morbus aut marcescit, & an solvitur, aut in alium transit.

XXXVII. Vulneratos fame affligito, 2 & ex alvo quæ insunt subducito, aut per clysterem, aut pharmaco infra purgante exhibito: 3 & in potu dato aquam, aut acetum: aut sorbitiones præbeto. 4 Inflammata cataplasmatis frigefacito. 5 Talia vero cataplasmata sint, aut betæ coctæ in aqua, aut apium, aut oleæ folia, aut fici folia, aut rubi, aut quercus, aut mali punicæ. 6 Atque his coctis utendum est. 7 Crudis vero rhamni foliis, aut urticis, aut salviæ, aut tithymali. aut pulegium viride, aut porrum, aut apium, aut coriandrum, aut isatidis folia impone. 8 Si vero nihil horum habueris, neque ullum aliud cataplasma, polentam aqua aut vino subactam imponito. 9 Tanto autem tempore hæc cataplasmata prosunt, quanto frigidiora fuerint quam ulcus. 10 Quum vero fuerint calidiora, aut similiter calida, nocent. 11 Pinguia ad inflammata non conducunt, 12 neque ad ea quæ non sunt purgata.

γεται, 13 οὐδὲ πρὸς τὰ σηπόμενα. 14 ἀλλὰ πρὸς μὲν τὰ φλεγμαίνοντα ξυμφέρει τὰ ψυχρά, 15 πρὸς δὲ τὰ ἀκάθαρτα, καὶ τὰ σηπόμενα, τὰ δριμέα, καὶ ὅσα δῆξίν τινα παρεχόμενα καθαίρει. 16 ὅταν δὲ σαρκοφυῆσαι βούλῃ, τὰ λιπαρὰ καὶ τὰ θερμὰ μᾶλλον ξυμφέρει. 17 πρὸς τούτων γὰρ ἡ σὰρξ θάλλει.

XXXIIX. Ὁκόσοισιν ἄνθρωποι σιτίοισιν ἢ ποτοῖσιν ὑγιαίνοντες ἐς δίαιταν χρῶνται, ἐκ τούτων χρὴ τῶν παρεόντων χρέεσθαι πρὸς τοὺς νοσέοντας, 2 σκευάζοντα θερμὰ καὶ ψυχρά, καὶ ὑγρὰ καὶ ξηρά. 3 ἐκ μὲν ψυχρῶν θερμά, καὶ θερμὰ ἐκ μὴ θερμῶν, καὶ ξηρὰ ἐκ μὴ ξηρῶν, καὶ τὰ λοιπὰ κατὰ τὸν αὐτὸν τρόπον. 4 ἀπορέειν δὲ οὐ χρὴ οὐδὲ τοῖσι παρεοῦσι μὲν μὴ δύνασθαι· 5 τὰ ἀπόντα δὲ ζητοῦντα μηδὲν ὠφελέειν τὸν κάμνοντα οἷόν τε εἶναι. 6 εὑρήσεις δέ, ἢν ὀρθῶς σκοπέῃς, ἔξω τουτέων, οἷσι πρὸς τὸν νοσέοντα χρῶνται, ὀλίγα. 7 ῥοφήματα δὲ ἐν τῇσι νούσοισιν ἁπάσῃσι διδόναι, ἢ πτισάνην, ἢ κέγχρον, ἢ ἄλητον, ἢ χόνδρον. 8 τούτων ὁκόσα μὲν διδοῖς ἐς διαχώρησιν, λεπτὰ διδόναι, καὶ διεφθότερα, καὶ γλυκύτερα, ἢ ἁλυκώτερα, ἢ θερμότερα. 9 ὁκόσα δὲ ἐς ἰσχὺν ἢ ἀνακομιδήν, παχύτερα, καὶ λιπαρώτερα, καὶ μετρίως ἑφθά. 10 ποτοῖσι δὲ χρέεσθαι, ἢν μὲν ὑπάγειν ἐθέλῃς τὴν κοιλίην καὶ τὴν κύστιν, γλυκεῖ οἴνῳ, ἢ μελικρήτῳ. 11 ἢν δὲ στῦψαι, αὐστηρῷ, λευκῷ, λεπτῷ, ὑδαρεῖ. 12 ἢν δὲ ἰσχύειν, αὐστηρόν, μέλανα. 13 ὁκόσοι τὸν οἶνον πίνουσιν ἀηδέως, τούτοισι διδόναι, ἃ γέγραπται ἐν τῇ Φαρμακίτιδι περὶ σκευαζόμενα.

gata, 13 neque ad putrescentia. 14 Sed ad inflammata conferunt frigida. 15 Et ad impurgata ac putrescentia, acria faciunt, & quæ mordacitatem aliquam inducentia purgant. 16 Ubi vero carnem producere voles, pinguia & calida magis conducunt. 17 Ab his enim caro pullulat.

XXXVIII. Quibuscunque cibis aut potibus homines sani in victu utuntur, ex his oportet præsentibus uti ad ægrotos, 2 ita ut præpares calidos & frigidos, & humidos & siccos. 3 Ex frigidis quidem calidos, & calidos ex non calidis: & siccos ex non siccis, & reliquos juxta eundem modum. 4 Neque vero de præsentibus desperare oportet, tanquam nihil possint, 5 & absentes quærere, qui nullam utilitatem ægro afferant. 6 Comperies autem, si recte consideraveris, extra hos, paucos quibus ad ægrum utaris. 7 Sorbitiones autem in morbis omnibus dato, aut ptisanam, aut milium, aut farinam, aut alicam. 8 Et quæcunque ex his dederis ad secessum, tenuia dato, & magis percocta, & dulciora potius quam salsiora aut calidiora. 9 Quæ vero ad robur aut refocillationem, crassiora, pinguiora, & moderate cocta. 10 Potibus autem utendum est, siquidem alvum & vesicam subducere velis, vino dulci aut aqua mulsa: 11 si vero adstringere, austero, albo, tenui: 12 si corroborare, austero, nigro. 13 Qui vinum bibunt citra affectionem erga ipsum, his dandi sunt potus qui præparantur, & in Medicamentario libro scripti habentur.

XXXIX. Τοῖσι φαρμακοποτέουσι διδόναι μετὰ τὴν κάθαρσιν, [2] τοῖσι μὲν πυρέσσουσιν, ἢ φακὸν, ἢ κέγχρον λεπτὸν, ἢ πτισάνης χυλόν. [3] διδόναι δὲ πτισάνην μὲν καὶ κέγχρον, ὡς κοῦφα ἐόντα· [4] καὶ ἄλητον, ὡς ἰσχυρότερον τούτων· [5] χόνδρον δὲ, ὡς ἰσχυρότατον πάντων. [6] φακὸν δὲ εὐώδεα σκευάσαι. [7] καὶ ὀλίγον δεύτερον διδόναι, ὡς καὶ κοῦφον ὂν ῥόφημα καὶ εὐκάρδιον ἄνω. [8] παραμίσγειν δὲ ἢ ἅλας, ἢ μέλι, καὶ κύμινον, καὶ ἔλαιον. [9] τῷ δὲ φακῷ παραμίσγειν ἢ χλόης γλήχωνος καὶ ὄξους ὀλίγον. [10] τοῖσι δὲ ἀπυρέτοισιν, ἄρτου καθαροῦ τὸ ἔσωθεν ἐντρίψας ἐν ζωμῷ. [11] ἢ μᾶζαν καὶ τέμαχος ἑφθὸν, ἢ κρέας οἰὸς ὡς νεωτάτης, ἢ ὄρνιθος, ἢ σκύλακος ἑφθόν. [12] καὶ τοῖσι πυρέττουσιν, ἢ τεῦτλον, ἢ κολοκύντην, ἢ βλῆτον. [13] καὶ μετὰ τὸ σιτίον πίνειν οἶνον οἰνώδεα, παλαιὸν, λευκὸν, ὡς ὑδαρέστατον. [14] οἷσι λοῦσθαι μὴ ξυμφέρει, ἀλείφειν οἴνῳ καὶ ἐλαίῳ θερμῷ, καὶ ἐκμάσσειν διὰ τρίτης.

XL. Ὅταν κοιλίην ὑγραίνειν ἀπὸ σιτίων ἀσθενέοντος ἐθέλῃς, [2] διδόναι μᾶζαν καὶ ὄψα. [3] θαλασσίων μὲν τεμάχια ἑφθὰ ἐν ὑποτρίμματι. [4] κρέα δὲ οἰὸς ὡς νεωτάτης, ἢ ἐρίφου, ἢ σκύλακος, ἢ ὄρνιθος ἑφθά. [5] καὶ τεῦτλα, ἢ βλῆτα, ἢ λάπαθα, ἢ κολοκύντην, ἢν ὥρη ᾖ. [6] λάχανα δὲ, σέλινα, καὶ ἄνηθα, καὶ ὤκιμα. [7] καὶ τὸν οἶνον μελιχρὸν, παλαιὸν, λευκὸν, ὑδαρέα. [8] ὅταν δὲ ξηραίνῃς τὸ σῶμα, [9] διδόναι ἄρτον, [10] καὶ ὄψα ὀπτὰ καὶ ξηρὰ, καὶ θερμότε-

XXXIX. His qui medicamentum biberunt, post purgationem detur, [2] febrientibus quidem, aut lenticula, aut milium tenue, aut ptisanæ succus. [3] Danda est autem ptisana & milium, velut quæ levia sint: [4] alica vero velut omnium robustissima: [5] & farina velut his robustior. [6] Lenticula autem odorata præparetur, [7] & modica secundo loco detur, ut quæ levis sit sorbitio, & stomacho grata sursum versus. [8] Ammisceatur autem aut sal, aut mel, & cuminum, & oleum. [9] Ad lenticulam vero ammisceatur pulegii herba, & parum aceti. [10] Non febrientibus autem, panis puri medullam in jusculum interito, aut mazam & frustum piscis dato, aut oviculæ tenerrimæ carnem, aut volucris aut catuli coctam. [11] Febrientibus autem etiam betam dato, aut cucurbitam, aut blitum. [12] Et post cibum bibant vinum vinosum, vetus, album quam aquosissimum. [13] Quibus lavari non conducit, ungantur vino & oleo calido, & alternis extergeantur.

XL. Quum alvum debilis, à cibis humectare volueris, [2] mazam dato & obsonia; [3] & marinorum quidem piscium frusta cocta cum intrito, [4] carnes autem oviculæ tenerrimæ, aut hœdi, aut catuli, aut volucris coctas. [5] Et betam aut blitum, aut rumicem, aut cucurbitam, si tempus tulerit. [6] Ex oleribus vero apium, & anethum ac ocimum: [7] & vinum mellei coloris, vetus, album item ac aquosum. [8] Quum vero siccare volueris corpus, [9] panem dato, [10] & obsonia assa, & sicca. & hæc

30 μᾶλλον ταῦτα πάντα. 11 καὶ κρεῶν τὰ μέλεα, ὅσα σαρκώδεα· 12 ἰχθύων τοὺς πετραίους. 13 λάχανα, πήγανον, ἢ θύμον, ἢ ὀρίγανον. 14 τὸν δὲ οἶνον μέλανα ἢ αὐστηρόν. 15 σκευάζειν δὲ τὰ ὄψα ἁλσὶ καὶ κυμίνῳ. 16 καὶ τοῖσιν ἄλλοισιν ἀρτύμασιν ὡς ἐλαχίστοισι χρῆσθαι.

XLI. Ὅταν δὲ ἀνακομίσαι ἐκ νούσου ἐθέλῃς, 2 διδόναι τὰ μὲν ἄλλα ταὐτὰ, ἃ καὶ ὅταν διυγραίνῃς τὴν κοιλίην. 3 τὰ δὲ κρέα, ἀντὶ τῶν γαλαθηνῶν, ἰσχυρότερα· 4 καὶ ἀντὶ τῶν κυνέων, ὀρνίθεια, καὶ λάγῳα. 5 39 καὶ τούτων ἔνια ὀπτὰ, καὶ τῶν κρεῶν 35 καὶ τῶν ἰχθύων· 6 καὶ ἐσκευασμένα ὡς ἄριστα. 7 ὁκόσοισι [δὲ] τῶν νοσημάτων ξηρασίη ξυμφέρει, 8 μονοσιτίην ξυμφέρει, 9 καὶ τὰ σιτία καὶ τὰ ποτὰ ἐλάσσω τελέειν, ἢ ὥστε 40 πλήρεα εἶναι. 10 καὶ ταῦτα ἐκπονέειν καὶ περιπατέειν καὶ κοιμᾶσθαι ὡς ἐλάχιστα. 11 ὁκόσοισι δ' αὖ ὑγρασίη ξυμφέρει, 12 μὴ ἀσιτέειν, καὶ τῶν σιτίων καὶ τῶν ποτῶν μὴ ἐνδεᾶ εἶναι, 13 μηδὲ πονέειν, 14 καὶ κοιμᾶσθαι ὁκόσον ἂν ἐθέλῃ.

XLII. Ὁκόσων ἐπιθυμέουσιν 41 οἱ κάμνοντες ἢ σιτίων, ἢ ὄψων, ἢ 187 ποτῶν, ὑπαρχέτω ταῦτα, 2 ἢν μὴ μέλλῃ τῷ σώματι βλάβος ἔσεσθαι. 3 ὁκόταν ἢ σιτίων ἢ ποτῶν προστιθέναι ἄρξῃ, ἢ ἀφαιρέειν, κατ' ὀλίγον χρὴ καὶ τὰς προσθέσιας ποιέεσθαι καὶ τὰς ἀφαιρέσιας. 4 ὁκόσοι σιτία ἱκανὰ οἷοί τέ εἰσι τελέειν, ῥοφήματα μὴ διδόναι· 5 ἀποκλείει γὰρ τοῦ σιτίου. 6 ὁκόσοι δὲ μὴ οἷοί τε, τούτοισι διδόναι. 7 ἐὰν δέ τι διδόναι θέλῃς κομιδῆς εἵνεκα, διδόναι χόνδρον, ἢ πτισάνην πυ- 42 5 ρίνην. 8 ταῦτα γὰρ τῶν ῥοφημά-

hæc omnia calidiora : 11 & carnium partes carnosas : 12 pisces petrosos : 13 olera, rutam, aut thymum, aut origanum. 14 Vinum vero nigrum austerum. 15 Præparentur autem obsonia cum sale & cumino. 16 Aliis vero condimentis parcissime utendum est.

XLI. Quum autem ex morbo refocillare volueris, 2 alia quidem eadem dato, quæ ex- 10 hibes quum ventrem humectas. 3 Verum pro lactentibus carnes fortiores, 4 & pro catulinis, volucrium ac leporinas : 5 & ex his aliquas assatas, tum de carnibus, tum de piscibus, 6 & quam optime præparatas. 7 Quibuscunque morbis siccitas conducit, 8 his semel in die cibum exhibere expedit, 9 & cibos ac potus pauciores dare, quam ut repleantur, 10 & hos laboribus ac deambulatione perficere, & quam minimum dormire. 11 15 Quibuscunque vero humiditas conducit, 12 his expedit inediam non ferre, & cibi ac potus non indigos esse, 13 neque laborare, 14 & dormire quantum voluerint.

XLII. Quoscunque cibos, aut obsonia, aut potus ægroti concupiscunt, exhibeto, 2 si non corpori damnum inde accessurum est. 3 Quum aut cibos aut potus augere inceperis aut detrahere, paulatim & additiones & detractiones facere oportet. 4 Quicunque cibos 20 sufficientes perficere possint, his sorbitiones ne dederis : 5 excludunt enim cibum. 6 qui vero non possunt, his dato. 7 Si vero quid dare volueris refectionis gratia, alicam dato, & ptisanam triticeam. 8 Hæc enim

ῥοφημάτων τὰ ἰσχυρότερα. 9 διδόναι δὲ μετὰ δεῖπνον.

XLIII. Τὰ φάρμακα, ὅσα πότα, καὶ ὅσα πρὸς τὰ τρώματα προσφέρεται, μανθάνειν χρή· 2 ἄξιον γὰρ ἄπαντος. 3 οὐ γὰρ ἀπὸ γνώμης ταῦτα εὑρίσκουσιν οἱ ἄνθρωποι, ἀλλὰ μᾶλλον ἀπὸ τύχης· 4 οὐδὲ οἱ χειρότεχναι μᾶλλον ἢ οἱ ἰδιῶται. 5 ὅσα δὲ ἐν τῇ τέχνῃ τῇ ἰητρικῇ γνώμῃ μανθάνεται καὶ εὑρίσκεται, ἢ περὶ σιτίων ἢ περὶ φαρμάκων, 6 παρὰ τῶν οἵων τε διαγινώσκειν τὰ ἐν τῇ τέχνῃ, μανθάνειν χρὴ, ἤν τι θέλῃς μανθάνειν.

XLIV. Μετὰ τὰ ῥοφήματα διδόναι τὸ σιτίον ἀσθενέουσιν· 2 ἐπιπίνειν δὲ οἶνον οἰνώδεα. 3 πρὸ δὲ τῶν σιτίων καὶ ποτῶν ἢ ῥοφημάτων, καὶ μετὰ ταῦτα ὅ, τι ἄν σοι δοκέῃ τοῖσιν ἀσθενέουσιν, 4 ἐσορῶν τὸ σῶμα καὶ τὴν ψυχὴν, προσφέρειν καὶ τὸ σιτίον καὶ τὸ ποτόν. 5 μάλιστα γὰρ ἂν οὕτως ὠφελέοις. 6 τῶν σιτίων ἃ δύναμιν ἕκαστα ἔχει, τεκμαίρεσθαι χρὴ ἀπὸ τῶν φανερὴν τὴν δύναμιν παρεχομένων. 7 ὁκόσα ἢ φῦσαν, ἢ δῆξιν, ἢ πλησμονὴν, ἢ ἐρυγμὸν παρέχει, ἢ στρόφον, ἢ διαχωρέει, ἢ μὴ διαχωρέει, καὶ φανερά, ὅ, τι ταῦτα ἐργάζεται. 8 καὶ ἀπὸ τούτων χρὴ τά τε ἄλλα σκοπεῖν. 9 ἔχει γὰρ ἕκαστα τῶν ἐδεσμάτων, δι' ὅ, τι καὶ ὠφελέει καὶ βλάπτει. 10 ἀλλὰ τὰ ἄλλα τὰ μὲν φανερώτερά ἐστιν ἐργαζόμενα, ἃ ἐργάζεται, τὰ δὲ ἀμυδρότερα. 11 τὰ σιτία καὶ τὰ ὄψα σκευάζειν καὶ διδόναι τοῖσιν ἀσθενέουσιν, ὑφ' ὧν μήτε φῦσα ἔσται, μήτε ὀξυρεγμίη, μήτε στρόφος, 12 μήτε λίην διαχωρέει, μήτε λίην ξηραίνεται. 13 ταῦτα

δὲ

sorbitiones sunt fortiores. 9 Dentur autem post cœnam.

XLIII. Pharmaca quæ potantur, & quæ ad vulnera adhibentur, discere oportet: 2 omnibus enim hoc expositum ac proclive est. 3 Non enim ex intelligentia homines hæc reperiunt, sed potius ex fortuna: 4 neque artifices magis quam idiotæ. 5 Quæcunque vero in arte medica, intelligentia discuntur & reperiuntur, aut de cibis aut de medicamentis: 6 ea ab his, qui dignoscere possunt quæ in arte sunt, discere oportet, si quid discere velis.

XLIV. Post sorbitiones cibum debilibus dato, 2 & vinum vinosum insuper bibendum. 3 Ante cibos vero & potus aut sorbitiones, & postea, & cibum & potum, quicunque tandem tibi videbitur, debilibus exhibeto, 4 ita ut & corpus & animam inspicias. 5 Sic enim maxime profueris. 6 Quam facultatem singuli cibi habeant, conjectare oportet, ex his qui vim manifestam faciunt. 7 Quicunque flatum, aut morsum, aut repletionem, aut ructum faciunt, aut tormen, aut secedunt, aut non secedunt: hi manifesti sunt quod hæc operantur: 8 & ex his etiam alios considerare oportet. 9 Habent enim singula edulia, & quo prosunt, & quo lædunt. 10 Verum alia manifestissime operantur quæ operantur, alia vero obscurius. 11 Cibi & obsonia præparentur ac exhibeantur debilibus, à quibus neque flatus fit, neque ructus acidus, neque tormen: 12 & quæ neque valde per alvum secedunt, neque valde resiccantur. 13 Hæc

autem

μὲν γίνεται ὧδε. 14 ὅσα μὲν ἡ κοιλίη κρατέει, καὶ τὸ σῶμα αὐτὰ ἀναδέχεται, ταῦτα μὲν οὔτε φῦσαν παρέχει, οὔτε στρόφον. 15 ἢν δὲ μὴ ἡ κοιλίη κρατέῃ, ἀπὸ τούτων καὶ φῦσαι, καὶ στρόφος, καὶ τἄλλα τὰ τοιαῦτα γίνεται. 16 κουφότατα τῶν σιτίων καὶ τῶν ὄψων καὶ τῶν ποτῶν, ὅσα μέτρια ἐσιόντα ἐς τὸ σῶμα, ἢ ὀλίγῳ πλείω τῶν μετρίων, μήτε πλήρωσιν παρέχει, μήτε στρόφον, μήτε φῦσαν, μήτε ἄλλο τι τῶν τοιούτων μηδέν. 17 καὶ πέσσεται τάχιστα, καὶ πεσσόμενα διαχωρέει. 18 καὶ ἀνὰ πᾶσαν τὴν ἡμέρην ἐσιόντα ἐς τὴν κοιλίην, ἀλυπότατά ἐστι, 19 καὶ ὅσα διὰ παλαιοῦ ἐσέλθῃ. 20 βαρέα δὲ, ὅσα μέτρια τελεόμενα ἢ ἐλάσσω τῶν μετρίων, πλήρωσιν καὶ πόνον παρέχει, 21 καὶ μὴ τελέειν, μηδὲ οἷόν τε ἐσθίειν αὐτὰ, μηδὲ πίνειν, ἀλλὰ πόνον παρέχει. 22 διὰ χρόνου δὲ αὖθις αὐτὰ ἢ πίνει ἢ ἐσθίει, καὶ οὕτω πόνον παρέχει, καὶ οὐ διαχωρέει κατὰ λόγον. 23 ἐς ὑγιείην ἄριστα, ὅσα ὀλίγιστα ἐσιόντα, αὐτάρκειά ἐστι καὶ λιμοῦ καὶ δίψης ἄκος εἶναι. 24 καὶ πλεῖστον χρόνον τὸ σῶμα αὐτὰ δέχεται, καὶ διαχωρέει κατὰ λόγον. 25 ἐς ἰσχὺν δὲ ἄριστα, ὅσα σάρκα φύει πλείστην καὶ πυκνοτάτην, 26 καὶ τὸ αἷμα παχύνει, 27 καὶ διαχωρέει κατὰ λόγον τῶν ἐσιόντων, 28 καὶ τὸ σῶμα πλεῖστον χρόνον ἀναδέχεται. 29 τὰ λιπαρὰ καὶ τὰ πίονα, καὶ τὰ τυρώδεα, καὶ μελιτώδεα, καὶ τὰ σησαμόεντα ὀξυρεγμίην ὡς μάλιστα παρέχει, καὶ χολέρην, καὶ στρόφον, καὶ φῦσαν, καὶ πλησμονήν. 30 ποιέει δὲ τοῦτο αὐτὸ, καὶ ὅταν πλείω τις φάγῃ ἢ πίῃ,

autem sic fiunt. 14 Quæcunque quidem venter superat, & corpus ipsa suscipit, ea neque flatum exhibent, neque tormen. 15 Si vero venter non superarit, ab his & flatus, & tormen, & alia hujusmodi fiunt. 16 Levissima sunt cibaria, & potus ac obsonia, quæ moderata in corpus ingesta, aut paulo amplius supra modum, neque repletionem exhibent, neque tormen, neque flatum, neque aliud quiddam ejusmodi, 17 & celerrime concoquuntur, & concocta secedunt, 18 & per omnem diem in ventrem ingesta, minime molesta sunt, 19 etiamsi diu antea fuerint ingesta. 20 Gravia autem sunt quæ moderata exhibita, aut infra modum, repletionem & dolorem exhibent: 21 & quæ neque dari, neque edi, neque bibi possunt, ut non dolorem exhibeant. 22 Et si quis ipsa per tempus rursus bibat aut edat, etiam sic dolorem exhibent, & non pro ratione secedunt. 23 Ad sanitatem optima sunt, quæ modice ingesta sufficiunt, ut & famis & sitis sint medela. 24 Et plurimo tempore corpus ipsa suscipit, & pro ratione secedunt. 25 Ad robur autem optima sunt, quæ carnem plurimam ac densissimam producunt, 26 & sanguinem crassefaciunt, 27 & pro ingestorum ratione secedunt: 28 & corpus plurimo tempore ipsa suscipit. 29 Pinguia, & caseosa, & mellita, & ex sesamo parata, ructum acidum maxime faciunt, & bilis fluxum superne ac inferne, & tormen, & flatum, & repletionem. 30 Hoc ipsum etiam contingit, quum quis plura

πίῃ, ἢ ὅσα οἷά τε πέψαι ἡ κοιλίη. 31 τοῖσιν ἀσθενέουσιν ἢν μὲν κατὰ λόγον τῆς νόσου καὶ τοῦ σώματος διδῷς, ἃ ἂν διδῷς, ὑπαναλίσκει ταῦτα τὸ σῶμα, καὶ οὔτε ἐνδεές ἐστιν, οὔτε πλῆρες. 32 ἢν δὲ ἁμαρτάνῃς τοῦ καιροῦ ἢ ἑκάτερα, βλάβος ἐπ' ἀμφότερα. 33 ὅσα τῶν σιτίων ἢ τῶν ὄψων ἢ τῶν ποτῶν τὸ σῶμα ἀναδέχεται, μάλιστα ἀπὸ τούτων, οὔτε στρόφος γίνεται, οὔτε φῦσα, οὔτε ὀξυρεγμίη. 34 ὅταν γὰρ ἐς τὴν κοιλίην ἐσέλθῃ, ἀπ' αὐτοῦ σπᾷ τὸ σῶμα τὸ αὐτῷ ἐπιτήδειον ὄν, 35 καὶ ἀσθενέστερον ἤδη τὸ λοιπὸν ἀνάγκη εἶναι ὥστε στρόφον ἢ φῦσαν, ἢ ἄλλο τι τῶν τοιούτων ἐν τῇ κοιλίῃ μὴ ποιῆσαι. 36 οἱ οἶνοι καὶ οἱ γλυκέες, καὶ οἱ αὐστηροὶ, καὶ οἱ μελιχροὶ παλαιοὶ, τὴν κοιλίην ὑπάγουσι· 37 μάλιστα τε διουρέονται καὶ τρέφουσι. 38 καὶ οὔτε φῦσαν παρέχουσιν, οὔτε στρόφον, οὔτε πλησμονήν. 39 κρεῶν τὰ ἑφθὰ, καὶ τὰ ἐξοπτὰ, ἀσθενέα μὲν πρὸς τὴν ἰσχὺν ἀμφότερα. 40 ἐς δὲ τὴν διαχώρησιν, τὰ μὲν ἑφθὰ, ἐπιτήδεια· 41 τὰ δὲ ὀπτὰ, στασιμώτερα. 42 τὰ δὲ μετρίως ἔχοντα καὶ ἑψήσιος καὶ ὀπτήσιος, μετρίως καὶ ἐς τὴν ἰσχὺν ἔχει καὶ ἐς τὴν διαχώρησιν. 43 τὰ δὲ ὠμότερα, πρὸς μὲν τὴν ἰσχὺν ἐπιτήδεια· πρὸς δὲ τὴν διαχώρησιν, οὔ.

XLV. Τῶν σιτίων καὶ τῶν ποτῶν τὰ συμφορώτατα τῷ σώματι, 2 καὶ μάλιστα αὐτάρκεα καὶ ἐς τροφὴν καὶ ἐς ὑγιείην, 3 καὶ ἀπὸ τούτων αὐτῶν, ὅταν τις αὐτοῖσι μὴ ἐν καιρῷ χρῆται, ἢ πλείοσι τοῦ καιροῦ, αἵ τε νοῦσοι, καὶ ἐκ τῶν νούσων οἱ θάνατοι γίνονται. 4 τὰ δ' ἄλλα σιτία καὶ ποτὰ, ὅσα μὴ τοιαύτην δύναμιν ἔχει,

plura ederit aut biberit, quam venter concoquere potest. 31 Debilibus siquidem pro morbi ac corporis ratione dederis, quæcunque tandem dederis, consumit hæc corpus, & neque indigum est, neque repletum. 32 Si vero aberraris à temporis occasione, detrimentum in utraque sequitur. 33 Quæcunque cibaria aut potus, aut obsonia corpus suscipit, ab his maxime neque tormen fit, neque flatus, neque ructus acidus. 34 Quum enim in ventrem ingesta fuerint, corpus ab ipsis trahit quod ipsi commodum est. 35 Et necesse est jam quod restat debilius esse, quam ut tormen, aut flatum, aut aliud quid hujusmodi in ventre faciat. 36 Vina dulcia, & austera, & mellei coloris vetusta, ventrem subducunt, 37 maximeque urinam cient ac nutriunt, 38 & neque flatum exhibent, neque tormen, neque repletionem. 39 Carnes percoctæ & exassatæ, utræque debiles sunt ad robur augendum. 40 Ad secessum vero percoctæ commodæ sunt, 41 assatæ vero magis sistunt. 42 Quæ vero moderatam habent & cocturam & assaturam, hæ & ad robur, & ad secessum moderate se habent. 43 At vero crudiores ad robur quidem commodæ sunt, sed non ad secessum.

XLV. Ex cibis ac potibus qui commodissimi sunt corpori 2 ac maxime sufficientes, & ad alimentum, & ad sanitatem, 3 ex his ipsis etiam, ubi quis ipsis non in tempore utatur, aut pluribus quam tempestivum est, & morbi, & ex morbis mortes fiunt. 4 Reliqui vero cibi ac potus, qui talem vim non habent,

ἔχει, σμικρὸν μέν τοι ὠφελεῖ, ἢν πις καὶ τὰ πάντα αὐτοῖσιν ἐν ἡμέρῃ χρῆται· σμικρὰ δὲ καὶ βλάπτει. [5] ἐπ' ἀμφότερα γὰρ ἐστιν ἀσθενέα, ὥστε ἀγαθόν τι ποιῆσαι, καὶ ὥστε κακόν. [6] ἔστι δὲ τῶν σιτίων καὶ τῶν ποτῶν, ἃ τὴν δύναμιν ἔχει τοιαύτην, τάδε· [7] ἄρτος, μᾶζα, κρέα, ἰχθύες, οἶνος, [καὶ] τούτων μέν τοι τὰ μὲν μᾶλλον, τὰ δὲ ἧσσον. [8] ὁκόσοι ξηρὴν δίαιταν διαιτῶνται, τούτοισι μὴ ξὺν τῷ σιτίῳ τὸ ποτὸν διδόναι, ἀλλὰ μετὰ τὸ σιτίον, διαλιπὼν πουλὺν χρόνον. [9] καὶ οὕτω μὲν ξηρὴ ἡ ἰκμὰς ἀπὸ ξηρῶν τῶν σιτίων γινομένη, [10] τὸ σῶμα ξηραίνει. [10] ἢν δὲ ἅμα τῷ σιτίῳ πίνῃ, ὑγροτέρη ἡ τροφὴ γινομένη, ὑγρότερον τὸ σῶμα ποιεῖ. [11] Ἄρτος ὁ θερμὸς, καὶ τὰ κρέα τὰ θερμὰ, αὐτὰ ἐφ' ἑωυτῶν ἐσθιόμενα, ξηραίνει. [12] ἢν δὲ ξὺν ὑγρῷ διδῷς, ἢ ἐπιπίνειν παραχρῆμα ἐπὶ τῷ σιτίῳ, οὐ ξηραίνει. [13] ἄρτος ὁ καθαρὸς τῶν ἀλεύρων, ἐς ἰσχὺν καὶ κομιδὴν ξυμφορώτερος ἢ ὁ ἀνέρικτος, [14] καὶ πρόσφατος ἢ ἕωλος, καὶ τῶν ἀλεύρων προσφάτων ἢ παλαιοτέρων. [15] Τὰ ἄλφιτα τῶν κριθέων ἀποβρέχων περιχυθέντων πεπτισμένων ἰσχυρότερα ἢ βεβρεγμένων, [16] καὶ πρόσφατα ἢ παλαιότερα. [17] καὶ ἡ μᾶζα προπεφυρημένη ἰσχυροτέρη, ἢ μὴ προπεφυρημένη. [18] Ὁ οἶνος διακεχυμένος καὶ ἀποψυχόμενος καὶ διηθούμενος, λεπτότερος γίνεται καὶ ἀσθενέστερος. [19] Τὰ κρέα τὰ μὲν ἑφθὰ, ἢν μὲν διεφθὰ ποιήσῃς, ἀσθενέστερα καὶ ἐλαφρότερα· [20] τὰ δὲ ὀπτὰ, ἢν ἔξοπτα γένωνται, καὶ τὰ παλαιὰ ἐξ ὄξεος ἢ ἁλῶν, ἀσθενέστερα καὶ ἐλαφρότερα τῶν προσφάτων.

XLVI. Τὰ ἀσθενέα τῶν σιτίων καὶ τὰ κοῦφα, τὴν μὲν κοιλίην οὐ λυπεῖ,

bent, parum utilitatis afferunt, etiamsi quis semper ipsis in tempore utatur: parum autem etiam lædunt. [5] In utramque enim partem debiles sunt, ut & boni aliquid faciant, & mali. [6] Sunt autem cibi & potus qui hanc vim habent hi, [7] panis, maza, carnes, pisces, vinum: & ex his alii magis, alii minus. [8] Quicunque ex sicco victu vivunt, his non cum cibo potus detur, sed post cibum, multo tempore interposito. [9] Et sic quidem siccus humor à siccis cibis ortus, corpus siccat. [10] Si vero quis simul cum cibo bibat, cibus humidior factus, corpus humidius facit. [11] Panis calidus, & carnes calidæ, ipsæ per se comestæ, siccant. [12] Si vero cum liquore dederis, aut statim à cibo potum præbueris, non siccant. [13] Panis purus ex farinis, ad robur ac refectionem commodior est, quam qui non est ex tenuibus farinis paratus: [14] & recens utilior est quam vetus, & ex farinis recentibus melior quam veteribus. [15] Polenta ex hordeo non madefacto, sed circumcirca conspersо ac decorticato, fortior est quam ex madefacto: [16] & recens quam vetusta. [17] Et maza prius subacta fortior est, quam non subacta. [18] Vinum diffusum, ac perfrigeratum, & excolatum, tenuius fit ac debilius. [19] Carnes coctæ, siquidem percoctas feceris, debiliores sunt ac leviores. [20] Assatæ vero si exassatæ fuerint, & inveteratæ ex aceto aut sale, debiliores sunt & leviores recentibus.

XLVI. Debiles ac leves cibi, ventrem quidem non lædunt, neque

πᾶ, οὐδὲ τὸ σῶμα· 2 διότι οὐκ ἀνοιδεῖ θερμαινόμενα, οὐδὲ πληροῖ, ἀλλὰ λαπάσσεται ταχὺ, καὶ πεσσόμενα διαχωρέει. 3 ἡ δὲ ἰκμὰς ἀπ' αὐτῶν τῷ σώματι ἀσθενὴς γίνεται, καὶ οὔτε αὔξει, οὔτε ἰσχὺν ἀξίην λόγου παρέχει. 4 τὰ δὲ ἰσχυρὰ τῶν σιτίων ἀνοιδέει τε, ὅταν ἐς τὴν κοιλίην ἐσέλθῃ, καὶ πλήρωσιν ' παρέχει. 5 καὶ πέσσεται μὲν χαλεπώτερον, καὶ οὐ διαχωρέει. 6 ἡ δὲ ἰκμὰς ἀπ' αὐτῶν ἰσχυρὴ " καὶ ἀκήρατος προσγινομένη, ἰσχύν τε παρέχει τῷ σώματι πολλὴν, καὶ αὔξην. 7 Κρεῶν κουφότατα ἐς τὸ σῶμα, κύνεα, καὶ ὀρνίθεια, καὶ λαγῶα ἑφθά. 8 βαρέα δὲ τὰ βόεια, καὶ τὰ χοίρεια· 9 μετριώτερα δὲ πρὸς τὴν φῦσαν, καὶ ἑφθὰ, καὶ ὀπτά. 10 ὑγιαίνουσι [δὲ] καὶ ἀσθενέουσι τὰ μήλεια. 11 τὰ δὲ ὕεια ἐς εὐεξίην μὲν καὶ ἰσχὺν πονέουσι καὶ γυμναζομένοισιν ἀγαθά· 12 ἀσθενέουσι δὲ καὶ ' ἰδιώτῃσιν ἰσχυρότερα. 13 καὶ τὰ θήρεια τῶν ἡμέρων κουφότερά ἐστι, διότι καρπὸν οὐχ ὅμοιον ἐσθίει. 14 διαφέρει δὲ καὶ τὰ κρέα τῶν κτηνέων, καὶ ὅσα καρπὸν ἐσθίει, καὶ ὁκόσα μὴ ἐσθίει. 15 καὶ ὁ καρπὸς οὐ ταὐτὸ ἅπασι ποιέει, ἀλλὰ τὸ μὲν πυκνήν τε τὴν σάρκα τοῦ ἱερείου παρέχει καὶ ἰσχυρήν· τὸ δὲ ἀραιήν τε καὶ ὑγρὴν καὶ ἀσθενέα. 16 Ὡς μὲν τὸ ξύμπαν εἰρῆσθαι, ἰχθύες κοῦφον ἔδεσμα, καὶ ἑφθοὶ καὶ ὀπτοὶ, καὶ αὐτοὶ ἐφ' ἑωυτῶν, καὶ μεθ' ἑτέρων σιτίων. 17 αὐτοὶ δὲ ἐφ' ἑωυτῶν διαφέρουσιν ' ὧδε. 18 καὶ οἱ μὲν λιμναῖοι καὶ πίονες, καὶ οἱ ποτάμιοι, βαρύτεροι· 19 οἱ δὲ ἀκταῖοι θαλάσσιοι, κουφότεροι· 20 καὶ δίεφθοι ὀπτῶν

neque corpus, 2 eo quod calefacti non intumescunt, neque replent, sed cito mollescunt, & concocti secedunt. 3 Humiditas autem ab ipsis debilis corpori accedit, & neque augent, neque robur memorabile exhibent. 4 At fortes cibi, & intumescunt ubi in ventrem ingesti fuerint, & replent: 5 & difficilius quidem ac tardius concoquuntur, & non secedunt. 6 Verum humor ab ipsis fortior ac incorruptus accedens, ' multum robur ac augmentum corpori addit. 7 Ex carnibus levissimæ sunt in corpus, caninæ, & volucrium, & leporinæ coctæ. 8 Graves autem sunt bubulæ. Et porcinæ 9 moderatiores: flatum autem faciunt, & coctæ & assatæ. 10 Et sanis autem & debilibus conveniunt ovillæ. 11 Suillæ vero his qui laborant & exercitantur, & ad bonum habitum, & ad robur commodæ sunt. 12 Debilibus autem & privatam vitam ' degentibus, fortiores. 13 Sed & ferinæ mansuetis leviores sunt, eo quod fructum non similem edunt. 14 Differunt autem & pecorum carnes, & eorum quæ fructum edunt, & quæ non edunt. 15 Et fructus non idem in omnibus facit, sed partim densam ac fortem victimæ carnem efficit, partim raram & humidam, ac debilem. 16 Ut in summa dicam, pisces leve sunt edulium, & cocti, & assati, & ipsi per se, ' & cum aliis cibis. 17 Ipsi vero inter seipsos sic differunt. 18 Stagnorum pisces, & pingues, & fluviatiles, graviores sunt: 19 Littorales autem marini, leviores. 20 Et percocti assatis

ὀσπρίων κουφότεροι. 21 ἀπὸ τούτων τὰ μὲν ἰσχυρὰ διδόναι, ὅταν ἀνακομίσαι τινὰ βούλῃ· 22 τὰ δὲ κοῦφα, ὅταν ἰσχνὸν δέοι καὶ λεπτὸν ποιῆσαι.

XLVII. Τὸ λουτρὸν τὸ θερμὸν, τὸ μὲν μέτριον, μαλάσσει τὸ σῶμα καὶ αὔξει· 2 τὸ δὲ πλεῖον τοῦ καιροῦ, τὰ μὲν ξηρὰ τοῦ σώματος διυγραίνει, τὰ δὲ ὑγρὰ ἀποξηραίνει. 3 καὶ τὰ μὲν ξηρὰ ὑγραινόμενα, ἀσθενείην καὶ λειποθυμίην παρέχει· 4 τὰ δὲ ὑγρὰ ξηραινόμενα, ξηρασίην καὶ δίψος.

XLVIII. Λαχάνων δὲ, τὰ σκόροδα καὶ ἑφθὰ καὶ ὀπτὰ, καὶ διουρητικὰ, καὶ ὑποχωρητικὰ, καὶ πρὸς τὰ γυναικεῖα ξύμφορα. 2 Κρόμμυα ἐς τὰ οὖρα ἐπιτήδεια. 3 ὁ γὰρ ὀπὸς δριμύτητά τινα παρέχει, ὥστε διαχωρέειν. 4 τούτοισιν οὕτω χρῆσθαι, ἀλλὰ τοῖσιν ἀσθενέουσι μὴ προσφέρειν. 5 Σέλινα καὶ ἑφθὰ καὶ ὠμὰ, διουρητικὰ, καὶ μᾶλλον τὰ ἕλεια τῶν ἡμέρων, ἃ καὶ πλείονα ἔχει δύναμιν. 6 Κορίαννον εὐκάρδιον καὶ διαχωρητικὸν, καὶ ἑφθὸν καὶ ὠμόν. 7 Ὤκιμον, καὶ ὑγρὸν καὶ ψυχρὸν, καὶ εὐκάρδιον. 8 Πράσα, τὰ μὲν ἑφθὰ, διουρητικὰ καὶ διαχωρητικά· 9 τὰ ὠμὰ δὲ, καυματώδεα καὶ φλεγματώδεα. 10 Ῥοιὴ, κομιστικὸν καὶ φλεγματῶδες, 11 καὶ, ξὺν μὲν τῷ πυρῆνι στάσιμον· 12 ἄνευ δὲ τοῦ πυρῆνος, διαχωρητικόν.

XLIX. Τὰ θερμὰ τῶν σιτίων, ξηρὰ μὲν ἵστησι· 2 τὸ γὰρ ὑγρὸν τὸ ἐν τῇ κοιλίῃ ἀναξηραίνει· 3 ὑγρὰ δὲ ὄντα, διυγραίνοντα τῇ θερμότητι, ὑπάγει. 4 Τὰ στρυφνὰ ξηραίνει καὶ ξυνά-

sunt leviores. 21 Ex his itaque fortes dato; ubi reficere aliquem voles: 22 leves vero, ubi gracilem & tenuem facere oportuerit.

XLVII. Balneum calidum moderatum quidem, mollit, & auget corpus: 2 quod vero opportunum modum excedit, siccas quidem corporis partes, humectat, humidas vero resiccat. 3 Et siccæ quidem humectatæ debilitatem & animi deliquium exhibent: 4 humidæ vero siccatæ, siccitatem ac sitim.

XLVIII. Ex oleribus allia, & cocta & assata, urinam cient; & per alvum secedunt, & ad menses muliebres conducunt. 2 Cepæ ad urinas commodæ sunt. 3 Succus enim acrimoniam quandam exhibet, ut secedat. 4 Atque his quidem sic utendum est, sed debilibus non exhibenda. 5 Apium & coctum & crudum urinam ciet, & palustre magis quam sativum, quod etiam majorem vim habet. 6 Coriandrum stomacho gratum est, & per alvum secedit, tum coctum, tum crudum. 7 Ocimum & humidum est & frigidum, ac stomacho gratum. 8 Porrum coctum quidem urinam ciet, & secedit: 9 crudum vero æstuosum est & pituitosum. 10 Malum punicum reficit & pituitosum est, 11 & cum nucleo quidem, alvum sistit: 12 citra nucleum vero, secedit.

XLIX. Calidi cibi, sicci quidem sistunt, 2 (humorem enim in ventre resiccant:) 3 si vero humidi sunt, humectantes per caliditatem, alvum subducunt. 4 Acerba siccant, & con-
trahunt

45 ξυνάγει τὸ σῶμα, [5] εἰσὶ δὲ καὶ στύφοντα. [6] Τὰ ὀξέα λεπτύνει, δῆξιν ἐμποιέοντα. [7] Τὰ ἁλμυρὰ διαχωρέει καὶ διουρέεται. [8] Τὰ λιπαρὰ καὶ τὰ πίονα καὶ τὰ γλυκέα, ὑγρασίην μὲν καὶ φλέγμα παρέχει· κομιστικὰ δέ. [9] Κολοκύντη, καὶ τεῦτλα, καὶ βλῆτα, καὶ λάπαθα, τῇ ὑγρότητι διαχωρητικά. [10] Κράμβη δὲ ἔχει τινὰ δριμύτητα ἐς τὸ διαχωρέειν, καὶ ἅμα εὔχυμος. [11] Τυρὸς, καὶ σήσαμα, καὶ σταφὶς, κομιστικὰ καὶ φλεγματώδεα.

L. Γλυκὺς οἶνος καὶ μελιηδὴς, 50 ἄμφω καὶ κομιστικοὶ, καὶ διουρητικοὶ, καὶ φλεγματώδεες. [2] οἱ δὲ αὐστηροὶ ἐς ἰσχὺν καὶ ξηρασίην ἐπιτήδειοι. [3] οὐρητικοὶ δὲ τῶν αὐστηρῶν παλαιοὶ, ὅσοι λευκοί τε καὶ λεπτοὶ τυγχάνουσιν. [4] Ἔλαιον, καὶ ὅσα ἐλαιώδη, κομιστικὰ καὶ φλεγματώδεα. [5] Λαχάνων τῶν ἑφθῶν διαχωρέει, ὅσα φύσει ὑγρότατά ἐστιν, ἢ δριμύτητα ἢ θερμότητα ἔχει. [6] διδόναι δὲ ταῦτα χλιαρώτερα καὶ πικρότερα· [7] [οὕτω γὰρ] 5 ξύμφορα ἐστιν ἐς ἄφοδον. [8] Σίκυος πέπων, καὶ διουρητικὸν, καὶ διαχωρητικὸν, καὶ κοῦφον. [9] ὁ δὲ ἕτερος πέπων ψύξιν τινὰ παρέχει, καὶ δίψαν παύει. [10] τροφὴ δὲ ἀπὸ οὐδετέρου αὐτῶν οὐ γίνεται, εἰ μὴ λεπτή τις· [11] ἀλλ' οὐδὲ φλαῦρον ἀπ' οὐδετέρου, οὐδὲ ἄξιον λόγου. [12] Τὸ μέλι, ξὺν μὲν ἑτέροις ἐσθιόμενον, καὶ τρέφει καὶ εὔχροιαν παρέχει· [13] αὐτὸ δὲ ἐφ' ἑωυτοῦ λεπτύνει μᾶλλον ἢ κομίζει. [14] καὶ γὰρ διουρέεται καὶ διαχωρέεται 10 μᾶλλον τοῦ μετρίου. [15] Τὰ διουρητικὰ θερμαινόμενα ἐν τῇ κοιλίῃ, θερμαίνεταί τε ταχὺ, καὶ μαραίνεται, καὶ τήκεται, καὶ τὴν διαχώρησιν διὰ τοῦτο ταχείην παρέχει. [16] Ὅσα δὲ στύφοντα τῶν σιτίων, καὶ θερμαίνεται,

trahunt corpus. [5] Habent & vim sistendi. [6] Acida attenuant, morsum inducentia. [7] Salsa secedunt, & urinam cient. [8] Pinguia & dulcia, humiditatem & pituitam exhibent. 'Reficiunt [9] cucurbita, 255 & beta, & blitum, & rumex, & per humiditatem secedunt. [10] Brassica vero acrimoniam quandam habet ad secessum, & simul boni succi est. [11] Caseus, & sesamum, & uva passa, reficiunt & pituitosa sunt.

L. Vinum dulce, & mellis speciem referens, ambo & reficiunt, & urinam cient, & pituitosa sunt. [2] Austera vero, ad robur & siccitatem commoda sunt. [3] Urinam autem cient etiam austera, vetusta, ' quæ alba & tenuia existunt. 260 [4] Oleum & quæcunque oleosa, reficiunt & pituitosa sunt. [5] Ex oleribus coctis secedunt, quæ ex natura humidissima aut acerrima sunt, aut caliditatem habent. [6] Danda autem sunt hæc tepidiora ac flaccidiora. [7] Sic enim ad secessum commodant. [8] Cucumis pepo, & urinam cit, & alvo secedit, ac levis est. [9] Alter autem non pepo, frigiditatem quandam exhibet, & sitim sedat. [10] Alimentum vero ' à neutro horum 265 contingit, nisi tenue quoddam: [11] sed neque malum, neque memorabile. [12] Mel cum aliis quidem comestum, & nutrit, & bonum colorem exhibet. [13] Ipsum autem per se ipsum attenuat magis quam reficit. [14] Nam & per urinam, & per secessum plus justo expurgatur. [15] Urinam cientia in ventre & cito calefiunt, & calefacta marcescunt ac liquescunt, & ob id citum secessum faciunt. [16] Stabiles autem ac alvum ' sistentes cibi, & calescunt, 270 & calefacti cito resiccantur ac com-

καὶ πάχεος θερμαινόμενα ξηραίνεται, καὶ ξυνίσταται. [17] καὶ διὰ τοῦτο περίσκληρα γινόμενα οὐ διαχωρεῖ. [18] Τὰ διαχωρητικὰ ἔγχυλά ἐστι, καὶ φύσει θερμά. [19] τὰ δὲ οὐρητικὰ, ξηρὰ καὶ ψυχρά. [20] Ὁ σῖτος καὶ ὁ οἶνος διαφέρουσι μὲν καὶ αὐτοὶ ἑωυτῶν φύσει ἐς ἰσχὺν καὶ ἀσθενείην, καὶ κουφότητα καὶ βαρύτητα. [21] Διαφέρει δὲ καὶ χώρη χώρης, ἐξ ὁκοίης ἂν ᾖ· [22] καὶ εὔυδρος ἐοῦσα, καὶ ἄνυδρος· [23] καὶ εὐήλιος, καὶ πολύσκιος· [24] καὶ ἀγαθὴ, καὶ φλαύρη. ὥστε ἅπαντα ταῦτα ξυμβάλλεται ἐς τὸ ἰσχυρότερά τε ἕκαστα τῶν σιτίων εἶναι, καὶ ἀσθενέστερα.

LI. Ὁκόσοι ὑγιαίνοντες ἄρτον φαγέειν εἰώθεσαν, ταῦτα διδόναι τούτοισι καὶ ἐν τῇσι νούσοισιν. [2] ὅταν ἢ σιτία ἢ ποτὰ πλέω τοῦ εἰωθότος τις λάβῃ, ἢν μὴ τὰ εἰωθότα τελέσῃ, ἀπεμέσαι παραχρῆμα ἄριστον. [3] Ὀπώρη καὶ ἀκρόδρυα διὰ τόδε μετὰ τὸ σιτίον λυπηρότερά ἐστι καὶ ὑγιαίνοντι καὶ ἀσθενέοντι, [4] ὅτι βεβρωκότος μὲν ἀπ' αὐτῶν ἰκμάδας σπᾷ τὸ σῶμα· [5] ἢν δὲ νῆστις ἐσθίῃ, πλέω.

LII. Ὅσα τῶν σιτίων ἢ φῦσαν, ἢ καῦμα, ἢ δῆξιν παρέχει, ἢ πλησμονὴν, ἢ στρόφον, [2] οἶνος ἐπιπινόμενος ἄκρητος ἀπαλλάσσει τῶν τοιούτων. [3] τὸ γὰρ σῶμα διαθερμαινόμενον ὑπὸ τοῦ οἴνου, ἀπαλλάσσεται τὰ ἐνεόντα τῇ θερμότητι. [4] ἀπὸ τῶν σιτίων καὶ τῶν ποτῶν, καὶ τῶν ὁμοίων, ἐνίοτε μὲν διαταράσσεται ἡ κοιλίη, ἐνίοτε δὲ ἵσταται, ἐνίοτε δὲ καὶ κατὰ λόγον διαχωρέει. [5] διότι δὲ ταῦτα οὕτως ἔχει; [6] πρῶτον μὲν ἡ κοιλίη, ὅταν ὑγροτέρη ἐοῦσα, καὶ ὅταν ξηροτέρη ὑποδέχηται τὸ σιτίον, διαφθείρει· [7] ἔπειτα, ὅταν μεταβολὴ γένηται, εἴτε ἐκ

compinguntur, [17] & propterea obduri facti, non secedunt. [18] Quæ per alvum secedunt, succosa sunt, & natura calida. [19] Quæ vero urinam cient, sicca & frigida. [20] Frumentum & vinum, differunt quidem & ipsa inter seipsa ex natura, tum robore & debilitate, tum levitate ac gravitate. [21] Differt etiam locus à loco, ex quo illa fuerint. [22] Est enim alius aquosus, alius aquarum inops, [23] & apricus, & umbrosus, [24] & bonus, & malus. [25] Quare omnia hæc ad hoc conferunt, ut singuli cibi aut fortiores sint, aut debiliores.

LI. Quicunque sane panem comedere soliti fuerunt, his dandus est & in morbis. [2] Quum quis cibos aut potus plures solito acceperit, si non solito more perfecerit, optimum est ut statim revomat. [3] Poma & fructus arborei, tum mollis, tum duri corticis, propterea post cibum molestiora sunt, & sano, & debili, [4] quia corpus ejus qui cibum sumpsit, solum ab ipsis humores trahit: [5] si vero jejunus quis edat, plures.

LII. Quicunque cibi aut flatum, aut æstum, aut morsum, aut repletionem, aut tormen faciunt, [2] à talibus liberat vinum meracum insuper potatum. [3] Corpus enim à vino calefactum, per calorem amovet ea quæ insunt à cibis & potibus à similibus. [4] Venter aliquando perturbatur, aliquando sistitur, aliquando etiam pro ratione secedit. [5] Cur autem hæc sic se habent? [6] primum quidem venter quum humidior fuerit, & quum siccior, susceptum cibum corrumpit. [7] Deinde quum mutatio facta fuerit, sive ex frigore ad caliditatem, sive ex caliditate

ἐν ψύχεος ἐς θάλπος, εἴτε ἐκ
θάλπεος ἐς ψύχος, διαφθείρει.
[8] ὥστε ἀνάγκη τὴν κοιλίην ἀπὸ τῶν
σιτίων τῶν αὐτῶν καὶ ποτῶν, δι' αὐτὰ
ταῦτα καὶ μαλακωτέρην γίνεσθαι καὶ
30 σκληροτέρην. [9] Τῶν σιτίων ' καὶ τῶν
ποτῶν καὶ τῶν ὄψων, [10] πλὴν ἄρτου, καὶ
μάζης, καὶ κρεῶν, καὶ ἰχθύων, καὶ οἴνου,
καὶ ὕδατος, [11] τὰ ἄλλα πάντα λε-
πτὰς μὲν καὶ ἀσθενέας τὰς ὠφελείας
παρέχει, [12] καὶ ἐς τὴν αὔξησιν, καὶ ἐς τὴν
ἰσχὺν, καὶ ἐς τὴν ὑγείην: [13] λεπτὰ δὲ
καὶ ἀσθενέα καὶ τὰ κακὰ ἀπ' αὐ-
τῶν γίνεται. [14] Ὁκόσους τῶν νοσεόν-
των μὴ ξυνεχέως οἱ πυρετοὶ ἔχου-
σιν, ἀλλὰ διαλείποντες λαμβάνου-
σι, [15] τούτοισι τὰ σιτία διδόναι μετὰ
τὴν λῆψιν, [16] τεκμαιρόμενος ὅπως
35 μὴ ἐπὶ ' νεοβρῶτι ὁ πυρετὸς ἐπι-
φαίνηται, ἀλλ' ἤδη πεπεμμένων τῶν
σιτίων. [17] οἶνος καὶ μέλι κάλλιστα
κέκριται ἐν ἀνθρώποισιν, ἢν πρὸς
φύσιν καὶ ὑγιαίνουσι καὶ ἀσθενοῦσι
ξὺν καιρῷ καὶ μετριότητι προσφέ-
ρηται. [18] καὶ ἀγαθὰ μὲν αὐτὰ ἐφ'
ἑωυτῶν. [19] ἀγαθὰ δὲ καὶ ξυμμισγό-
μενα, [20] τά τε ἄλλα, καὶ ὅσα γε καὶ
ἀξίην λόγου ὠφελείην παρέχει. [21]
ὅσα ὑγιαίνουσι ξύμφορα, ταῦτα
καὶ νοσέουσι προσφερόμενα ἰσχυρό-
τερά ἐστι. [22] " καὶ δεῖ αὐτῶν ἀφαι- 52
ρέοντα τὴν ἀκμὴν διδόναι· [23] ἢ οὐ
40 ' φέρει αὐτὰ τὸ σῶμα, ἀλλὰ μᾶλ-
λον βλάπτει, ἢ ὠφελεῖ.

tate ad frigiditatem, itidem
corrumpit. [8] Quare ' necesse
est ventrem, ab iisdem cibis
ac potibus propter hæc ipsa,
& molliorem fieri, & ' durio- 290
rem. [9] Cibaria & potus & ob-
sonia ([10] excepto pane; & ma-
za, & carnibus, & piscibus, &
vino, & aqua,) [11] reliqua om-
nia tenues ac debiles utilita-
tes exhibent, [12] ad augmentum,
& ad robur & ad sanitatem: [13] te-
nuia item ac debilia mala ab ipsis
fiunt. [14] Quoscunque ægrotos
febres non continenter detinent,
sed intermittentes corripiunt, [15]
his cibi dandi sunt post appre-
hensionem, [16] ita ut conjecturam
facias, ne febris ' à recens acce- 295
pto cibo irruat, sed cibis jam
concoctis. [17] Vinum & mel opti-
ma judicata sunt in hominibus,
si juxta naturam & sanis, &
debilibus cum temporis op-
portunitate ac mediocritate ex-
hibeantur. [18] Et bona quidem
sunt ipsa per seipsa. [19] Bona
vero etiam permixta, [20] &
tum alia, tum quæcunque me-
morabilem utilitatem habent.
[21] Quæcunque sanis commo-
da sunt, ea etiam ægrotis ex-
hibita fortiora sunt. [22] Et
oportet detracto ' ipsorum vi- 300
gore ea dare, [23] alioqui non
feret ipsa corpus, sed magis
lædunt, quam prosunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ περὶ ΤΩΝ ΕΝΤΟΣ ΠΑΘΩΝ.

HIPPOCRATIS DE INTERNIS AFFECTIONIBUS.

Basil. græc. Foesius sect. v. 91. 531. Basil. lat.

pag. 189 ἩΝ ἡ τοῦ πλεύμονος ἀρτηρίη ἑλκωθῇ, [2] ἢ ῥαγῇ τῶν φλεβίων τῶν λεπτῶν, τι τῶν κατακρεμαμένων ἐς τὸν πλεύμονα, [3] ἢ τῶν συρίγγων, τῶν διὰ τοῦ πλεύμονος 45 τεταμένων, [4] καὶ ξυῤῥαγέωσιν ἐς ἀλλήλας, καὶ αἵματος πλησθῶσι, [5] διασπῶνταί τε καὶ καταῤῥήγνυνται διὰ τάσδε τὰς αἰτίας μάλιστα· [6] διὰ ταλαιπωρίην, [7] διὰ δρόμον, [8] διὰ πτώματα, [9] διὰ πληγάς, [10] δι' ἐμέτους βιαίους γινομένους, [11] διὰ πυρετούς. [12] τάδε οὖν πάσχει. [13] τὸ μὲν πρῶτον, βὴξ ἴσχει ξηρή. [14] ἔπειτα, ὀλίγῳ ὕστερον ἀποπτύει τὸ 190 σίαλον ὕφαιμον· τοτὲ δὲ καθαρόν. [15] οὕτως, ἢν μὲν ἐν τάχει παύσηται τῆς νούσου. [16] ἢν δὲ μή, προϊόντος τοῦ χρόνου, τὸ αἷμα πλεῖον χωρεῖ· [17] ἐνίοτε μὲν καθαρόν· ἔστι δ' ὅτε καὶ ὑπόσαπρον. [18] πολλάκις δὲ καὶ ἡ φάρυγξ λανθάνει αἵματος πιμπλαμένη. [19] ἔπειτα θρόμβους αἵματος ἐκβράσσεται κατ' ὀλίγον καὶ θαμινά. [20] ἐνίοτε δὲ καὶ ὀδμὴ βαρέη ἀπ' αὐτῶν γίνεται. [21] καὶ ἡ 5 φάρυγξ ἔστιν ὅτε πνὸς ἄχνης πίμπλαται. [22] καὶ ῥῖγος καὶ πυρετὸς ἐπιλαμβάνει, κατ' ἀρχὰς μὲν τῆς νούσου, σφόδρα· προϊούσης δέ, βληχρότερον· [23] καὶ ἄλλοτε καὶ ἄλλοτε ἐπιλαμβάνει· [24] καὶ ὀδύνη ἐνίοτε ἴσχεται ἐν τοῖσι στήθεσι, καὶ ἐν τῷ μεταφρένῳ, καὶ ἐν τῇσι πλευρῇσι. [25] καὶ ὁκόταν τὸ αἷμα παύσηται

1 SI pulmonis arteria fuerit exulcerata, [2] aut aliqua tenuis venula ex his quæ in pulmonem dependent, rupta fuerit, [3] aut aliqua fistula ex his quæ per pulmonem distentæ sunt: [4] & aliam in aliam distracta fuerit, & sanguine fuerint impletæ: [5] distrahuntur sane ac rumpuntur ob has maxime causas: [6] propter laborem, [7] propter cursum, [8] ob casus, [9] ob plagas, [10] ob vomitus violenter obortos, [11] ob febres. [12] Hæc igitur patitur. [13] Primum quidem tussis sicca obtinet. [14] Deinde paulo post expuit salivam subcruentam, aliquando autem puram. [15] Et siquidem hic brevi 2 à morbo liberetur, satis est. [16] Si vero non temporis progressu sanguis amplior prodit, [17] aliquando purus, & aliquando etiam subputridus. [18] Sæpe vero etiam fauces non animadvertentibus sanguine implentur. [19] Postea 3 sanguinis grumos paulatim & frequenter emergentes rejiciunt. [20] Aliquando vero etiam graveolentia ab ipsis contingit: [21] & fauces aliquando spuma quadam replentur. [22] Et rigor ac febris apprehendit, circa initia quidem morbi, vehementer: in progressu autem debilius: [23] & alias atque alias corripit: [24] & dolor quandoque in pectoribus insitus est, & in dorso, & in lateribus. [25] Et ubi sanguinem spuere desierit, salivam multam liqui-

σίελον πτύει, σίαλον πολλὸν ἀποπτύει ὑγρόν· ἐνίοτε δὲ καὶ γλίσχρον. 26 ταῦτα μὲν οὖν οὕτω πάσχει, μέχρις τεσσαρεσκαίδεκα ἡμέραι παρέλθωσι. 27 μετὰ δὲ ταύτας, ἢν μὴ παύσηται τὸ νόσημα, λεπίδας ἀπὸ τῆς ἀρτηρίης ἀποβήσσων ἀποσπᾷ, οἵας περ ἀπὸ φλυκταινίδων. 28 καὶ ὀδύνη ἐμπίπτει ἐς τὰ στήθεα, καὶ ἐς τὸ μετάφρενον, καὶ ἐς τὸ πλευρόν. 29 καὶ τῶν ὑποχονδρίων ὡς ἕλκος ψαυόμενος ἀλγέει. 30 τούτῳ ξυμφέρει ἡσυχίην ὡς μάλιστα τοῦ νοσήματος ἔχειν ἔσω. 31 ἢν γάρ τι πονήσῃ, ὅ, τε πόνος ὀξύτερος, καὶ ἡ βὴξ μᾶλλον, ἢ τὸ πρότερον, πιέζει. 32 καὶ τὸ ῥῖγος καὶ ὁ πυρετὸς μᾶλλον ἔχει. 33 καὶ, ἢν πταρῇ, ἡ ὀδύνη ὀξέη προσβάλλει. 34 ἀλγέει δὲ καί, ἐν τῇ εὐνῇ ὁκόταν περιστρέφηται. 35 τούτῳ χρὴ προσφέρειν, σιτία μὲν τὰ αὐτά, ἃ καὶ τῷ ἐμπύῳ· ταῦτα δὲ οὐ πολλά. 36 τῶν δὲ ὄψων τούτοισι χρέεσθαι. 37 ἰχθύσι μὲν, ῥίνης ἢ φάγρου, ἢ γαλεοῦ τοῦ μεγάλου τοῦ λευκοῦ, ἢ τῶν ἄλλων τῶν τοιούτων. 38 πᾶσι δὲ ἐν ῥόῳ καὶ ὀριγάνῳ ἠρτυμένοις. 39 κρέας δὲ ἐσθιέτω, ἀλέκτορος ὀπτὸν [καὶ] ἄναλτον, ἢ αἴγειον ἑφθόν. 40 καὶ οἴνῳ αὐστηρῷ ὡς παλαιοτάτῳ, καὶ ἡδίστῳ μέλανι χρεέσθω. 41 περιπάτοισι δὲ μετρίοισι, πλὴν ταῦτα πυρετοῦ μὴ ἔχοντος. 42 ἢν δὲ πυρετὸς ἔχῃ, ῥοφήματι ἀλεύρου ἢ κέγχρου χρεέσθω. 43 ἢν δὲ σιτία προσφέρηται, ὀλίγα προσφερέσθω. 44 καὶ ὄψα τὰ διαχωρητικά. 45 κἢν φαρμάκου σοι δοκέῃ χρέεσθαι, ὑποκαθῆραι αὐτὸν τῷ κνιδίῳ κόκκῳ, ἢ τῇ τιθυμαλίδι. 46 καὶ, μετὰ τὴν κάθαρσιν, ἀλεύρου ἑφθοῦ δοῦναι τρυβλίον ἐκροφεῖν λιπαροῦ. 47 εἶτα ἀνακομίζειν ὡς μάλιστα, ὅκως ἂν ἥκιστα

liquidam expuit, quandoque vero etiam viſcoſam. 26 Atque hæc quidem ſic patitur, donec quatuordecim dies præterierint. 27 Poſt hos vero ſi non deſiverit morbus, ſquamas, ab arteria tuſſiendo avellit, quales à puſtulis decedunt: 28 & dolor incidit in pectus, & in dorſum, & in latus, 29 & præcordia contingens velut ulcus dolet. 30 Huic conducit ut quem maxime quietem intus habeat, ſi morbus ſic ſe habuerit. 31 Si enim quid laborarit, & dolor acutior, & tuſſis magis quam prius premit, 32 & rigor ac febris magis occupat. 33 Et ſi ſternutaverit, dolor acutus irruit. 34 Dolet autem & in lecto, quum ſe circumvertit. 35 Huic cibos quidem eoſdem, quos & pectore ſuppurato exhibere oportet, verum hos non multos. 36 Ex obſoniis autem his utatur. 37 De piſcibus quidem, ſquatina, aut pagro, aut galeo magno albo, aut aliis ſimilibus, 38 omnibus cum rhoe & origano conditis. 39 Carnem autem edat galli aſſatam, ſine ſale, aut capræ coctam: 40 & vino auſtero vetuſto ac jucundiſſimo nigro utatur: 41 deambulationibus autem moderatis. Veruntatem hæc fiant febre non tenente. 42 Si vero febris tenuerit, ſorbitione farinæ aut milii utatur. 43 Si vero cibos aſſumat, paucos aſſumat, 44 & obſonia per alvum ſecedentia. 45 Et ſi pharmaco tibi utendum eſſe videbitur, cnidio, cocco, aut tithymalide ipſum ſubpurgato. 46 Et poſt purgationem, farinæ coctæ pinguis heminam abſorbendam dato. 47 Deinde quam maxime reficito, ut quam minimum te-

ἥκιστα λεπτὸς ᾖ. 48 πρὸς γὰρ τὴν τοιαύτην νοῦσον οὐ ξυμφέρει λεπτὸν εἶναι. 49 καὶ περιπάτους ὀλίγους τὸ πρῶτον ποιέεσθαι, ὡς μὴ κόπος ἐπιλάβηται. 50 πυρίην δὲ ἄλλοτε 25 καὶ ἄλλοτε. 51 καὶ, ᾗ πυριηθῇ ἡμέρῃ, ἄσιτος ἔστω, πλὴν ἀλφίτου ἑφθοῦ, οὗ τρύβλιον ἐκροφεέτω. 52 ὕδωρ δὲ πινέτω. 53 τῇ δὲ ὑστεραίῃ ἔλασσον ἢ ὡς μεμάθηκε, φαγέτω, καὶ πινέτω οἶνον μέλανα, ἡδὺν, αὐστηρὸν, ὀλίγον. 54 τὸ δὲ λοιπὸν, δὶς ἢ τρὶς τῆς ἡμέρης τὰ σιτία διδόναι. 55 οὕτω δὲ δίδου τούτῳ κατ' ὀλίγον, μέχρι καθιστήσῃς τὴν κοιλίην. 56 ἐκ γὰρ τῶν πυρετῶν καὶ τῆς ἀσιτίης, ἢν μὲν τὸ σῶμα ζητῇ, ἡ δὲ κοιλίη οὐκ ἐθέλῃ δέξασθαι, ἀθρόον δεξαμένη φλεγμαίνει. 57 30 ἀλλὰ κατ' ὀλίγον διδόναι χρή. 58 ἢν δὲ ἀθρόον δῷς, καὶ ὀλίγα πονήσῃ, τοῖσι περιπάτοισιν οὐ διαψύχεται ἡ κοιλίη, ἅτε ἀτρέμα ξυνεστηκότων τῶν βρωτῶν. 59 ἐνταῦθα δὲ καὶ πυρετὸς φιλέει ἐπιγίνεσθαι. καὶ τοῦ μὲν χειμῶνος ἧσσον. 60 τοῦ δὲ θέρεος, κίνδυνος ἐξαμαρτεῖν. 61 τοῦτον ἀνακομίζειν δεῖ ὡς μάλιστα, ὅκως ἂν ὡς παχύτατος ᾖ. 62 καὶ περιπάτοισι μετρίοισι χρεέσθω, καὶ παλαιέτω ἧσσον ἑωυτοῦ. 63 καὶ πονεέτω ὀλίγα τὸ πρῶτον, ἔπειτα δὲ πλείω· πολλὰ δὲ μήποτε. 35 64 ταῦτα ἢν ποιέῃ, ὑγιὴς ἔσται τάχιστα. 65 ἢν δὲ λεπτὸς γίνηται διὰ τὴν ταλαιπωρίην, ἀνιέτω καὶ ἡσυχίην ἐχέτω. 66 οὗτος μήτε πρὸς ἄνεμον δραμέτω, ὑγιὴς ἐὼν, ὀξέως, 67 μήτε ἐφ' ἵππον, μήτε ἐπὶ ζεῦγος ἀναβῇ. 68 φυλασσέσθω δὲ καὶ βοὴν καὶ ὀξυθυμίην· κίνδυνος γὰρ τὴν νοῦσον πάλιν ἀναλαβεῖν· ἀλλὰ φυλάσσεσθαι χρὴ τούτων ἁπάντων. 69 ἢν δὲ τοῦ σι-

tenuis fit. 48 Ad hujusmodi enim morbum non conducit tenuem esse. 49 Deambulationes etiam primum paucas faciat, ut ne lassitudo succedat. 50 Fomentum vero alias atque alias adhibeatur. 51 Et qua die fomentum adhibetur, sine cibo sit, ex- 35 cepta farina cocta, cujus heminam absorbeat. 52 Aquam autem bibat. 53 Postera die minus quam solitus fuit edat, & bibat vinum nigrum, jucundum, austerum, modicum. 54 De cætero vero bis aut ter in die cibi dentur. 55 Sic autem huic paulatim dato, donec ventrem confirmaveris. 56 Nam ex febribus & inedia, si os quidem appetiverit, 40 venter autem suscipere noluerit, ubi acervatim suscepit, inflammatur. 57 Quare paulatim dare oportet. 58 Si vero acervatim dederis, & parum laborarit, deambulationibus venter non perfrigeratur, nimirum cibis quiete compactis. 59 Quare etiam febris succedere solet, & hyeme quidem minus, 60 æstate vero periculum est ne delinquat. 61 Hunc quam maxime reficere oportet, quo quam crassissimus fiat: 62 & deam- 45 bulationibus moderatis utatur, & minus solito luctetur, 63 & parum laboret primum, deinde amplius, nunquam autem multum: 64 hæc si fecerit, celerrime sanus erit. 65 Si vero tenuis fiat propter laborem, remittat ac quietem agat. 66 Hic ubi sanus fuerit, neque ad ventum celeriter currat, 67 neque equum, neque currum conscendat. 68 Vitet etiam vociferationem, & iracundiam. 69 Periculum est enim ne morbus revertatur. Quare hæc omnia vita- 50

τοῦ σίτου ἀποκλεισθῇ, ὀρόβους φώσας τὰ κέλυφα ἀποκαθῆραι. 70 εἶτα βρέξας αὐτοὺς ἐν ὕδατι τρεῖς ἡμέρας· 71 ἐφ' ἑκάστην δὲ ἡμέρην ἀποχέειν τὸ ὕδωρ, καὶ ἄλλο ἐπεγχέειν. 72 ἔπειτα τῇ τετάρτῃ ἡμέρῃ ἀπηθῆσαι, καὶ ξηρῆναι. εἶτα ἀλέσας λεπτότατα διασῆσαι. 73 καὶ λίνου καρπὸν φώσας κόψαι λεῖον. 74 καὶ σήσαμον φώσας κόψαι λεῖον, 75 καὶ ἄλφιτα ἄναλτα καθαρὰ λεπτά. 76 καὶ τῶν μὲν ὀρόβων καὶ ἀλφίτων ἴσον ἑκατέρων ἔστω, τοῦ δὲ σησάμου τρίτον μέρος, τοῦ δὲ λίνου ἥμισυ μιῆς μερίδος. 77 ταῦτα ἐν αἰγείῳ ἑψήσας, ὡς ὑγρότατα ῥοφέειν. 78 μετὰ δὲ ταῦτα διδόναι αὐτῷ ἐς ἄριστον σιτία καθαρὰ, καὶ ὄψα ἀπὸ τῶν ἰσχυροτέρων. 79 οἶνον δὲ τὸν αὐτὸν πινέτω. 80 διδόναι δὲ αὐτῷ τῶν ῥιζέων τῆς κενταυρείης, καὶ τῶν πρὸς ταῦτα τὰ ῥήγματα, ἐπ' οἶνον ἐπιξύων. 81 διδόναι δὲ καὶ τοῦ δρακοντίου ἐπ' οἶνον ἐπιξύων. 82 διδόναι δὲ καὶ τῆς τοῦ βηχὸς ἐν μέλιτι, καὶ τὸ δρακόντιον ξύων, λείχειν. 83 κἢν τὸ ἕψημα, τὸ ἐν τῷ γάλακτι μὴ φάσκῃ δυνατὸς εἶναι ῥοφέειν, 84 γάλα βόειον ὡς πλεῖστον πινέτω, τρίτον μέρος τοῦ μελικρήτου προσμίσγων. 85 καὶ οὕτω τάχιστα ὑγιὴς ἔσται. 86 ἡ δὲ νοῦσος θεραπείης δεῖται πολλῆς· χαλεπὴ γάρ. 87 ἢν γὰρ θεραπευθεὶς ὑγιής τε γενόμενος μὴ ἐν φυλακῇ ἔχῃ ἑωυτὸν, τοῖσι πολλοῖσιν ὑποστρέψασα ἡ νοῦσος, αἰτίη ἀπωλείας ἐγένετο. 88 οὗτος, ἢν μὲν ὑπὸ ταύτης τῆς θεραπείης ἰηθῇ, ἅλις· 89 ἢν δὲ μὴ, παχύνας αὐτὸν γάλακτι, 90 καῦσαι τό τε στῆθος καὶ τὸ μετάφρενον. 91 ἢν γὰρ τύχῃς καύσας, ἐλπὶς ἐκφυγέειν τὴν νοῦσον.

11. Ἢν δὲ ἡ ἀρτηρίη σπασθῇ,

ἢ ἶνες

re oportet. 70 Si vero cibum averſetur, ervum torreto, & corticem depurgato, 71 deinde per triduum in aqua macerato, 72 ſingulis autem diebus aquam diffundito, & aliam affundito. Poſtea quarta die excolato ac reſiccato, deinde tenuiſſime molitum cribrato. 73 Et lini ſemen toſtum tundito ac terito. 74 Et ſeſamum toſtum tundito ac terito. 75 Et polentam non ſalſam, puram, tenuem accipito. 76 Et ervi quidem ac polentæ, amborum æqualis ſit menſura, ſeſami vero tertia pars, lini vero dimidia unius partis. 77 Hæc in lacte caprino cocta quam liquidiſſime abſorbeat. 78 Poſtea vero in prandium ipſi dentur cibi puri, & obſonia fortiora. 79 Vinum autem idem bibat. 80 Dato autem ipſi & centaureæ radices, ad has rupturas facientes, in vinum ipſas deradens. 81 dato item dracontii radices in vinum deraſas. 82 Sed & tuſſis gratia, dracontium deraſum in melle delingendum dato. 83 Et ſi decoctum in lacte aſſeverarit ſe ſorbere non poſſe, 84 lac bubulum quam plurimum bibat, tertia parte aquæ mulſæ ammixta. 85 Atque ſic celerrime ſanus erit. 86 Morbus autem curatione multa opus habet. Eſt enim difficilis. 87 Si enim curatus & ſanus factus non ſeipſum cuſtodierit, pleriſque revertens morbus interitus cauſſa fit. 88 Hic ſiquidem ab hac curatione ſanatus fuerit, ſatis eſt: 89 ſin minus, ipſum lacte craſſefactum, 90 & in pectore, & in dorſo urito. 91 Si enim ſucceſſerit uſtio, fugæ morbi ſpes eſt.

11. Si vero arteria convulſa

n 4 fue-

ἤν τις τῶν ἐς τὸν πλεύμονα τεινουσῶν φλεβῶν, τάδε πάσχει. [2] κατ' ἀρχὰς μὲν τῆς νούσου, βὴξ ἴσχει ὀξέη, [3] καὶ ῥῖγος, καὶ πυρετός. [4] καὶ τὸ σίαλον ἀποπτύει πουλύ τε καὶ λευκὸν, καὶ ἀφρῶδες· ἄλλοτε δὲ ὕφαιμον. [5] καὶ ὀδύνη τὴν κεφαλὴν καὶ τὸν τράχηλον ἴσχει. [6] αὕτη ἡ νοῦσος ἰσχυροτέρη τῆς πρόσθεν. [7] καὶ μέχρι μὲν δέκα ἡμερέων τῶν πρώτων τοιαῦτα πάσχει. [8] ἔπειτα οἱ πολλοὶ τῇ ἑνδεκάτῃ πῦα ἀποπτύουσι παχέα βιαίως. [9] ἡμέρῃ δὲ τεσσαρεσκαιδεκάτῃ καθαρώτερα ἀποπτύει, ἢν φεύξιμος ᾖ, [10] καὶ τῇ ὀδύνῃ ἧσσον πονέει, καὶ ἐν τάχει ὑγιὴς γίνεται. [11] ἢν δὲ μέλλῃ πουλυχρόνιος ἡ νοῦσος ἔσεσθαι, τά τε πῦα πολλῷ πλείονα ἀποπτύει, [12] καὶ ὁ ἄλλος πόνος ἐν τῷ σώματι, πολλῷ ἔτι πλείων. [13] αἱ δὲ θέρμαι βληχρότεραι ἔχουσιν, ἢ τὸ πρίν. [14] τοῦτον, ἢν λάβῃς κατ' ἀρχὰς, ὑποκαθῆραι κάτω, ὀπῷ σκαμμωνίης, ἢν ἀπύρετος ᾖ. [15] μετὰ δὲ τὴν κάθαρσιν προσφερέσθω ταυτὰ, ἃ καὶ πρόσθεν. [16] καὶ τἆλλα τὰ αὐτὰ προσφερέσθω, ἡσυχίην ἔχων ὡς μάλιστα τῷ σώματι, καὶ μαλθακῶς κοιμάσθω. [17] ταῦτα μὲν κατ' ἀρχὰς ποιείτω, μέχρι τῶν δέκα ἡμερέων.

III. Ἢν δὲ ἔμπυος γένηται, τὰ αὐτὰ, ἃ καὶ ὁ πρόσθεν, ποιείτω. [2] ἢν δὲ ὑγιὴς γένηται, τῶνδε χρὴ ἀπέχεσθαι σιτίων καὶ ποτῶν ὀξέων, καὶ δριμέων, καὶ ἁλικῶν, καὶ λιπαρῶν. [3] ταλαιπωρίης δὲ ἀπέχεσθαι, καὶ τῶν αὐτῶν, ὧν καὶ ὁ πρόσθεν. [4] ταῦτα ἢν ποιέῃ, τάχιστα τῆς νούσου ἀπαλλαγήσεται. [5] ἢν δέ τι τουτέων οὐ ποιήσῃ, κινδυνεύσει πάλιν ὑποστροπιάσαι. καὶ ἡ νοῦσος κάκιον ἔχει. [6] καὶ γὰρ οἱ πολλοὶ πλευμορρωγέες ἐόντες διατελέουσιν ἕως ἂν ἀποθάνωσι. [7] τοῦτον ἢν μὴ παραχρῆμα

fuerit, aut aliqua vena ex his quæ ad pulmonem tendunt, hæc patitur. [2] Ab initio quidem morbi, tussis acuta obtinet, [3] & rigor, & febris, [4] & salivam expuit multam, albam, & spumosam, aliquando vero subcruentam: [5] & dolor caput ac collum detinet. [6] Hic morbus fortior est priore: [7] & usque ad decem primos dies talia patitur. [8] Postea plerique undecima die pus crassum violenter expuunt. [9] Decimaquarta vero die puriora expuit, si evasurus est, [10] & dolore minus vexatur, & brevi sanus fit. [11] Si vero morbus diuturnus futurus est, tunc & pus multo amplius expuit, [12] & reliquus dolor multo amplior in corpore inest. [13] Calores autem debiliores habent quam prius. [14] Hunc si à principio acceperis, infra subpurgato scammoniæ succo, si non febricitarit. [15] Post purgationem autem accipiat ea quæ prius, [16] & alia eadem assumat, quieto quam maxime corpore, & molliter cubet: [17] & hæc quidem ab initio faciat usque ad decem dies.

III. Si vero pectore suppuratus fiat, eadem quæ etiam prius faciat. [2] Si vero sanus fiat, ab his cibis ac potibus abstinere oportet, ab acidis, & acribus, & salsis, & pinguibus. [3] A labore item ac iisdem à quibus prior abstineat. [4] Hæc si fecerit, celerrime à morbo liberabitur. [5] Si vero quid horum non fecerit, rursus reverso morbo periclitabitur, & morbus pejor erit. [6] Nam multi rupto pulmone vitam degunt, donec moriantur. [7] Hunc si non statim quis curet, recidivante morbo postea non habue-

προσχέῃ μέν τις ἴηται, ὑποστροπιασούσης τῆς νούσου οὐκ ἂν μετὰ ταῦτα ἔχοις ὠφελῆσαι, ἢν μὴ τάδε ποιήσῃς. 8 γάλακτι βοείῳ παχύνας, καῦσαι τὰ στήθεα καὶ τὸ μετάφρενον. 9 ἢν γὰρ τύχῃς καύσας, ὠφελήσεις. 10 ἡ δὲ νοῦσος ἀπὸ τῶν αὐτέων ἁμαρτάδων γίνεται, ὧν καὶ ἡ πρόσθεν.

IV. Πλευμονὶς δὲ γίνεται ἀπὸ τῶνδε μάλιστα. 2 ὁκόταν ὁ πλεύμων, αἷμα ἑλκύσας ἐφ' ἑωυτὸν, ἢ φλέγμα ἁλμυρὸν, 3 μὴ ἀφῇ πάλιν, ἀλλ' αὐτοῦ ξυστραφῇ καὶ ξυμπαγῇ, 4 ὑπὸ τουτέων φύματα φιλεῖ γίνεσθαι ἐν [τῷ] πλεύμονι καὶ ἐμπυοῦσθαι. 5 οὗτος τάδε πάσχει. κατ' ἀρχὰς καὶ διὰ παντὸς τοῦ νοσήματος βὴξ ὀξεῖη ξηρὴ ἴσχει, 6 καὶ ῥῖγος, καὶ πυρετὸς, 7 καὶ ὀδύνη ἐν τοῖσι στήθεσι καὶ ἐν τῷ μεταφρένῳ ἔγκειται. 8 ἐνίοτε δὲ καὶ ἐν τῷ πλευρῷ. 9 καὶ ὀρθόπνοιη σφοδρὴ ἐμπίπτει. 10 οὗτος μέχρι μὲν τεσσαρεσκαίδεκα ἡμερέων, τοιαῦτα πάσχων, διατελεῖ· πολλάκις δὲ καὶ πλείονας ἢ δεκατέσσαρας ἡμέρας. 11 ἔπειτα ῥήγνυται πύα καὶ ἀποπτύει πολλόν. 12 πολλάκις δὲ ἀποπτύει καὶ οἷον ἀραχνίων χιτῶνας. 13 πολλάκις δὲ καὶ ὕφαιμον. 14 καὶ, ἢν μὲν ἀποκαθαρθῇ καὶ ἀπισχνανθῇ ἐν τάχει ὁ πλεύμων, ἐκφεύγει τὸν ὄλεθρον. 15 ἢν δὲ μὴ, προσίσχει, καὶ ἐνιαυτὸν ἴσχει ἡ νοῦσος, καὶ μεταβάλλει, ἄλλοτε ἀλλοῖα πάσχων. 16 τοῦτον χρὴ κατ' ἀρχὰς μὲν, πρὶν ἢ τὰ πύα ῥαγῆναι, προσφέρειν τάδε. 17 ὁκόταν ἀνῇ ὁ πυρετὸς, λούειν πολλῷ θερμῷ, καὶ ῥοφήμασι πολλοῖσι χρέεσθαι. 18 πτισάνης χυλῷ καθέφθῳ μέλι παραχέας, ὁκόταν ἑφθὸν ᾖ, ῥοφείτω. 19 καὶ οἶνον πινέτω γλυκὺν λευκὸν, ἢ μελίκρητον ἑφθόν. 20 ὁκόταν δὲ ἄρξηται πύα ἀποπτύειν, πινέτω τὰ αὐτὰ, ἃ καὶ ὁ πρόσθεν ἔμπυος. 21 καὶ

habueris quo prodesse possis, nisi hæc feceris. 8 Lacte bubulo crassefactum, in pectore & dorso urito. 9 Si enim ustio successerit, proderis. 10 Morbus autem hic ex iisdem delictis fit, ex quibus etiam prior.

IV. Pneumonia sive pulmonia ab his maxime fit. 2 Quum pulmo sanguinem in seipsum traxerit, aut pituitam salsam, 3 & non rursus dimiserit, sed in ipso coacta & compacta fuerint: 4 ab his tubercula fieri solent in pulmone & suppurari. 5 Hic autem hæc patitur. Ab initio & per totum morbum tussis acuta sicca obtinet. 6 Et rigor, & febris, 7 & dolor in pectoribus & in dorso incumbit: 8 aliquando etiam in latere: 9 & erecta cervice spiratio vehemens incidit. 10 Hic usque ad quatuordecim dies talia patitur: sæpe vero etiam plures. 11 Deinde erumpit pus, & multum expuit. 12 Sæpe vero etiam velut araneorum tunicas expuit: 13 sæpe etiam subcruentum. 14 Et siquidem depurgatus fuerit & brevi gracilis factus pulmo, interitum effugit. 15 Si vero non adhæret, & per annum morbus tenet, & transmutatur, ut alias alia æger patiatur. 16 Huic in principio antequam pus erumpat, hæc adhibere oportet. 17 Quum febris remiserit, multa calida lavetur, & sorbitionibus multis utatur. 18 Ptisanæ succum coctum, melle ad coctum affuso, sorbeat. 19 Et vinum bibat dulce album, aut aquam mulsam coctam. 20 Quum vero pus expuere inceperit, eadem bibat, quæ prior suppuratus: 21 &

[21] καὶ σιτίοισι καὶ ποτοῖσι καὶ ὄψοισι τοῖσιν αὐτοῖσι χρεέσθω, [22] ἀπεχόμενος ὀξέων, καὶ δριμέων, καὶ ἁλυκῶν, καὶ λιπαρῶν, καὶ λαγνείης, καὶ θωρήξιων, ἢν μὴ τῇ νούσῳ πρόσφορον ᾖ. [23] ἐς χρῶμα δὲ ὁρέων μελέτην, ὁκοίων δὴ ἂν δοκέῃ σοι δεῖσθαι. [24] τὰ δ' ἄλλα τὰ αὐτὰ ποιείτω. [25] πινέτω δὲ καὶ γάλα βοὸς καὶ αἰγὸς τὴν ὥρην. [26] πρόσθεν δὲ ὑποκαθηρέσθω γάλακτι ὀνείῳ ἑφθῷ. [27] πινέτω δὲ καὶ τὸ ἵππειον γάλα σεσακκισμένον, ἑκάστης ἡμέρης ἕωθεν τρικότυλον κύλικα. [28] ἢν μὲν οὖν οὕτω μελετώμενος ῥηΐσῃ, ἅλις. [29] καὶ, ἢν μὴ ῥαγῇ τὰ πύα ἐς τὰ στήθεα, αὐτὸς ἑωυτὸν θεραπευέτω, ἡσυχίην ἔχων τῷ σώματι ὡς μάλιστα, καὶ τὰ ξύμφορα προσφέρων ἑωυτῷ. [30] ἢν δὲ ῥαγῇ τὰ πύα ἐς τὰ στήθεα, ὅπῃ ἂν σοι δοκέῃ ἀποσημαίνειν, ἐκεῖσε μάλιστα ταμὼν ἢ καύσας, ἀφιέναι τοῦ πύου ὀλίγον τὸ πρῶτον. [31] τὰ δὲ ἄλλα ποιέειν τὰ αὐτὰ, ἃ καὶ ἐπὶ τοῦ πρόσθεν ἐμπύου γενομένου γεγράφαται.

v. Ἢν ἐν πλεύμονι κιρσὸς ἐγγένηται, [2] βὴξ ξηρὴ ἐπιλαμβάνει, [3] καὶ ῥῖγος καὶ πυρετὸς, κατ' ἀρχὰς μὲν τῆς νούσου πάνυ σφόδρα. [4] ἔχει δὲ καὶ ὀρθοπνοίη. [5] καὶ [ὀδύνη] ἐν τῇ κεφαλῇ ἐνέστηκε, [6] καὶ αἱ ὀφρύες δοκέουσιν ἐπικρέμασθαι. [7] καὶ οἴδημα κατέρχεται ἐς τὸ πρόσωπον, καὶ ἐς τὰ στήθεα, καὶ ἐς τοὺς πόδας. [8] πολλάκις δὲ καὶ ἐς τὴν κεφαλὴν ἐρείδει. [9] καὶ ὑπὸ τῆς ὀδύνης, ὅταν ὁ πόνος ἔχῃ, οὐ δύναται ἀνορῆν. [10] τό, τε σῶμα ὕπωχρος, [11] καὶ αἱ φλέβες δι' αὐτοῦ τείνουσιν ἢ φλογιαὶ ἢ μέλαιναι. [12] τοῦτον, ὁκόταν οὕτως ἔχῃ, καὶ ὁ πόνος μάλιστα πιέζῃ, πρῶτον μὲν αἷμα ἀφαιρέειν· [13] ἔπειτα λούειν πολλῷ καὶ θερμῷ. [14] καὶ, ὁκόταν

[21] & cibis & potibus, & obsoniis iisdem utatur, [22] abstinens ab acidis, & acribus, & salsis, ac pinguibus, & à venere ac ebrietatibus, nisi morbo commodum fuerit. [23] Ex coloris autem inspectione æstimandum est, qualibus opus habere videatur. [24] Reliqua vero eadem faciat. [25] Bibat etiam lac bubulum, ac caprinum pro tempore: [26] prius autem subpurgetur lacte asinino cocto. [27] Bibat etiam equinum lac excolatum quotidie mane, poculi tres heminas continentis mensura, si facere poterit. [28] Siquidem igitur sic curatus melius habebit, satis est: [29] & si non eruperit pus in pectus, ipse seipsum curet, quietem quam maxime corpori exhibens, & quæ commoda sunt sibiipsi exhibens. [30] Si vero erumpat pus in pectus, qua parte tibi significationem de se præbere videbitur, illic maxime sectione aut ustione facta, pus emittito modicum primum. [31] Reliqua vero eadem facito, quæ & in priore suppurato facto descripta sunt.

v. Si in pulmone varix fiat, [2] tussis sicca corripit, [3] & rigor & febris in principio quidem morbi valde vehementer, [4] habet etiam erecta cervice spiratio, [5] & dolor in capite consistit. [6] Et supercilia impendere videntur: [7] & tumor in faciem descendit, & in pectus, & in pedes. [8] Sæpe vero etiam in capite innititur: [9] & præ dolore ubi is vexat, respicere non potest: [10] & corpus subpallidum est, [11] & venæ per ipsum tendunt flammeæ, aut nigræ. [12] Huic quum sic habuerit, & dolor maxime premit, primum sanguis detrahatur. [13] Deinde multa calida lavato. [14] Et ubi sitis habuerit,

ὁκόταν δίψα ἔχῃ, πίνειν διδόναι κυκεῶνα, ἐν οἴνῳ μέλανι αὐστηρῷ ὡς ἡδίστῳ ἴσον ἴσῳ κεράσας. 15 ψυχρὸν δὲ χρὴ μάλιστα πίνειν. 16 ῥοφήμασι χρέεσθω πτισάνης χυλῷ καθέφθῳ, μέλι χρηστὸν παραχέας. 17 ταῦτα χρὴ προσφέρειν ἐν τῇσι πρώτῃσι τῶν ἡμερέων τῇσι τεσσαρεσκαίδεκα. 18 ἢν δὲ ἐπὶ πλεῖον ἡ νοῦσος ἔχῃ, ὅ, τε πόνος πλείων ᾖ ἐν τῷ σώματι, καὶ ἀδυναμίη ἐνῇ· 19 τοῦτον δὴ οὕτως ἔχοντα ταυτὰ προσφέρειν, ἃ καὶ ἐν τῷ πυορροοῦντι τὸν πλεύμονα, ὁκόταν αἱ δεκατέσσαρες ἡμέραι παρέλθωσιν. 20 αὕτη ἡ νοῦσος γίνεται ἀπὸ ταλαιπωρίης καὶ χολῆς μελαίνης.

VI. Ἄλλη νοῦσος. 2 Ὁκόταν τὰ κοῖλα φλέβια, τὰ διέχοντα ἐν τῷ πλεύμονι, πλησθῇ αἵματος ἢ χολῆς μελαίνης, 3 ξυῤῥήξῃ τὰ φλέβια ἐς ἄλληλα, 4 ἅτε ἐν στενοῖσιν ἐόντα 5 καὶ ἐπιλελημμένα, 6 καὶ ἔξοδον οὐκ ἔχοντα, 7 ὀδύνην παρέχει καὶ φῦσαν ἐν τῷ πλεύμονι. 8 αὕτη ἡ νοῦσος χαλεπή, 9 καὶ θεραπείης δέεται πολλῆς. 10 εἰ δὲ μὴ, οὐκ ἐθέλει ἐκλιπεῖν τὸν κάμνοντα, καὶ ὡς τὰ πολλὰ ἐν τοῖσι πολλοῖσι ξυναποθνήσκει.

VII. Ἢν φλεγμονὴ ἐν πλεύμονι γένηται· 2 γίνεται δὲ μάλιστα ἀπὸ οἰνοφλυγίης καὶ γαστριμαργίης ἰχθύων, κεφάλων καὶ ἐγχελύων· 3 ταῦτα γὰρ τὴν πιμελὴν πολεμιωτάτην ἔχει πρὸς τὴν φύσιν τοῦ ἀνθρώπου. 4 ἤδη δὲ τὸ νόσημα ἐγένετο [καὶ] ἀπὸ φλέγματος, ὁκόταν μιγῇ τῷ αἵματι, ἐπιῤῥυῇ ἐπὶ τὸν πλεύμονα. 5 προσπίπτει δὲ καὶ ἐκ κρεωφαγίης, καὶ ἐξ ὕδατος μεταβολῆς. 6 τάδε οὖν πάσχει· βήσσει ἰσχυρῶς, 7 καὶ τὸ σίαλον ἀποπτύει ὑγρόν· 8 πολλάκις δὲ καὶ παχὺ καὶ λευκὸν, οἷον ἀπὸ βράγχου. 9 καὶ ὀδύνη πιέζει ὀξείη ἐς τὰ στήθεα, καὶ

buerit; cyceonem in vino nigro austero quam jucundissimo, æquali mensura aquæ mixtum, bibendum dato. 15 Frigidum autem maxime bibere oportet. 16 Sorbitionibus autem utatur ptisanæ succo cocto, melle bono affuso. 17 Hæc exhibere oportet in primis quatuordecim diebus. 18 Si vero diutius morbus teneat, & dolor amplior fuerit in corpore; & impotentia aderit. 19 Huic sic habenti eadem exhibeto, quæ ei qui pulmonem suppuratum habet, ubi quatuordecim dies præterierint. 20 Hic morbus fit à labore, & atra bile.

VI. [Alius morbus.] 2 Quum venæ cavæ per pulmonem tendentes, sanguine aut atra bile impletæ fuerint, 3 venulæ aliæ in alias rumpuntur, 4 ut quæ in angustiis sunt 5 conclusæ, 6 & exitum non habeant: 7 & dolorem exhibent ac flatum in pulmone. 8 Hic morbus difficilis est, 9 & multa curatione opus habet. 10 Alioqui ægrum non relinquit, & plerunque in multis simul commoritur.

VII. Si inflammatio in pulmone fiat, (2 fit autem maxime à vinolentia, & gulositate piscium capitonum, & anguillarum. 3 Hi enim pinguedinem habent naturæ hominis infestissimam. 4 Jam vero etiam factus est morbus à pituita, ubi sanguini mixta in pulmonem influxerit. 5 Accidit etiam ex carnis esu, & ex aquæ mutatione.) 6 Hæc igitur æger patitur. Tussit fortiter, 7 & salivam expuit liquidam ac multam. 8 Sæpe etiam crassam & albam, velut à raucedine. 9 Et dolor premit acutus in pectora, & dorsum, & laterum

καὶ τὸ μετάφρενον, καὶ τοὺς κενεῶνας, καὶ τὰ πλευρά. 10 καὶ ἐρεύγεται ὀξύ. 11 καὶ ἐκ τῶν στηθέων καὶ πλευμόνων οἷον γαστὴρ τρυλλίζει. 12 καὶ ἐμέει λάπην ὀξείην. 13 καὶ τὸ ἔμεσμα, ἢν ἐκχέῃς χαμαὶ, ξύει τὴν γῆν ὥσπερ ὄξος ἐπιχέῃς. 14 καὶ τοὺς ὀδόντας αἱμωδιᾷ. 15 καὶ ῥῖγος καὶ πυρετὸς καὶ δίψα ἔχει ἰσχυρή. 16 καὶ, ἢν ἐθέλῃ λιπαρὸν φαγέειν, μύζει πρὸς τὰ σπλάγχνα, καὶ ἔμετον ἄγει, 17 καὶ τὸ σῶμα ἅπαν νάρκη ἔχει. 18 ὁκόταν δὲ ἀπεμέσῃ, ἐπ' ὀλίγον δοκέει ῥάων εἶναι. 19 ἔπειτα, ἐπειδὰν τῆς ἡμέρης ὀψαίτερον γένηται, βρέμει ἡ κοιλίη, καὶ στρέφει καὶ βορβορύζει. 20 τοῦτον, ὁκόταν οὕτως ἔχῃ, καὶ δοκέῃ καιρὸς εἶναι, προσφέρειν ὧδε μελετᾶν. 21 μίξας μέλι, καὶ γάλα, καὶ ὄξος, καὶ ὕδωρ, ταῦτα ἐγχέας ἐς χυτρίδα χλιαίνειν, 22 καὶ ὀριγάνου κλωνίοισι τοῦ κεφαλωτοῦ ταράσσειν. 23 ἐπειδὰν δὲ χλιαρὸν ᾖ, δοῦναι πιεῖν, ἢ λαβόμενος τῆς γλώττης, ἐγχέειν ἡσυχῇ διὰ σύριγγος. 24 εἶτα κελεύειν συνειλιχθέντα ἡσυχίην ἔχειν. 25 ἔπειτα, ἢν ἔμετος ἐπέλθῃ αὐτῷ, ἐμέειν προθύμως. 26 ἢν δὲ μὴ ἐπέλθῃ, καταματιζόμενος πτερῷ, ἐμεέτω. 27 καὶ, ἢν τι φλέγματος ἐμέσῃ, ἐπὶ πέντε ἡμέρας τὸ αὐτὸ ποιεέτω· ῥάων γὰρ ἔσται οὕτω ποιῶν. 28 πινέτω δὲ τοῦτο γυμνασάμενος, ἢν οἷός τε ᾖ, καὶ λουσάμενος πολλῷ θερμῷ· 29 ἢν δὲ μὴ, ἀλλὰ λουσάμενος. 30 ὁκόταν δὲ αἱ πέντε ἡμέραι παρέλθωσιν, πρωῒ νῆστις πινέτω ἐν μελικρήτῳ ἢ οἰνομέλιτι ὀπὸν σιλφίου ὁκόσον ὄροβον. 31 καὶ σκόροδον τρωγέτω, καὶ ῥαφανῖδας νῆστις, καὶ ἄκρητον οἶνον ἐπιρροφανέτω μέλανα, ἢ λευκὸν αὐστηρόν. 32 πινέτω δὲ καὶ ἐπὶ σίτῳ, καὶ μετὰ

τὸ

rum in mollitudinem ac latera. 10 Et acidum eructat. 11 Et ex pectoribus & pulmonibus, velut venter murmurat. 12 Et vomit pituitam acidam: 13 & si id quod vomuit in terram effundas, radit terram velut aceto infuso: 14 & dentes stupescunt: 15 & rigor ac febris, & sitis fortis detinet: 16 & si quid pingue voluerit edere, exugitur ad viscera, & vomitum inducit. 17 Et totum corpus torpor occupat. 18 Quum vero revomuerit, paulo levior sibi esse videtur: 19 postea ubi vespera diei accessit, venter sonitum edit, & tormine versatur, ac murmurat. 20 Huic quum sic habuerit, & tempestivum esse visum fuerit, curationem sic adhibeto. 21 Mel & lac, & acetum, & aquam, mixta in ollam infusa tepefacito, 22 & origani capitati ramulis agitato: 23 ubi vero tepida facta fuerint, bibenda dato, aut apprehensa lingua, sensim per fistulam infundito. 24 Deinde convolutum quietem habere jubeto. 25 Postea si vomitus succedat, prompte vomat. 26 Sin vero non succedat, irritatione per pennam facta vomat: 27 & si quid pituitæ vomuerit, per dies quinque idem faciat: hinc enim levior evadet. 28 Bibat autem hæc exercitatus, si fieri poterit, & multa calida lotus: 29 Sin minus, saltem lotus. 30 Postquam vero quinque dies præterierint, mane jejunus bibat in aqua mulsa, aut vino mulso silphii succum, ervi magnitudine: 31 & allium comedat ac raphanidas jejunus, & meracum vinum insuper absorbeat nigrum, aut album austerum. 32 Bibat etiam inter cibum, & post cibum.

τὸ σῖτον. 33 σιτίοισι δὲ ξηροῖσι καὶ κρέασι κυνέοισι χρεέσθω ἑφθοῖσιν, ἢν τὸ ῥῖγος καὶ ὁ πυρετὸς μὴ ἐπιλαμβάνῃ. 34 οὗτος, ἢν ἀπὸ τοῦ τοιοῦδε ἐγχύματος καθαίρηται, ἱκανῶς. 35 ἢν δὲ μή, ἄνω αὐτὸν καθῆραι ἐλλεβόρῳ. 36 μετὰ δὲ τὴν κάθαρσιν, ἀλεύρου ἑφθοῦ διδόναι δύο τρυβλία ἐκροφέειν, μέλι παραχέας. 37 οἶνον δὲ τὸν αὐτὸν πινέτω ὑδαρέα. 38 ἢν δὲ μὴ 40 κατ᾽ ἀρχὰς παραγένηται τῇ νούσῳ, παχύνας αὐτὸν γάλακτι, καῦσαι τὰ στήθεα καὶ τὸ μετάφρενον. 39 οὕτω γὰρ ἂν μάλιστα τῆς νούσου ἀπαλλαγείη. 40 ἢν δὲ μὴ καυθῇ, ξυμπαραμένει καὶ οὐ μάλα ἐκλείπει, ἀλλ᾽ ἕως γήρως παρέχει. 41 πολλάκις δὲ καὶ ξυναποθνήσκει, ἢν μὴ ἐν τῇσι τεσσαράκοντα ἡμέρῃσι προαποθάνῃ. 42 ἀλλὰ χρεία πολλῆς ὅτι μάλιστα μελεδώνης. 43 καὶ ὀῤῥὸν καὶ γάλα τὴν ὥρην πινέτω βοὸς καὶ αἰγὸς, καὶ ὄνου, καὶ ἵππου. 44 οὕτω γὰρ ἂν ῥήιστα διάγοι. 45 ἡ δὲ νοῦσος χαλεπή.

bum. 33 Cibis vero siccis, & carnibus caninis utatur coctis, si rigor & febris non apprehenderit. 34 Hic si à tali infusione per fistulam in os, purgetur, satis est. 35 Sin minus, sursum per veratrum ipsum purgato. 36 Post purgationem vero farinæ coctæ duas heminas absorbendas dato, melle affuso. 37 Vinum vero 155 idem bibat aquosum. 38 At si 18 non in principio affueris morbo, lacte ipsum crassefactum in pectore ac dorso urito: 39 ita enim maxime à morbo liberari poterit. 40 Si vero non fuerit ustus, permanet, & non valde deficit, sed ad senectam usque adhæret. 41 Sæpe etiam commoritur, si non in primis quadraginta diebus mortuus fuerit. 42 Quare multa quam maxime opus est cura. 43 Et serum ac lac pro 160 tempore bibat, bubulum & caprinum, & asininum ac equinum. 44 Sic enim facilime deget. 45 Est autem morbus difficilis.

45 IIX. Ἢν ὁ πλεύμων ἐξ ἐρυσιπέλατος οἰδήσῃ. 2 τὸ [μὲν] οἴδημα μάλιστα ἀπὸ αἵματος γίνεται, ὅταν ἐς ἑωυτὸν ὁ πλεύμων ἑλκύσῃ αἷμα καὶ ἔχῃ ἀναλαβών. 3 τὸ δὲ νόσημα θέρεος ἐν ὥρῃ μάλιστα γίνεται. 4 πάσχει δὲ τάδε ὑπ᾽ αὐτοῦ. 5 βὴξ ἐμπίπτει ξηρή, 6 καὶ ῥῖγος, καὶ πυρετός, 7 καὶ ὀρθόπνοια, 8 καὶ ὁ πόνος ἰσχυρὸς ἐν τοῖσι στήθεσι. 9 καὶ τὰς ῥῖνας ἀνοίγει, 19 ὡς ἵππος δραμών. 10 καὶ τὴν γλῶτταν ἐξέχει, ὡς κύων θέρεος ὑπὸ τοῦ πνεύματος τοῦ ἐν τῷ καύματι 193 καιόμενος. 11 καὶ οἴδημα κατέχει τὰ στήθεα, 12 καὶ φθέγγεται βραχέως, 13 καὶ ἐρύθημα ἐν τῇ ὄψει. 14 καὶ κνησμὸν φέρει ἐν τῷ σώματι 15 καὶ ὑπὸ τοῦ πόνου κατακέεσθαι οὐ δύναται, ἀλλ᾽ αὐτὸς

IIX. Si pulmo ab erysipelate intumuerit. 2 Hic autem tumor maxime à sanguine fit, quum pulmo in seipsum sanguinem attraxerit, & susceptum tenuerit. 3 Morbus autem hic æstatis tempore maxime fit. 4 Hæc igitur ab ipso æger patitur. 5 Tussis incidit sicca, 6 & rigor, & fe- 165 bris, 7 & erecta cervice spiratio, 8 dolor fortis in pectoribus: 9 & nares aperit, velut equus à cursu. 10 Et linguam exerit, velut canis æstate ab ardoris flatu ustus. 11 Et tumor detinet pectora, 12 & parum loquitur, 13 & robur est in facie, 14 & pruritum fert in corpore, 15 & præ dolore decumbere non potest, sed ipse seipsum anxius

τοὺς ἑωυτὸν ῥιπτεῖ ἀλύων. 16 οὗτος ἐν ἑπτὰ ἡμέρησι θνήσκει μάλιστα. ἢν δὲ ταύτας ἐκφύγῃ, οὐ μάλα θνήσκει. 17 τοῦτον κατ᾽ ἀρχὰς, ὁκόταν ὧδε ἔχῃ, ἰῆσθαι. 18 ἐν τούτοισι [δὲ] ψύχειν μὲν τὸ σῶμα, ἐν ὕδατι ψυχρῷ βάπτων σεῦτλα καὶ τῷ σώματι ἐπιτιθεὶς, μάλιστα πρὸς πόνον νέον, 19 ἢ ῥάκια βάπτων ἐν ψυχρῷ ὕδατι καὶ ἐκθλίβων προστιθέναι. 20 κἢν μὲν οὕτω ῥηΐσῃ, ἢν δὲ μὴ, κεραμικῇ γῇ ψυχρῇ καταπλάσσειν. 21 καὶ ἐν τῇ αἰθρίῃ κοιμάσθω. 22 οὕτω γὰρ ἂν μελεδώμενος πολλάκις ἂν ἐκφύγῃ τὰς ἑπτὰ ἡμέρας. 23 ὁκόταν δὲ αἱ ἑπτὰ ἡμέραι παρέλθωσι, καὶ ἡ ὀδύνη προσέχῃ, χρίειν ἐλαίῳ τὸ πονέον μέρος ἔσω. 24 καὶ χλιάσματα μάλιστα προστιθεῖ τὰ αὐτὰ, ἃ καὶ τῇ πλευρίτιδι. 25 καὶ πίσαι αὐτὸν ἐς ὑποκάθαρσιν τοῦ πεπλίου, καὶ τῆς μηκωνίδος, καὶ τοῦ κόκκου τοῦ κνιδίου. 26 καὶ μετὰ τὴν κάθαρσιν φακῆς τρυβλίον δοῦναι ῥοφῆσαι. 27 πινέτω δὲ ὕδωρ. 28 τῇ δὲ ὑστεραίῃ λοῦσαι αὐτὸν πολλῷ καὶ θερμῷ, πλὴν τῆς κεφαλῆς. 29 ἔπειτα πίσαι ὀρίγανον ἐν μελικρήτῳ ἀποβρέξας. 30 ποτοῖσι δὲ ὡς θερμοτάτοισι χρήσθω. 31 σιτία δὲ προσφερέσθω ταῦτα, ἃ καὶ ὁ ὑπὸ τῆς πλευρίτιδος ἁλωκὼς, ἢν μὴ πυρετὸς προσέχῃ. 32 αὕτη ἡ νοῦσος χαλεπὴ, καὶ παῦροι ἐκφυγγάνουσιν.

IX. Ἢν τὸ στῆθος καὶ τὸ μετάφρενον ἀναῤῥαγῇ. 2 ἀναῤῥήγνυται δὲ μάλιστα ὑπὸ ταλαιπωρίης, καὶ τάδε πάσχει. 3 βὴξ ἴσχει ὀξέη. 4 καὶ τὸ σίαλον ἐνίοτε ἀποπτύει ὕφαιμον. 5 καὶ ῥῖγος καὶ πυρετὸς ἐπιλαμβάνει τὰ πολλά. 6 καὶ ἐν τῷ στήθει καὶ ἐν τῷ μεταφρένῳ ὀδύνη ὀξέη ἔνεστι. 7 καὶ ἐν τῇ πλευρῇ δοκέει οἷον λίθος ἐγκέεσθαι. 8 καὶ κεντέεται ὑπὸ τῆς ὀδύνης διαμπερέως

xius jactat. 16 Hic in septem diebus moritur. 17 Veruntamen in principio quum sic habuerit, per hæc curetur. 18 Corpus quidem perfrigeretur, betis in aqua frigida tinctis, ac corpori impositis, in recenti maxime dolore. 19 Aut lintea frigida aqua tincta ac expressa apponito. 20 Et siquidem sic melius habuerit, satis est: sin minus, terram figularem frigidam pro cataplasmate imponito, 21 & sub dio decumbat. 22 Sic enim tractatus sæpe septem dies effugerit. 23 Quum autem septem dies præterierint, & dolor adhæserit, dolentem partem intus, cum oleo illinito, 24 & tepefactoria eadem quæ in pleuritide adhibeto: 25 & potionem ad subpurgationem ipsi dato, ex peplio, & meconide, sive peplo, & grano cnidio. 26 Et post purgationem, lenticulæ heminam absorbendam dato. 27 Bibat autem aquam. 28 Postera die multa calida aqua ipsum lavato, capite excepto. 29 Postea origanum in aqua mulsa macerato, & bibendam dato. 30 Potibusque quam calidissimis utatur. 31 Cibos autem accipiat eosdem quos & qui à pleuritide correptus est, si non febris adhæserit. 32 Hic morbus gravis est, & pauci effugiunt.

IX. Si pectus & dorsum dirupta fuerint (2 dirumpuntur autem maxime à labore) æger hæc patitur. 3 Tussis obtinet acuta, 4 & salivam expuit aliquando subcruentam, 5 & rigor & febris plerunque corripit: 6 & in pectore, & in dorso, dolor inest acutus. 7 & in latere velut lapis incumbere videtur, 8 & à dolore perpetuo pungi, velut si quis acu

ὀξέως, ὡς εἰ βελόνη τις κεντέοι. 9 τοῦτον, ὁκόταν ὧδε ἔχῃ, παραχρῆμα γάλακτι πιπίσας, 10 καῦσαι τὰ στήθεα καὶ τὸ μετάφρενον· 11 καὶ οὕτως τάχιστα ὑγιὴς ἔσται. 12 τὸ δὲ λοιπὸν, ἡσυχάζων τῷ σώματι μάλιστα διαιτάσθω. 13 ἢν γάρ τι πονήσῃ, ἢ ἐπὶ ἅμαξαν ἀναβὰς, ἢ ἐφ' ἵππον, ἢ τοῖσιν ὤμοισιν ἐν ἄχθει ταλαιπωρήσῃ, κίνδυνος πάλιν ὑποστροπιάσαι ἡ νοῦσος· 14 καὶ ἢν γένηται, κίνδυνος διαφθαρῆναι. 15 τὸ γὰρ νόσημα ὑποστραφὲν μᾶλλον πιέζει, ἢ κατ' ἀρχάς. 16 ἢν δὲ μὴ καυθῇ, τοῖσιν αὐτοῖσιν αὐτὸν ἰῆσθαι, οἷόν περ καὶ τὸν ἔμπυον, ῥοφήμασι καὶ ποτοῖσι καὶ σιτίοισι. 17 τὸ δὲ ξύμπαν ἡσυχίην ἔχοντα διαιτᾶσθαι τοῖσιν ἐπιτηδείοισιν. 18 ἢν γὰρ οὕτω μελετηθῇ, τάχιστα ὑγιὴς ἔσται. 19 ἡ δὲ νοῦσος χαλεπή.

X. Ἢν ἐν τῷ πλευρῷ φῦμα φύηται, τάδε πάσχει. 2 ῥῖγος ἴσχει καὶ πυρετὸς, 3 καὶ βὴξ ξηρὴ πολλὰς ἡμέρας, 4 καὶ ἀλγέει τὸ πλευρόν. 5 καὶ ἐς τὸν τιτθὸν, καὶ ἐς τὴν κληῗδα, καὶ ἐς τὰς ὠμοπλάτας ὀδύνη ἴσχει ἀΐσσουσα. 6 οὗτος, ὅταν οὕτως ἔχῃ, ἐν μὲν τῇσι πρώτῃσιν ἡμέρῃσι δέκα ῥοφήμασι χρήσθω· 7 πτισάνης χυλῷ καθέφθῳ μέλι παραχέων, ὁκόταν ἑφθὸν τὸ ῥόφημα ᾖ. 8 οἴνῳ δὲ χρήσθω λευκῷ, γλυκεῖ, ἢ αὐστηρῷ, ἢ ὑδαρεῖ. 9 καὶ ῥοφανέοντα πλεονάκις τοῦ οἴνου, ἐκπτύειν κελεύειν. 10 καὶ τοῦ ὕπνου κωλύειν, ἐς τ' ἂν αἱ ἕνδεκα ἡμέραι παρέλθωσιν. 11 μετὰ δὲ ταύτας τὰς ἡμέρας σιτίοισιν ὀλίγοισιν ὡς μάλιστα χρήσθω, κρέασι σκυλακείοισιν, ἢ ἀλεκτρυονείοισι θερμοῖσι. 12 ἐκ διαζωμεύσασθαι δὲ χρὴ καλῶς, καὶ τὸν ζωμὸν ῥοφανέτω. 13 καὶ τοῖσι ῥοφήμασι πρόσθεν χρήσθω τοῦ σιτίου. 14 καὶ μὴ διψήτω, ἕως ἂν ἔμπυον

acu stimulet. 9 Huic quum sic habuerit, statim lacte in potu dato, 10 pectus & dorsum inurito. 11 Et sic celerrime sanus erit. 12 De cætero vero quietam maxime corpori vitam degat. 13 Si quid enim laborarit, & aut currum, aut equum ascenderit, aut humeros oneri subdiderit, periclitabitur ne rursus morbus recidivam faciat. 14 Et si hoc contingat, periculum est ut corrumpatur. 15 Morbus enim reversus magis premit quam ab initio. 16 Si vero non fuerit ustus, iisdem ipsum curato quibus & suppuratum, sorbitionibus, & potibus, & cibis. 17 In summa vero, quietem agat, & commodis cibis alatur: 18 Si enim sic tractatus fuerit, celerrime sanus erit. 19 Morbus autem gravis est.

X. Si in latere tuberculum nascatur, & suppuratus fiat, hæc patitur. 2 Rigor tenet & febris, 3 & tussis sicca, per multos dies. 4 Et dolet latus: 5 & ad mammam, & ad claviculam, & ad scapulas, dolor impetum facit. 6 Hic quum sic habuerit, in primis decem diebus sorbitionibus utatur, 7 ptisanæ succo cocto, melle affuso, quum sorbitio cocta fuerit. 8 Vino autem utatur albo, dulci, aut austero, & aquoso. 9 Et ut vinum sæpe sorbeat, ac expuat jubeto. 10 Et a somno impedito, donec undecim dies præterierint. 11 Post hos dies cibis paucissimis utatur, carnibus catulinis aut galli calidis. 12 Oportet autem ipsas probe cum jusculo præparare, & jusculum absorbeat. 13 Et sorbitionibus prius quam cibo utatur: 14 & ne sitiat, donec latus suppuratum

ἔμπυον γένηται τὸ πλευρόν. [15] ἐκπυΐσκεται δὲ μάλιστα ἐν τεσσαράκοντα ἡμέρῃσιν, ἢ ὀλίγῳ πρόσθεν. [16] τοῦτο δὲ γνώσῃ, ὁκόταν ἔμπυον γένηται τὸ πλευρόν. [17] τὸ πῦον γὰρ οὐκ ἀποπτύεται, οὐδ' ἀπεμέεται. [18] τοῦτον, ὁκόταν οὕτως ἔχῃ, ὅκου ἂν ἀποσημαίνῃ τὸ οἴδημα, τάμνειν ἢ καίειν. [19] ἔπειτα ἀφιέναι τὸ πῦον κατ' ὀλίγον, [20] καὶ ἐπὴν ἀπαρύσῃς, μοτὸν καθιέναι ὠμολίνου, [21] καὶ αὖθις τῇ ὑστεραίῃ ἐξελὼν, ἀπαρύσαι κατ' ὀλίγον τοῦ πύου, ἔπειτα μοτῶσαι. [22] καὶ αὖθις τῇ τρίτῃ καὶ τῇσιν ἄλλῃσιν ἡμέρῃσι, δὶς τῆς ἡμέρης, ἀπαρύειν, ἕως ἂν ξηρανθῇ. [23] διδόναι δὲ καὶ σιτία καὶ ὄψα, ὁκόταν προσίηται. [24] καὶ πινέτω ὀλίγον, μὴ πολλὸν, ἤν τε οἶνον, ἤν τε ὕδωρ. [25] τρωγέτω δὲ καὶ τῆς ὀριγάνου τῆς ἁπαλῆς ὡς πλεῖστον ἐς μέλι ἀποβάπτων. [26] ἢν δὲ μὴ ἁπαλὴν ἔχῃ, ἀλλ' αὔην, λεπτὴν ποιήσας, ἔς τε τὸ μέλι μίξας, λείχειν διδόναι ὡς πλείστην, καὶ τοῖσι λουτροῖσι λούειν. [27] μὴ δὲ ῥιγούτω, καὶ μαλθακῶς κοιμάσθω. [28] οὕτω ταύτην τὴν νοῦσον θεραπεύων, τάχιστα ἂν ὑγιέα ποιήσαις. [29] ὁκόταν δὲ ὑγιὴς γένηται, φυλασσέσθω τὸ ψῦχος, τὸ θάλπος, τὸν ἥλιον. [30] καὶ τοῖσι περιπάτοισιν ὀλίγοισι χρήσθω μετὰ τὸν σῖτον, ὅκως ἂν μὴ κόπος λάβῃ τὸ σῶμα. [31] ταῦτα ἢν ποιέῃ, ὑγιὴς ἔσται. [32] τούτων τῶν νούσων ἃς ἂν καύσῃς, ἐπὶ τὰ καύματα πράσα τρίψας πολλὰ καταπλάσσειν, εὐθὺς μετὰ τὴν καῦσιν, καὶ καταλιμπάνειν μίαν ἡμέρην.

XI. Τρεῖς δὲ εἰσὶ φθίσιες. [2] [ἡ] πρώτη μὲν γίνεται ἀπὸ φλέγματος. [3] ἐπὴν [γὰρ] ἡ κεφαλὴ φλέγματος πληρωθεῖσα νοσήσῃ, καὶ θέρμη ἐγγένηται, [4] συσσήπεται τὸ φλέγμα ἐν τῇ κεφαλῇ, ἅτε οὐ δυνάμενον κινέεσθαι.

ὥστε

puratum fiat. [15] Suppuratur autem maxime in quadraginta diebus, aut paulo prius. [16] Hoc autem cognosces, ubi suppuratum fiat latus. [17] Pus enim non expuit, neque revomit. [18] Hunc quum sic habuerit, ubicunque tumor significationem de se præbuerit, secato aut urito. [19] Et postea pus paulatim emittito. [20] Et postquam exhauseris, linamentum crudi lini immittito: [21] & hoc postridie rursus exempto, paulatim pus exhaurito. Deinde rursus linamentum indito: [22] & rursus tertia die, & aliis deinceps, bis per diem exhaurito, donec resiccatum fuerit. [23] Dato autem & cibos & obsonia, si admiserit. [24] Et bibat modicum non multum, sive vinum, sive aquam. [25] Edat etiam origanum tenellam plurimam melle tinctam. [26] Si vero tenellam non habeat, siccam tritam & melli ammixtam plurimam exhibeto. [27] Et neque frigeat, & balneis lavet, & molliter cubet. [28] Et sic hunc morbum curans, celerrimum sanum feceris. [29] Quum autem sanus evaserit, vitet frigus, calorem, solem. [30] Et deambulationibus modicis utatur post cibum, ut ne lassitudo corpus corripiat. [31] Hæc faciens sanus erit. [32] Ex his morbis quoscunque usseris, statim post ustionem, porrum multum tritum super usturas imponito, & per diem unam sinito.

XI. Tres sunt tabis species. [2] Prima quidem fit à pituita. [3] Quum enim caput pituita impletum ægrotarit, & calor accesserit, [4] pituita in capite computrescit, ut quæ & moveri non po-

194 ὥστε ὑποχωρῆσαι. 5 ἔπειτα, ὁκόταν παχυνθῇ καὶ συσσαπῇ καὶ ὑπερπλησθῇ τὰ φλέβια, ῥεῦμα ἐπὶ τὸν πλεύμονα ἐγγίνεται. 6 καὶ ὁ πλεύμων, ὁκόταν δέξηται, νοσεῖ παραχρῆμα, ἅτε δακνόμενος ὑπὸ τοῦ φλέγματος, ἁλμυροῦ ἐόντος καὶ σαπροῦ. 7 ταῦτα μὲν πάσχει. 8 πυρετὸς ἄρχεται βληχρὸς ἐπιλαμβάνειν, καὶ ῥῖγος, 9 καὶ πονεῖ τὰ στήθεα, καὶ τὸ μετάφρενον. 10 ἐνίοτε δὲ βὴξ πιέζει ὀξέη. 11 καὶ ἀποπτύει 5 σίαλον πουλὺ καὶ ὑγρὸν καὶ ἁλμυρόν. 12 ταῦτα μὲν κατ' ἀρχὰς τῆς νούσου πάσχει. 13 προϊούσης δὲ, τὸ σῶμα 26 λεπτύνεται, πλὴν τῶν σκελέων. ταῦτα δὲ οἰδεῖ. 14 καὶ οἱ πόδες καὶ οἱ ὄνυχες ἕλκονται. 15 ἐκ δὲ τῶν ὤμων λεπτὸς καὶ ἀσθενής. 16 ὁ φάρυγξ ὡς χνόου 27 πίμπλαται, 17 καὶ συρίζει ὡς διὰ καλάμου, 18 καὶ διψῇ ἰσχυρῶς διὰ παντὸς τοῦ νοσήματος. 19 καὶ ἀκρασίη πολλὴ τὸ σῶμα ἔχει. 20 οὗτος, ὁκόταν οὕτως ἔχῃ, ἐνιαυτῷ φθειρόμενος φαύλως θνήσκει. 21 μελετᾷν δὲ χρὴ 10 ὡς μάλιστα καὶ ἀνακομίζειν. 22 πρῶτον μὲν πῖσαι ἐλλέβορον. 23 κάτω δὲ ὑποκαθῆραι ἐπιθύμῳ, ἢ πεπλίῳ, ἢ κόκκῳ τῷ κνιδίῳ, ἢ τῇ τιθυμαλλίδι. 24 ταῦτα χρὴ τετράκις τοῦ ἐνιαυτοῦ δοῦναι, ἄνω δὶς, κάτω δίς. 25 διδόναι δὲ καὶ ὄνειον γάλα ἑφθὸν ἐς ὑποκάθαρσιν, ἢ βόειον, ἢ αἴγειον. 26 πιέτω δὲ καὶ ὠμὸν τὸ βόειον γάλα, τρίτον μέρος μελικρήτου ξυμμίσγων, πέντε καὶ τεσσαράκοντα ἡμέρας ξυμπαραμισγων καὶ τὸ ὀρίγανον. 27 τὴν δὲ κεφαλὴν αὐτοῦ πρόσθεν 15 καθαίρειν, πρὸς τὰς ῥῖνας προστιθεὶς φάρμακον. 28 σιτία δὲ καὶ ὄψα διδόναι μήτε λιπαρὰ, μήτε κνισώδεα, μήτε λίην δριμέα. 29 πιεζεύμενος δὲ τὸ νόσημα,

potest ut decedat. 5 Postea quum crassefactæ fuerint & putrefa- 220 ctæ ac superexpletæ venulæ, fluxio in pulmonem fit. 6 Et pulmo ubi susceperit, statim ægrotat, ut qui à pituita mordetur, quæ salsa est ac putrida. 7 Hæc igitur æger patitur. 8 Febris debilis invadere incipit, & rigor, 9 & dolet pectora ac dorsum. 10 Aliquando etiam tussis premit acuta, 11 & expuit salivam, multam & liquidam ac salsam. 12 Et hæc quidem in principio morbi patitur. 13 In progressu vero corpus attenuatur, cruri- 225 bus exceptis: hæc enim intumescunt, 14 & pedes & ungues contrahuntur: 15 ex humeris autem tenuis & debilis est, 16 & fauces velut lanugine implentur, 17 & velut per arundinem sibilat: 18 & fortiter sitit per totum morbum: 19 & multa impotentia corpus habet. 20 Hic quum sic habuerit, in anno corruptus male perit. 21 Verum studium quam maxime adhibere oportet, ac reficere. 22 Et primum quidem veratrum biben- 230 dum dare, 23 infra autem subpurgare epithymo, aut peplio, aut grano cnidio, aut tithymalide. 24 Hæc quater in anno dare oportet, sursum bis, deorsum bis. 25 Dandum est & lac asininum coctum ad subpurgationem, aut bubulum, aut caprinum. 26 Bibat etiam crudum lac bubulum, tertia aquæ mulsæ parte ammixta, per quinque & quadraginta dies, ammixto etiam origano. 27 Caput autem ipsius prius purgetur, pharmaco ad- 235 nares apposito. 28 Cibaria autem & obsonia dentur, neque pinguia, neque nidorosa, neque valde acria. 29 Hæc autem mor-

ταῦτα ποιέειν χρή. [30] καὶ περιπάτοισι χρέεσθαι πρὸς τὰ σιτία, τεκμαιρόμενος μὴ ῥιγῶν. [31] τοῦ δὲ χειμῶνος παρὰ πυρὶ τὴν οἴκησιν ποιέεσθαι. [32] οἶνον δὲ πινέτω αὐστηρὸν, μέλανα, ὡς παλαιότατον καὶ ἥδιστον, ὀλίγον δέ. [33] κἢν δοκέῃ σοι πρὸ τοῦ φαρμάκου πυριῆσαι, καὶ οὕτω δοῦναι τὸ φάρμακον. [34] ἢν δὲ μὴ βούλῃ δοῦναι, πυριήσας, ἔμετον ἐκ τῶν σιτίων ἀναγκάσαι ποιήσασθαι, ὡς πρόσθεν γέγραπται. [35] τούτῳ ἢν ξυμφέρωσι, περιπάτοισι χρήσθω. [36] ἢν δὲ μὴ ξυμφέρωσιν, ἡσυχίην χρὴ ἔχειν ὡς μάλιστα τὸ σῶμα. [37] οὗτος οὕτω μελετώμενος ῥήϊστα ἂν διάγοι ἐν τῷ νοσήματι. [38] ἡ δὲ νοῦσος θανασίμη, καὶ παῦροι ταύτην διαφυγγάνουσι.

XII. Φθίσις δευτέρη. [2] Γίνεται δὲ ἀπὸ ταλαιπωρίης. [3] ταυτὰ δὲ πάσχει ὡς ἐπὶ τὸ πλεῖστον, ἃ καὶ ὁ πρόσθεν. [4] ἡ δὲ νοῦσος διαπαύει αὕτη μᾶλλον τῆς προτέρης. [5] καὶ τοῦ θέρεος ἀνίησι. [6] τὸ δὲ σίαλον ἀποπτύει παχύτερον μὲν τοῦ πρόσθεν. [7] καὶ βὴξ πιέζει μάλιστα τοὺς γεραιούς. [8] καὶ ὁ πόνος ἰσχυρότερος ἐν τοῖσι στήθεσι, καὶ δοκέει οἷόνπερ λίθος ἐν αὐτοῖσιν ἐγκέεσθαι. [9] πονέει δὲ καὶ τὸ μετάφρενον. [10] καὶ ἡ χροιὴ δίυγρος αὐτέῳ ἐστί. [11] καὶ ἢν τι πονήσῃ, φῦσα καὶ ἄσθμα ἴσχει. [12] οὗτος ἐκ ταύτης τῆς νούσου ἐν τρισὶν ἔτεσι μάλιστα θνήσκει. [13] μελετᾷν δὲ χρὴ τοῖσιν αὐτοῖσιν, οἷσι καὶ τὸν πρόσθεν. [14] αὕτη ἡ νοῦσος προσίσχει τοῖσι πολλοῖσι μέχρι τριῶν ἐτέων. [15] ἀλλ' ἀποθνήσκουσιν. [16] ἡ γὰρ νοῦσος χαλεπή.

XIII. Φθίσις τρίτη. [2] Ὑπὸ ταύτης τάδε πάσχει. [3] ὁ μυελὸς αὐτέῳ ὁ νωτιαῖος αἵματός τε [καὶ χολῆς] μεστὸς γίνεται. [4] φθίνει δὲ ὁμοίως καὶ ἀπὸ τῶν κοίλων φλεβῶν. [5] αὗται δὲ φλέγματος ὑδρω-

bum observando facere oportet, [30] & deambulationibus ad cibos uti, observando ne frigeat. [31] Hyeme vero juxta ignem habitationem faciat. [32] Vinum autem bibat austerum, nigrum, quam vetustissimum ac jucundissimum, verum modicum. [33] Et si tibi visum fuerit, ante pharmacum fomentum adhibeto, & sic pharmacum dato. [34] Si vero dare nolueris, facto fomento, vomitum ex cibis facere cogito, velut prius scriptum est. [35] Huic si commodæ fuerint, deambulationibus utatur. [36] Si vero non conducant, corpore quam maxime quiescat. [37] Hic hoc modo tractatus, facilime in morbo deget. [38] Est autem morbus lethalis, & pauci hunc effugiunt.

XII. Secunda tabes [2] fit à labore. [3] Eadem autem æger patitur quæ & prior. [4] Morbus autem hic magis priore quiescit, [5] & æstate remittit. [6] Salivam vero exspuit crassiorem priore, [7] & tussis premit maxime senes, [8] & dolor fortior est in pectoribus, & velut lapis incumbere ipsis videtur. [9] Dolet etiam dorsum. [10] Et color ipsius limpidus existit: [11] & si quid laborarit, flatus & anhelatio oboritur. [12] Hic ex hoc morbo in tribus annis maxime moritur. [13] Curare autem oportet iisdem, quibus etiam priorem. [14] Hic morbus multis adhæret usque ad tres annos, [15] sed moriuntur. [16] Estque morbus gravis.

XIII. Tertia tabes. [2] Ab hac hæc patitur. [3] Medulla ipsius spinalis sanguine plena fit. [4] Tabescit autem similiter & à cavis venis. [5] Hæc vero pituita hydropiformi,

ἀνδραποδώδεος ἐμπίπλανται καὶ χολῆς. 6 τήκεται δὲ τὰ αὐτὰ, ἀφ' ὁκοτέρων ἂν φθίνῃ. 7 καὶ ὁ ἄνθρωπος εὐθὺς μέλας γίνεται, καὶ ὑποιδαλέος. 8 καὶ τὰ ὑπώπια ὠχρά. 9 καὶ αἱ φλέβες αἱ ἐν τῷ σώματι ὠχραὶ διαπεφάνται· ἔνιαι δὲ σφόδρα ἐρυθραί. μάλιστα δὲ δῆλαι, αἱ ὑπὸ τῇσι μασχάλῃσι. 10 ἀποπτύει ὠχρὰ, καὶ, ὅταν αὐτὸν ἐπιπήξῃ, πνίγεται. 11 καὶ βῆξαι οὐ δύναται ἐνίοτε βουλόμενος. 12 ἐνίοτε δὲ, ὑπὸ τοῦ πνίγματος καὶ τῆς προθυμίης τοῦ βήσσειν ἀθρόον ἤμεσε χολήν· ποτὲ δὲ λάπην. πολλάκις δὲ καὶ τὰ σιτία, ὅταν φάγῃ. 13 καὶ ὁκόταν ἀπεμέσῃ, δοκέει κουφότερος εἶναι. 14 εἶτ' αὖθις, ὀλίγον χρόνον διαλιπὼν, ἐν τοῖσιν αὐτοῖσι πόνοισι κέεται. 15 οὗτος καὶ φθέγγεται ὀξύτερον ἢ ὑγιαίνων. 16 καὶ ῥῖγος καὶ πυρετὸς διαπαύων ἐπιλαμβάνει ἱδρώδης. 17 τοῦτον, ὁκόταν ὧδε ἔχῃ, βρωτοῖσι, καὶ ῥοφήμασι, καὶ ποτοῖσι, καὶ φαρμάκοισι, καὶ τοῖσιν ἄλλοισι πᾶσι μελετᾷν, ὥσπερ τοὺς πρόσθεν. 18 ἡ δὲ νοῦσος διαφέρει μάλιστα ἐννέα ἔτεα· ἔπειτα διαφέρει φθειρόμενος. 19 παῦροι δὲ φυγγάνουσιν ἐξ αὐτῆς. χαλεπὴ γὰρ ἡ νοῦσος. 20 ἢν δὲ βούλῃ, ὧδε ἰῆσθαι αὐτόν. 21 πρῶτα μὲν πυριῆσαι. 22 καὶ, ὁκόταν πυριηθῇ, τῇ ὑστεραίῃ δοῦναι αὐτῷ πιεῖν μελικρήτου ἡμίχουν, καὶ ὄξος παραχέαι ὀλίγον. 23 καὶ κέλευε ἀπνευστὶ τοῦτο πιεῖν. 24 ἔπειτα τῶν ἱματίων ἀμφιέσαι αὐτὸν πολλὰ, καὶ ὡς πλεῖστον χρόνον. 25 ἢν δὲ μὴ ἀνέχηται, ἀλλ' ἐξεμέσαι βούληται, ἐξεμεέτω. 26 ἢν δὲ μὴ ἔμετος ἔχῃ, χρόνου ἤδη ἐγγινομένου, ἐπιπιὼν ὕδατος χλιαροῦ μεγάλην κύλικα, ἐμεέτω κα-

ταματτό-

piformi, & bile replentur. 6 Patitur autem eadem, ab utris tandem tabescat. 7 Et homo statim niger fit ac subtumidus. 8 Et partes sub oculis pallidæ fiunt. 9 Et venæ in corpore pallidæ distentæ sunt, quædam vero valde rubicundæ. Maxime autem manifestæ sunt, quæ sunt sub alis. 10 Et spuit pallida, quæ ubi ipsum invaserint, suffocant: 11 & tussire volens aliquando non potest. 12 Quandoque autem præ suffocatione & tussiendi cupiditate, bilem acervatim vomit, aliquando vero pituitam, sæpe vero etiam cibos, quum comederit. 13 Et ubi revomuit, levior sibi esse videtur. 14 Deinde modico tempore interposito, in iisdem doloribus jacet. 15 Hic etiam acutius loquitur quam quum sanus esset. 16 Et rigor ac febris interquiescens, rursus sudorosa corripit. 17 Hunc ubi sic habuerit, cibis & sorbitionibus, & potibus ac pharmacis, & reliquis omnibus curato, velut priores. 18 Morbus autem durat maxime annos novem. Postea durat dum corrumpitur. 19 Pauci vero ex ipso effugiunt: gravis est enim morbus. 20 Si vero voles, sic ipsum curato. 21 Primum fomentum adhibeto, 22 & ubi fomentum adhibueris, postridie aquæ mulsæ dimidium congium ipsi bibendum dato, modico aceto affuso: 23 & hæc citra respirationem bibere jubeto. 24 Deinde stragulis ipsum ad multum ac quam longissimum tempus contegito. 25 Si vero non sustineat, & evomere velit, vomat. 26 Si vero vomitus non sequatur, tempore jam aliquo interposito, aquæ tepidæ poculo magno superingesto vomat, irri-

πτεματιζόμενος πτερῷ. 27 ὁκόταν δὲ ἀπεμέσῃ, ὥστε καλῶς ἔχειν, ἡσυχίην ἐχέτω ταύτην τὴν ἡμέρην. 28 ὁκόταν δὲ ὥρη, δειπνείτω μᾶζαν ὀλίγην, καὶ ὄψον ἐχέτω τάριχος καὶ πράσα. 29 ταῦτα δὲ ἐσθιέτω ὡς πλεῖστα. 30 οἶνον δὲ πινέτω γλυκύν. 31 τὸν δὲ λοιπὸν χρόνον λουέσθω πάσας ἡμέρας, ἅμα ἕωθεν θερμῷ πολλῷ. 32 καὶ μετὰ τὸ λουτρὸν φυλάσσειν χρή, ὡς μὴ ῥιγώσῃ, ἀλλὰ κατακλιθεὶς εὑδέτω ὡς πλεῖστον χρόνον. 33 ὁκόταν δὲ ἀναστῇ εὕδων, περιελθέτω σταδίους εἴκοσι τὸ βραχύτατον ταύτῃ τῇ ἡμέρῃ. 34 τῇσι δὲ ἄλλῃσιν ἡμέρῃσι πέντε σταδίους ἄλλους ὑπερβάλλων βαδιζέτω. 35 ἑκάστης ἡμέρης προστιθεὶς, ἕως ἂν ἀφίκηται ἐς τοὺς ἑκατὸν σταδίους. 36 τὴν δὲ κοιλίην ὑποκαθαίρειν δεῖ ἐκ τῆς ἡμέρης χυλοῖσι τεύτλων, καὶ ἀπὸ κράμβης, χωρὶς ἑκάτερα, ἑψήσας ἀπηθῆσαι χοέα ἑκατέρου. 37 εἶτα ξυμμίξας ἅμα συνεψεῖν τὸ στέαρ οἷον ἀπὸ τῶν νεφρῶν, τεταρτημόριον μνᾶς ἐν ἀμφοτέροισιν ἑψεῖν διελών. 38 ὁκόταν δὲ μέλλῃ πιεῖσθαι, πρὸς μὲν τὸν κράμβης τὸν χυλὸν ἅλας παραβάλλειν, πρὸς δὲ τὸν τῶν τεύτλων μέλι παραχέειν. 39 ἔξον δὲ, χωρὶς ἑκάτερον πίνειν. ἢ μέλι παρεγχέας παρὰ τὴν ἑτέρην κύλικα πίνειν, παρὰ δὲ τὴν ἑτέρην, ἅλας. 40 ἐκπιεῖν δὲ χρὴ πάντα τὸν χυλόν. 41 ταῦτα μὲν ποιεῖν χρὴ τριήκοντα ἡμέρας. 42 τῷ δὲ δευτέρῳ μηνὶ ἐσθιέτω ἄρτον καὶ κρέα πίονα ὑὸς ἑφθὰ, ἄλλο δὲ μηδέν. 43 οἶνον δὲ πινέτω λευκὸν αὐστηρόν. 44 καὶ ὁδὸν ὁδοιπορείτω μὴ ἐλάσσω σταδίων τριήκοντα, πρὸ τοῦ δείπνου· μετὰ δὲ τὸ δεῖπνον, δέκα. 45 καὶ μὴ ῥιγούτω, ἀλλ' ἐσκεπάσθω. 46 ταῦτα ἢν ποιέῃ,

tatione per pennam facta. 27 Quum vero evomuerit, ut bene habeat, quietem agat, per hunc diem. 28 Ubi autem cœnæ tempus fuerit, cœnet mazam modicam, & obsonium habeat, salsamentum & porrum. 29 Hæc autem quamplurima edat. 30 Vinum vero bibat dulce. 31 Reliquo tempore per totam diem, exordio mane facto, multa calida lavetur: 32 & post balneum cavere oportet, ut ne frigescat, sed decumbens plurimo tempore dormiat. 33 Quum autem à somno surrexerit, viginti stadia minimum circumeat illa die. 34 In aliis autem diebus, alia quinque stadia prioribus addens vadat, 35 singulis diebus additione facta, donec ad centum stadia perveniat. 36 Ventrem vero quotidie subpurgare oportet, succis betæ, & à brassica, ita ut utranque seorsum coquas, & de utraque congium excoles. 37 Deinde adipis à renibus detracti minæ quadrantem ammisceas ac simul coquas, in utrisque succis divisim facta coctura. 38 Quum autem bibere voluerit, ad brassicæ quidem succum, salem adjicito: ad betæ vero succum, mel affundito. 39 Licet autem seorsum utranque bibere. aut melle in alterum poculum affuso bibat, in alterum vero immisso sale. 40 Ebibere autem oportet totum succum, 41 & hæc facere per triginta dies. 42 Secundo vero mense edat panem, & carnes pingues suillas coctas, aliud vero nihil. 43 Vinum autem bibat album, austerum, 44 & iter faciat, non minus stadiorum triginta ante cœnam: post cœnam vero decem: 45 & ne frigeat, sed contegatur. 46 Hæc si fecerit,

ποιέῃ, ῥήϊον οἴσει τὴν νοῦσον. 47 τῷ δὲ τρίτῳ μηνὶ κυκεῶνα ἀνθηρὴν πινέτω. 48 σελίνου ῥίζας, καὶ ἄνηθον, καὶ πήγανον, καὶ μίνθην, καὶ κορίανον, καὶ μήκωνας ἁπαλὰς, καὶ ὤκιμον, καὶ φακὸν, καὶ ῥοιῆς γλυκείης καὶ οἰνώδεος χυλόν. 49 εἶναι δὲ χρὴ τῆς γλυκείης διπλάσιον, τοῦ χυλοῦ ξυναμφοτέρων ἡμικοτύλιον, 50 καὶ οἴνου μέλανος ἡδέος αὐστηροῦ ἡμικοτύλιον, καὶ ὕδατος κοτύλης ἥμισυ. 51 ἔπειτα ἄνθεα τρίψας λεῖα διεῖναι τούτῳ τῷ κεκρημένῳ, καὶ ἐγχέαι ἐς κύλικα. 52 ἔπειτα ἐπιβαλεῖν ἄλευρον ὀρόβων ὁκόσον ὀξύβαφον, καὶ ἀλφίτων ἴσον, καὶ τυροῦ παλαιοῦ αἰγείου ξέσας τὸ ἴσον τοῖσιν ὀρόβοισι. 53 ταῦτα ξυγκυκήσας ἐκπιέτω. 54 ἔπειτα, διαλιπὼν ὀλίγον χρόνον, ἀριστάτω ἄρτον. 55 καὶ ὄψον ἐχέτω, τέμαχος νάρκης, ἢ ῥίνης, ἢ γαλεοῦ, ἢ βατίδος. 56 καὶ κρέα ὑὸς ἐσθιέτω ἑφθά. 57 καὶ παχυνέτω ἑωυτὸν, ἡσυχίην ἄγων ὡς μάλιστα. 58 καὶ πυριῇν διὰ δεκάτης ἡμέρης ἐς ἑωυτὸ ἡσυχῆ. 59 τῷ δὲ τετάρτῳ μηνὶ πυριῇν διὰ πέμπτης ἡμέρης ἀτρέμα. 60 καὶ ἐσθιέτω ὄψον ὡς πλεῖστον. 61 ὄψοισι δὲ χρεέσθω τυροῖσι, καὶ κρέασιν ὀλίγοισιν οἰὸς ἑφθοῖσιν. 62 ὁδοιπορείτω δὲ καὶ σταδίους, ὡς πρόσθεν εἴρηται. 63 ἀρξάμενος δὲ τοῦ τετάρτου μηνὸς, τῇ πρώτῃ ἡμέρῃ ἀπὸ δέκα σταδίων βαδιζέτω, καὶ καθ' ἑκάστην προστιθέτω, ἕως ἂν αὐτῷ ὀγδοήκοντα γένωνται στάδιοι. 64 καὶ περιπατεέτω τῆς ἡμέρης ὀγδοήκοντα σταδίους· μετὰ τὸ δεῖπνον εἴκοσι, ὄρθρου τριήκοντα. 65 τὸ δὲ λοιπὸν τοῦ χρόνου διαιτάσθω, μᾶζαν καὶ ἄρτον ἐσθίων ἀμφότερα. 66 καὶ ὄψον ἐχέτω, σελάχεα. 67 κρέα δὲ πάντα ἐσθιέτω, πλὴν βοείων καὶ χοιρείων.

rit, levius morbum feret. 47 Tertio autem mense cyceonem floridum bibat, 48 apii radices, & anethum, & rutam, & mentham, & coriandrum, & papaver tenerum, & ocimum, & lentem, & mali punici dulcis & vinosi succum. 49 Oportet autem dulcis duplam mensuram esse, ita ut utriusque succi simul sit heminæ dimidium, 50 & vini nigri jucundi austeri heminæ dimidium, & aquæ heminæ dimidium. 51 Postea flores triti in hoc diluantur permixto, & in poculum infundantur. 52 Et postea farinæ ervi acetabulum adjiciatur, & polentæ tantundem, & casei veteris caprini rasi tantundem, 53 & hæc permixta ebibat: 54 Deinde modico tempore interposito prandeat panem, 55 & obsonium habeat, frustum torpedinis, aut squatinæ, aut galei, aut raiæ. 56 Et carnes suillas edat coctas, 57 & crassefaciat seipsum, quietem quam maxime agens. 58 Et decimo quoque die fomentum sibiipsi leviter adhibeat. 59 Quarto autem mense, quinto quoque die leviter fomento utatur. 60 Et edat obsonium plurimum. 61 Sint autem obsonia, caseus, & carnes ovillæ coctæ paucæ. 62 Et iter faciat per stadia, velut antea dictum est. 63 Et prima quarti mensis die, initio à decem stadiis facto eat, & quotidie addat, donec octoginta stadia fiant. 64 Et deambulet in die stadia octoginta: ante cœnam, triginta: post cœnam, viginti: mane, triginta. 65 Reliquo vero tempore victu utatur, mazam & panem utraque edens. 66 Et obsonium habeat cartilaginea. 67 Sed & carnes omnes edat, exceptis bubulis ac porcinis.

χοιρέων. [68] ἰχθύων δὲ τῶνδε ἀπεχέσθω, κεστρέος, καὶ ἐγχέλυος, καὶ μελανούρου. [69] ἐσθιέτω δὲ νάρκην, καὶ ῥίνην, καὶ βατίδα, καὶ γαλεὸν, καὶ τρυγόνα, καὶ βατράχους· τῶν δὲ ἄλλων, μηδέν. [70] ἢν δὲ δοκέῃ ἀσινέα εἶναι, καὶ κυκεῶνα. [71] ἐπειδὰν [δὲ] μέλλῃ καθευδήσειν, πινέτω ἀπὸ οἴνου μέλανος, ἡδέος, παλαιοῦ, δικότυλον κύλικα. [72] καὶ μεθ' ἡμέρην τῷ αὐτῷ οἴνῳ χρεέσθω ἐπὶ σιτίῳ. [73] καὶ ὁδοιπορείτω τῆς ἡμέρης ἑκατὸν πεντήκοντα σταδίους· μετὰ τὸ δεῖπνον, εἴκοσιν· ὄρθρου δὲ, τεσσαράκοντα. [74] οὗτος, οὕτω θεραπευόμενος, γίνεται ἐν ἐνιαυτῷ ὑγιής.

XIV. Αὐαίνεται μυελὸς ὁ κατὰ τὴν ῥάχιν μάλιστα, ὁκόταν τὰ φλέβια ἀποφραχθῇ, τὰ ἐς τὸν μυελὸν τείνοντα, καὶ ἡ ἐκ τοῦ ἐγκεφάλου ἔφοδος. [2] διὰ κάκωσιν δὲ τοῦ σώματος τάδε πάσχει καὶ νοσέει. [3] αὐαίνεται μάλιστα καὶ ἀπὸ λαγνείης. [4] τάδε οὖν πάσχει. [5] ὀδύνη ὀξείη ἐμπίπτει αὐτῷ ἐς τὴν κεφαλὴν, καὶ ἐς τὸν τράχηλον, καὶ ἐς τὴν ὀσφὺν, καὶ ἐς τοὺς μῦας τῆς ὀσφύος, καὶ ἐς τὰ ἄρθρα τῶν σκελέων, ὥστε ἐνίοτε οὐ δύναται ξυγκάμπτειν. [6] καὶ ἡ κόπρος οὐ διαχωρέει, ἀλλ' ἵσταται. [7] καὶ δυσουρέει. [8] οὗτος, κατ' ἀρχὰς μὲν τῆς νούσου, ἡσυχαίτερον διάγει. [9] ὁκόσῳ δ' ἂν ὁ χρόνος τῇ νούσῳ ἀπομηκύνηται, πονέει ἅπαντα μᾶλλον. [10] καὶ τὰ σκέλεα οἰδέει ὡς ἀπὸ ὕδρωπος. [11] καὶ ἕλκεα ἐκφλυνδάνει ἀπὸ τῆς ὀσφύος. [12] καὶ τὰ μὲν ἄλλα ὑγιαίνεται, τὰ δὲ ἄλλα προσφύεται. [13] τοῦτον, ὁκόταν οὕτως ἔχῃ, καθῆραι τὴν κεφαλὴν τῷ ἱπποφαέος ὀπῷ, ἢ τῷ κνιδίῳ κόκκῳ, πυριήσας πρότερον τὸ σῶμα εὖ μάλα. [14] τῆς δὲ ἑσπέρης μετὰ τὴν κάθαρσιν, πτισάνης δύο τρυβλία ῥοφεέ-

τω

cinis. [68] A piscibus autem his abstineat, à mugile, anguilla, & melanuro. [69] Edat autem torpedinem, squatinam, rajam, galeum, pastinacam, & ranas: ex aliis nihil. [70] Si vero videatur innoxius esse, etiam cyceonem bibat. [71] Postquam autem dormire voluerit, bibat de vino nigro, jucundo, veteri, poculum duarum heminarum. [72] Et per diem eodem vino utatur inter cibum. [73] Et in die iter faciat per stadia centum quinquaginta: ante cœnam nonaginta: post cœnam viginti: mane quadraginta. [74] Hic hoc modo curatus, in anno sanus evadit.

XIV. Resiccatur medulla spinalis maxime, quum venulæ ad medullam tendentes fuerint obturatæ, itemque ex cerebro accessus. [2] Propter corporis autem afflictionem hæc patitur, & ægrotat. [3] Resiccatur etiam à venere. [4] Hæc igitur patitur. [5] Dolor acutus incidit ipsi in caput, & in collum, & in lumbos, & in lumborum musculos, & in articulos crurum, ut aliquando flectere non possit. [6] Et stercus non secedit, sed sistitur. [7] Et urinæ difficultate vexatur. [8] Hic in principio quidem morbi quietius degit. [9] Quanto autem magis tempus morbo prolongatur, tanto magis omnia dolet. [10] Et crura velut ab aqua inter cutem tument. [11] Et ulcera à lumbis emergunt, [12] & alia quidem sanescunt, alia vero nascuntur. [13] Huic quum sic habuerit, caput purgato, hippophais succo, aut cnidio grano, corpore prius valde bene foto. [14] Vesperi vero post purgationem, ptisanæ duas heminas sorbeat, melle affuso. Vinum autem bibat album

τω, μέλι παραχέας· οἶνον δὲ λευκὸν πινέτω μαλθακόν. 15 τῇ δὲ ὑστεραίῃ ὀνείου γάλακτος διδόναι αὐτῷ ἑφθοῦ, μέλι παραχέας, ὀκτὼ κοτύλας ἐκπιεῖν. 16 ἢν δὲ μὴ ὄνειον ἔχῃς, βόειον ἢ αἴγειον ἑφθὸν, τρία ἡμιχόεα, παραχέας μέλι. 17 καὶ τὴν ὥρην γαλακτοποτείτω ἐν 42 ὀῤῥῷ καὶ γάλακτι, πέντε καὶ τεσσαράκοντα 196 ἡμέρας. 18 σιτίοισι δὲ καὶ ὄψοισι χρήσθω ὡς διαχωρητικωτάτοισιν. 19 οἶνον δὲ πινέτω λευκὸν μαλθακὸν μενδήσιον. 20 ὁκόταν δὲ παχύτατος ᾖ, καῦσαι αὐτοῦ ἐς τὴν ὀσφὺν, ἑκατέρωθεν τῶν σπονδύλων, τέσσαρας ἐσχάρας, καὶ ἐς τὸ μετάφρενον δεκαπέντε ἑκατέρωθεν, καὶ ἐς τὸν αὐχένα δύο, μεταξὺ τῶν τενόντων. 21 ἢν γὰρ τύχῃς καύσας, ὑγιέα ποιήσεις. 22 ἡ δὲ νοῦσος χαλεπή.

5 XV. Αἱ τέσσαρες νοῦσοι, αἱ ἀπὸ τῶν νεφρῶν γινόμεναι. 2 ἀπὸ τῆς πρώτης τάδε πάσχει. 3 ὀδύνη ὀξέη ἐμπίπτει ἐς τὸν νεφρὸν, καὶ ἐς τὴν ὀσφὺν, καὶ ἐς τὸν ὄρχιν τὸν κατὰ τὸν νεφρόν. 4 καὶ οὐρέει πυκνὰ, καὶ ἐφίσταται κατ' ὀλίγον τὸ οὖρον, 5 καὶ ἅμα τῷ 43 οὔρῳ συνέρχεται ψάμμος. 6 καὶ, ὁκόταν ἐξίῃ διὰ τῆς οὐρήθρης ἡ ψάμμος, ὀδύνην παρέχει ἰσχυρὴν ἐν τῇ οὐρήθρῃ. 7 ὁκόταν δὲ διεξουρήσῃ, ἡ ὀδύνη ἀνίησιν. 8 ἔπειτα αὖθις ἐν τοῖσιν αὐτοῖσιν ἄλγεσι κέεται. 9 ὁκό-10 ταν δὲ οὐρέῃ, καὶ τὸν καυλὸν ὑπὸ τῆς ὀδύνης τρίβει. 10 πολλοὶ δὲ τῶν ἰητρῶν, οἱ μὴ συνιέντες τὴν νοῦσον, ὁκόταν ἴδωσι τὴν ψάμμον, δοκέουσι λιθιᾶν τὴν κύστιν. 11 καὶ τὴν μὲν οὔ, τὸν δὲ νεφρὸν λιθιᾶν. 12 αὕτη ἡ νοῦσος γίνεται ἀπὸ φλέγματος, ὁκόταν ὁ νεφρὸς ἐς ἑωυτὸν ἀναλαβὼν φλέγμα, μὴ ἀφίῃ πάλιν, ἀλλ' αὐτοῦ ξυμπωρωθῇ. 13 τοῦτο γίνεται λίθοι λεπτοὶ

bum molle. 15 Postera die asinini lactis cocti, melle affuso, octo heminas ebibendas ipsi dato. 16 Si vero asininum non habeas, bubuli aut caprini cocti tres semicongios, melle affuso. 17 Et dum temporis opportunitas adest, lac bibat, sero & lacte utens, per quinque ac quadraginta dies. 18 Cibis autem & obsoniis utatur quam maxime per alvum secedentibus. 330 19 Vinum bibat album, molle, mendesium. 20 Quum autem crassissimus fuerit, in lumbos ipsius ab utraque ventriculorum parte crustas quatuor inurito, & in dorsum utrinque quindecim, & in cervicem duas, inter tendines. 21 Si enim ustio successerit, sanum facies. 22 Est autem morbus hic gravis.

XV. Quatuor morbi à renibus fiunt. 2 A primo hæc patitur. 3 Dolor acutus incidit in re- 335 nem, & in lumbos, & in testem secundum renem situm. 4 Et frequenter mingit, & adstringit paulatim ac supprimitur urina, 5 & cum urina procedit arena. 6 & ubi per urinæ meatum exit arena, dolorem fortem in meatu exhibet. 7 Quum autem ipsam per urinam ejecerit, dolor remittit. 8 Postea vero rursus in iisdem doloribus jacet. 9 Quum autem mingit, etiam colem præ dolore fricat. 10 Vulgus autem 340 medicorum quod non intelligit morbum, ubi videt arenam, putat vesicam è calculo laborare. 11 At non vesica, sed ren lapide laborat. 12 Hic morbus fit à pituita, quum ren susceptam in seipsum pituitam, non rursus dimiserit, sed in ipso in tofum concalluerit, 13 & fiunt ex ea tenues

περὶ, οἷον ψάμμος. 14 τοῦτον, ὁκόταν οὕτως ἔχῃ, τῷ ὀπῷ τῆς σκαμμωνίης, ἢ αὐτῇ τῇ ῥίζῃ πυριήσας. 15 15 πρόσθεν δὲ ἅπαν τὸ σῶμα ʹ ὑποκαθῆραι. 16 τῇ δὲ ὑστεραίῃ τῷ ἀπὸ ἐρεβίνθων λευκῶν χυλῷ ὑποκαθῆραι δύο χοεῦσιν, ἅλας δὲ παρεμβαλὼν διδόναι πίνειν. 17 μετὰ δὲ ταῦτα ποτοῖσι καὶ βρωτοῖσι καὶ λουτροῖσι μελετᾶν, διδοὺς τὰ αὐτὰ, ἃ τῷ στραγγουριῶντι δίδοται φάρμακα. 18 ὁκόταν δὲ ἡ ὀδύνη πιέσῃ, λούειν πολλῷ καὶ θερμῷ, καὶ χλιάσματα προστιθέναι, ὅπῃ πονέει μάλιστα. 19 ὁκόταν δὲ ἀποιδήσῃ καὶ ἐξαρθῇ, ὑπὸ τοῦτον τὸν χρόνον τάμνειν κατὰ τὸν νεφρὸν, καὶ ἐξελὼν τὸ πῦον, τὴν ψάμ- 20 μον ʹ διουρητικοῖσιν ἰῆσθαι. 20 ἢν μὲν γὰρ τμηθῇ, ἐλπὶς ἐκφυγεῖν· ἢν δὲ μή, ἡ νοῦσος τῷ ἀνθρώπῳ ξυναποθνήσκει.

XVI. Δευτέρη νοῦσος νεφρῶν. 2 αἱ μὲν ὀδύναι ἰσχυρῶς πιέζουσιν, ὡς ἐν τῇ πρόσθεν. 3 γίνεται δὲ τὸ νούσημα ἀπὸ ταλαιπωρίης, ὁκόταν ῥαγῇ τὰ φλέβια τὰ ἐς τὸν νεφρὸν τείνοντα, καὶ ὁ νεφρὸς αἵματος ἐμπλησθῇ. 4 οὗτος, ὁκόταν ταῦτα πάθῃ, ἐξουρέει, ἅμα τῷ οὔρῳ, αἷμα κατ' ἀρχὰς τοῦ νοσήματος. 5 " ἔπειτα 44 πῦον, προϊόντος [δὲ] τοῦ χρόνου. 6 οὗ- 25 τος, ʹ ἢν ἡσυχίην ἔχῃ τῷ σώματι, τάχιστα ὑγιὴς ἔσται. 7 ἢν γάρ τι ταλαιπωρήσῃ, αἱ ὀδύναι πολλῷ μᾶλλον ἕξουσιν. 8 ὁκόταν οὖν ἔμπυος ᾖ ὁ νεφρὸς, " ἀποιδέει παρὰ τὴν ῥάχιν. 9 τοῦτον, 43 ὅταν οὕτως ἔχῃ, τάμνειν κατὰ τὸ ἀποιδέον μάλιστα μὲν βαθεῖαν τομὴν κατὰ τὸν νεφρόν. 10 κἢν μὲν τύχῃς ταμὼν, παραχρῆμα ὑγιέα ποιήσεις. 11 ἢν δὲ ἁμάρτῃς, κίνδυνος ἕλκος ἐμμοτὸν γενέσθαι. 12 ἢν δὲ ξυμφυῇ τὸ ἕλκος, ἐκπυοῦται ἔσωθεν ἡ κοιλίη ἡ ἀπὸ τοῦ νεφροῦ. 13 κἢν μὲν ῥαγῇ ἔσωθεν,

nues lapilli, velut arena. 14 Huic quum sic habuerit, cum scammoniæ succo aut ipsa radice, fomento prius adhibito, 15 totum corpus ʹ purgato. 16 Postera vero 345 die duobus congiis succi ciceris albi subpurgato, quem sale injecto bibendum dabis. 17 Post hæc potibus, & cibis, & balneis curato: & eadem quæ in urinæ stillicidio exhibentur pharmaca dato. 18 Quum autem dolor presserit, multa calida lavato, & tepefactoria qua parte maxime dolet adhibeto. 19 Quum autem intumuerit & elevatus fuerit, sub id tempus juxta renem secato, ʹ & extracto pure arenam 350 per urinam cientia sanato. 20 Si enim sectus fuerit, fugæ spes est: sin minus, morbus homini commoritur.

XVI. Secundus renum morbus. 2 Dolores fortiter premunt, velut in priore: 3 fit autem morbus à labore, quum ruptæ fuerint venulæ ad renem tendentes, & postea ren sanguine repletus fuerit. 4 Hic ubi hæc patitur, cum urina sanguinem mingit in principio morbi, 5 ʹ deinde 355 progressu temporis pus. 6 Hic si quietem corpore habuerit, celerrime sanus erit. 7 Si enim quid laborarit, dolores multo magis obtinebunt. 8 Quum itaque suppuratus fuerit ren, circa spinam intumescit. 9 Hunc ubi sic habuerit, circa tumentem partem secato, profunda maxime sectione juxta renem. 10 Et siquidem successerit sectio, evestigio sanum facies. 11 Si vero aberraveris, periculum est ne ʹ ulcus linamentis curandum fiat. 360 12 Si autem concreverit ulcus, venter intrinsecus à rene suppuratur: 13 & siquidem pus intus rumpa-

θεν, καὶ χωρήσῃ κατὰ τὸν ἀρχὸν τὰ πῦα, ἐλπὶς ἐκφυγέειν. 14 ἢν δὲ ψαύσῃ τοῦ ἑτέρου νεφροῦ, κινδυνεύσει καταφθαρῆναι. 15 μελετᾶν δὲ φαρμάκοισι καὶ τοῖσιν αὐτοῖσι πᾶσιν, οἷσι καὶ τὸν πρόσθεν. 16 καὶ τὴν δίαιταν τὴν αὐτὴν ἐχέτω. 17 αὕτη δὲ ἡ νοῦσος χαλεπή. 18 καὶ πολλοὶ ἐκ ταύτης τῆς νούσου ἐς φθίσιν νεφρῖτιδα κατέστησαν.

XVII. Τρίτη νοῦσος νεφρῶν. 2 τὸ μὲν οὖρον προέρχεται οἷον ἀπὸ κρεῶν βοείων ὀπτῶν χυλός. 3 γίνεται δὲ τὸ νόσημα ἀπὸ χολῆς μελαίνης, ὁκόταν χολὴ ἐς τὰ φλέβια ξυῤῥυῇ τὰ τείνοντα ἐς τὸν νεφρὸν, καὶ, ὁκόταν στῇ, ἑλκοῖ τὰ φλέβια καὶ τὸν νεφρόν. 4 ὑπὸ οὖν τῆς ἑλκώσιος τοιοῦτο ὑποχωρέει ἅμα τῷ οὔρῳ. 5 αἱ δὲ ὀδύναι ἔχουσιν ἐν τῇ ὀσφύϊ, καὶ ἐν τῇ κύστει, καὶ ἐν τῷ περινέῳ, καὶ ἐν αὐτῷ τῷ νεφρῷ, ἐπ᾽ ὀλίγον χρόνον. 6 ἔπειτα ἀνῆκεν ὁ πόνος, καὶ αὖθις ἐπέλαβεν ὀξὺς δι᾽ ὀλίγου. 7 καὶ ἐς τὸ λεπτὸν τῆς γαστρός ἐστιν ὅτε ὀδύνη ἐμπίπτει. 8 τοῦτον, ὁκόταν οὕτως ἔχῃ, ὑποκαθῆραι τὴν κοιλίην ἐπιθύμῳ, ἢ τῆς σκαμμωνίης ῥίζῃ. 9 πίνειν διδόναι τὰ αὐτὰ, ἃ καὶ τῷ στραγγουριῶντι. 10 καὶ, ὁκόταν ἡ ὀδύνη ἔχῃ, λούειν πολλῷ καὶ θερμῷ, χλιάσματα προστιθέντα πρὸς τὸ πονέον μάλιστα. 11 καὶ ῥοφήματι χρείσθω ἀλεύρῳ ἑφθῷ, μέλι παραχέας. 12 καὶ τῇ ἄλλῃ διαίτῃ χρείσθω, ὡς διαχωρητικωτάτῃ. 13 καὶ οἶνον πινέτω λευκὸν μενδήσιον μελιχρὸν, ἢ ἄλλον λευκὸν τὸν ἥδιστον, καλῶς κεκρημένον. 14 αὕτη ἡ νοῦσος οὐ μάλα ἐκλείπει. 15 καὶ τὴν ὥρην ὀῤῥοποτεέτω, καὶ γαλακτοποτεέτω. 16 ἐς κάθαρσιν μὲν τῷ ὀῤῥῷ. 17 τὴν δὲ γαλακτοποσίην ποιείσθω ἐν ὥρῃ, πέντε καὶ τεσσαράκοντα ἡμέρας. 18 ταῦτ᾽ ἢν οὕτω ποιέῃς,

rumpatur; & ad intestinum rectum procedat, fugæ spes est. 14 Si vero contigerit alterum renem, periculum est ne pereat. 15 Curetur autem pharmacis, & iisdem omnibus, quibus & prior, 16 & diætam eandem habeat. 17 Hic morbus gravis est, 18 & multi ex ipso ad tabem renalem devenerunt.

XVII. Tertius renum morbus. 2 Urina prodit, velut à carnibus bubulis assatis succus. 3 fit autem morbus ab atra bile, quum bilis in venas confluxerit quæ ad renem tendunt: & quum constiterit, exulcerat venulas & renem. 4 Ab ulceratione igitur tale quiddam cum urina procedit. 5 Dolores autem hærent in lumbis, & in vesica, & inter anum ac pudendum, & in ipso rene, ad modicum tempus. 6 Deinde remittit dolor, & rursus acutus brevi corripit: 7 & in tenuem ventris partem aliquando dolor incidit. 8 Huic quum sic habuerit, ventrem subpurgato, epithymo, aut scammoniæ radice. 9 Bibenda vero eadem dato, quæ & ex urinæ stillicidio laboranti: 10 & quum dolor habuerit, multa calida lavato: & tepefactoria ad dolentem maxime locum adhibeto, 11 & sorbitione utatur farina cocta, melle affuso: 12 & reliquo victu utatur quam maxime per alvum secedente, 13 & vinum bibat album mendesium mellei coloris: aut aliud album jucundissimum probe temperatum. 14 Hic morbus non valde deficit: 15 & pro temporis opportunitate serum & lac bibat. 16 Serum quidem ad purgationem. 17 Lactis autem potum faciat in tempore per quinque ac quadraginta dies. 18 Hæc si ita feceris,

ποιέης, ἐπὶ τὸ κρέσσον διαθήσεις τὴν νοῦσον.

XIIX. Τετάρτη νοῦσος νεφρῶν. [2] τὸ μὲν νόσημα γίνεται ἀπὸ χολῆς καὶ φλέγματος· [3] ἐν καιρῷ δὲ τοῦ θέρεος μάλιστα. [4] γίνεται δὲ καὶ ἀπὸ λαγνείης ἡ νοῦσος. [5] οὗτος τάδε πάσχει. ὀδύναι πιέζουσιν αὐτὸν ἐς τὴν λαπάρην, καὶ ἐς τὸν κενεῶνα, καὶ ἐς τὴν ὀσφὺν, καὶ ἐς τοὺς μύας τῆς ὀσφύος, [6] καὶ πάσχει ὁκοῖα γυνὴ ὠδίνουσα. [7] καὶ οὐκ ἀνέχεται ἐπὶ τοῦ ὑγιέος κατακεῖσθαι, ἀλλ' *97 ἄγαν ' πονέει, [8] καὶ τοῦ κενεῶνος δοκέει κατακρεμᾶσθαι ὡς ἀπορησσόμενα. [9] ἐπὶ δὲ τὰ πρηνέα ἢν κατακέηται, οὐκ ἀλγέει. [10] οἱ δὲ πόδες καὶ αἱ κνῆμαι αὐτοῦ αἰεὶ ψυχραί. [11] τὸ δὲ οὖρον μόλις προέρχεται " ὑπὸ τῆς φλεγματώσιος καὶ παχύτητος τοῦ οὔρου. 47 [12] καὶ ἢν μὲν ἐάσῃς αὐτὸ ὀλίγον χρόνον, καταθεὶς ἕως ἂν καταστῇ, " ὄψει τὸ ὑφεστηκὸς 48 παχὺ, οἷον περ ἄλευρον. [13] καὶ ἢν μὲν 5 χολὴ ἐπικρατέῃ, ὑπόπυρρον ' αὐτὸ ὄψει. [14] ἢν δὲ ἀπὸ φλέγματος ᾖ τὸ νόσημα, λευκὸν καὶ παχὺ ἔσται. [15] καὶ τὸ μὲν πρῶτον ἐς ἐνιαυτὸν, ἢ ὀλίγῳ πλέονα, ἢ ὀλίγῳ ἐλάσσονα χρόνον τοιαῦτα πάσχων διατελέει. [16] ἢν δὲ ἐπιμηκύνηται ἡ νοῦσος, πονέει τε μᾶλλον καὶ ἐμπυοῦται. [17] καὶ, ὁκόταν ἔμπυος γενόμενος ἀποιδέῃ, ὅκου ἂν μάλιστα ἀποιδέῃ, τάμνειν ἐς τὸν νεφρὸν, καὶ ἀφιέναι τὸ πῦον. [18] καὶ, ἢν μὲν τύχῃς τάμνων, παραχρῆμα ὑγιέα ποιήσεις. [19] τοῦτον, ὁκόταν οὕτως ἔχῃ, " τοῖσιν αὐτοῖσι πᾶσι θε- 49 10 ραπεύειν, ' οἷσι καὶ τὸ πρόσθεν καὶ κατ' ἀρχὰς τῆς νούσου. [20] δεῖ δὲ καθῆραι, καὶ πρὸ τῆς ὑποκαθάρσιος πυριῆσαι, καὶ τοῖσι λουτροῖσι πυκνὰ λούειν. [21] ἀλειφέσθω δὲ καὶ θαλπέσθω μᾶλλον, μὴ δὲ ῥιγούτω. [22] καὶ τοῦ ἡλίου ἀπεχέσθω, καὶ μὴ λαγνευέτω. [23] ταῦτα ἢν

ris, morbum in melius dispones.

XIIX. Quartus ' renum morbus. [2] Morbus hic fit à bile & pituita, [3] maxime tempore æstatis: [4] fit etiam à venere morbus. [5] Hic æger hæc patitur. Dolores premunt ipsum in lateris mollitudinem, & in lumbos, & in lumborum musculos: [6] & patitur qualia solet mulier ex partu laborans, [7] & non sustinet in sanam partem decumbere, sed valde dolet: [8] & ex lateris mollitudine quædam pendere videntur, velut abrupta. [9] Si ' vero pronus decumbat, non dolet. [10] pedes & tibiæ ipsius semper frigent. [11] Urina vero vix prodit, præ pituitositate & crassitudine sua. [12] & si siveris ipsam ad modicum tempus depositam donec descenderit, videbis subsidentiam crassam, velut farinam: [13] & siquidem bilis prævaluerit, subfulvam ipsam videbis. [14] Si vero à pituita fuerit morbus, alba & crassa erit: [15] & primum quidem in annum, aut paulo amplius aut brevius ' tempus, æger talia patiens perseverat. [16] Si vero prolongetur morbus, & magis dolet, & suppuratur: [17] & quum suppuratus factus intumuerit, qua maxime parte intumuerit, in renem secato, & pus emittito: [18] & siquidem successerit sectio, statim sanum facies. [19] Hunc quum sic habuerit, iisdem omnibus curato, quibus etiam priores. [20] Et à principio morbi oportet & purgare, & ante subpurgationem fomentum ' adhibere, & balneis frequenter lavare. [21] Ungatur item, & magis calefiat, neque frigeat: [22] & à sole abstineat, & neque venere utatur. [23] Hæc si fecc-

ἢν ποιέῃ, καὶ μὴ τάχιστα ὑγιαίνῃ, οὐ καινόν. 24 ἡ νοῦσος γὰρ ὡς χαλεπή. 25 ἢν δὲ βούληται ἄνευ φαρμάκων ἰῆσθαι, χρὴ παχὺν ποιῆσαι ἀπὸ διαίτης, 26 ἤν τι ταύτην τὴν νοῦσον κάμνοντα, ἤν τι τῶν προτέρων τινά. 27 τὰ γοῦν σιτία διελὼν, ἃ μεμάθηκεν ἐσθίειν, δέκα μερίδας· 28 ἔπειτα, μίαν ἀφελὼν μερίδα, τὰ λοιπὰ καταφαγέτω· 29 ὄψον δὲ ἐχέτω κρέας ὑὸς τετριμμένον· 30 καὶ περιπατείτω δέκα σταδίους ταύτης τῆς ἡμέρης· 31 τῇ δὲ ὑστεραίῃ, καὶ τῇ τρίτῃ, μέχρι τῶν δέκα ἡμερέων, ὑποβαίνων, μερίδα ἐλάσσω ἐσθιέτω, 32 καὶ περιπατείτω δέκα σταδίους ἢ πλείω ἑκάστης ἡμέρης. 33 ὁκόταν δὲ ἐς τὴν ἐσχάτην μερίδα ἀφίκηται τοῦ σιτίου, καὶ ἐς τοὺς ἑκατὸν σταδίους βαδιζέτω, καὶ ἐσθιέτω τὴν μίαν μερίδα μούνην, 34 καὶ ταύτης τῆς ἡμέρης περιπατησάτω τοὺς ἑκατὸν σταδίους. μετὰ μὲν τὸ δεῖπνον, εἴκοσι· ὄρθρου δὲ τεσσαράκοντα. 35 οἶνον δὲ πινέτω μενδήσιον, λευκὸν, αὐστηρόν. 36 ταῦτα δὲ ποιείτω τρεῖς μῆνας. 37 ἔπειτα τὸν λοιπὸν χρόνον ὑποβαίνων τῶν περιπάτων, τῶν σιτίων πλείω ἐσθιέτω. 38 τὸν δ' αὐτὸν τρόπον, ὥσπερ ἀφῄρει, οὕτω δὴ καὶ προστιθέτω. 39 τῶν δὲ περιπάτων ἀφαιρείτω μέχρι τῶν δέκα ἡμερέων. 40 ἔπειτα ἡσυχίην ἐχέτω ὡς μάλιστα. 41 καὶ εὐωχείσθω σιτία τὰ καθαρὰ, καὶ ὄψα ὡς πιότατα. 42 καὶ τὰ γλυκέα πάντα ξύμφορα αὐτῷ· 43 λαχάνων δὲ καὶ ὀξέων πάντων ἀπεχέσθω, καὶ τῶν δριμέων, καὶ ὁκόσα φῦσαν παρέχει. 44 λουέσθω δὲ πολλῷ καὶ θερμῷ, καὶ μὴ ῥιγέτω. 45 ταῦτ' ἢν ποιέῃ, τάχιστα ὑγιὴς ἔσται.

XIX. Ἀπὸ δὲ νεφρίτιδος ἐπιλαμβάνει ἥδε ἡ νοῦσος μεγάλη τῶν φλεβῶν

fecerit, & non celerrime sanus evaserit, nihil novi est. 24 Morbus enim est gravissimus. 25 Si vero citra pharmaca curari velit, crassum ex diæta facere oportet, 26 sive ex hoc morbo ægrotet, sive ex aliquo de prioribus, 27 divisis cibis quos edere solet in decem portiones, 28 ita ut una parte detracta, reliquas comedat. 29 Obsonium autem habeat, carnem suis tritam: 30 & ea die decem stadia deambulet. 31 Postera vero die & tertia usque ad decem dies, portionem minus edat, 32 & deambulet decem stadia aut plura, singulis diebus addens. 33 Quum autem ad ultimam cibi portionem devenerit, etiam ad centum stadia iter faciat: & edat quidem unam tantum portionem, 34 & ea die centum stadia deambulet: post cœnam autem viginti, mane vero quadraginta. 35 Vinum autem bibat mendesium [sic] album, austerum, 36 atque hæc per tres menses faciat. 37 postea reliquo tempore deambulationes imminuat, & cibos plures comedat. 38 eodem modo additione facta velut detrahebat. 39 Deambulationem vero detrahat usque ad decimum diem: 40 & postea quam maxime quietem habeat. 41 & cibis puris alatur, & obsonia quam pinguissima habeat: 42 & dulcia omnia ipsi commoda sunt. 43 Ab oleribus autem, & acidis omnibus abstineat, itemque ab acribus, & quæ flatum faciunt. 44 multa etiam calida lavet, & ne frigeat. 45 Hæc si fecerit, celerrime sanus erit.

XIX. A renum morbo corripit morbus magnus venarum cavas

φλεβῶν τῶν κοίλων, ² αἳ τείνουσιν ἀπὸ τῆς κεφαλῆς παρὰ τὰς σφαγὰς διὰ τῆς ῥάχιος ἐς τὸ σφυρὸν τὸ ἐκτὸς τοῦ ποδὸς καὶ ἐς τὸ μεταξὺ τοῦ μεγάλου δακτύλου. ³ τὸ δὲ νόσημα γίνεται μὲν ἀπὸ φλέγματος καὶ χολῆς, ὁκόταν ἐς τὰς φλέβας ξυῤῥυῇ. ⁴ αἱ δὲ φλέβες αὗται αἵματος εἰσὶ πλήρεες. ⁵ ἢν οὖν τι παρέλθῃ ἀλλοῖον ἐς αὐτὰς, νοσοῦσι. τάδε οὖν πάσχει. ⁶ ἢν ἐπὶ τὰ δεξιὰ νοσέῃ, ἄρχεται τὴν ὀδύνην παρέχουσα ἐκ τῆς κοτυληδόνος τοῦ ἰσχίου κατ' ἀρχάς. ⁷ ὁκόσῳ δ' ἂν πλείων ὁ χρόνος περιίῃ, καὶ ἀπομηκύνηται, ἥτε ὀδύνη ὀξυτέρη κατέρχεται κατωτέρω, ⁸ καὶ ὁκόταν ἐς τὸ σφυρὸν ἀφίκηται τὸ ἐκτὸς τοῦ ποδὸς καὶ τὸ μεταξὺ τοῦ μεγάλου δακτύλου, ἄρχεται πάλιν ἐς τὴν κεφαλὴν ἔρχεσθαι. ⁹ καὶ, ὁκόταν ἐν τῇ κεφαλῇ τὸ ἕλκος στῇ, πιέζει ἰσχυρῶς. ¹⁰ καὶ δοκέει ὁ ἄνθρωπος διαῤῥήγνυσθαι τὴν κεφαλήν. ¹¹ καὶ οἱ ὀφθαλμοὶ φλέγματος πίμπλανται, καὶ τὸ πᾶν σῶμα. ¹² τούτῳ, ὅταν οὕτως ἔχῃ, ἐλατήριον πίσαι, ἢ θαψίης ῥίζαν, ἢ ἐλλεβόρου, ἢ ὀπὸν σκαμμωνίης. ¹³ μετὰ δὲ τὴν κάθαρσιν ταυτὰ προσφέρειν, ἃ καὶ τοῖσι πρόσθεν. ¹⁴ ἢν δὲ μὴ ὑπὸ ταύτης τῆς θεραπείης παύηται, γάλακτι παχύνας, ¹⁵ καῦσαι κατὰ τὴν ὠμοπλάτην τὴν δεξιὴν τέσσαρας ἐσχάρας, καὶ ἐς τὴν κοτυλίδα τοῦ ἰσχίου τοῦ δεξιοῦ τρεῖς, καὶ ὑπὸ τὸν γλουτὸν δύο, καὶ ἐν τῷ μέσῳ τοῦ μηροῦ δύο, καὶ ὑπὲρ τοῦ γούνατος μίαν, καὶ ὑπὲρ τοῦ σφυροῦ μίαν. ¹⁶ οὗτος, ἢν οὕτω καυθῇ, οὐκ ἀφίησιν, οὔτε ἄνω οὔτε κάτω, τὴν νοῦσον διαχωρέειν. ¹⁷ ἢν δέ κου ἡ ὀδύνη ὀφθῇ ῥαγεῖσα, ἢν μὲν στηρίξῃ ἐς τὸ σκέλος πρὶν ἢ καυθῆναι, χωλὸς ἔσται. ¹⁸ ἢν δὲ ἐς τὴν κεφαλὴν, κωφὸς ἢ τυφλός. ¹⁹ ἢν δὲ ἐς τὴν κύστιν, προχωρέει αἷμα

30 … 35 … 40 … 52 … 53

varum, ² quæ à capite juxta jugulum per ſpinam tendunt, ad malleolum pedis externum, & ad intermedium magni digiti locum. ³ Morbus hic fit à pituita & bile, quum in venas confluxerint. ⁴ Venæ autem hæ ſanguine plenæ ſunt. ⁵ Si igitur quid alieni in ipſis præterlapſum fuerit, ægrotant. ⁶ Si dextram partem morbus corripiat, dolorem ex coxæ acetabulo in principio exhibere incipit. ⁷ Quanto autem amplius tempus progreſſum & prolongatum fuerit, tanto acutior dolor infra deſcendit: ⁸ & quum ad malleolum pedis externum, & ad magni digiti intermedium locum devenerit, rurſus ad caput venire incipit: ⁹ & ubi in ipſo ulcus conſtiterit, fortiter premit, ¹⁰ & homo caput ſibi diffringi putat: ¹¹ & oculi pituita replentur, itemque totum corpus. ¹² Huic quum ſic habuerit, elaterium bibendum dato, aut thapſiæ radicem, aut veratri, aut ſuccum ſcammoniæ: ¹³ poſt purgationem vero eadem exhibeto quæ ſuperioribus. ¹⁴ Si vero ab hac curatione non deſinat, lacte ipſum craſſefacito, ¹⁵ & in ſcapulam dextram quatuor cruſtas inurito: & in acetabulum coxæ dextræ, tres: & ſub nates, duas: & in medio femore, duas: & ſupra genu, unam: & ſupra malleolum, unam. ¹⁶ Hic ubi ſic uſtus fuerit, neque ſurſum, neque deorſum morbum procedere permittit. ¹⁷ Si vero alicubi dolor ruptus viſus fuerit, ſiquidem in crus incubuerit priuſquam uratur, claudus erit. ¹⁸ Si vero in caput, ſurdus aut cæcus. ¹⁹ Si vero in veſicam, prodit ſimul cum urina ſanguis, maxi-

41 … 410 … 415 … 41

45 ἅμα τοῦ οὔρου αἱματῶδες μάλιστα, τεσσαράκοντα ἡμέρας. [20] ἀλλὰ χρὴ, ἢν ἐς τὴν κύστιν ῥαγῇ, διδόναι τὰ αὐτὰ φάρμακα, ἃ καὶ τῷ στραγγουριῶντι. [21] καὶ, ἤν κου ἡ ὀδύνη ἀλισθῇ, καῦσαι. [22] καίειν δὲ χρὴ τὰ μὲν σαρκώδεα σιδηρίοισι· τὰ δὲ ὀστώδεα καὶ νευρώδεα, μύκησι. [23] πάντα τάδε πρότερον τούτων χρὴ ποιῆσαι, ἢν κατ' ἀρχὰς τῇ νούσῳ παραγένῃ. [24] ἐς μὲν τὸ ποτὸν χρὴ 198 διδόναι οἶνον λευκὸν μενδήσιον ὑδαρέστερον ὡς πλεῖστον μεθ' ἡμέρην, καὶ μεθυσκέσθω, ἄχρις ἂν αἱμοῤῥαγήσῃ κατὰ τὰς ῥῖνας. [25] ὁκόταν δὲ ἄρξηται ῥέειν, τοὐλάχιστον ἡμέρας ῥεῖ δέκα καὶ τρεῖς. [26] ὅταν δὲ αὗται αἱ ἡμέραι διέλθωσι, μηκέτι μεθυσκέσθω; [27] μηδὲ, ὅταν ἄρξηται ἅπαξ ῥέειν. [28] πινέτω μέντοι ὀλίγῳ πλείονα τὸν οἶνον ἐπὶ σιτίῳ, ὅκως ἂν ῥέῃ 55 τὸ αἷμα. [29] ἤδη δέ τισι, παυσαμένου τοῦ αἵματος, ἐῤῥάγη ἐς τὴν κύστιν, καὶ ἐχώρησεν αἷμα καὶ πύα. [30] ἢν οὖν ῥαγῇ, διδόναι τὰ αὐτὰ φάρμακα, ἃ καὶ τῷ στραγγουριῶντι. [31] καὶ ἀπὸ τοῦ αὐτοῦ οἴνου διδόναι πλέον πιεῖν. [32] οὕτως οὕτω μελετώμενος, καὶ τὰ σιτία προσφερόμενος διαχωρητικὰ, καὶ τὰ ὄψα, τάχιστα ὑγιὴς ἔσται. [33] ἡ δὲ νοῦσος χαλεπή.

XX. Ἄλλη ἀπὸ τῆς ἀριστερῆς φλεβός. [2] τὰ μὲν ἄλλα [διὰ] πλήθεος τὰ αὐτὰ πάσχει, ἃ καὶ ὁ πρόσθεν· [3] ἐς δὲ τὸν σπλῆνα ὀδύνη στηρίζει ὀξέη αὐτίκα καὶ κατ' ἀρχὰς τοῦ νοσήματος. [4] 10 καὶ, ἢν μὴ ξυνίῃ παραχρῆμα πρὶν καταστηρίξῃ, ἁλίσκεται τὸν πνεύμονα. [5] [τούτων] μύκησι καῦσαι ὀκτὼ ἐσχάρας, τὰς κεφαλὰς ἀπολαβὼν τοῦ σπληνὸς ὡς τάχιστα. [6] καὶ, ὅκου ἂν ἄλλη ὀδύνη καταστηρίξῃ, καῦσαι. [7] καὶ οὕτω παραχρῆμα ὑγιὴς ἔσται. [8] ἢν δὲ μὴ

maxime per quadraginta dies. [20] Verum si in vesicam eruperit, eadem pharmaca, quæ & in urinæ stillicidio dato: [21] & si alicubi dolor congregatus fuerit, urito. [22] Urere autem oportet carnosa quidem, ferro: ossea vero & nervosa, fungis. [23] Cæterum 54 ante hæc si in principio morbi accesseris, ista facere oportet. [24] In potu exhibendum est vinum album mendesium, aquosius, plurimum per diem, & inebrietur donec sanguis à naribus 435 erumpat. [25] Quum autem fluere inceperit, minimum tres & decem dies fluit. [26] Ubi vero hi dies præterierint, non amplius inebrietur; [27] neque ubi semel fluere inceperit. [28] Bibat tamen paulo amplius vinum inter cibum, quo sanguis fluere possit. [29] Jam vero quibusdam sedato sanguine, erupit in vesicam, & prodit sanguis ac pus. [30] Si igitur eruperit, eadem pharmaca quæ & ex urinæ stillicidio labo- 440 ranti dato. [31] Et de eodem vino plus bibendum exhibeto. [32] Hic si ita curetur, & cibos per alvum secedentes assumat, & obsonia ejusdem facultatis, citissime sanus erit. [33] Morbus autem gravis est.

XX. Alius morbus à sinistra vena. [2] Hic æger alia quidem eadem patitur, quæ etiam prior. [3] Verum in splenem dolor acutus incumbit statim, & in principio morbi. [4] Et si non intellexerit priusquam incubuerit, 445 prosilit in pulmonem. [5] Huic per fungos crustas octo inurito, capite lienis quam celerrime intercipiens. [6] Et ubicunque alius dolor incubuerit, urito. [7] Sic enim statim sanus erit. [8] Si vero non fuerit ustus, sanus autem

μὴ καυθῇ, ὑγιὴς δὲ γίνηται ἀπὸ τοῦ καύματος, τοῖσι πολλοῖσι δυοκαιδεκάτῳ ἔτει ἡ νοῦσος αὖθις ἐπιστρέφεται. 9 καὶ, ἢν λάβῃ τὸν σπλῆνα, τοῖσι πολλοῖσιν ὕδρωπα ἐποίησεν. 10 ἀλλὰ χρὴ παραχρῆμα θεραπεύειν ὡς τὸν πρόσθεν, 11 καὶ, 15 ἢν δοκέῃ, καῦσαι, ὥσπερ δὴ καὶ τὸν πρότερον, ἢν ἡ ὀδύνη καθεστήκῃ ἐν τοῖσιν αὐτοῖσιν ἄρθροισιν. 12 ἢν δὲ μὴ οὕτω μελετηθῇ, τὸ λοιπὸν φθινόμενος θνήσκει. 13 ἡ γὰρ νοῦσος χαλεπή.

XXI. Περὶ δὲ τοῦ φλέγματος τὰς αὐτὰς γνώμας ἔχω, ἃς καὶ περὶ χολῆς· 2 καὶ φημὶ τὰς ἰδέας αὐτοῦ πολλὰς εἶναι. 3 καὶ τὸ μὲν ἐπιδήμιόν ἐστι, τὸ δὲ νεώτατον. 4 οὗ καὶ ἡ ἴησις ῥάστη. 5 ἐμέτους γὰρ δεῖ ποιέεσθαι μετὰ τὸ σιτίον, ἡμέρας δύο ἢ τρεῖς προσαριστῶντα καὶ ἡσυχάζοντα, ἢν εἰώθῃ 20 τὰς πρόσθεν ἡμέρας μονοσιτέειν καὶ ταλαιπωρέειν. 6 ἢν δὲ μὴ, τοιαύτῃ διαίτῃ χρήσθω. 7 πρῶτον λουέσθω πολλῷ καὶ θερμῷ, ὁκόταν μέλλῃ ἔμετον ποιέεσθαι. 8 καὶ ἐσθιέτω μάζαν ψαιστὴν, καὶ ἄρτον ἐξοπτὸν ἕωλον. 9 ἕλκει γὰρ αὖ μᾶλλον ταῦτα τὸ φλέγμα. 10 ὄψοισι δὲ χρήσθω καὶ λαχάνοισι δριμέσι. 11 καὶ τὰ λιπαρὰ, καὶ τὰ γλυκέα, καὶ [τὰ] ὀξέα, ταῦτα πάντα ἐπιτήδεια ξυμμεμισμένα προσφερέσθω. 12 καὶ τοῖσι λαχάνοισι πᾶσι χλωροῖσι χρήσθω. 13 καὶ πινέτω ἐπὶ τῷ σιτίῳ ὀλίγον πυ- 25 κνὰ, οἶνον γλυκύν. 13 καὶ πλακοῦντας ἐπιφαγέτω ἐπὶ τελευτῆς, καὶ μέλι καὶ σῦκα. 14 καὶ, ὁκόταν δειπνήσῃ, πινέτω λάβρως τὰς κύλικας. 15 καὶ, ὁκόταν ἤδη πλήρης ᾖ, καταχοιμηθήτω ὀλίγον. 16 εἶτα ἐπεγερθεὶς ἐμείτω, πιὼν οἴνου μεγάλην κύλικα καὶ ἐν χλιαρῷ ὕδατι κεκρημένην. 17 ἕλκει γὰρ μᾶλλον τὸ φλέγμα ἐκ τῶν σαρκῶν

tem sponte fiat, pletisque post duodecim annos, morbus rursus revertitur: 9 & si splenem occuparit, multis aquam inter cutem inducit. 10 Verum oportet statim curare velut priorem, 11 & si visum fuerit urere velut priorem, si dolor in iisdem articulis constiterit. 12 Si vero non sic curatus fuerit, de cætero colliquescens moritur. 13 Morbus enim gravis est.

XXI. De pituita easdem sententias habeo, quas & de bile: 2 & species ipsius multas esse puto: 3 & alia quidem popularis est; quæ sane recentissima est. 4 Cujus etiam curatio facillima est. 5 Vomitus enim post cibum facere oportet per duos aut tres dies, ita ut & prandeat insuper ac quiescat, si prioribus diebus semel in die cibum capere, & laborare solitus fuit. 6 Sin minus, hujusmodi diæta utatur. 7 Primum multa calida lavetur, 56 quum vomitum facere voluerit: 8 & edat mazam oleo & melle subactam, & panem exassatum veterem. 9 Hæc enim magis pituitam trahunt. 10 Obsoniis autem utatur & oleribus acribus. 11 Sed & pinguia, & dulcia, & acida omnia idonea sunt, ut permixta assumantur. 12 Et oleribus omnibus viridibus utatur. 13 Et bibat inter cibum frequenter modicum vinum dulce, & in fine placentam insuper edat, & mel, & ficus. 14 Et quum cœnabit, pocula large exhauriat: 15 & ubi jam repletus fuerit, parum dormiat. 16 Deinde experrectus vomat, magno vini poculo epoto, 57 cum tepida aqua temperato. 17 Trahit enim magis pituitam & humorem ex carnibus, & corpus

κοῦ καὶ τὸν χυμὸν, καὶ ξηραίνει μᾶλλον τὸ σῶμα. 18 ἐξεμείτω δὲ ἕως ἂν τὰ σῦκα ἐξεμέσῃ· ὕστατα γὰρ ταῦτα ἐξεμέεται. 19 [καὶ] ταῦτα μὲν τῇδε. 20 τῇ δὲ ὑστεραίῃ, 30 ξυνεχέτω ἑωυτὸν μέχρι δείπνου. 21 καὶ δειπνεέτω ἄρτον αὐτοπυ- 58 ρίτην. 22 ὄψον δὲ ἐχέτω ἀπὸ τῶν ἰσχυροτέρων. 23 οἶνον δὲ πινέτω μέλανα αὐστηρόν. 24 αὕτη μὲν οὖν τοῦ ἐπιδημίου φλέγματος ἡ ἴησις.

XXII. Ἢν δὲ δυνατὸς ἐὼν ἐσθίειν καὶ πίνειν, καὶ ἥδηται τοῖσι σιτίοισιν, 2 εἶτα τὰ σκέλεα βαρύνοιτο, 3 καὶ ἡ χροιὴ μετηλλαγμένη ᾖ, 4 τούτῳ φαίνεται ἐν τῇ κοιλίῃ φλέγμα τὸ λυπέον εἶναι. 5 ἀλλὰ χρὴ, ὁκόταν οὕτως ἔχῃ, μέλι καὶ οἶνον γλυκὺν καὶ ἔλαιον καὶ νίτρου ὁκόσον οἷος ἀστράγαλος 59 35 συμμίξας, κλύζειν. 6 ταῦτα γὰρ τῇ φύσει τοῦ ἀνθρώπου ξυμμετρώτατά ἐς τὸν κλυσμόν. 7 μέτρον δὲ χρὴ ἑκάστου εἶναι τοῦ μὲν οἴνου κοτύλην, ἡμικοτύλιον δὲ ἐλαίου, καὶ μέλιτος ἴσον. 8 ἢν δὲ μὴ κλύζειν βούλῃ, δίυγρον χρὴ τὸν ἄνθρωπον ποιῆσαι, πυριήσαντα ἐν ὑγρῇ τῇ πυρίῃ. 9 τάχα γὰρ ἂν καὶ οὕτως ὑποκενωθείη ἡ κόπρος. 10 ὑπὸ γὰρ τῆς ὑποξηρασίης τῶν σιτίων τοῦτο πάσχει. 11 ἢν μὲν οὖν τις ἐσθίῃ τὰ σιτία ἔγχυλα πάνυ, οὐκ ἂν ἴσως πάσχῃ ταῦτα οὕτω σφόδρα. 12 ἢν δὲ καὶ πάσχοι ποτὲ, 40 ὀλίγης ἂν ἰήσιος δέοιτο. 13 τοῦτον οὕτως ἰώμενος τάχιστα ἂν ὑγιέα ποιήσῃς.

XXIII. Ἢν δὲ τύχῃ παλαιότερον ἐὸν φλέγμα· 2 λευκὸν δὲ καλέεται τοῦτο τὸ φλέγμα· 3 πάσχει τάδε. 4 βαρύνει τὸν ἄνθρωπον μᾶλλον, 5 καὶ ἰδέην ἀλλοίην ἔχειν τοῦ ἐπιδημίου δοκέει ὠχροτέρην. 6 καὶ οἰδέει οἰδήματι

pus magis resiccat. 18 Evomat autem donec ficus evomuerit. Hæc enim postremum evomuntur. 19 Atque hæc quidem hac 15 die faciat. 20 Postera vero contineat seipsum usque ad cœnam, 21 & in cœna sumat panem, cui nihil furfurum decessit. 22 Obsonium autem sit ex fortioribus. 23 Vinum vero bibat nigrum, austerum. 24 Atque hæc quidem popularis pituitæ medela est.

XXII. Si vero edere & bibere potest, & cibis delectatur, 2 deinde vero crura graventur, 3 & color immutatus fuerit, 4 huic ostendendum est, pituitam molestantem in ventre esse. 5 Verum oportet quum sic habuerit, 20 mel & vinum dulce, & oleum, & nitrum tali ovilli magnitudine, permixta per clysterem infundere. 6 Hæc enim mirissima sunt in clysterem ad hominis naturam. 7 Mensuram autem singulorum esse oportet, vini quidem heminam, olei vero heminæ dimidium, & mellis tantundem. 8 Si vero clysterem non voluerit, humectum hominem facere oportet, fomento humido admoto. 9 Fortassis enim etiam 25 sic stercus subevacuari poterit. 10 Nam à ciborum nimia resiccatione hæc patitur. 11 Si quidem igitur quis edat cibos valde succosos, fortassis hæc non ita vehementer patiatur. 12 Si vero etiam aliquando patiatur, modica curatione opus habuerit. 13 Hunc ita curans, celerrime sanum feceris.

XXIII. At si antiquior fuerit pituita (2 appellatur autem hæc pituita alba) 3 hæc patitur. 4 Gravat hominem magis, 5 & spe- 30 ciem à populari alienam habere videtur pallidiorem: 6 & totum cor-

μαλὰ πᾶν τὸ σῶμα, 7 καὶ τὸ πρόσωπον ἐρυθεῖ. 8 καὶ τὸ στόμα ξηρὸν, καὶ δίψα ἐπέχει. 9 καὶ, ὁκόταν φάγῃ, τὸ πνεῦμα πυκνὸν ἐμπίπτει αὐτῷ. 10 οὗτος, τῆς αὐτῆς ἡμέρης, ποτὲ μὲν γίνεται ῥάων, ποτὲ δὲ πονεῖ ἐξαπίνης, καὶ δοκεῖ ἀποθανεῖσθαι. 11 τούτῳ ἢν μὲν ἡ γαστὴρ αὐτομάτως ταραχθῇ, ἐγγυτάτω ὑγιὴς ἔσται. 12 ἢν δὲ μὴ ταραχθῇ αὐτομάτη ἡ κοιλίη, καθαίρειν χρὴ διδόντα τοῦ κνεώρου, ἢ τοῦ ἱπποφεω, ἢ τοῦ κνιδίου κόκκου, ἢ τῆς μαγνησίης λίθου. 13 καὶ μετὰ τὴν κάθαρσιν, φακῆς δοῦναι τρυβλίον ῥοφέειν, ἓν ἢ δύο. 14 ξυνεψέσθω δὲ ἐν τῇ φακῇ σκόροδα. 15 καὶ τεύτλου λιπαροῦ ἀνηδύντου τρυβλίον ἐπ' ἀλφίτων πάσσοντα δοῦναι. 16 πινέτω δὲ οἶνον μέλανα αὐστηρόν τε καὶ ἰσχυρόν. 17 τῇ δὲ ὑστεραίῃ βαδιζέτω σταδίους εἴκοσι τὸ ἑωθινόν. 18 ἐλθὼν δὲ φαγέτω ἄρτον μικρὸν ἐξοπτὸν, καὶ ὄψον ἐχέτω σκόροδα ἑφθὰ, καὶ πινέτω τοῦ αὐτοῦ οἴνου ὀλίγον ἀκρητέστερον. 19 εἶτα βαδιζέτω σταδίους τριήκοντα, καὶ, ὁκόταν ὥρη ᾖ, δειπνείτω ὁκόσον περ καὶ εἴθιστο ἀριστᾶν. 20 ὄψον δὲ ἐχέτω, μάλιστα μὲν, πόδας συὸς καὶ κεφαλήν. 21 εἰ δὲ μὴ, ἀλεκτρυόνος κρέασιν, ἢ ὑὸς τετριμμένοισι χρείσθω. 22 ἰχθύων δὲ, σκορπίῳ, ἢ δρακοντίῳ, ἢ κόκκυγι, ἢ καλλιωνύμῳ, ἢ κωβιῷ. ἢ τῶν ἄλλων ἰχθύων, ὁκόσοι τὴν ἴσην δύναμιν ἔχουσι. 23 λαχάνοισι δὲ χρείσθω σκορόδοισι μούνοις, καὶ ἄλλων τῶν λαχάνων μηδενί. 24 ταῦτα δὲ ὡς πλεῖστα τρωγέτω, καὶ ὠμὰ, καὶ ὀπτὰ, καὶ ἑφθὰ, αἰεὶ πλείω ἑκάστης ἡμέρης. 25 καὶ ταλαιπωρείτω πρὸς τὰ σιτία [illegible]κμετρόμενος, καὶ ἐξ ὀλίγου πλεῖον. 26 τοῦτο τὸ νόσημα μάλιστα γίνεται θέρεος ὥρῃ ἀπὸ ὑδροποσίης,

corpus laxo tumore intumescit, 7 & facies rubet, 8 & os siccum est, & sitis tenet: 9 & quum comederit, spiritus densus ipsi incidit. 10 Hic eadem die aliquando melius habet, aliquando derepente dolet, & sibi mori videtur. 11 Huic siquidem venter sua sponte turbatus fuerit, sanitati proximus erit. 12 Si vero non sua sponte venter turbetur, purgare oportet cneoro dato, aut hippophaë, aut cnidio grano, aut lapide magnesiæ. 13 Et post purgationem, lenticulæ hemina una aut duæ dentur ad absorbendum. 14 Coquatur autem allium in lenticula. 15 Detur etiam betæ pinguis hemina non conditæ, polenta circuminspersa. 16 Bibat vinum nigrum, austerum, & forte. 17 Postera vero die mane stadia viginti deambulet. 18 A qua deambulatione reversus, panem edat parvum exassatum, & obsonium habeat allium coctum: & de eodem vino paulo meracius bibat: 19 deinde stadia vadat triginta: & ubi tempus aderit cœnet, quantum etiam prandere consuevit: 20 obsonium autem habeat, maxime quidem pedes, & capita suilla. 21 Sin minus, galli carnibus & suis tritis utatur. 22 Ex piscibus autem scorpio, aut dracone, aut cuculo, aut callionymo, aut gobio, aut aliis piscibus qui æqualem facultatem habent. 23 Ex oleribus autem solo allio, & nullo alio utatur. 24 Hoc vero quam plurimum edat, & crudum, & assatum, & coctum, semper plus singulis diebus: 25 & laboret ex modico amplius, respectu ad cibos facto. 26 Hic morbus maxime fit tempore æstatis ex aquæ potu.

ποσίης. 27 ἔτι δὲ καὶ ὕπνων πολλῶν. 28 κρίνεται δὲ ἐν τριήκοντα ἡμέρῃσιν, εἰ θανάσιμον, ἢ οὔ. 29 ταῦτα μὲν ποιείτω, ὁκόταν αἱ τριήκοντα ἡμέραι παρέλθωσιν. 30 ἐν δὲ τῇσι πρώτῃσι τῶν ἡμερέων ῥοφήμασι διαχρεέσθω, φακῇ ἑφθῇ, ἐποξεστέρῃ τῷ ὄξει, καὶ πτισάνῃ ὀξείῃ. 31 πινέτω δὲ χλιαρὸν μελίκρητον, ἄλφιτα ἐπιπάσσων ὀλίγα, ἵνα οἱ ἀνωρρωσμένον τὸ σῶμα ᾖ πρὸς τὴν φαρμακοποσίην. 32 καὶ εὑδέτω ὑπαίθριος ταύτας τὰς ἡμέρας. 33 καί, ἢν σοι δοκέῃ, τὸ αἷμα ἀφελεῖν ἀπὸ τῆς ὀσφύος, σικύην προσβαλεῖν, καὶ τὰς ἐν τῇ ὄσχῃ φλέβας σχάσαι τὰς παχυτάτας. 34 οὗτος οὕτω θεραπευόμενος, τάχιστα ὑγιὴς ἔσται.

XXIV. Περιίσταται ἀπὸ φλέγματος μάλιστα ἐς ὕδερον, τρόπῳ τοιῷδε. 2 ἡ πιμελὴ ξυντήκεται, καὶ γίνεται ὑπὸ τοῦ καύματος, τοῦ ἐν τῷ φλέγματι ἐόντος, ὕδωρ. 3 γνώσῃ δὲ τοῦτο, ὅς τις δυνατός ἐστιν ἰηθῆναι, καὶ ὅς τις μή. 4 ἕως γὰρ ἄν τις ἐπὶ τῷ ἥτρῳ ἔχῃ πιμελήν, ἀδύνατόν ἐστιν ἰηθῆναι. 5 γνῶσις δὲ τούτοισι μάλιστα, εἰ ἔπεστι πιμελὴ ἐπὶ τῷ ἥτρῳ, ἢ οὔ. 6 ἢν μὲν πυρετοὶ ἐπιγίνωνται, καὶ μὴ δύνηται ἀνίστασθαι, καὶ ὁ ὀμφαλὸς ἔξω ἐξέχῃ πεφυσημένος, φαίνεται μηκέτι ἐπεῖναι πιμελήν, καὶ ἰήσιμον εἶναι. 7 τούτῳ ξυμφέρει τὴν κοιλίην ξηραίνειν. 8 διδόναι μὲν ἄρτον αὐτοπυρίτην ἕωλον θερμόν. 9 ὄψον δέ, λαγῶ κρέας, καὶ κυνὸς τελείου, καὶ οἰὸς, καὶ ὑὸς ὀπτά, καὶ ἀλεκτρυόνος ὀπτὰ θερμά. 10 καὶ πολύποδας ἐσθιέτω ἑφθοὺς ἐν οἴνῳ μέλανι αὐστηρῷ. 11 οἶνον δὲ πινέτω μέλανα ὡς παχύτατον καὶ στρυφνότατον. 12 ἰχθύων δὲ χρεέσθω κωβιῷ, δράκοντι, καλλιωνύμῳ, κόκκυγι,

tu. 27 Insuper & à somno multo. 28 Judicatur autem in triginta diebus, an lethalis sit, aut non. 29 Atque hæc quidem faciat, ubi triginta dies præterierint. 30 In primis autem diebus, sorbitionibus utatur, lenticula cocta acidiore ab aceto, & ptisana acida. 31 Bibat aquam mulsam tepidam, polenta modica inspersa, quo corpus præparatum sit ad pharmacorum potum. 32 Ex his diebus sub dio dormiat: 33 & si tibi visum fuerit sanguinem à lumbis detrahere, cucurbitam affigito, & venas in scroto crassissimas secato. 34 Hic ita curatus, citissime sanus fiet.

XXIV. A pituita maxime in aquam intercutem transitus fit, hoc modo. 2 Pinguedo colliquescit, & à calore qui in pituita est fit aqua. 3 Cognosces autem hoc an quis sanari possit, aut non. 4 Donec enim quis in pectine pinguedinem habet, fieri non potest ut ipsum sanes. 5 Cognosces autem ex his maxime, an pinguedo insit in pectine, aut non. 6 Siquidem febres succedant, & non potest exurgere, & umbilicus inflatus extra prominet, indicium est non amplius inesse pinguedinem, & sanabilem esse. 7 Huic conducit ventrem siccare, 8 & panem dare cui nihil furfurum decessit, antiquum, calidum. 9 Obsonium autem carnem leporinam, & canis perfecti, & oviculæ, & suis assatam, & galli assatam ac calidam, 10 & polypos edat coctos in vino nigro austero. 11 Vinum autem bibat nigrum, austerum, quam crassissimum ac acerbissimum. 12 Piscibus autem utatur, gobio, dracone, callionymo, cuculo, scorpio, & aliis hujusmodi, omnibus

κυσὶ, σκορπίῳ, καὶ ἄλλοισι τοῖσι τοιούτοισι, πᾶσιν ἑφθοῖσιν, ἑάλοισι καὶ ψυχροῖσιν. 13 ὡς ξηρότατοι γὰρ οὗτοι μάλιστά εἰσι. 14 καὶ ἐς τὸν ζωμὸν μὴ ἐμβαπτέσθω. 15 καὶ ἄναλοι ἔστωσαν οἱ ἰχθύες. 16 λαχάνων δὲ χρήσθω ῥαφανοῖσι καὶ σελίνοισι. 17 ὀπτήτω δὲ φακὴν τῷ ὄξει ἐπιοξεστέρην, καὶ ἐσθιέτω, 18 καὶ περιπατεέτω καθ' ἡμέρην καὶ μετὰ τὸ δεῖπνον καὶ ὄρθρου. 19 καὶ ὄψιος εὑδέτω, καὶ πρωῒ ἐξεγειρέσθω. 20 κἢν μὲν ὑπὸ τούτων καθίστηται, ἅλις. 21 ἢν δὲ μὴ, πῖσαι αὐτὸν κνέωρον, ἢ ἱπποφέω τὸν ὀπὸν, ἢ κνίδιον κόκκον. 22 καὶ μετὰ τὴν κάθαρσιν, φακῆς δύο τρυβλία ἐπιῤῥοφεέτω, καὶ ἄρτον μικρὸν καταφαγέτω. 23 οἶνον δὲ πινέτω μέλανα, στρυφνὸν, ὀλίγον. 24 πινέτω δὲ φάρμακον δὶς τῆς ἡμέρης, ἕως ἂν λαπαρὸς γένηται. 25 ἢν δὲ τὸ οἴδημα καθεστήκῃ ἐν τῇ ὀσχῇ καὶ τοῖσι μηροῖσι καὶ τῇσι κνήμῃσι, καταχαῦ χρὴ ὀξυτάτῳ μαχαιρίῳ πολλὰ πυκνά. 26 ταῦτα ἢν ποιέῃς, ταχὺ ὑγιέα ποιήσεις.

XXV. Ὕδερος. 2 Ὁ δὲ ὕδερος ἀπὸ τῶνδε γίνεται. 3 ὁκόταν θέρεος ὥρῃ διψήσας ὕδωρ πολὺ πίῃ· 4 ἐπεί τοι ἐκ τοῦδε γίνεσθαι φιλέει μάλιστα· 5 καὶ ὁ πλεύμων ἐκπλησθῇ, ἀφίησιν αὖθις ἐς τὰ στήθεα. 6 καὶ, ὁκόταν ἐν τοῖσι στήθεσι γένηται, καῦμα παρέχει σφόδρα, 7 ὥστε τήκεσθαι τὴν πιμελὴν, τὴν ἐπὶ τῇσιν ἀρτηρίῃσιν ἐνεοῦσαν. 8 καὶ, ἢν ἅπαξ ἄρξηται τήκεσθαι τὸ στέαρ, πολὺ πλέον ἐν ὀλίγῳ χρόνῳ τὸν ὕδερον ἐποίησε. 9 γίνεται δὲ καὶ, ἢν φύματα ἐν τῷ πλεύμονι ἐμφυῇ, καὶ πλησθῇ ὕδατος, καὶ ῥαγῇ ἐς τὰ στήθεα. 10 ὡς δὲ γίνεται καὶ ἀπὸ φυμάτων ὕδερος, τόδε μοι μαρτύριον καὶ ἐν βοῒ, καὶ ἐν κυνὶ, καὶ ἐν ὑΐ. 11 μάλιστα γὰρ τῶνδε τετραπόδων

nibus coctis, non recentibus, & frigidis. 13 Hi enim siccissimi sunt: 14 & in jusculum ne intingat, 15 & insulsi sint pisces. 16 Ex oleribus autem utatur raphanis, & apio. 17 Torreat autem lenticulam ab aceto acidiorem, & edat. 18 Et deambulet quotidie, & post cœnam, & mane: 19 & serotino tempore dormiat, & mane exurgat. 20 Et siquidem ab his restituitur, satis est. 21 Sin minus, cneorum, aut hippophais succum, aut granum cnidium, bibendum dato. 22 Et post purgationem, lenticulæ heminas duas sorbeat, & panem parvum comedat. 23 Vinum vero bibat nigrum, acerbum modicum. 24 Bibat autem pharmacum bis in die, donec vacuus fiat. 25 Si vero tumor constiterit in scroto, & femoribus ac tibiis, acuto scalpello multa & frequentia vulnuscula incutito. 26 Et si hæc feceris, cito sanum efficies.

XXV. 2 Aqua inter cutem ex his fit. 3 Quum æstatis tempore siti vexatus aquam multam biberis (4 nam ex hoc maxime fieri solet) 5 & pulmo expletus fuerit, rursus ad pectora dimittit. 6 Et quum in pectoribus fuerit, calorem vehementem exhibet, 7 ut pinguedo quæ in arteriis inest colliquescat: 8 & si semel liquari pinguedo inceperit, multo amplius in brevi tempore aquam inter cutem facit. 9 Fit etiam si tubercula in pulmone fuerint enata, & aqua repleta, & in pectora rupta. 10 Quod autem fiat etiam à tuberculis aqua inter cutem, testimonium habeo, & in bove, & in cane, & in sue. 11 In his enim quadrupedibus maxime fiunt tubercula in pul-

δων ἐν τούτοισι γίνεται φύματα ἐν τῷ πλεύμονι, ἅπερ ἔχουσιν ὕδωρ. [12] διαταμὼν γὰρ γνοίης τάχιστα· ῥεύσεται γὰρ ὕδωρ. [13] δοκέει δὲ καὶ ἐν ἀνθρώπῳ γίνεσθαι τοιαῦτα πολλῷ μᾶλλον ἢ ἐν προβάτοισιν, ὁκόσῳ καὶ τῇ διαίτῃ ἐπινοσωτέρῃ χρεόμεθα μᾶλλον. [14] ἐγένοντο δὲ πολλοὶ καὶ ἔμπυοι, φυμάτων ἐγγινομένων. [15] τάδε οὖν κατ' ἀρχὰς τῷ νοσήματι ἐπιγίνεται. [16] βὴξ ξηρὴ, καὶ ὁ φάρυγξ δοκέει κέρχνειν. [17] καὶ ῥῖγος καὶ πυρετὸς ἐπιγίνεται, [18] καὶ ὀρθοπνοίη. [19] καὶ ὁ χρὼς ἐποιδαλέος. [20] καὶ οἱ πόδες οἰδέουσι. [21] καὶ οἱ ὄνυχες ἕλκονται. [22] καὶ, ἕως μὲν ἂν ἐν τῇ ἄνω κοιλίῃ ὁ ὕδερος, ἐστὶν ὁ πόνος ὀξύς. [23] ὁκόταν δὲ ἐς τὴν κάτω κοιλίην ἔλθῃ, δοκέει ῥάων εἶναι. [24] ἔπειτα πάσχει, προϊόντος τοῦ χρόνου, οἷάπερ πρόσθεν, πιμπλαμένης τῆς κοιλίης. [25] ἔστι δ' ὅτε καὶ ἀποιδέει πρὸς τὸ πλευρὸν, καὶ δηλοῖ, ᾗ χρὴ τάμνειν. [26] ἢν δὲ μὴ ἀποδηλοῖ, λούσας πολλῷ καὶ θερμῷ, τῶν ὤμων λαβόμενος σεῖσον. [27] εἶτ' ἀκροᾶσθαι, ἐν ὁκοτέρῳ ἂν τῶν πλευρέων μᾶλλον κλύζηται. [28] ξυνεὶς δὲ, τάμνειν τὴν πλευρὴν τὴν τρίτην ἀπὸ τῆς νεάτης μέχρι τοῦ ὀστέου. [29] εἶτα τρυπῆσαι πέρην τρυπάνῳ τρωγλοδυτηρίῳ. [30] καὶ, ὁκόταν τρυπηθῇ, ἀφεῖναι τοῦ ὕδρωπος ὀλίγον. [31] καὶ ὁκόταν ἀφῇς, μοτῶσαι ὠμολίνῳ, καὶ ἄνωθεν ἐπιθεῖναι σπόγγον μαλθακόν. [32] εἶτα καταδῆσαι, ὅπως μὴ ἐκπέσῃ ὁ μοτός. [33] ἀφιέναι δὲ χρὴ δυώδεκα ἡμέρας τὸν ὕδρωπα, ἅπαξ τῆς ἡμέρης. [34] μετὰ δὲ τὰς δυώδεκα ἡμέρας, τῇ τρισκαιδεκάτῃ ἅπαν ἀφιέναι τὸ ὕδωρ. [35] καὶ τὸν λοιπὸν χρόνον, ἢν ὑπογίνηται, ὕδερος ἀφιέναι, καὶ τὴν κοιλίην τοῖσι σιτίοισιν ἀποξηραίνειν. [36] τάδε δὲ

χρὴ

pulmone, quæ aquam habent. [12] Si enim dissecueris, citissime cognoveris. Fluet enim aqua. [13] Videntur autem talia multo magis in homine fieri, quam in pecoribus, quanto etiam morbosiore diæta utimur. [14] Facti sunt autem & multi pectore suppurati tuberculis obortis. [15] Hæc igitur in principio ad morbum consequuntur. [16] Tussis sicca, & fauces exasperari videntur: [17] & rigor ac febris succedit, [18] & erecta cervice spiratio: [19] & corpus intumescit, [20] & pedes tument, [21] & ungues contrahuntur: [22] & donec quidem in superno ventre fuerit aqua intercus, adest dolor acutus: [23] postquam autem ad infernum ventrem venerit, melius habere sibi videtur. [24] Postea progressu temporis patitur qualia prius impleto ventre. [25] Quandoque etiam ad latus intumescit, & indicat ubi secare oportet. [26] Si vero non indicat, multa calida lavato, & humeris apprehensum concutito, [27] & deinde in utro latere magis fluctuet, audito. [28] Quo intellecto, costam tertiam ab ultima usque ad os secato. [29] Deinde cum terebra cava ultra perforato. [30] Et ubi perforata fuerit, aquæ parum emittito: [31] & ubi emiseris, linamentum ex crudo lino indito, & spongiam mollem superimponito. [32] Deinde ut ne excidat linamentum deligato. [33] Emittere autem per duodecim dies aquam oportet, semel in die. [34] Post duodecimum autem diem sequenti decimatertia totam aquam emittere: [35] & reliquo tempore si subnascatur aqua emittere: & ventrem cibis reficcare. [36] Post sectionem autem

καὶ μετὰ τὴν τμῆσιν διδόναι. 37 σκευάσας ὀποῦ σιλφίου δραχμῆς σταθμὸν, καὶ ἀριστολοχίης κνῆσαι ὁκόσον ἀστράγαλον ἐλάφου, καὶ φακῶν καὶ ὀρόβων πεφρυγμένων ἄλφιτα καθαρὰς ὁκόσον ἡμιχοινίκιον ἑκατέρων, ξυμφυρῆσαι ταῦτα μέλιτι καὶ ὄξει. 38 εἶτα πλάσαι κόλλικας ἑξήκοντα, καὶ καθ' ἑκάστην ἡμέρην τρίβων ἕνα διέναι [ἐν] οἴνου μέλανος ἡμικοτυλίῳ αὐστηροῦ ὡς ἡδίστου. 39 εἶτα διδόναι νῆστιν πιεῖν. 40 τὴν δὲ ἄλλην δίαιταν καὶ ταλαιπωρίην τὴν αὐτὴν κελεύειν διαιτᾶσθαι, ἣν καὶ τὸν πρόσθεν χρόνον. 41 καὶ, ἢν οἰδήσῃ τὰ αἰδοῖα καὶ τοὺς μηροὺς, θαρσέως καταχαράσσειν. 42 τοῦτον, ἢν οὕτω μελετᾷς, τάχιστα ὑγιῆ ποιήσεις.

XXVI. Ὕδερος ἀπὸ τοῦ ἥπατος.

1 Ὁ [δὲ] ἀπὸ τοῦ ἥπατος ὕδερος γίνεται, ὁκόταν ἐς τὸ ἧπαρ φλέγμα ἐπέλθῃ, καὶ ἀναλάβῃ τὸ ἧπαρ καὶ ὑγρανθῇ. 3 αὐτίκα οὖν καῦμα τούτῳ παρέχει, καὶ φῦσαν ἐμποιέει. 4 ἔπειτα δὲ χρόνῳ ὕδατος πίμπλαται. 5 κἄπειτα δηγμὸς ἐς τὸ σῶμα ἐμπίπτει. 6 καὶ οἴδημα ἐν τῇσι κνήμῃσι, καὶ ἐν τοῖσι ποσὶν ἔνεστι. 7 καὶ τὸ ἧπαρ σκληρὸν [γίνεται,] καὶ οἰδέει. 8 καὶ αἱ κληῖδες λεπτύνονται. 9 τούτῳ, ὁκόταν οὕτως ἔχῃ, κατ' ἀρχὰς τοῦ νοσήματος διδόναι, ἢν ἀλγέῃ τὸ ἧπαρ, ὀρίγανον τρίβων, ὀπόν τε σιλφίου, ὁκόσον ὄροβον, διεὶς ἐν οἴνῳ λευκῷ, ἡμικοτυλίῳ, πίνειν. 10 καὶ γάλα αἰγὸς τρίτον μέρος μελικρήτου παραμίσγων τετρακότυλον κύλικα. 11 σιτίων δὲ ἀπεχέσθω τὰς πρώτας ἡμέρας δέκα. 12 αὗται γὰρ κρίνουσι τὸ νόσημα, εἰ θανάσιμον, ἢ οὔ. 13 ῥοφανέτω δὲ πτισάνης χυλὸν καθεφθὸν, μέλι παραχέων. 14 οἶνον δὲ πινέτω λευκὸν μενδήσιον, ἢ ἄλλον τὸν ἡδί-

hæc exhibere oportet. 37 Succi silphii drachmæ pondus parato, & aristolochiam tali cervini magnitudine deradito, & lentium ac ervi torrefactorum polentam, dimidiæ chœnicis mensura utranque purgato, atque hæc melle & aceto subigito. 38 Deinde pastillos sexaginta efformato, & quotidie unum tritum in vini nigri austeri ac jucundissimi hemina dimidia diluito, 39 & mane in potu dato. 40 Reliquum vero victum ac laborem eundem, velut priori tempore, habere jubeto. 41 Et si intumuerint pudenda ac femora, confidenter vulnusculis impactis pertundito. 42 Hunc si ita curaveris, celerrime sanum facies.

XXVI. 2 Ab hepate fit aqua intercus, quum in hepar pituita accesserit, & hepar ipsam susceperit, & humectum fuerit. 3 Statim igitur calorem huic exhibet, & flatum inducit. 4 Deinde temporis progressu aqua impletur. 5 Postea morsus in corpus incidit. 6 Et tumor in tibiis ac pedibus inest: 7 & hepar durum est ac intumescit, 8 & claviculæ attenuantur. 9 Huic quum sic habuerit, in principio si hepar doluerit, origanum tritum, & silphii succum ervi magnitudine, in vini albi dimidia hemina dilutu, bibenda dato: 10 & lactis caprini poculum quatuor heminarum, tertia aquæ mulsæ parte ammixta. 11 A cibis autem per primos decem dies abstineat. 12 Hi enim judicant morbum, an lethalis sit, aut non. 13 Sorbeat autem ptisanæ succum coctum, melle affuso. 14 Vinum autem bibat album mendesium, aut aliud jucundissimum aquosum.

ἥδιστον ὑδαρέα. 15 ὁκόταν δὲ αἱ δέκα ἡμέραι παρέλθωσι, σιτία προσφερέσθω καθαρά. 16 καὶ ὄψον ἐχέτω, ἀλεκτρυόνος κρέα ὀπτὰ θερμά. ἐχέτω δὲ καὶ σκύλακος ἑφθά. 17 ἰχθύσι δὲ γαλεῷ καὶ νάρκῃ χρεέσθω ὀπτοῖσιν. 18 οἶνον δὲ τὸν αὐτὸν πινέτω. 19 κἢν μὲν ἀπὸ τούτων παύσηται, ἅλις. 20 ἢν δὲ μή, ἐπὴν γοῦν αὐτὸς ἑωυτοῦ παχύτατος ἔῃ, καὶ τὸ ἧπαρ μέγιστον, καῦσαι μύκησιν. 21 οὕτω γὰρ ἂν τάχιστα ὑγιέα ποιήσειας. 22 καῦσαι δὲ χρὴ ἐσχάρας ὀκτώ.

XXVII. Ἢν δὲ ὁ ὕδερος ἐγγένηται, καὶ ῥαγῇ ἐς τὴν κοιλίην, 2 τοῖσιν αὐτοῖσιν ἰῆσθαι, οἷσι καὶ τὰ πρόσθεν, φαρμάκοισι, καὶ ποτοῖσι, καὶ βρωτοῖσι, καὶ ταλαιπωρίῃσιν. 3 οἶνον δὲ πινέτω μέλανα αὐστηρόν. 4 ἢν δέ σοι δοκέῃ ἀφίστασθαι τοῦ ἥπατος, 5 καῦσαι, ὅκου φανῇ, σιδηρίῳ, καὶ ἀφιέναι τοῦ ὕδατος κατ' ὀλίγον, 6 καὶ ἰῆσθαι ὡς καὶ τὰ λοιπὰ πρόσθεν. 7 ἢν δὲ μὴ ὑπὸ τούτων ὑγιὴς γένηται, φθειρόμενος θνήσκει χρόνῳ. 8 ἡ γὰρ νοῦσος χαλεπή, καὶ παῦροι ταύτην διαφυγγάνουσιν.

XXIIX. Ὕδερος ἀπὸ τοῦ σπληνός. 2 Ὁ δὲ ὕδερος ὁ ἀπὸ τοῦ σπληνὸς γίνεται τρόπον τοιόνδε, 3 καὶ ἀπὸ τῆς τοιαύτης προφάσιος μάλιστα, ὁκόταν [ὀπώρη ᾖ, καὶ αὐτὸς] φάγῃ σύκων χλωρῶν καὶ μήλων ὀπώρην πολλήν. 4 πολλοὶ δὲ ἤδη καὶ ἀπὸ βοτρύων πολλῶν καὶ πολλοῦ γλεύκεος τὴν νοῦσον ἔλαβον. 5 κἢν μὲν μέλλῃ ἐς τὸ νόσημα ἐμπεσεῖσθαι, παραχρῆμα ἐν τοῖσι πόνοισιν ἐστιν, ὀδύναι τε ὀξεῖαι ἐν τῷ σπληνὶ καθεστᾶσι. 6 μεταπίπτουσι δὲ καὶ ἐς τὸν ὦμον, καὶ ἐς τὴν κληῖδα, καὶ ἐς τὸν τιτθόν, καὶ ἐς τὴν λαγόνα. καὶ πυρετοὶ ἔχουσιν ἰσχυροί. 7 καί, μικρόν τι ἢν φάγῃ, ἡ γαστὴρ πίμπλαται,

sum. 15 Quum autem decem dies præterierint, cibos accipiat puros, 16 & obsonium habeat, galli carnem assatam calidam: habeat & catulinam coctam. 17 Pisce vero utatur galeo, & torpedine assatis. 18 Vinum vero idem bibat. 19 Et siquidem ab his quiescat, satis est. 20 Sin minus, postquam sane crassissimus factus fuerit, & hepar maximum, fungis urito. 21 Sic enim celerrime sanum feceris. 22 Inurere autem oportet crustas octo.

XXVII. Si vero aqua intercus innascatur, & rumpatur in ventrem, 2 iisdem medicamentis & potibus, & cibis, ac laboribus, quibus priores curato. 3 Vinum vero bibat austerum nigrum. 4 Si vero tibi videatur discessisse ab hepate, 5 per ferrum ubicunque apparuerit urito, & aquam paulatim emittito, 6 & velut reliquos priores curato. 7 Si vero ab his non sanus fiat, temporis progressu corrumpitur ac moritur. 8 Morbus enim est gravis, & pauci hunc effugiunt.

XXIIX. 2 Aqua vero intercus à splene, hoc modo fit, 3 & ab hujusmodi maxime caussa, quum quis ficuum viridium, & malorum fructus multos ederit. 4 Multi vero jam etiam à cibo botrorum multorum, & à multo musto, morbum inciderunt. 5 Siquidem igitur in morbum collabetur, statim in doloribus est. Dolores enim acuti in splene consistunt, 6 transeunt autem & in humerum, & in claviculam, & in mammam, & ad lumbos, & febres fortes tenent. 7 Et si parum quid ederit, venter impletur,

40 πλατ)ῆ, καὶ ὁ σπλὴν ἀείρεται καὶ ὀδύνην παρέχει. 8 οὗτος, ἢν χρονίσῃ τὸ νόσημα, τὸν μὲν ἄλλον χρόνον ἧσσον ποιέει. 9 ὁκόταν δὲ ὀπώρη ᾖ καὶ φάγῃ ταύτην, αὐτὴ δὲ τῆς πρόσθεν μάλιστα ποιέει. 10 τοῦτον, ὁκόταν ὧδε ἔχῃ, κατ' ἀρχὰς μελετᾷν, ἄνω μὲν ἐλλέβορον διδοὺς, κάτω δὲ κνέωρον, ἢ ἱπποφέω ὀπὸν, ἢ κνίδιον κόκκον, καὶ γάλα ὄνου ὀκτὼ κοτύλας, μέλι παραχέων. 11 κἢν μὲν ἀπὸ τουτέων καθιστῆται, ἅλις. 12 ἢν δὲ μὴ, ὁκόταν μέγιστος ᾖ ὁ σπλὴν καὶ οἰδέῃ μάλιστα,
45 καῦσαι μύκησι, τὰς κεφαλὰς ἀπολαβὼν, ἢ σιδηρίοισι, 13 μετὰ φυλακῆς πολλῆς καὶ τηρήσιος, ὅκως μὴ πέρην διακαύσῃς. 14 ταῦτα δὲ κατ' ἀρχὰς ποιέειν τοῦ νοσήματος. 15 καὶ τὴν δὲ δίαιταν προσφερέσθω, πυρετοῦ μὴ ἔχοντος. 16 ἄρτῳ μὲν χρεέσθω πυρίνῳ ὀπτῷ, ἢ τῶν σκληρῶν πυρῶν διπυρίτῃ. 17 ὄψον δὲ ἐχέτω τάριχος γαδειρικὸν, ἢ σαπέρδην, 18 καὶ κρέας τεθρυμμένον οἴος. 19 καὶ τὰ ὀξέα καὶ τὰ ἁλμυρὰ πάντα ἐσθιέτω. 20 καὶ πινέτω οἶνον αὐστηρὸν κάρτα ὡς μελάντατον. 21 τῶν
20 δὲ γλυκέων ἀπεχέσθω. 22 ἢν δὲ ἐξανίσταται καὶ δύνηται ᾖ, παλαιέτω ἐπ' ἄκρων τῶν ὤμων, 23 καὶ ταλαιπωρεέτω περιόδοισι πολλοῖσι δι' ἡμέρης, 24 καὶ σιτεέσθω, ἃ προείρηται.

XXIX. Καθολικὸς ὕδερος. 2 Ἢν δὲ [καθολικὸς] ὕδερος γένηται, ἰῆσθαι κατὰ ταὐτὰ καὶ τοῖσιν αὐτοῖσιν, καθάπερ τοὺς πρόσθεν. 3 ὁ δὲ ὕδερος ἀπὸ τῶνδε γίνεται. 4 θέρεος ὥρῃ ἢν, ὁδοιπορέων ὁδὸν μακρὴν, ἐπιτύχῃ ὀμβρίῳ ὕδατι καὶ στασίμῳ, καὶ πίῃ
5 αὐτοῦ ἐπισπάδην πολλόν. 5 ἢν οὖν αἱ σάρκες ἀναπίωσι καὶ ἐνίσχωσιν ἐν ἑωυτῇσι τὸ ὕδωρ, ὑποχώρησις δὲ μηδαμῇ γένηται, τάδε πάσχει. 6 ἢν μὲν

tur, & splen attollitur, & dolorem exhibet. 8 Hic morbus si duraverit, reliquo quidem tempore minus dolet. 9 Quum vero fructuum malorum tempus fuerit, & hos ederit, magis quam prius dolet. 10 Hunc ubi sic habuerit, à principio curato, & sursum quidem veratrum exhibeto: deorsum vero cneorum, aut hippophaïs succum aut cnidium granum, lactis item asinini heminas octo, melle affuso. 11 Et siquidem ab his restituitur, satis est. 12 Sin minus, quum maximus fuerit lien, & maxime intumuerit, fungis urito, capita ejus intercipiens: aut ferramentis, 13 cum multa cautione ac observatione ne ultra peruras. 14 Hæc à morbi principio facito, 15 & hac diæta nutriatur. Siquidem febris non affuerit, 16 pane utatur triticeo assato, aut ex duro tritico bis cocto. 17 Obsonium autem habeat salsamentum gaditanum, aut saperdam, 18 & carnem ovillam tritam. 19 Et acida ac salsa omnia edat. 20 Et bibat vinum austerum eoum quam nigerrimum. 21 A dulcibus abstineat. 22 Quum autem exsurgit, & potens est, luctetur summis humeris, 23 & laboret per circuitus multos in die, 24 & comedat ea quæ dicta sunt. Si vero aqua intercus fiat, iisdem curato quibus & priores.

XXIX. 3 Alia aqua intercus ab his fit. 4 Æstatis hora si iter faciens per viam longam, in aquam pluvialem ac stabilem inciderit, & biberit de ipsa multum affatim. 5 Si igitur carnes absorbuerint & continuerint in seipsis aquam, secessus autem nusquam fiat, hæc patitur. 6 Siquidem fuerit

μὲν ἢ ἐν τῇ σαρκὶ, καῦμα παρέχει, ἔν τε τῇ κοιλίῃ, καὶ ἐν τῷ σώματι, 7 ὥστε τὸ στέαρ, τὸ ἐπιὸν τῇ κοιλίῃ, τήκεσθαι. 8 οὗτος τέως μὲν, ἢν βαδίζῃ, οὐδὲν δοκέει κακὸν ἔχειν. 9 ὁκόταν δὲ παύσηται βαδίζων καὶ ὁ ἥλιος δύῃ, παραχρῆμα τὸν πόνον παρέχει πουλύν. 10 προϊούσης δὲ τῆς νούσου, λεπτύνεται σφόδρα. 11 ἢν δὲ καὶ ἀσιτίη ἐπιγένηται, πολλῷ πλέον λεπτύνεται. 12 ἢν δὲ τὰ σιτία μὴ ἐσθίειν δύνηται, ταλαιπωρέειν δὲ ἀδυνάτως ἔχῃ, καὶ ἔτι πλέον σίνεται. 13 τοῖσι [δὲ] πολλοῖσι τουτέων καὶ οἴδημα καθίσταται ἐς ὅλον τὸ σῶμα. 14 καὶ τῷ μὲν λεπτῷ ἡ χροιὴ πελίη γίνεται, καὶ ἡ γαστὴρ μεγάλη. 15 καὶ δίψα ἔχει ἰσχυρή. 16 καὶ τὰ σπλάγχνα αὐτοῦ ξηραίνεται ὑπὸ τῆς θέρμης. 17 τοῦ δὲ χρόνου προϊόντος, ἐς μὲν τὸ ἐσθίειν πρόθυμος ἐστι, καὶ ἐσθίει, ὅ, τι ἄν τις διδῷ, καὶ πίνει, καὶ ἀλγέει οὐδέν. 18 ἢν δὲ τὸ οἴδημα κατέχῃ, ἡ χροιὴ γίνεται τελέως ὠχρή, 19 καὶ διὰ τοῦ σώματος φλέβες διατείνονται μέλαιναι πυκναί. 20 θυμοῦται δὲ καὶ λυπέεται ἐπὶ παντὶ, οὐδενὸς νεωτέρου ἐόντος. 21 ἡ δὲ γαστὴρ μεγάλη καὶ διάυγρος ὥσπερ λαμπτήρ. 22 καὶ, τοῦ χρόνου προϊόντος, τὰ σιτία οὐ προσίεται, ἀλλὰ δοκέει αὐτῷ ὄζειν σικύου ἀγρίου, ὑπὸ τῆς βδελυρίης. 23 τούτῳ, ὁκόταν οὕτως ἔχῃ, διδόναι τοῦ κνεώρου ἢ τοῦ ἱπποφεω τὸν ὀπὸν, ἢ τὸν κνίδιον κόκκον. 24 ταῦτα δὲ τὰ φάρμακα οὕτω διδόναι χρή. 25 τὸ μὲν κνέωρον δι' ἕκτης ἡμέρης. 26 τὸν δὲ τοῦ ἱπποφεω ὀπὸν δι' ὀγδόης. 27 τὸν δὲ κνίδιον κόκκον διὰ δεκάτης. 28 διδόναι δὲ ταῦτα χρὴ, ἕως ἂν ἐκκαθαρθῇ, καὶ λαπαρὸς γένηται. 29 τὰς δὲ μεταξὺ τῶν ἡμερέων διαιτέειν τοῖσιν αὐτέοισιν, οἷσι καὶ τὸν πρόσθεν. 30 μάλιστα δὲ

rit in carne, calorem facit & in ventre, & in corpore, 7 ut pinguedo ventrem ambiens colliquescat. 8 Hic quandiu quidem iter facit, nihil mali habere videtur. 9 Postquam autem iter facere cessarit, & sol occiderit, statim dolorem multum habet: 10 progressu vero morbi valde attenuatur. 11 Si vero etiam cibi fastidium accedat, multo plus attenuatur. 12 Si vero cibos edere poterit, & ad laborem impotens fuerit, etiam amplius læditur: 13 & plerisque horum tumor in totum corpus deducitur. 14 Et tenui quidem color corporis lividus fit, & venter magnus, 15 & sitis fortis tenet, 16 & viscera ipsius à calore resiccantur: 17 progrediente vero tempore, ad edendum quidem promptus fit, & edit quodcunque quis dederit, & bibit, & dolet nihil. 18 Si vero tumor obtinuerit, color huic fit pallidus. 19 Et venæ nigræ frequentes per corpus distenduntur. 20 Indignatur autem & tristatur ex quavis re, etiamsi nihil novi accidat. 21 Venter vero aqua perhumescit, & magnus fit, & laternæ speciem præ se fert. 22 Et temporis progressu cibos non admittit, sed videntur ipsi cucumeris sylvestris odorem habere, præ abominatione. 23 Huic ubi sic habuerit, cneori aut hippophais succum dato, aut cnidium granum. 24 Hæc vero pharmaca ita dare oportet. 25 Cneorum quidem per sextam diem. 26 Hippophais autem succum per octavam. 27 Cnidium vero granum per decimam: 28 & dare ipsa oportet donec expurgetur, & vacuus fiat. 29 Interpositis autem diebus alatur ex iisdem quibus & prior. 30 Maxime

δὲ τοῦ ὕδατος τοῦ αὐτοῦ πίνειν διδόναι, ὑπὸ τοῦ καὶ τὸ νόσημα ἔλαβεν, ὡς πλεῖστον, 31 ὅκως ταράξῃ αὐτοῦ τὴν κοιλίην καὶ ὑποχωρήσῃ σφόδρα. 32 οὕτως γὰρ μάλιστα ὑγιέα ποιήσεις. 33 ἢν δέ σοι δοκέῃ, καὶ κλύζειν θαμινά. 34 [χρὴ δὲ] τοῦ κνεώρου τρίψας, ἥμισύ τε ποιήσας, μέλιτος παραμίξας τρίτον μέρος κοτύλης διεῖναι, καὶ τεύτλου τέσσαρσι κοτύλῃσιν· εἶθ' οὕτω κλύζειν. 35 καὶ ὀνείου γάλακτος ἑφθοῦ τῇ ὑστεραίῃ δοῦναι ὀκτὼ κοτύλας, μέλι παραχέων, ἢ ἅλας παραβαλὼν, πίνειν. 36 καὶ μετὰ τὴν κάθαρσιν τοῖσιν αὐτοῖσι χρέεσθω, οἷσι καὶ ὁ πρόσθεν. 37 καὶ τὰς μεταξὺ τῶν ἡμερέων σιτίοισι καὶ ποτοῖσι τοῖσιν αὐτοῖσι χρέεσθω, καὶ τοῖσι περιπάτοισιν ὁμοίως. 38 οὗτος οὕτω θεραπευόμενος ἐν τάχει τῆς νόσου ἀπαλλάσσεται, τρίμηνος ἢ ἑξάμηνος. 39 ἢν δὲ ἀμελείη τις ἐγγένηται, καὶ μὴ παραχρῆμα μελετηθῇ, ἐν τάχει ἀποθνήσκει. 40 καὶ τὸν καταλεπτυνόμενον τοῖσιν αὐτοῖσι χρέεσθαι πρὸς ἴησιν. 41 προϋγρῆναι δὲ χρὴ πρότερον αὐτοῦ τὸ σῶμα πυριήσαντα, ὅκως ἂν μᾶλλον τῶν φαρμάκων ὑπακούῃ. 42 ἀλλὰ χρὴ παραχρῆμα μελετᾶν. 43 ἢν δὲ μὴ, τοῖσι πολλοῖσι ξυγγηράσκει ἡ νοῦσος. 44 κλύζειν δὲ χρὴ καὶ τοῖσδε ὁκοτέρῃ ἂν βούλῃ τῶν νούσων. οἴνου λευκοῦ δύο κοτύλας λαβὼν, καὶ μέλιτος ἡμικοτύλιον, καὶ ἐλαίου ἡμικοτύλιον, νίτρου αἰγυπτίου ὀπτοῦ τεταρτημόριον, σικύου ἀγρίου τῶν φύλλων κόψας καὶ ἐκπιέσας τοῦ χυλοῦ κοτύλην. 45 ταῦτα μίξας πάντα ἐς τι χυτρίδιον ἐγχέαι, καὶ ἐπιζέσας οὕτω κλύζειν.

XXX. Νοῦσος ἡπατῖτις. 2 Ἡ δὲ νοῦσος γίνεται ἀπὸ χολῆς μελαίνης, ὁκόταν ἐπιῤῥυῇ ἐς τὸ ἧπαρ. 3 προσπίπτει

xime autem de eadem aqua bibendum dato, ex qua morbus corripuit, plurimum, 31 quo ventrem ipsius turbet & valde secessum faciat. 32 Sic enim potissimum sanum facies. 33 Si vero tibi videbitur, etiam frequenter clysterem adhibeto, 34 ex cneori triti dimidia hemina, mellis tertia heminæ parte ammixta, his cum quatuor succi betæ heminis dilutis, atque sic infusis. 35 Postera die etiam asinini lactis cocti octo heminæ dentur affuso melle, aut adjecto sale potandæ. 36 Et post purgationem, iisdem utatur quibus prior: 37 & interjectis diebus, cibis ac potibus iisdem utatur, & deambulationibus similiter. 38 Et sic curatus brevi à morbo liberabitur tertio mense, aut sexto. 39 Si vero negligentia aliquà contigerit, & non statim curatus fuerit, brevi moritur. 40 Sed & in attenuato iisdem utendum est ad sanationem. 41 Præhumectare vero antea corpus ipsius oportet per fomenta: quo magis pharmacis obediat. 42 At vero statim curam adhibere oportet. 43 Sin minus, cum multis consenescit morbus. 44 Sed & uter tandem morbus sit, clysterem ex his adhibere convenit. Vini albi heminas duas accipito, & mellis heminam dimidiam, & olei heminam dimidiam, nitri ægyptii rubri torrefacti quadrantem, foliorum cucumeris sylvestris tusorum ac expressorum succi heminam. 45 Hæc omnia mixta, & in ollulam infusa fervefacito, & per clysterem infundito.

XXX. Morbus hepaticus. 2 Fit ab atra bile, quum influxerit ad hepar. 3 Accidit autem maxime in

πίπτει δὲ μάλιστα μετοπώρου, ἐν τῇσι μεταβολῇσι τοῦ ἐνιαυτοῦ. 4 τάδε οὖν πάσχει. ἐς τὸ ἧπαρ ὀδύνη ὀξείη ἐμπίπτει αὐτῷ, καὶ ὑπὸ τὰς νεάτας πλευράς, καὶ ἐς τὸν ὦμον, καὶ ἐς τὴν κληῖδα, καὶ ὑπὸ τὸν τιτθόν. 5 καὶ πνὶξ ἔχει ἰσχυρή. 6 καὶ ἐνίοτε ἀπεμέει πελιδνὴν χολήν. 7 καὶ ῥῖγος καὶ πυρετὸς τὰς πρώτας ἡμέρας βληχρότερος ἔχει. 8 καὶ ψαυόμενος ἀλγέει τὸ ἧπαρ. 9 καὶ ἡ χροιὴ ὑποπέλιδνος αὐτοῦ. 10 καὶ τὰ σιτία, ἃ πρόσθεν ἐσιτεώκει, πνίγει αὐτόν, 11 καὶ προσπίπτοντα καίει καὶ στρέφει τὴν κοιλίην. 12 ταῦτα μὲν πάσχει κατ᾽ ἀρχάς. 13 τῆς δὲ νούσου προϊούσης, οἵ τε πυρετοὶ ἀφιᾶσι, 14 καὶ ἀπ᾽ ὀλίγων σιτίων πίμπλαται. 15 καὶ ἐν τῷ ἥπατι ἡ ὀδύνη μούνη λείπεται, καὶ αὐτὴ ποτὲ μὲν ἰσχυρή, ποτὲ δὲ ἧσσον διαπαύουσα. 16 ἐνίοτε δὲ ὀξείη λαμβάνει, καὶ πολλάκις ἐξαπίνης ἀφῆκε τὴν ψυχήν. 17 τούτῳ ξυμφέρει, ὁκόταν μὲν ἡ ὀδύνη ἔχῃ, τά τε ἄλλα, καὶ μὴν καὶ τὰ χλιάσματα προστιθέναι ταῦτα, ἃ καὶ τῇ πλευρίτιδι. 18 ὁκόταν δὲ ἀνῇ ὁ πόνος, λούειν αὐτὸν πολλῷ καὶ θερμῷ, 19 μελίκρητόν τε διδόναι πίνειν, καὶ οἶνον λευκὸν γλυκύν, ἢ αὐστηρόν, ὁκότερον ἂν ξυμφέρῃ, 20 καὶ ῥοφήματα ταῦτα, ἃ καὶ τῷ ὑπὸ πλευρίτιδος ἑαλωκότι. 21 ὑπὲρ δὲ τῆς ὀδύνης τάδε χρὴ διδόναι πίνειν. 22 ἀλεκτορίδος ᾠοῦ ἑφθοῦ τὸ ὑγρὸν τρίψας, παραχέας τοῦ στρύχνου χυλοῦ ἡμικοτύλιον, καὶ μελίκρητον ἐν ὕδατι πεποιημένον ἥμισυ ἡμικοτύλιον, τοῦτο δὶς διδόναι πίνειν, καὶ παύσει τὴν ὀδύνην. 23 διδόναι δὲ καὶ ἑκάστης ἡμέρης, ἕως ἂν ἡ ὀδύνη παύσηται. 24 πινέτω δὲ καὶ σιλφίου ὀπόν, ὁκόσον ὄροβον. 25 καὶ ὀρίγανον τρίβων διεὶς οἴνῳ λευκῷ, καὶ οὕτως πινέτω νῆστις. 26 ἐκπινέτω

in autumno, in mutationibus anni. 4 Hæc igitur æger patitur. Dolor acutus ipsi in hepar incidit, & sub ultimas costas, & in humerum, & in claviculam, & sub mammam. 5 Et suffocatio fortis tenet. 6 Et aliquando lividam bilem revomit: 7 & rigor, & febris primis diebus debilior habet: 8 & dum attingitur, hepar dolet, 9 & color ipsius sublividus est: 10 & cibi quos prius comedebat, suffocant ipsum, 11 & ingesti urunt ac torquent ventrem. 12 Atque hæc quidem in principio patitur. 13 Morbo vero progrediente, & febres remittunt, 14 & à paucis cibis repletur. 15 In solo autem hepate dolor restat, & ipse aliquando fortis, aliquando quietus, 16 quandoque vero acutus corripit, & sæpe derepente æger animam efflavit. 17 Huic conducunt ubi dolor habuerit, tum alia, tum tepefactoria eadem apposita, quæ etiam pleuritidi. 18 Quum vero remiserit dolor, multa calida ipsum lavato: 19 & aquam mulsam bibendam dato, & vinum album dulce, aut austerum, utrum tandem profuerit. 20 Et sorbitiones easdem quas etiam à pleuritide correpto. 21 Cæterum ad dolorem hæc bibenda dato. 22 Ovi gallinacei cocti liquorem terito, & succi solani dimidiam heminam affundito, & aquæ mulsæ dimidiam semiheminæ partem ammisceto, diluito, ac bibenda dato, & sedabunt dolorem: 23 dato autem quotidie donec calor quiescat. 24 Bibat etiam silphii succum ervi magnitudine, 25 & cum eo origanum tritum in vino albo diluat, & sic jejunus bibat. 26 Bibat insuper & pharma-

 ca

πινέτω δὲ καὶ τὰ ἐν τῇ περιπλευμονίῃ διδόμενα φάρμακα, εἵνεκα τῆς ὀδύνης. 27 πινέτω δὲ καὶ γάλα αἰγὸς, τρίτον μέρος μέλιτος παραμίσγων· τοῦ δὲ γάλακτος ἔστωσαν τέσσαρες κοτύλαι. 28 τοῦτο ἕωθεν πινέτω, ὁκόταν τ' ἄλλα μὴ πίνῃ. 29 σιτίων δὲ ἀπεχέσθω, ἕως ἂν κριθῇ ἡ νοῦσος. 30 κρίνεται δὲ μάλιστα ἐν ἑπτὰ ἡμέρῃσι. 31 ταύτῃσι γὰρ δηλοῦται, εἰ θανάσιμος, ἢ οὔ. 32 ἢν δὲ καὶ πνῖγμα προσγένηται, τάδε χρὴ διδόναι, ὅκως ἂν ἀπεμέσῃ. 33 μέλι καὶ ὕδωρ καὶ ὄξος καὶ ἅλας, ταῦτα μίξας ἐγχέαι ἐς χυτρίδιον καινόν. 34 εἶτα χλιαίνειν καὶ ταράσσειν ὀριγάνου κλωνίοισι τοῦ κεφαλοειδέος ξὺν τῷ καρπῷ. 35 ὁκόταν δὲ χλιανθῇ, ἐκπιεῖν δοῦναι χλιαρόν. 36 εἶτα περιβαλὼν ἱμάτια ἐᾶν, περιστείλας ἕως ἂν ἱδρώσῃ μάλιστα. 37 καὶ, ὁκόταν ἔμετος αὐτὸν ἔχῃ, ἐμείτω προθύμως, καταματιζόμενος πτερῷ. 38 'ἢν δὲ μὴ δύνηται ἐμέσαι, ἐπιπιὼν μελικρήτου χλιαροῦ κύλικα δικότυλον, οὕτως ἐμείτω. 39 καὶ, ἢν τι ἀπεμέσῃ χολῆς ἢ φλέγματος, αὖθις τὸ αὐτὸ χρὴ ποιεῖν, ἐπὶ τέσσαρας ὥρας· ὠφελήσει γάρ. 40 μετὰ δὲ τῆς νόσου τὴν κρίσιν, μελετᾶν σιτία ὀλίγα διδοὺς καθαρά. 41 κἢν μὲν ἄρτον φιλέῃ ἐσθίειν, ἄρτον θερμὸν ὡς μάλιστα καθαρὸν ἐσθιέτω. 42 ἢν δὲ μάζαν, ἄτριπτον ἐσθιέτω, " πρότερον προφυρήσας. 43 ὄψον δὲ ἐχέτω κρέα σκυλακίου ἑφθὰ, ἢ πελειάδος, ἢ ἀλεκτορίδος νεοσσοῦ· '[χρεέσθω δὲ] ἑφθοῖσι πᾶσιν. 44 ἰχθύων δὲ, γαλεῷ, νάρκῃ, τρυγόνι τε, " καὶ βατίσι τῇσι μικρῇσι, πᾶσιν ἑφθοῖσι. 45 λουέσθω δὲ καὶ ἡμέρης ἑκάστης, καὶ τὸ ψύχος φυλασσέσθω. 46 καὶ περιπατείτω ὀλίγα, τέως ἐν ἀσφαλείῃ.

ca quæ in pleuritide dantur doloris gratia. 27 Bibat & caprinum lac, tertia parte mellis ammixta. Sint autem lactis heminæ quatuor. 28 Hoc mane bibat, quum alia non biberit. 29 A cibis autem abstineat, donec judicetur morbus. 30 Judicatur autem maxime in septem diebus, 31 in his enim manifestum fit, an lethalis sit, an non. 32 ' Si vero etiam suffocatio accesserit, hæc dare oportet quo vomat. 33 Mel, aquam, acetum, salem, permixta in ollam novam infundito. 34 Deinde tepefacito, & origani capitati ramulis una cum semine agitato. 35 Ubi vero tepefacta fuerint, tepida ebibenda dato. 36 Deinde stragulis injectis contectum sinito, donec quam maxime exudarit. 37 Et ubi vomitus ipsum apprehenderit, prompte vomat, irritatione ' per pennam facta. 38 Si vero vomere non possit, aquæ mulsæ tepidæ poculum duarum heminarum insuper bibat, & sic vomat. 39 Et si quid pituitæ aut bilis evomuerit, rursus idem facere oportet ad horas quatuor: proderit enim. 40 Post morbi vero judicationem curato modicis cibis, iisque puris datis: 41 & siquidem panem edere cupierit, panem calidum maxime purum edat. 42 Si vero mazam, eam, quæ vino ' dulci subacta non est, edat, ubi tamen prius aqua subegit. 43 Obsonium autem habeat carnes catuli coctas, aut columbæ, aut pulli gallinacei carnibus, omnibus coctis utatur. 44 Ex piscibus autem galeo, torpedine, pastinaca, & rajis parvis, omnibus coctis. 45 Lavetur autem quotidie, & frigus vitet, 46 & parum deambulet ante in securitate.

φαλέειν. 47 ταῦτα δὴ ἢν φυλάσσηται, οὐκ ὑποστροπιάσαι τὴν νοῦσον δέος πάλιν. 48 καὶ γὰρ ἡ τοιαύτη νοῦσος χαλεπή ἐστι καὶ χρονίη.

XXXI. Ἄλλη ἡπατῖτις. 2 αἱ μὲν ὀδύναι πιέζουσι κατὰ τὰ αὐτὰ ἐς τὸ ἧπαρ. 3 καὶ ἡ χροιὴ διαφέρει τῆς πρόσθεν· σιδιοειδὴς γάρ ἐστιν. 4 ἐν δὲ τῷ καιρῷ τοῦ θέρεος μάλιστα ἡ νοῦσος ἐμπίπτει. 5 γίνεται δὲ ἀπὸ κρεωφαγίης βοείων κρεῶν, καὶ ἐξ οἰνοφλυγίης. 6 ταῦτα γὰρ πάντα τὴν τοιαύτην τοῦ ἔτεος ὥρην πολεμιώτατά ἐστι τῷ ἥπατι, καὶ χολὴν μάλιστα προσίστησι πρὸς τὸ ἧπαρ. 7 τάδε οὖν πάσχει. 8 ὀδύναι ὀξεῖαι ἐπιπίπτουσι, καὶ οὐκ ἐκλείπουσιν οὐδὲ μίαν ὥρην, ἀλλ' αἰεὶ μᾶλλον πιέζουσιν. 9 ἔστι δ' ὅτε καὶ ἐμέει χολὴν ὠχρήν. 10 καὶ, ὁκόταν ἐμέσῃ, ἐπ' ὀλίγον δοκέει ῥάων εἶναι. 11 ἢν δὲ μὴ ἀπεμέσῃ, ἐς τοὺς ὀφθαλμοὺς ἡ χολὴ καθίσταται, καὶ ὠχροὶ γίνονται σφόδρα. 12 καὶ οἱ πόδες οἰδέουσι. 13 ταῦτα πάσχει, ποτὲ μὲν σφόδρα, ποτὲ δὲ ἧσσον. 14 ὁκόταν δὲ αἱ ἡμέραι παρέλθωσιν, ἐν ᾗσι κρίνεται τὸ νόσημα, ὅ, τε πόνος ἐλαττόνως ἔχῃ, ἢν ἀναμάρτητος ᾖ, διαιτεῖν χρὴ τοιαύτῃ διαίτῃ, ᾗ καὶ πρόσθεν. 15 ἢν γὰρ μεθυσθῇ παρὰ καιρὸν, ἢ λαγνεύσῃ, ἢ ἄλλο τι ποιήσῃ μὴ ἐπιτήδειον, 16 τὸ ἧπαρ παραχρῆμα γίνεται σκληρὸν αὐτέῳ, καὶ οἰδέει, καὶ σφύζει ὑπὸ τῆς ὀδύνης. 17 καὶ, ἤν τι σπεύσῃ, πονέει ἐξαπίνης τὸ ἧπαρ καὶ τὸ σῶμα ἅπαν. 18 τοῦτον, ὁκόταν οὕτως ἔχῃ, καὶ αἱ πρῶται ἡμέραι παρέλθωσι, πυριῆσαι. 19 εἶτα ὑποκαθῆραι τῷ σκαμμωνίῳ. 20 ἢν δὲ ἡ κοιλίη ξυγκεκαυμένη ᾖ, κλύσαι ἐν τοῖσιν αὐτοῖσιν, οἷσι καὶ τοὺς πρόσθεν, ὅ, τι ἄξει καλῶς. 21 καὶ, μετὰ τὸν κλυσμὸν, ὀνείῳ γάλακτι

tate. 47 Hæc si servaverit, non est timor ut morbus revertatur. 48 Nam hujusmodi morbus gravis est ac diuturnus.

XXXI. Alius hepaticus morbus. 2 Dolores quidem eodem modo premunt in hepar, 3 & color differt à priore. Malicorii enim formam habet. 4 In tempore vero æstatis maxime incidit. 5 Fit autem à bubulæ carnis esu, & vini potu nimio. 6 Hæc enim omnia isto anni tempore hepati sunt infestissima, & bilem maxime ad hepar adducunt. 7 Hæc igitur æger patitur. 8 Dolores acuti incidunt, & non deficiunt ulla hora, sed semper magis premunt. 9 Aliquando etiam vomit bilem pallidam: 10 & ubi vomuit, paulo melius sibi habere videtur. 11 Si vero non vomuerit, bilis ad oculos pervenit, & fiunt valde pallidi. 12 Et pedes intumescunt. 13 Atque hæc patitur, quandoque valde, quandoque minus. 14 Quum autem dies præterierint in quibus morbus judicatur, dolor minus urget, si nihil deliquerit; & ejusmodi diætam huic constituere oportet, qualem & priori. 15 Si enim inebriatus fuerit intempestive, aut venere usus fuerit, aut aliud quid fecerit quod commodum non est, 16 hepar statim ipsi durum fit, & intumescit, ac à dolore pulsat. 17 Et si quid facere festinarit, derepente hepar & totum corpus dolet. 18 Huic ubi sic habuerit, & primi dies præterierint, fomentum adhibeto: 19 deinde scammonio subpurgato. 20 Si vero venter combustus fuerit, clysterem ex iisdem quibus in prioribus usus es adhibeto, quæ probe ducant: 21 & post clysterem lacte asinino cocto sub-

γάλακτι ἑφθῷ ὑποκαθῆραι, ὀκτὼ κοτύλησι. 22 μέλι δὲ παραχέων διδόναι πίνειν. 23 διδόναι δὲ καὶ τὸ αἴγειον γάλα, τρίτον μέρος μελικρήτου παραμίσγων, τὸ ἑωθινὸν, τετρακότυλον κύλικα. 24 διδόναι δὲ καὶ ἑφθοῦ τοῦ αἰγείου δύο κοτύλας, 40 τρίτον μελικρήτου παραμίσγων, ἢ αὐτὸ μοῦνον μέλι παραχέων. 25 διδόναι δὲ καὶ τὸ ἵππειον γάλα τὸν αὐτὸν τρόπον τῷ ὀνείῳ. 26 κἢν μὲν ὑπὸ τούτων μελετωμένη ἡ νοῦσος ἐξέλθῃ, ἅλις. 27 ἢν δὲ μὴ, τάμνειν τοῦ δεξιοῦ ἀγκῶνος τὴν εἴσω φλέβα, καὶ ἀφιέναι τοῦ αἵματος. 28 ἢν δέ σοι μὴ δοκέῃ, ὀνείῳ γάλακτι ὑποκαθῆραι, 29 ἢ βοείου γάλακτος ὠμοῦ διδόναι δύο κοτύλας, τρίτον μελικρήτου παραμίσγων ἑκάστης ἡμέρης, ἐπὶ ἡμέρας δέκα. 30 εἶτα ἄλλας δώδεκα, ἕκτον μέρος τοῦ μελικρήτου παραχέων, πίνειν διδόναι. 45 31 τὸ δὲ γάλα αὐτὸ τὸ λοιπὸν διδόναι, ἕως ἂν ἀναπιανθῇ, δύο κοτύλας. 32 ἢν δὲ μηδὲ οὕτω παύηται, καῦσαι χρὴ, ὁκόταν μέγιστον τὸ ἧπαρ γένηται, καὶ ἐξεστήκῃ μάλιστα. 33 καῦσαι δὲ ἐν πυξίνοισιν ἀτράκτοισι, βάπτων ἐς ἔλαιον ζέον. 34 προστιθέναι δὲ, ἕως ἄν σοι δοκέῃ καλῶς ἔχειν, καὶ κεκαῦσθαι. 35 ἢ μύκησιν ὀκτὼ ἐσχάρας καῦσαι. 36 ἢν γὰρ τύχῃς καύσας, ὑγιέα ποιήσεις, καὶ τὸν λοιπὸν χρόνον ῥᾷον διάξει. 37 ἢν δὲ μὴ τύχῃ καυθεὶς, ὑπὸ τῶν ἄλλων λοιπὸν ὑγιὴς μὴ γινόμενος, φθειρόμενος ἀποθνήσκει.

XXXII. Ἡπατῖτις ἄλλη. 2 τὰ μὲν ἄλλα πλῆθος τὰ αὐτὰ πάσχει τῇσι πρόσθεν. 3 ἡ δὲ χροιὴ μέλαινα. 4 τοῦ δὲ ἥπατος ἡ χολὴ φλέγματος καὶ αἵματος πλησθεῖσα, ὡς λογιζόμεθα, διαρρήγνυται. 5 καὶ, ὁκόταν διαρ-

subpurgato, octo heminis ejus, 22 melle affuso, in potu datis. 23 Dato etiam caprinum lac mane poculi quatuor heminas complectentis mensura, tertia parte aquæ mulsæ ammixta. 24 Dato item cocti lactis caprini heminas duas, tertia aquæ mulsæ parte ammixta, aut ipso solo melle affuso: 25 dandum est etiam equinum lac, eodem modo velut asininum. 26 Et siquidem ab his morbus curatus cedat, satis est; 27 sin minus, dextri cubiti internam venam secato, & sanguinem detrahito. 28 Si vero non visus fuerit tibi per asininum lac subpurgandus esse, 29 bubuli lactis crudi duas heminas dato, tertia aquæ mulsæ parte ammixta, quotidie ad dies decem. 30 Deinde ad alios duodecim dies, sexta parte aquæ mulsæ affusa, ad bibendum dato. 31 De cætero vero ipsum lac duarum heminarum mensura, donec pinguefiat exhibeto. 32 Si vero neque sic desinat, urere oportet, quum maximum hepar factum fuerit, & maxime eminuerit. 33 Urito autem per buxeos fusos, in oleum fervens tinctos. 34 Apponito autem donec tibi bene habere, & ustionem factam esse visum fuerit. 35 Aut per fungos octo crustas inurito. 36 Si enim ustio successerit, sanum facies, & reliquo tempore melius deget. 37 Si vero non successerit, de cætero ab aliis sanus non evadens, corrumpitur ac moritur.

XXXII. Alius morbus hepaticus. 2 Reliqua quidem eadem patitur hic æger velut priores. 3 Color autem niger est. 4 At hepatis fel, pituita & sanguine repletum, velut ratiocinamur, dirumpitur: 5 & ubi diruptum fue-

διαφθαρῇ, τάχιστα μαίνεται, [6] καὶ ἀγανακτεῖ, [7] καὶ διαλέγεται ἀσύνετα, [8] καὶ ὑλακτεῖ ὡς κύων. [9] Καὶ οἱ ὄνυ- 90
5 χες φοινικέοι εἰσί. [10] καὶ τοῖσιν ὀφθαλμοῖσιν οὐ δύναται ὁρῆν. [11] καὶ τρίχες αἱ ἐν τῇ κεφαλῇ ὀρθαὶ ἵστανται. [12] καὶ πυρετὸς ὀξὺς ἐπιλαμβάνει. [13] τούτῳ χρὴ προσφέρειν τὰ αὐτὰ, ἃ καὶ τοῖσι πρόσθεν. [14] οἱ δὲ πολλοὶ ἀποθνήσκουσιν ἐν τῇσιν ἕνδεκα ἡμέρῃσι· παῦροι δὲ διαφυγγάνουσιν.

XXXIII. Σπληνὸς νοῦσος πρώτη. [2] γίνεται δὲ ἡ τοιαύτη νοῦσος διὰ θερμασίην τοῦ ἡλίου χολῆς κινηθείσης, ὁκόταν ἑλκύσῃ ἐφ᾽ ἑωυτὸν χολὴν ὁ σπλήν. [3] τάδε οὖν πάσχει. πυρετὸς ὀξὺς ἐπιγίνεται καὶ ἀρχάς.
10 [4] προϊούσης δὲ τῆς νούσου ἀφίησι, πλὴν καὶ αὐτὸν τὸν σπλῆνα. [5] τούτῳ γὰρ αἰεὶ θέρμη ἔχει. [6] καὶ ὀδύνη ἄλλοτε καὶ ἄλλοτε ἐμπίπτει ὀξέη, καὶ ἐς τὴν λαπάρην, καὶ ἐς τὴν κοιλίην. [7] τὰ δὲ σιτία, κατ᾽ ἀρχὰς προσίεται μὲν, 91 διαχωρέει δὲ οὐ μάλα. [8] προϊούσης δὲ τῆς νούσου, ἥ τε χροιὴ ὠχρὴ γίνεται, [9] καὶ ὀδύνη ἰσχυρὴ ἐμπίπτει, [10] καὶ αἱ κληῖδες λεπτύνονται. [11] καὶ τὰ σιτία οὐκ 92 ὁμοίως προσίεται, ὥσπερ κατ᾽ ἀρχάς. [12] καὶ ἀπὸ ὀλίγου πίμπλαται. [13] ὁ δὲ σπλὴν ἄλλοτε καὶ ἄλλοτε μέζων τῆς
15 αὐτῆς ἡμέρης, καὶ ἄλλοτε ἐλάσσων γίνεται. [14] τοῦτον, ὁκόταν οὕτως ἔχῃ, πίσαι ἐλλέβορον κάτω, ὑποκαθῆραί τε τῷ κνιδίῳ κόκκῳ. [15] ἐς ἑσπέρην δὲ μετὰ τὴν κάθαρσιν, φακῆς δοῦναι τρύβλιον ῥοφέειν ὀξυτέρης, καὶ τεύτλων τρύβλιον λιπαρῶν, ἄλφιτα ἐπιπάσας. [16] τῇ δ᾽ ὑστεραίῃ καὶ τῇ τρίτῃ, ἄρτον μικρὸν δοῦναι. [17] ὄψῳ δὲ φακῇ χρείσθω. [18] καὶ ὑὸς κρέας ἐν τῇ φακῇ ἑφθὸν τετριμμένον. [19] οἶνον δὲ πινέτω αὐστηρὸν, μέλανα, ἀκρητέστερον, καὶ ὀλίγον. 93

[20] καὶ

fuerit, celerrime insanit, [6] & indignatur, [7] & loquitur stulta, [8] & latrat velut canis. [9] Et ungues 260 punicei fiunt, [10] & oculis videre non potest, [11] & pili in capite erecti stant: [12] & febris acuta corripit. [13] Huic eadem adhibere oportet quæ etiam prioribus. [14] Plerique vero moriuntur in undecim diebus: paucique effugiunt.

XXXIII. Splenis morbus primus. [2] Fit hujusmodi morbus propter caliditatem solis bile commota, quum splen in seipsum bilem traxerit. [3] Hæc igitur æger patitur: febris acuta in principio accedit: [4] progrediente 265 vero morbo remittit, excepto ipso splene, [5] in quo semper calor hæret: [6] & dolor alias atque alias incidit acutus, & in lateris mollitudinem, & in ventrem. [7] Et cibos in principio quidem admittit, non autem valde secedunt: [8] progressu autem temporis, & color pallidus fit, [9] & dolor fortis irruit: [10] & claviculæ attenuantur: [11] & cibos non similiter admittit, velut in principio, [12] & à modico impletur. [13] Lien vero alias ma- 270 gnus fit eadem die & alias minor. [14] Huic quum sic habuerit, veratrum purgans deorsum, bibendum dato, & cnidio cocco subpurgato. [15] Ad vesperum autem post purgationem, lenticulæ acidioris heminam sorbendam dato: & betarum pinguium heminam polenta inspersa. [16] Postera vero & tertia die panem parvum dato, [17] pro obsonio autem lenticula utatur, [18] & carne suilla in lenticula cocta trita. [19] Vinum bibat au- 275 sterum, nigrum, paulo meracius.

[20] Et

20 ²⁰ καὶ ἡσυχίην ἐχέτω ταύτας τὰς ἡμέρας, πλὴν ἔνδον ὀλίγα περιπατείτω ἐν σκιῇ. ²¹ τὸν δὲ λοιπὸν χρόνον τά τε χρὴ προσφέρεσθαι. ²² σιτίον μὲν, ἄρτον αὐτόπυρον· ²³ ὄψον δὲ ἐχέτω, κρέας κυνὸς μέζονος, ἢ αἰγὸς, ἢ οἰὸς τετριμμένον· ²⁴ καὶ τάριχος γαδειρικὸν, ἢ σαπέρδην, καὶ τὰ ὀξέα καὶ τὰ ἁλμυρὰ πάντα προσφερέσθω, καὶ τὰ στρυφνά. ²⁵ πινέτω δὲ οἶνον κῷον ὑπόστρυφνον ὡς μελάντατον. ²⁶ τῶν δὲ γλυκέων καὶ λιπαρῶν ἀπεχέσθω, καὶ κνισωδέων. ²⁷ καὶ σίλφιον μὴ 25 προσφερέσθω, ²⁸ μηδὲ σκόροδα, ²⁹ μηδὲ κρέας χοίρειον, ³⁰ μηδὲ κεστρέα, ³¹ μηδὲ νεαρὸν, ³² μηδὲ τάριχον, ³³ μηδὲ ἔγχελυν, ³⁴ μηδὲ λάχανον, ³⁵ μηδὲ ἑφθὸν ἄνευ ὄξεος. ³⁶ τρωξίμων δὲ, ῥαφανῖδι χρεέσθω, καὶ σελίνῳ ἐς ὄξος βάπτων, καὶ οἴνῳ ἄλφιτα φυρῶν ἐσθιέτω. ³⁷ καὶ τοῦ οἴνου ῥοφεέτω ἄκρητον. ³⁸ ἢν δὲ βούληται, καὶ τὸν ἄρτον ἐς τὸν οἶνον ἐνθρύπτων, ἐσθιέτω θερμόν. ³⁹ διδόναι δὲ καὶ ἰχθύων, σκορπίον, δράκοντα, κόκκυγα, κωβιὸν, καλλιώνυμον. ⁴⁰ τούτους ἑφθοὺς καὶ ψυχροὺς διδόναι. ⁴¹ διδόναι δὲ καὶ, 30 ἃ μέλλει τὸν σπλῆνα λεπτύνειν, ἑκάστης ἡμέρης· ⁴² ἀσφοδέλου τὸν καρπὸν, ⁴³ ἢ ἰξοῦ τὰ φύλλα, ⁴⁴ ἢ αἰγὸς κέρας, ⁴⁵ ἢ ἄγνου καρπὸν, ⁴⁶ ἢ πήγανον, ⁴⁷ ἢ ἡδυόσμου ῥίζαν. ⁴⁸ τούτων τρίβων ὅ, τι ἂν βούλῃ, διδόναι ἐν οἴνῳ κοτύλην αὐστηρῷ νήστει. ⁴⁹ ἢν δὲ δυνατὸς ᾖ, ἀναγκάζειν αὐτὸν περὶ ξύλα τριήκοντα ἡμέρας. ⁵⁰ καὶ ἀπ᾽ ἄκρων τῶν ὤμων παλαιέτω. ⁵¹ καὶ περιπατείτω δι᾽ ἡμέρης. ⁵² καὶ ὀψὲ εὑδέτω· πρωῒ δὲ ἐγειρέσθω. ⁵³ καὶ σιτεέσθω, ἃ προείρηται. ⁵⁴ ἢν δὲ μὴ ὑπὸ τούτων ῥήϊον, καίειν τὸν σπλῆνα 35 μύκησι, ⁵⁵ δέκα ἐσχάρας μεγάλας

²⁰ Et quietem his diebus habeat, nisi quod intus in umbra paululum deambulet. ²¹ Reliquo vero tempore hæc exhibenda sunt. ²² Cibus sit panis cui nihil furfurum decessit. ²³ Obsonium habeat carnem canis majoris, vel capræ, vel oviculæ tritam: ²⁴ & salsamentum gaditanum, aut saperdam: & acida ac salsa omnia assumat, & acerba. ²⁵ Bibat vinum coum subastringens quam nigerrimum: ²⁶ à dulcibus autem & pinguibus ac nidorosis abstineat: ²⁷ & silphium non accipiat, ²⁸ neque allium, ²⁹ neque carnem porcinam: ³⁰ neque mugilem, ³¹ nec recentem ³² nec 94 salsum, ³³ neque anguillam: ³⁴ neque olus ullum ³⁵ coctum sine aceto. ³⁶ Ex troximis autem, hoc est his quæ cruda eduntur, raphanide utatur & apio, in aceto tinctis, & polentam vino subactam edat: ³⁷ & vinum meracum sorbeat. ³⁸ Si vero velit etiam panem in vinum interat, ac calidum edat. ³⁹ Dentur etiam pisces, scorpius, draco, cuculus, gobio, callionymus. ⁴⁰ Hos coctos & frigidos dato. ⁴¹ Dato etiam quæ splenem attenuare possunt singulis diebus, ⁴² asphodeli semen, ⁴³ aut visci folia, ⁴⁴ 95 aut fœnum græcum, ⁴⁵ aut viticis semen, ⁴⁶ aut rutam, ⁴⁷ aut mentæ radicem: ⁴⁸ ex his quod-96 cunque volueris, tritum in vino austero dato jejuno. ⁴⁹ Si vero adeo validus fuerit, per triginta dies ad ligna secanda cogito: ⁵⁰ & summis humeris luctetur: ⁵¹ & interdiu deambulet, ⁵² & vespere dormiat: mane vero surgat, ⁵³ & quæ relata sunt edat. ⁵⁴ Si vero ab his non melius habeat, splenem fungis urito, ⁵⁵ decem magnis crustis inustis, quum

λας, ὁκόταν μέγιστος ᾖ ὁ σπλὴν, καὶ ἐξηερμένος μάλιστα. 56 ἢν γὰρ τύχης καύσας, ὡς δεῖ, ὑγιέα ποιήσεις, ἀλλ' οὐκ ἐν τάχει. 57 ἡ δὲ νοῦσος δέεται θεραπείης. 58 χαλεπὴ γὰρ καὶ χρόνιος, ἢν μὴ παραχρῆμα μελετηθῇ.

XXXIV. Ἄλλη νοῦσος σπληνός. 2 γίνεται μὲν ἀπὸ τῶν αὐτῶν, ἀφ' ὧν καὶ ἡ πρόσθεν. 3 πάσχει οὖν ὑπὸ ταύτης τῆς νούσου τάδε. 4 ἡ γαστὴρ φυσᾶται. 5 μετὰ δὲ καὶ ὁ σπλὴν οἰδέει, καὶ σκληρός ἐστι, 6 καὶ ὀδύναι ὀξεῖαι ἐμπίπτουσιν 40 ἐς τὸν σπλῆνα. 7 ἡ δὲ χροιὴ τρέπεται, καὶ ὁρᾶται μέλας, ὕπωχρος, σιδιοειδής. 97 8 καὶ ἐκ τῶν ὤτων κακὸν ὄζει. 9 καὶ τὰ οὖλα κακὸν ὄζει, καὶ ἀπὸ τῶν ὀδόντων ἀφίσταται. 10 καὶ ἐκ τῶν κνημέων ἕλκεα ἐκρήγνυται, ὁκοῖά περ ἐπινυκτίδες. 11 τὰ δὲ γυῖα λεπτύνεται. 12 καὶ ἡ κόπρος οὐχ ὑποχωρέει. 13 τοῦτον, ὁκόταν οὕτως ἔχῃ, μελετᾶν τοῖσιν αὐτοῖσι φαρμάκοισι καὶ ἐδέσμασι, καὶ ποτῷ, καὶ ταλαιπωρίῃσι, καὶ τοῖσιν ἄλλοισι πᾶσι. 14 καὶ ὑποκλύζειν, ὁκόταν μὴ θέλῃ ἡ κόπρος διαχωρέειν, ἐν τούτοισι· 15 μέλιτος 45 ἡμικοτύλιον, καὶ νίτρου αἰγυπτίου ὁκόσον ἀστράγαλον οἰός. 16 ταῦτα τρίψας διεῖναι ἀπὸ τεύτλων ἑφθῶν ὕδατι τέσσαρσι κοτύλῃσιν· εἶτα οὕτω κλύζειν. 17 ἢν δὲ μὴ ὑπὸ τούτων ἡ νοῦσος καθίστηται, καῦσαι αὐτοῦ τὸν σπλῆνα, ὡς τὸν πρόσθεν. 18 καὶ ἢν τύχῃς καύσας, ὑγιέα ποιήσεις.

XXXV. Ἄλλη νοῦσος σπληνός. 2 γίνεται μὲν τοῦ ἔτεος, ἦρος ὥρῃ μάλιστα· 3 ἀπὸ δὲ αἵματος. 4 ὁκόταν γὰρ ἐμπλησθῇ ὁ σπλὴν αἵματος, ἐκρήγνυται ἐς τὴν κοιλίην, 5 καὶ ὀδύναι ὀξεῖαι 204 ἐς τὸν σπλῆνα ἐμπίπτουσι, καὶ ἐς τὸ στῆθος, καὶ ἐς τὴν κληῖδα, καὶ ἐς τὸν ὦμον, καὶ ὑπὸ τὴν ὠμοπλάτην. 6 ἡ δὲ χροιὴ τοῦ γυίου μολιβδοειδής. 7 καὶ ἀμυχαὶ ἐν

quum maximus fuerit splen, & maxime elevatus. 56 Si enim successerit ustio facta velut oportet, sanum facies, verum non brevi. 57 Opus enim habet morbus cu- 295 ratione. 58 Gravis est enim & diuturnus, si non fuerit statim curatus.

XXXIV. Alius splenis morbus 2 fit quidem ab iisdem à quibus & prior. 3 Patitur igitur æger ab hoc morbo hæc. 5 Venter inflatur: 6 postea vero etiam splen intumescit, & durus est, 7 & dolores acuti in splenem incidunt. 7 Color autem mutatur, & conspicitur niger, pallidus, malicorii speciem referens, 8 & ex aure male olet, 9 & gingivæ male olent, & à dentibus discedunt: 300 10 & ex tibiis, ulcera erumpunt, velut pustulæ nocturnæ. 11 Membra vero attenuantur, 12 & stercus non secedit. 13 Hunc quum sic habuerit, iisdem pharmacis & eduliis, & potibus, & laboribus, atque aliis omnibus curato: 14 & ubi stercus secedere noluerit, clysterem adhibeto, 15 ex mellis hemina dimidia, & nitri ægyptii magnitudine tali ovilli. 16 Hæc trita in quatuor heminis aquæ de betis coctis diluito, & 305 per clysterem infundito. 17 Si vero morbus ab his non sedetur, splenem ipsius urito velut prioris: 18 & si ustio successerit, sanum efficies.

XXXV. Alius splenis morbus fit, in anno, 2 veris maxime tempore, 3 verum à sanguine. 4 Quum enim repletus fuerit splen sanguine, erumpit in ventrem, 5 & dolores acuti in splenem incidunt, & in mammam, & in claviculam, & in humerum, & sub 310 scapulam. 6 Color autem corporis est plumbiformis: 7 & parva ulcus-

ἐν τῇσι κνήμῃσι λαμβάνει. [8] καὶ ἕλκεα μεγάλα γίνεται ἐξ αὐτέων. [9] καὶ τὰ κάτω ὑποχωρέοντα ἅμα τῇ κόπρῳ αἱματώδεα καὶ ἰώδεα. [10] καὶ ὑπέχει ἡ γαστὴρ σκληρή. [11] καὶ ὁ σπλὴν καθάπερ λίθος ἐστίν. [12] οὗτος τῶν πρόσθεν θανατωδέστερος. καὶ ἐξ αὐτέου παῦροι διαφυγγάνουσι. [13] τοῦτον, ὁκόταν ὧδε ἔχῃ, τοῖσιν αὐτοῖσι θεραπεύειν, οἷσι καὶ τὸν ἔμπροσθεν, [14] πλὴν ἄνω φάρμακον μὴ δῷς. [15] κάτω δὲ, τοῦ κόκκου τοῦ κνιδίου δοῦναι. [16] καὶ τῇ ὑστεραίῃ ἱππείου γάλακτος ἑφθοῦ ὀκτὼ κοτύλας, μέλι παραχέων. [17] εἰ δὲ μὴ, βοείου ἢ αἰγείου ἑφθοῦ, δύο χοεῦσι μέλι παραμίσγων παρὰ τὴν ἑτέρην κύλικα. [18] ἐναλλὰξ δὲ πινέτω. [19] ἐς δὲ τὴν ἑσπέρην διδόναι μετὰ τὴν κάθαρσιν ταυτὰ, ἃ καὶ τῷ πρόσθεν μετὰ τὸ φάρμακον. [20] καὶ, ἢν δοκέῃ, τοῦ αἵματος ἀφελεῖν ἀπὸ τοῦ ἀγκῶνος τοῦ ἀριστεροῦ τῆς εἴσω φλεβός. [21] τὰς δὲ λοιπὰς τῶν ἡμερέων διδόναι νήστει ἑκάστης ἡμέρης βοείου γάλακτος τέσσαρας κοτύλας, τρίτον μέρος ἅλμης παραμίσγων. [22] σιτίοισι δὲ καὶ ποτοῖσι καὶ τοῖσιν ἄλλοισι τοῖσιν αὐτοῖσι θεραπεύειν, οἷσι καὶ τὸν πρόσθεν. [23] ἀπέχεσθαι δὲ λαγνείης καὶ οἰνοφλυγίης καὶ τοῦτον ὥσπερ τὸν πρόσθεν. [24] καὶ ἤν σοι δοκέῃ, καῦσαι, ὁκόταν παχύτατος καὶ μέγιστος ὁ σπλὴν γένηται. [25] καὶ ἢν τύχῃς καύσιος τοῦ καιροῦ, ὑγιέα ποιήσεις. [26] ἢν δὲ μὴ ἀπὸ ταύτης τῆς ἰήσιος ὑγιὴς γένηται, φθειρόμενος χρόνῳ θνήσκει. [27] ἡ γὰρ νοῦσος λίην ἐστὶ χαλεπή.

XXXVI. Ἄλλη νοῦσος σπληνός. [2] προσπίπτει καὶ αὕτη ἡ νοῦσος ἔαρος μάλιστα, [3] ὁκόταν φλέγμα ἀναλάβῃ ὁ σπλὴν ἐς ἑωυτὸν, [4] καὶ μέγας παραχρῆμα γίνηται καὶ σκλη-

ulcuſcula velut lancinata in tibiis exurgunt, [8] ex quibus ulcera magna fiunt: [9] & quæ primum infra ſecedunt, ſanguinolenta ſunt & æruginoſa: [10] & venter durus ſubit, [11] & ſplen velut lapis eſt. [12] Hic morbus magis lethalis eſt quam priores, & ex ipſo pauci effugiunt. [13] Hunc quum ſic habuerit, iiſdem purgato quibus & priorem, [14] veruntamen pharmacum ſurſum purgans ne dederis. [15] Deorſum vero granum cnidium exhibeto. [16] Et poſtera die etiam lactis equini cocti octo heminas dato, melle affuſo. [17] Si vero hoc non adſit, bubuli aut caprini cocti duos congios præbeto, ita ut alternatim mel in poculum ammiſceatur, [18] & viciſſim bibantur. [19] Ad veſperam autem poſt purgationem eadem quæ priori dato. [20] Et ſi viſum fuerit, ab interna cubiti ſiniſtri vena ſanguinem detrahito. [21] Reliquis autem diebus quotidie in jejuno lactis bubuli quatuor heminas dato, tertia muriæ parte ammixta. [22] Cibis vero & potibus & aliis omnibus iiſdem curato, quibus & priorem. [23] Abſtineat autem à venere, & ebrietate hic velut prior. [24] Et ſi videatur etiam urito, quum craſſiſſimus & maximus ſplen factus fuerit: [25] & ſi opportune uſſeris, ac ſucceſſerit, ſanum facies. [26] Si vero ab hac curatione ſanus non fiat, tempore corruptus moritur. [27] Eſt enim morbus valde gravis.

XXXVI. Alius ſplenis morbus. [2] Accidit & hic morbus vere maxime, [3] quum ſplen pituitam aſſumpſerit in ſeipſum, [4] & ſtatim magnus factus fuerit ac durus, & deinde rurſus ſeda-

σκληρός· εἶτ' αὖθις καθίσταται. 5 Καὶ, ὅταν μὲν ἐξηερμένος ᾖ, ὀδύναι ὀξεῖαι ἐμπίπτουσιν· ὁκόταν δὲ λαπαρὸς ᾖ, ἀνώδυνός ἐστι. 6 Καὶ, ὁκόταν χρόνος ἐγγένηται τῇ νούσῳ, ἀμαυροτέρη δοκέει, καὶ ἐπανίσταται, καὶ ταχέως καθίσταται. 7 Οὗτος, ὁκόταν οὕτως ἔχῃ, κατ' ἀρχὰς τῆς νούσου καὶ τὰ σιτία οὐ δύναται προσίεσθαι, καὶ ταχέως καταλεπτύνεται, καὶ ἀκρασίην ἔχει τὸ σῶμα πολλήν. 8 Τὸ δὲ νόσημα, ἢν μὴ παραχρῆμα θεραπευθῇ, ἢ αὐτόματον καταστῇ, διαλιπὸν πέντε μῆνας ἢ ἕξ, αὖθις ἐπανίσταται. 9 Διαλιμπάνει δὲ μάλιστα τὸν χειμῶνα. 10 Τοῦτον κατ' ἀρχὰς ἢν λάβῃς, καῦσον δέκα ἐσχάρας ἐς τὸν σπλῆνα, καὶ παραυτίκα ὑγιέα ποιήσεις. 11 Ἢν δὲ μὴ καύσῃς, τοῖσιν αὐτοῖσι φαρμάκοισιν ἰῆσθαι, οἷσι καὶ τοὺς πρόσθεν, καὶ ἐδέσμασι, καὶ ποτοῖσι, καὶ ταλαιπωρίῃσιν. 12 Οὕτω γὰρ ἂν τάχιστα ὑγιέα ποιήσῃς. 13 Τούτου δὲ ἡ χροιὴ γίνεται ἔκλευκος, ὑπώχρος, καὶ αὐχμηρή.

XXXVII. Ἄλλη νοῦσος σπληνός. 2 Γίνεται μετοπώρου μάλιστα ἀπὸ χολῆς μελαίνης. 3 Γίνεται δὲ ἀπὸ λαχανοφαγίης τρωξίμων πολλῶν, καὶ ὑδροποσίης. 4 Πάσχει οὖν τάδε. 5 Ὁκόταν τὸ νόσημα λάβῃ, ἀλγέει τὸν σπλῆνα σφόδρα. 6 Καὶ ῥῖγος καὶ πυρετὸς ἐπιλαμβάνει. 7 Καὶ ἀσιτίη ἔχει αὐτόν, 8 τό, τε γυῖον ξυμπίπτει ταχέως. 9 Ὁ δὲ σπλὴν μέγας μὲν πάνυ οὐ γίνεται, σκληρὸς δέ. 10 Καὶ περιπίπτει περὶ τὰ σπλάγχνα. 11 Καὶ μύζει προσκείμενος. 12 Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, τοῖσιν αὐτοῖσιν ἰῆσθαι καὶ φαρμάκοισι καὶ βρωτοῖσι καὶ ταλαιπωρίῃσιν, οἷσιν ἂν καὶ τοὺς πρόσθεν. 13 Καὶ, ἢν σοι παρέχῃ, καῦσαι αὐτὸν τρόπον, ὃν περ καὶ τοὺς ἄλλους. 14 Αὕτη ἡ νοῦσος τοῖσι πολλοῖσιν, ἢν παραχρῆμα μελετηθῇ, ταχὺ ἐξέρχεται.

sedatur. 5 Et quum quidem elevatus fuerit, dolores incidunt acuti. Quum vero mollis fuerit, doloris exors est. 6 Et ubi diuturnus factus fuerit morbus, obscurior esse videtur: & insurgit, & cito sedatur. 7 Hic quum sic habuerit, in principio morbi cibos admittere non potest, & cito attenuatur: & corpus impotentiam multam habet. 8 Morbus autem si non statim curatus fuerit, aut sua sponte quieverit, interpositis quinque aut sex mensibus, rursus surgit. 9 Intermittit autem maxime per hyemem. 10 Hunc si in principio acceperis, decem crustas in splenem urito, & statim sanum facies. 11 Si vero non usseris, iisdem pharmacis curato, quibus & priores: itemque iisdem, & potibus, ac laboribus. 12 Sic enim celerrime sanum feceris. 13 Hujus autem color fit exalbidus, subpallidus, & squalidus.

XXXVII. Alius splenis morbus. 2 Fit autumno maxime ab atra bile. 3 Fit autem ab olerum multorum quæ cruda eduntur esu, & ab aquæ potu. 4 Patitur itaque æger hæc. 5 Quum morbus corripuerit, splenem vehementer dolet, 6 & rigor & febris apprehendit, 7 & inedia ipsum habet, ac cibos aversatur, 8 & corpus cito concidit. 9 Splen autem, magnus quidem non valde fit, verum durus: 10 & ad viscera allabitur, 11 & adhærens surgit. 12 Hunc quum sic habuerit, iisdem pharmacis & eduliis ac laboribus quibus priores curato. 13 Et si se tibi exhibuerit, urito ipsum eo modo quo etiam alios. 14 Hic morbus in plerisque si statim curatus fuerit, brevi decedit.

XXXIIX. Ἴκτεροι τέσσαρες. ² Ὁ μὲν οὖν θέρεος μάλιστα ἐπιλαμβάνει, χολῆς κινηθείσης. ³ ἵσταται οὖν ἡ χολὴ ὑπὸ τοῦ δέρματος καὶ ἐν τῇ κεφαλῇ. ⁴ ὥστ' εὐθὺς ἀλλοχροέει τὸ σῶμα, καὶ γίνεται ὠχρὸν, ὁκοῖόν περ σίδιον. ⁵ καὶ οἱ ὀφθαλμοὶ ὠχροί. ⁶ καὶ ἐν τῇ κεφαλῇ ὑπὸ τὰς τρίχας οἷον φλοιὸς ὕπεστι. ⁷ καὶ ῥῖγος καὶ πυρετὸς ἐπιλαμβάνει. ⁸ καὶ οὐρέει ὠχρὸν τὸ οὖρον, καὶ ὑφίσταται ὑπ' αὐτοῦ παχὺ ὕπωχρον. ⁹ καὶ τὸ ἕωθεν, ἕως ἂν νῆστις ᾖ, πρὸς τὴν καρδίην καὶ τὰ σπλάγχνα μύζει. ¹⁰ καὶ, ὁκόταν τις αὐτῷ προσφθέγξηται ἢ ἐρωτήσῃ, ἄχθεταί τε καὶ λυπέεται, καὶ οὐκ ἀνέχεται ἀκροώμενος. ¹¹ ὁ δὲ ἀπόπατος πρόεισιν ὠχρόλευκος καὶ κάκοδμος. ¹² οὗτος, ὁκόταν ὧδε ἔχῃ, θνήσκει μάλιστα ἐν τῇσι τεσσαρεσκαίδεκα ἡμέρῃσιν. ¹³ ἢν δὲ ταύτας διαφύγῃ, ὑγιὴς γίνεται. ¹⁴ μελετᾶν δὲ αὐτὸν χρὴ ὧδε. ¹⁵ ὁκόταν ὁ πυρετὸς ἀνῇ, λούειν πολλῷ καὶ θερμῷ, ¹⁶ πίνειν τε διδόναι μελίκρητον. ¹⁷ καὶ ῥοφήμασι διαχρεέσθω πτισάνης χυλῷ, μέλι παραχέων. ¹⁸ καὶ μὴ συνεψεῖν τὸ μέλι, ἕως ἂν αἱ δεκατέσσαρες ἡμέραι παρέλθωσιν. ¹⁹ αὗται γὰρ κρίνουσιν, ἢν θανάσιμον, ἢ οὔ. ²⁰ μετὰ δὲ ταῦτα λούειν δὶς τῆς ἡμέρης, καὶ σιτέειν τὸ πρῶτον ὀλίγοισιν, ὅσα ἂν μάλιστα προσίηται· ὕστερον πλείω μέντοι διδόναι. ²¹ πινέτω δὲ οἶνον λευκὸν ὡς πλεῖστον δι' ἡμέρης. ²² καὶ, ἢν σοι δοκέῃ προϊόντος τοῦ χρόνου ὠχρὸς εἶναι καὶ ἀσθενὴς, ἔμετον κελεύειν ποιέεσθαι ἀπὸ τῶν σιτίων, ὡς ἐν τῇσιν ἄνω νούσοισιν ἔχει. ²³ καὶ, ἢν μὲν ἀπὸ τούτων παύσηται, ἅλις. ²⁴ ἢν δὲ μὴ, ἐλλέβορον πίσαι. ²⁵ μετὰ δὲ τὴν τοιαύτην κάθαρσιν, ἑσπέρην φαγέτω μᾶζαν μαλθακὴν, ἢ ἄρτου τὸ ἐντός. ²⁶ ὄψον δὲ ἐσθιέτω,

XXXIIX. Quatuor morbi regii. ² Primus quidem æstate maxime corripit, bile commota. ³ Consistit igitur bilis sub cute, & in capite, ⁴ quare statim corpus in alium colorem mutat, & fit pallidum, velut malicorium. ⁵ Et oculi pallidi fiunt: ⁶ in capite sub pilis velut cortex subest: ⁷ & rigor ac febris corripit: ⁸ & pallidam urinam mingit, & crassum subpallidum in ipsa subsidet, ⁹ & mane quamdiu jejunus fuerit, ad cor & viscera exugitur: ¹⁰ & si quis ipsum alloquatur, aut interroget, ægre fert, & anxius fit, & non sustinet audire. ¹¹ Stercus autem excretum cum pallore albicat, & male olet. ¹² Hic quum ita habuerit, maxime moritur in quatuordecim diebus. ¹³ Si vero has effugiat, sanatur. ¹⁴ Curare autem oportet ipsum sic. ¹⁵ Quum febris remiserit, multa calida lavato, ¹⁶ & aquam mulsam bibendam dato. ¹⁷ Et sorbitionibus utatur, ptisanæ succo, melle affuso. ¹⁸ Mel autem non simul coquito, donec præterierint quatuordecim dies. ¹⁹ Hi enim judicant an lethalis sit morbus, aut non. ²⁰ Postea vero bis in die lavato, & nutrito primum modicis quæcunque maxime admiserit. Postea tamen plura dato. ²¹ Vinum bibat album plurimum per diem: ²² & si in progressu temporis videatur tibi pallidus esse & debilis, vomitum à cibis facere jubeto, velut in superioribus morbis habetur. ²³ Et siquidem ab his morbis quiescat, satis est. ²⁴ Sin minus, veratrum bibendum dato. ²⁵ Post talem autem purgationem, ad vesperam edat mazam mollem, aut panis medullam. ²⁶ Obsonium

τω, νεοσσὸν ἀλεκτορίδος δίεφθον, ἀξαμολυμένον κρομμύῳ, καὶ κοριάννῳ, καὶ τυρῷ, καὶ ἁλὶ, καὶ σησάμῳ, καὶ σταφίδι λευκῇ. 27 οἶνον δὲ πινέτω λευκὸν, αὐστηρὸν, ὡς παλαιότατον. 28 τὴν δὲ κάτω κοιλίην ὑποκαθαίρειν. 29 τῇ δ' ὑστεραίῃ χυλῷ ἀπ' ἐρεβίνθων λευκῶν. μέλι δὲ χεῖν τῷ χυλῷ παραχέας· τούτῳ δὲ χρείσθω, καὶ ἐκπιέτω δύο κοτύλας τοῦ τοιούτου χυλοῦ. 30 τῇ δὲ τρίτῃ ἀρξάμενος, ἐφ' ἑκάστης ἡμέρης πινέτω τόδε τὸ ὕδωρ, ἀπὸ τῶνδε. 31 ἑψήσας μαράθου ῥίζας λεπτὰς, πλῆθος ὅσον τρισὶ δακτύλοισι περιλαβεῖν, τὴν δραγμίδα ἐμβάλλειν καὶ ἑψεῖν ἐν δυσὶ χοεῦσιν ὕδατος. 32 ἑψεῖν δὲ, ἕως ἂν λειφθῇ τὸ ἥμισυ. 33 καὶ ἐρεβίνθων λευκῶν χοίνικα ἐν δυσὶ χοεῦσι, ἕως ἂν λειφθῇ τὸ ἥμισυ. 34 ταῦτα, ὁκόταν λειφθῇ, διηθήσας ἐξαιθριάσαι, καὶ ἀμφότερα μίξας τούτῳ τῷ ὕδατι, καὶ τὸν οἶνον κιρνάς, πινέτω. 35 καὶ αὐτὸ τὸ ὕδωρ μοῦνον, ἢν βούληται, πινέτω ὡς πλεῖστον· καὶ ἄλλο ὕδωρ μὴ πινέτω. 36 ἢν δὲ τοῦτο τὸ ποτὸν μὴ προσδέχηται, τόδε σκευάσας οὕτω διδόναι. 37 ἰσχάδων λευκῶν χοίνικα ἑψήσας ἐν δυσὶ χοεῦσι, διηθῆσαι καὶ ἐξαιθριάσαι. 38 ἔπειτα τὸ ὕδωρ τοῦτο πινέτω, ἤν τε ψιλὸν αὐτὸ βούληται, ἤν τε ξὺν τῷ οἴνῳ κιρνάς. 39 πινέτω δὲ μὴ ἀθρόον πολὺ, ἀλλὰ κατὰ φορὴν ἡμικοτύλιον, ὅκως μὴ διάρροια αὐτῷ ἐπιγένηται. 40 καὶ διαλιπὼν χρόνον ὀλίγον, πινέτω. 41 ἀγαθὰ δὲ καὶ τάδε διδόναι πίνειν νήστει ἑκάστης ἡμέρης, τρίβοντα λεῖα καὶ διέντα. 42 κοτύλην οἴνου παλαιοῦ λευκοῦ, σελίνου καρπὸν, σικύου σπέρμα, μαράθου καρπὸν, αἰθιοπικὸν κύμινον, ἀδίαντον, κέρειον τὴν

nium vero edat, pullum gallinaceum percoctum, probe conditum cum cepa, coriandro, caseo, sale, sesamo, & uva passa alba. 27 Vinum autem bibat album, austerum, vetustissimum. 28 Alvum vero infra subpurgato: 29 postera die succo cicerum alborum, melle affuso, utatur, & duas heminas hujusmodi succi ebibat. 30 Tertia vero die initio facto, singulis diebus hanc aquam bibat, ex his rebus coctam: 31 Fœniculi radices tenues, ea copia quanta tribus digitis comprehendi potest, in duos aquæ congios mittito, 32 ac coquito usque ad dimidias. 33 Et cicerum alborum chœnicen, in duobus aquæ congiis ad dimidias item coquito, 34 & quod superest excolatum sub dio per integram noctem exponito, & ambo hæc decocta misceto. Cum hac aqua & vinum temperatum bibat, 35 & ipsam aquam solam si velit, quamplurimam bibat: & aliam aquam non bibat. 36 Si vero hanc potionem non admiserit, aliam sic præparatam dato. 37 Caricarum albarum chœnicen in duobus aquæ congiis coquito, excolato, & sub dio per integram noctem exponito. 38 Postea hanc aquam bibat, sive nudam ipsam voluerit, sive cum vino mixtam. 39 Bibat autem non acervatim multam, sed pro una vice dimidiam heminam, ut ne alvi profluvium ipsi succedat: 40 & modico tempore interposito rursus bibat. 41 Commoda autem sunt & hæc in potu data jejuno singulis diebus, trita 42 & in vini veteris albi hemina diluta, apii semen, cucumeris semen, feniculi semen, cuminum æthiopicum, adiantum,

τὴν πολλὴν, ἀσταφίδα λευκήν. 43 ταῦτα πίνων, κἀκεῖνα ὠφεληθήσεται καὶ τάχιστα ὑγιὴς ἔσται.

XXXIX. Ἄλλος ἴκτερος. 2 οὗτος ἐπιλαμβάνει μάλιστα χειμῶνος ἐν ὥρῃ, ἐκ μέθης καὶ ῥίγεος. 3 πάσχει δὲ τάδε. 4 τὸ πρῶτον ῥῖγος ἐπιλαμβάνει· ἔπειτα καὶ πυρετὸς κατέχει. 5 τὸ δὲ ὑγρὸν ἐν τῷ σώματι, πήγνυται ἐν τῷ δέρματι. 6 ἐν τοῖσι δὲ δηλοῖ ὅτι οὕτως ἔχει. 7 πελιδνὸν [δὲ] ἐστιν αὐτοῦ τὸ σῶμα καὶ ὑπόσκληρον. 8 καὶ αἱ φλέβες διὰ τοῦ σώματος τέτανται ὠχραί· μείζονες δὲ καὶ παχύτεραι ἢ πρόσθεν εἰσί· τέτανταί τε ὑπομελάντεραι καὶ ἄλλαι φλέβες. 9 καὶ ἢν τάμῃ τις τινα αὐτέων, ῥεύσεται τὸ αἷμα ὠχρὸν, ἢν μὲν ὠχραὶ ἔωσιν αἱ φλέβες· ἢν δὲ μέλαιναι ἔωσι, μέλαν τὸ αἷμα ῥεύσεται. 10 καὶ τὸ ἱμάτιον πρὸς τῷ σώματι προσκείμενον οὐκ ἀνέχεται ὑπὸ τοῦ κνησμοῦ. 11 οὗτος πρόθυμός ἐστι πρὸς τὸ πορεύεσθαι, καὶ φοιτᾷν, ἀλλ' ὑπὸ τῆς ἀσθενείης αὐτοῦ τὰ σκέλεα ὑποφέρεται. 12 καὶ διψῇ σφόδρα. 13 αὕτη ἡ νοῦσος ἧσσον τῆς προτέρης θανάσιμη· περιέρχεται δὲ πλέω χρόνον. 14 ἢν [γὰρ] μὴ ἐν τῇσι πρώτῃσιν ἡμέρῃσιν ἀποθάνοι, ἔπειτα ὑγιὴς γίνεται. 15 ἢν δὲ ἡ νοῦσος ἀπομηκύνηται, καὶ γένηται ὀγδόη ἢ ἐννάτη, ξυμπίπτει ἐς νοῦσον, 16 καὶ ἡ νοῦσος καὶ ἡ ἀλγηδὼν πιέζει μᾶλλον, καὶ ἀνίστασθαι οὐ δύναται. 17 καὶ οἱ πολλοὶ ἐν τούτῳ τῷ χρόνῳ παραχρῆμα φθείρονται. 18 τοῦτον, ὁκόταν οὕτως ἔχῃ, καὶ ἀρχὰς μὲν τῆς νούσου, ἢν παραγένηται, ὁκόταν ἤδη αἱ ἑπτὰ ἡμέραι παρέλθωσιν, ἐλλέβορον πῖσαι. 19 τὴν δὲ κάτω κοιλίην χυλῷ ὑποκαθῆραι ὡς ἐν τῷ πρόσθεν, καὶ τ' ἄλλα τὰ αὐτὰ διδόναι φάρμακα. 20 διδόναι δὲ καὶ κανθαρίδας, ἄνευ πτερῶν

tum, coriandrum herba, uvæ passæ albæ. 43 His & illis in potu acceptis utilitatem percipiet, & celerrime sanus fiet.

XXXIX. Alius morbus regius sive arcuatus. 2 Hic corripit tempore hyemis, & ex ebrietate & frigore. 4 Incipit autem primum rigor invadere, postea etiam febris detinet. 5 Et humor qui est in corpore, congelatur in cute. 6 Quod autem sic habeat, ex his ostenditur. 7 Lividum est ipsius corpus & subdurum. 8 Et venæ per corpus distentæ sunt pallidæ: majores autem & crassiores sunt quam prius. Et aliæ venæ subnigriores distentæ sunt. 9 Et si quis aliquam ipsarum secet, sanguis effluet pallidus, si pallidæ sunt venæ. Si vero nigræ fuerint, niger sanguis effluet. 10 Et vestem interiorem corpori adjacentem præ pruritu non sustinet. 11 Hic promptus est ad iter faciendum & ambulandum, sed præ debilitate crura labascunt, ac ipsum non sufferunt, 12 & sitit vehementer. 13 Hic morbus non minus priore lethalis est. Procedit autem ad amplius tempus, 14 si non in primis diebus sanus fiat. 15 Si vero morbus prolongetur, & ad octavum aut nonum diem durct, in morbum incidit, 16 & morbus & dolor magis premit, & exsurgere non potest. 17 Et plerique in hoc tempore statim pereunt. 18 Huic ubi sic habuerit, siquidem principio morbi accesseris, quum jam septem dies præterierint, veratrum bibendum dato. 19 Ventrem vero infra subpurgato per succum, velut priori. Et alia eadem pharmaca dato. 20 Exhibeto & cantharidas, sine alis, & capi-

πεπερέων κεφαλῆς, τέσσαρας τρίψας, καὶ διεὶς οἴνῳ λευκῷ ἡμικοτυλίῳ· [21] ἤδη δὲ μέλι παραχέας ὀλίγον ἔπειτα οὕτω διδόναι πιεῖν. [22] τοῦτο 35 [δὲ] πινέτω δὶς ἢ τρὶς τῆς ἡμέρης. [23] προϊούσης δὲ τῆς νούσου λουτροῖσι καὶ πυριήμασι θεραπεύειν. [24] ἐσθιέτω δὲ, ὅσα προσίεται. οἶνον δὲ πινέτω λευκὸν, αὐστηρόν· καὶ τἄλλα τὰ αὐτὰ προσφερέσθω, ἃ καὶ τῇ πρόσθεν. [25] αὕτη ἡ νοῦσος χρονίη καὶ χαλεπὴ, ἢν μὴ κατ' ἀρχὰς καλῶς μελετηθῇ.

XL. Ἄλλος ἴκτερος. [2] ἐπιδήμιος οὗτος καλέεται, διότι πᾶσαν ὥρην ἐπιλαμβάνει. [3] γίνεται δὲ ἀπὸ πλησμονῆς μάλιστα καὶ μέθης· καὶ, ἐπειδὰν ῥιγώσῃ. [4] αὐτίκα οὖν τὸ σῶμα 40 ἀλλοιοῦται, καὶ γίνεται ὠχρόν. [5] καὶ οἱ ὀφθαλμοὶ σφόδρα ὠχροί. [6] καὶ ὑπὸ τὰς τρίχας καὶ ὑπὸ τοὺς ὄνυχας ἡ νοῦσος ὑπέρχεται. [7] καὶ ῥῖγος καὶ πυρετὸς βληχρὸς ἔχει. [8] καὶ ἀσθενὲς τὸ σῶμα. [9] καὶ ἐν τῇ κεφαλῇ ὀδύνη ἔχει. [10] καὶ οὐρεῖ ὠχρὸν καὶ παχύ. [11] οὗτος ὁ ἴκτερος ἧσσον θανατώδης τῶν πρόσθεν, καὶ θεραπεύεται μελετώμενος ἐν τάχει. [12] τοῦτον, ὁκόταν οὕτως ἔχῃ, χάσαι αὐτοῦ τὰς ἀγκῶνας καὶ ἀφαιρέειν τοῦ αἵματος. [13] ἔπειτα πυριήσας πίσαι ἐλατήριον. [14] κάτω δὲ αὖθις 45 ὑποκαθῆραι τῇ τρίτῃ, ὀνείῳ γάλακτι. [15] τὰ δὲ ἄλλα ῥοφήματά τε, καὶ πόματα, καὶ ἐδέσματα, τὰ αὐτὰ διδόναι ἃ καὶ τῷ πρόσθεν. [16] καὶ καθαίρειν αὐτοῦ τὴν κεφαλὴν θαμινά. [17] καὶ 110 ἀπὸ καρδαμίου πίνειν. [18] καὶ λούειν αὐτὸν πολλῷ καὶ θερμῷ. [19] καὶ ξύων τὴν σάρκα ἐν οἴνῳ λευκῷ διδόναι πίνειν. [20] καὶ ἐς τὰ ἄλλα πάντα τοῖσιν αὐτοῖσι χρήσθω, καὶ ἐν τάχει ὑγιὴς ἔσται.

XLI. Ἄλλος ἴκτερος. [2] γίνεται μὲν ἀπὸ φλέγματος, ἐπὶ δὲ χειμῶνος μάλιστα ἐπιλαμβάνει. [3] καὶ ἡ χροιὴ

capite, quatuor tritas, ' & in vini albi hemina dimidia dilutas, 400 [21] modico etiam melle affuso. [22] Atque has bis aut ter in die bibat. [23] Progrediente vero morbo, balneis & fomentis curato. [24] Edat autem quæcunque admittit. Vinum bibat album, austerum: & alia eadem assumat quæ prior. [25] Hic morbus diuturnus est & gravis, si non ab initio probe fuerit curatus.

XL. Alius morbus regius. [2] Popularis appellatur hic, eo quod omni ' tempore corripit. 405 [3] Fit autem à repletione maxime ac ebrietate: & postquam riguerit, [4] statim sane corpus immutatur, & pallidum fit, [5] & oculi pallidi valde sunt. [6] Et sub pilos ac sub ungues morbus procedit. [7] Et rigor ac febris debilis tenet. [8] Et debile est corpus, [9] & in capite dolor adest. [10] Et pallidum ac crassum mingit. [11] Hic morbus minus lethalis est prioribus: & curatus brevi sanatur. [12] Huic quum sic habuerit, ' cubiti venam secato, & sanguinem detrahito. 410 [13] Deinde fomento adhibito, elaterium bibendum dato. [14] Tertia vero die rursus infra subpurgato, cum lacte asinino. [15] Reliquas vero sorbitiones, & potus, ac edulia, eadem dato quæ priori. [16] Et caput ipsius frequenter purgato: [17] & de succo bibendum dato. [18] Et multa calida ipsum lavato, [19] ac carnem defricato, & defrictas sordes in vino albo bibendas dato: [20] ' & ad alia omnia iisdem utatur: & brevi sanus evadet. 415

XLI. Alius morbus regius, [2] fit quidem à pituita, hyeme autem maxime corripit: [3] & color

ἡ χροιὴ αὐτέου λευκή. 4 καὶ τὰ στήθεα αὐτέου πλήρεα γίνεται φλέγματος. 5 καὶ πτύει τὸ σίαλον. 6 καὶ, ὁκόταν ἀποχρέμπτηται, λυγμὸς αὐτῷ γίνεται. 7 καὶ οὐρέει λευκὸν καὶ παχύ. 8 καὶ ὑπ᾽ αὐτῷ ὑφίσταται ὁκοῖον ἄλευρον. 9 οὗτος ὁ ἴκτερος οὐκ ἔστι θανατώδης, καὶ ἐν τάχει ὑγιαίνεται. 10 τοῦτον, ὁκόταν οὕτως ἔχῃ, πίσαι κνίδιον κόκκον. 11 καὶ μετὰ τὴν κάθαρσιν πτισάνης χυλὸν, μέλι παραχέας, δοῦναι ἐκροφέειν τέσσαρας κοτύλας. 12 τὴν δὲ ἄνω κοιλίην ἐμέτῳ ποιούμενος, καθαίρειν παρεχέτω, ὡς ἐν τῇσι πρόσθεν. 13 οὕτω γὰρ ἂν ῥήϊστα τὸ φλέγμα ἀπάγοι τοῦ πλεύμονος καὶ τῶν ἀρτηριῶν. 14 καὶ ἀναγαργαρισμὸν σκευάζειν αὐτῷ θαμινά. 15 οὗτος ἐνίοτε καὶ πυρεταίνει βληχρῷ πυρετῷ, καὶ φρίκη λεπτὴ ἐπιγίνεται. 16 καὶ τἄλλα μελετᾷν, οἷσι καὶ τοὺς πρόσθεν ἰκτέρους, καὶ φαρμάκοισι, καὶ πυρίῃσι, καὶ λουτροῖσι, καὶ ἐδέσμασι, καὶ ποτοῖσι καὶ ῥοφήμασιν. 17 οὕτω γὰρ ὡς μάλιστα ὑγιέα ποιήσεις.

XLII. 1 Νόσημα, ὅπερ καλέεται τῦφος. 2 Τῦφος μὲν τοῦτο τὸ νόσημα καλέεται. 3 ἐπιλαμβάνει δὲ θέρεος ἐν ὥρῃ, ὁκόταν ὁ κύων τὸ ἄστρον ἐπιτέλλῃ, χολῆς κινηθείσης ἀνὰ τὸ σῶμα. 4 εὐθέως οὖν αὐτὸν πυρετοὶ ἔχουσιν ἰσχυροὶ, καὶ καῦμα ὀξύ. 5 καὶ ἀπὸ τοῦ βάρεος ἀσθενείη, καὶ ἀκρασίη τῶν σκελέων καὶ τῶν χειρῶν. 6 ἀχρεῖα γὰρ μάλιστα γίνεταί οἱ. 7 καὶ ἡ γαστὴρ ταράσσεται, καὶ τὰ ὑποχωρέοντα δυσώδεα, καὶ στρόφος ἰσχυρὸς ἐπιγίνεται. 8 ταῦτά τε πάσχει. 9 καὶ, ἤν τις ἀναστῆσαι θέλῃ αὐτὸν, οὐ δύναται ὀρθοῦσθαι. 10 οὐδὲ τοῖσιν ὀφθαλμοῖσιν ὁρῇν δύναται ὑπὸ τοῦ καύματος. 11 καὶ, ἤν τις αὐτὸν ἐρωτᾷ, ὑπὸ τοῦ πόνου οὐ δύναται ἀποκρίνασθαι. 12 ὁκό-

lor ipsius ægri est albus, 4 & pectora ipsius pituita plena fiunt: 5 & spuit salivam: 6 & quum exscreat, singultus ipsi oboritur. 7 Et album lotium ac crassum mingit, 8 & in urina subsidet velut farina. 9 Hic morbus non est lethalis, & brevi sanatur. 10 Huic quum sic habuerit, cnidium granum bibendum dato. 11 Et post purgationem, succi ptisanæ quatuor heminas, melle affuso, exsorbendas dato. 12 Superiorem vero ventrem vomitu inducto, velut in prioribus purgato. 13 Sic enim facilime pituitam à pulmone & arteriis abduxeris. 14 Sed & gargarismum ipsi frequenter præparato. 15 Hic aliquando etiam febrit debili febre, & horror tenuis succedit. 16 De cætero vero iisdem quibus priores curato, & pharmacis, & fomentis, & balneis, & eduliis, & potibus, & sorbitionibus. 17 Sic enim maxime sanum facies.

XLII. Morbus Typhos vocatus. 2 Typhos quidem appellatur hic morbus, hoc est stupor attonitus: 3 corripit autem tempore æstatis, quum canis sydus oritur, bile per corpus commota. 4 Statim igitur ipsum febres fortes tenent, & calor acutus, 5 & à gravitate debilitas, & crurum ac manuum impotentia: 6 maxime enim inutilia ipsi fiunt hæc membra: 7 & venter turbatur, & quæ secedunt grave olent, & tormen forte succedit. 8 Sed & hæc patitur. 9 Si quis ipsum erigere velit, erigi non potest: 10 neque oculis videre potest præ calore. 11 Et si quis ipsum interrogat, præ dolore respondere non potest. 12 Quum autem

ὁκόταν δὲ μέλλῃ ἀποθνήσκειν, ὀξύτερόν τε ὁρῇ, καὶ φθέγγεται θαρσαλέως, καὶ πιεῖν καὶ φαγεῖν αἰτεῖ. 13 καὶ, ἢν δῷ τις καταφαγεῖν, ἐν τάχει μεθῆκε καταλιπὼν τὴν ψυχὴν, ἢν μὴ ἐξεμέσῃ. 14 τούτῳ ἡ νοῦσος αὕτη κρίνεται ἐν ἑπτὰ ἡμέρῃσιν ἢ δεκατέσσαρσι. 15 πολλοὶ δὲ διατρέχουσι καὶ ἐς τὰς εἰκοσιτέσσαρας. 16 ἢν γοῦν ταύτας διέλθῃ, ὑγιὴς ἔσται. 17 ἐν δὲ ταύτῃσι τῇσιν ἡμέρῃσι διαδηλοῖ, εἰ θανάσιμος, ἢ οὔ. 18 τοῦτον, ὁκόταν οὕτως ἔχῃ, ὧδε ἰῆσθαι. 19 ἐν τῇσι πρώτῃσι τῶν ἡμερέων λουτροῦ μὲν ἀπέχεσθαι, ἀλείφειν δὲ οἴνῳ καὶ ἐλαίῳ χλιαίνων ἐς κοίτην. 20 καὶ σιτίων ἀπέχεσθαι, ῥοφήματα δὲ λεπτὰ καὶ ψυχρὰ διδόναι. 21 οἶνον δὲ πινέτω μέλανα, αὐστηρὸν, ἢν ξυμφέρῃ αὐτῷ· ἢν δὲ μὴ, λευκὸν, ὑδαρέα, αὐστηρόν. 22 ἢν δὲ δίψα ἰσχυρὴ πιέζῃ ὑπὸ καύματος, ἀθρόον διδοὺς πίνειν, κέλευε ἐξεμέειν, ταῦτα δὶς ἢ τρὶς ποιήσας. 23 καὶ, ὁκόταν τὸ καῦμα ἔχῃ, ῥάκια βάπτων ὕδατι ψυχρῷ προστιθέναι, ᾗ ἂν μάλιστα φῇ καίεσθαι. 24 ἢν δὲ φρίκην ἔχῃ τὸ σῶμα, ἀνιέναι τὰ ψύγματα. 25 οὗτος, ὁκόταν πονῇ, μάλιστα ἀπὸ τῆς τοιαύτης ὀδύνης, αἴφνης κινδυνεύσει καταλιπὼν τὴν ψυχήν. 26 ἀλλὰ διδόναι χρὴ αὐτῷ τῆς ὀδύνης τὰ φάρμακα μετὰ σπουδῆς τὰ αὐτὰ, ἃ καὶ τῷ ὑπὸ τῆς πλευρίτιδος ἐχομένῳ. 27 ὁκόταν δὲ ἐξαναστῇ, ἀνακομίζειν σιτίῳ, καὶ ποτῷ, καὶ λουτροῖσιν ὡς τάχιστα. 28 ἡ γὰρ νοῦσος χαλεπὴ, καὶ παῦροι διαφυγγάνουσιν.

XLIII. Ἄλλος τύφος. 2 ἐπιλαμβάνει μὲν τὸ νόσημα πᾶσαν ὥρην, γίνεται δὲ δι' ὑγρασίην τοῦ σώματος, 3 ὁκόταν τὰ σιτία, ὑγρὰ ἐόντα, καὶ τὸ ποτὸν πουλὺ καὶ συνεχὲς ἀναπίωσι,

autem moriturus est, acutius videt, & loquitur confidenter: & bibere & edere cupit: 13 & si quis det quod edat, brevi etiam animam emittit, si non evomuerit. 14 Huic morbus hic judicatur in septem, aut quatuordecim diebus. 15 Multi vero perveniunt etiam ad viginti quatuor 16 Si igitur hos transierit, sanus erit. 17 Nam in his diebus judicatur, an lethalis sit morbus, aut non. 18 Hunc quum ita habuerit, sic curato. 19 In primis quidem diebus à balneo abstineat. Ungatur autem vino & oleo tepido, in lecto, 20 & à cibis abstineat. Sorbitiones autem tenues frigidas dato. 21 Vinum autem bibat nigrum, austerum, si ipsi conducat: sin minus, album, aquosum, austerum. 22 Si vero sitis fortis premat propter calorem, potu acervatim dato, evomere jubeto, bis aut ter hoc repetito. 23 Et quum calor habuerit, lintea aqua frigida tincta adponito, qua parte se maxime ardere dixerit. 24 Si vero horrorem habuerit corpus, frigefactoria remittito. 25 Hic quum doluerit, ab hujusmodi maxime dolore periclitatur, ne repente animam relinquat. 26 Verum exhibere oportet ipsi doloris caussa festinanter, eadem pharmaca quæ ei qui à pleuritide tenetur. 27 Quum autem exsurrexerit, cibo & potu, & balneis quam celerrime refocillato. 28 Morbus enim est difficilis, & pauci effugiunt.

XLIII. Alius typhos. 2 Corripit quidem hic morbus omni tempore: fit autem propter corporis humiditatem, 3 quum cibos humidos, & potum multum

πίωσι, καὶ πλαδαραὶ γίνωνται, ἀπὸ τούτων τὸ νόσημα γίνεται μάλιστα. 4 ἄρχεται οὖν ὁ πυρετὸς τριταῖος ἢ τεταρταῖος καὶ ἀρχὰς γινόμενος, καὶ πόνος ἰσχυρὸς ἐν τῇ κεφαλῇ ἐνίσταται, 5 ἐνίοτε δὲ καὶ ἐν τῷ σώματι διαλείπων. 6 καὶ ἐμέει σίαλον. καὶ ἐρεύγεται πυκνά. 7 καὶ ἀλγέει τὰς χώρας τῶν ὀφθαλμῶν, 8 καὶ τὸ πρόσωπον ἀφύει, 9 καὶ ἐς τοὺς πόδας οἴδημα κατέρχεται. 10 ἐνίοτε δὲ καὶ ὅλον τὸ σῶμα ἀποιδέει. 11 καὶ ἐς τὰ στήθεα καὶ ἐς τὸ μετάφρενον ἐνίοτε ἡ ὀδύνη τρέχει. 12 καὶ ἡ γαστὴρ ταράσσεται. 13 καὶ τοῖσιν ὀφθαλμοῖσιν ἐξορῆται ἰσχυρῶς. 14 καὶ τὸ σίαλον ἀποπτύει πολλὸν καὶ ἀφρῶδες. 15 καὶ ἐν τῇ φάρυγγι δοκέει ἐνέχεσθαι, καὶ κέρχνει αὐτόν. 16 πολλάκις δὲ καὶ φλεγμαίνει ὁ φάρυγξ. 17 τοῦτον, ὁκόταν οὕτως ἔχῃ, καὶ οὕτως ὁ πόνος πιέζῃ, καὶ ὀρθόπνοια ἰσχυρὴ ἐμπίπτῃ· 18 ἔστι δ' ὅτε καὶ πολλάκις ἐξαπίνης ἀπὸ τοῦ πόνου τὴν ψυχὴν ἀφῆκεν ἐν ἑπτὰ ἡμέρῃσιν, ἢ ἐν δεκατέσσαρσι. 19 πολλοὶ δὲ διαφέρουσι καὶ ἕως τῶν εἰκοσιτεσσάρων ἡμερέων. 20 πολλάκις δὲ καὶ ἐξαπίνης ἡ νοῦσος ἀνῆκε, καὶ δοκέει ὑγιὴς εἶναι. 21 ἀλλὰ φυλάσσεσθαι χρὴ, ἕως ἂν αἱ τέσσαρες καὶ εἴκοσιν ἡμέραι παρέλθωσιν· ἢν γὰρ ταύτας διαφύγῃ, οὐ μάλα θνήσκει. 22 τούτῳ, ὁκόταν ὧδε ἔχῃ, ἐν τῇσι πρώτῃσι τῶν ἡμερέων χρὴ ῥοφήματα διδόναι ἄλητον καὶ ἑφθὸν, μέλι λεπτὸν παραχέων. 23 πίνειν δὲ διδόναι μέλανα οἶνον, καὶ ὀλίγον [καὶ,] ὅκως ἂν βούληται, κεκρημένον. 24 σιτία δὲ μὴ προσφέρειν, πρὶν ἂν αἱ ἡμέραι παρέλθωσι. 25 πολύποδας δὲ ἐν οἴνῳ ἑφθοὺς διδόναι ἐσθίειν, καὶ τὸν ζωμὸν ῥοφάνειν. 26 καὶ ῥαφανίδας τρώγειν πολλάς. 27 καὶ καρδάμου καρπὸν φώσας

tum carnes combibunt, & fluidæ fiunt, ab his maxime fit morbus. 4 Incipit igitur febris, tertiana aut quartana, in principio oboriens. Et dolor fortis in capite consistit. 5 Aliquando etiam in corpore intermittens. 6 Et vomit salivam, & frequenter eructat, 7 & oculorum regiones dolet, 8 & facies albescit, 9 & tumor in pedes descendit. 10 Quandoque vero etiam totum corpus intumescit. 11 Et ad pectora, & ad dorsum aliquando dolor currit: 12 & venter turbatus est: 13 & oculis fortiter tuetur, 14 & salivam multam & spumosam expuit, 15 & in faucibus detineri videtur: & exasperat ipsas. 16 Sæpe vero etiam inflammantur fauces. 17 Hic ubi sic habuerit, & dolor ita presserit, & erectæ cervicis spiratio fortis inciderit, 18 quandoque derepente præ dolore animam emittit, in septem diebus, aut quatuordecim. 19 Multi vero usque ad viginti quatuor dies durant. 20 Sæpe vero etiam derepente morbus remittit, & æger sanus esse videtur. 21 Verum observare oportet donec quatuor & viginti dies præterierint. Si enim has effugerit, non valde moritur. 22 Huic quum ita habuerit, in primis diebus sorbitiones dare oportet, farinam coctam, tenui melle affuso. 23 Vinum vero dandum est nigrum, paulatim, prout voluerit temperatum. 24 Cibi autem ne exhibeantur priusquam hi dies præterierint. 25 Polypi vero in vino cocti edendi dentur, & jusculum sorbendum. 26 Et raphanidas multas edat, 27 & nasturtii semen torrefactum, moli-

φώσας ἀλέσαι, καὶ σῆσαι λεπτά. 28 εἶτα πιέτω οἶνον μέλανα, ἐπιβαλὼν στρυφνόν. 29 καὶ ἄλφιτα λεπτὰ 107 ὀλίγα διδόναι ʹ πίνειν ἕωθεν. 30 λουτροῦ δὲ ἀπεχέσθω, μέχρις ἂν αἱ ἡμέραι παρέλθωσιν. 31 οἴνῳ δὲ καὶ ἐλαίῳ χλιήνας ἀλείφειν ἐς κοίτην, ʺ καὶ 119 ἐκμάσσειν. 32 καὶ γλυκυσίδης καρποῦ δέκα κόκκους ἑψῶν ἐν οἴνῳ μέλανι διδόναι πίνειν. 33 καὶ γογγυλίδας διέφθους ποιέων, ῥοφανέτω τοῦ χυλοῦ, ἀρτύσας τυρῷ ἀνάλῳ, καὶ μήκωνι, καὶ ἁλί, καὶ ἐλαίῳ, καὶ σιλφίῳ, καὶ ὄξει. 34 ἢν δὲ καὶ φάρμακον βούλῃ πίσαι, 5 ʹ τοῦ κνιδίου κόκκου πίσαι. 35 καὶ μετὰ τὴν κάθαρσιν, ἀλεύρου ἑφθοῦ καὶ λιπαροῦ δοῦναι ʺ δύο τρυβλία ἐκροφέειν. 36 120 οἶνον δὲ πινέτω τὸν αὐτόν. 37 καὶ τῶν φαρμάκων καὶ ῥοφημάτων καὶ ποτῶν ὅ,τι ἂν διδῷς, ὀνήσει, ἤν τε καθ' ἕν, ἤν τε κατὰ πλείω προσφέρῃς. 38 καὶ οὕτω τάχιστα ὑγιέα ποιήσεις. 39 ἡ δὲ νοῦσος χαλεπή, καὶ παῦροι διαφυγγάνουσιν.

molitum, ac cribratum, 28 vino nigro acerbo affuso bibat. 29 Et polenta tenuis modica mane bibenda detur. 30 A balneo autem abstineat, donec hi dies præterierint. 31 Vino vero & oleo tepefactis in lecto illinatur, ʹ & ex- 45 tergeatur. 32 Et fructus pæoniæ grana decem in vino nigro cocta bibenda dato: 33 & rapi probe percocti succum sorbeat, caseo insulso conditum, & papavere, & sale, & oleo, & silphio, & aceto. 34 Si vero etiam pharmacum bibendum dare volueris, cnidium granum dato. 35 Et post purgationem, farinæ coctæ & pinguis duas heminas exsorbendas dato. 36 Vinum autem bibat idem. 37 Et ex pharmacis & sorbitionibus ʹ ac 50 potibus quicquid dederis profuerit, sive singulatim, sive plura simul exhibueris. 38 Atque sic celerrime sanum feceris. 39 Morbus autem est gravis, & pauci effugiunt.

XLIV. Ἄλλος τύφος. 2 γίνεται μὲν καὶ οὗτος διὰ τόδε. 3 ὁκόταν ἡ χολὴ σαπεῖσα μιγῇ τῷ αἵματι ἀνὰ τὰς 10 φλέβας, καὶ τὰ ἄρθρα, ὁκόταν τὸ αἷμα στῇ. 4 ἐνίσταται δὲ μάλιστα ἐν τοῖσιν ἄρθροισι. 5 καταστηρίζεται δὲ ἐνίοτε καὶ ἐς τὸ ἄλλο πᾶν σῶμα, καὶ ὀδύνας παρέχει ὀξείας. 6 καὶ οἱ πολλοὶ ἐκ τῆς τοιαύτης νούσου χωλοὶ γίνονται, ὁκόταν ἀπολαμφθεῖσα ἐν τοῖσιν ἄρθροισιν ἡ χολὴ πωρωθῇ. 7 ἡ δὲ ὀδύνη διαλείπουσα ἐπιλαμβάνει, καὶ διὰ τριῶν ἡμερέων, καὶ διὰ τεσσάρων. 8 τοῦτον, ὁκόταν ὧδε ἔχῃ, μελετᾷν οὕτως. 9 τῆς ὀδύνης ἐπικρατεούσης ἐν τῷ σώματι, χλιάσματα χρὴ ποιέειν καὶ προστιθέναι, ἐλαίῳ ὑπαλείψας. 10 15 ʹ ὁκόταν δὲ ἀνῇ, δοῦναι αὐτῷ ἐλλέβορον, πυριήσας πρόσθεν ἅπαν τὸ

XLIV. Alius typhos. 2 Hic quidem propter hoc fit. 3 Quum bilis putrefacta ammixta fuerit sanguini, per venas & articulos, quum sanguis steterit, 4 consistit quidem maxime in articulis. 5 Incumbit autem quandoque etiam in reliquum totum corpus, & ʹ dolores acutos ex- 55 hibet: 6 & multi ex hujusmodi morbo claudi fiunt, quum bilis in articulis conclusa in tofum callescit. 7 Dolor autem intermittens, corripit per tres & quatuor dies. 8 Hunc ubi sic habuerit, hoc modo curato. 9 Dolore in corpore prævalente, tepefactoria facere, & adhibere oportet, oleo prius illito. 10 Quum autem remiserit, veratrum ipsi dato, toti corpori an-

τὸ σῶμα. 11 τῇ δ' ὑστεραίῃ ὀῤῥὸν αἴγειον ἑψήσας δοῦναι πιεῖν δύο χοέας· παρὰ [μὲν] τὸν ἕτερον χοέα μέλι παραχέας, παρὰ δὲ τὸν ἕτερον ἅλας παραβαλών. 12 εἶτα κύλικα παρὰ κύλικα παραλλάσσων πινέτω, ἕως ἂν ἐκπίῃ ἅπαν. 13 ἐς ἑσπέρην δὲ μετὰ τὴν κάθαρσιν φακῆς τρυβλίον ῥοφείτω. 14 καὶ τεύτλων τρυβλίον λιπαρῶν, ἄλφιτα παραπάσσας, ἐκπιέτω. 15 καὶ νεοσσοῦ ἀλεκτορίδος κρέας, ἢ πελειάδος, ἢ 20 τρυγόνος, ἢ οἰός, ἢ ὑὸς πῖον τρωγέτω. 16 τὸ δ' ἐλλέβορον διὰ ἕκτης ἡμέρης διδόναι. 17 καὶ, ἢν κου τῶν ἄρθρων ἀποιδίσκηται, καὶ μὴ θέλῃ ἀφίστασθαι, σικύην προσβαλὼν, ἀφαιρέειν τοῦ αἵματος, 18 καὶ κεντεῖν ἀκίδι τριγώνῳ ἐς τὰ γούνατα, καὶ ἐν τοῖσι γούνασιν, ἐν οἷσι τὸ οἴδημα. 19 τῶν δὲ ἄλλων ἄρθρων μηδὲν κεντήσῃς. 20 τὰς δὲ μεταξὺ τῶν ἡμερέων, σιτίον προσφερέσθω· ἄρτον μὲν ὡς ὀπτότατον, μᾶζαν δὲ ψαιστὴν ὡς μάλιστα. 21 ὄψα δὲ ἐχέτω ὡς μάλιστα μὲν 25 ὀπτά· ὀρνίθια δὲ, ἄναλα. 22 εἰ δὲ μὴ, καὶ ἑφθὰ [καὶ] ἠρτυμένα, πλὴν τυροῦ, καὶ σησάμου, καὶ ἁλός. 23 ἰχθύσι δὲ χρείσθω τοῖσι σαρκωδεστάτοισιν, ὀπτοῖσι δέ. 24 τὸν αὐτὸν τρόπον τοῖς κρέασιν, ἑψῶν αὐτὰ διὰ ὀριγάνου πάσας, [καὶ] ἐλαίῳ ὑποχέας. 25 οἶνον δὲ πινέτω λευκὸν, ἢν ξυμφέρῃ· ἢν δὲ μὴ ξυμφέρῃ, μέλανα. 26 καὶ ἐν περιόδοισι ταλαιπωρείτω δι' ἡμέρης, καὶ μετὰ τὸ δεῖπνον, καὶ ὄρθρου. 27 ὀῤῥὸν δὲ καὶ γάλα τὴν ὥρην πινέτω αἰεί. 28 ἢν δέ σοι δοκῇ, καὶ ὄνου γάλα διδόναι ἀφεψήσας. 29 30 καὶ, ἢν ὑγιὴς γένηται, ἐν φυλακῇ

antea fomento adhibito. [11] Postera die ' ferum caprinum coctum bibendum dato, duorum congiorum menfura, ita ut in alterum congium mel affundas, & in alterum fal injicias, [12] deinde poculis viciffim permutatis bibat, donec totum ebiberit. [13] Ad vefperam vero poft purgationem, lenticulæ heminam forbeat: [14] & betarum pinguium heminam, polenta infperfa ebibat. [15] Et pulli gallinacei carnem, aut columbæ, aut turturis, aut oviculæ, aut fuis ' pinguem edat. [16] Veratrum autem per fextum diem dato: [17] & fi alicubi in articulis tumor fiat, & abfceffus fieri nolit, cucurbita affixa fanguinem detrahito, [18] punctura per acum triangularem facta in genua, fi in genibus tumor fuerit. [19] Verum nullum ex aliis articulis perpunxeris. [20] Interpofitis autem diebus cibum accipiat, panem maxime affatum: mazam vero maxime oleo & melle fubactam. [21] Obfonia vero habeat, 'maxime quidem affatas carnes volucrium, non falfas: [22] fin minus, etiam coctas, conditas, verum fine cafeo, & fefamo, & fale. [23] Pifcibus autem utatur carnofiffimis, affatis [24] eodem modo velut carnes: & coctis origano confperfis, ac oleo ipfis affufo. [25] Vinum autem bibat album, fi conducat: aut fi hoc non comedet, nigrum: [26] & in deambulationibus fe exerceat per diem, & poft cœnam, & mane. [27] Serum autem & lac pro tempore 'femper bibat. [28] Si vero tibi vifum fuerit, etiam afininum lac decoctum dato. [29] Et fi fanus fiat, in cuftodia ipfum effe opor-

λακῆ αὐτὸν εἶναι τοῦ ψύχεος καὶ τοῦ πνίγεος. 30 καὶ τῶν σιτίων μὴ λίην ἐμπιπλάσθω. 31 κίνδυνος γὰρ αὖτις ὑποστροπιάσαι τὴν νοῦσον. 32 αὕτη τοιγαροῦν ἡ νοῦσος οὕτω θεραπευομένη ἐν ἓξ μησὶν ὑγιὴς γίνεται. 33 ἐν γὰρ τῷ τοσούτων μηνῶν τῷ διαστήματι κρίνεται, ἤν τε θανάσιμος, ἤν τε μὴ, ἢν καὶ παραχρῆμα θεραπεύηται. 34 πολλὴ ἡ νοῦσος χαλεπὴ, καὶ τοῖσι πλείστοισι ξυναποθνήσκει.

XLV. Ἄλλος τῦφος. 2 γίνεται μὲν τὸ νόσημα ἐν ὀπώρης καιρῷ μά- 35 λιστα, ὁκόταν τις πλησθῇ παντοίης ὀπώρης. 3 τοῖσι δὲ πολλοῖσι καὶ ἀπὸ τῶνδε ἐγένετο ἡ τοιαύτη νοῦσος. 4 φαγόντες πλακοῦντος καὶ σησάμης καὶ τῶν ἄλλων μελιτωθέντων ἀπλήστως. 5 τὸ γὰρ μέλι τὸ ἑφθὸν καυματῶδές ἐστι, καὶ προσπλάσσεται τῇ κοιλίῃ· 6 ἔπειτα, ὁκόταν καταπεφθῇ ἐν τῇ κοιλίῃ, ἀναζέεται, καὶ ἐξαπίνης ἡ γαστὴρ αἴρεται, καὶ πίμπραται, καὶ δοκέει διαρρήγνυσθαι. 7 ἔπειτα δὲ ἐξαπίνης διάρροια ἐπιγίνεται, καὶ, ὁκόταν ἅπαξ ἄρξηται χωρέειν, πολλὰς ἡμέρας κα- 40 θαίρεται. 8 καὶ πολλοὶ μετὰ ταύτην τὴν κάθαρσιν ὑγιέες ἐγένοντο. 9 ὁκόταν οὖν παύσηται αὐτόματος καθαιρόμενος, φακῶν χυμοῦ ἀναγκάσαι αὐτὸν ἐκπιεῖν τρία ἡμίχοα, ἅλας παραβάλλων. 10 μετὰ δὲ τὴν κάθαρσιν τοῦ χυμοῦ, ἐς ἑσπέρην φακῆς τρυβλίον ῥοφεέτω ψυχρῆς ἀνάλτου. 11 σίλφιον δὲ ἐπιξεέσθω πουλὺ, καὶ τεύ- 123 τλου τρυβλίον ἀνηδύντου λιπαροῦ, ἄλφιτα παραπάσσων. 12 οἶνον δὲ πινέτω μέλανα, αὐστηρὸν, κατ᾽ ὀλίγον. 13 τὸ δὲ λοιπὸν τοῦ χρόνου τὰ αὐτὰ 45 ποιεέτω. 14 καὶ σιτία προσφερέσθω, ἄρτον ἐξοπτὸν, μᾶζαν τὸ ψαιστὸν ὡς

oportet, ut ne à frigore & æstu lædatur: 30 & cibis non valde expleatur. 31 Periculum est enim ne morbus revertatur. 32 Hic itaque morbus si sic curetur, in sex mensibus sanatur. 33 In tot enim mensium spatio judicatur an mortalis sit, aut non, etiamsi statim curetur. 34 Nam morbus est gravis, & plerisque commoritur. 80

XLV. Alius typhos. 2 Fit quidem hic morbus in tempore pomorum, quum quis se fructibus mollis corticis, & foris non lignosi, omnis generis repleverit. 3 Plerisque vero etiam ab his factus est talis morbus, 4 ubi videlicet placentarum, & liborum sesaminorum, & aliorum dulciariorum ex melle paratorum, esu se insatiabiliter expleverunt. 5 Mel enim coctum æstuosum est, & ventri adhæret: 6 postea quum concoctum fuerit in ventre, effervescit: & venter derepente attollitur, & ardet ac dirumpi videtur. 85 7 Deinde repente ventris profluvium succedit: & quum semel secedere inceperit, per multos dies purgatur: 8 & multi post hanc purgationem sani fiunt. 9 Quum igitur sua sponte purgari cessaverit, lentium succi tres semicongios ipsum ebibere cogito, sale adjecto. 10 Post purgationem vero succi, ad vesperam lenticulæ frigidæ non salsæ heminam sorbeat. 90 11 Multum autem silphii in ipsam deradat: & betæ pinguis non conditæ heminam, polenta inspersa. 12 Vinum autem bibat nigrum, austerum, paulatim. 13 Reliquo vero tempore eadem faciat. 14 Et cibos accipiat, panem exassatum, & mazam

ὡς μάλιστα. 15 τὰς δὲ πρώτας τῶν ἡμερέων ἄλευρον φαγέτω κόλλεφθον, ἀποψύχων καὶ μέλι παραχέων. 16 οἶνον δὲ πινέτω μέλανα αὐστηρόν. 17 [καὶ,] ἕως ἂν καταστῇ ἡ νοῦσος, ταῦτα προσφερέσθω. 18 ὁ δὲ ὑπὸ τῆς ὀπώρης ληφθεὶς τῇ νόσῳ, φῦσαν παρέχει, καὶ στρόφον, καὶ ὀδύνην. 19 καὶ τὰ σιτία οὐκ ἐθέλει διαχωρέειν. 20 καὶ ἡ γαστὴρ μεγάλη καὶ σκληρὴ αὐτῷ ἐστι. 21 καὶ ῥῖγος καὶ πυρετὸς ἔχει. 22 τούτῳ, ἢν μὲν αὐτομάτη ταραχθῇ ἡ κοιλίη, ' ἐν εἴκοσιν ἡμέρῃσι τὸ ἐλάχιστον καθαίρεται. 23 καὶ, ὁκόταν παύσηται καθαιρόμενος, ὑγιὴς παραχρῆμα ἔσται. 24 ἢν δὲ μὴ καθαρθῇ, καθαίρειν αὐτὸν τῷ ἱπποφέω ὀπῷ, ἢ τῷ κνιδίῳ κόκκῳ. 25 ἐς ἑσπέρην δὲ ταῦτα διδόναι, " καὶ τῷ αὐτομάτως καθαιρομένῳ. 26 τῇ δ' ὑστεραίῃ, ἢν μὲν πυρετὸς ἔχῃ, ἡσυχίην ἐχέτω. 27 διδόναι δὲ αὐτῷ πίνειν τοῦ αὐτοῦ οἴνου ὡς ἐν ψυχροτάτῳ ὕδατι. 28 ἢν δὲ μὴ ἔχῃ ' πυρετὸς, διαιτάσθω διαίτῃ μὴ ὑγρῇ, ἀλλ' ἰσχυροτέρῃ. 29 καὶ περιπατείτω πρὸς τὰ σιτία τεκμαιρόμενος. 30 ὑπὸ [δὲ] τούτου τοῦ νοσήματος πολλοῖσιν ἤδη ὕδερος ἐξεγένετο. 31 καὶ, ἢν δοκέῃ σοι κλύζειν, τοῖσιν αὐτοῖσι κλύσον, οἷσι καὶ τὸν ὑδερῶντα. 32 ἢν δὲ βούλῃ, τοῖσδε κλύζειν. 33 ἐν μελικρήτου κοτύλῃ " ποίην θαψίης ἐγκαῦσαι· εἶτα οὕτως ἐκκλύσαι. 34 οὗτος, οὕτω θεραπευόμενος, τάχιστα ὑγιὴς ἔσται.

XLVI. Ἄλλος τῦφος. 2 γίνεται μὲν τὸ νόσημα, ὁκόταν τὸ ὑγρὸν, τὸ ἐν τῷ ' σώματι, σαπῇ καὶ ἀναξηρανθῇ μᾶλλον τοῦ καιροῦ. 3 γίνεται οὖν τὴν ἰδέην, ὁκόταν τῷ νοσήματι ἔχηται, διυγρος,

mazam oleo & melle quam maxime subactam. 15 Primis autem diebus farinam edat coctam frigefactam, melle affuso. 16 Vinum autem bibat nigrum, 'acerbum: 17 & donec quieverit morbus, hæc assumat. 18 At qui ex fructibus morbo arreptus est, flatum sentit, & tormen, & dolorem: 19 & cibi secedere non volunt, 20 & venter ipsius magnus ac durus est, 21 & rigor ac febris habet. 22 Huic siquidem sponte turbatus fuerit venter, in viginti diebus ut minimum purgatur. 23 & quum purgari cessaverit, sanus statim erit. 24 Si vero non fuerit purgatus, purgato ipsum hippophaes 'succo, aut cnidio grano. 25 Ad vesperam autem eadem exhibeto, quæ ei qui sponte purgatur. 26 Postera die si febris habuerit, quietem habeat. 27 Et de eodem vino in aqua frigidissima ipsi bibendum dato. 28 Si vero febris non habuerit, victu utatur, non humido, sed fortiore. 29 Et deambulet, conjectura juxta cibos facta. 30 Ab hoc morbo multis jam aqua intercus facta est. 31 Et si tibi clysterem adhibere visum fuerit, eadem 'quæ etiam hydropico per clysterem infundito. 32 Si vero volueris, hæc infundere potes. 33 In aquæ mulsæ hemina, herbam thapsiæ coquito, & sic infundito. 34 Hic hoc modo curatus celerrime sanus erit.

XLVI. Alius typhos. 2 Fit hic morbus, quum humor qui est in corpore, putrefactus fuerit, & magis quam opportunum est resiccatus. 3 Fit igitur æger hoc morbo correptus, specie limpidus, ac humectus, subpallidus,

διυγρος, ὕπωχρος, διαφανής· 4 κύστει ἔοικεν οὔρου· πλὴν οὐκ οἰδέει, 5 ἀλλὰ λεπτός τε καὶ σκελιφρός ἐστι, καὶ ἀσθενής. 6 μάλιστα δὲ τοῦ σώματος λεπτύνεται τὰς κληΐδας. 7 καὶ τὸ πρόσωπον ἰσχυρῶς κάτισχνος. 8 καὶ οἱ ὀφθαλμοὶ ἔγκοιλοι σφόδρα. 9 ταῦτα μὲν ὑπὸ τοῦ νοσήματος πάσχει. 10 ἢν δὲ ἡ χροιὴ τοῦ σώματος μέλαινα γίνηται, τάδε αἴτιά ἐστιν. 11 ἐς τὰ φλέβια καὶ ἐς τὸ δέρμα ὁκόταν χολὴ μέλαινα ὑπέλθῃ, καὶ ἐπὶ τούτοισιν ὁκόταν θέρμη ἐπιγένηται, 12 ἀνάγκη ὑπὸ τοῦ θέρμου ξυγκαίεσθαί τε καὶ ἀναξηραίνεσθαι τὰ φλέβια, 13 ὥστε τὸ αἷμα ἐκχωρέειν κατὰ τὰ φλέβια. 14 τάδε οὖν πάσχει. 15 οὗτος λεπτὸς γίνεται, καὶ κάτισχνος ἰσχυρῶς. 16 καὶ τοῖσιν ὀφθαλμοῖσιν ἀραιὰ σκαρδαμύσσει, 17 καὶ τὰς μυίας ἀπὸ τοῦ ἱματίου θηρεύει. 18 καὶ βάρος τῶν σιτίων ἐστὶ, [μᾶλλον] ἢ ὑγιαίνων. 19 καὶ λύχνου ἀπεσβεσμένου τῇ ὀσμῇ ἥδεται. 20 καὶ ἐξονειρώσσει θαμινά. 21 πολλάκις δὲ καὶ βαδίζοντι αὐτῷ ἐξέρχεται ἡ γονή. 22 τοῦτον, ὁκόταν οὕτως ἔχῃ, καθαίρειν τὴν κοιλίην τῷ μέλανι ἐλλεβόρῳ τὴν ἄνω δηλονότι. τὴν δὲ κάτω, ὀπῷ σκαμμωνίης. 23 μετὰ τὴν κάθαρσιν τὰ αὐτὰ διδόναι, ἃ καὶ τοῖσιν ἄλλοισι. 24 καὶ ὀρρὸν, καὶ γάλα βοὸς, ἢ αἰγὸς διδόναι τὴν ὥρην. 25 διδόναι δὲ καὶ ὄνου γάλα ἀφεψῶν ἐς ὑποκάθαρσιν. 26 οὗτος, οὕτω μελετώμενος, μάλιστα ἐν δυσὶν ἔτεσιν ὑγιὴς γίνεται. 27 σιτία δὲ, ἃ βούλεται, προσφερέσθω· εὐωχείσθω δὲ ὡς μάλιστα, καὶ περιπατείτω, πρὸς τὰ σιτία τεκμαιρόμενος. 28 αὕτη ἡ νοῦσος λαμβάνει πρεσβύτερον εἰκοσαέτεος. 29 ὁκόταν δὲ λάβῃ, ἢν μὴ κατ᾽ ἀρχὰς τοῦ νοσήματος μελετηθῇ, οὐκ ἐκλείπει, εἰ μὴ εἴκοσιν ἔτεα παρέλθῃ, ἀλλὰ

lidus, pellucidus, 4 & vesicæ urinæ similis: verum non intumescit, 5 sed tenuis & aridus est, ac debilis. 6 Attenuantur autem in corpore maxime claviculæ, 7 & facie fortiter gracilescit, 8 & oculi valde sunt excavati: 9 & hæc quidem à morbo patitur. 10 Color autem corporis niger est, causa vero hæc est. 11 Quum bilis atra in venas, & ad cutem subierit, & postea calor successerit, 12 necesse est à calore venas comburi ac resiccari. 13 Quare sanguis è venis excedit. 14 Hæc igitur patitur. 15 Hic tenuis fit, & fortiter gracilis, 16 & oculis raro nictat, 17 & muscas à stragulis venatur. 18 Et gravitas ciborum major est quam quum sanus esset. 19 & lucernæ extinctæ odore delectatur: 20 & frequenter semen per somnum effundit. 21 Sæpe vero etiam inter eundem genitura ipsi exit. 22 Huic quum sic habuerit; ventrem nigro veratro purgato, supernum videlicet: infernum vero scammoniæ succo. 23 Post purgationem vero eadem quæ & aliis dato: 24 & serum ac lac bubulum, aut caprinum pro tempore exhibeto: 25 dato & lac asininum decoctum, ad purgationem. 26 Hic ita curatus in duobus maxime annis sanus fit. 27 Cibos autem quos vult assumat, & quam maxime nutriatur, & deambulet conjectura ad cibos facta, 28 Hic morbus corripit majorem viginti annis. 29 Ubi vero corripuit, si non à principio morbi quis curatus fuerit, non desinit, nisi viginti anni præterierint, sed adhæret.

ἀλλὰ προσέχει. 30 ἔπειτα ἐνίοισι μελετωμένοισιν ἐξέρχεται. 31 ἡ δὲ νοῦσος χαλεπή.

XLVII. Εἰλεοί. 2 εἰλεοὶ δὲ τάδε τὰ νουσήματα καλέεται. 3 γίνεται δὲ ἀπὸ τῶνδε μάλιστα. 4 ἢν τοῦ χειμῶνος θερμῇ τῇ διαίτῃ καὶ ὑγρῇ χρέηται, καὶ μήτε περιόδοισι ταλαιπωρέῃ πρὸς τὰ σιτία τεκμαιρόμενος, πιμπλάμενος δὲ εὕδῃ αἰεί. 5 εἶτα ἐξαπίνης ἀναγκασθῇ βαδίσαι μακρὴν ὁδὸν, ψύχεος ἐόντος, εἶτα ῥιγώσῃ ὑπὸ τὰ ὀστέα. 6 τάδε οὖν πάσχει. 7 φῦσαι ἐγγίνεται ἐν τῷ σώματι παντί. 8 καὶ ἡ χροιὴ αὐτέου γίνεται μολιβδώδης. 9 καὶ ῥιγοῖ αἰεί, ὥστε οἱ θερμὸν καταχυθὲν οὐ δοκέει θερμὸν εἶναι. 10 τὸ δὲ σῶμα λουόμενον αὐτοῦ λεπίζεται ἀπὸ τοῦ θερμοῦ· μάλιστα δὲ ἡ ὄσχη. 11 καὶ ἢν τῷ δακτύλῳ τοῦ σώματος ὑποπιέζῃς, ἐνθλάσεις, 12 καὶ σημανεῖταί σοι, ὥσπερ ἐν σταιτί. 13 μάλιστα δ' ἐν τοῖσι ποσὶν ἐνθλᾶται. 14 τὰ δὲ σκέλεα βαρέα αὐτοῦ. 15 καὶ ἢν περιφοιτήσῃ, τρέμει. 16 καὶ ἢν πρὸς ἄναντες βαδίζῃ, πνευστιᾷ σφόδρα, 17 καὶ αἱ ὠλέναι δοκέουσιν ἀποκρέμασθαι. 18 καὶ δίψη ἔχει τὰς νύκτας. 19 τὰ δὲ σιτία ὠμὰ διαχωρέει, ὅσσα καταφάγῃ. 20 τοῦτον, ὁκόταν οὕτως ἔχῃ, πυριήσας αὐτὸν, κνεώρου διδόναι πίνειν, ἢ τοῦ ἱπποφέω ὀποῦ, ἢ τοῦ κνιδίου κόκκου. 21 μετὰ δὲ τὴν κάθαρσιν ταῦτα διδόναι, ἃ καὶ τοῖσι πρόσθεν. 22 τῇ δὲ ὑστεραίῃ, ὀνείου γάλακτος ἑφθοῦ χοέα διδόναι, δὶς ἐκπιεῖν, ἅλας παραβάλλων. 23 ἐς ἑσπέρην δὲ δειπνείτω ἄρτον. 24 ὄψον δὲ ἐχέτω οἰὸς κρέα ἑφθὰ, 25 καὶ πουλύποδας ἑφθοὺς ἐν οἴνῳ μέλανι, καὶ τὸν ζωμὸν ῥοφανέτω. 26 καὶ φακὴν ἐσθιέτω, ὧδε ἐσκευα-

ret. 30 Postea ab aliquibus dum curantur decedit. 31 Morbus autem gravis est.

XLVII. 2 Volvuli porro vocantur hi morbi. 3 fiunt autem maxime ab his. 4 Si hyemis tempore quis calido & humido victu utitur, & non deambulationibus se exerceat, respectu ad cibos facto: (verum repletus semper dormit) 5 & deinde longum iter perficere cogatur, frigore saeviente: deinde riguerit sub ossa. 6 Haec igitur patitur. 7 Flatus in toto corpore oboritur: 8 & color ipsius fit plumbiformis: 9 & riget semper, ut etiam calida ipsi affusa, calida esse non videatur. 10 Corpus autem ipsius dum lavatur, à calida desquamatur, maxime scrotum: 11 & si digito corpus compresseris, impressionem facies, 12 & notae tibi apparebunt, velut in farina aqua subacta. 13 Maxime autem in pedibus impressionem perfert. 14 Crura vero ipsius gravia sunt: 15 & si obambulet, tremit: 16 & si ad acclivem locum iter faciat, vehementer anhelat, 17 & ulnae dependere videntur, 18 & sitis urget noctu, 19 cibi vero crudi secedunt quoscunque ingessit. 20 Huic quum sic habuerit, fomento prius adhibito, cneorum bibendum dato, aut hippophaes succum, aut cnidium granum. 21 Post purgationem vero eadem dato quae prioribus. 22 Postera die lactis asinini cocti congium dato bis ebibendum, sale adjecto. 23 Ad versperam coenet panem. 24 Obsonium autem habeat, oviculae carnes coctas, 25 & polypos coctos in vino nigro, & jusculum sorbeat: 26 & lenticulam habeat sic praepara-

ἐον διασμήχειν. 27 κοτύλην φακῆς ἑψήσας τρίψαι λείην. 28 ἔπειτα ἄλευρον παραμίξαι, καὶ σίλφιον ἐπιξέσαι, καὶ ἅλας ἐμβαλεῖν, καὶ ὄξος ἐπιχέαι, καὶ σκόροδα πρὸς τούτοις συνεψεῖν χρή, 29 ἔπειτα ὕδωρ ἐπιχέας ζέσαι δὶς ἢ τρὶς, καὶ τορυνᾶν ἅμα αὐτοῖς. 30 ἔπειτα ἀφε-45 λὼν '' ἐψύχθω. 31 ' ἔστω δὲ μὴ λίην 135 παχέη. 32 ἐμβεβλήσθω δὲ καὶ ἡ γλήχων ἑψομένη, τῆς εὐωδίης εἵνεκα. 33 τοὺς δὲ μεταξὺ τῶν ἡμερέων ἐμέτους ποιείσθω δι' ἕκτης ἡμέρης. 34 πυριῆν δὲ χρὴ ἄλλοτε καὶ ἄλλοτε πρὸ τοῦ ἐμέτου καὶ τῆς φαρμακοποσίης. 35 καὶ διὰ τρίτης ἡμέρης λουέσθω, ἢν ξυμφέρῃ. 36 εἰ δὲ μὴ, ἀλειφέσθω, καὶ περιπατείτω, ἢν δυνατὸς ᾖ, πρὸς τὰ σιτία τεκμαιρόμενος. 37 καὶ ἀκτῆς φύλλα καὶ κονύζης τῆς αἰεὶ ἁπαλῆς ἑψῶν, διδόναι ἐσθίειν. 38 οὕτω γὰρ ἂν μελετώ-209 μενος ῥήϊστα διάγοι. 39 καὶ ' ἡ νοῦσος ἐκλείπῃ ἂν ἐνιαυσιαίη. 40 πολλοῖσι δὲ, ἤδη ὑγιέσι γενομένοισι, διὰ δύο ἐτέων ἡ νοῦσος ὑποστροπίασεν. 41 ἀλλὰ χρὴ, ἢν ὑποστροπιάσῃ, τὴν αὐτὴν ἴησιν ἰῆσθαι. 42 ἢν δὲ τρίτον ὑποστροπιάσῃ, οἴδημα μὲν οὐκ ἐπιγίνεται, λεπτὸς δὲ γίνεται καὶ ἰσχνός. 43 ἄρχεται δὲ λεπτύνεσθαι ἀπὸ τοῦ προσώπου, καὶ τὴν χροιὴν ἔκλευκος γίνεται μᾶλλον, ἢ τὸ πρόσθεν. 44 τούτῳ ὕδερος ἐνίοτε ἐγγίνεται 5 ' ἐν τῇ κοιλίῃ. 45 ἢν οὖν ἐγγένηται, τάμνειν αὐτὸν οὐ χρή· ἀποθνήσκει γάρ. 46 θεραπεύειν δὲ τοῖσιν αὐτοῖσιν, οἷσι καὶ τὸν ἀπὸ σπληνὸς ὑδεριῶντα. 47 τοῦτον μάλιστα μὲν κατ' ἀρχὰς βούλεσθαι μελετᾶν, καὶ οὕτω ταχέως ὑγιέα ποιήσεις. 48 ἡ δὲ νοῦσος δεῖται μελέτης πολλῆς· χαλεπὴ γάρ.

paratam. 27 Heminam lentis coctam probe terito, 28 deinde farinam ammiſceto, & ſilphium deraſum addito, & ſalem adjicito, & acetum affundito, & allium ad hæc ſimul coquito, 29 & affuſa aqua bis aut ter ' fervefa- 145 cito, & cum tudicula undiquaque expaſſa brachia habente, ſimul ipſa agitato: 30 deinde ablata frigefacito. 31 Sit autem non valde craſſa, 32 & odoris gratia etiam pulegium ut ſimul coquatur, adjiciatur. 33 Intermediis vero diebus, vomitus faciat per ſextum diem. 34 Verum alias atque alias ante vomitum, & pharmaci potum, fomentum adhibere oportet. 35 Et per tertiam diem lavetur, ſi conducat. 36 Sin minus, ungatur. Et ' deambulet ſi ita potens fue- 150 rit, conjectura ad cibos facta: 37 & ſambuci, ac conyzæ ſemper teneræ, folia cocta edenda dato. 38 Sic enim curatus, facilime deget, 39 & morbus annum deſinet. 40 Multis vero jam ſanis factis, poſt duos annos morbus reverſus eſt. 41 Sed ſi hoc contingat, eodem modo curetur. 42 Si vero tertium revertatur, tumor quidem non ſuccedit. Tenuis autem fit & gracilis, 43 incipitque à facie attenuari, & ' colore exalbeſcit 155 magis quam prius. 44 Huic quandoque aqua intercus fit in ventre. 45 Si igitur facta fuerit, ſecare ipſum non oportet, moritur enim, 46 ſed iiſdem curare quibus eum qui à ſplene aqua inter-cutem laboret. 47 Hunc maxime in principio curare velis, & ſic cito ſanum facies. 48 Opus autem habet morbus multa curatione. Eſt enim gravis.

XLIIX. Ἄλλος εἰλεὸς ἰκτερώδης. 2 ἐπιλαμβάνει μάλιστα μὲν θέρεος ὥρην ἐν ἑλώδεσι χωρίοισιν ἤθεσι· 3 μᾶλλον δὲ ἀπὸ ὑδροποσίης. 4 πολλοὶ δὲ ἤδη τῷ τοιούτῳ [νοσήματι] ξυνεχύθησαν καὶ εἰληθερήσαντες [καὶ] τὴν κεφαλὴν ἀλγήσαντες. 5 ἀλλὰ παραπλήσια τοῖσι πρόσθεν πάσχουσι, πλὴν τῆς χροιῆς. 6 καὶ γὰρ ὠχρὸς γίνεται, οἷον σίδιον. 7 καὶ οἱ ὀφθαλμοί ἐστιν ὅτε ἰκτέρου πίμπλανται. 8 τοῦτον, ὁκόταν οὕτως ἔχῃ, θεραπεύειν χρὴ τοῖσιν αὐτοῖσιν, οἷσι καὶ τὸν πρόσθεν. 9 διδόναι δὲ τὸ ἀπ' ἐρεβίνθων λευκῶν ὕδωρ ἑψῶν πίνειν, καὶ ἐν τῷ οἴνῳ διακιρνὰν καὶ διδόναι. 10 καὶ τὴν κεφαλὴν αὐτοῦ καθαίρειν τῷ τετραγώνῳ. 11 οὗτος ἧσσον τοῦ προτέρου θανατώδης. 12 καλέεται δὲ εἰλεὸς ἰκτερώδης.

XLIX. Εἰλεὸς αἱματίτης. 2 τὰ μὲν ἄλλα πάσχει πλῆθος τὰ αὐτὰ τοῖσι πρόσθεν. 3 ἄρχεται δὲ μετοπώρου γίνεσθαι τὸ νόσημα. 4 τάδε δὲ ἐν τῷ νοσήματι προσγίνεται. 5 ἐκ τοῦ στόματος κακὸν ὄζει ἀπὸ τῶν ὀδόντων, 6 καὶ τὰ οὖλα ἀφίσταται. 7 καὶ ἀπὸ τῶν ῥινῶν αἷμα ῥέει. 8 ἐνίοτε δὲ καὶ ἐκ τῶν σκελέων ἕλκεα ἐκφυάδει καὶ τὰ μὲν ὑγιαίνεται, τὰ δὲ ἄλλα προσγίνεται. 9 καὶ ἡ χροιὴ μέλαινα καὶ λεπτόδερμος. 10 περιφοιτεῖν δὲ καὶ ταλαιπωρέειν οὐ πρόθυμος. 11 τοῦτον, ὁκόταν οὕτως ἔχῃ, τοῖσιν ἰῆσθαι, οἷσι καὶ τοὺς πρόσθεν. 12 καὶ κλύζειν τοῖσδε. σικύου τοῦ ἀγρίου πέντε φύλλα τρίψαι λεῖα, καὶ παραμίξαι μέλιτος ἡμικοτύλιον, καὶ ἁλῶν δραξάμενος τῇ μιῇ χειρὶ, καὶ ἐλαίου ἡμικοτύλιον, καὶ ἀπὸ τεύτλων ἑφθῶν τοῦ χυλοῦ τέσσαρας κοτύλας. 13 διδόναι δὲ ἐς ὑποκάθαρσιν, ὀνείου γάλακτος ἑφθοῦ κοτύλας ὀκτὼ, μέλι παραχέων. 14

πινέτω

XLIIX. Alius volvulus arcuatus. 2 Hic maxime æstatis tempore in palustribus regionibus corripit: 3 magis autem ab aquæ potu. 4 Multi vero jam à tali morbo correpti sunt, ex volutatione ad solem capitis dolore affecti. 5 Verum similia prioribus patiuntur, excepto colore. 6 Nam pallidus fit æger, velut malicorium. 7 Et oculi aliquando morbo arcuato implentur. 8 Hunc ubi sic habuerit, iisdem curare oportet quibus priorem. 9 Danda etiam in potu aqua à cicere albo cocta, & cum vino eadem permixta danda est. 10 Et caput ejus tetragono medicamento purgetur. 11 Hic minus quam prior lethalis est, 12 & vocatur volvulus arcuatus.

XLIX. Volvulus hæmatites. 2 Reliqua quidem eadem patitur cum prioribus. 3 Incipit autem morbus autumno fieri. 4 Hæc vero in morbo accedunt. 5 Ex ore male olet à dentibus, 6 & gingivæ abscedunt, 7 & à naribus sanguis fluit. 8 Aliquando etiam ex cruribus ulcera pullulant, & alia sanescunt, alia emergunt. 9 Et color niger fit, & cutis tenuis. 10 Est autem ad deambulandum ac laborandum promptus. 11 Hunc ubi sic habuerit, iisdem curato quibus priores, 12 & hæc per clysterem infundito. Cucumeris sylvestris folia quinque terito, & mellis dimidium heminæ ammisceto, itemque olei heminam dimidiam, & salis quantam una manu comprehendere potes, & succi betarum heminas quatuor. 13 Ad subpurgationem vero lactis asinini cocti heminas octo exhibeto, melle affuso. 14 Bibat etiam

bubu-

πινέτω δὲ καὶ βόειον τὸ γάλα, τεσσαράκοντα ἡμέρας. [15] πινέτω δὲ καὶ τὸ ἕωθεν τοῦ βοείου γάλακτος δύο κοτύλας, τρίτον μελικρήτου παραμίσγων, καὶ μεταξὺ τῶν ἡμερέων. [16] αὕτη ἡ νοῦσος δεῖται πολλῆς ἰήσιος. [17] εἰ δὲ μή, οὐκ ἐξέρχεται, ἀλλὰ ξυναποθνήσκει τῷ ἀνθρώπῳ. [18] καλέεται δὲ εἰλεὸς αἱματίτης.

L. Τὰ παχέα καλεύμενα νοσήματα. [2] ἐκ δὲ τῶν παχέων καλευμένων νοσημάτων τάδε μάλιστα γίνεται. [3] ὁκόταν φλέγμα καὶ χολὴ μιχθῇ κατὰ τὸ σῶμα, ῥέει ἐς τὴν κοιλίην. [4] καὶ, ὁκόταν ἁλισθῇ ἐν τῇ κοιλίῃ, αἴρεται, ἄνω τε καὶ κάτω ἀνατρέχει ὥσπερ κῦμα. [5] καὶ ῥῖγος, καὶ πυρετὸς ἐπιλαμβάνει. [6] καὶ ἐν τῇ κεφαλῇ ἡ ὀδύνη καθέστηκε. [7] καὶ, ὁκόταν πρὸς τὰ σπλάγχνα ἡ ὀδύνη καταστῇ, πνῖγμα παρέχει. [8] ἐνίοτε δὲ ἐμέει λάπην ὀξείην, ἐνίοτε δὲ καὶ ἁλμυρήν. [9] καὶ, ὁκόταν ἀπεμέσῃ, πικρὸν τὸ στόμα δοκέει αὐτῷ εἶναι. [10] ἐν δὲ τῇσι πλευρῇσιν ἐρυθήμασι κατέχεται. [11] ἅτε γὰρ τοῦ φλέγματος ἐν τῇ κοιλίῃ ἐόντος, τὸ αἷμα ὑπὸ θερμασίης ἁλισθὲν, προσέπεσεν πρὸς τὰς πλευρὰς καὶ ἐρυθήματα παρέχει ἐν τῇσι πλευρῇσι. [12] καὶ θερμασίην ἔχει μάλιστα τὰς πλευράς. [13] καὶ τὸ μετάφρενον αὐτοῦ ἴσκυρτον γίνεται. [14] καὶ, ὁκόταν πονῇ, μάλιστα. [15] [καὶ] οὐκ ἀνέχεται ψαυόμενος τοῦ σώματος· ἀλγεῖ γὰρ ὁκοῖον περ ἕλκος. [16] καὶ αἱ σάρκες πάλλονται ὑπὸ τῆς ἀλγηδόνος. [17] καὶ οἱ ὄρχιες ἕλκονται. [18] καὶ ἐς τὴν καθέδρην καὶ ἐς τὴν κύστιν θέρμη τις καὶ ὀδύνη ἐμπίπτει. [19] καὶ οὐρέει παχὺ, ὁκοῖόν περ ὑδρῶπες. [20] καὶ ἐκ τῆς κεφαλῆς αἱ τρίχες ῥέουσι. [21] καὶ τὰ σκέλεα καὶ οἱ πόδες αἰεὶ ψυχροί. [22] καὶ ἡ ὀδύνη πιέζει μάλιστα τὰς πλευρὰς καὶ τὸ μετά-

bubulum lac pro tempore, per quadraginta dies. [15] Bibat item mane bubuli lactis duas heminas, tertia aquæ mulsæ parte ammixta, per intermedios dies. [16] Hic morbus multa medela opus habet. [17] Sin minus, non exit, sed cum homine moritur. [18] Vocatur autem volvulus hæmatites.

L. Morbi crassi appellati. [2] Ex crassis appellatis morbis, hi maxime fiunt. [3] Quum pituita & bilis mixta fuerint in corpore, fluunt in ventrem: [4] & quum congregata fuerint in ventre, attolluntur, & sursum ac deorsum discurrunt, velut unda. [5] Et rigor ac febris corripit. [6] Et dolor in capite consistit: [7] & quum dolor circa viscera constiterit, suffocationem inducit. [8] Aliquando vero vomit pituitam acidam, quandoque etiam salsam: [9] & postquam evomuit, os amarum ipsi esse videtur. [10] In lateribus autem rubores detinentur. [11] Nam quum pituita in ventre sit, sanguis à caliditate congregatus in latera allapsus est, & rubores in lateribus excitat. [12] Et calor maxime latera occupat, ac costas. [13] Et dorsum ipsius incurvum fit [14] Et quum maxime doleat*, [15] corporis contactum non sustinet. Nam velut ex ulcere dolet. [16] Et carnes præ dolore vibrantur ac palpitant: [17] & testes contrahuntur: [18] & in sedem, & in vesicam, calor quidam ac dolor irruit. [19] Et mingit crassum velut in aqua inter cutem. [20] Et ex capite defluunt capilli: [21] & pedes semper frigidi sunt: [22] & dolor premit maxime latera, & dorsum, & collum:

μετάφρενον, καὶ τὸν τράχηλον. [23] πρὸς δὲ τὸ δέρμα δοκέει οἱ προσέρπειν. 141 [24] ἡ δὲ νοῦσος ποτὲ μὲν πιέζει, ποτὲ δὲ ἀνίησι. [25] προϊούσης δὲ τῆς νούσου, ξυνεχέστερον πιέζει. [26] καὶ τῆς κεφαλῆς τὸ δέρμα παχὺ καὶ ἐρυθρόν ἐστιν. [27] οὗτος, μέχρι μὲν ἓξ ἐτέων, τοιαῦτα πάσχων διατελέει. [28] ἔπειτα ἱδρώς τε πολλὺς καταχέεται, καὶ κάκοδμος γίνεται. [29] πολλάκις δὲ καὶ ὀνειρώσσει. [30] τὸ δὲ λάγνευμα τούτου ὕφαιμον προέρχεται [ἢ] ὑποπέλιδνον. [31] τοῦτο τὸ νόσημα γίνεται διὰ θερμασίην τοῦ ἡλίου καὶ ὑδροποσίην. [32] τοῦτον τοιγαροῦν, ὁκόταν οὕτως ἔχῃ, τοῦ κνεώρου διδοὺς ὑποκαθαίρειν, ἢ τοῦ κνιδίου κόκκου, ἢ τοῦ ἱπποφαέος. [33] διδοὺς δὲ πίνειν καὶ γάλα ὄνου ἑψήσας ὀκτὼ κοτύλας, μέλι παραχέων. [34] τῇ δὲ ὑστεραίῃ μετὰ τὴν κάθαρσιν τὰ αὐτὰ προσφέρειν, ἃ καὶ τοῖσιν ἄλλοισι. [35] τὰς δὲ πρώτας ἡμέρας διαιτάσθω τὰ αὐτὰ, ἃ καὶ ὅσους ὑπὸ ὑδέρου ἑάλω, [36] καὶ ποιείτω περιόδους, ἢν δυνατὸς ᾖ. [37] ἢν δὲ ἀδύνατος ᾖ ὑπὸ τῶν πυρετῶν, καὶ ἐσθίειν μὴ δύνηται τὰ σιτία, χρήσθω ῥοφήματι φακῆς· ποτῷ δὲ οἴνῳ μέλανι ὡς αὐστηροτάτῳ. 210 [38] αὕτη ἡ νοῦσος ἐπιλαμβάνει μάλιστα μετοπώρου, καὶ ὀπώρης ἐούσης. [39] οὗτος, ἢν μὲν ἰηθῇ ἐν τοῖς ἓξ ἔτεσιν· εἰ δὲ μή, προσίσχει καὶ ἄχρι τῶν δέκα ἐνιαυτῶν. [40] ἀπολλῦσι δὲ καὶ ξυναποθνήσκει, ἢν μὴ παραχρῆμα μελετηθῇ.

LI. Ἄλλο παχύ. [2] τὰ δὲ τοιάδε παχέα τῶν νοσημάτων γίνεται ἀπὸ χολῆς, [3] ὁκόταν [δὴ] χολὴ ἐπὶ τὸ ἧπαρ ἐπιῤῥυῇ, καὶ ἐς τὴν κεφαλὴν καταστῇ. [4] τάδε οὖν πάσχει. [5] τὸ ἧπαρ οἰδέει, καὶ ἀναπλεύσεται 143 πρὸς τὰς φρένας ὑπὸ τοῦ οἰδήματος. [6] καὶ αὐτίκα ἐς τὴν κεφαλὴν ὀδύνη

lum: [23] & ad cutem aliquid ipsi proserpere videtur. [24] Morbus vero quandoque urget quandoque remittit. [25] In progressu autem magis assidue premit. [26] & cutis capitis crassa ac rubicunda est. [27] Hic usque ad sex annos talia pati perseverat. [28] Postea & sudor multus diffunditur, & male olet. 191 [29] Sæpe vero etiam per somnum semen effundit. [30] Quod vero per coitum emittit, subcruentum ac sublividum prodit. [31] Hic morbus fit propter calorem solis, & aquæ potum. [32] Proinde hunc quum sic habuerit, cneoro aut hippophae, aut cnidio grano dato, subpurgato: [33] dato etiam lactis asinini cocti heminas octo bibendas, melle affuso. [34] Postera die post purgationem eadem, quæ aliis exhibeto. 200 [35] Primis autem diebus ex iisdem nutriatur, ex quibus etiam is qui ab aqua inter cutem correptus est: [36] & deambulationibus se exerceat, si ita potens fuerit. [37] Si vero præ febribus impotens fuerit, & cibos edere non poterit, lenticulæ sorbitione utatur: potu vero vino nigro quam maxime austero. [38] Hic morbus maxime corripit autumno, & tempore fructuum pomorum. [39] Hic siquidem curatus fuerit in sex 205 annis, satis est: sin minus, adhæret usque ad decem annos. [40] Cum multis vero simul moritur, si non statim curatus fuerit.

LI. Alius crassus morbus. [2] Tales crassi morbi à bile fiunt, [3] quum bilis in hepar influxerit, & in capite constiterit. [4] Hæc igitur æger patitur. [5] Hepar intumescit, & præ tumore ad septum transversum expanditur: [6] & dolor statim in caput irruit,

ὀδύνη ἐμπίπτει· μάλιστα δὲ ἐς τοὺς κροτάφους. 7 καὶ τοῖσιν ὠσὶν οὐκ ὀξὺ ἀκούει. 8 πολλάκις δὲ καὶ τοῖσιν ὀφθαλμοῖσιν οὐχ ὁρᾷ. 9 καὶ φρίκη καὶ πυρετὸς ἐπιλαμβάνει. 10 ταῦτα μὲν κατ᾽ ἀρχὰς τοῦ νοσήματος αὐτῷ γίνεται· διαλιμπάνοντα [δὲ] ποτὲ μὲν σφόδρα, ποτὲ δὲ ἧσσον. 11 ὁκόσῳ δ᾽ ἂν ὁ χρόνος τῇ νούσῳ προΐῃ, ὅ, τε πόνος πλείων ἐν τῷ σώματι [γίνεται,] 12 καὶ αἱ κόραι σκίδνανται τῶν ὀφθαλμῶν, καὶ σκιαυγέει, 13 καὶ, ἢν προσφέρῃς τὸν δάκτυλον πρὸς τοὺς ὀφθαλμοὺς, οὐκ αἰσθήσεται, διὰ τὸ μὴ ὁρῇν. 14 τούτῳ δ᾽ ἂν γνοίης, ὅτι οὐχ ὁρῇ, ὅτι οὐ σκαρδαμύσσει προσφερομένου τοῦ δακτύλου. 15 καὶ τὰς κροκίδας ἀφαιρέει τοῦ ἱματίου, ἢν περ ἴδῃ, δοκέων φθεῖρας αὐτὰς εἶναι. 16 καὶ, ὁκόταν τὸ ἧπαρ μᾶλλον ἀναπτυγῇ πρὸς τὰς φρένας, παραφρονέει. 17 καὶ προφαίνεσθαί οἱ δοκέει πρὸ τῶν ὀφθαλμῶν ἑρπετὰ καὶ ἄλλα παντοδαπὰ θηρία, καὶ ὁπλῖται μαχόμενοι· 18 καὶ αὐτὸς ἐν αὐτοῖς δοκέει μάχεσθαι. 19 καὶ τοιαῦτα λέγει, ὡς ὁρέων μάχας καὶ πολέμους. 20 καὶ ἐπέρχεται, καὶ ἀπειλέει, ἢν μή τις αὐτὸν ἐῇ ἐξιέναι. 21 κἂν ἀναστῇ, οὐ δύναται ἀείρειν τὰ σκέλεα, ἀλλὰ καταπίπτει. 22 καὶ οἱ πόδες αὐτοῦ αἰεὶ ψυχροί. 23 καὶ, ὁκόταν καθεύδῃ, ἀναΐσσει ἀπὸ τοῦ ὕπνου. 24 καὶ φοβέεται, ὁκόταν ἐνύπνια ἴδῃ φοβερά. 25 τῷδε δὲ γινώσκομεν, ὅτι ἀπὸ ἐνυπνίων ἀΐσσει, [ὅτι] φοβέεται. 26 καὶ, ὁκόταν ἔννοος γένηται, ἀφηγέεται τὰ ἐνύπνια, ὁκοῖα καὶ τῷ σώματι ἐποίει, καὶ τῇ γλώσσῃ ἔλεγε. 27 ταῦτα μὲν οὕτω πάσχει. 28 ἔστι δ᾽ ὅτε καὶ κέεται ἄφωνος ὅλην τὴν ἡμέρην καὶ τὴν νύκτα, ἀναπνέων πολλὸν τὸ πνεῦμα ἀθρόον. 29 ὁκόταν δὲ παύσηται παραφρονέων,

irruit, maxime vero in tempora: 7 & auribus non acute audit. 8 Sæpe vero etiam oculis non videt: 9 & horror ac febris corripit. 10 Atque hæc quidem in principio morbi ipsi fiunt, intermittentia quandoque valde, quandoque minus. 11 Quanto autem magis morbus progressus fuerit, tanto amplior dolor in corpore existit: 12 & pupillæ oculorum disperguntur ac hebetantur: 13 & si digitum oculis admoveris, non sentit, eo quod non videt. 14 Quod autem non videt, ex hoc cognoveris, quod admoto digito non nictat: 15 & floccos de stragulis tollit, si quos viderit, pediculos ipsos esse putans: 16 & quum hepar magis ad septum tranversum expassum fuerit, delirat. 17 & ob oculos ipsi obversari videntur reptilia, & omnis generis peregrinæ feræ, & milites armati pugnantes: 18 & ipse sibi inter ipsos pugnare videtur: 19 & talia loquitur velut qui videat pugnas & bella geri, 20 & invadit, & minatur, si quis ipsum exire vetet: 21 & si surrexerit, crura elevare non potest, sed concidit: 22 & pedes ipsius frigidi sunt. 23 Et quum dormit, exilit à somno, 24 & timet quum insomnia viderit horrenda. 25 Cognoscimus autem hoc, quod ab insomniis exilit ac timet, 26 postquam resipiscit. Nam insomnia denarrat, & ea quæ corpore fecit, & quæ lingua loquutus est. 27 Atque hæc quidem sic patitur. 28 Quandoque vero etiam per totam diem ac noctem voce privatus jacet, respirans spiritum multum acervatum. 29 Quum autem delirare cessavit, statim

φρονέων," εὐθὺς ἔννοος γίνεται. 30 καὶ ἤν ἐρωτῇ τις αὐτὸν, εὐθὺς ἀποκρίνεται, καὶ γινώσκει πάντα τὰ λεγόμενα. 31 εἶτ᾽ αὖθις ὕστερον ὀλίγῳ χρόνῳ ἐν τοῖσιν αὐτοῖσιν ἄλγεσι κέεται. 32 αὕτη ἡ νοῦσος προσπίπτει μάλιστα "ἐν ἀποδημίῃ. 33 καὶ, ἤν κου ἐρήμην ὁδὸν βαδίζῃ, καὶ φόβος αὐτὸν λάβῃ ἐκ 'φάσματος. 34 λαμβάνει δὲ καὶ ἄλλως. 35 τοῦτον, ὁκόταν οὕτως ἔχῃ, πίσαι τοῦ μέλανος ἐλλεβόρου πέντε ὀβολοὺς στήσας. 36 διδόναι δὲ ἐν οἴνῳ γλυκεῖ 37 ἢ κλύζειν αὐτὸν ἐν τούτοισι. 38 νίτρου αἰγυπτίου ὁκόσον ἀστράγαλον οἰός. 39 τοῦτο τρίψαι λεῖον, καὶ παραμίξαι μέλιτος καλλίστου ἡμικοτύλιον ἑψήσας "ἐν θυείῃ, 40 καὶ ἡμικοτύλιον ἐλαίου, 41 καὶ ἀπὸ τεύτλων ἑφθῶν ὕδατος τέσσαρας κοτύλας ἐξαιθριάσας. 42 ἢν δὲ βούλῃ, ἀντὶ τεύτλου ὄνου γάλα ἑψήσας παραμίξαι. 43 ταῦτα μίξας κλύζειν, ἤν τε πυρετὸς ἔχῃ, ἤν τε μή. 44 ῥοφήμασι δὲ χρείσθω, πτισάνῃ καθεφθῷ, μέλι παραχέων. 45 πινέτω δὲ καὶ μέλι καὶ ὕδωρ καὶ ὄξος, ξυγκεράσας ἅμα, ἕως ἂν κριθῇ ἡ νοῦσος. 46 κρίνεται δὲ ἐν δεκατέσσαρσιν ἡμέρῃσι τὸ μακρότατον, ἤν τε θανάσιμος, ἤν τε οὔ. 47 πολλοῖσι δὲ ἤδη ἡ τοιαύτη νοῦσος πεπαυμένη πάλιν ὑπεστροφίασεν. 48 ἢν οὖν ὑποστροφιάσῃ, κίνδυνος, αὐτὸν διαφθαρῆναι. 49 κρίνεται δὲ ἡ νοῦσος ἐν ἑπτὰ ἡμέρῃσιν, ἢν θανάσιμος, ἢ οὔ. 50 ἢν δὲ ταύτας 'ἐκφύγῃ, οὐ μάλα θνήσκει, ἀλλὰ τοῖσι πολλοῖσι μελεδαινομένη ἐξέρχεται. 51 ὁκόταν δὲ παύσηται ἡ νοῦσος, διαίτῃ χρείσθω καλῇ, 52 ἡσυχίως προσαίρων, ὅκως ἂν ἡ κοιλίη προσδέξηται καὶ μὴ ξυγκαυθῇ, μήτε διάρ-

ῥοια

evestigio resipiscit, 30 & si quis ipsum interroget, recte respondet: & cognoscit ac intelligit omnia quæ dicuntur. 31 Deinde rursus post modicum tempus, in iisdem afflictionibus jacet. 32 Hic morbus accidit maxime in peregrinatione. 33 Et si quis alicubi per desertam viam iter faciat, & 'timor ipsum ex spectro corripiat. 34 Fit etiam aliter. 35 Huic quum sic habuerit, veratri nigri obolorum quinque pondus, 36 in vino dulci bibendum dato. 37 Aut hæc per clysterem infundito. 38 Nitri ægyptii magnitudinem tali ovilli 39 terito, & mellis optimi cocti dimidiam heminam, 40 & olei dimidiam heminam, in mortario ammisceto, 41 & aquæ à betis coctis heminas quatuor per noctem sub dio expositas addito: 42 aut si volueris, 'pro beta lac asininum coctum ammisceto: 43 & hæc mixta per clysterem immittito, sive febris habeat, sive non. 44 Sorbitionibus autem utatur, ptisana cocta, melle affuso. 45 Bibat etiam mel & aquam & acetum, simul permixta, donec judicatus fuerit morbus. 46 Judicatur autem in quatuordecim diebus ad summum, sive lethalis est, sive non. 47 Multis autem jam hujusmodi morbus sedatus, rursus rediit. 48 Si igitur redierit; 'periculum est ne æger pereat. 49 Judicatur morbus in septem diebus, an lethalis sit, aut non. 50 Si vero has effugerit, non valde moritur, sed morbus in plerisque curatus decedit. 51 Quum autem desiverit morbus, diæta bona utatur, 52 quiete ingerens quæ venter suscipiat, & non comburantur, neque ven-

tris

ῥοια ἐπιγένηται. 53 ἀμφότερα γὰρ δοκέει κινδυνώδεα εἶναι. 54 λουέσθω δὲ ἑκάστης ἡμέρης, 55 καὶ περιπατείτω μετὰ τὰ σιτία ὀλίγα. 56 ἐσθῆτα δὲ ἐνδυέσθω κούφην καὶ μαλθακήν. 57 καὶ γαλακτοποτείτω τὴν ὥρην, καὶ ὀῤῥοποτείτω πέντε καὶ τεσσαράκοντα 40 ἡμέρας. 58 ταῦτα ἢν ποιέῃ, τάχιστα ὑγιὴς ἔσται. 59 ἡ δὲ νοῦσος χαλεπὴ, καὶ δεῖται μελέτης πολλῆς.

LII. Ἕτερον παχύ. 2 γίνεται μὲν ἀπὸ φλέγματος σαπέντος. 3 τῷδε δὲ δῆλον, ὅθεν γίνεται. 4 ὅ, τι σαπρόν ἐστιν, ἐρεύγεται ἀπὸ τοῦ τοιοῦδε ἔχον τὴν ὀσμὴν, ὁκοῖον τὶς ῥαφανίδας φαγών. 5 ἄρχεται δὲ γίνεσθαι τὸ τοιοῦτον νόσημα ἀπὸ τῶν σκελέων. 6 εἶτ' ἀπὸ τούτων ἄνεισιν ἐς τὴν κοιλίην, 7 καὶ, ὁκόταν ἐν τῇ κοιλίῃ στῇ, αὖθις ἀνατρέχει πρὸς τὰ σπλάγχνα. 8 καὶ, ὁκόταν 45 ἐπὶ τούτοισι στῇ, φεύγει καὶ ἔμετον ἄγει, ἅμα λάπην ἐμῶν ὀξείην ὑπόσαπρον. 9 καὶ, ὁκόταν ἀπεμέσῃ, οὐκ ἔχει ἑωυτόν. 10 ἔπειτα δυσφορίη πρὸς τοῖσι σπλάγχνοισιν. 11 ἐνίοτε δὲ καὶ ἐς τὴν κεφαλὴν ἐξαπίνης ὀδύνη στηρίζει ὀξέη. 12 καὶ τοῖσιν ὠσὶν ὀξέως ἀκούειν οὐ δύναται, οὐδὲ τοῖσιν ὀφθαλμοῖσιν ὁρῆν ὑπὸ τοῦ βάρεος, 13 ἱδρώς τε πολλοῖς καταχέεται κάκοδμος. 153 14 καὶ μάλιστα, ὅταν ἡ ὀδύνη ἔχῃ, καὶ ποιέῃ λωφᾷν τὴν νόσον. 15 ἡ δὲ χροιὴ αὐτοῦ ἰκτερώδης γίνεται. 211 16 αὕτη ἡ νοῦσος τῆς προτέρης ἧσσον μικρῷ θανατώδης. 17 τοῦτον, ὁκόταν οὕτως ἔχῃ, καθαίρειν τὴν κοιλίην, κάτω μὲν τῷ ἱπποφαεῖ, ἄνω δὲ τῷ ἐλλεβόρῳ. 18 καὶ τὴν κεφαλὴν καθαίρειν τῷ τετραγώνῳ, 19 καὶ, ὁκόταν ὑπὸ τοῦ ἐλλεβόρου κεκαθαρμένος ᾖ, τῇ ὑστεραίῃ ὄνειον ἑφθὸν γάλα χρὴ ὑποκαθαίρειν. 20 τῇ δὲ τρίτῃ, αἴγειον ἑφθόν. 21 ὡσαύτως δὴ καὶ τῇ τετάρτῃ

tris profluvium succedat. 53 Ambo enim hæc periculosa esse videntur. 54 Lavetur autem quotidie, 55 & deambulet post cibos modice. 245 56 Veste vero induatur levi ac molli: 57 & pro tempore anni lac & serum bibat, per quinque ac quadraginta dies. 58 Hæc si fecerit, celerrime sanus erit. 59 Morbus autem gravis est, & multa cura opus habet.

LII. Alius morbus crassus. 2 Fit à pituita putrefacta. 3 Quod autem putrida est unde fit, ex hoc manifestum est. 4 Eructat ab hac quod odorem habet, velut si quis raphanides edisset. 5 Incipit autem fieri talis morbus à 250 cruribus, 6 deinde ab his ascendit ad ventrem. 7 Et quum in ventre constiterit, rursus decurrit ad viscera. 8 Et quum in his constiterit, fugit & vomitum facit, pituitam acidam subputridam educens: 9 & ubi evomuit, non habet seipsum, neque sibi constat æger. 10 Deinde angustia fit circa viscera. 11 Quandoque etiam in caput derepente dolor incumbit acutus. 12 Et auribus acute audire non potest, neque oculis videre, præ 255 gravitate: 13 & sudor multis diffunditur male olens, 14 & maxime quum dolor habuerit, & morbum levat. 15 Color autem ipsius arcuatus apparet. 16 Hic morbus priore paulo minus lethalis est. 17 Huic quum ita habuerit, ventrem purgato deorsum quidem, per hippophaes: sursum autem, per veratrum. 18 & caput tetragono purgato: 19 & quum à veratro purgatus fuerit, postera die lacte asinino cocto subpurgato. 250 20 Tertia deinde caprino cocto, 21 & similiter quarta

τετάρτῃ καὶ τῇ πέμπτῃ. [22] εἴκοσι δὲ ἄλλας ἡμέρας διδόναι ὠμὸν γάλα βόειον ἢ αἴγειον, τρίτον μέρος μελικρήτου παραμίσγων. [23] πινέτω δὲ τοῦ γάλακτος χοέα. [24] μετὰ δὲ τὴν κάθαρσιν τὴν κάτω, τῶν φαρμάκων τὰ αὐτὰ προσφέρειν, ἃ καὶ τοῖσιν ὑπὸ ὕδρωπος κατεχομένοισι. [25] τὸν δὲ λοιπὸν χρόνον, ὁκόταν τὸ γάλα πίνῃ, δειπνείτω ἄρτον ἴξοπτον. [26] ὄψον δὲ ἐχέτω, ἐν ἰχθύσι μὲν σκορπίον, ἢ καλλιώνυμον, ἢ κόκκυγα, ἢ ῥίνης τέμαχος ἑφθὸν ἐν ἀρτύμασιν. [27] ἐν κρέασι δὲ ὄϊος, ἢ ἀλεκτρυόνος νεοσσοὺς, ταῦτα ἑφθά. [28] οἶνον δὲ πινέτω λευκὸν, ἢν ξυμφέρῃ· ἢν δὲ μὴ, μέλανα αὐστηρόν. [29] εἶτα περιπατείτω μετὰ τὸ φαγεῖν, ὅκως ἂν μὴ ῥιγώσῃ. [30] τούτῳ, ἢν μὲν οὖν ξυμφέρῃ, τὰ σιτία διδόναι ἃ εἴρηται. [31] ἢν δὲ μὴ ξυμφέρῃ, ῥοφήματα διδόναι πτισάνης ἢ κέγχρου. [32] ταύτῃ τῇ νούσῳ, ἢν τριήκοντα ἡμέρας παρέλθῃ ὁ νοσέων, ὑγιαίνεται. [33] αὗται γὰρ κρίνουσιν, ἢν θανάσιμος, ἢ μή. [34] ἡ δὲ νοῦσος χαλεπή.

LIII. Ἄλλο παχύ. [2] γίνεται μὲν τὸ νόσημα ὑπὸ φλέγματος λευκοῦ. [3] ξυνίσταται δὲ ἐν τῇ κοιλίῃ, ὁκόταν πολυχρόνιοι κατέχωσι τὸ σῶμα πυρετοί. [4] ἄρχεται δὲ τὸ νόσημα ἐκ τοῦ προσώπου γίνεσθαι. [5] καὶ οἰδέει τὸ πρόσωπον. [6] εἶτα κατέρχεται ἐς τὴν κοιλίην. [7] καὶ, ὁκόταν στῇ ἐν αὐτῇ, αἴρει μεγάλην τὴν γαστέρα. [8] καὶ τὸ σῶμα κοπιᾷ ὡς ὑπὸ ταλαιπωρίης. [9] καὶ ἐς τὴν κοιλίην βάρος ἔνι, καὶ πόνος ἰσχυρός. [10] καὶ οἱ πόδες οἰδέουσι. [11] καὶ, ἢν χυθῇ ὑετὸς ἐπὶ τῆς γῆς, τοῦ κόνιος ὀδμώμενος οὐκ ἀνέχεται. [12] ἢν δὲ ἑστηκὼς τύχῃ ἐν τῷ ὑετῷ καὶ ὀδμηθῇ τῆς γῆς, ἐξαπίνης πίπτει. [13] αὕτη ἡ νοῦσος, καὶ διαπαύουσα

σα

quarta ac quinta. [22] Reliquis vero viginti diebus, lac bubulum crudum, aut etiam caprinum dato, tertia aquæ mulsæ parte ammixta. [23] Bibat autem lactis congium. [24] Post purgationem vero deorsum versus, eadem pharmaca exhibeantur quæ hydropicis. [25] Reliquo tempore quum lac bibit, cœnet panem exassatum. [26] Obsonium autem habeat, ex piscibus scorpium, aut callionymum, aut cuculum, aut squatinæ frustum cum condimentis coctum: [27] ex carnibus, ovillas, aut gallinacei pulli coctas. [28] Vinum bibat album, si conducat: sin minus, nigrum austerum: [29] deinde post cibum deambulet, ut ne frigeat. [30] Siquidem igitur conducat, cibos huic dato qui dicti sunt. [31] Si vero non conducunt, sorbitiones dato ptisanæ aut milii. [32] In hoc morbo si æger triginta dies transgressus fuerit, sanus fit. [33] Hi enim judicant an lethalis sit, an non. Est autem morbus gravis.

LIII. Alius morbus crassus. [2] Fit hic morbus à pituita alba. [3] Congregatur autem in ventre, quum febres diuturnæ corpus occuparint. [4] Initium hic morbus à facie sumit, [5] & intumescit facies, [6] deinde descendit in ventrem, [7] & ubi in ipso constiterit, ventrem magnum attollit, [8] & corpus velut à labore lassatur, [9] & in ventre gravitas inest, & dolor fortis, [10] & pedes tument, [11] & si pluvia in terram effundatur, pulveris odorem non sustinet. [12] Si vero in pluvia steterit, & terram odoret, derepente cadit. [13] Hic morbus interquiescens, longiore tempore

re

σαι τῆς προτέρης πλείονα χρόνον ἐπιλαμβάνει, καὶ χρονιωτέρη ἀπαλλάσσεται. [14] μελετᾷν δὲ χρὴ ταύτην ἐν τοῖσιν αὐτοῖσιν, οἷσι καὶ τὸν ὑδερῶντα. [15] ἤγουν πυριῆσι, καὶ φαρμάκοισι, καὶ ἐδέσμασι, καὶ ταλαιπωρίῃσιν. [16] αὕτη ἡ νοῦσος ἐπικρατέει μάλιστα ἓξ ἔτεα. [17] εἶτα ἐξέρχεται μελετωμένη καλῶς ἐν χρόνῳ, κἢν μὴ κατ' ἀρχὰς ἰηθῇ. [18] αὕτη ἡ νοῦσος χαλεπὴ, καὶ δεῖται μελέτης πολλῆς.

LIV. Περὶ ἰσχιάδος. [2] Ἰσχιὰς δὲ ἀπὸ τῶνδε τῶν ἀφορμέων γίνεται μάλιστα τοῖσι πολλοῖσιν. [3] ἢν ἔλθῃ ἐν ἡλίῳ πλείω χρόνον, καὶ τὰ ἰσχία διαθερμανθῇ, καὶ τὸ ὑγρὸν ἀναξηρανθῇ ὑπὸ τοῦ καύματος τὸ ἐνεὸν ἐν τοῖσιν ἄρθροισιν. [4] ὡς δὲ ἀναξηραίνεταί [τε καὶ] πήγνυται, τόδε δή μοι τεκμήριον. [5] ὁ γὰρ νοσέων στρέφεσθαι ἢ κινέειν τὰ ἄρθρα οὐ δύναται ὑπὸ τοῦ ἐν αὐτοῖσιν ἀλγηδόνος, καὶ τοῦ ξυμπεπηγέναι τοὺς δακτύλους. [6] ἀλγέει δὲ μάλιστα τὴν ὀσφὺν, καὶ τοὺς σπονδύλους, τοὺς ἐκ πλαγίων τῶν ἰσχίων, καὶ τὰ γούνατα. [7] ἵσταται δὲ ἡ ὀδύνη ἐν τοῖσι βουβῶσι πλεῖστον χρόνον, ἅμα καὶ τοῖσιν ἰσχίοισιν, ὀξέη καὶ καυματώδης. [8] κἢν τις αὐτὸν ἀνιστῇ, ἢ μετακινέῃ, ὑπὸ τῆς ἀλγηδόνος οἰμώζει, ὁκόσον ἂν μέγιστον δύνηται. [9] ἐνίοτε δὲ καὶ σπασμὸς ἐπιγίνεται, [10] καὶ ῥῖγος καὶ πυρετός. [11] γίνεται δὲ καὶ ἀπὸ χολῆς καὶ [ἀπὸ] φλέγματος. [12] γίνεται δὲ καὶ ἀπὸ αἵματος. ὀδύνη παραπλήσιος, ὡς πάντων τῶν νοσημάτων. [13] καὶ ῥῖγος καὶ πυρετὸς ἐνίοτε ἐπιλαμβάνει βληχρός. [14] ἀλλὰ χρὴ ὧδε μελετᾷν τὸν ἀπὸ τοῦ ἡλίου ταύτην τὴν νοῦσον λαβόντα. [15] ὑγραίνειν αὐτοῦ τὸ σῶμα τῇσι πυριῇσι, [16] καὶ ἀπὸ τῶν σιτίων, καὶ ἀπὸ τῶν ποτῶν, καὶ τῶν ἄλλων τῶν διδομένων διδόναι χλιαρὰ καὶ ὑγρά.

re quam prior occupat, & tardius decedit. [14] Curare vero ipsum oportet iisdem quibus hydropicum, [15] fomentis videlicet & pharmacis, & eduliis ac laboribus. [16] Hic morbus per sex annos maxime obtinet: [17] deinde decedit temporis progressu, si probe curetur, etiamsi non in principio fuerit curatus. [18] Est autem morbus difficilis, & multa cura opus habet.

LIV. [2] Coxendicum morbus ex his maxime causis fit plerisque. [3] Si quis diutius in sole versetur, & coxendices fuerint calefacti, & humor qui est in articulis, à calore fuerit resiccatus. [4] Quod autem id quod resiccatur, condensatur, ac constringitur, hoc mihi signum est. [5] Æger enim articulos vertere aut movere non potest, præ dolore qui est in ipsis, & eo quod verticula sunt compacta. [6] Dolet autem maxime lumbos, & verticula ex obliquo juxta coxendices, & genua: [7] consistit autem dolor multo tempore in inguinibus simulque coxendicibus, acutus & æstuosus: [8] & si quis ipsum erigat, aut transmoveat, præ dolore ejulat quam maxime potest. [9] Aliquando etiam convulsio succedit, [10] & rigor ac febris. [11] Fit autem & à bile, & à pituita, [12] fit item à sanguine, dolor consimilis velut ab omnibus morbis: [13] & rigor ac febris aliquando corripit debilis. [14] Cæterum eum qui à sole hoc morbo correptus est, sic curare oportet. [15] Corpus ipsius fomento humectetur: [16] & cibi ac potus, & alia quæ exhibentur, tepida ac humida præbeantur: atque hæc omnia co-

 cta.

ὑγρά. ταῦτα δὲ πάντα ἑφθά. 17 σιτίω δὲ καὶ μάζῃ χρήσθω μαλθακῇ ἀτρίπτῳ. 18 οἶνον δὲ πινέτω λευκὸν, ὑδαρέα. 19 καὶ τῷ σώματι ἡσυχίην ἐχέτω. 20 ἢν καὶ ἀδύνατος ᾖ ἀνίστασθαι, ὅμως ὀλίγα περιπατείτω ἑκάστης ἡμέρης, 21 καὶ μὴ ῥιγούτω· 22 καὶ λουέσθω, μὴ πολλῷ. 23 καὶ, ὁκόταν σοι δοκέῃ καλῶς ἔχειν καὶ ὑγρὸς εἶναι τὸ σῶμα, πυριῆσαι σφόδρα 40 βληχρῇ τῇ πυρίῃ. 24 μᾶλλον γὰρ ἀνίησι καὶ ἀνυγραίνει τὸ ξυμπεπηγὸς ἐκ τῶν ἄρθρων. 25 εἶτα τῇ ὑστεραίῃ πίσαι τοῦ κνιδίου κόκκου. 26 ἢν δὲ μὴ ὠφελήσῃ, κλύσαι τούτοισι χρὴ 158 αὐτόν. 27 τρίβειν κυμίνου ἡμικοτύλιον, σικύην ἄτμητον τῶν μικρῶν καὶ 159 στρογγύλων ξυγκόψας ἐν τῷ ὅλμῳ, καὶ σήσας ὡς λεπτότατον, νίτρου ἐρυθροῦ αἰγυπτίου τεταρτημόριον μνέας, 28 ὀπτήσας τρίψας τὸ λεῖον, ταῦτα ἐμβάλλειν ἐς χυτρίδα, καὶ ἐγχέαι ἐλαίου κοτύλην, μέλιτος ἡμικοτύλιον, 45 οἴνου λευκοῦ, καὶ τεύτλου 160 χυλοῦ [τρεῖς κοτύλας.] 29 ταῦτα ἕψειν, ἕως ἄν σοι δοκέῃ καλῶς ἔχειν τοῦ πάχεος. 30 εἶτα, διηθήσας δι' ὀθονίου, παραμίξαι αὐτοῖσι μέλιτος ἀττικοῦ κοτύλην· ἢν μὴ βούλῃ, ξυνεψεῖν τὸ μέλι. 31 ἢν δὲ μὴ ἔχῃς ἀττικὸν, κοτύλην τοῦ καλλίστου παραμίξας ἑψῆσαι ἐν θυείῃ. 32 ἢν δὲ τὸ κλύσμα παχύτερον ᾖ, παραχέαι οἴνου τοῦ αὐτοῦ πρὸς τὸ πάχος τεκμαιρόμενος. 33 ἐν τούτῳ κλύζειν. 34 εἶτα ἐᾷν χρὴ 161 μέχρι τριῶν ἡμερέων καθαίρεσθαι. 212 35 ἢν δὲ πλείονας καθαίρηται, τοῦ βοείου ἢ αἰγείου γάλακτος τρεῖς κοτύλας δοῦναι ἐκπιεῖν. 36 εἶτα τεῦτλα λιπαρὰ, περίπαστα ἐν ἀρτύμασιν, ἄναλα δοῦναι ἐσθίειν.

cta. 17 Cibo utatur maza molli, vino dulci non subacta. 18 Vinum bibat album, aquosum: 19 & corpore quietem habeat, 20 & quamvis impotens fuerit ut exsurgat, tamen modice singulis diebus deambulet: 21 & ne frigeat, 22 & non multa aqua lavetur: 23 & quum tibi bene habere visus fuerit, & corpore humidus esse, leni fomento vehementer foveto. 24 Magis enim remittit, & condensationem ex articulis humectat ac relaxat. 25 Deinde postera die cnidium granum bibendum dato. 26 Si vero non profuerit, hæc per 300 clysterem infundito. 27 Cumini heminam dimidiam terito, & colocynthidem integram parvam ac rotundam in mortario tundito ac cribrato, & nitri rubri ægyptii minæ quadrantem 28 torreto, ac terito. Atque hæc in ollam conjicito, & olei heminam, mellis heminam dimidiam, vini albi heminam, & succi betæ quantum videbitur affundito, 29 & donec bonam crassitudinem habere visa fuerint coquito. 30 Deinde per 305 linteum excolato, & si mel non simul coquere velis, mellis attici heminam ipsis ammisceto. 31 Si vero atticum non habeas, optimi alias cocti heminam in mortario ammisceto. 32 Si vero crassius fuerit hoc infusum, de eodem vino affundito, justæ crassitudinis respectu habito, 33 & per clysterem infundito; 34 deinde usque ad dies tres purgari sinere oportet. 35 Si vero pluribus diebus purgetur, bu- 310 buli aut caprini lactis heminas tres ebibendas dato: 36 deinde betas pingues non salsas, condimentis conspersas, edendas exhi-

ἰᾶσθαι. 37 ἐκ ταύτης οὖν τῆς νούσου πολλοὶ χωλοὶ ἐγένοντο. 162

LV. Ἢν δὲ ἀπὸ χολῆς ἡ νοῦσος φύηται, 2 πίσαι αὐτὸν ἐλλέβορον κάτω, ἢ ὀπὸν σκαμμωνίης. 3 μετὰ δὲ τὴν τοιαύτην κάθαρσιν, πτισάνης χυλὸν, μέλι παραχέων, δύο τρυβλία δίδου ἐκροφέειν. 4 τῇ δὲ ὑστεραίῃ ἢ τῇ τρίτῃ πυριήσας, γάλακτι ὀνείῳ ἑφθῷ ὑποκαθῆραι. 5 ἐς ἑσπέρην δὲ τεύτλου λιπαροῦ δύο τρυβλία ἐμφαγέτω, ἄλφιτα παραπάσσας. 6 οἶνον δὲ πινέτω λευκὸν, ὑδαρέα, γλυκὺν, καὶ νῦν καὶ μετὰ τὴν τοῦ φαρμάκου κάθαρσιν.

LVI. Ἢν δὲ ἀπὸ φλέγματος νοσέῃ, 2 πίσαι αὐτὸν τοῦ κνιδίου κόκκου ἢ τοῦ ἱπποφέω, [πρόσθεν] πυριήσας. 3 μετὰ δὲ τὴν κάθαρσιν, τὰ αὐτὰ χρὴ προσφέρειν, καὶ ῥοφήματα, καὶ ποτὰ, καὶ γαλακτοποσίην. 4 τὰς δὲ μεταξὺ τῶν ἡμερέων διαίτῃ χρείσθω ὡς κουφοτάτῃ. 5 καὶ, ἢν μὲν ἀπὸ τούτων ὠφελῆται· 6 ἢν δὲ μὴ, καῦσαι αὐτὸν, τὰ μὲν ὀστώδεα μύκησι, τὰ δὲ σαρκώδεα σιδηρίοισι, πολλὰς ἐσχάρας καὶ βαθείας.

LVII. Ἢν δὲ ὑφ' αἵματος νοσέῃ, 2 πυριῆσαι, καὶ σικύην προσβάλλειν, καὶ φλεβοτομέειν τὰς ἐν τῇσιν ἰγνύῃσι φλέβας. 3 ἢν δέ σοι δοκέῃ, καὶ τοῦ κνιδίου κόκκου πίσαι αὐτόν. 4 διαίτῃ δὲ χρείσθω ὡς ξηροτάτῃ. 5 οἶνον δὲ μάλιστα μὲν μὴ πινέτω. 6 ἢν δὲ ἄρα καὶ πίνειν θέλῃ, ὡς ἐλάχιστον καὶ ὑδαρέστερον δίδου, 7 καὶ περιπατέειν ὀλίγα κέλευε· ἢν δὲ δυνατὸς ᾖ, πλεῖστα. 8 ξυμφέρει δὲ καὶ τῷ ἀπὸ τοῦ φλέγματος νοσέοντι τὰ τοιαῦτα ποιέειν. 9 ἢν δὲ μὴ δύνηται ἵστασθαι, ἐν τῇ κλίνῃ χρὴ

exhibeto. 37 Ex hoc morbo multi claudi ſunt.

LV. Si vero à bile morbus fiat, 2 veratrum deorſum purgans ipſi bibendum dato: aut ſcammoniæ ſuccum. 3 Poſt hujuſmodi vero purgationem, ſucci priſanæ melle affuſo, heminas duas exſorbendas dato. 4 Poſtera vero aut tertia die adhibito fomento, lacte aſinino cocto ſubpurgato. 5 Ad veſperam autem pinguis betæ heminas duas edat, polenta inſperſa. 6 Vinum bibat album, aquoſum, dulce, & nunc, & poſt pharmaci purgationem.

LVI. Si vero à pituita ægrotet, 2 cnidium granum, aut hippophaes, adhibito prius fomento, bibendum ipſi dato. 3 Poſt purgationem vero, eaſdem ſorbitiones ac potus exhibeto. Itemque lactis potionem. 4 Intermediis autem diebus, diæta quam leviſſima utatur. 5 Et ſiquidem ab his utilitatem ſentit, bene eſt. 6 Sin minus, ipſum urito multis ac profundis cruſtis inuſtis, in oſſeis quidem partibus, per fungos: in carnoſis autem, per ferramenta.

LVII. Si vero à ſanguine ægrotarit, 2 fomentum adhibeto, & cucurbitam affigito, & venas in poplitibus ſecato. 3 Si autem tibi viſum fuerit, etiam cnidium granum ipſi bibendum dato. 4 Diæta vero quam ſicciſſima utatur. 5 Vinum autem ne bibat. 6 Si vero bibere velit, quam minimum & aquoſiſſimum dato, 7 & modice deambulare jubeto, aut ſi potens fuerit, plurimum. 8 Conducit autem & à pituita ægrotanti talia facere. 9 Si vero ſtare non poſſit, in lecto ipſum quam frequentiſſime

καὶ περιφέρειν ὡς πυκνότατα, 10 ἀφ' ἧς ἂν νοσῇ, καὶ ἅπαντα ὁμοίως, ὅκως αὐτόθι μὴ ξυμφυῇ ὁ χόνδρος.

LIIX. Ἢν δὲ ξυμφυῇ καὶ τὰ ἄρθρα ξυμπαγῇ, 2 πᾶσα ἀνάγκη χωλὸν γενέσθαι τὸν ἄνθρωπον. 3 καὶ ἢν βούλῃ, κλύσαι τὸν ἀπὸ τοῦ αἵματος νοσέοντα, 4 ὥστε αἷμα ἀπάγειν καὶ φλέγμα ἀπὸ τῶν ἰσχίων, 20 5 τοῖσι δὲ δεῖ κλύζειν. 6 ἁλὸς δραχμίδα τρίψας παραμίξαι ἐλαίου κοτύλην, καὶ ἀπὸ κριθέων ἑφθῶν δύο κοτύλας. εἶτα οὕτω κλύζειν τοῦτον. 7 οὕτω μελετῶν τάχιστα ὑγιέα ποιήσεις. 8 ἡ δὲ νοῦσος χαλεπὴ λίην ἐστὶ καὶ χρονίη.

LIX. Τέτανοι τρεῖς. 2 Ἢν 163 μὲν ἐπὶ τρώματι τέτανος γένηται, πάσχει τάδε. 3 αἱ γένυες πήγνυνται. 4 καὶ τὸ στόμα διαίρειν οὐ δύναται. 5 καὶ οἱ ὀφθαλμοὶ δακρύουσι καὶ ἕλκονται. 6 καὶ τὸ μετάφρενον πέπηγε. 7 καὶ τὰ σκέλεα οὐ δύναται ξυγκάμπτειν, 25 οὐδὲ τὰς χεῖρας, οὐδὲ τὴν ῥάχιν. 8 ὁκόταν δὲ θανατώδης ᾖ, τὸ ποτὸν καὶ τὰ βρώματα, ἃ πρότερον ἐβεβρώκει, ἀνὰ τὰς ῥῖνας ἀνέρχεται ἐνίοτε. 9 τοῦτον, ὁκόταν οὕτως ἔχῃ, πυριᾶν δεῖ, καὶ ἀλείψαντα λιπαρῶς πρὸς τὸ πῦρ ἑκαθεν θάλπειν. 10 καὶ χλιάσματα προστιθέναι, ὑπαλείψας τὸ σῶμα. 11 καὶ ἀψίνθιον, ἢ φύλλα δάφνης, ἢ τοῦ ὑοσκυάμου τὸν καρπὸν τρίψας, καὶ λιβανωτόν, 12 εἶτα οἴνῳ λευκῷ δεὶς ἐγχέαι ἐς χυτρίδα καινήν. 13 εἶτα ἐπιχέαι ἔλαιον 30 ἴσον τῷ οἴνῳ, 14 καὶ θερμήνας ἀλεῖψαι πολλῷ θερμῷ τὸ σῶμα καὶ τὴν κεφαλήν. 15 ἔπειτα κατακλίνας ἐπὶ βάτην ἄνω τὴν γαστέρα ποιήσαντα, 164 16 ἀμφιέσαι ἱμάτια 165

tissime circumferre oportet, 10 à quacunque caussa ægrotarit, per omnia similiter, ut ne intus cartilago concrescat.

LIIX. Si vero concreverit, & articuli conglutinati fuerint, 330 2 omnino necesse est hominem claudum fieri. 3 Et si clysterem adhibere volueris ei qui à sanguine ægrotat, 4 quo sanguinem ac pituitam à coxendicibus abducas, 5 hæc infundere oportet. 6 Salis pugillo trito olei heminam, & de hordei decocto duas heminas ammisceto, atque sic infundito. 7 Si enim sic curationem feceris, celerrime sanum facies. 8 Morbus autem gravis valde est ac diuturnus.

LIX. Tetani tres. 2 Si ob 335 vulnus tetanus sive distentio fiat, æger hæc patitur. 3 Maxillæ conglutinantur, & rigent, 4 & os aperire non potest: 5 & oculi lachrymantur & contrahuntur, 6 & dorsum conglutinatum riget, 7 & crura flectere nequit, neque manus, neque spinam. 8 Quum autem lethalis fuerit, potum & cibos quos prius accepit, aliquando per nares reddit. 9 Hunc quum sic habuerit, fovere oportet, & pinguiter unctum, ad ignem 340 non ita prope calefacere, 10 & tepefactoria illito corpori adhibere. 11 Et absinthium, aut lauri folia, aut hyoscyami semen, & thus terito, 12 deinde vino albo diluta in ollam novam infundito, 13 & oleum pari cum vino mensura affundito, 14 & cum his calefactis large calidis corpus ac caput illinito. 15 Postea super pelliceum indumentum reclinatum, ita ut pars ad quam fuit animalis caro sursum vergat, 16 mollibus ac puris stragu- 345 lis

γίᾳ λεπτῷ μαλθακῷ καθαρῷ, ὅκως ἂν ἐξιδρώσῃ σφόδρα. 17 μελίκρητον δὲ χλιαρὸν διδόναι, ἢν μὲν δύνηται τοῦτο πιεῖν, κατὰ τὸ στόμα. 18 ἢν δὲ μὴ, ἐγχεῖν κατὰ τὰς ῥῖνας. 19 διδόναι δὲ οἶνον λευκὸν πίνειν, ὡς ἥδιστον καὶ πλεῖστον. 20 ταῦτα χρὴ ποιεῖν ἑκάστης ἡμέρης, ἕως ἂν ὑγιὴς γένηται. 21 ἡ δὲ νοῦσος χαλεπὴ, καὶ 35 δεῖται μελέτης παραχρῆμα.

LX. Ὀπισθότονος. 2 Ὁ δὲ ὀπισθότονος τὰ μὲν ἄλλα πάσχει πλῆθος τὰ αὐτά. 3 γίνεται δὲ, ὁκόταν τοὺς ἐν τῷ αὐχένι τένοντας τοὺς ὄπισθεν νοσήσῃ. 4 νοσεῖ δὲ ἢ ὑπὸ κυνάγχης, 5 ἢ ὑπὸ σταφυλῆς, 6 ἢ 166 ὑπὸ τῶν ἀμφιοραγχίων ἐμπύων γινομένων. 7 ἐνίοτε δὲ καὶ ἀπὸ τῆς κεφαλῆς, πυρετῶν ἐπιγινομένων, σπασμὸς ἐπιγίνεται. 8 ἤδη δὲ καὶ ὑπὸ τρωμάτων. 9 167 οὗτος ἕλκεται ἐς τοὔπισθεν. 10 καὶ ὑπὸ τῆς ὀδύνης τὸ μετάφρενον πέπηγε, 11 καὶ τὰ στήθεα οἰμώζει. 12 40 οὗτος σπᾶται σφόδρα, ὥστε μόλις μὲν κατέχειν οἱ παρεόντες, ὡς μὴ ἐκ τῆς κλίνης ἐκπίπτειν. 13 οὗτος πολλάκις μὲν τῆς ἡμέρης πονεῖ, πολλάκις δὲ κουφότερον διάγει. 14 τούτῳ οὕτως ἔχοντι ταὐτὰ χρὴ προσφέρειν, ἃ καὶ τῷ πρόσθεν. 15 ἡ δὲ νοῦσος προσίσχει τὸ μακρότατον ἄχρι τεσσαράκοντα ἡμερέων. 16 ἢν δὲ ταύτας διαφύγῃ, ὑγιὴς γίνεται.

LXI. Ἄλλος τέτανος. 2 Ὁ δὲ τέτανος ἧττον θανατώδης, ἢ οἱ πρόσθεν. 3 γίνεται δὲ ἀπὸ τῶν αὐτῶν. 4 πολλοὶ δὲ καὶ πεσόντες ἐς τὰ 45 ὄπισθεν, ἔλαβον τὸ νόσημα. 5 πάσχει οὖν τάδε. 6 σπᾶται ὅλον τὸ σῶμα. 7 ἐνίοτε δὲ καὶ ὅπῃ ἂν τύχῃ τοῦ σώματος,

lis ac vestimentis contegito, quo vehementer exsudare possit. 17 Aquam vero mulsam tepidam, siquidem hanc bibere poterit, per os exhibeto. 18 Si vero non poterit, per nares infundito. 19 Vinum autem album quam jucundissimum ac plurimum bibendum dato. 20 Hoc quotidie facere oportet, donec sanus fiat. 21 Est autem morbus gravis, & statim curatione opus habet.

LX. Opisthotonos. 2 In distentione ' retrorsum contingente (opisthotonum vocant) 310 alia quidem eadem æger patitur. 3 Fit autem, quum tendines qui ipsi sunt retro in cervice ægrotarit. 4 Ægrotat autem, ab angina, 5 aut ab uva, 6 aut locis circa tonsillas suppuratis. 7 Aliquando etiam à capite febribus succedentibus, convulsio succedit. 8 Jam vero etiam à vulneribus. 9 Hic trahitur in posteriorem partem, 10 & præ dolore circa dorsum 11 ac pectora, ejulat. 12 Hic convellitur ' ve- 315 hementer, ut vix detinere possint ipsum præsentes, ne è lecto excidat. 13 Hic sæpe in die dolore affligitur, sæpe etiam levius degit. 14 Huic sic habenti eadem exhibere oportet, quæ priori. 15 Morbus autem adhæret ad summum diebus quadraginta. 16 Si vero hos evaserit, sanus fit.

LXI. Alius tetanus. 2 Hic tetanus minus lethalis est quam priores. 3 Fit autem ab iisdem. 4 Multi vero etiam ex casu in partes posteriores, à ' morbo 360 correpti sunt. 5 Patitur igitur æger hæc. 6 Totum corpus convellitur. 7 Aliquando vero quacunque corporis parte id contigerit,

τος, σπᾶται. [8] καὶ περιφοιτᾷ μὲν τὸ πρῶτον. [9] ἔπειτα, τοῦ χρόνου προϊόντος, ἐς τὴν κλίνην πίπτει, καὶ αὖθις ἀνῆκεν ὁ πόνος, καὶ ὁ σπασμός. [10] καὶ ἀναστὰς, ἢν ἴσως περιέλθῃ ὀλίγας ἡμέρας, ἔπειτα αὖθις ἐν τοῖσιν αὐτοῖσιν ἄλγεσι κεῖται. [11] ταῦτα πάσχει καὶ μεταβάλλει συχνὸν χρόνον. [12] καὶ, ἤν τι φάγῃ, οὐ διαχωρεῖ κάτω, ἢν μὴ μόλις, καὶ ταῦτα ξυγκεκαυμένα. [13] ἀλλ' ἐν τοῖσι στήθεσιν ἔρχεται τὸ σιτίον, καὶ πνῖγα παρέχει. [14] τοῦτον τοῖσιν αὐτοῖσι θεραπεύων, οἷσι καὶ τοὺς πρόσθεν, τάχιστα ὑγιέα ποιήσεις. [15] κλύζειν δὲ ἐν πτισάνῃ ἑφθῇ τῇ λεπτῇ καὶ μέλιτι.

gerit, convellitur: [8] & primum quidem obambulat. [9] Postea temporis progressu in lectum cadit: & rursus remittit dolor & convulsio: [10] & si surrexerit, & fortassis ad paucos dies obambularit, postea rursus in iisdem afflictionibus jacet. [11] Atque hæc patitur ac transmutat, per multum tempus: [12] & si quid comedit, non secedit infra, nisi difficulter, atque hoc combustum. [13] At in pectoribus hæret cibus & suffocationem inducit. [14] Hunc si iisdem curaveris quibus priores, celerrime sanum facies. [15] Clysterem vero ex ptisana cocta tenui, ac melle adhibeto.

ΙΠΠΟΚΡΑΤΟΥΣ περὶ ΔΙΑΙΤΗΣ ΟΞΕΩΝ.

HIPPOCRATIS DE VICTV ACVTORVM.

Basil. græc. Foesius sect. IV. 52. 340. Basil. lat.

pag 368

Οἱ ξυγγράψαντες τὰς κνιδίας καλεομένας γνώμας, [2] ὁκοῖα μὲν πάσχουσιν οἱ κάμνοντες ἐν ἑκάστοισι τῶν νοσημάτων, ὀρθῶς ἔγραψαν, [3] καὶ ὁκοίως ἔνια ἀπέβαινεν αὐτέων. [4] καὶ ἄχρι μὲν τουτέου καὶ μὴ ἰητρὸς ἂν δύναιτο ὀρθῶς ξυγγράψαι, [5] εἰ εὖ παρὰ τῶν καμνόντων ἕκαστον πύθοιτο, ὁκοῖα πάσχουσιν. [6] ὁκόσα δὲ προσκαταμαθεῖν δεῖ τὸν ἰητρὸν, μὴ λέγοντος τοῦ κάμνοντος, [7] τουτέων τὰ πολλὰ παρεῖται, ἄλλα ἐν ἄλλοισι, [8] καὶ ἐπίκαιρα ἔνια ἐόντα ἐς τέκμαρσιν. [9] ὁκόταν δὲ ἐς τέκμαρσιν λέγηται ἢ ὡς χρὴ ἕκαστα ἰητρεύειν, [10] ἐν τουτέοισι πολλὰ ἑτεροίως γινώσκω, ἢ ὡς ἐκεῖ-

Qui [1] Cnidias appellatas sententias conscripserunt, [2] recte quidem scripserunt ea quæ patiuntur ægroti in singulis morbis, [3] & quomodo quædam ipsorum evenerunt: [4] hactenus quidem etiam qui medicus non sit, recte conscribere possit, [5] si probe ex singulis ægrotis quæ patiuntur didicisset. [6] Quæ vero medicum ante discere oportet, ægroto non referente, [7] horum pleraque omissa sunt, alia in aliis, [8] & quædam valde commoda ad conjecturam. [9] Quum autem ad conjecturam dicatur, quo modo singula curare oporteat: [10] in his multa aliter sentio, quam velut illi

νοι ἐπεξίεσαν. [11] καὶ οὐ μόνον διὰ τοῦτο οὐκ ἐπαινέω, [12] ἀλλ' ὅτι καὶ ὀλίγοισι τὸν ἀριθμὸν τοῖσιν ἄκεσιν ἐχρέοντο. [13] τὰ γὰρ πλεῖστα αὐτοῖσιν εἴρηται, πλὴν τῶν ὀξειῶν νούσων, φάρμακα ἐλατήρια διδόναι, [14] καὶ ὀῤῥὸν, καὶ γάλα, ἐς τὴν ὥρην πιπίσκειν. [15] ἦν μὲν οὖν ταῦτα ἀγαθὰ ἦν, καὶ ἁρμόζοντα τοῖσι νουσήμασιν, ἐφ' οἷσι παρῄνεον διδόναι, [16] ἔτι αὖ ἀξιώτερα ἐπαίνου ἦν, ὅτι ὀλίγα ἐόντα αὐτάρκιά ἐστι. [17] νῦν δὲ οὐχ οὕτως ἔχει. [18] οἱ μέντοι ὕστερον ἐπιδιασκευάσαντες ἰητρικώτερον δή τι ἐπῆλθον περὶ τῶν προσοιστέων ἑκάστοισιν.

II. Ἀτὰρ οὐδὲ περὶ διαίτης οἱ ἀρχαῖοι ξυνέγραψαν οὐδὲν ἄξιον λόγου. καίτοι μέγα τοῦτο παρῆκαν. [2] τὰς μέντοι πολυτροπίας τὰς ἐν ἑκάστῃσι τῶν νούσων, [3] καὶ τὴν πολυσχιδίην αὐτέων οὐκ ἠγνόουν. [4] ἔνιοι δὲ τοὺς ἀριθμοὺς ἑκάστου τῶν νουσημάτων σάφα φράζειν ἐθέλοντες, οὐκ ὀρθῶς ἔγραψαν. [5] μὴ γὰρ καὶ οὐκ εὐαρίθμητον ᾖ, εἰ τούτῳ τις σημανεῖται τὴν τῶν καμνόντων νοῦσον, τῷ ἕτερον τοῦ ἑτέρου διαφέρειν τι. [6] καὶ μὴ τωὐτὸ νόσημα δοκέειν εἶναι, ἢν μὴ τωὐτὸ οὔνομα ἔχῃ. [7] ἐμοὶ δ' ἁνδάνει μὲν ἐν πάσῃ τῇ τέχνῃ προσέχειν τὸν νόον. [8] καὶ γὰρ, ὁκόσα ἔργα διήκει καλῶς, ἕκαστα χρὴ ποιέειν καὶ ὀρθῶς. [9] καὶ, ὁκόσα ταχέως ἔργα, ταχέως. [10] καὶ, ὁκόσα καθαρίως, καθαρίως. [11] καὶ, ὁκόσα ἀνωδύνως διαχειρίζεσθαι, ὡς ἀνωδυνώτατα ποιέειν. [12] καὶ τἄλλα πάντα τὰ τοιουτότροπα διαφερόντως τῶν πέλας ἐπὶ τὸ βέλτιον ποιέειν χρή. [13] μάλιστα δ' ἂν ἐπαινέσαιμι ἰητρὸν, ὅστις

prodiderunt. [11] Et non solum ob hoc non laudo: [12] verum quod etiam paucis numero usi sunt medicamentis. [13] Nam exceptis morbis acutis, plurima ab ipsis relata sunt pharmaca alvum deorsum purgantia exhibenda, [14] & serum ac lac pro tempore. [15] Siquidem igitur hæc bona essent, & morbis convenientia, in quibus exhibenda esse monuerunt: [16] longe magis laudanda essent, eo quod quum pauca sint sufficiunt. [17] Nunc vero res non ita habet. [18] Qui tamen postea eam tractationem repetiverunt, magis sane medico modo, de his quæ singulis exhibenda sunt transegerunt.

II. At neque veteres quicquam memorabile de victus ratione conscripserunt, & quanquam magna hæc res sit, eam omiserunt: [2] attamen multos in singulis morbis modos, [3] multiplicemque ipsorum divisionem non ignorarunt [4] aliqui. Cæterum numeros singulorum morborum clare pronunciare volentes, non recte scripserunt. [5] Non enim facile sit enumerare, si ex eo quis ægrotantium morbum æstimet, quod alter ab altero aliqua re differt: [6] & ideo non putet eundem morbum esse, si non idem nomen habeat. [7] Mihi vero placet, ut in universa arte mentem adhibeamus. [8] Nam quæcunque opera bene ac recte tractat, ea singula bene ac recte facere oportet: [9] & quæ cito, cito: [10] & quæ pure, pure: [11] & quæ citra dolorem tractare oportet, ita facere ut quam minimus dolor sentiatur: [12] & alia omnia ejusmodi insigniter præ aliis ad meliorem modum transigere oportet. [13] Maxime vero laudaverim

ὅς τις ἐν τοῖσιν ὀξέσι νουσήμασιν, ἃ τοὺς πλείστους τῶν ἀνθρώπων κτείνει, ἐν τουτέοισι διαφέρων τι τῶν ἄλλων εἴη ἐπὶ τὸ βέλτιον.

III. Ἔστι δὲ ταῦτα ὀξέα, ὁκοῖα ὠνόμασαν οἱ ἀρχαῖοι πλευρῖτιν, καὶ περιπλευμονίην, καὶ φρενῖτιν, καὶ λήθαργον, καὶ καῦσον.[2] καὶ τἆλλα νουσήματα, ὁκόσα τουτέων ἐχόμενά ἐστιν,[3] ὧν οἱ πυρετοὶ, τὸ ἐπίπαν ξυνεχέες ἐόντες, κτείνουσιν.[4] ὅταν γὰρ μὴ λοιμώδεος νούσου τρόπος τις κοινὸς ἐπιδημήσῃ, ἀλλὰ σποραδέες ἔωσιν αἱ νοῦσοι, καὶ μὴ παραπλήσιαι,[5] ὑπὸ τουτέων τῶν νουσημάτων ἀποθνήσκουσι μᾶλλον, ἢ ὑπὸ τῶν ἄλλων τῶν ξυμπάντων.[6] οἱ μὲν οὖν ἰδιῶται οὐ κάρτα γινώσκουσι τοὺς ἐς ταῦτα διαφέροντας τῶν πέλας,[7] ἑτεροίων τε μᾶλλον ἰημάτων ἐπαινέται ἢ ψέκται εἰσίν.[8] ἐπεὶ τοῦτο μέγα σημεῖον τόδε, ὅτι οἱ μὲν δημόται ἀξυνετώτατοι αὐτοὶ ἑωυτῶν περὶ τουτέων τῶν νουσημάτων εἰσὶν, ὥστε μελετητέα εἶναι.[9] οἱ γὰρ μὴ ἰητροὶ ἰητροὶ δοκέουσιν εἶναι μάλιστα διὰ ταύτας τὰς νούσους.[10] ῥηΐδιον γὰρ τὰ ὀνόματα ἐκμανθάνειν, ὁκοῖα νενόμισται προσφέρεσθαι πρὸς τοὺς τὰ τοιαῦτα κάμνοντας.[11] ἢν γὰρ ὀνομάσῃ τις πτισάνης χυλὸν, καὶ οἶνον τοῖον ἢ τοῖον, ἢ καὶ μελίκρητον,[12] ἅπαντα τοῖσι δημότῃσι δοκέουσιν ἰητροὶ ταὐτὰ λέγειν, οἵ τε βελτίους καὶ οἱ χείρους.[13] τὰ δὲ οὐχ οὕτως ἔχει, ἀλλ' ἐν τουτέοισι δὴ καὶ πάνυ μέγα διαφέρουσιν ἕτεροι ἑτέρων.

IV. Δοκέει δέ μοι ἄξια γραφῆς εἶναι ταῦτα μάλιστα, ὁκόσα τε ἀκαταμάθητά ἐστι τοῖσιν ἰητροῖσιν,[2] ἐπίκαιρα ἐόντα εἰδέναι,[3] καὶ ὁκόσα μεγάλας ὠφελείας φέρει, ἢ μεγάλας βλάβας.[4] ἀκαταμάθητα μὲν

daverim medicum qui in acutis morbis, qui plurimos homines occidunt, præ aliis insigniter ad meliorem partem excellat.

III. Sunt autem hi acuti, quos veteres nominaverunt pleuritidem, peripneumoniam, phrenitidem, & febrem ardentem,[2] & alii morbi qui ex his hærent,[3] quorum febres omnino continuæ sunt, & occidunt.[4] Quum enim non pestilentis morbi modus quis communis grassatus fuerit, sed sparsi fuerint morbi, & non similes,[5] ab his morbis plures moriuntur, quam ab aliis omnibus.[6] Idiotæ igitur non valde cognoscunt eos qui in his, aliis præstant:[7] aliarumque curationum magis aut laudatores, aut vituperatores existunt.[8] Et profecto magnum signum hoc est, quod populares minime de his morbis intelligentiam habeant, veluti quos studio consequi oportet.[9] Nam qui medici non sunt, medici esse videntur, maxime propter hos morbos.[10] Facile est enim nomina edifcere quæ proferri solent apud ægros his morbis affectós.[11] Si enim quis ptisanæ succum nominarit, & vinum tale, aut tale, aut etiam aquam mulsam,[12] omnia hæc eadem plebeis hominibus, & meliores, & deteriores medici dicere videntur.[13] At res hæc non ita se habet, sed in his sane vel maxime alii ab aliis differunt.

IV. Videntur autem mihi digna esse quæ scribantur, maxime hæc, quæ ignorantur à medicis,[2] maxime scitu commoda,[3] & quæ magnas utilitates, aut magna detrimenta afferunt.[4] Quæ itaque ignorantur, hæc sunt.

μὲν οὖν τάδε ἐστί. 5 Διὰ τί ἄρα ἐν τῇσιν ὀξείῃσι νούσοισιν οἱ μὲν τῶν ἰητρῶν ἅπαντα τὸν αἰῶνα διατελέουσι πτισάνας διδόντες ἀδιηθήτους, καὶ νομίζουσιν ὀρθῶς ἰητρεύειν· 6 οἱ δέ τινες περὶ παντὸς ποιοῦνται, ὅκως κριθὴν μηδεμίην καταπίνῃ ὁ κάμνων· 7 μεγάλην γὰρ βλάβην ἡγέονται εἶναι. 8 ἀλλὰ δι' ὀθονίου διηθεῦντες τὸν χυλὸν διδόασιν. 9 οἱ δ' αὖ τινες αὐτέων, οὔτ' αὖ πτισάνην παχείην δοῖεν, οὔτε χυλόν. 10 οἱ μὲν, μέχρις ἂν ἑβδομαῖος γένηται ὁ κάμνων· 11 οἱ δὲ, καὶ διὰ τέλεος, ἄχρις ἂν κριθῇ ἡ νοῦσος. 12 μάλα μὲν οὖν οὐδὲ προβάλλεσθαι τὰ τοιαῦτα ζητήματα εἰθισμένοι εἰσὶν οἱ ἰητροί. 13 ἴσως δὲ οὐδὲ προβαλλόμενα ἀρέσκεται. 14 καίτοι διαβολήν γε ἔχει ὅλη ἡ τέχνη πρὸς τῶν δημοτέων μεγάλην, 15 ὡς μηδὲ δοκέειν ὅλως ἰητρικὴν εἶναι. 16 ἔν γε τοῖσιν ὀξέσι τῶν νοσημάτων τοσόνδε διοίσουσιν ἀλλήλων οἱ χειρώνακτες, 17 ὥστε ἃ ὁ ἕτερος προσφέρει ἡγεύμενος ἄριστα εἶναι, ταῦτα νομίζειν ἤδη τὸν ἕτερον, κακὰ εἶναι. 18 καὶ σχεδὸν αὖ, κατά γε τὸ τοιόνδε, τὴν τέχνην φαῖεν ὡμοιῶσθαι μαντικῇ.

v. Ὅτι οἱ μάντιες τὸν αὐτὸν ὄρνιθα, εἰ μὲν ἀριστερὸς εἴη, ἀγαθὸν νομίζουσιν εἶναι· εἰ δὲ δεξιὸς, κακόν. 2 καὶ ἐν ἱεροσκοπίῃ τὰ τοιάδε εὕροι τις ἄν, [καὶ] ἄλλα ἐπ' ἄλλοισιν. 3 ἀλλ' ἔνιοι τῶν μάντεων τἀναντία τουτέων. 4 φημὶ δὲ πάγκαλον εἶναι τοῦτο τὸ σκέμμα, 5 καὶ ἠδελφισμένον τοῖσι πλείστοισι τῶν ἐν τῇ τέχνῃ, καὶ ἐπικαιροτάτοισι. 6 καὶ γὰρ τοῖσι νοσέουσι πᾶσιν ἐς ὑγείην μέγα τι δύναται, 7 καὶ τοῖσιν ὑγιαίνουσιν ἐς ἀσφαλείην, 8 καὶ τοῖσιν ἀσκέουσιν ἐς εὐεξίην, 9 καὶ ἐς ὅ, τι ἕκαστος αὖ ἐθέλῃ. 10 πτισάνη μὲν οὖν δοκέει ὀρθῶς προκεκρίσθαι τῶν

sunt. 5 Cur nam in acutis morbis, aliqui medici omne ævum terunt, ptiſanas non colatas exhibentes, & recte ſe medicari putant? 6 Aliqui vero plurimi faciunt, ut nullum hordeum æger devoret: (7 magnum enim detrimentum afferre arbitrantur) 8 verum per linteum excolantes ſuccum exhibent. 9 Quidam vero ipſorum neque ptiſanam craſſam dederint, neque ſuccum: 10 atque hi partim donec ad ſeptimum diem æger perveniat, 11 partim vero perpetuo, donec judicatus fuerit morbus. 12 Sane hujuſmodi quæſtiones ne proponere quidem medici conſueverunt, 13 fortaſſis autem neque ſi proponantur, comperiantur. 14 Proinde calumniam incurrit tota ars apud vulgus adeo magnam, 15 ut neque omnino medicinam eſſe putent. 16 Nam in acutis morbis in tantum inter ſe differunt artifices, 17 ut quæ alter exhibet optima eſſe putans, ea alter jam mala eſſe exiſtimet: 18 & fere ob id artem vaticinationi ſimilem eſſe dixerint.

v. Quia vates eandem avem, ſi ſiniſtra appareat, bonam eſſe ducunt: ſi dextera, malam. 2 Et in aruſpicina talia ſunt, alia in aliis. 3 Verum aliqui vates contraria his dicunt. 4 Aſſero autem hanc ſpeculationem pulcherrimam eſſe, 5 & cognatam plurimis ac maxime commodis in arte. 6 Nam ægrotantibus omnibus plurimum ad ſanitatem confert, 7 & ſanis ad ſecuritatem, 8 & his qui ſe exercent, ad bonum habitum, 9 & ad quod quiſque voluerit. 10 Ptiſana igitur recte omnibus frumentaceis eduliis prælata eſſe videtur, in mor-

τῶν σιτηρῶν γευμάτων ἐν τουτέοισι τοῖσι νουσήμασι. [11] καὶ ἐπαινέω γε τοὺς προκρίναντας. [12] τὸ γὰρ γλίσχρασμα αὐτέης λεῖον καὶ ξυνεχὲς 10 καὶ προσηνές ἐστι, [13] καὶ ὀλισθηρὸν, καὶ πλαδαρὸν μετρίως, καὶ ἄδιψον, καὶ εὐέκπλυτον, [14] εἴ τι καὶ τούτου προσδέοι· [15] καὶ οὔτε στύψιν ἔχον, οὔτε ἄραδον κακὸν, οὔτε ἀνοιδίσκεται ἐν τῇ κοιλίῃ. [16] ἀνῴδηκε γὰρ ἐν τῇ ἑψήσει, ὁκόσον πλεῖστον ἐπεφύκει διογκοῦσθαι. [17] ὁκόσοι μὲν οὖν πτισάνῃ χρέονται ἐν τουτέοισι τοῖσι νουσήμασιν, οὐδὲ μιῇ ἡμέρῃ κενεαγγητέον, ὡς ἔπος εἰρῆσθαι, [18] ἀλλὰ χρηστέον, καὶ οὐ διαλειπτέον, ἢν μή τι δέῃ ἢ διὰ φαρμακείην, ἢ [διὰ] κλύσιν 15 διαλείπειν. [19] καὶ τοῖσι μέν γε εἰθισμένοισι δὶς σιτέεσθαι τῆς ἡμέρης, δὶς δοτέον· [20] τοῖσι δὲ μονοσιτέειν εἰθισμένοισιν, ἅπαξ δοτέον τὴν πρώτην, ἐκ προσαγωγῆς δέ. [21] ἢν δὲ ἐνδέχηται, τουτέοισι καὶ δὶς δοτέον, ἤν τι δοκέῃ προσδεῖν. [22] πλῆθος δὲ ἀρκέει κατ᾽ ἀρχὰς διδόναι μὴ πουλὺ, μηδὲ ὑπέρπαχυ, [23] ἀλλ᾽ ὁκόσον εἵνεκεν τοῦ ἔθεος ἐσιέναι τι, [24] καὶ κενεαγγίην μὴ γενέσθαι πολλήν.

VI. Περὶ δὲ τῆς ἐπιδόσιος ἐς πλῆθος τοῦ ῥοφήματος, [2] ἢν μὲν ξηρότερον ᾖ τὸ νόσημα ἢ ὡς ἄν τις οἴοιτο, οὐ χρὴ ἐπὶ πλέον διδόναι, [3] 20 ἀλλὰ προπίνειν πρὸ τοῦ ῥοφήματος, ἢ μελίκρητον, ἢ οἶνον, ἢ ὁκότερον ἂν ἁρμόζῃ. [4] τὸ δ᾽ ἁρμόττον ἐφ᾽ ἑκάστοισι τῶν παθῶν εἰρήσεται. [5] ἢν δὲ ὑγραίνηται τὸ στόμα, καὶ τὰ ἀπὸ τοῦ πλεύμονος ἴῃ, ὁκοῖα δεῖ, ἐπιδιδόναι χρὴ ἐς πλῆθος τοῦ ῥοφήματος, ὡς ἐν κεφαλαίῳ εἰρῆσθαι. [6] τὰ μὲν γὰρ θᾶσσον καὶ μᾶλλον πλαδῶντα, ταχυ-

morbis acutis: [11] & laudo sane eos qui ipsam prætulerunt. [12] Nam viscositas ipsius levis est, 65 & continua, & jucunda, [13] & lubrica, & moderate humida, & sitim eximit, & facile eluitur, [14] si forte & hoc opus sit: [15] & neque adstrictionem habet, neque malam turbationem, neque in ventre intumescit. [16] Intumuit enim in coctura quam maxime tumefieri solet. [17] Quicunque igitur ptisana in hisce morbis utuntur, nulla die vasa vacua fieri permittant, ut ita dicam, [18] sed utantur, & non intermit- 70 tant, si non aut ob medicamenti, aut infusi per clysterem usum intermittere oporteat. [19] Et qui quidem bis in die cibum capere soliti sunt, eis bis danda est: [20] qui vero semel edere consueverunt, his semel primo die danda est. [21] Verum sensim progressu facto, si fieri poterit, etiam his bis detur, si sane opus habere visum fuerit. [22] At vero copia sufficit ab initio dare non multa, neque minus crassam: [23] sed 75 ut consuetudinis gratia quid ingeratur, [24] & ut ne multa vasorum vacuatio fiat.

VI. Cæterum quod ad augmentum copiæ sorbitionis attinet, [2] siquidem siccior fuerit morbus, quam quis putarit, non ita magna copia dare oportet; [3] sed ante sorbitionem, aut aquam mulsam, aut vinum præbibendum exhibere, utrum ex his convenientius fuerit. [4] Utrum vero conveniat, in singulis modis referetur. [5] Si vero os humecte- 80 tur, & à pulmone prodeuntia, qualia oportet fuerint, sorbitionis copiam, ut in summa dicam, augere oportet. [6] Quæ enim citius & magis humectantur, celeritatem

ταχυτῆτα κρίσιος σημαίνει. ⁷ τὰ δὲ βραδύτερον καὶ ἧσσον, βραδυτέρην σημαίνει τὴν κρίσιν. ⁸ καὶ ταῦτα αὐτὰ μὲν καθ' αὑτὰ, τοιάδε τὸ ἐπίπαν ἐστί. ⁹ πολλὰ δὲ καὶ ἄλλα ἐπίκαιρα παρεῖται, οἷσι προσημαίνεσθαι δεῖ· ἃ ἐῤῥήσεται ὕστερον. ¹⁰ καὶ ὁκόσῳ ἂν πλείων ἡ κάθαρσις γίνηται, τοσῷδε χρὴ πλεῖον ἐπιδιδόναι ἄχρι κρίσιος. ¹¹ μάλιστα δὲ κρίσιος ὑπερβολῆς δύο ἡμερέων· ¹² οἷσί γε ἢ πεμπταίοισιν, ἢ ἑβδομαίοισιν, ἢ ἐναταίοισι δοκέει κρίνεσθαι, ¹³ ὡς καὶ τὸ ἄρτιον καὶ τὸ περισσὸν προμηθὴς ᾖ. ¹⁴ μετὰ δὲ τοῦτο τῷ μὲν ῥοφήματι ἐς τὸ πρωῒ χρηστέον, ἐς ὀψὲ δὲ ἐς σιτία μεταβάλλειν. ¹⁵ ξυμφέρει δὲ τὰ τοιάδε ὡς ἐπὶ τὸ πολὺ τοῖσιν ὅλῃσι πτισάνῃσιν αὐτίκα χρεομένοισιν.

VII. Αἵ τε γὰρ ὀδύναι ἐν τοῖσι πλευριτικοῖσιν αὐτίκα αὐτόματοι παύονται, ὅταν ἄρξωνται πτύειν τι ἄξιον λόγου, καὶ ἐκκαθαίρεσθαι. ² αἵ τε καθάρσιες πολλῷ τελεώτεραί εἰσι, καὶ ἔμπυοι ἧσσον γίνονται, ἢ εἰ ἄλλως τις διαιτῴη. ³ καὶ αἱ κρίσιες ἁπλούστεραι, καὶ εὐκρινέστεραι, καὶ ἧσσον ὑποστροφώδεες. ⁴ τὰς δὲ πτισάνας χρὴ ἐκ κριθέων πως βελτίστων εἶναι, ⁵ καὶ ὡς κάλλιστα ἑψῆσθαι, ⁶ καὶ ἄλλως, ἢν μὴ τῷ χυλῷ μούνῳ μέλλῃς χρέεσθαι. ⁷ μετὰ γὰρ τῆς ἄλλης ἀρετῆς τῆς πτισάνης, τὸ ὀλισθηρὸν τὴν κριθὴν καταπινομένην ποιέει μὴ βλάπτειν. ⁸ οὐδαμοῦ γὰρ προσίσχεται, οὐδὲ μένει κατὰ τὴν τοῦ θώρακος ἴξιν. ⁹ ὀλισθηροτάτη μὲν γὰρ, καὶ ἀδιψοτάτη, καὶ εὐεκπεπτοτάτη, καὶ ἀσθενεστάτη ἐστὶν, ἢν κάλλιστα ἑφθῇ, ὧν πάντων δεῖ. ¹⁰ ἢν μὲν οὖν μὴ προσθεραπεύσῃ τις, ὁκόσων δέεται αὐ-

leritatem judicationis significant. ⁷ Quæ vero tardius & minus, tardiorem judicationem significant. ⁸ Et hæc quidem per se talia omnino existunt. ⁹ Verum multa quoque alia commoda omittuntur, ex quibus conjecturas facere oportet, quæ postea referentur: ¹⁰ & quanto copiosior purgatio fuerit, tanto plus dare oportet, usque ad judicationem, ¹¹ maxime duobus à judicatione diebus, ¹² quibus sane quinta, aut septima, aut nona judicare videtur, ¹³ ita ut etiam parium ac imparium dierum rationem habeas. ¹⁴ Postea vero sorbitione quidem mane utendum est: vespere vero ad cibos transeundum. ¹⁵ Conveniunt autem talia ut plurimum his qui statim tota ptisana utuntur.

VII. Nam & dolores in pleuriticis statim sua sponte cessant, ubi memorabile quid spuere ac expurgari cœperint: ² & purgationes longe perfectiores sunt, & minus suppurati fiunt, quam si quis aliter victum suppeditet: ³ & judicationes simpliciores, & melius judicantes, & minus revertentes. ⁴ Ptisanam porro ex optimo hordeo factam esse oportet, ⁵ & quam optime coctam, ⁶ & præsertim si non solo succo uti velis. ⁷ Nam una cum reliqua ptisanæ virtute, lubricitas facit ut hordeum dum deglutitur non lædat. ⁸ Nusquam enim adhæret, neque secundum thoracis rectitudinem moram trahit. ⁹ Lubricissima autem est, & maxime sitim eximit, & facillime concoquitur, & debilissima est, quæ optime cocta est, quibus omnibus opus est. ¹⁰ Siquidem igitur non opem tule-

τάρκης εἶναι ὁ τρόπος τῆς τοιαύτης πτισανοῤῥοφίης, πολλαχῇ βεβλάψεται. 11 ὁκόσοισι γὰρ σῖτος αὐτίκα ἐγκατακέκλεισται, ἢν μή τις ὑποκενώσας τὸ ῥόφημα δώῃ, 12 τὴν ὀδύνην ἐνεοῦσαν προσπαροξύνειεν ἂν, 13 καὶ μὴ ἐνεοῦσαν εὐθὺς ποιήσειε, 14 καὶ πνεῦμα πυκνότερον γένοιτ' ἄν. 15 κακὸν δὲ τοῦτό ἐστι. 16 ξηραντικώτερον γὰρ πλεύμονος, καὶ κοπῶδες ὑποχονδρίων καὶ ἤτρου καὶ φρενῶν. 17 τοῦτο δὲ, ἢν, ἔτι τῆς ὀδύνης τοῦ πλευροῦ ξυνεχέος ἐούσης, καὶ πρὸς τὰ θερμάσματα μὴ χαλώσης, καὶ τοῦ πτυέλου μὴ ἀνιόντος, ἀλλὰ καταγλισχραινομένου ἀπέπτως, 18 ἢν μὴ λύσῃ τις τὴν ὀδύνην, ἢ κοιλίην μαλθάξας, ἢ φλέβα τεμὼν, ὁκότερον ἂν τούτων ξυμφέρῃ. 19 τὰς δὲ πτισάνας ἢν οὕτως ἔχουσι διδῷς, ταχέως οἱ θάνατοι τῶν τοιούτων γίνονται. 20 διὰ ταύτας οὖν τὰς προφάσιας, καὶ ἑτέρας τοιαύτας, ἔτι μᾶλλον οἱ ὅλῃσι τῇσι πτισάνῃσι χρεώμενοι, ἑβδομαῖοι καὶ ὀλιγημερώτεροι θνήσκουσιν· 21 οἱ μέν τοι καὶ τὴν γνώμην βλαβέντες· 22 οἱ δὲ ὑπὸ τῆς ὀρθοπνοίης τε καὶ τοῦ ῥέγχεος ἀποπνιγέντες.

IIX. Μάλα δὲ τοὺς τοιούτους οἱ ἀρχαῖοι βλητοὺς ἐνόμιζον εἶναι, διὰ τόδε μάλιστα· 2 οὐχ ἥκιστα δὲ, ὅτι καὶ ἀποθανόντων αὐτέων, ἡ πλευρὴ πελιδνὴ εὑρίσκεται, ἴκελόν τι πληγῇ. 3 αἴτιον δὲ τουτέου τόδε ἐστὶν, ὅτι, πρὶν λυθῆναι τὴν ὀδύνην, θνήσκουσι. 4 ταχέως γὰρ πνευματίαι γίνονται. 5 ὑπὸ δὲ τοῦ πολλοῦ καὶ πυκνοῦ πνεύματος, ὡς ἤδη εἴρηται, καταγλισχραινόμενον τὸ πτύελον ἀπέπτως, κωλύει τὴν ἐπάνοδον γίνεσθαι, 6 ἀλλὰ τὴν ῥέγξιν ποιέει, ἐνισχόμενον ἐν τοῖσι βρογχίοισι τοῦ πλεύ-

rit quis quantum opus est, ut sufficiens sit ejusmodi ptisanæ sorbitionis modus, multis modis lædetur. 11 Etenim verbi causa, quibus cibus intus conclusus est, si quis non facta deorsum evacuatione, sorbitionem dederit, 12 dolorem si adest amplius exacerbaverit; 13 & si non adest, statim induxerit, 14 & sic spiritus densior fiet. 15 Hoc vero malum est. 16 Pulmonem enim reficcat, & præcordium, & pectinem, ac septum transversum dolore affligit. 17 Quinetiam si lateris dolor assiduus est, & ad calefactoria non remittit, & sputum non prodit, sed citra putrefactionem ac concoctionem valde viscosum fit, 18 si non solverit quis dolorem, aut ventre mollito, aut vena secta, utrum tandem horum conducet: 19 ptisanam autem ita habentibus dederit, cita mors talium continget. 20 Propter has igitur causas, & alias hujusmodi adhuc magis, qui tota ptisana utuntur, septima die & citius moriuntur, 21 partim mente læsi, 22 partim ab erectæ cervicis spiratione, & stertore suffocati.

IIX. Tales vero veteres sydere ictos esse putaverunt, ob hoc quidem maxime; 2 non minus autem, quod & mortuis ipsis latus lividum reperitur, ut simile quid plagæ appareat. 3 Causa vero hujus est, quod prius quam dolor solvatur moriuntur. 4 Cito enim anhelosi fiunt. 5 Præ multo autem ac denso spiritu, velut jam dictum est, valde viscosum citra concoctionem fit sputum, & egressum fieri prohibet. 6 Imo stertorem inducit, cartilaginosis pulmonis arteriarum partibus bronchiis appella-

πλαζόμενος.[7] καὶ, ὁκόταν ἐς τοῦτο ἔλθῃ, θανατῶδες ἤδη ὡς ἐπὶ τὸ πουλὺ ἐστί.[8] καὶ γὰρ αὐτὸ τὸ πτύελον ἐνισχόμενον κωλύει μὲν τὸ πνεῦμα εἴσω φέρεσθαι, ἀναγκάζει δὲ ταχέως ἔξω φέρεσθαι.[9] καὶ οὕτως ἐς τὸ κακὸν ἀλλήλοισι τιμωρέουσι.[10] τό, τε γὰρ πτύελον ἐνισχόμενον, πυκνὸν τὸ πνεῦμα ποιέει.[11] τό, τε πνεῦμα πυκνὸν ἐὸν, ἐπιγλισχραίνει τὸ πτύελον, καὶ κωλύει ἀπολισθαίνειν.[12] καταλαμβάνει δὲ ταῦτα οὐ μόνον, ἢν πτισάνῃ ἀκαίρως χρέωνται·[13] ἀλλὰ πουλὺ μᾶλλον, ἤν τι ἄλλο φάγωσιν ἢ πίωσιν πτισάνης ἀνεπιτηδειότερον.[14] μάλα μὲν οὖν τὰ πλεῖστα παραπλήσιαί εἰσιν αἱ τιμωρίαι, τοῖσί τε ὅλῃσι τῇσι πτισάνῃσι χρεομένοισι, τοῖσί τε τῷ χυλῷ αὐτέῃ,[15] τοῖσί τε μηθ' ἑτέρῳ τουτέων, ἀλλὰ ποτῷ μούνῳ.[16] ἔστι δ' ὅπη καὶ διαφερόντως τιμωρητέον.

IX. Χρὴ δὲ τόγε πάμπαν οὕτω ποιέειν.[2] ἢν νεοβρῶτι ἐόντι αὐτέῳ, καὶ κοιλίης μήπω ὑποκεχωρηκυίης, ἤρξατο ὁ πυρετὸς, ἤν τε ξὺν ὀδύνῃ, ἤν τε ἄνευ ὀδύνης,[3] ἐπισχεῖν τὴν δόσιν τοῦ ῥοφήματος, ἔστ' ἂν οἴηται ὑποκεχωρηκέναι ἐς τὸ κάτω μέρος τοῦ ἐντέρου τὸ σιτίον.[4] χρέεσθαι δὲ ποτῷ, ἢν μὲν ἄλγημά τι ἔχῃ, ὀξυμέλιτι, χειμῶνος μὲν, θερμῷ· θέρεος δὲ, ψυχρῷ.[5] ἢν δὲ πολλὴ δίψα εἴη, μελικρήτῳ καὶ ὕδατι.[6] ἔπειτα μὲν τὴν ἢν μὲν ἄλγημά τι ἐνῇ, ἢ τῶν ἐπικινδύνων τι ἐμφαίνηται,[7] διδόναι τὸ ῥόφημα, μήτε πουλὺ, μήτε παχὺ. μετὰ δὲ τὴν ἑβδόμην, ἢ τὴν ἐνάτην, ἢν ἰσχύῃ.[8] ἢν δὲ μὴ ὑπεληλύθῃ ὁ παλαιότερος σῖτος νεοβρῶτι ἐόντι, ἢν μὲν ἰσχύῃ τε καὶ ἀκμάζῃ τῇ ἡλικίῃ, κλύσαι.[9] ἢν δὲ ἀσθενέστερος ᾖ, βαλάνῳ

tis impactum,[7] & ubi ad hoc devenerit, lethale jam plerunque existit.[8] Nam & ipsum sputum impactum, prohibet quidem spiritum intro ferri, cogit autem cito extra ferri.[9] Atque sic mutuam opem ad malum inter se conferunt,[10] dum & sputum impactum, densum spiritum facit:[11] & hic quum densus sit, sputum insuper viscosum facit, & lubricum fieri, ac elabi impedit.[12] Occupant autem hæc, non solum si ptisana intempestive utantur:[13] verum multo magis, si quid aliud ederint, aut biberint, quod minus quam ptisana idoneum sit:[14] proinde plerunque consimilia sunt auxilia, & his qui tota ptisana utuntur, & his qui succo ipsius:[15] his vero qui neutro horum, sed solo potu,[16] quandoque etiam diversimode auxiliari oportet.

IX. At vero hoc modo omnino facere oportet.[2] Si cui à cibo recens accepto, & alvo nondum subevacuata, febris incepit, sive cum dolore, sive sine dolore,[3] inhibenda est sorbitionis exhibitio, donec putarit cibum ad infernam intestini partem secessisse.[4] Utendum autem est potu aceti mulsi, si dolor affuerit, hyeme quidem calidi, æstate vero frigidi.[5] Si vero multa fuerit sitis, etiam aqua mulsa, & aqua.[6] Postea vero si dolor aliquis affuerit, aut periculosi aliquid apparuerit,[7] danda est sorbitio neque multa, neque crassa, atque hæc post septimum, aut nonum diem, si validus æger fuerit.[8] Si vero non subiit vetustior cibus ei qui recens cibum accepit, siquidem validus sit, & ætate vigeat, infusum per clysterem adhibendum est.[9] Si vero debilior fuerit,

βαλάνῳ προσχρήσασθαι, ἢν μὴ αὐτόματα διεξίῃ καλῶς.

X. Καιρὸν δὲ τῆς δόσιος τοῦ ῥοφήματος τόνδε μάλιστα φυλάσσεσθαι, [τὸν] καθ' ἀρχὰς καὶ διὰ παντὸς τοῦ νοσήματος, [2] ὅταν μὲν οἱ πόδες ψυχροὶ ἔωσιν, ἐπισχεῖν χρὴ τοῦ ῥοφήματος τὴν δόσιν. [3] μάλιστα δὲ τοῦ ποτοῦ ἀπέχεσθαι. [4] ὁκόταν δὲ ἡ θέρμη καταβῇ ἐς τοὺς πόδας, τότε διδόναι. [5] καὶ νομίζειν μέγα δύνασθαι τὸν καιρὸν τοῦτον ἐν ἁπάσῃσι τῇσι νούσοισιν, [6] οὐχ ἥκιστα δὲ ἐν τῇσιν ὀξείῃ-25 σι. [7] μάλιστα δὲ ἐν τῇσι μᾶλλον πυρετώδεσι, καὶ ἐπικινδυνοτάτῃσι. [8] χρῆσθαι δὲ, πρῶτον μὲν μάλιστα, χυλῷ, ἔπειτα δὲ, πτισάνῃ, [9] κατὰ τὰ τεκμήρια τὰ προγεγραμμένα, ἀκριβέως συνθεωρῶν.

XI. Ὀδύνη δὲ πλευροῦ, ἤν τε κατ' ἀρχὰς γίνηται, ἤν τε ἐς ὕστερον, [2] θερμάσμασι μὲν πρῶτον οὐκ ἀπὸ τρόπου ἐστὶ χρησάμενον πειρηθῆναι διαλῦσαι τὴν ὀδύνην. [3] θερμασμάτων δὲ κράτιστον μὲν ὕδωρ θερμὸν ἐν ἀσκῷ, ἢ ἐν κύστει, ἢ ἐν χαλκῷ ἀγγείῳ, ἢ ἐν ὀστρακίνῳ. [4] 30 προϋποτιθέναι δὲ χρὴ μαλθακόν τι πρὸς τὴν πλευρὴν, προσηνείης εἵνεκεν. [5] ἀγαθὸν δὲ καὶ σπόγγος μαλθακὸς, μέγας, ἐξ ὕδατος θερμοῦ ἐκπεπιεσμένος προστιθέμενος. [6] περιστέλλειν τε ἱματίῳ τὴν θάλψιν χρή. [7] πλείω τε γὰρ χρόνον ἂν διαρκέσει, καὶ παραμενέει, καὶ ἅμα, ἵνα μὴ ἡ ἀτμὶς πρὸς τὸ πνεῦμα τοῦ κάμνοντος προσφέρηται. [8] ἢν ἄρα μὴ δοκέῃ καὶ τοῦτο χρήσιμον πρός τι εἶναι. ἔστι γὰρ ὅτε δεῖ πρός τι. [9] ἔτι δὲ καὶ κριθαὶ, καὶ ὄροβοι ἐν ὄξει κεκρημένῳ, σμικρῷ ὀξύτερον ἢ ὡς ἄν τις πίοι, 35 διέντα καὶ ἀναζέσαντα, ἐς μαρσίππιά τε ἀπορράψαντα προστιθέναι.

glande utendum est, si non sua sponte probe prodierit.

X. Tempus porro exhibendæ sorbitionis hoc maxime observare ab initio, & per omnem morbum oportet. [2] Quum quidem pedes frigidi fuerint, inhibere oportet sorbitionis exhibitionem. [3] Maxime vero & à 'potu abstinendum est. [4] Ubi 40 vero calor descenderit ad pedes, tunc exhibere convenit, [5] & putare in omnibus morbis, [6] & non minime in acutis, [7] & maxime in his qui magis febriles ac periculosissimi sunt, tempus hoc magnam vim habere. [8] Utendum est autem primum quidem maxime succo: deinde vero ptisana, [9] juxta prædictas conjecturas diligenti facta consideratione.

XI. 'Cæterum pleuritis, hoc II est dolor lateris sive ab initio, si-14 ve postea, [2] calefactoriis quidem primum non alienum est tentare dissolvere. [3] Ex calefactoriis vero optima est aqua calida in utre aut in vesica, aut vase æneo, aut testaceo admota. [4] Verum molle quid antea ad latus supponere oportet, lenitatis ergo. [5] Commode etiam spongia, mollis, magna, ex 'aqua calida ex- 5 pressa apponitur. [6] Contegere vero stragulis ipsum fomentum oportet. [7] Nam & ampliore tempore sic sufficiet & durabit, & simul ut ne vapor ad ægrotantis spiritum afferatur: [8] nisi fortassis & hoc ad aliquid commodum esse visum fuerit. Aliquando enim ad aliquid commodat. [9] Insuper autem & hordeum, & ervum, in aceto diluto, ita ut paulo acidius sit quam ut quis bibere possit, dissoluta 'ac fervefacta, 10 & in marsupia conjecta, appone-

re

θέναι. 10 καὶ πίτυρα τὸν αὐτὸν τρόπον. 11 πυρίη δὲ ξηρὴ, ἅλες [καὶ] κέγχροι πεφρυγμένοι ἐν εἰρινέοισι μαρσιππίοισιν ἐπιτηδειότατοι. 12 καὶ γὰρ κοῦφον καὶ προσηνὲς ὁ κέγχρος.

XII. Λύει δὲ μάλθαξις ἡ τοιήδε καὶ τὰς πρὸς κληῗδας περαινούσας ἀλγηδόνας. 2 τομὴ μέντοι γε οὐχ ὁμοίως λύει ὀδύνην, ἢν μὴ πρὸς τὴν κληῗδα περαίνῃ ἡ ὀδύνη. 3 ἢν δὲ μὴ λύηται πρὸς τὰ θερμάσματα ὁ πόνος, οὐ χρὴ πολὺν χρόνον θερμαίνειν. 4 καὶ γὰρ ξηραντικὸν τοῦ πλεύμονος τοῦτό ἐστι, καὶ ἐμπυητικόν. 5 ἀλλ', ἢν μὲν σημαίνῃ ἡ ὀδύνη ἐς τὴν κληῗδα ἢ ἐς τὸν βραχίονα βάρος, ἢ περὶ μαζὸν, ἢ ὑπὲρ τῶν φρενῶν, 6 τάμνειν χρὴ τὴν ἐν τῷ ἀγκῶνι φλέβα, τὴν εἴσω, 7 καὶ μὴ ὀκνέειν συχνὸν ἀφαιρέειν τὸ αἷμα, 8 ἕως ἂν ἐρυθρότερον πολλῷ ῥυῇ, ἢ, ἀντὶ καθαροῦ καὶ ἐρυθροῦ, πελιόν· 9 ἀμφότερον γὰρ γίνεται. 10 ἢν δὲ ὑπὸ τὰς φρένας ᾖ τὸ ἄλγημα, ἐς δὲ τὴν κληῗδα μὴ σημαίνῃ, 11 μαλθάσσειν δεῖ τὴν κοιλίην, ἢ μέλανι ἐλλεβόρῳ, ἢ πεπλίῳ. 12 μέλανι μὲν δαῦκον, ἢ σέσελι, ἢ κύμινον, ἢ ἄννησον, ἢ ἄλλο τι τῶν εὐωδέων μίσγειν. 13 πεπλίῳ δὲ, ὀπὸν σιλφίου. 14 ἀτὰρ καὶ μισγόμενα ἀλλήλοισιν ὁμοιότροπα ταῦτά ἐστιν.

XIII. Ἄγει δὲ μέλας μὲν καλλίω καὶ κρισιμώτερα πεπλίου. 2 πέπλιον δὲ, μέλανος μᾶλλον φυσέων καταρρηκτικώτερόν ἐστιν. 3 ἄμφω δὲ ταῦτα ὀδύνην παύει. 4 παύει δὲ καὶ ἄλλα πολλὰ τῶν ὑπηλάτων, 5 κράτιστα δὲ ταῦτα, ὧν ἐγὼ οἶδα, ἐστίν, 6 ἐπεὶ καὶ

re oportet: 10 & furfur eodem modo. 11 Siccum autem fomentum præbent sal & milium torrefactum, in laneis sacculis convenientissimum. 12 Nam & leve & lene est milium.

XII. Solvit autem hujusmodi mollitorium fomentum etiam dolores ad claviculam pertingentes. 2 Sectio autem venæ non similiter solvit dolorem, si non ad claviculam pertingat dolor. 3 Quod si ad calefactoria dolor non solvatur, non multo tempore calefacere oportet. 4 Resiccat enim hoc pulmonem, & suppurationem facit. 5 At siquidem dolor ad claviculam de se significationem præbeat, aut gravitas ad brachium, aut circa mammam aut supra septum transversum: 6 venam secare prodest in cubiti flexura internam, 7 & non cunctari copiosum sanguinem detrahere, 8 donec multo rubicundior fluxerit, aut pro puro & rubicundo lividus. 9 Utrunque enim contingit. 10 Si vero sub septo transverso fuerit dolor, ad claviculam autem de se significationem non præbeat, 11 alvum mollire oportet, aut veratro nigro, aut peplio, 12 ita ut veratro quidem daucum, aut seseli, aut cuminum, aut anisum, aut aliud quid ex odoratis ammisceas, 13 peplio vero silphii succum. 14 Sed & hæc inter se si misceantur, consimilis modi existunt.

XIII. Ducit autem nigrum veratrum melius, & ad judicationem commodius quam peplium. 2 Peplium vero flatus magis erumpere facit. 3 Ambo autem hæc dolorem sedant. 4 Sedant item alia multa alvum subducentia medicamenra. 5 Verum hæc inter ea quæ ego novi optima sunt. 6 Alioqui

καὶ τὰ ἐν τοῖσι ῥοφήμασι δι-
371 δόμενα ʹ ὑπήλατα φάρμακα, [7] ὁκόσα μὴ ἄγαν ἐστὶν ἀηδέα, ἢ διὰ πικρότητα, ἢ δι' ἄλλην τινὰ ἀηδίην, ἢ διὰ πλῆθος, ἢ χροιὴν, ἢ ὑποψίην τινά. [8] τὴν μὲν πτισάνην, ὁκόταν πίῃ τὸ φάρμακον, ἐπιῤῥοφεῖν αὐτίκα χρὴ διδόναι, [9] μὴ δὲ ἔλασσον ἀξίως λόγου, ἢ ὁκόσον εἴθισται. [10] ἐπεὶ καὶ κατὰ λόγον ἐστὶ, μεσηγὺ τῆς καθάρσιος μὴ διδόναι ῥοφεῖν. [11] ὁκόταν δὲ λήξῃ ἡ κάθαρσις, τότε ἔλασσον ῥοφείτω, ἢ
5 ὁκόσον ʹ εἴθισται. [12] μετὰ δὲ τοῦτο ἀναγέτω αἰεὶ ἐπὶ τὸ πλεῖον, ἢν ἥτε ὀδύνη πεπαυμένη ᾖ, καὶ μηδὲν ἄλλο ἐναντιῶται. [13] ὠυτὸς δέ μοι λόγος ἐστὶ, καὶ ἢν χυλῷ πτισάνης δέῃ χρέεσθαι. [14] φημὶ γὰρ ἄμεινον εἶναι, αὐτίκα ἄρξασθαι ῥοφεῖν, τὸ ἐπίπαν μᾶλλον, [15] ἢ προκενεαγγήσαντα ἄρξασθαι τοῦ ῥοφήματος, ἢ τριταῖον, ἢ τεταρταῖον, ἢ πεμπταῖον, ἢ ἑκταῖον, ἢ ἑβδομαῖον, [16] ἤν γε μὴ προκριθῇ ἡ νοῦσος ἐν τούτῳ τῷ χρόνῳ. [17] αἱ δὲ προπαρασκευαὶ καὶ ἐπὶ τουτέοισι παραπλήσιοι ποιητέαι,
10 ʹ ὁκοῖαί περ εἴρηνται. [18] περὶ μὲν οὖν ῥοφήματος προσάρσιος οὕτω γινώσκω. [19] ἀτὰρ καὶ περὶ ποτοῦ, ὁκοῖον ἂν τις μέλλῃ πίνειν τῶν γεγραψομένων, ὠυτός μοι λόγος ὡς ἐπίπαν ἐστίν.

XIV. Οἶδα δὲ καὶ τοὺς ἰητροὺς τὰ ἐναντιώτατα, ἢ ὡς δεῖ, ποιεῦντας. [2] βούλονται γὰρ ἅπαντες ὑπὸ τὰς ἀρχὰς τῶν νούσων, [3] προταριχεύσαντες τοὺς ἀνθρώπους ἢ τρεῖς ἢ καὶ πλέονας ἡμέρας, [4] οὕτω προσφέρειν τὰ ῥοφήματα καὶ τὰ ποτά. [5] καὶ ἴσως τι καὶ εἰκὸς δοκέει

qui & ea quæ in sorbitionibus exhibentur alvum subducentia medicamenta, opitulan... [7] quæcunque non valde injucunda ʹ sunt, aut ob amaritudinem, 30 aut propter aliam quandam injucunditatem, aut ob copiam, aut colorem, aut aliquam suspicionem. [8] Ptisanam tamen statim insuper sorbendam dare oportet, postquam medicamentum bibit, [9] non memorabili copia pauciorem, quam quanta sumere adsuetus est. [10] Nam & rationi consentaneum est, in media purgatione sorbendam non dare. [11] Quum autem cessaverit purgatio, tunc minus ʹ sorbeat 35 de ea quam adsuetus est. [12] Postea vero reducat semper ad majorem copiam, si & dolor sedatus fuerit, & nihil aliud adversetur. [13] Idem mihi sermo est, si etiam ptisanæ succo uti opus fuerit. [14] Melius enim esse assero, statim omnino incipere sorbere, [15] quam prævacuatis jam vasis sorbere auspicari, aut tertia, aut quarta, aut quinta, aut sexta, aut septima die, [16] si sane non judicatus fuerit morbus ante hoc tempus. [17] ʹ Præparationes au- 40 tem & his consimiles faciendæ sunt, quales dictæ sunt. [18] De sorbitionis igitur exhibitione ita sentio. [19] Sed & de potu, qualemcunque tandem quis ex describendis sumpturus est, eadem mihi penitus sermonis ratio est.

XIV. Novi autem etiam medicos maxime contraria facere his quæ fieri oportebat. [2] Omnes enim volunt, ubi sub morborum initia [3] homines fame præmacerarunt, duobus aut tribus, ʹ aut etiam pluribus diebus, 45 [4] sic sorbitiones exhibere, itemque potus: [5] & fortassis etiam

par

δοκέειν αὐτέοισιν εἶναι, μεγάλης τε
15 μεταβολῆς γινομένης τοῦ σώματος,
μέγα τι καὶ κάρτα καὶ αὐτὴ μεταβάλλειν. [6]
τὸ δὲ μεταβάλλειν μὲν οὐκ ἔχει, εἰ μὴ
ὀλίγον. [7] ὀρθῶς μέντοι γε μεταβιβασθείη
καὶ ἡ μεταβολή. [8] καὶ ἔκ γε τῆς μεταβολῆς
ἡ πρόσθεσις τῶν γευμάτων ἔτι μᾶλλον. [9] μάλιστα μὲν οὖν
βλάπτοιντο ἂν, ἢν μὴ ὀρθῶς μεταβάλλοιεν, οἱ ὅλῃσι τῇσι πτισάνῃσι
χρεόμενοι. [10] βλάπτοιντο δ' ἂν καὶ
οἱ μούνῳ τῷ χυλῷ χρεόμενοι. [11]
βλάπτοιντο δ' ἂν καὶ οἱ μούνῳ τῷ
ποτῷ χρεόμενοι. [12] ἥκιστα δὲ οὗτοι.
[13] χρὴ δὲ καὶ τὰ μαθήματα ποιέεσθαι
20 ἐν τῇ διαίτῃ τῶν ἀνθρώπων ἔτι
ὑγιαινόντων, οἷα ξυμφέρει. [14] εἰ γὰρ δὴ
τοῖσί γε ὑγιαίνουσι φαίνεται διαφέροντα
μεγάλα τὰ τοῖα ἢ τοῖα διαιτήματα,
καὶ ἐν ἄλλῳ τῳ τινὶ, καὶ ἐν
τῇσι μεταβολῇσι, [15] πῶς οὐχὶ καὶ ἔν γε
τῇσι νούσοισι διαφέρει μεγάλα, καὶ
τουτέων ἐν τῇσιν ὀξυτάτῃσι μάλιστα;

XV. [1] Ἀλλὰ μὴν εὐκαταμάθητόν γέ ἐστιν, ὅτι φαύλη δίαιτα βρώσιος
καὶ πόσιος αὐτὴ ἑωυτῇ ἐμφερὴς αἰεὶ ἀσφαλεστέρη ἐστὶ τὸ ἐπίπαν
ἐς ὑγείην, [2] ἢ εἴ τις ἐξαπίνης
25 μεταβάλλοι ἐς ἄλλο κρέσσον. [3] ἐπεὶ
καὶ τοῖσι δὶς σιτεομένοισι τῆς ἡμέρης,
καὶ τοῖσι μονοσιτέουσιν αἱ ἐξαπιναῖαι
μεταβολαὶ βλάβας καὶ ἀῤῥωστίην παρέχουσι. [4] καὶ τοὺς μέν γε μὴ μεμαθηκότας
ἀριστᾷν, ἢν ἀριστήσωσιν, εὐθέως
ἀῤῥώστους ποιέει, καὶ βαρέας ὅλον
τὸ σῶμα, καὶ ἀσθενέας, καὶ ὀκνηρούς. [5]
ἢν δὲ καὶ ἐπιδειπνήσωσιν, ὀξυρεγμιώδεας, [6] ἐνίοισι δὲ καὶ σπατίλη γένοιτ'
ἄν, ὁκόταν παρὰ τὸ ἔθος ἀχθοφορήσῃ ἡ κοιλίη, [7] εἰθισμένη ἐπιξηραίνεσθαι,
καὶ μὴ δὶς διογκοῦσθαι, μήτε δὶς
30 ἕψειν τὰ σιτία. [8] ἀρήγει οὖν τουτέοισιν
ἀνισῶσαι τὴν μεταβολήν. [9] ἐγ-
κοιμηθῆναι

par ipsis esse videtur; ut magna corpori mutatione contingente, etiam magnum quid valde contra objiciatur. [6] Verum mutare quidem non parum, bene habet. [7] Recte tamen mutatio transferenda est, [8] & ex mutatione adhuc magis exhibitio eorum quæ per os sumuntur. [9] Maxime igitur lædi poterint, si non recte [1] mutationem fecerint, hi qui 50 tota ptisana utuntur. [10] Poterint etiam lædi qui solo succo utuntur, [11] lædi quoque possunt qui solo potu utuntur. [12] Minime vero hi. [13] Oportet autem & in sanorum adhuc hominum victu addiscere quæ conferunt. [14] Si enim sanis tales aut tales victus multum differre videntur, tum in aliis quibusdam, tum in mutationibus; [15] quomodo non etiam in morbis multum differant, & maxime in acutis?

XV. [1] Atqui facile est hoc ad- 55 discere, quod simplex victus cibi ac potus, ipse sibiipsi semper similis securior omnino est ad sanitatem, [2] quam si quis derepente ad alium meliorem, magnam mutationem faciat. [3] Nam & his qui bis in die cibum sumunt, & his qui semel, repentinæ mutationes noxas ac ægritudines inducunt: [4] & eos sane qui prandere non adsueti sunt, si pransi fuerint, statim infirmos facit hoc, & [1] toto corpore graves, & 60 debiles, & pigros. [5] Si vero etiam insuper cœnaverint, acidum ructantes, [6] Quibusdam vero etiam 16 alvi liquida egestio oboritur, quum præter consuetudinem ventriculus gravetur, [7] solitus resiccari, & non bis intumescere, neque bis cibos coquere. [8] Auxiliatur igitur his, mutationem 17 rursus adæquare: [9] dormire enim

κοιμηθῆναι γὰρ χρὴ ὡς νύκτα ἀγαγόντα, μετὰ τὸ δεῖπνον, τοῦ μὲν χειμῶνος ἀῤῥιγέως, τοῦ δὲ θέρεος ἀθαλπέως. [10] ἢν δὲ μὴ δύνηται καθεύδειν, βραδεῖαν συχνὴν περίοδον πλανηθέντα, μὴ στασίμως, δειπνῆσαι μηδὲν, ἢ ὀλίγα, καὶ μὴ βλαβερά. [11] ἔτι δὲ ἔλασσον πιεῖν ἀκρητεστέρου, καὶ μὴ ὑδαρές. [12] ἔτι δ' ἂν μᾶλλον πονήσειεν ὁ τοιοῦτος, εἰ τρὶς σιτέοιτο τῆς ἡμέρης ἐς κόρον. [13] ἔτι δὲ μᾶλλον, εἰ πλεονάκις. [14] 35 καίτοιγε πολλοί εἰσιν, οἳ εὐφόρως φέρουσι τρὶς σιτεόμενοι τῆς ἡμέρης ἐς πλῆθος, οἳ ἂν οὕτως ἐθισθῶσιν.

XVI. Ἀλλὰ μὴν καὶ οἱ μεμαθηκότες δὶς σιτέεσθαι τῆς ἡμέρης, ἢν μὴ ἀριστήσωσιν, [2] ἀσθενέες καὶ ἄῤῥωστοί εἰσι, [3] καὶ δειλοὶ ἐς πᾶν ἔργον, [4] καὶ καρδιαλγέες. [5] κρεμᾶσθαι γὰρ δοκέει τὰ σπλάγχνα αὐτέοισι, [6] καὶ οὐρέουσι θερμὸν καὶ χλωρὸν, [7] καὶ ἡ ἄφοδος ξυγκαίεται. [8] ἔστι δ' οἷσι καὶ τὸ στόμα πικραίνεται, [9] καὶ οἱ ὀφθαλμοὶ κοιλαίνονται, [10] καὶ οἱ κρόταφοι πάλλονται, [11] καὶ τὰ ἄκρα 40 διαψύχονται. [12] καὶ οἱ μὲν πλεῖστοι τῶν ἀνηριστηκότων οὐ δύνανται κατεσθίειν τὸ δεῖπνον. [13] δειπνήσαντες δὲ, βαρύνουσι τὴν κοιλίην, [14] καὶ δυσκοιτέουσι πολὺ μᾶλλον, ἢ εἰ προηριστήκεσαν. [15] ὁπότε οὖν ταῦτα τοιαῦτα γίνεται τοῖσιν ὑγιαίνουσιν εἵνεκεν ἡμίσεος ἡμέρης διαίτης μεταβολῆς παρὰ τὸ ἔθος, οὔτε προσθεῖναι λυσιτελέειν φαίνεται, οὔτε ἀφελέειν. [16] εἰ τοίνυν οὗτος, ὁ παρὰ τὸ ἔθος μονοσιτήσας, ὅλην [τὴν] ἡμέρην κενεαγγήσας δειπνήσειεν, ὁκόσον εἴ-45 θιστο, [17] εἰκὸς αὐτὸν, εἰ τότε ἀνάριστος ἐὼν, ἐπόνει καὶ ἠῤῥώστει, δειπνή-

oportet velut nocte reducta post cœnam, hyeme quidem absque frigore, æstate vero, absque ca- 65 lore. [10] Si vero dormire non queat, ubi multam lentam deambulationem non stando oberravit, nihil cœnet, aut pauca, eaque innoxia. [11] Insuperque minus bibat, & potum non aquosum. [12] Talis autem adhuc magis affligetur, si ter in die ad satietatem cibum acceperit; [13] & adhuc magis si sæpius. [14] Quanquam sane multi sint, qui facile ferunt, si ter in die cibum copiose accipiant, qui ita sunt adsue- 70 ti.

XVI. Quin & hi qui bis in die cibum capere soliti sunt, si pransi non fuerint, [2] debiles & infirmi sunt, [3] & ad omne opus timidi, [4] & ventriculi osculum dolent. [5] Viscera enim pendere ipsis videntur: [6] & calidam ac cum virore pallidam urinam mingunt, [7] & alvi egestio comburitur. [8] Quibusdam etiam os amarescit, [9] & oculi cavi fiunt, [10] & tempora palpitant, [11] & extremæ partes perfrigerantur. [12] Et plerique ex his qui pransi 75 non sunt, cœnam edere non possunt. [13] Si vero cœnam sumpserint, ventriculum gravant, [14] & multo magis ægre in lecto degunt, quam si etiam pransi fuissent. [15] Quum igitur talia hæc sanis fiant, ob victus dimidiæ diei mutationem præter consuetudinem: apparet neque apponere, neque detrahere commodum esse. [16] Eum igitur qui præter consuetudinem semel in die cibum accepit, si, ubi tota die vasa vacua fecit, quantum con- 80 suevit cœnaverit; [17] verisimile est, si tunc quum impransus esset doluit ac ægrotavit, & ubi cœnavit

δειπνήσας δὲ τότε βαρὺς ἦν, πουλὺ μᾶλλον βαρύνεσθαι. [18] εἰ δέ γε ἐπὶ πλείω χρόνον κενεαγγήσας, ἐξαπίνης μεταδειπνήσειεν, ἔτι μᾶλλον ἂν βαρύνοιτο.

XVII. Τὸν οὖν παρὰ τὸ ἔθος κενεαγγήσαντα ξυμφέρει ταύτην τὴν ἡμέρην ἀντισηκῶσαι ὧδε, ἀρριγέως, καὶ ἀθαλπέως, καὶ ἀταλαιπώρως. [2] ταῦτα γὰρ ἅπαντα βαρέως ἂν ἐνέγκοι, καὶ τὸ δεῖπνον συχνῷ ἔλασσον ποιήσασθαι, ἢ ὅσον εἴθιστο, καὶ μὴ ξηρὸν, ἀλλὰ τοῦ πλαδαρωτέρου τρόπου. [3] καὶ μετὰ ταῦτα πιεῖν μὲν μὴ ὑδαρὲς, μηδὲ ἔλασσον, ἢ κατὰ λόγον τοῦ βρώματος, [4] καὶ τῇ ὑστεραίῃ ὀλίγα ἀριστῆσαι, [5] ὡς ἐκ προσαγωγῆς ἀφίκηται ἐς τὸ ἔθος. [6] αὐτοὶ μέντοι σφῶν αὐτῶν δυσφορώτερον δὴ τὰ τοιαῦτα φέρουσιν οἱ πικρόχολοι τὰ ἄνω. [7] τὴν δὲ ἀσιτίην, τὴν παρὰ τὸ ἔθος, οἱ φλεγματίαι τὰ ἄνω εὐφορώτερον φέρουσι τὸ ἐπίπαν, [8] ὥστε καὶ τὴν μονοσιτίην, τὴν παρὰ τὸ ἔθος, εὐφορώτερον ἂν οὗτοι ἐνέγκοιεν. [9] ἱκανὸν μὲν οὖν καὶ τοῦτο σημήϊον, ὅτι αἱ μέγισται μεταβολαὶ τῶν περὶ τὰς φύσιας ἡμέων καὶ τὰς ἕξιας ξυμβαινόντων, μάλιστα νοσοποιέουσιν. [10] οὐ δὴ οἷόν τε παρὰ καιρὸν, οὔτε σφοδροτάτας κενεαγγείας ποιέειν, [11] οὔτε ἀκμαζόντων τῶν νοσημάτων καὶ ἐν φλεγμασίῃ ἐόντων προσφέρειν, [12] οὔτε ἐξαπίνης οἷόν τε ὅλῳ τῷ πρήγματι μεταβάλλειν, οὔτε ἐπὶ τὰ, οὔτε ἐπὶ τά.

XIIX. Πολλὰ δ' ἄν τις ἀδελφισμένα τουτέοισι τῶν ἐς κοιλίην καὶ ἄλλα εἴποι· [2] ὡς εὐφόρως μὲν φέρουσι τὰ βρώματα, ἃ εἰθισμένοι εἰσὶν, ἢν καὶ μὴ ἀγαθὰ ᾖ φύσει. [3] ὡσαύτως δὲ καὶ τὰ ποτά. [4] δυσφόρως δὲ φέρου-

navit gravis fuit, multo magis gravari. [18] Si vero etiam longiore tempore evacuatis vasis, postea derepente cœnaverit, adhuc magis gravabitur.

XVII. Qui igitur præter consuetudinem vasa vacua fecit, ei hanc diem rursus adæquare sic conducit absque frigore & calore atque labore. [2] Hæc enim omnia graviter tulerit: & cœna multo minor exhibenda est, quam consuevit, eaque non sicca, sed modi humectioris: [3] & postea bibat potum non aquosum, neque pauciorem quam pro cibi ratione. [4] Sed & postera die pauca prandeat, [5] quo sensim progressu contingente ad consuetudinem revertatur. [6] Qui tamen supernas partes amara bile infestantur, talia molestius ferunt. [7] Pituitosi autem supernis partibus, cibi præter morem abstinentiam omnino facilius ferunt. [8] Quare etiam semel in die cibum præter morem capere, facilius utique iidem tulerint. [9] Sufficiens igitur & hoc signum est, quod maximæ mutationes eorum quæ circa naturas nostras ac habitus contingunt, maxime morbos faciunt. [10] Non igitur licet intempestive, neque vehementissimas vasorum vacuationes facere, [11] neque vigentibus morbis, & in inflammatione consistentibus, cibos exhibere, [12] neque licet derepente in tota re quicquam aut huc aut illuc mutare.

XIIX. Multa vero his cognata, ex his qui ventri contingunt, itemque alia referre quis possit, [2] quod facile quidem ferunt cibos, quibus adsueti sunt, etiamsi natura non sint boni. [3] Similiter etiam potus. [4] Ægre autem ferunt

φέρουσι τὰ βρώματα, ἃ μὴ ἐθισμένοι εἰσὶν, ʺ ἢν καὶ καλὰ ᾖ. [5] ὡσαύτως δὲ καὶ ποτά. [6] καὶ ὁκόσα μὲν κρεηφαγίη πολλὴ παρὰ τὸ ἔθος βρωθεῖσα ποιέει, ἢ σκόροδα, ἢ σίλφιον, ἢ ὀπὸς, ἢ καυλὸς, [7] ἢ ἄλλα ὁκόσα τοιουτότροπα μεγάλας δυνάμιας ἔχοντα ἰδίας, [8] ἧσσον ἄν τις θαυμάσειεν, εἰ τὰ τοιαῦτα πόνους ἐμποιέει τῇσι 15 ʹ κοιλίῃσι μᾶλλον τῶν ἄλλων. [9] ἀλλʹ, εἰ καταμάθοις, ὁκόσον ἂν μάζα τὸν ὄχλον καὶ ὄγκον καὶ φῦσαν καὶ στρόφον τῇ κοιλίῃ παρέχει, παρὰ τὸ ἔθος βρωθεῖσα, τῷ μὴ μαζοφαγέειν εἰθισμένῳ· [10] ἢ αὐτός τε ὁ ἄρτος, θερμὸς βρωθεὶς, οἵην δίψαν παρέχει, καὶ ἐξαπιναίην πληθώρην, διὰ τὸ ξηραντικόν τε καὶ βραδύπορον· [11] καὶ οἱ ἄγαν καθαροί τε ʺ καὶ ξυγκομιστοὶ, παρὰ τὸ ἔθος βρωθέντες, οἷα διαφέροντα ἀλλήλων ποιέουσι· [12] καὶ μάζα τε ξηρὴ παρὰ τὸ ἔθος, ἢ ὑγρὴ, ἢ γλισχρὴ, [13] καὶ τὰ 20 ʹ ἄλφιτα οἷόν τι ποιέει τὰ ποταίνια τοῖσι μὴ εἰωθόσι, [14] καὶ τὰ ἑτεροῖα τοῖσι τὰ ποταίνια εἰωθόσι· [15] καὶ οἰνοποσίη, καὶ ὑδροποσίη, παρὰ τὸ ἔθος ἐς θάτερα μεταβληθέντα ἐξαπίνης, [16] καὶ ὑδαρής τε οἶνος καὶ ἄκρητος παρὰ τὸ ἔθος ἐξαπίνης ποθείς. [17] ὁ μὲν γὰρ πλάδον τε ἐν τῇ ἄνω κοιλίῃ ἐμποιέει, καὶ φῦσαν ἐν τῇ κάτω. [18] ὁ δὲ παλμόν τε φλεβῶν, καὶ καρηβαρίην, καὶ δίψαν. [19] καὶ λευκός τε καὶ μέλας οἶνος παρὰ τὸ ἔθος μεταβάλλοντι, εἰ καὶ ἄμφω οἰ-25 νώδεες εἶεν, ὅμως πολλὰ ἂν ʹ ἑτεροιώσειαν κατὰ τὸ σῶμα. [20] ὡς δὴ γλυκύν τε καὶ οἰνώδεα οἶνον ἧσσον ἄν τις φαίη θαυμαστὸν εἶναι μὴ τωὐτὸ δύνα-

runt cibos, quibus adſueti non 20 ſunt, etiamſi non ſint mali: [5] ſimiliter etiam non potus. [6] Et quæ ʹ quidem multus carnis eſus 100 præter conſuetudinem aſſumptus facit, aut allium, aut ſilphium, aut ſuccus ipſius, aut caulis, [7] aut alia hujuſmodi, magnas quaſdam peculiares vires habentia, [8] minus admiretur quis ubi talia dolores ventriculis magis quam alia inducunt. [9] At juſta fuerit admiratio, ſi didiceris quantam maza turbationem, & molem, & flatum, & tormen ventriculo inducat, ſi præter morem ʹ ingeſta fuerit, ab eo qui 105 mazam edere non eſt ſolitus: [10] aut qualem ſitim panis ipſe calidus ingeſtus inducat, & repentinam repletionem, ob ſiccandi vim, & quod tarde tranſit: [11] & 21 quam diverſas inter ſe affectiones faciant, & panes valde puri, & qui ex toto ſunt collati, præter conſuetudinem in cibo accepti, [12] itemque maza ſicca præter morem, aut liquida, aut viſcoſa; [13] & quale quid faciant polentæ recentes non adſuetis, [14] ʹ & aliæ 110 his qui recentibus uti adſueti ſunt: [15] itemque vini & aquæ potus, præter morem derepente viciſſim permutatus, [16] & aquoſum vinum, & meracum, præter conſuetudinem derepente potatum. [17] Illud enim humiditatem in ſuperno ventre inducit, & flatum in inferno. [18] Hoc vero venarum palpitationem, & capitis gravitatem ac ſitim. [19] Quin & album vinum, & nigrum, ſi quis præter conſuetudinem permutet, ʹ etiamſi ambo 115 vinoſa fuerint, tamen multa in corpore alterarint, [20] ut minus mirum eſſe quis dixerit, dulce & vinoſum vinum non idem poſſe,

δύναται ἐξαπίνης μεταβληθέντα.

XIX. [1] Τεκμαρτέον δὲ τοιόνδε τι μέρος τῷ ἐναντίῳ λόγῳ, ὅτι ἡ μεταβολὴ τῆς διαίτης τουτέοισιν ἐγένετο, [2] οὐ μεταβάλλοντος τοῦ σώματος, [3] οὔτε ἐπὶ τὴν ῥώμην, ὥστε προσθεῖναι δέειν σιτία, [4] οὔτε ἐπὶ τὴν ἀρρωστίην, ὥστε ἀφαιρεθῆναι. [5] προστεκμαρτέα δὴ καὶ ἡ ἰσχύς, [1] καὶ ὁ τρόπος τοῦ νοσήματος ἑκάστου, [6] καὶ τῆς φύσιος τοῦ τε ἀνθρώπου καὶ τοῦ ἔθεος, καὶ τῆς διαίτης τοῦ κάμνοντος, [7] οὐ μόνον σιτίων, ἀλλὰ καὶ ποτῶν, [8] πολλῷ δὲ ἧσσον ἐπὶ τὴν πρόσθεσιν ἰτέον. [9] ἐπεὶ τήν γε ἀφαίρεσιν ὅλως ἀφελεῖν πολλαχοῦ λυσιτελέει, ὅκου διαρκέειν μέλλει ὁ κάμνων, μέχρις ἂν τῆς νούσου ἡ ἀκμὴ πεπανθῇ. [10] ἐν ὁκοίοισι δὲ τὸ τοιόνδε ποιητέον, γεγράψεται. [11] πολλὰ δ' ἄν τις καὶ ἄλλα ἀδελφισμένα τοῖσιν εἰρημένοισι γράφοι. [12] τό γε μὴν κρέσσον μαρτύριον, [13] οὐ γὰρ ἀδελφισμένον ἐστὶ τῷ πρήγματι, περὶ οὗ μοι ὁ πλεῖστος [1] λόγος εἴρηται, [14] ἀλλ' αὐτὸ τὸ πρῆγμα ἐπικαιρότατόν ἐστι διδακτήριον.

XX. Οἱ γὰρ ἀρχόμενοι τῶν ὀξέων νοσημάτων ἔστιν ὅτε οἱ μὲν σιτία ἔφαγον αὐθήμερον, ἠργμένοι ἤδη· [2] οἱ δὲ καὶ τῇ ὑστεραίῃ· [3] οἱ δὲ καὶ ἐρρόφεον τὸ προστυχόν· [4] οἱ δὲ καὶ κυκεῶνα ἐρρόφεον. [5] ἅπαντα δὲ ταῦτα κακίω μέν ἐστιν, ἢ εἴ τις ἑτεροίως διαιτηθείη. [6] πολλῷ μέντοι ἐλάσσω βλάβην φέρει ἐν τούτῳ τῷ χρόνῳ ἁμαρτηθέντα, [7] ἢ εἴ τις τὰς μὲν πρώτας ἡμέρας δύο ἢ τρεῖς κενεαγγήσειε τελέως, [8] τεταρταῖος δὲ ὢν τοιάδε διαιτηθείη, ἢ πεμπταῖος. [9] ἔτι μέντοι κάκιον, εἰ ταύτας πάσας τὰς ἡμέρας προκενεαγγήσας, ἐν τῇσιν ὕστερον ἡμέρῃσιν οὕτω διαιτηθείη, πρὶν ἢ πέπειρον

γένηται

si derepente permutata fuerint.

XIX. Porro hujusmodi aliquam partem sermoni contrario patrocinari oportet: [2] quod mutatio victus his facta est, corpore non mutato, [3] neque ad robur, ut cibos apponere opus sit, [4] neque ad debilitatem, ut detrahere oporteat. [5] Insuper autem & robur conjectandum est, & morbi uniuscujusque modus, [6] & hominis natura, & consuetudo & victus ægri, [7] non ciborum solum, sed etiam potuum. [8] Multo autem minus ad additionem procedendum est. [9] Nam detrectationem omnino tollere sæpe conducit, ubi suffecturus est æger, donec morbi vigor maturescat. [10] In quibus autem hoc faciendum sit, scribetur. [11] Multa vero etiam alia relatis cognata scribere quis possit. [12] Hoc tamen melius testimonium est. [13] Non enim cognatum est rei illi de qua plurimus à me sermo habitus est, [14] sed ipsa res opportunissimum est documentum.

XX. Nam ab acutorum morborum initio, aliqui quandoque eadem die qua morbus incœpit, cibos comederunt: [2] aliqui postridie: [3] quidam etiam sorbuerunt quicquid oblatum esset, [4] quidam etiam cyceonem. [5] Omnia autem hæc deteriora quidem sunt, quam si quis alio modo victum instituisset, [6] multo tamen minus detrimentum afferunt in hoc tempore peccata, [7] quam si quis primis duobus aut tribus diebus, penitus vasa vacua fecisset, [8] & quarta aut quinta die, tali victu usus esset. [9] Deterius tamen est, si omnibus his diebus vasis evacuatis, in posterioribus diebus hoc modo victum instituat, prius quam

coctus

γενέσθαι τὴν νοῦσον. 10 οὕτω μὲν γὰρ δύναται φέρειν φανερῶς τοῖσι πλείστοισιν, ἢν μὴ παντάπασί τις εὐήθης ἡ νοῦσος εἴη. 11 αἱ δὲ κατ' ἀρχὰς ἁμαρτάδες οὐκ ὁμοίως ταύτῃσιν ἀνήκεστοί εἰσιν, ἀλλὰ πολλῷ ἀκεστότεραι. 12 τοῦτο οὖν ἡγεῦμαι μέγιστον διδακτήριον, ὅτι οὐ στερητέαι αἱ 45 πρῶται ἡμέραι τοῦ ῥοφήματος, ἢ τοίου ἢ τοίου, τοῖσι μέλλουσιν ὀλίγον ὕστερον ῥοφήμασιν, ἢ τοίοις ἢ τοίοις, χρῆσθαι.

XXI. Πυθμηρόθεν μὲν οὖν οὐκ ἴσασιν, οὔθ' οἱ τῇσι κριθώδεσι πτισάνῃσι χρεόμενοι, ὅτι αὐτῇσι κακοῦνται, ὁκόταν ῥοφέειν ἄρξωνται, ἢν προκενεαγγήσωσι, δύο ἢ τρεῖς ἡμέρας ἢ καὶ πλείους· 2 οὔτ' αὖ οἱ τῷ χυλῷ χρεόμενοι, ὅτι αὐτέοισι βλάπτονται ῥοφέοντες, ὅταν μὴ ὀρθῶς ἄρξωνται τοῦ ῥοφήματος. 3 τόδε μέντοι φυλάσσουσι καὶ γινώσκουσιν, ὅτι μεγάλην τὴν βλάβην φέρει, ἢν, 373 πρὶν πέπειρον τὴν νοῦσον γενέσθαι, κριθώδεα πτισάνην ῥοφήσῃ ὁ κάμνων, εἰθισμένος χυλῷ χρῆσθαι. 4 πάντα οὖν ταῦτα μεγάλα μαρτύρια, ὅτι οὐκ ὀρθῶς ἄγουσιν ἐς τὰ διαιτήματα οἱ ἰητροὶ τοὺς κάμνοντας, 5 ἀλλ' ἐν ᾗσί γε νούσοισιν οὐ χρὴ κενεαγγέειν τοὺς μέλλοντας ῥοφήμασι διαιτᾶσθαι, κενεαγγέουσιν· 6 ἐν ᾗσι δὲ οὐ χρὴ μεταβάλλειν ἐκ κενεαγγείης ἐς ῥοφήματα, 5 ἐν ταύτῃσι μεταβάλλουσι, καὶ ὡς ἐπὶ τὸ πολὺ ἀπαρτί. 7 ἐνίοτε δὲ ἐν τοῖσι τοιούτοισι καιροῖσι μεταβάλλουσιν ἐς τὰ ῥοφήματα ἐκ τῆς κενεαγγείης, ἐν οἷσι πολλάκις ἀρήγει ἐκ τῶν ῥοφημάτων πλησιάζειν τῇ κενεαγγείῃ, 8 ἢν οὕτως τύχῃ παροξυνομένη ἡ νοῦσος. 9 ἐνίοτε δὲ καὶ ὠμὰ ἐπισπῶνται, ἀπὸ

coctus ac maturus sit morbus. 10 Etenim hoc modo mortem plu- 135 rimis manifeste affert, si non omnino facilis fuerit morbus. 11 Quæ vero ab initio committuntur peccata, non similiter, ut illa medelam omnem respuunt, sed multo facilius correctionem admittunt. 12. Hoc igitur maximum documentum esse arbitror, quod primi dies sorbitione tali vel tali non sint privandi, in his qui paulo postea talibus aut talibus sorbitionibus usuri 24 sunt.

XXI. Funditus igitur ignorant, 140 tum hi qui granosa ptisana utuntur, quod ab ipsa læduntur, quum sorbere inceperint, si duobus, aut tribus, aut pluribus diebus antea vasa evacuaverint: 2 tum hi qui succo utuntur, quod sorbentes læduntur, ubi non recte sorbitionem inceperunt. 3 Tunc tamen cavent, & magnam noxam afferre cognoscunt, si priusquam maturus factus fuerit morbus, granosam ptisanam sorbuerit æger, succo uti adsuetus. 145 4 Omnia igitur hæc magna testimonia sunt, quod medici ægros non recte ad victum perducunt. 5 Sed in quibus morbis vasa vacua facere non oportet, his qui sorbitionibus uti debent vasa vacua faciunt. 6 In quibus vero ex vasorum vacuatione, ad sorbitiones mutationem facere non 25 oportet, in his mutationem faciunt, & hoc plerunque absolute. 7 Aliquando vero in his temporibus mutationem ad sorbitiones faciunt ex vasorum vacua- 150 tione, in quibus sæpe ex sorbitionibus ad vasorum vacuationem accedere expediebat, 8 si ita morbum exacerbari contingat. 9 Aliquando autem & cruda attrahuntur

τῆς κεφαλῆς καὶ τοῦ περὶ τὸν θώρηκα τόπου χολώδεα. 10 ἀγρυπνίαι δὲ ξυμπίπτουσιν αὐτέοισι· 11 δι' ἃς οὐ πέσσεται ἡ νοῦσος· 12 περίλυποί τε καὶ πικροὶ γίνονται, 13 καὶ παραφρονέουσι, 14 καὶ μαρμαρυγώδεα τουτέων τὰ ὄμματα, 15 καὶ αἱ ἀκοαὶ ἤχου μεσταὶ, 16 καὶ τὰ ἀκρωτήρια κατεψυγμένα, 17 καὶ οὖρα ἄπεπτα, 18 καὶ πτύσματα λεπτὰ καὶ ἁλυκὰ καὶ κεχρωσμένα ἀκρήτῳ χρώματι σμικρά, 19 καὶ ἱδρῶτες περὶ τὸν τράχηλον, 20 καὶ διαπορήματα, 21 καὶ πνεῦμα προσπταῖον ἐν τῇ ἄνω φορῇ, πυκνὸν ἢ μέγα λίην, 22 ὀφρύες δεινώσιος μετέχουσαι, 23 λειποψυχώδεα πονηρά, 24 καὶ τῶν ἱματίων ἀπορρίψιες ἀπὸ τοῦ στήθεος, 25 καὶ χεῖρες τρομώδεες, 26 ἐνίοτε δὲ καὶ χεῖλος τὸ κάτω σείεται.

XXII. Ταῦτα δὲ ἐν ἀρχῇσι παραφαινόμενα παραφροσύνης δηλωτικά ἐστι πολλῆς καὶ σφοδρῆς· 2 καὶ ὡς ἐπὶ τὸ πολὺ ἀποθνήσκουσιν. 3 οἱ δὲ διαφεύγοντες φθάνουσι μετ' ἀποστήματος, ἢ αἵματος ῥύσιος ἐκ τῆς ῥινὸς, ἢ πύον παχὺ πτύσαντες διαφεύγουσιν· ἄλλως δὲ οὔ. 4 οὐδὲ γὰρ τῶν τοιουτέων ὁρέω ἐμπείρους τοὺς ἰητροὺς, ὡς χρὴ, διαγινώσκειν τὰς ἀσθενείας ἐν τῇσι νούσοισιν, 5 αἵτε διὰ κενεαγγείην ἀπολελῦνται, αἵτε δι' ἄλλον τινὰ ἐρεθισμὸν, αἵτε διὰ πόνον, καὶ ὑπὸ ὀξύτητος τῆς νούσου, 6 ὁκόσα τε ἡμέων ἡ φύσις καὶ ἡ ἕξις ἑκάστοισιν ἐκτεκνοῖ πάθεα καὶ εἴδεα παντοῖα. 7 καίτοι σωτηρίην ἢ θάνατον φέρει γινωσκόμενα ἢ ἀγνοεύμενα τὰ τοιαῦτα. 8 μέζον μὲν γὰρ κακόν ἐστιν, ἢν διὰ τὸν πόνον καὶ τὴν ὀξύτητα τῆς νούσου ἀσθενέοντι προσφέρῃ τις ποτὸν, ἢ ῥόφημα πλεῖον, ἢ σιτίον, οἰόμενος διὰ κενεαγγείην

trahuntur de capite, & à thoracis regione, biliosa, 10 & vigiliæ ipsis coincidunt, 11 ob quas non coquitur morbus: 12 & tristes ac amarulenti fiunt, 13 & delirant, 14 & splendores ipsis ob oculos obversantur, 15 & aures sonitu plenæ sunt, 16 & extremæ partes perfrigeratæ, 17 & urinæ incoctæ, 18 & sputa tenuia, & salsa, & meraco colore tincta, ac pauca, 19 & sudores circa collum, 20 & anxietudines, 21 & spiritus in latione sursum versus offendens, densus aut etiam valde magnus, 22 supercilia distenta ac gravata, 23 deliquia animi prava, 24 & stragulorum de pectore rejectiones, 25 & manus tremulæ. 26 Quandoque vero labium infernum concutitur.

XXII. Hæc autem in principiis comparentia, vehementis delirii significationem præbent, 2 & plerunque ægri moriuntur. 3 Qui vero effugiunt, aut cum abscessu, aut cum sanguinis è naribus fluxione, aut ex crassi puris sputo effugiunt: alias vero minime. 4 Neque enim talium rerum peritos medicos esse video., quomodo debilitates in morbis dignoscere oporteat, 5 & quæ ex vasorum vacuatione efficiuntur, & quæ propter aliam aliquam irritationem, & quæ propter dolorem, & præ acumine morbi: 6 itemque quot affectiones, & omnigenas species, natura nostra & habitus singulis pariat: 7 & quidem quum talium cognitio, aut ignorantia, salutem aut mortem afferant. 8 Majus enim malum est, si ob dolorem & morbi acumen debilitato, exhibet quis potum, aut sorbitionem copiosiorem, aut cibum, ob vasorum vacuationem

γνῶναι ἀσθενέειν. [9] ἀσχῆμον δὲ καὶ 27 διὰ κενεαγγείην ἀσθενέοντα μὴ γνῶναι, καὶ πιέζειν τῇ διαίτῃ. [10] φέρει μὲν γάρ τινα κίνδυνον καὶ αὕτη ἡ ἁμαρτάς. [11] πολλῷ δὲ ἧσσον 25 τῆς ἑτέρης. [12] καταγελαστοτέρη δὲ πολλῷ αὕτη μᾶλλον ἡ ἁμαρτὰς τῆς ἑτέρης. [13] εἰ γὰρ ἄλλος ἰητρὸς ἢ καὶ ἰδιώτης εἰσελθὼν, καὶ γνοὺς τὰ ξυμβεβηκότα, δοίη καὶ φαγεῖν, καὶ πιεῖν, ἃ ὁ ἕτερος ἐκώλυσεν, ἐπιδήλως ἂν δοκοίη ὠφεληκέναι. [14] τὰ δὲ τοιαῦτα μάλιστα καθυβρίζεται τῶν χειρωνακτέων ὑπὸ τῶν ἀνθρώπων. [15] δοκέει γὰρ αὐτέοισιν ὁ εἰσελθὼν ἰητρὸς, ἢ ἰδιώτης, ὡσπερεὶ τεθνεῶτα ἀναστῆσαι. [16] γεγράψεται οὖν καὶ περὶ τουτέου σημήϊα, οἷσι δεῖ ἕκαστα τουτέων διαγινώσκειν.

30 XXIII. Παραπλήσια μέντοι τοῖσι κατὰ κοιλίην καὶ ταῦτά ἐστι. [2] καὶ γὰρ, ἢν ὅλον τὸ σῶμα ἀναπαύσηται πολὺ παρὰ τὸ ἔθος, οὐκ αὐτίκα ἔρρωται μᾶλλον. [3] ἢν δὲ δὴ καὶ πλείω χρόνον διελινύσας ἐξαπίνης ἐς τοὺς πόνους ἔλθῃ, φλαῦρόν τι πρήξει ἐπιδήλως. [4] οὕτω δὲ καὶ ἓν ἕκαστον τοῦ σώματος. [5] καὶ γὰρ, ἢν οἱ πόδες τοιόνδε τι πρήξειαν, καὶ τὰ ἄλλα ἄρθρα μὴ εἰθισμένα πονέειν, ἢν διὰ χρόνου ἐξαπίνης πρὸς τὸ πονέειν ἔλθῃ. [6] ταὐτὰ δ' ἂν καὶ οἱ ὀδόντες καὶ οἱ 35 ὀφθαλμοὶ πάθοιεν, καὶ πᾶν ὁτιοῦν. [7] ἐπεὶ καὶ κοίτη ἡ παρὰ τὸ ἔθος μαλθακὴ πόνον ἐμποιέει, καὶ σκληρὴ παρὰ τὸ ἔθος. [8] καὶ ὕπαιθρος εὐνὴ παρὰ τὸ ἔθος σκληρύνει τὸ σῶμα. [9] ἀτὰρ καὶ τὰ τῶν τοιῶνδε πάντων ἀρκέει παραδείγματα γράψαι. [10] εἰ γάρ τις, ἕλκος λαβὼν

debilem esse existimans. [9] Indecorum etiam est ob vasorum vacuationem debilitatem non cognoscere, & victu premere. [10] Affert equidem periculum aliquod & hoc peccatum, [11] verum multo minus quam alterum. [12] Multo autem magis risu dignum hoc peccatum est, quam illud alterum. [13] Si enim alius medicus, aut etiam idiota, ingressus cognoverit ea quæ contigerunt, & edenda ac bibenda dederit ea quæ alter prohibuit, palam auxilium tulisse putabitur. [14] Talia vero faciunt, ut artifices maxime ab hominibus vituperentur. [15] Videtur enim ipsis ille qui ingressus est medicus aut idiota, velut mortuum suscitasse. [16] Scribentur autem de his quoque signa, ex quibus singula dignoscere oportet. 170 175

XXIII. Consimilia tamen illis quæ circa ventrem contingunt, & hæc sunt. [2] Nam si totum corpus præter consuetudinem multum quiescat, non statim magis robustum fit. [3] Si vero etiam 180 ubi multo tempore quievit, derepente ad labores prodierit, vitiosum quiddam palam operabitur. [4] Ad eundem modum etiam singulæ corporis partes. [5] Nam & pedes tale quiddam operabuntur, & alii articuli laborare non adsueti, si interposito tempore derepente ad laborandum prodeant. [6] Eadem etiam oculi & dentes perpetientur, & quæcunque tandem pars. [7] Nam & lectus præter morem mollis do- 185 lorem inducit, itemque præter consuetudinem durus. [8] Sed & si sub dio lectus præter morem sternatur, corpus indurat. [9] Quin & talium omnium exempla scribere satius fuerit. [10] Si quis enim

λαβὼν ἐν κνήμῃ, μήτε λίην ἐπικίνδυνον, μήτε λίην εὐήθες, καὶ μήτε ἄγαν δυσελκὴς ὢν, μήτε ἄγαν εὐελκής, [11] αὐτίκα ἀρξάμενος ἐκ πρώτης κατακείμενος ἰητρεύοιτο, καὶ μηδαμῇ μετεωρίζοι τὸ σκέλος, [12] ἀφλέγμαντος μὲν ἂν οὗτος εἴη, καὶ ὑγιὴς πολλῷ θᾶσσον οὕτω γένοιτο, ἢ εἰ πλανώμενος ἰητρεύοιτο. [13] εἰ μέντοι πεμπταῖος, ἢ ἑκταῖος ἢ, ἢ καὶ ἔτι ἀνωτέρω ἀναστὰς ἐθέλοι προβαίνειν, μᾶλλον ἂν πονέοι τότε, ἢ εἰ αὐτίκα ἐξ ἀρχῆς πλανώμενος ἰητρεύοιτο. [14] εἰ δὲ καὶ πολλὰ ταλαιπωρήσειεν ἐξαπίνης, πολλῷ ἂν μᾶλλον πονήσειεν, ἢ ἐκείνως ἰητρευόμενος ταῦτα ταλαιπωρήσειεν ἐν ταύτῃσι τῇσιν ἡμέρῃσι. [15] Διὰ παντὸς οὖν μαρτυρέει ταῦτα πάντα ἀλλήλοισιν, ὅτι πάντα, ἐξαπίνης μέζω πολλῷ τοῦ μετρίου μεταβαλλόμενα ἐπὶ τὰ καὶ ἐπὶ τὰ, βλάπτει.

XXIV. Πολλαπλασίη μὲν οὖν κατὰ κοιλίην ἡ βλάβη ἐστὶν, ἢν ἐκ πολλῆς κενεαγγείης ἐξαπίνης πλέον τοῦ μετρίου προσενέγκηται. [2] ἀτὰρ καὶ κατὰ τὸ ἄλλο σῶμα, ἢν ἐκ πολλῆς ἡσυχίης ἐξαίφνης ἐς πλείω πόνον ἔλθῃ, πολὺ πλείω βλαβείη, ἢ εἰ ἐκ πολλῆς ἐδωδῆς ἐς κενεαγγείην μεταβάλλοι. [3] καὶ, ἢν ἐκ πολλῆς ταλαιπωρίης ἐξαπίνης ἐς σχολήν τε καὶ ῥαθυμίην ἐμπέσῃ. [4] δεῖ μέντοι καὶ τὸ σῶμα τούτοισιν ἐλινύειν. [5] δεῖ δὲ καὶ τούτοισι τὴν κοιλίην ἐλινύειν πλήθεος βρώμης. [6] ἢν δὲ μὴ, πόνον ἐν τῷ σώματι ἐμποιήσει, καὶ βάρος ὅλου τοῦ σώματος. [7] ὁ δὴ οὖν πλεῖστός μοι λόγος γέγονε περὶ τῆς μεταβολῆς τῆς ἐπὶ τῆς διαίτης, καὶ ἐπὶ τὰ καὶ ἐπὶ τά. [8] ἐς πάντα μὲν οὖν εὔχρηστον ταῦτα εἰδέναι, [9] ἀτὰρ καὶ περὶ οὗ ὁ λόγος ἦν, ὅτι καὶ ἐν τῇσιν ὀξείῃσι νούσοισιν ἐς τὰ ῥοφήματα

enim accepto ulcere in tibia, neque valde periculoso, neque adeo contemnendo, ita ut neque ipsi ita difficulter, aut adeo facile ulcera sanescant, [11] statim prima ab initio die decumbens curetur, & nequaquam crus elevet: [12] hic sane hoc modo citra inflammationem fuerit, & sanus multo citius sic fiet, quam si obambulans curetur. [13] Attamen si quinta aut sexta die, aut etiam prius surrexerit, & progredi voluerit, magis utique affligetur, ac dolebit, quam si statim ab initio obambulans curatus esset. [14] Si vero etiam multum derepente se fatigaverit, multo magis dolebit, quam si illo modo curatus, in illis diebus ita se fatigasset. [15] Perpetuo igitur hæc omnia inter se testimonium præbent, quod omnia quæ derepente multum supra modum huc & illuc mutantur, lædunt.

XXIV. Multiplex igitur in ventre læsio est, si ex multa vasorum vacuatione, plus moderato derepente ingeratur. [2] Quin & in reliquo corpore, si ex multa quiete, ad ampliorem laborem derepente deveniat, multo magis lædetur, quam si ex multo cibo ad vasorum vacuationem transmutetur, [3] & si ex multo labore derepente ad ocium ac segniciem exciderit. [4] Oportet tamen & his corpus quiescere. [5] Oportet item illis ventrem à ciborum copia quiescere. [6] Sin minus, & dolorem in corpore inducet, & totius corporis gravitatem. [7] Plurimus itaque sermo de mutatione huc atque illuc à me habitus est, [8] eo quod hæc nosse ad omnia commodum sit, [9] & ad hoc præsertim de quo nobis sermo erat, quod in acutis morbis

μάτα μεταβάλλουσιν ἐκ τῆς κενεαγγείης. 10 μεταβλητέον γὰρ, ὡς ἐγὼ κελεύω ἤδη. 11 ἔπειτα οὐ χρηστέον ῥοφήμασι, πρὶν ἢ νοῦσος πεπανθῇ, 12 ἢ ἄλλο τι σημεῖον φανῇ, 13 ἢ κατ᾽ ἔντερον κενεαγγικὸν, 14 ἢ ἐρεθιστικὸν, 15 ἢ κατὰ τὰ ὑποχόνδρια, ὁκοῖα γεγράψεται, σημεῖα. 16 ἀγρυπνίη ἰσχυρὴ πόματα καὶ σιτία ὠμὰ καὶ ἀπεπτότερα ποιέει. 17 καὶ ἡ ἐπὶ τὰ ἕτερα αὖ μεταβολὴ διαλύει τὸ σῶμα, καὶ ἀπεπτότητα καὶ καρηβαρίην ἐμποιέει.

XXV. Γλυκὺν δὲ οἶνον, καὶ οἰνώδεα, καὶ λευκὸν, καὶ μέλανα, καὶ μελίκρητον, καὶ ὕδωρ, καὶ ὀξύμελι, τοῖσι δὴ σημαινομένοισι χρὴ διορίζειν ἐν τῇσιν ὀξείῃσι νούσοισιν. 2 ὁ μὲν γλυκὺς ἧσσόν ἐστι καρηβαρικώτερος τοῦ οἰνώδεος, καὶ ἧσσον φρενῶν ἁπτόμενος, καὶ διαχωρητικώτερος δή τι τοῦ ἑτέρου κατὰ τὸ ἔντερον· 3 μεγαλόσπλαγχνος δὲ σπληνὸς καὶ ἥπατος, 4 οὐκ ἐπιτήδειος οὖν 5 οὐδὲ τοῖσι πικροχόλοισι. 6 καὶ γὰρ οὖν διψώδης τοῖσί γε τοιούτοισίν ἐστιν. 7 ἀτὰρ καὶ φυσώδης ἐντέρου τοῦ ἄνω. 8 οὐ μὴν πολέμιός γ᾽ αὖ τῷ ἐντέρῳ τῷ κάτω, ὡς κατὰ λόγον τῆς φύσης. 9 καὶ τοί γε οὐ πάνυ πόριμη ἐστὶν ἡ ἀπὸ τοῦ γλυκέος οἴνου φῦσα, ἀλλ᾽ ἐγχρονίζει περὶ ὑποχόνδρια. 10 καὶ γὰρ οὖν ἧσσον οὗτος διουρητικὸς γίνεται τὸ ἐπίπαν τοῦ οἰνώδεος λευκοῦ. 11 πτυάλου δὲ μᾶλλον ἀναγωγός ἐστι τοῦ ἑτέρου ὁ γλυκύς. 12 καὶ οἷσι μὲν διψώδης ἐστὶ πινόμενος, ἧσσον αὖ τούτοισιν ἀνάγει, ἢ ὁ ἕτερος οἶνος. 13 οἷσι δὲ μὴ διψώδης, μᾶλλον ἀνάγει αὖ τοῦ ἑτέρου. 14 ὁ δὲ λευκὸς οἰνώδης οἶνος ἐπῄνηται μὲν καὶ ἔψεκται τὰ πλεῖστα καὶ τὰ μέγιστα ἤδη ἐν τῇ

bis ad sorbitiones mutationem faciunt ex vasorum vacuatione. 10 Facienda enim est mutatio velut ego jam jubeo. 11 Deinde non est utendum sorbitionibus priusquam morbus maturus factus fuerit, 12 aut aliud quoddam signum apparuerit, 13 vel vacuatorium, 14 vel irritatorium circa intestinum, 15 aut circa præcordia, qualia scribentur signa. 16 Vigilia fortis potus & cibos crudos & inconcoctiores facit. 17 Et rursus in contrariam partem mutatio dissolvit corpus, & excoctionem ac capitis gravitatem inducit.

XXV. Vinum porro dulce, & III vinosum, & album, ac nigrum, & aquam mulsam, & aquam, & acetum mulsum, his notis distinguere oportet in morbis acutis. 2 Vinum dulce minus caput gravat, quam vinosum, & minus mentem ferit, & magis quam alterum per alvum & intestinum subit. 3 Viscera vero magna facit splenem & hepar. 4 Quare neque his qui amara bile abundant commodum est. 6 Nam & siticulosum in talibus est, 7 & flatuosum in superno intestino: 8 non tamen inferno intestino inimicum pro flatus ratione, 9 & quidem quum non valde penetret flatus à vino dulci, sed circa præcordia moretur. 10 Certe per urinam hoc minus exit omnino quam vinosum album. 11 Sputum vero magis educit dulce quam alterum: 12 & quibus quidem siticulosum est dum bibitur, his minus quam alterum vinum educit. 13 Quibus vero siticulosum non est, his magis quam alterum educit. 14 At vero album vinosum vinum, plurima ac maxima ex parte jam & lauda-

τοῦ γλυκέος οἴνου διηγήσιος. 15 ἐς δὲ κύστιν μᾶλλον πόριμος ἐὼν τοῦ ἑτέρου, καὶ διουρητικὸς καὶ καταῤῥηκτικὸς, αἰεὶ πολλὰ προσωφελέοι ἂν ἐν ταύτῃσι τῇσι νούσοισι. 16 καὶ γὰρ, εἰ πρὸς ἄλλα ἀνεπιτηδειότερος τοῦ ἑτέρου πέφυκεν, ἀλλ' ὅμως ἡ κατὰ τὴν κύστιν κάθαρσις ὑπ' αὐτοῦ γενομένη ῥύεται, ἢν προτρέπηται, ὁκοῖον δεῖ. 17 καλὰ δὲ ταῦτα τεκμήριά ἐστι τοῦ περὶ οἴνου ὠφελίης καὶ βλάβης, ὁκόσα ἀκαταμάθητα ἦν τοῖσιν ἐμεῦ γεραιτέροισι. 18 κιῤῥῷ δὲ οἴνῳ καὶ μέλανι αὐστηρῷ ἐν ταύτῃσι τῇσι νούσοισιν ἐς τάδε ἂν χρήσαιο, 19 εἰ καρηβαρίη μὲν μὴ ἐνέη, 20 μηδὲ φρενῶν ἅψις, 21 μηδὲ τὸ πτύελον κωλύοιτο τῆς ἀνόδου, 22 μηδὲ τὸ οὖρον ἴσχοιτο, 23 τὰ διαχωρήματα δὲ πλαδαρώτερα καὶ ξυσματωδέστερα εἴη. 24 ἐν δὴ τοῖσι τοιουτέοισι πρέποι ἂν μάλιστα μεταβάλλειν ἐκ τοῦ λευκοῦ. 25 καὶ ὁκόσα τουτέοισιν ἐμφερέα. 26 προσξυνιέναι δὲ δεῖ, ὅτι τὰ μὲν ἄνω πάντα καὶ τὰ κατὰ τὴν κύστιν, ἧσσον βλάψει, ἢν ὑδαρέστερος ἦ· 27 τὰ δὲ κατ' ἔντερον καὶ μᾶλλον ὀνήσει, ἢν ἀκρητέστερος ἦ.

XXVI. Μελίκρητον δὲ πινόμενον, διὰ πάσης τῆς νούσου ἐν τῇσιν ὀξείῃσι τὸ ἐπίπαν μὲν τοῖσι πικροχόλοισι καὶ μεγαλοσπλάγχνοισιν ἧσσον ἐπιτήδειον, ἢ τοῖσι μὴ τοιούτοισιν. 2 ἔστι δὲ διψῶδες μὲν ἧσσον τοῦ γλυκέος οἴνου· 3 πνεύμονος δὲ μαλθακτικόν ἐστι, καὶ πτυέλου ἀναγωγὸν μετρίως, καὶ βηχὸς παρηγορικόν. 4 ἔχει γὰρ σμηγματῶδές τι, ὃ μᾶλλον τοῦ καιροῦ καταγλισχραίνει τὸ πτύελον. 5 ἔστι δὲ καὶ διουρητικὸν τὸ μελίκρητον ἱκανῶς, ἢν μή τι τῶν ἀπὸ σπλάγχνων κωλύῃ. 6 καὶ [ἔστι] δὲ καὶ διαχωρητικὸν

laudatum & vituperatum est, in dulcis vini enarratione. 15 Ad vesicam autem magis penetrat quam alterum : & quum urinam cieat, ac semper perrumpat, multum in his morbis profuerit. 16 Nam etsi ad alia incommodius sit altero, attamen quæ in vesica fit ab ipso purgatio, liberat, si quale oportet propellatur. 17 Bonæ vero hæ notæ sunt de vini utilitate ac detrimento, quas seniores me non noverunt. 18 Fulvo vero vino & nigro austero in his morbis ad hæc uti poteris, 19 si capitis gravitas non affuerit, 20 neque mentis perculsio, 21 neque sputum ab ascensu prohibeatur, 22 neque urina suppressa sit; 23 alvi autem egestiones humectiores ac ramentosiores fuerint. 24 In talibus sane, vel maxime convenerit ex albo transmutationem facere, 25 & si qua his similia existunt. 26 Hoc vero insuper intelligere oportet, quod si aquosum fuerit vinum, superiores partes omnes, & eas quæ circa vesicam sunt minus lædet. 27 Verum partibus circa intestinum magis proderit, si meracius fuerit.

XXVI. Aqua vero mulsa si bibatur per totum morbum in acutis morbis, in totum quidem his qui amara bile abundant, ac magna viscera habent, minus commoda est quam his qui tales non sunt. 2 Siticulosa tamen minus est dulci vino. 3 Pulmonem enim mollit, & sputum moderate educit, & tussim lenit. 4 Habet enim vim quandam extersoriam, quæ magis moderato sputum viscosum facit. 5 Urinas etiam sufficienter ciet aqua mulsa, si non aliqua ex visceribus affectio prohibeat. 6 Sed & biliosa

χωρητικὸν κάτω τῶν χολωδέων. 7 [καὶ] ἔστι μὲν ὅτε καλῶν, ἔστι δ' ὅτε καὶ κατακορεστέρων μᾶλλον τοῦ καιροῦ, καὶ ἀφρωδεστέρων. 8 μᾶλλον δὲ τὸ τοιοῦτο τοῖσι χολώδεσί τε καὶ μεγαλοσπλάγχνοισι γίνεται. 9 πτυέλου μὲν οὖν ἀναγωγὴν καὶ πνεύμονος μάλθαξιν τὸ ὑδαρέστερον μελίκρητον ποιέει μᾶλλον. 10 τὰ μέντοι ἀφρώδεα διαχωρήματα, καὶ μᾶλλον τοῦ καιροῦ κατακορέως χολώδεα, καὶ μᾶλλον θερμὰ, τὸ ἄκρητον μᾶλλον τοῦ ὑδαρέος ἄγει. 11 τὸ δὲ τοιόνδε διαχώρημα ἔχει μὲν καὶ ἄλλα σίνεα μεγάλα. 12 οὔτε γὰρ ἐξ ὑποχονδρίων καῦμα σβεννύει, ἀλλὰ ὁρμᾷ· 13 δυσφορίην τε καὶ ῥιπτασμὸν τῶν μελέων ποιέει, 14 ἑλκώδεά τε ἐστὶ καὶ ἐντέρων καὶ ἕδρης. 15 ἀλεξιτήρια δὲ τούτων γεγράψεται. 16 ἄνευ μὲν ῥοφημάτων μελικρήτῳ χρεώμενος ἀντ' ἄλλου ποτοῦ ἐν ταύτῃσι τῇσι νούσοισι πολλὰ ἂν εὐτυχοίης, καὶ οὐκ ἂν πολλὰ ἀτυχοίης. 17 οἷσι δὲ δοτέον, καὶ οἷσι μὴ δοτέον, τὰ μέγιστα εἴρηται, καὶ δι' ὃ οὐ δοτέον.

XXVII. Κατέγνωσται δὲ μελίκρητον ὑπὸ τῶν ἀνθρώπων, ὅτι καταγυιοῖ τοὺς πίνοντας, 2 καὶ διὰ τοῦτο, ταχυθάνατον εἶναι, νενόμισται. 3 ἐκλήθη δὲ τοῦτο διὰ τοὺς ἀποκαρτερέοντας. 4 ἔνιοι γὰρ μελικρήτῳ μόνῳ χρέονται ποτῷ, ὡς τοιούτῳ δῆθεν ἐόντες. τὸ δὲ οὐ παντάπασιν ὧδε ἔχει. 5 ἀλλ' ὕδατος μὲν πολλῷ ἰσχυρότερόν ἐστι πινόμενον μοῦνον, εἰ μὴ ἐκταράσσοι τὴν κοιλίην. 6 ἀτὰρ καὶ οἴνου λευκοῦ καὶ λεπτοῦ καὶ ὀλιγοφόρου καὶ ἀνόσμου, ᾗ μὲν ἰσχυρότερον, ᾗ δὲ ἀσθενέστερον. 7 μέγα μὲν διαφέρει καὶ οἴνου καὶ μέλιτος ἀκρη-

sa per alvum 'magis egerit, quandoque bona, quandoque magis quam convenit colore saturata, ac spumosiora: 8 atque hoc biliosis & magna viscera habentibus magis contingit. 9 Sputi igitur eductionem, & pulmonis mollitionem, aquosior aqua mulsa magis facit. 10 At spumosas alvi egestiones, & biliosa magis quam convenit colorata, ac magis calida, meraca aqua mulsa magis ducit quam aquosa. 11 Talis autem egestio habet quidem '& alia magna nocumenta. 12 Neque enim ex præcordiis ardorem extinguit, 13 sed concitat, & anxiam molestiam, ac membrorum jactationem facit: 14 verum & intestina & sedem exulcerat. 15 Horum autem auxilia scribentur. 16 Qui igitur aqua mulsa utitur, absque sorbitionibus, pro alio potu, in his morbis, hic multum successum percipiet, & non in multis successu destituetur. 17 Quibus autem danda sit, & quibus non, & 'ob quas causas non danda, maxima ex parte dictum est.

XXVII. Damnata vero est aqua mulsa ab hominibus, veluti quæ bibentes ipsam extreme debilitet: 2 & propterea mortem accelerare putata est. 3 Verum hoc propter eos qui seipsos fame conficere constituerunt dictum est. 4 Aliqui enim aqua sola in potu utuntur, nimirum velut talis existat. At hoc non omnino hoc modo se habet. 5 Sed si sola bibatur, multo 'quidem fortior est, quam aqua, si non alvum exturbet. 6 Sed & vino albo ac tenui, & parum aquæ ferente, & inodoro, aliquatenus fortior est, aliquatenus debilior. 7 Multum tamen differt & vini & mellis mera-

ἀκρητότης ἐς ἰσχὺν ἀμφοῖν. [8] ὅμως πίνων γε καὶ διπλάσιον μέτρον οἴνου καὶ ἀκρήτου πίνοι τις, ἢ ὁκόσον μέλι ἐκλείχει, πολλῷ ἂν δήπου ἰσχυρότερος εἴη ὑπὸ τοῦ μέλιτος μούνου. [9] εἰ μὴ ὑποχωροίη τῆς κοιλίης. [10] πολλαπλάσιον γὰρ καὶ τὸ κόπριον διεξίοι ἂν αὐτῷ. [11] εἰ μὲν δὲ ῥοφήματι χρέοιτο πτισάνῃ, ἐπιπίνοι δὲ μελίκρητον ἅλις, πλησμονῶδες ἂν εἴη καὶ φυσῶδες, καὶ τοῖσι κατὰ τὸ ὑποχόνδριον σπλάγχνοισιν ἀξύμφορον. [12] προπινόμενον μὲν πρὸ ῥοφήματος μελίκρητον οὐ βλάπτει, ὡς μεταπινόμενον, ἀλλά τι καὶ ὠφελέει. [13] ἑφθὸν δὲ μελίκρητον, ἰδέσθαι μὲν πολλῷ καλλίον τοῦ ὠμοῦ. [14] λαμπρόν τε γὰρ, καὶ λεπτὸν, καὶ λευκὸν, καὶ διαφανὲς γίγνεται. [15] ἀρετὴν δὲ ἥντινα αὐτῷ προσθέω, διαφέρουσάν τι τοῦ ὠμοῦ, οὐκ ἔχω. [16] οὔτε γὰρ ἥδιόν ἐστι τοῦ ὠμοῦ, ἢν τυγχάνῃ γε τὸ μέλι καλὸν ἐόν. [17] ἀσθενέστερον μέντοι γε τοῦ ὠμοῦ, καὶ ἀκοπρωδέστερόν ἐστι. [18] ὧν οὐδετέρου ἐς προσθήκην δεῖται μελίκρητον. [19] χρηστέον δὲ χρῆσθαι αὐτῷ τοιῷδε ἐόντι, εἰ τὸ μέλι τυγχάνοι πονηρὸν ἐὸν, καὶ ἀκάθαρτον, καὶ μέλαν, καὶ μὴ εὐῶδες. [20] ἀφέλοιτο γὰρ ἂν ἡ ἕψησις τῶν κακοτήτων αὐτοῦ τὰ πλείονα τοῦ αἴσχεος.

XXVIII. Τὸ δὲ ὀξύμελι καλεόμενον ποτὸν, πολλαχοῦ μὲν εὔχρηστον ἐν ταύτῃσι τῇσι νούσοισιν εὑρήσεις ἐόν. [2] καὶ γὰρ ἀναγωγόν ἐστι πτυέλου, καὶ εὔπνοον. [3] καιροὺς μέντοι τοιούσδε ἔχει. [4] τὸ μὲν γὰρ κάρτα ὀξὺ οὐδὲν ἂν μέσον ποιήσειε πρὸς τὰ πτύελα, τὰ μὴ ῥηιδίως ἀνιόντα. [5] εἰ γὰρ ἀνάγοι μὲν τὰ ἐγχρέμπτοντα, καὶ ὄλισθον ἐμποιήσειε, καὶ ὥσπερ διακαλύψειε τὸν βρόγ-

meracitas, ad utriusque vires. [8] Nam etiamsi duplam mensuram vini meraci quis bibat, respectu mellis quod delingat, multo tamen fortior fuerit ex melle solo, [9] si alvum non turbarit. [10] Nam & multo plus stercoris ipsi prodibit. [11] Si tamen prisanæ sorbitione utatur, insuper autem aquam mulsam bibat, valde ipsum replebit ac flatus excitabit, & visceribus circa præcordia incommoda erit. [12] At si ante sorbitionem aqua mulsa bibatur, non ita lædit velut si insuper bibatur, sed etiam aliquo modo proderit. [13] Cæterum cocta aqua mulsa, aspectu quidem multo melior est quam cruda. [14] Splendida enim & tenuis, albaque ac pellucida fit. [15] Sed quam ipsi virtutem attribuam, qua crudam præcellat, non habeo. [16] Neque enim jucundior est quam cruda, si mel bonum esse contigerit: [17] debilior tamen, & minus stercoris ducens: [18] quorum neutro ut castigetur, aqua mulsa opus habet. [19] Proxime vero utendum tali cocta, si mel pravum fuerit, & impurum, & nigrum, & non boni odoris. [20] Coctura enim majorem partem turpitudinis pravitatis ipsius detrahere poterit.

XXVIII. At vero acetum mulsum appellatum si bibatur, sæpe quidem commodum esse in his morbis comperies. [2] Nam & sputum educit, & facilem spirationem facit. [3] Tempora vero hujusmodi habet. [4] Etenim quod valde acre est, nihil moderati fecerit, ad sputa quæ non facile prodeunt. [5] Si enim educeret ea quæ stridulam asperitatem faciunt, & lubricitatem induceret, & guttur velut dilataret, pulmo-

βρόγχον, παρηγορήσειεν ἂν τὸν πλεύμονα. [6] μαλθακτικὸν γὰρ αὐτέου. [7] καὶ εἰ μὲν ταῦτα συγκυρήσειε, μεγάλην ἂν ὠφελείην ποιήσειεν. [8] ἔστι δ' ὅτε τὸ κάρτα ὀξὺ οὐκ ἐκράτησε τῆς ἀναγωγῆς τοῦ πτυέλου, ἀλλὰ προσεγλισχρηνέ τε καὶ ἔβλαψε. [9] μάλιστα δὲ τοῦτο πάσχουσιν, οἵπερ καὶ ἄλλως ὀλέθριοί εἰσι [10] καὶ ἀδυνατέουσι βήσσειν τε καὶ ἀποχρέμπτεσθαι τὰ ἐνεχόμενα. [11] ἐς μὲν οὖν τόδε προτεκμαίρεσθαι χρὴ τὴν ῥώμην τοῦ κάμνοντος, καὶ ἢν ἐλπίδα ἔχῃ, διδόναι.
20 [12] διδόναι δὲ, ἢν διδῷς, ἀκροχλίαρον, καὶ κατ' ὀλίγον τὸ τοιόνδε, καὶ μὴ λάβρως. [13] τὸ μέντοι ὀλίγον ἔποξυ, ὑγραίνει μὲν τὸ στόμα καὶ φάρυγγα· [14] ἀναγωγὸν δὲ πτυέλου ἐστὶ, καὶ ἄδιψον· [15] ὑποχονδρίῳ δὲ, καὶ σπλάγχνοισι τοῖσι ταύτῃ, εὐμενές. [16] καὶ γὰρ τὰς ἀπὸ μέλιτος βλάβας ταύτας κωλύει. [17] τὸ γὰρ χολῶδες ἐν μέλιτι κολάζεται. [18] ἔστι δὲ καὶ φυσέων καταῤῥηκτικὸν, καὶ ἐς οὔρησιν προτρεπτικόν. [19] ἐντέρου μέντοι τῷ κάτω μέρει πλαδαρώτερον, καὶ ξύσματα ἐμποιέει. [20] ἔστι
25 δ' ὅτε καὶ φλαῦρον τοῦτο ἐν τῇσιν ὀξείῃσι νούσοισι γίνεται, μάλιστα δὲ, ὅτι φύσας κωλύει περαιοῦσθαι, ἀλλὰ παλινδρομέειν ποιέει. [21] ἔτι δὲ καὶ ἄλλως γυιοῖ, καὶ τὰ ἀκρωτήρια ψύχει. [22] ταύτην καὶ οἶδα μούνην δι' ὀξυμέλιτος γινομένην βλάβην, ἥτις καὶ ἀξίη γραφῆς. [23] ὀλίγον δὲ τὸ τοιόνδε πίνειν, νυκτὸς μὲν καὶ νήστει πρὸ ῥοφήματος ἐπιτήδειον προπίνεσθαι. [24] ἀτὰρ καὶ, ὁκόταν πολὺ μετὰ ῥόφημα ᾖ, οὐδὲν κωλύει πίνειν.

XXIX. Τοῖσι δὲ ποτῷ μούνῳ διαιτωμένοισιν ἄνευ ῥοφημά-
30 των, διὰ τόδε οὐκ ἐπιτήδειόν ἐστιν, αἰεὶ

monem utique leniret. [6] Ipsum enim mollit: [7] & siquidem hæc 65 contingerent, magnam sane utilitatem afferret. [8] Aliquando vero id quod valde acre est, eductionem sputi non obtinet, sed insuper viscosum id facit, & lædit. [9] Maxime autem hoc perpetiuntur hi qui etiam alias perniciose habent, [10] & qui neque tussire, neque exscreare inhærentia possunt. [11] Ad hoc igitur vires ægroti insuper conjectare oportet, & si spem de ipso habeas, exhibere. [12] Exhibere autem oportet, si dederis, summe tepidum: 70 atque tale paulatim, & non large. [13] Quod vero parum acre est, humectat quidem os & fauces, [14] sputum item educit, & sitim sedat, [15] & præcordio & visceribus quæ sunt hac parte lene est, [16] & detrimenta ex melle hac parte prohibet. [17] Quod enim biliosum est in melle, castigat. [18] Flatus etiam erumpere facit, & ad mictionem proritat. [19] Intestini tamen infernam partem humectiorem facit, & ramenta inducit. [20] Quandoque vero 75 etiam malum hoc fit in acutis morbis, maxime quidem, quod flatum penetrare prohibet, imo recurrere facit. [21] Insuper autem & alias debilitat, & extremas partes frigefacit. [22] Atque hanc solam læsionem ex aceto mulso contingere novi, quæ sane digna sit ut scribatur. [23] Parum autem de hujusmodi potu, nocte & jejuno ante sorbitionem præbibendum dare commodum est. [24] Sed & ubi multum temporis post sorbitionem intercessit, bibere nihil prohibet. 80

XXIX. His vero qui solo potu degunt absque sorbitionibus, propterea non est commodum semper

μὲν καὶ διὰ παντὸς χρέεσθαι τούτῳ, [2] μάλιστα μὲν διὰ ξύσιν ἢ στηριγμὸν τοῦ ἐντέρου. [3] ἀκόπρῳ γὰρ ἐόντι μᾶλλον ἐμπνευσείη ἄν. [4] καὶ ταύτης κενεαγγείης παρεούσης. [5] ἔπειτα δὲ καὶ τὸ μελίκρητον τῆς ἰσχύος ἀφαιρέοιτο ἄν. [6] ἢν μέντοι ὀνήιστον φαίνηται πρὸς τὴν ξύμπασαν νοῦσον, πολλῷ ποτῷ τούτῳ χρέεσθαι, ὀλίγον χρὴ τὸ ὄξος παραχέειν, ὅσον μοῦνον γινώσκεσθαι. [7] οὕτω γὰρ καί, ἃ φιλέει βλάπτειν, ἥκιστα ἂν βλάπτοι· καί, ἃ δεῖται προσωφελέειν, προσωφελοίη ἄν. [8] ἐν κεφαλαίῳ δὲ εἰρῆσθαι, αἱ ἀπὸ ὄξεος ὀξύτητες πικροχόλοισι μᾶλλον, ἢ μελαγχολικοῖσι ξυμφέρουσι. [9] τὰ μὲν γὰρ πικρὰ διαλύεται καὶ ἐκφλεγματοῦται, μετεωριζόμενα ὑπ' αὐτοῦ. [10] τὰ δὲ μέλανα ζυμοῦται, καὶ μετεωρίζεται, καὶ πολλαπλασιοῦται. [11] ἀναγωγὸν γὰρ μελάνων ὄξος. [12] γυναιξὶ δὲ τὸ ἐπίπαν πολεμιώτερον, ἢ ἀνδράσιν, ὄξος. [13] ὑστεραλγὲς γάρ ἐστι.

XXX. Ὕδατι δὲ ποτῷ ἐν τῇσιν ὀξείῃσι νούσοισιν ἄλλο μὲν οὐδὲν ἔχω ἔργον, ὅ,τι προσθῶ. [2] οὔτε γὰρ βηχὸς παρηγορικόν ἐστιν ἐν τοῖσι περιπλευμονικοῖσιν, οὔτε πτυέλου ἀναγωγόν, [3] ἀλλ' ἧσσον τῶν ἄλλων, εἴ τις διὰ παντὸς ὕδατι ποτῷ χρέοιτο. [4] μεσηγὺ μέντοι ὀξυμέλιτος καὶ μελικρήτου ὕδωρ ἐπιρροφεόμενον ὀλίγον πτυέλου ἀναγωγόν ἐστι, [5] διὰ τὴν μεταβολὴν τῆς ποιότητος τῶν ποτῶν. [6] πλημμυρίδα γάρ τινα ἐμποιέει. [7] ἄλλως δὲ οὔτε δίψαν παύει, ἀλλ' ἐπιπικραίνει. [8] χολῶδες γὰρ φύσει χολώδεϊ, καὶ ὑποχονδρίῳ κακόν. [9] καὶ κάκιστον ἑωυτοῦ, καὶ χολωδέστατον, καὶ φιλαδυναμώτατον, ὅταν ἐς κενεότητα ἐσέλθῃ. [10] καὶ σπληνὸς δὲ αὐξητικόν,

semper & perpetuo hoc uti, [2] maxime propter rasuram aut exasperationem intestini. [3] Quum enim stercore vacuum sit, magis utique hæc induxerit: [4] & quum vasorum vacuatio adsit, [5] postea etiam aqua mulsa vires detraxerit. [6] Si tamen opitulari apparuerit ad totum morbum multus hujus potus usus, parum aceti affundere oportet, ut saltem cognosci possit. [7] Ita enim & ea quæ lædere solet, minime læserit: & his quæ auxilio opus habent, opem tulerit. [8] Cæterum ut in summa dicatur, acredines sive aciditates ex aceto, amara bile abundantibus magis conferunt, quam atrabiliariis. [9] Amara enim dissolvuntur, & in pituitam transeunt, dum ab ipso attolluntur. [10] Nigra vero fermentantur, & attolluntur ac multiplicantur. [11] Acetum enim nigra sursum ducit. [12] Mulieribus autem omnino magis adversatur acetum, quam viris. [13] Dolores enim uteri inducit.

XXX. Aquæ porro potui in acutis morbis, nullum aliud opus habeo quod attribuam. [2] Neque enim lenit tussim in peripneumonicis, neque sputum educit, [3] sed minus quam alia, si quis semper aquæ potu utatur. [4] Si tamen inter acetum mulsum & aquam mulsam, parum aquæ absorbeatur, sputum educit, [5] propter qualitatis potuum transmutationem. [6] Inundationem enim quandam inducit, [7] alias autem neque sitim sedat, sed exacerbat. [8] Est enim naturæ biliosæ biliosa, & præcordio mala, [9] imo pessima fit ac biliosissima, & vires maxime prosternit, ubi in vacuitatem ingressa fuerit. [10] Sed & splenem auget & hepar, ubi

τικὸν, καὶ ἥπατός ἐστιν, ὁκόταν πεπυρωμένον ᾖ· καὶ ἐγκλυδαστικόν τι καὶ ἐπιπολαστικόν. [11] βραδύπορόν τε γάρ ἐστι, διὰ τὸ ὑπόψυχρον καὶ ἄπεπτον εἶναι· καὶ οὔτε διαχωρητικὸν, οὔτε διουρητικόν. [12] προσβλάπτει δέ τοι καὶ διὰ τόδε, ὅτι ἄκοπρόν ἐστι φύσει. [13] ἢν δὲ δὴ καὶ ποδῶν ψυχρῶν ποτὲ ἐόντων ποθῇ, πάντα ταῦτα πολλαπλασίως βλάπτει, ἐς ὅ, τι ἂν αὐτέων ὁρμήσῃ. [14] ὑποπτεύσαντι μέν τοι ἐν ταύτῃσι τῇσι νούσοισιν ἢ καρηβαρίην ἰσχυρὴν, ἢ φρενῶν ἅψιν, παντάπασιν οἴνου ἀποσχετέον. [15] ὕδατι δὲ ἐν τῷ τοιῷδε χρηστέον, [16] ἢ ὑδαρέα καὶ λευκὸν παντελῶς διδόντα οἶνον, καὶ ἄοσμον παντάπασι, [17] καὶ μετὰ τὴν πόσιν αὐτοῦ, ὕδωρ μεταποτέον ὀλίγον. [18] οὕτω γὰρ ἂν ἧσσον τὸ ἀπὸ τοῦ οἴνου μένος ἅπτοιτο τῆς κεφαλῆς καὶ γνώμης. [19] ἐν οἷσι δὲ μάλιστα αὐτῶν ὕδατι ποτῷ χρηστέον, καὶ ὁκότε πολλῷ καὶ ὅκου μετρίῳ, καὶ ὅκου ψυχρῷ, καὶ ὅκου θερμῷ, τὰ μέν που πρόσθεν εἴρηται, τὰ δὲ ἐν αὐτέοισι τοῖσι καιροῖσι ῥηθήσεται. [20] περὶ δὲ τῶν ἄλλων ποτῶν, οἷον τὸ κρίθινον, [21] καὶ τὰ ἀπὸ χλοίης ποιεύμενα, [22] καὶ τὰ ἀπὸ σταφίδος, [23] καὶ στεμφύλων, [24] καὶ πυρῶν, [25] καὶ κνίκου, [26] καὶ μύρτων, [27] καὶ ῥοιῆς. [28] καὶ τῶν ἄλλων, [29] ὅτε οὖν ἄν τινος αὐτέων καιρὸς ᾖ χρέεσθαι, γεγράψεται παρ᾽ αὐτῷ τῷ νοσήματι, [30] ὅκως τε καὶ τἄλλα τῶν συνθέτων φαρμάκων.

XXXI. Λουτρὸν δὲ συχνοῖσι τῶν νοσημάτων ἁρμόζει ἂν χρεομένοισιν, ἐς τὰ μὲν ξυνεχέως, ἐς τὰ δ᾽ οὔ. [2] ἔστι δὲ ὅτε ἧσσον χρηστέον, διὰ

ubi inflammatum fuerit, & fluctuat ac superinnatat. [11] Nam & tardi transitus est, eo quód frigida est & cruda ac incoctilis, & neque per alvum secedit, neque per urinas transit. [12] Insuper autem & propterea læsionem inducit, quod à natura stercus non subducit. [13] Si vero etiam dum adhuc frigidi sunt pedes, aliquando bibita fuerit, hæc omnia multo plus lædit, ad quodcunque tandem ipsorum pervenerit. [14] Ubi tamen in his morbis suspicatus fueris, aut capitis gravitatem vehementem, aut mentis percussionem, penitus à vino abstinendum est, [15] & aqua in tali utendum: [16] aut vinum aquosum & album penitus dandum, & penitus inodorum, [17] & post ipsius potum aqua modica insuper bibenda. [18] Ita enim robur vini caput & mentem minus percellet. [19] In quibus autem potu ipsius maxime utendum sit, & quando valde multa, & quando moderata, & quando frigida, & quando calida, partim prius dictum est, partim pro temporis occasione dicetur. [20] Cæterum de reliquis potibus, qualis est hordeacea aqua, [21] & qui ex herbis fiunt, [22] & qui ex uva passa, [23] & uvarum expressarum retrimentis, [24] & ex tritico, [25] & cnico, [26] & myrti baccis, [27] & malo punico, [28] & de aliis, [29] ubi alicujus ipsorum usus contigerit, scribetur circa ipsum morbum: [30] quemadmodum etiam de aliis compositis medicamentis.

XXXI. Balneum vero in multis morbis opem tulerit eo utentibus, ad aliquos quidem assidue, ad aliquos non item. [2] Quandoque vero minus eo utendum est,

διὰ τὴν ἀπαρασκευασίην τῶν ἀνθρώπων. [3] ἐν ὀλίγῃσι γὰρ οἰκίῃσι παρεσκεύασται τὰ ἄρμενα καὶ οἱ θεραπεύοντες, ὡς δεῖ. [4] εἰ δὲ μὴ παγκάλως λούοιτο, βλάπτοιτ' ἂν οὐ σμικρά. [5] καὶ γὰρ σκέπης ἀκάπνου δεῖ, καὶ ὕδατος δαψιλέος, καὶ τοῦ λουτροῦ συχνοῦ, καὶ μὴ λίην λάβρου, ἢν γε μὴ οὕτω δέοι. [6] καὶ μᾶλλον μὲν μὴ σμήχεσθαι. [7] ἢν δὲ σμήχηται, θερμῷ χρῆσθαι αὐτέῳ, καὶ πολλαπλασίῳ, ἢ ὡς νομίζεται, σμήγματι. [8] καὶ προσκαταχεῖσθαι μὴ ὀλίγῳ, καὶ ταχέως μεταχαταχεῖσθαι. [9] δεῖ δὲ καὶ τῆς ὁδοῦ βραχείης ἐς τὴν πύελον, καὶ ἐς εὐέμβατον, καὶ ἐς εὐέκβατον. [10] εἶναι δὲ καὶ τὸν λουόμενον κόσμιον καὶ σιγηλὸν, [11] καὶ μηδὲν αὐτὸν προσεργάζεσθαι, [12] ἀλλ' ἄλλους καὶ καταχέειν καὶ σμήχειν, [13] καὶ μετακέρασμα πολλὸν ἡτοιμάσθαι, [14] καὶ τὰς ἐπαντλήσιας ταχείας ποιέεσθαι, [15] καὶ σπόγγοις χρῆσθαι ἀντὶ στλεγγίδος, [16] καὶ μὴ ἄγαν ξηρὸν χρίεσθαι τὸ σῶμα.

XXXII. Κεφαλὴν μέντοι ἀνεξηράνθαι χρὴ, ὡς οἷόν τε μάλιστα, ὑπὸ σπόγγου ἐκμασσομένην, [2] καὶ μὴ διαψύχεσθαι τὰ ἄκρεα, μήτε τὴν κεφαλὴν, μήτε τὸ ἄλλο σῶμα. [3] καὶ μήτε νεοῤῥόφητον, μήτε νεόποτον λούεσθαι. [4] μήτε ῥοφεῖν, μήτε πίνειν ταχὺ μετὰ τὸ λουτρόν. [5] μέγα μέντοι μέρος χρὴ νέμειν τῷ κάμνοντι, ἢν ὑγιαίνων ᾖ φιλόλουτρος ἄγαν, καὶ εἰθισμένος λούεσθαι. [6] καὶ γὰρ ποθέουσι μᾶλλον οἱ τοιοίδε, καὶ ὠφε-

est, propterea quod homines ad hoc sint imparati. [3] In paucis enim domibus præparata sunt necessaria instrumenta, & nec ministri velut opus est parati habentur. [4] Si vero non omnino bene quis lavetur, non modicam læsionem incurret. [5] Nam & tugurio fumum non habente opus est, & aqua larga, & balneo multo, & non valde large affuso, si sane non ita opus fuerit. [6] Et defrictione quidem potius utendum non est. [7] Si vero defricetur, calido utendum est ipso defrictorio medicamento, eoque multiplici magis quam alias receptum est, [8] & insuper non pauca aqua perfundendum, & cito perfundendum. [9] Brevi quoque via ad solium opus est, & ut facilis sit inscensus, & facilis item exitus: [10] oportet autem eum qui lavatur esse moderatum ac taciturnum, [11] & nihil ipsum operari, [12] sed alios & perfundere, & defricare. [13] Debet etiam postea multa aquæ mixtura parata esse, [14] & celeres perfusiones fieri, [15] & spongiis utendum est pro strigili, [16] & non valde siccum inungendum est corpus.

XXXII. Caput tamen resiccatum esse oportet, quantum ejus fieri potest maxime, ita ut spongia extergeatur: [2] & neque perfrigerari caput oportet, neque extremas partes, neque reliquum corpus: [3] & neque eum qui recens sorbitionem accepit: [4] neque eum qui recens potum sumpsit, lavare oportet: [5] & neque sorbere, neque bibere cito post balneum. [5] Magnam tamen partem ægro tribuere convenit, si sanus balnei valde amans fuit, & lavari adsuetus. [6] Tales enim magis appetunt, & loti utilitatem sen-

ὠφελέονται λουόμενοι, καὶ βλάπτονται μὴ λουόμενοι. 7 ἁρμόζει δὲ ἐν περιπλευμονίῃσι μᾶλλον, ἢ ἐν καύσοισι τὸ ἐπίπαν. 8 καὶ γὰρ ὀδύνης, τῆς κατὰ πλευρὴν καὶ στήθεα καὶ μετάφρενον, παρηγορικόν ἐστι τὸ λουτρὸν, 9 καὶ πτυέλου πεπαντικὸν καὶ ἀναγωγὸν, 10 καὶ εὔπνοον, 11 καὶ ἄκοπον· μαλθακτικὸν γὰρ καὶ ἄρθρων, καὶ τοῦ ἐπιπολαίου δέρματος. 12 καὶ οὐρητικὸν δὲ, 13 καὶ καρηβαρίην λύει, καὶ ῥῖνας ὑγραίνει. 14 ἀγαθὰ μὲν οὖν λουτρῷ τοσαῦτα πάρεστιν, ὧν πάντων δεῖ. 15 ἢν μέντοι τῆς παρασκευῆς ἐνδεής τις ᾖ, ἑνὸς ἢ πλειόνων, κίνδυνος μὴ λυσιτελέειν τὸ λουτρὸν, ἀλλὰ μᾶλλον βλάπτειν. 16 ἓν γὰρ ἕκαστον αὐτέων μεγάλην φέρει τὴν βλάβην, μὴ παρασκευασθὲν ὑπὸ τῶν ὑπουργῶν ὡς δεῖ. 17 ἥκιστα δὲ λούειν καιρὸς, οἷσιν ἡ κοιλίη ὑγροτέρη τοῦ καιροῦ ἐν τῇσι νούσοισιν. 18 ἀτὰρ οὐδὲ, οἷσιν ἕστηκε μᾶλλον τοῦ καιροῦ, καὶ μὴ προλελύσθη. 19 ἀλλ' οὐδὲ τοὺς γεγυιωμένους χρὴ λούειν, 20 οὐδὲ δὴ τοὺς ἀσώδεας, ἢ ἐμετικοὺς, 21 οὐδὲ τοὺς ἐπανερευγομένους χολῶδες, 22 οὐδὲ τοὺς ἐκ ῥινῶν αἱμοῤῥαγέοντας, εἰ μὴ ἔλασσον τοῦ καιροῦ ῥέοι. 23 τοὺς δὲ καιροὺς οἶδας. 24 ἢν δὲ ἔλασσον τοῦ καιροῦ ῥέοι, λούειν, ἤν τε ὅλον τὸ σῶμα πρὸς τὰ ἄλλα ἀρήγῃ, ἤν τε τὴν κεφαλὴν μοῦνον.

XXXIII. 1 Ἢν οὖν αἱ παρασκευαὶ ἔωσιν ἐπιτήδειοι, καὶ ὁ κάμνων μέλλῃ εὖ δέξασθαι τὸ λουτρὸν, λούειν χρὴ ἑκάστης ἡμέρης. 2 τοὺς δὲ φιλολουτρέοντας καὶ δὶς τῆς ἡμέρης εἰ λούοις, οὐκ ἂν ἁμαρτάνοις. 3 χρέεσθαι δὲ λουτροῖσι, τοῖσιν ὅλῃσι πτισάνῃσι χρεομένοισι παρὰ πολὺ μᾶλλον ἐνδέχεται, ἢ τοῖσι χυλῷ μοῦνον

sentiunt, & non loti læduntur. 7 Conveniunt autem in totum magis peripneumoniis, quam febribus ardentibus. 8 Nam dolorem lateris & pectoris ac dorsi balneum lenit, 9 & sputum maturum facit, ac educit: 10 & facilem spirationem reddit, 11 & lassitudinem eximit, articulos enim & cutis superficiem mollit. 12 Sed & urinam ciet, 13 & capitis gravitatem solvit, & nares humectat: 14 tot igitur bona balneo adsunt, quibus omnibus opus est. 15 Si vero apparatus penuria aliqua fuerit, in una re vel pluribus, periculum est ne magis lædat balneum quam prosit. 16 Singula enim ex ipsis magnum detrimentum afferunt, si non à ministris velut convenit præparata fuerint. 17 Minime vero tempestivum est eos lavare, quibus alvus in morbis liquidior justo est: 18 itemque eos quibus plus justo adstricta est, & non prius subiit. 19 Sed neque debilitatos lavare oportet, 20 neque ex ciborum fastidio nauseantes, aut vomentes, 21 neque eos qui biliosum eructant, 22 neque eos quibus sanguis ex naribus erumpit, nisi minus quam pro occasione convenit, fluat. 23 Occasiones autem nosti. 24 Si vero minus, quam pro occasione fluat, lavare expedit, sive totum corpus ad reliqua inde opem sentiat, sive caput solum.

XXXXIII. Si igitur præparationes commodæ fuerint, & æger bene suscepturus est balneum, quotidie lavare convenit. 2 Eos vero qui balneo delectantur, etiamsi bis in die laveris, nihil peccaveris. 3 Cæterum balneis uti, multo magis licet his qui tota ptisana utuntur, quam his qui

μοῦνον χρεομένοισιν. ⁴ ἐνδέχεται δὲ καὶ τούτοισιν ἐνίοτε. ⁵ ἥκιστα δὲ καὶ τοῖσι ποτῷ μούνῳ χρεομένοισιν. ⁶ ἔστι δὲ καὶ οἷσι τούτων ἐνδέχεται. ⁷ τεκμαίρεσθαι δὲ χρὴ τοῖσι προγεγραμμένοισιν, οὕς τε μέλλει λουτρὸν ὠφελέειν, ἐν ἑκάστοισι τῶν τρόπων τῆς διαίτης, οὕς τε μή. ⁸ οἷσι μὲν γὰρ προσδέεταί τινος χρήματος τουτέων, ὁκόσα λουτρὸν ἀγαθὰ ποιέει, οὐ λούειν, καὶ ὅσα αὖ λουτρῷ ὠφελέεται. ⁹ οἷσι δὲ τούτων μηδενὸς προσδεῖ, καὶ πρόσεστιν αὐτέοισι τῶν σημείων, ἐφ' οἷσι λούεσθαι ξυμφέρει, δεῖ, λούειν.

XXXIV. Ἀρχὴ τῶν νόθων. ² Περὶ καύσου. Καῦσος δὲ γίνεται, ὁκόταν ἀναξηρανθέντα τὰ φλέβια ἐν θερινῇ ὥρῃ ἐπισπάσηται δριμέας καὶ χολώδεας ἰχῶρας ἐς ἑωυτά. ³ καὶ πυρετὸς πολὺς ἴσχει, ⁴ τό, τε σῶμα, ὡς ὑπὸ κόπου ἐχόμενον, κοπιᾷ καὶ ἀλγέει. ⁵ γίνεται δὲ ὡς ἐπιτοπουλὺ καὶ ἐκ πορείης μακρῆς, καὶ δίψεος μακροῦ, ὁκόταν ἀναξηρανθέντα τὰ φλέβια δριμέα καὶ θερμὰ ῥεύματα ἐπισπάσηται. ⁶ γίνεται δὲ ἡ γλῶσσα τρηχείη, καὶ ξηρὴ, καὶ μέλαινα κάρτα. ⁷ καὶ τὰ περὶ τὴν νηδὺν δακνόμενος ἀλγέει. ⁸ τά τε ὑποχωρήματα ἔξυγρα καὶ ὠχρὰ γίνεται. ⁹ καὶ δίψα πολλὴ ἔνεστι, ¹⁰ καὶ ἀγρυπνίη. ¹¹ ἐνίοτε δὲ καὶ παραλλάξιες φρενῶν. ¹² τῷ τοιῷδε δὲ δίδου πίνειν ὕδωρ τε καὶ μελίκρητον ἑφθὸν ὑδαρὲς, ὁκόσον ἐθέλει. ¹³ κἢν πικρὸν τὸ στόμα γίνηται, ἐμέειν ξυμφέρει, καὶ τὴν κοιλίην ὑποκλύσαι. ¹⁴ ἢν δὲ μὴ πρὸς ταῦτα λύηται, γάλα ὄνου ἑψήσας, κάθαιρε. ¹⁵ ἁλμυρὸν δὲ μηδὲν, μηδὲ δριμὺ προσφέρειν· οὐ γὰρ ὑποίσει. ¹⁶ ῥοφήματα δὲ, ἕως ἂν ἔξω τῶν κρισίμων γένηται, μὴ δίδου. ¹⁷ κἢν αἷμα ἐκ τῶν ῥινῶν ῥυῇ, λύεται τὸ πάθος. ¹⁸ κἢν ἱδρῶτες ἐπιγένωνται κρίσιμοι, γνήσιοι,

qui solo utuntur succo. ⁴ Licet autem & his aliquando. ⁵ Minime vero his qui potu solo utuntur. ⁶ Sunt tamen ex his quoque quibus licet. ⁷ Conjectare vero ex præscriptis oportet, & quibus balneum in singulis victus modis profuturum est, & quibus non. ⁸ Quibus enim aliquid horum deest commodorum, quæ balneum facit, & quæ balneo commodant, lavare non oportet. ⁹ Quibus vero nihil horum deest, & adsunt ipsis signa in quibus lavari conducit, lavare oportet.

XXXIV. ² Febris autem ardens fit, quum resiccatæ venulæ, hora æstiva acres ac biliosos serosos humores in seipsas attraxerint: ³ & febris multa detinet, ⁴ & corpus velut ex ossium lassitudine detentum, delassatur ac dolet. ⁵ Fit autem plerunque & ex longo itinere, & longa siti, quum resiccatæ venulæ acres ac calidas fluxiones in seipsas attraxerint. ⁶ Fit autem lingua aspera ac sicca, & valde nigra, ⁷ & dum circa ventrem mordetur, dolet: ⁸ & alvi egestiones valde liquidæ ac pallidæ fiunt: ⁹ & sitis vehemens inest: ¹⁰ itemque vigiliæ. ¹¹ Aliquando etiam mentis emotiones. ¹² Huic & aquam, & aquam mulsam aquosam coctam, quantum voluerit, bibendam dato: ¹³ etsi amarum fuerit os, vomere conducit, & ventrem per clysterem subluere. ¹⁴ Si vero ad hæc non solvatur, lacte asinino cocto purgato. ¹⁵ Salsum autem nihil, neque acre exhibeto. Non enim sufferet. ¹⁶ Sorbitionem vero, donec extra judicationes fuerit, ne dato. ¹⁷ Et si sanguis ex naribus fluxerit, solvitur affectio: ¹⁸ itemque si sudores accedant judicatorii, genuini,

γνήσιοι, μετ' οὔρων λευκῶν καὶ παχέων, καὶ λείων ὑφισταμένων· [19] κἢν ἀπόστημά που γένηται. [20] ἢν δ' ἄνευ τούτων λυθῇ, ὑποστροφὴ πάλιν ἔσται τἀρρωστίης, [21] ἢ ἰσχίων ἢ σκελέων ἄλγημα ξυμβήσεται· [22] καὶ πλύσεται παχέα, ἢν μέλλῃ ὑγιὴς ἔσεσθαι.

XXXV. Καύσου γένος ἄλλο. [2] Ἡ κοιλίη ὑπάγουσα, δίψης ἐστὶ μεστή, [3] γλῶσσα τρηχέη, ξηρή, ἁλυκώδης, [4] οὔρων ἀπόληψις, [5] ἀγρυπνίη, [6] ἀκρωτήρια ἐψυγμένα. [7] τῷ τοιούτῳ, ἢν μὴ αἷμα ἐκ ῥινὸς ῥυῇ, [8] ἢ ἀπόστημα περὶ τὸν τράχηλον γένηται, [9] ἢ σκελέων ἄλγημα, [10] καὶ πλύσματα παχέα πλύσῃ· [11] ταῦτα δέ, ξυστάσης τῆς κοιλίης, γίνεται· [12] ἢ ἰσχίου ὀδύνη, [13] ἢ αἰδοίου πελίωμα, οὐ κρίνεται. [14] καὶ ὄρχις ἐντεταθεὶς κρισιμόν. [15] ῥοφήματα ἐπισπαστικὰ δίδου. [16] τὰ δ' ὀξέα πάθεα, φλεβοτομήσεις, ἢν ἰσχυρὸν φαίνηται τὸ νόσημα, καὶ οἱ ἔχοντες ἀκμάζωσι τῇ ἡλικίῃ, καὶ ῥώμη παρῇ αὐτέοισιν. [17] ἢν μὲν οὖν συνάγχη ᾖ, καὶ ἐκλεικτοῖσιν ἀνακάθαιρε, εἴτ' ἄλλο τι τῶν πλευριτικῶν. [18] ἢν δὲ ἀσθενέστεροι φαίνωνται, ἢν καὶ πλέω τοῦ αἵματος ἀφέλῃς, κλυσμῷ μετὰ τὴν κοιλίην χρέεσθαι, διὰ τρίτης ἡμέρης, [19] ἕως ἂν ἐν ἀσφαλείῃ γένοιτο ὁ νοσέων, [20] καὶ λιμῷ χρήζοι.

XXXVI. Φλεγμαίνοντα ὑποχόνδρια μὴ πνευμάτων ἀπολήψει, φρενῶν ἐντάσιες, ἢ πνευμάτων προστάσιες, ὀρθοπνοίης ξηρῆς, οἷσι μὴ πύον ὕπεστιν, [2] ἀλλὰ ὑπὸ πνευμάτων ἀπολήψιος τὰ παθήματα ταῦτα ὑπογίνεται, [3] μάλιστα δὲ ἥπατος περιωδυνίαι, καὶ σπληνὸς βάρεα, καὶ ἄλλαι φλεγμασίαι τε καὶ ὑπὲρ φρενῶν περιωδυνίαι

nuini, cum urinis albis & crassis, ac subsidentiis lævibus, [19] etsi abscessus aliquis fiat: [20] si vero absque his soluta fuerit, recidiva rursus ægritudinis continget: [21] aut coxæ, aut crurum dolor emerget, [22] & crassa expuet, si sanus futurus est.

XXXV. Febris ardentis genus aliud. [2] Alvus subit, sitis plena est, [3] lingua aspera, sicca, salsuginosa. [4] Urinæ interceptio, [5] vigilia, [6] extremitates frigefactæ. [7] Tali si non sanguis ex naribus fluxerit, [8] aut abscessus circa collum fiat, [9] aut crurum dolor, [10] & sputa crassa spuerit ([11] hæc autem suppressa alvo fiunt) [12] aut coxæ dolor, [13] aut pudendi livor, non non judicatur: [14] & testis intensus judicatorium signum est. [15] Sorbitiones attractorias dato. [16] Verum in acutis morbis venam secabis, si vehemens appareat morbus, & qui ipsum habeant, in vigoris ætate fuerint, & robur ipsis affuerit. [17] Siquidem igitur angina fuerit, sive aliquis alius ex pleuriticis morbus, eclegmatis delinctu repurgato. [18] Si vero debiliores appareant, si plus de sanguine detraxeris, infuso alvi per clysterem tertio quoque die utere, [19] donec in tuto fuerit æger, [20] aut etiam fame opus habeat.

XXXVI. Præcordia inflammata non ex flatuum interceptione: septi transversi intensiones, aut spirituum protensiones: in rectæ cervicis spiratione sicca; quibus pus non subest: [2] verum ex flatuum interceptione, affectiones hæ accedunt. [3] Maxime autem & hepatis dolores, & splenis gravitates, & aliæ inflammationes, & supra septum transversum dolores, ac morborum collectiones, solvi

δυνίαι τε καὶ ξυστροφαὶ νοσημάτων οὐ δύνανται λύεσθαι, ἤν τις πρόσθεν ἐπιχειρῇ φαρμακεύειν. 4 ἀλλὰ φλεβοτομίη τῶν τοιῶνδε ἡγεμονικόν ἐστι. 5 ἔπειτα δὲ ἐπὶ κλυσμῶν, ἢν μὴ μέγα καὶ ἰσχυρὸν τὸ νόσημα εἴη. 6 εἰ δὲ μή, καὶ ὕστερον φαρμακείης δεῖ. 7 δεῖται δὲ ἀσφαλείης καὶ μετριότητος 25 μετὰ φλεβοτομίην φαρμακείη. 8 ὁκόσοι δὲ τὰ φλεγμαίνοντα ἐν ἀρχῇ τῶν νόσων εὐθέως ἐπιχειρέουσι λύειν φαρμακείῃ, τοῦ μὲν ξυντεταμένου καὶ φλεγμαίνοντος οὐδὲν ἀφαιρέουσιν· 9 οὐ γὰρ ἐνδιδοῖ ὠμὸν ἐὸν τὸ πάθος· 10 τὰ δὲ ἀντέχοντα τῷ νοσήματι καὶ ὑγιέα ξυντήκουσιν. 11 ἀσθενέος δὲ τοῦ σώματος γενομένου, τὸ νόσημα ἐπικρατεῖ. 12 ὁκόταν δὲ τὸ νόσημα ἐπικρατήσῃ τοῦ σώματος, τὸ τοιόνδε ἀνιάτως ἔχει.

XXXVII. Τὸ δὲ ἄφωνον τινὰ ἐξαίφνης γίνεσθαι, φλεβῶν ἀπολήψιες ποιέουσιν, ἢν ὑγιαίνοντι τόδε 30 ξυμβῇ ἄνευ προφάσιος ἢ ἄλλης αἰτίης ἰσχυρῆς. 2 φλεβοτομέειν οὖν χρὴ τοῦ βραχίονος τοῦ δεξιοῦ, τὴν εἴσω φλέβα, καὶ ἀφαιρέειν τοῦ αἵματος κατὰ τὴν ἕξιν καὶ τὴν ἡλικίην διαλογιζόμενον, τὸ πλεῖστον καὶ τὸ ἔλασσον. 3 ξυμπίπτει δὲ τοῖσι πλείστοισιν αὐτέων τοιάδε· 4 ἐρυθήματα προσώπου, 5 ὀμμάτων στάσιες, 6 χειρῶν διατάσιες, 7 ὀδόντων πρισμοί, 8 σφυγμοί, 9 σιαγόνων ξυναγωγή, 10 καὶ καταψύξις ἀκρωτηρίων, 11 πνευμάτων ἀπολήψιες ἀνὰ τὰς φλέβας. 12 ὁκόταν ἀλγήματα προσγένηται μελαίνης χολῆς, καὶ 35 δριμέων ῥευμάτων ἐπιρρύσιες γίνονται. 13 ἀλγέει δὲ τὰ ἔνδον δακνόμενα. 14 δηχθεῖσαι δὲ καὶ λίην ξηραὶ γενόμεναι αἱ φλέβες ἐντείνονταί τε, καὶ φλεγμαίνουσαι ἐπισπῶνται

solvi non possunt, si quis prius 30 medicamentis purgare aggrediatur. 4 Nam venæ sectio in talibus principalis est: 5 deinde infusa per clysteres, si non magnus & vehemens fuerit morbus. 6 Sin minus, etiam postea medicamento purgante opus est. 7 Sed & post venæ sectionem, purgans medicamentum securitate ac moderatione opus habet. 8 Quicunque vero ea quæ inflammata sunt, statim in principio morborum medicamento solvere aggrediuntur, hi de intento quidem ac inflammato nihil auferunt: 9 non enim remittit affectio quæ adhuc cruda est: 10 quæ vero morbo resistunt ac sana sunt, colliquefaciunt. 11 Debili vero evadente corpore, morbus invalescit. 12 Quum autem morbus corpori prævaluerit, tale jam incurabiliter affectum est.

XXXVII. Ut aliquis derepente voce privatus fiat, venarum interceptiones faciunt, si sano hoc 40 contingat absque manifesta, aut alia forti causa. 2 Venam igitur secare oportet, in brachio dextro internam, & sanguinem detrahere, juxta habitum ac ætatem rationem ineundo, an plus aut minus oporteat. 3 Coincidunt autem plurimis ipsorum hæc: 4 rubores faciei, 5 oculorum stabilitates, 6 digitorum in manibus distentiones, 7 dentium stridores, 8 pulsationes, 9 maxillarum contractiones, 10 extremitatum perfrigeratio, 11 spirituum per 45 venas interceptiones. 12 Quum dolores accesserint, atræ bilis & acrium fluxionum affluxus fiunt. 13 Dolent autem partes internæ dum mordentur. 14 Conversæ vero, & valde siccæ factæ venæ intenduntur, & inflammatæ affluentia

σπῶνται τὰ ἐπιῤῥέοντα. [15] ὅθεν διαφθαρέντος τοῦ αἵματος, καὶ τῶν πνευμάτων οὐ δυναμένων ἐν αὐτῷ τὰς κατὰ φύσιν ὁδοὺς βαδίζειν, [16] καταψύξιές τε γίνονται ὑπὸ τῆς στάσιος, καὶ σκοτώσιες, καὶ ἀφωνίη, καὶ καρηβαρίη, καὶ σπασμοὶ, ἢν ἤδη ἐπὶ τὴν καρδίην, ἢ τὸ ἧπαρ, ἢ ἐπὶ τὴν φλέβα διέλθῃ.

XXXVIII. Ἔνθεν ἐπίληπτοι γίνονται, ἢ παραπλῆγες, ἢν ἐς τοὺς περιέχοντας τόπους ἐμπίπτῃ τὰ ῥεύματα, καὶ ὑπὸ τῶν πνευμάτων οὐ δυνάμενα διεξιέναι, καταξηρανθῇ. [2] ἀλλὰ χρὴ τοὺς τοιούτους προπυριῶντας φλεβοτομέειν ἐν ἀρχῇσιν εὐθέως, μετεώρων ἐόντων πάντων τῶν λυπεόντων πνευμάτων καὶ ῥευμάτων· [3] εὐβοηθητότερα γάρ ἐστι. [4] καὶ ἀναλαμβάνοντα καὶ τὰς κρίσιας ἐπιτηρεῦντα φαρμακεύειν, ἢν μὴ κουφίζηται, ἄνω· [5] τὴν δὲ κάτω κοιλίην, ἢν μὴ ὑποχωρέῃ, κλυσμῷ. [6] καὶ ὄνου γάλα ἑφθὸν διδοὺς πινέτω [δὲ] μὴ ἔλασσον δυώδεκα κοτυλέων. [7] ἢν δὲ ῥώμη αὐτῷ παρέχῃ, πλεῖον ἑκκαίδεκα.

XXXIX. Κυνάγχη δὲ γίνεται, ὁκόταν ἐκ τῆς κεφαλῆς ῥεῦμα πουλὺ καὶ κολλῶδες, ὥρῃ χειμερινῇ ἢ ἐαρινῇ, ἐς τὰς σφαγίτιδας φλέβας ἐπιῤῥυῇ, αἵ τε ῥεῦμα πλεῖον διὰ τὴν εὐρύτητα ἐπισπάσωνται. [2] ὁκόταν δὲ ψυχρὸν τεὸν καὶ κολλῶδες, ἐμφράξῃ τοῦ τε πνεύματος τὰς διεξόδους καὶ τοῦ αἵματος ἀποφράσσον, πήγνυσι τὰ ξυνεγγὺς τοῦ αἵματος, καὶ ἀκίνητον καὶ στάσιμον ποιέει, φύσει ψυχρὸν ἐὸν καὶ ἐμφρακτικόν. [3] διὰ τοῦτο πνίγονται, τῆς γλώττης ἀποπελιουμένης καὶ στρογγυλουμένης καὶ ἀνακαμπτομένης διὰ τὰς φλέβας τὰς ὑπὸ τὴν γλῶσσαν. [4] τῆς γὰρ ὑπο-

fluentia attrahunt. [15] Unde corrupto sanguine, & spiritibus non potentibus naturales in ipso vias permeare, [16] perfrigerationes fiunt ex statione, & vertigines, & vocis interceptio, & capitis gravitas, & convulsiones, si jam ad cor, aut hepar, aut ad venam devenerint.

XXXVIII. Hinc morbi comitiales fiunt, aut semisyderati, si in ambientes locos fluxiones inciderint, & à spiritibus pertransire non potentibus resiccatæ fuerint. [2] Quare talibus, fomentis prius adhibitis, venam secare oportet statim ab initio, dum adhuc elevati sunt omnes affligentes spiritus ; ac fluxiones. [3] Facilius enim auxilium admittunt: [4] & refectis viribus, & consideratis judicationibus, medicamentum exhibere sursum purgans, si non allevetur : [5] ad infernam vero alvum, si non subeat, infusum per clysterem adhibere. [6] Postea vero lac asininum coctum dato, & non minus quam duodecim heminas bibat. [7] Si vero virium robur adsit, plures quam sedecim.

XXXIX. Angina fit, quum fluxio ex capite multa ac glutinosa, tempore hyberno aut verno, ad venas jugulares influxerit, & hæ fluxionem ampliorem, propter amplitudinem, attraxerint. [2] Quum autem frigida & glutinosa sit, spiritus transitus obturabit, & sanguinis transitus obturans, propinquas sanguinis partes congelat, ipsumque immobilem ac stabilem facit : quum natura frigida sit, & obturandi vim habeat : [3] & propterea suffocantur, lingua livescente, & rotunda evadente ac reflexa, propter venas quæ sunt sub lingua. [4] Præcisa enim

ὑποτεμνομένης σταφυλῆς· οἱ δὲ κιονίδα καλέουσιν· ἑκατέρωθεν φλὲψ παχεῖα. [5] ὁκόταν γοῦν πλήρεες αὗται ἔωσι, ἐς τὴν γλῶσσαν ἐναποστηρίζονται, ἀραιὴν ἐοῦσαν καὶ σπογγοειδέα, διὰ ξηρασίην. [6] ἡ δ' ὑπὸ βίης τὸ ἐκ τῶν φλεβῶν δεχομένη ὑγρὸν, ἐκ πλατείης μὲν στρογγύλη γίνεται, ἐξ εὐχρόου δὲ πελιδνὴ, ἐκ μαλθακῆς δὲ σκληρὴ, ἐξ εὐκάμπτου δὲ ἄκαμπτος· [7] ὥς τε ταχέως ἀποπνίγεσθαι, ἢν μή τις ὀξέως βοηθῇ, [8] φλεβοτομίην τε ποιεύμενος ἀπὸ βραχιόνων καὶ τὰς ὑπὸ τὴν γλῶσσαν φλέβας ὑποτέμνων, [9] καὶ φαρμακεύων τοῖσιν ἐκλείγμασι, [10] καὶ ἀναγαργαρίζων θερμοῖσι, [11] καὶ τὴν κεφαλὴν ὑποξυρῶν. [12] καὶ κήρωμα κεφαλῇ καὶ τραχήλῳ περιτιθέναι, [13] καὶ εἰρίοις περιελίσσειν, καὶ σπόγγοισι μαλθακοῖσι, [14] καὶ ὕδατι θερμῷ ἐκπιέζοντα πυριᾷν. [15] πίνειν τε ὕδωρ καὶ μελίκρητον, μὴ ψυχρά. [16] χυλὸν δὲ προσφέρειν, [καὶ] ὁκόταν ἐκ κρίσιος ἐν ἀσφαλείῃ ἤδη ᾖ.

XL. Ὁκόταν [δὲ] ἐν θερινῇ ἢ μετοπωρινῇ ὥρῃ ἐκ κεφαλῆς θερμὸν τὸ ῥεῦμα καταρρυῇ, καὶ νιτρῶδες, [2] ἅτε ὑπὸ τῆς ὥρης δριμὺ καὶ θερμὸν γεγενημένον· [3] δάκνει δὲ τὸ τοιοῦτο ἐὸν, καὶ ἑλκοῖ, καὶ πνεύματος ἐμπίμπλησι, [4] καὶ ὀρθόπνοια παρέχεται, [5] καὶ ξηρασίη πολλή, [6] καὶ τὰ θεωρεύμενα ἰσχνὰ φαίνεται, [7] καὶ τένοντες ὄπισθεν τείνονται ἐν τῷ τραχήλῳ ξυντείνονται, [8] καὶ δοκέει ὥσπερ τέτανος ἐντείνεσθαι; [9] καὶ ἡ φωνὴ ἀπέρρωγε, [10] καὶ τὸ πνεῦμα σμικρὸν, [11] καὶ ἡ ἀνάσπασις τοῦ πνεύματος πυκνὴ καὶ βιαίη γίνεται. [12] οἱ τοιοίδε τὴν ἀρτηρίην ἑλκοῦνται, [13] καὶ τὸν πνεύμονα ἐμπίμπρανται, οὐ δυνάμενοι τὸ ἔξωθεν πνεῦμα ἐπάγεσθαι. [14] τοῖσι τοιούτοισιν, ἢν μὴ ἐς τὰ ἔξω μέρεα τοῦ τραχήλου

enim uva, quam aliqui columellam vocant, vena crassa ab utraque parte est. [5] Quum igitur hæ plenæ sunt, & in linguam innitantur, quæ rara est ac spongiosa, propter siccitatem: [6] contingit ut ipsa præ violentia humorem ex venis suscipiens, ex lata fiat rotunda: ex bene colorata, livida: ex molli, dura: ex facile flexibili, inflexibilis: [7] adeo ut æger cito suffocetur, si non quis cito auxilium ferat, [8] venæ sectionem à brachiis faciens, & venas sub lingua secans, [9] & eclegmatum delinctu curans, [10] & calidos gargarismos exhibens, [11] & caput radens. [12] Debet autem & ceratum collo ac capiti circumponere, [13] & lanas obvolvere, & spongiis mollibus [14] ex aqua calida expressis fovere. [15] Bibat autem æger aquam, & aquam mulsam, non frigidam. [16] Succum vero ptisanæ tunc sumet, quum jam ex judicatione in tuto fuerit.

XL. Quum vero æstivo vel autumnali tempore, fluxio calida ac nitrosa, de capite defluxerit, [2] utpote ex tempore acris ac calida facta: [3] talis ubi est mordet, & ulcerat, & spiritu implet, [4] & erecta cervicis spiratio accedit, [5] & siccitas multa, [6] & quæ videntur gracilia apparent: [7] & tendines posteriores in collo distenduntur, [8] & velut in tetano distenti esse videntur: [9] & vox abrupta est, [10] & spiritus parvus est, [11] & retractio spiritus densa ac violenta accedit. [12] Talibus arteria ulceratur, [13] & pulmo ardet, quum non possint extrinsecus spiritum inducere. [14] Et si his affectio non ultronea ad externas colli partes deferatur, gravior

χολὴ ἑκουσίη ἀποφέρῃ), ὀξυτέρη καὶ ἀφυκτοτέρη ἐστὶ, διά [τε] τὴν ὥρην, καὶ ἀπὸ θερμῶν καὶ δριμέων.

XLI. Ἢν πυρετὸς λάβῃ, παλαιῆς κόπρου οὐχ ὑπεούσης, ἢ νεοβρῶτι ἐόντι, ἤν τε ξὺν ὀδύνῃ πλευροῦ, ἤν τε μὴ, [2] ἡσυχίην ἄγειν, μέχρις οὗ καταβῇ τὰ σιτία πρόσθεν ἐς τὴν κάτω κοιλίην. [3] πόματι δὲ χρήσθω ὀξυμέλιτι. [4] ὁκόταν δὲ ἐς τὴν ὀσφὺν βάρος ἥκῃ, κάτω κλύσαι κλυσμῷ, ἢ καθῆραι φαρμάκῳ. [5] ὁκόταν δὲ καθαρθῇ, διαιτᾷν ῥοφήματι πρῶτον, καὶ πόματι μελικρήτῳ· [6] ἔπειτα σιτίοισι, καὶ ἰχθύσιν ἑφθοῖσι, καὶ οἴνῳ ὑδαρεῖ, ἐς νύκτα ὀλίγῳ, ἡμέρῃ δὲ ὑδαρεῖ μελικρήτῳ. [7] ὁκόταν δὲ αἱ φῦσαι δυσώδεες ἔωσιν, οὕτως ἢ βαλάνῳ ἢ κλυσμῷ. [8] εἰ δὲ μὴ, ἐπισχεῖν ὀξύμελι πίνοντα, ἕως ἂν καταβῇ ἐς τὴν κάτω κοιλίην, [9] εἶθ' οὕτως κλυσμῷ ὑπαγαγεῖν.

XLII. Ἢν δὲ λαπαρῷ ἐόντι καῦσος ἐπιγένηται, ἤν σοι δοκέῃ φαρμακεύειν ἐπιτηδείως ἔχειν, εἴσω τριῶν ἡμερῶν μὴ φαρμακεύειν, ἀλλ' ἢ τεταρταῖον [ἢ πεμπταῖον.] [2] ὁκόταν δὲ φαρμακεύσῃς, τοῖσι ῥοφήμασι χρεόμενος, διαφυλάσσων τοὺς παροξυσμοὺς τῶν πυρετῶν, [3] ὅκως μηδέποτε προσοίσεις ἐόντων, μηδὲ μελλόντων ἔσεσθαι, ἀλλὰ ληγόντων, ἢ πεπαυμένων, καὶ ὡς προσωτάτω ἀπὸ τῆς ἀρχῆς. [4] ποδῶν δὲ ψυχρῶν ἐόντων, μήτε ποτὸν, μήτε ῥόφημα, μήτ' ἄλλο μηδὲν δίδου τοιόνδε, [5] ἀλλὰ μέγιστον ἡγέο τοῦτ' εἶναι, διαφυλάσσεσθαι ἕως ἂν διάθερμοι σφόδρα γένωνται. [6] εἶθ'

vior ac inevitabilior est, & propter tempus, & quod a calidis & acribus sit humoribus.

XLI. Si febris corripiat, veteri stercore non subeunte, aut a cibo recens accepto; sive cum dolore lateris, sive absque eo, [2] quietem agere oportet, donec cibi descenderint prius ad infernam alvum: [3] potu vero uti aceto mulso. [4] Quum autem ad lumbos gravitas devenerit, infuso per clysterem eluere, aut medicamento purgare oportet. [5] Ubi vero purgatus fuerit, victum præscribere ex sorbitione primum, & aquæ mulsæ potu: [6] deinde ex cibis ac piscibus coctis, & vino aquoso, modico, ad noctem. Interdum autem, ex aqua mulsa aquosa. [7] Quum vero flatus graveolentes prodierint, glandula subdititia, aut infuso per clysterem utendum erit. [8] Sin minus, in aceti mulsi potu cohibere oportet, donec ad infernam alvum descenderint cibi: [9] deinde sic per infusum clysteris subducere.

XLII. At si mollem ac vacuum ventrem habenti febris ardens accedat, si tibi commodum esse visum fuerit medicamentis purgare, intra tres dies id ne feceris, sed quarto. [2] Postquam vero medicamentum exhibueris, sorbitionibus utere, observans febrium exacerbationes, [3] ut nunquam exhibeas quum sunt, aut futuræ expectantur, sed ubi desinunt, aut quieverunt, & quam longissime a principio. [4] Quum vero frigidi sunt pedes, neque potum, neque sorbitionem neque aliud quicquam ejusmodi dato: [5] verum maximum hoc esse ducito, ut expectes donec valde fuerint calefacti. [6] dein-

[6] εἶθ' οὕτω τὸ ξυμφέρον προσφέρε. [7] ὡς γὰρ ἐπὶ τὸ πολὺ σημεῖόν ἐστι μέλλοντος παροξύνεσθαι τοῦ πυρετοῦ, ψύξις ποδῶν. [8] εἰ δ' ἐν τοιούτῳ καιρῷ προσοίσεις, ἅπαντα τὰ μέγιστα ἐξαμαρτήσεις. [9] τὸ γὰρ νόσημα αὐξήσεις οὐ μικρῶς. [10] ὁκόταν δὲ ὁ πυρετὸς λήγῃ, τοὐναντίον οἱ πόδες θερμότεροι γίνονται τοῦ ἄλλου σώματος. [11] αὔξεται μὲν γὰρ ψύχων τοὺς πόδας ἐξαπτόμενος, ἐκ τοῦ θώρηκος ἐς τὴν κεφαλὴν ἀναπέμπων τὴν φλόγα. [12] ξυνδεδραμηκότος δὲ ἅλις τοῦ θερμοῦ ἅπαντος ἄνω, καὶ ἀναθυμιωμένου ἐς τὴν κεφαλὴν, εἰκότως οἱ πόδες ψυχροὶ γίνονται ἄσαρκοι καὶ νευρώδεις φύσει ὑπάρχοντες. [13] ἔτι δὲ πολὺ ἀπέχοντες τῶν θερμοτάτων τόπων, ψύχονται, ξυναθροιζομένου τοῦ θερμοῦ ἐς τὸν θώρηκα. [14] καὶ πάλιν ἀνάλογον, λυομένου τοῦ πυρετοῦ, καὶ κατακερματιζομένου, ἐς τοὺς πόδας καταβαίνει. [15] κατὰ τοῦτον οὖν τὸν χρόνον ἡ κεφαλὴ καὶ ὁ θώρηξ κατέψυκται αὐτέων. [16] εἵνεκεν τούτου προσοιστέον. [17] ὅτι, ὁκόταν οἱ πόδες ψυχροὶ ἔωσι, θερμὴν ἀνάγκη τὴν κοιλίην εἶναι, καὶ πολλῆς ἄσης μεστὴν, [18] καὶ ὑποχόνδριον ἐντεταμένον, [19] καὶ ῥιπτασμὸν τοῦ σώματος, διὰ τὴν ἔνδοθεν ταραχὴν, [20] καὶ μετεωρισμὸν γνώμης, [21] καὶ ἀλγήματα, [22] καὶ ἕλκεται. [23] καὶ ἐμέειν ἐθέλει, [24] καὶ, ἢν πονηρὰ ἐμέῃ, ὀδυνᾶται. [25] θέρμης δὲ καταβάσης ἐς τοὺς πόδας, καὶ οὔρου διελθόντος, ἢν μὴ ἱδρώσῃ, πάντα λωφᾷ. [26] κατὰ τοῦτον οὖν τὸν καιρὸν δεῖ τὸ ῥόφημα διδόναι· [27] τότε δὲ ὄλεθρος.

XLIII. Ὁκόσοισι δὲ διὰ τέλεος ἡ κοιλίη ἐν τοῖσι πυρετοῖσιν ὑγρὴ, τουτέοισι διαφερόντως τοὺς πόδας

[6] deinde sic id quod conducit exhibe. [7] Plerunque enim futuræ exacerbationis febris signum est pedum frigiditas. [8] Si vero in tali tempore exhibueris, maxime per omnia peccaveris. [9] Morbum enim non parum augebis. [10] Quum autem febris desinit, vice versa pedes reliquo corpore calidiores fiunt. [11] Augetur enim frigefaciens pedes, accensa ex thorace, ad caput flammam remittens. [12] Universo autem calore acervatim sursum concurrente, & ad caput exhalante, merito pedes frigidi fiunt, ut qui excarnes & nervosi natura existant. [13] Insuper autem etiam quum longe à calidissimis locis absint, perfrigerantur, calore ad thoracem coacervato. [14] Et rursus juxta proportionem, quum febris solvitur, & in tenues partes dirimitur, ad pedes calor descendit. [15] Hoc igitur tempore & caput, & thorax ipsorum perfrigeratur, [16] qua de causa sorbitio exhibenda est. [17] Nam ubi pedes frigidi fuerint, necesse est ventriculum calidum esse, & multo fastidio plenum, [18] & præcordium intentum, [19] & corporis jactationem, propter internam turbationem: [20] & mentis abalienationem, [21] & dolores: [22] & æger distrahitur, [23] ac vomere cupit, [24] & si prava vomuerit, dolet. [25] Postquam vero calor ad pedes descendit, & urina progressa est, etiamsi non sudarit, omnia desinunt. [26] Hoc igitur tempore sorbitionem dare oportet, [27] alioqui perniciosa est.

XLIII. Quibus vero perpetuo alvus in febribus liquida est, in his præcipue pedes calefaciens, & ceratis integens, & fasciis obvol-

πόδας θερμαίνειν καὶ περιστέλλειν, κηρώμασι καὶ ταινιδίοισι περιειλίσσειν περίπτυχα, ὅκως μὴ ἔσονται ψυχρότεροι τοῦ λοιποῦ σώματος. [2] θερμοῖσι δὲ οὖσι θέρμασμα μηδὲν προσφέρειν, ἀλλὰ διαφυλάσσειν, ὅκως μὴ ψυχθήσονται. [3] πόματι δὲ χρέεσθαι ὡς ἐλαχίστῳ, ὕδατι ψυ-379 χρῷ, ἢ μελικρήτῳ. [4] ὁκόσοισι δὲ ἐν πυρετοῖσι κοιλίη ὑγρὴ, καὶ γνώμη τεταραγμένη· [5] καὶ οἱ πολλοὶ τῶν τοιούτων τὰς κροκίδας ἀφαιρέουσι, [6] καὶ τὰς ῥῖνας σκάλλουσι, [7] καὶ κατὰ βραχὺ μὲν ἀποκρίνονται τὸ ἐρωτώμενον· [8] αὐτοὶ δὲ ἀφ' ἑωυτῶν οὐδὲν λέγουσι κατεστηκός· [9] δοκέει οὖν μοι τὰ τοιάδε μελαγχολικὰ εἶναι. [10] ὅσων τοιῶνδε ἐόντων, ἢν ἡ κοιλίη ὑγρὴ ᾖ, καὶ 5 συντήκη, [11] δοκέει μοι τὰ ῥοφήματα ψυχρότερα καὶ παχύτερα προσφέρειν, [12] καὶ τὰ πόματα σταλτικὰ καὶ οἰνωδέστερα, ἢ στυπτικώτερα.

XLIV. Ὁκόσοισι δὲ τῶν πυρετῶν δῖνοί τε ἀπ' ἀρχῆς καὶ σφυγμοὶ κεφαλῆς εἰσι, καὶ οὖρα λεπτὰ, [2] τούτοισι προσδέχεσθαι πρὸς τὰς κρίσιας παροξυνόμενον τὸν πυρετόν. [3] οὐ θαυμάσαιμι δ' ἂν, οὐδ' εἰ παραφρενήσειαν. [4] οἷσι δὲ ἐν ἀρχῇ τὰ οὖρα νεφελοειδέα, ἢ καὶ παχέα, τοὺς τοιούσδε ὑποκαθαίρειν, ἢν καὶ τὰ ἄλλα ξυμφέρῃ. [5] ὁκόσοισι δὲ ἐν ἀρχῇ τὰ οὖρα 10 λεπτὰ, μὴ φαρμακεύειν τοὺς τοιούτους, ἀλλ', ἢν δοκέῃ, κλύσαι. [6] τούτους ξυμφέρει οὕτω θεραπεύεσθαι, τὸ σῶμα ἡσυχίην ἄγοντας, ἀλείφοντάς τι, καὶ περιστέλλοντας ὁμαλῶς. [7] ποτῷ δὲ χρέεσθαι μελικρήτῳ ὑδαρεῖ· [8] καὶ ῥοφήματι, χυλῷ πτισάνης ἐς ἑσπέρην. [9] κοιλίην δὲ ὑπάγειν κατ' ἀρχὰς κλυσμῷ. [10] φάρμακα δὲ μὴ προσοίσειν τούτοισιν. [11] ἢν γάρ τι κινήσῃς κατὰ κοιλίην, τὸ οὖρον οὐ πεπαίνεται,

volvens, animum adverte ut ne sint reliquo corpore frigidiores. [2] Si vero calidi sunt, calefactorium nullum adhibe, sed conserva ut ne perfrigerentur: [3] potu autem utendum est quam paucissimo, aqua frigida, aut aqua mulsa. [4] Quibus autem in febribus alvus liquida est, & mens perturbata, [5] & multi ex talibus floccos auferunt, [6] & nares scalpunt, [7] & paulatim quidem respondent, si interrogentur, [8] ipsi vero à seipsis nihil aptum dicunt: [9] talia atrabilaria esse mihi videntur. [10] Talibus igitur ita se habentibus, si alvus liquida fuerit, ac colliquiverit, [11] videtur mihi sorbitiones frigidiores ac crassiores exhibere oportere, [12] & potiones alvum sistentes & vinosiores magis quam adstringentes.

XLIV. At quibus in febribus vertigines ab initio, & capitis pulsus fiunt, & urinæ tenues, [2] in his expectare oportet, ut ad judicationes febris exacerbetur. [3] Nec vero admirarer, si delirarent. [4] Quibus in principio urinæ nebulosæ, aut etiam crassæ sunt, tales depurgare oportet, si etiam alia contulerint. [5] Quibus vero in principio urinæ tenues, tales ne purgato, sed si visum fuerit, infusum per clysterem adhibeto. [6] Hos sic curare conducit. Æger corpore quietem agat, ungaturque ac æqualiter contegatur. [7] Potu utatur aqua mulsa aquosa: [8] & sorbitione succi ptisanæ ad vesperam. [9] Alvum vero ab initio per clysteris infusum subducito. [10] Medicamenta autem his ne exhibeto. [11] Si enim quid circa ventrem commoveris, urina non concoquitur,

120 125 130 135

ται, ἀλλ' ἀνιδρώς τε καὶ ἀκρίτως ὁ πυρετὸς ἐπὶ πουλὺν χρόνον ἔσται. 12 τὰ δὲ ῥοφήματα, ὁκόταν ἰσχὺς τῶν κρισίων ᾖ, μὴ δίδου, ἢν θορυβῆται· 13 ἀλλ', ὅταν ἀνῇ καὶ ἐπιδιδῷ ἐπὶ τὸ βέλτιον.

XLV. Φυλάσσεσθαι δὲ χρὴ καὶ πάντων τῶν πυρετῶν τὰς κρίσιας, καὶ ἀφαιρέειν τὰ ῥοφήματα κατὰ τοῦτον τὸν καιρόν. 2 μεμαθήκασι δὲ μακροὶ οἱ πυρετοὶ οἵδε γίνεσθαι, 3 καὶ ἀποσκήμματα ἴσχειν, ἢν μὲν τὰ κάτω ψυχρὰ ᾖ, περὶ ὦτα, καὶ τράχηλον· 4 ἢν δὲ μὴ ψυχρὰ, ἄλλας ἴσχει μεταβολάς. 5 ῥεῖ δὲ καὶ αἷμα ἐκ ῥινῶν, 6 καὶ αἱ κοιλίαι τούτοισι ἐκταράσσονται. 7 ὁκόσοισι δὲ πυρετοὶ ἀσώδεές εἰσι, καὶ ὑποχόνδρια συντείνουσι, καὶ κεκλιμένοι οὐκ ἀνέχονται ἐν τῷ αὐτέῳ, καὶ τὰ ἄκρεα ψύχονται πάντα, πλείστης ἐπιμελείης καὶ φυλακῆς δέονται. 8 διάγειν δὲ τούτοισι προσφέρειν μηδὲν ἄλλο, ἢ ὀξύμελι ὑδαρές. 9 ῥόφημα δὲ μὴ προσφέρειν, ἕως ἂν λήξῃ, καὶ τὸ οὖρον πεπανθῇ. 10 κατακλίνειν δὲ ἐς ζοφερὸν οἴκημα, 11 καὶ κατακεκλίσθαι ὡς ἐπὶ μαλθακωτάτοισι στρώμασι πλεῖστον χρόνον ἐπὶ τὰ αὐτὰ κατεστρέφοντα, καὶ ὡς ἥκιστα ῥιπτάζειν. 12 μάλιστα γὰρ τοῦτο τοὺς τοιούτους ὠφελεῖ. 13 ἐπὶ δὲ τὸ ὑποχόνδριον λίνου σπέρμα ἐγχέλαν ἐπιτιθεὶς, φυλασσόμενος, ὅκως μὴ φρίξῃ προστιθέμενος. 14 ἔστω δὲ ἀκροχλίαρον, ἑφθὸν ὕδατι καὶ ἐλαίῳ.

XLVI. Τεκμαίρεσθαι δὲ ἐκ τῶν οὔρων τὸ μέλλον ἔσεσθαι. 2 ἢν μὲν γὰρ παχύτερα ὠχρότερα ᾖ, βελτίω. 3

quitur, sed absque sudore ac judicatione, febris ad multum tempus durabit. 12 Sorbitiones autem ubi prope judicationem fuerit, ne dato, si turbetur: 13 verum quum remiserit turbatio, & & ad melius procedet.

XLV. Observare vero etiam omnium febrium judicationes oportet, & in hoc tempore sorbitiones detrahere. 2 Solent autem longæ fieri hæ febres, 3 & impetuosos humorum de loco ad locum illapsus habere, siquidem infernæ partes frigidæ fuerint, circa aures & collum. 4 Si vero non fuerint frigidæ, alias immutationes habent. 5 Fluit autem sanguis ex naribus, 6 & alvi his exturbantur. 7 Quibuscunque vero febres anxiosæ sunt, & quæ præcordia intendunt, & decumbentes in eodem loco decubitum non sustinent, & extremæ partes perfrigerantur, hi plurima omnino diligentia ac custodia opus habent. 8 Degant autem hi ut nihil ipsis exhibeas aliud, quam acetum mulsum aquosum. 9 Sorbitionem vero ne exhibe, donec febris desierit, & urina concocta fuerit. 10 Decumbere autem debet æger in domo obscura, 11 & in stratis quam mollissimis reclinatus esse, ita ut multo tempore decubitum in eodem loco toleret, & quam minimum se jactet. 12 Hoc enim talibus maxime prodest. 13 Super præcordium vero, lini semen linteo illitum imponito, observando ut ne horrescat æger dum apponitur. 14 Sit autem summe tepidum, aqua & oleo coctum.

XLVI. Conjectare vero ex urinis oportet id quod futurum est. 2 Si enim crassiores ac pallidiores fuerint, meliores sunt. 3 Si

ἣν δὲ λεπτότερα καὶ μελάντερα, πονηρότερα. [4] ἣν δὲ μεταβολὰς ἔχῃ, χρόνου τὲ σημαίνει. [5] καὶ ἀνάγκη τῷ νοσήματι μεταβάλλειν, καὶ ἐπὶ τὰ χείρω, καὶ ἐπὶ τὰ βελτίω, τὴν ἀνωμαλίην. [6] τοὺς δὲ ἀκαταστάτους τῶν πυρετῶν ἐᾷν, μέχρις ἂν καταστῶσιν· [7] ὁκόταν δὲ

30 στῶσιν, ἀπαντῆσαι διαίτῃ καὶ θεραπείῃ τῇ προσηκούσῃ, κατὰ φύσιν θεωρέων. [8] εἰσὶ δὲ ὄψιες πολλαὶ τῶν καμνόντων. [9] διὸ προσεκτέον τῷ ἰωμένῳ, ὅκως μὴ διαλήσεταί τι τῶν προφάσιων, [10] μήτε τῶν κατὰ λογισμὸν, μήτε ὁκόσα ἐς ἀριθμὸν, ἄρτιον ἢ περισσὸν, δεῖ φανῆναι. [11] μάλιστα μὲν, ὧν δεῖ, περισσὸν ἀριθμὸν εὐλαβεῖσθαι, ὡς αὗται αἱ ἡμέραι ἑτερορροπίας ποιοῦσι τοὺς κάμνοντας. [12] φυλάσσεσθαι οὖν δεῖ τὴν πρώτην ἡμέρην, ἐν ᾗ ἤρξατο ἀσθενέειν ὁ κάμνων, [13] ἰδόντα τὴν ἀρχὴν,

35 ἐξ ὅτου καὶ ὅτε. [14] κάλλιστον γὰρ τοῦτο πρῶτον εἰδῆσαι.

XLVII. Ὁκόταν δὲ ἔρῃ αὐτὸν, καὶ διασκέψῃ ταῦτα πάντα, [2] πρῶτον μὲν κεφαλὴν, ὅκως ἔχει, εἰ ἀνάλγητος, καὶ μὴ βάρος ἔχει ἐν ἑωυτῇ. [3] ἔπειτα ὑποχόνδρια καὶ τὰ πλευρὰ, εἰ ἀνάλγητα. [4] ὑποχόνδριον μὲν, εἰ ἐπίπονον ᾖ, ἢ ἐπηρμένον, ἢ ἔχῃ τινὰ κοιλότητα, ἢ κόρον. [5] πλευρὸν δὲ, εἰ ἀλγηδὼν ἐνῇ, καὶ ἅμα τῷ ἀλγήματι ἢ βηχίον, ἢ στρόφος, ἢ πόνος κοιλίης. [6] ὅταν δέ τι τούτων παρῇ, ἐν ὑποχονδρίῳ μὲν, μάλιστα λύειν

40 τὴν κοιλίην κλυσμοῖσι. [7] πινέτω δὲ μελίκρητον θερμὸν ἀφεψημένον. [8] καταμανθάνειν δὲ καὶ τοῖσιν ἐξαναστᾶσιν, εἰ λειποθυμέει, καὶ εἰ τοῦ πνεύματος εὐφορέῃ

vero tenuiores ac nigriores, deteriores. [4] Si autem mutationes 155 habent, temporis diurnitatem significant: [5] & necesse est ut morbus & ad deterius, & ad melius, inæqualitatem permutet. [6] Cæterum inconstantes febres sinere oportet, donec constiterint. [7] Quum vero constiterint, & victu, & curatione convenienti occurrere, speculatione secundum naturam facta. [8] Sunt autem aspectus ægrotorum multi. [9] Quare animadvertendum est medico, ut ne aliqua manifesta 160 causa ipsum lateat, [10] neque ex his quæ ratiocinatione cognoscuntur, neque ex his quæ ad numerum parem aut imparem apparere oportet. [11] Maxime igitur numerum imparem vereri oportet. Nam hi dies in alterutram partem ægrotos inclinare faciunt. [12] Primum itaque diem observare oportet, quo æger debilis esse cœpit, [13] cognito principio ex quo, & quando. [14] Præcipuum enim hoc est ut sciatur.

XLVII. Quum vero ægrum 165 interrogaveris, etiam hæc omnia considerabis. [2] Primum quidem quomodo caput habet, an doloris exors sit, neque gravitatem in seipso habeat: [3] deinde præcordia & latera an doloris exortia sint. [4] Si enim præcordium dolorosum fuerit, aut elevatum, aut obliquitatem aliquam habuerit, aut satietatem: [5] aut lateris dolor affuerit, & una cum dolore, tussicula, aut tormen, aut ventris dolor. [6] Quum horum quid affuerit in præcordio, al- 170 vum maxime infusis per clysterem solvere oportet. [7] Bibet autem aquam mulsam calidam coctam. [8] Considerandum vero est an dum exurgit, animi deliquium

φορέειν αὐτὸν ἔχει. [9] ἰδεῖν τε τὸ διαχώρημα, μή τι μέλαν διεχώρησεν ἰσχυρῶς χρῶμα, [10] καὶ εἰ καθαρὸν, ἐοικὸς ὑγιαίνοντος ἂν εἴη διαχώρημα. [11] καὶ ὁ πυρετὸς ἐς τὴν τρίτην ἐπιπαροξυνόμενος. [12] κάλλιον δὲ εὖ μάλα τοὺς τοιούσδε ἐν ταύτῃσι τῇσι νούσοισι τριταίους. [13] πρὸς ταῦτα ἤδη καὶ τὰ ἄλλα συνορᾶν. [14] καὶ ἢν ἡ τετάρτη τῇ τρίτῃ ἡμέρῃ ὅμοιον ἔχῃ τι τῶν αὐτῶν τούτων, κινδυνώδης ὁ κάμνων γίνεται.

XLVIII. Τὰ δὲ σημεῖα· ἡ μὲν μέλαινα διαχώρησις θανατῶδες σημαίνει. [2] ἢν δὲ ὁμοίη τῷ ὑγιαίνοντος πάσας τὰς ἡμέρας φαίνηται, σωτήριον. [3] ὁκόταν δὲ μὴ ὑπακούῃ τῇ βαλάνῳ, ἐὸν δὲ τὸ πνεῦμα εὔφορον, διαναστὰς ἐπὶ τὸν θρόνον, ἢ αὐτοῦ ἐν τῇ κλίνῃ ἢν ἀψυχίη ἐνῇ, [4] ταῦτα δὲ ὁκόταν προσῇ τῷ κάμνοντι ἢ τῇ καμνούσῃ κατ' ἀρχὰς, παραφροσύνην προσδέχου ἐσομένην. [5] προσέχειν δὲ χρὴ καὶ τῇσι χερσίν. [6] ἢν γὰρ τρομεραὶ ἔωσιν, προσδέχου τῷ τοιῷδε ἀπόσταξιν αἵματος ἐκ ῥινῶν ἐσομένην. [7] ὁρᾶν δὲ χρὴ καὶ τοὺς μυκτῆρας, ἢν ὁμοίως τὸ πνεῦμα δι' ἀμφοτέρων ἕλκηται, καὶ ἢν πολὺ φέρηται ἐκ τῶν μυκτήρων, φιλέει γίνεσθαι σπασμός. [8] ἢν δὲ σπασμὸς γένηται, θάνατος τῷ τοιῷδε προσδόκιμος, [9] καὶ καλῶς ἔχει προλέγειν. [10] εἰ δὲ ἐν πυρετῷ χειμερινῷ ἡ γλῶσσα τρηχεῖα γένηται, καὶ ἀψυχίαι ἐνέωσι, φιλέει τῷ τοιῷδε καὶ ἐπάνεσις εἶναι τοῦ πυρετοῦ. [11] ἀλλ' ὅμως τὸν τοιόνδε παραφυλάσσειν τῇ λιμοκτονίῃ, καὶ τῇ ὕδατος πόσει, καὶ μελικρήτου πόσει. [12] καὶ χυλοῖσι παραφύλασσε, μηδὲν πιστεύων τῇ ἀνέσει τῶν πυρετῶν. [13] ὅσοι δὲ τοιάδε ἔχουσι σημεῖα, ἐπικίνδυνοί εἰσι θνήσκειν. [14] ὁκό-

quium incidat, an bona spiritus tolerantia ipsum habeat: [9] & inspicienda alvi egestio, num vehementer nigro colore prodierit, [10] aut pura, quales sani hominis sunt egestiones: [11] & an febris ad tertium diem exacerbetur. [12] Ubi vero valde probe tales consideraveris in his morbis tertia die, [13] ad hæc jam etiam alia contemplare: [14] & si quarta simile quid tertiæ habuerit ex iisdem illis, æger in periculo versatur.

XLVIII. Ex signis autem, nigra alvi egestio mortem significat. [2] Quæ vero sani hominis egestioni similis est, si per omnes dies apparuerit, salutare signum est. [3] At si glande subdita non obedierit, & spiritus bona tolerantia affuerit, si ubi ad sedem exurrexit, aut isthic in lecto, animi deliquium inciderit. [4] Hæc ubi ægroto, aut ægrotæ, ab initio affuerint, delirium expecta. [5] Intentus autem sis quoque ad manus. [6] Si enim tremulæ fuerint, tali sanguinis de naribus destillationem futuram expecta. [7] Inspicere vero ipsas nares oportet, an spiritus æqualiter per utrasque feratur: & si multus feratur è naribus, convulsio fieri solet. [8] Si vero convulsio fiat, tali mors expectanda est: [9] & bene habet si quis hoc prædicat. [10] Si vero in febre hyberna, lingua aspera fiat, & animi deliquia adsint, tali remissio febris contingere solet: [11] attamen fame talem macerare oportet, & aquæ, & aquæ mulsæ potu, [12] ac ptilanæ succo conservare, ita ut fidem ne habeas febrium remissioni. [13] Nam qui talia signa habent, de vita periclitantur. [14] Ubi vero

ταῦτα δὲ τοιαῦτα συνήθης, οὕτω προλέγειν, ἢν σοι ἀρέσκῃ, θεωρήσας εὖ μάλα.

XLIX. Ὁκόταν δὲ πυρετοῖσι φοβερόν τι γένηται πεμπταίοισιν ἐοῦσιν, ἢν κοιλίη τε ἐξαίφνης ὑγρὰ διαχωρήσῃ καὶ ἀψυχίη γίνηται, ἢ ἀφωνίη ἐπιλάβῃ, ἢ σπασμώδης γένηται, ἢ λυγμώδης, 2 ἐπὶ τούτοισι καὶ ἀσώδης φιλέει γίνεσθαι, καὶ περὶ ὑπορρίνιον καὶ μέτωπον ἱδρῶτες, καὶ αὐχένα ὄπισθεν τῆς κεφαλῆς. 3 οἱ δὲ ταῦτα πάσχοντες θνήσκουσιν οὐκ ἐς μακρὰν πνευματωθέντες. 4 ὁκόσοισι δὲ ἐν πυρετοῖσι τὰ σκέλεα γίνεται φυματώδεα, καὶ ἐγχρονιζόμενα μὴ ἐκπεπαίνηται, ἔτι ἐόντων ἐν πυρετοῖσι, 5 καὶ προσπίπτῃ πνιγμὸς ἐν φάρυγγι, ἰσχνῶν ἐόντων τῶν περὶ φάρυγγα, καὶ μὴ σβεσθῇ, φιλέει τῷ τοιῷδε αἷμα ἐκ τῶν ῥινῶν ῥέειν. 6 κἢν μὲν πολὺ ῥυῇ, λύσιν σημαίνει τῆς νούσου· ἢν δὲ μὴ, μακρήν. 7 ὁκόσῳ δ' ἂν ἔλασσον ῥυῇ, τοσῷδε χεῖρον καὶ ἐπιμηκές. 8 ἢν δὲ τἄλλα ῥήϊστα γίνηται, προσδέχεσθαι τῷ τοιῷδε ἐς πόδας ἀλγήματα. 9 ἢν δὲ ἅψηται τῶν ποδῶν, καὶ ἐπώδυνος γενόμενος διαμένῃ, καὶ περιφλεγὴς γενόμενος μὴ λυθῇ, κατὰ μικρὸν ἥξει καὶ ἐς αὐχένα ἀλγήματα, καὶ ἐς κληΐδα, καὶ ἐς ὦμον, καὶ ἐς στῆθος, καὶ ἐς ἄρθρον. 10 καὶ τοῦτο δεήσει φυματῶδες γίνεσθαι. 11 σβεννυμένων δὲ τούτων, ἢν αἱ χεῖρες ἐφέλκωνται, ἢ τρομεραὶ γίνωνται, σπασμὸς τὸν τοιόνδε ἐπιλαμβάνει, καὶ παραφροσύνη· 12 ἀτὰρ καὶ φλυζάκια ἐπὶ τὴν ὀφρὺν, 13 καὶ ἐρυθήματα ἴσχει, 14 καὶ βλέφαρον τὸ ἕτερον παρὰ τὸ ἕτερον παραβλαστάνει, 15 καὶ σκληρὴ φλεγ-

μονὴ

hæc cognoveris, ac probe contemplatus fueris, ita fore prædicere potes, si placuerit.

XLIX. Quum vero in febribus horrendum quid acciderit quinta die, aut alvus derepente liquida dejecerit, & animi deliquium incidat: aut vocis privatio contingat, aut convulsio, aut singultus fiat: 2 ex his anxiosus fieri æger solet, & sudores sub naso, & circa frontem ac cervicem à posteriore capitis parte oboriri. 3 Qui vero hæc patiuntur, spirituosi facti non longe postea morientur. 4 Quibus autem in febribus crura fiunt tuberculosa, atque hæc tubercula moram trahentia non maturantur, febribus perseverantibus, 5 & strangulatio acciderit in faucibus, ita ut partes circa fauces graciles existant, & tubercula non matura facta, sed extincta fuerint: talibus sanguis è naribus fluere solet. 6 Et siquidem multus fluxerit, solutionem morbi significat: sin minus, morbum longum. 7 Quanto autem minus fluxerit, tanto deterius est, & longitudo major. 8 Si vero reliqua facillima fiant, tali dolores ad pedes expectare oportet. 9 Si autem contigerint pedem, & dolorosus esse perseveret æger, & calore affligatur, ac non solvatur: paulatim & ad cervicem dolores pervenient, & ad claviculam, & humerum, & pectus, & articulum. 10 Nam & hunc tuberculosum fieri oportebit. 11 His autem extinctis, si manus contrahantur, aut tremulæ fiant, convulsio talem corripit, & delirium. 12 Sed & pustulæ in supercilio oriuntur, 13 & rubores habet, 14 & palpebra altera ad alteram progerminat, 15 & inflam-

μονὴ κατέχει, [16] καὶ οἰδέει ἰσχυρῶς ὁ ὀφθαλμὸς, [17] καὶ παραφροσύνη μέγα ἐπιδιδοῖ.

L. Αἱ δὲ νύκτες μᾶλλον σημαίνουσιν, ἢ αἱ ἡμέραι, τὰ περὶ τῆς παραφροσύνης. [2] τὰ δὲ σημεῖα μάλιστα γίνεται πολλὰ ἐπὶ τὸν περισσὸν ἀριθμὸν, ἢ ἐπὶ τὸν ἄρτιον. [3] ὁκοτέρῳ δ' ἂν τούτων τῶν ἀριθμῶν γίνηται, ὀλέθρια ἐπιγίνονται. [4] τοὺς τοιούτους δὲ, ἢν μὲν ἐξ ἀρχῆς προαιρῇ φαρμακεύειν, πρὸ τῆς πέμπτης, ἢν βορβορύζῃ ἡ κοιλίη· [5] εἰ δὲ μὴ, ἐᾶν ἀφαρμακεύτους εἶναι. [6] ἢν δὲ διαβορβορύζῃ, καὶ τὰ ὑποχωρήματα χολώδεα ᾖ, σκαμμωνίῳ ὑποκάθαιρε μετρίως. [7] τῇ δὲ ἄλλῃ θεραπείῃ ὡς ἐλάχιστα προσφέρειν πόματα καὶ ῥοφήματα, ἵνα βελτιόνως ἔχῃ, [8] ἢν μὴ ὑπερβῶσι τὴν τεσσαρεσκαιδεκάτην ἐπανέντες. [9] ὁκόταν πυρέττουσι, τεσσαρεσκαιδεκαταίοισιν ἐοῦσι, ἀφωνίη προσγένηται, οὐ φιλέει ἤκειν λύσις ταχείη, οὐδ' ἀπαλλαγὴ τοῦ νοσήματος γίνεσθαι, ἀλλὰ χρόνου τῷ τοιῷδε σημαίνει. [10] ὁκόταν δὲ φανῇ, ἐπὶ τῇ ἡμέρῃ ταύτῃ μακρότερον ξυμπίπτει. [11] ὁκόταν δὲ πυρέσσουσι τεταρταίοισιν ἡ γλῶσσα ἐκπεπαραγμένα διαλέγηται, καὶ ἡ κοιλίη χολώδεα ὑποχωρέῃ ὑγρὰ, φιλέει παραληρέειν ὁ τοιόσδε. [12] ἀλλὰ χρὴ παραφυλάσσειν παρεπόμενον τοῖσιν ἀποβαίνουσι.

LI. Θερινῆς καὶ μετοπωρινῆς ὥρης ἐπὶ τῶν ὀξέων αἵματος ἀπόσταξις ἐξαπίνης, ξυντασίην καὶ πολλὴν φλεγμασίην κατὰ τὰς φλέβας δηλοῖ, [2] καὶ ἐς τὴν ὑστεραίαν λεπτῶν οὔρων ἐπιφάσιας. [3] καὶ, ἢν ἀκμάζῃ τῇ ἡλικίῃ καὶ τὸ σῶμα ἐν γυμνασίοισιν ἢ εὐσαρκώσιος ἔχῃ, ἢ μελαγχολικὸς, ἢ ἐκ πότιος χεῖρες τρομέωσι, καλῶς

ἔχει

inflammatio dura detinet, [16] & oculus vehementer intumescit, [17] & delirium valde augescit.

L. Noctes autem plus quam dies delirii significationem præbent. [2] Multa vero signa ad imparem numerum magis fiunt, quam ad parem. [3] Utro autem horum numerorum fiant, lethalia existunt. [4] Tales vero siquidem ab initio medicamentis purgare volueris, ante quintum diem id facito, si venter murmurarit: [5] Sin minus, impurgatos sinito. [6] Si vero murmurarit, & alvi egestiones biliosæ fuerint, scammonio dato moderate purgato. [7] In reliquo vero victu potus ac sorbitiones parcissime exhibeto, quo melius æger habeat, [8] si non remissione facta decimumquartum diem transgressus fuerit. [9] Quum febricitanti decimaquarta die vocis interceptio accesserit, non cita solutio contingere solet, neque liberatio à morbo fieri, sed temporis diuturnitatem tali significat. [10] Quum itaque apparuerit in hac die, longius protrahetur morbus. [11] Quum febrienti quarta die lingua conturbata loquitur, & alvus biliosa liquida egerit, talis delirare solet. [12] Sed observare ac assequi eventus oportet.

LI. Æstivo ac autumnali tempore in morbis acutis, sanguinis destillatio repentina, firmitatem ac multam inflammationem circa venas significat, [2] & in posterum diem tenuium urinarum apparitiones. [3] Et si ætate viguerit, & corpus in exercitio, aut bene carnosum habuerit, aut atrabiliarius fuerit, aut ex potu manus tremulas habuerit, bene

habet

ἔχει τὴν παραφροσύνην προλέγειν, ἢ σπασμόν. 4 καὶ ἢν μὲν ἐν ἀρτίῃσιν ἐπιγένηται, βέλτιον· ἐν κρισίμῃσι δὲ, ὀλέθριον, 5 ἢν μὴ πολὺ ἅλις ἀποσυθὲν αἷμα ἔξοδον ποιήσηται τῆς πλεονεξίης κατὰ ῥῖνας ἢ καθ' ἕδρην, ἢ ἐμπυήσιες, ἢ μαζῶν στάσιες, ἢ ἀποστάσιες, ἢ πόνους ἐν τῷ ὑποχονδρίῳ, ἢ ἐς 41
40 ὄρχιας, ἢ ' ἐς σκέλεα. 6 πεφθέντων δὲ τούτων ἔξοδοι γίνονται πτυσμάτων [καὶ] οὔρων παχέων, λείων, λευκῶν. 7 πυρετῷ λυγγώδει ὀπὸν σιλφίου, ὀξύμελι, δαῦκον τρίψας πιεῖν δίδου, καὶ χαλβάνην ἐν μέλιτι, καὶ κύμινον ἐκλεικτόν. 8 καὶ χυλὸν πτισάνης ἐπὶ τουτέοισι ῥοφεῖν. 9 ἄφυκτος δὲ ὁ τοιοῦτος, ἢν μὴ ἱδρῶτες κρίσιμοι καὶ ὕπνοι ὁμαλοὶ ἐπιγένωνται, καὶ οὖρα παχέα καὶ δριμέα καταδράμῃ, ἢ ἐς ἀπόστασιν στηρίξῃ. 10 κόκκαλος καὶ σμύρνα, ἐκλεικτόν. 11 πίνειν δὲ τούτοισι διδόναι ὀξύ-
45 μελι ' ὡς ἐλάχιστον. 12 ἢν δὲ διψώδεες ἔωσι σφόδρα, τὸ κρίθινον ὕδωρ.

LII. Τὰ δὲ περιπλευμονικὰ καὶ πλευριτικὰ ὧδε χρὴ σκέπτεσθαι. ■ ἢν ὀξύς τε ὁ πυρετὸς ᾖ, καὶ τὰ ὀδυνήματα τοῦ ἑτέρου πλευροῦ ἢ ἀμφοτέρων, 3 καὶ, τοῦ πνεύματος δὲ ἀναφερομένου, ἢν πονέῃ, 4 καὶ βῆχες ἐνέωσι, 5 καὶ πτύσματα αὐτῇ πυῤῥὰ, ἢ πελιά, ἢ καὶ λεπτὰ, καὶ ἀφρώδεα, καὶ ἀνθηρά· 6 καὶ, εἴ τι ἄλλο διάφορον ἔχοι παρὰ τὰ μεμαθηκότα τουτέοισιν, οὕτω χρὴ διάγειν. 7 ἢν μὲν ὀδύνη ἄνω τείνῃ πρὸς κληΐδα, ἢ περὶ μα-
38 ζὸν, ' ἢ περὶ βραχίονα, τάμνειν χρὴ τὴν ἐν τῷ βραχίονι φλέβα τὴν εἴσω, ἐφ' ὁκότερον ἂν ᾖ τῶν μερέων, κατὰ τόδε. ■ ἀφαιρέειν δὲ κατὰ τὴν τοῦ σώματος ἕξιν, καὶ ὥρην,

habet ut ' delirium aut convulsionem prædicas. 4 Et siquidem in diebus paribus accedat, melius est: in judicatione vero perniciosum, 5 si non multus acervatim concitatus sanguis, redundantiæ exitus faciat per nares aut per sedem: aut abscessus, aut præcordiorum dolores, aut ad testes, aut ad crura dolores inducat. ■ His autem concoctis, exitus fiunt sputorum, crassarum urinarum, lævium, albarum. 7 Febri ' singultuosæ silphii succum, acetum mulsum, daucum tritum bibenda dato, & galbanum in melle, & cuminum in eclegmate delingendum, 8 & ptisanæ succum post hæc sorbendum. 9 Talis autem effugere non potest, si non sudores judicatorii, & somni æquales accesserint: & urinæ crassæ & acres decurrerint, aut ad abscessum morbus decubuerit. 10 Nux pinea, & myrrha, in eclegmate dentur. 11 Bibendum autem talibus ' acetum mulsum quam minimum dato. 12 Si vero valde siticulosi fuerint, aquam hordeaceam. 225 230 235

LII. Peripneumonicas ac pleuriticas affectiones sic considerare oportet, 2 an acuta sit febris, & dolores lateris alterius, aut utriusque: 3 & dum spiritus sursum fertur an doleat: 4 & an tusses adsint, 5 & sputa prodeant fulva, aut livida, aut etiam tenuia, & spumosa, & florida: 6 & si quid aliud diversum habeat, ab his quæ' illis fieri solent. Hunc sic degere oportet. 7 Siquidem dolor sursum tendat ad claviculam, aut circa mammam, & brachium, venam in brachio secare oportet internam, utra tandem fuerit parte, in ea ipsa: 8 detrahere vero sanguinem, juxta corporis habitum 240

ὥρην, καὶ ἡλικίην, καὶ χροιὴν, πλεῖον καὶ θαρσον· [9] κἢν ὀξὺ τὸ ἄλγημα ᾖ, ἄγειν πρὸς λειποθυμίην. [10] ἔπειτα ὑποκλύζειν μετὰ τοῦτο. [11] ἢν δὲ ὑποκάτω τοῦ θώρηκος ᾖ τὸ ἄλγημα, καὶ ξυντείνῃ λίην, τῷ πλευριτικῷ τὴν κοιλίην ὑποκάθαιρε. [12] μεσηγὺ δὲ τῆς καθάρσιος μηδὲν δίδου· [13] μετὰ κάθαρσιν δὲ, ὀξύμελι. [14] φαρμακεύειν δὲ τεταρταῖον. [15] τὰς δὲ ἐξ ἀρχῆς τρεῖς ὑποκλύζειν. [16] καὶ, ἢν μὴ κουφίζῃ οὕτως, ὑποκάθαιρε. [17] φυλακὴ δὲ ἔστω, ἕως ἀπύρετος καὶ ἑβδόμης. [18] ἔπειτα, ἢν ἀσφαλὴς φαίνηται ἐὼν, οὕτω. [19] χυλῷ ὀλίγῳ καὶ λεπτῷ τὸ πρῶτον ξὺν μέλιτι μίσγων, δίδου. [20] ἢν δὲ ἀνάγηται ῥηϊδίως, καὶ εὔπνοος ᾖ, καὶ ἀνώδυνος τὰ πλευρὰ, κατὰ σμικρὸν, παχυτέρῳ τε καὶ πλείονι, καὶ δὶς τῆς ἡμέρης. [21] ἢν δὲ μὴ ῥηϊδίως ἀπαλλάσσῃ, ἔλασσόν τε τὸ πόμα, καὶ τὸ ῥόφημα ὀλίγον, χυλὸν λεπτὸν, καὶ ἅπαξ, καὶ ἐν ὁποτέρῃ ἂν ὥρῃ βέλτιον διάγῃ. [22] γνώσῃ δὲ καὶ ἐκ τῶν οὔρων. [23] δεῖ δὲ ῥόφημα προσφέρειν τοῖσιν ἐκ τῶν νουσημάτων μὴ πρότερον ἢ πέπονα τὰ οὖρα ἢ πτύσματα ἴδῃς γεγενημένα. [24] ἢν δὲ φαρμακευθεὶς συχνὰ καθαρθῇ, ἀναγκαῖον διδόναι ἔλασσον καὶ λεπτότερον. [25] οὐ γὰρ δυνήσεται ὑπὸ κενεαγγείης ὑπνώσσειν, [26] οὐδὲ πέσσειν ὁμοίως, [27] οὐδὲ τὰς κρίσιας ὑπομένειν· [28] ἀλλ᾽, ἐπειδὰν ξυντήξιες ὠμῶν γένωνται, καὶ τὰ ἀντέχοντα ἀποβάλλῃ, αὐτέξει οὐδέν.

bitum, & tempus, & ætatem, & colorem, plus & confidenter. [9] & si acutus fuerit dolor, ducere usque ad animi deliquium. [10] Postea vero infusum per clysterem adhibere. [11] Si vero sub thorace fuerit dolor, & valde distendat, pleuritico medicamento alvum subpurgato, [12] & interim dum purgatur nihil dato. [13] Post purgationem vero acetum mulsum. [14] Medicamentum autem purgans exhibeto quarta die. [15] Verum per tres ab initio, infusum per clysterem adhibeto: [16] & si hinc non allevetur, sic subpurgato. [17] Custodia autem fiat usque ad febris quietem ac septimum diem: [18] deinde si in tuto esse videatur, [19] succum modicum ac tenuem primum melle ammixto exhibeto. [20] Si vero facile educat sputum, & bene spiret, ac doloris exors sit circa latera, etiam paulo crassiorem ac ampliorem, & bis in die dabis. [21] Si vero non facile liberetur, potionem pauciorem, & modicam sorbitionem, succum tenuem, cumque semel, & in quo tempore melius degit, exhibeto. [22] Cognosces autem hoc ex urinis. [23] Sorbitionem enim exhibere in his morbis non prius oportet, quam urinas concoctas, aut sputa matura facta esse videris. [24] Si vero is qui medicamentum accepit, frequenter & multum purgatus fuerit, necesse est dare, verum pauciorem ac tenuiorem. [25] Non enim poterit dormire, præ vasorum vacuatione: [26] neque similiter coquere: [27] neque judicationes sustinere ac expectare. [28] At ubi crudorum colliquationes factæ fuerint, & ea quæ renituntur abjecerit, nihil obstabit.

LIII. Πέπονα δέ ἐστι, τὰ μὲν πτύελα, ὁκόταν γένηται ὅμοια τῷ πύῳ· [2] τὰ δὲ οὖρα, τὰς ὑποστάσιας ὑπερύθρους ἔχοντα, ὁκοῖον ὀρόβου. [3] οὐδὲν δὲ κωλύει καὶ πρὸς τὰ ἄλλα ἀλγήματα τῶν πλευρέων καὶ χλιάσματα προστιθέναι, καὶ κηρώματα· [4] ἀλείφειν δὲ τὰ σκέλεα καὶ ὀσφὺν θερμῷ, καὶ λίπος ἐγκαταλείφειν. [5] ἐπὶ δὲ ὑποχόνδρια λίνου σπέρμα καταπλάσσειν ἕως μαζῶν. [6] ἀκμαζούσης δὲ τῆς περιπλευμονίης ἀβοήθητον, μὴ ἀνακαθαιρομένου, [7] καὶ πονηρὸν, ἢν δύσπνοος ᾖ, καὶ τὰ οὖρα λεπτὰ καὶ δριμέα, καὶ οἱ ἱδρῶτες περὶ τράχηλον καὶ κεφαλὴν γίνωνται. [9] οἱ τοιοῦτοι γὰρ ἱδρῶτες πονηροὶ, ὑπὸ πνιγμοῦ καὶ ῥογμοῦ καὶ βίης ἐπικρατεόντων τῶν νοσημάτων, [10] ἢν μὴ οὖρα πολλὰ καὶ παχέα ὁρμήσῃ, καὶ πτύσματα πέπονα ἔλθῃ. [11] ὅ, τι δ' ἂν τούτων αὐτοματίσῃ, λύσει τὸ νόσημα. [12] Περιπλευμονίης ἔκλεικτον, χαλβάνη καὶ κόκκαλος ἐν μέλιτι ἀττικῷ. [13] ἀβρότονον ἐν ὀξυμέλιτι, πέπερι, ἐλλέβορος μέλας, ἀποζέσας, καὶ πλευριτικῷ ἐν ἀρχῇ, περιωδυνέω ἐόντι, δίδου. [14] ἀγαθὸν δὲ καὶ τὸ πάνακες ἐν ὀξυμέλιτι ἀναζέσαντα καὶ διηθέοντα διδόναι πίνειν, [15] καὶ ἡπατικοῖσι, [16] καὶ τῇσιν ἀπὸ τῶν φρενῶν περιωδυνίῃσι, [17] καὶ, ὁκόσα δεῖ ἐς κοιλίην ἢ ἐς οὔρησιν, ἐν οἴνῳ καὶ μέλιτι· [18] τὰ δὲ ἐς κοιλίην, ξὺν ὑδαρεῖ μελικρήτῳ πίνειν πλέονι διδού.

LIV. Δυσεντερίη ἀπόστημα ἢ ἐπάρματα κατασταθεῖσα ποιήσει, [2] ἢν μὴ ἐς πυρετοὺς, ἢ ἱδρῶτας, καὶ οὖρα παχέα καὶ λευκὰ καὶ λίην ἐπιφανῆ, ἢ ἐς τριταίους, ἢ ἐς

κιρσὸν,

LIII. Matura vero sunt sputa quidem, quum similia fuerint puri. [2] Urinæ autem subsidentias habentes subrubras, velut est ervum. [3] Nihil autem prohibet, & ad alios laterum dolores tepefactoria apponere & cerata. [4] Inungere autem crura ac lumbos oleo calido: & pinguedinem illinere, [5] præcordia vero ex lini semine integere usque ad mammas. [6] At ubi in vigore est peripneumonia, auxilium non admittit, si non expurgetur: [7] & malum est si æger difficulter spiraverit: [8] & urinæ tenues & acres, & sudores circa collum ac caput fiant. [9] Tales enim sudores pravi sunt, præ suffocatione, & impetu ac violentia, superantibus morbis, [10] si non urinæ multæ ac crassæ prodierint, & sputa matura exierint. [11] Utrum autem horum sua sponte venerit, morbum solvit. [12] Ad peripneumoniam medicamentum quod delingitur. Nux pinea & galbanum, in melle attico. [13] Abrotonum in aceto mulso, piper, veratrum nigrum fervefacito, & pleuritico in principiis dum dolor vexat, bibenda dato. [14] Bonum est & panacem in aceto mulso fervefaccee, & excolare, ac bibendum dare, [15] tum hepaticis, [16] tum in doloribus septi transversi. [17] Et quæcunque ad ventrem, aut ad mictionem impellere oportet, hæc in vino & melle dabis, [18] illa ad ventrem, cum aqua mulsa aquosa copiosiore bibenda dato.

LIV. Dysenteria sedata abscessum, aut tumorem aliquem faciet, [3] si non ad febres, aut sudores, & urinas crassas, & albas, ac valde perspicuas, aut ad tertianas, aut ad varicem, aut ad

testem,

κιρσὸν, ἢ ἐς ὄρχιν, ἢ ἐς σκέλεα, ἢ ἐς ἰσχία στηρίξῃ ἡ ὀδύνη. 3 ἐν πυρετῷ χολώδεϊ πρὸ τῆς ἑβδόμης μετὰ ῥίγεος ἴκτερος ἐπιγενόμενος, λύει τὸν πυρετόν. 4 ἄνευ δὲ ῥίγεος ἢν ἐπιγένηται ἔξω τῶν ἡμερῶν, ὀλέθριον.

LV. Τέτανοι δὲ ὀσφύος, καὶ ἀπὸ μελαγχολικῶν διὰ φλεβῶν πνευμάτων ἀπολήψιες ὁκόταν ἔωσι, φλεβοτομίη λύει. 2 ὁκόταν δὲ ἀπὸ τῶν τενόντων σφοδρῶς ἔμπροσθεν ἀντισπῶνται, 3 καὶ ἱδρῶτες περὶ τράχηλον καὶ πρόσωπον, ὑπὸ τοῦ πόνου δακνο-35 μένων καὶ ' ξηραινομένων τῶν τενόντων '' καὶ τῶν ἐρωδέων. 4 43 οἱ παχύτατοι τὴν ῥάχιν ξυνέχουσιν, ἧ οἱ μέγιστοι ξύνδεσμοι καταπεφυκότες ἕως ἐς πόδας ἀποτελευτῶσι. 5 τοὺς τοιῶσδε, ἢν μὴ πυρετὸς καὶ ὕπνος ἐπιγένηται, καὶ τὰ ἑπόμενα οὖρα πέψιν ἔχοντα ἔλθῃ, καὶ ἱδρῶτες κρίσιμοι, 6 πίνειν οἶνον κρητικὸν οἰνώδεα, 7 καὶ ἄλητον ἑφθὸν ἐσθίειν, 8 καὶ κηρωτῇ ἀλείφειν καὶ ἐγχρίειν, 9 τά τε σκέλεα περιελίσσειν ἕως τῶν ποδῶν, θερμῷ προσβρέχων ἐν σκάφῃ, 40 10 καὶ βραχίονας ἕως ' δακτύλων κατειλίσσειν, 11 καὶ ὀσφὺν ἀπὸ τοῦ τραχήλου ἕως τῶν ἰσχίων, 12 σινδόνιον ἐγκηρώσας μαλακῷ δέρματι, ὅπως καὶ τὰ ἔμπροσθεν περιέξει. 13 καὶ διαλιπὼν πυρίαν, τοῖσιν ἀσκίοισι θερμὸν ὕδωρ ἐγχέων, 14 καὶ περιτείνων σινδόνιον ἐπανάκλινε αὐτόν. 15 κοιλίην δὲ μὴ λίην λύσῃς, ἢν μὴ βαλανίῳ, ἢν πολὺς ὁ χρόνος ᾖ, καθ' ὃν ἀδιαχώρητος μένει. 16 καὶ ἢν [μὲν] ἐπιδιδῷ τι σοι ἐπὶ τὸ βέλτιον· 17 εἰ δὲ μὴ, '' τοῦ μήου 44

ῥῆς

testem, aut ad crura, aut ad coxam dolor decubuerit. 3 In febre biliosa ante septimum diem, cum rigore morbus regius accedens, solvit febrem. 4 Verum sine rigore si accedat, ' extra temporis occasiones, perniciosus est. 280

LV. Tetanus lumborum in anteriorem ac posteriorem partem distentio: & in atrabiliariis, ubi spirituum per venas interceptiones fuerint, venæ sectione solvuntur. 2 Quum autem à tendinibus vehementer in anteriorem partem revelluntur, 3 & circa collum ac faciem sudores fiunt, dum præ dolore mordentur ac resiccantur tendines usque ad sacri ossis finem ' exporrecti, 285 4 qui crassiores spinam continent, qua parte maxima ligamenta exorta, deorsum ad pedes usque desinunt. 5 Tali si non febris & somnus accesserit, & sequentes urinæ concoctionem habentes prodierint, & sudores judicatorii, 6 vinum creticum vinosum bibendum dato, 7 & ferinam coctam edendam. 8 Et cerato ungito ac illinito, 9 & integito crura usque ad pedes, ubi calida aqua prius in scapha perfudisti: 10 ' brachia quoque ad 290 digitos usque integito: 11 & lumbos ac spinam è collo usque ad coxas, 12 pinguedine incerata molli pelli illita circumdato, ita ut etiam anteriores partes complectantur: 13 & interposito tempore, per utriculos calida aqua infusa foveto, 14 & circumtento linteo ipsum reclinato. 15 Alvum vero ne valde solvas, nisi glandula subdititia, si multum tempus fuerit, quo absque egestione permansit: 16 & siquidem in ' melius res tibi processerit, satis 295 est: 17 sin minus, meu radicem

in

τῆς ῥίζης τρίβων ἐν οἴνῳ εὐώδει, 18 καὶ δαῦκον πίνειν δίδου πρωῒ νήστει, πρὸ τοῦ βρέχειν. 19 καὶ ταχὺ ἐπὶ τούτοισι τὸ ἄλευρον ἑφθὸν χλιαρὸν ἐσθιέτω ὡς πλεῖστον, 20 καὶ οἶνον, ὁκόταν βούληται, εὔκρητον ἐπιπινέτω. 21 καὶ, ἢν μέν σοι ἐπιδιδῷ ἐπὶ τὸ βέλτιον· 22 εἰ δὲ μὴ, προλέγειν.

LVI. Τὰ δὲ νοσήματα πάντα λύεται ἢ κατὰ στόμα, 2 ἢ κατὰ κοιλίην, 3 ἢ κατὰ κύστιν, 4 ἢ τινος ἄλλου τοιούτου ἄρθρου. 5 ἡ δὲ τοῦ ἱδρῶτος ἰδέη κοινὴ ἁπάντων. 6 Ἐλλεβορίζειν δὲ χρὴ, οἷσιν ἀπὸ κεφαλῆς φέρεται ῥεῦμα. 7 ὁκόσοι δὲ ἐξ ἀποστημάτων, 8 ἢ φλεβορραγίης, 9 ἢ δι' ἀκρησίην, 10 ἢ δι' ἄλλην τινὰ ἰσχυρὴν αἰτίην ἔμπυοι γίνονται, 11 μὴ δίδου ἐλλέβορον τοῖσι τοιουτέοισιν· 12 οὐδὲν γὰρ ὠφελήσει, καὶ, ἤν τι πάθῃ, αἴτιον δόξει εἶναι ἐλλέβορος. 13 ἢν δὲ διαλύηται τὸ σῶμα, 14 ἢ πόνος ἐν κεφαλῇ, 15 ἢ ἐμπεπλασμένα τὰ οὔατα, ἢ ῥὶς, 16 ἢ πτυελισμὸς, 17 ἢ γουνάτων βάρος, 18 ἢ σώματος ὄγκος παρὰ τὸ ἔθος, ὅ, τι ἂν ξυμβαίνῃ, 19 μήτε ὑπὸ ποτῶν, 20 μήτε ὑπὸ ἀφροδισίων, 21 μήτε ὑπὸ λύπης, 22 μήτε ὑπὸ φροντίδων, 23 μήτε [ὑπὸ] ἀγρυπνιῶν, 24 κ' ἢν μέν τι τουτέων ἔχῃ αἴτιον, πρὸς τοῦτο ποιέεσθαι τὴν θεραπείην.

LVII. Τὰ δὲ ἐκ κοπώσιος ἀλγήματα, πλευρέων, νώτου, ὀσφύος, ἰσχίων, 2 καὶ ὁκόσα ἀναπνέοντες ἀλγέουσι, πρόφασιν ἔχοντες· 3 πολλάκις γὰρ μεμάθηκε φοιτεῖν ἐκ κραιπαλέων καὶ βρωμάτων φυσωδέων 4 ἀλγήματα ἐς ὀσφὺν καὶ ἐς ἰσχία. οἷσι δ' ἂν αὐτέων ἢ τοιάδε, δυσου-

in vino odorato tritam, 18 & daucum bibenda dato, mane ubi jejunus est ante calidæ perfusionem: 19 & post hæc brevi farinam coctam, tepidam, plurimam edat, 20 & vinum ubi voluerit, bene temperatum insuper bibat: 21 & siquidem in melius res tibi processerit, satis est. 22 Sin minus, prædicere oportet.

LVI. Morbi porro omnes solvuntur, aut per os, 2 aut per alvum, 3 aut per vesicam, 4 aut alium aliquem ejusmodi articulum. 5 Verum sudoris species omnibus communis est. 6 Veratrum dare his oportet, quibus à capite fluxio fertur. 7 Quicunque vero ex abscessibus, 8 aut venæ ruptura, 9 aut propter intemperantiam, 10 aut ob aliam quandam fortem causam, suppurati fiunt, 11 talibus veratrum ne dato. 12 Nihil enim profuerit, & si quid perpetietur æger, veratrum in causa esse videbitur. 13 Si vero corpus dissolvatur, 14 aut dolor in capite sit, 15 aut aures obturatæ sint, aut nares, 16 aut sputatio, 17 aut genuum gravitas sit, 18 aut corporis tumida moles præter consuetudinem, dato quicquid tandem horum contigerit, 19 si non ex potibus, 20 neque ex rebus venereis, 21 neque ex tristitia, 22 neque ex curis, 23 neque vigiliis hæc fiant: 24 & siquidem horum quid in causa fuerit, ad hoc ipsum curationem instituito.

LVII. Dolores ex itinere, laterum, dorsi, lumborum, coxarum, 2 & quicunque respirantes dolent, causam manifestam habentes (3 sæpe enim ex crapulis & cibis flatuosis, 4 dolores procedere solent, & ad lumbos, & ad coxam) Quibus vero ipsorum

δυσουρέεται. 5 τούτων δὲ πορείη αἰτίη, καὶ κορυζέων καὶ βραγχῶν. 6 ὁκόσα δὲ ἀπὸ διαιτημάτων, τὰ μὲν πολλὰ ἕκαστος, ὡς ἂν παρὰ τὸ ἔθος διαιτηθῇ, μάλιστα ἐπισημαίνει. 7 καὶ γὰρ, ὁκόσοι ἂν μὴ μεμαθηκότες ἀριστᾷν, ἢν ἀριστήσωσιν, ὄγκος πολὺς αὐτέοισι τῆς γαστρὸς, καὶ νυσταγμὸς, καὶ πληθώρη. 8 ἢν δὲ ἐπιδειπνήσωσι, κοιλίη ἐκταράσσεται. 9 ξυμφέρει δὲ τουτέοισιν ἐκλουσαμένοισιν καθεύδειν. 10 κοιμηθέντας δὲ περιπατῆσαι βραδέως συχνὴν περίοδον. 11 κἢν μὲν λαπαχθῇ, δειπνῆσαι καὶ πιεῖν οἶνον ἐλάσσονα ἀκρητέστερον. 12 ἢν δὲ μὴ λαπαχθῇ, ὑποχρίσασθαι τὸ σῶμα θερμῷ, 13 καὶ ὑδαρέα οἶνον λευκὸν ἢ γλυκὺν, ἢν διψῇ, ἐπιπίοντα ἀναπαύεσθαι. 14 ἢν δὲ μὴ ἐγκοιμηθῇ, πλείω ἀναπαύεσθαι. 15 τὰ δ' ἄλλα ὁμοίως τοῖσιν ἐκ κραιπάλης διαιτάσθω.

LXIIX. Τὰ δὲ ἀπὸ πομάτων, ὁκόσα μὲν ὑδαρέα, βραδυπορώτερά ἐστι, 2 καὶ ἐγκυκλέεται, 3 καὶ ἐπιπολάζει περὶ ὑποχόνδρια, 4 καὶ ἐς οὔρησιν οὐ καταρρέει. 5 τοιούτου δὲ πόματος πληρωθεὶς, μηδὲν ἔργον ὀξέως διαπρήξῃ, ὁκόσα τῷ σώματι ξυνταθέντι, βίῃ ἢ τάχει πονέειν ξυμβαίνει. 6 ὡς μάλιστα δὲ ἡσυχαζέτω, ἕως ἂν καταπεφθῶσι μετὰ τῶν σιτίων. 7 ὁκόσα δὲ τῶν πομάτων ἀκρητέστερά ἐστιν ἢ αὐστηρότερα, παλμὸν ἐν τῷ σώματι καὶ σφυγμὸν ἐν τῇ κεφαλῇ ἐμποιέει. 8 τούτοισι καλῶς ἔχει ἐπικοιμᾶσθαι, καὶ θερμόν τι ῥοφέειν 9 πρὸς ἅπερ μάλιστα ἡδέως ἔχουσι. 10 νηστείη δὲ πονηρὸν πρὸς τὴν κεφαλαλγίην

rum talia fuerint, urinæ difficultas ipsis accedit. 5 Horum autem causa iter est, & gravedinum ac raucedinum. 6 Quæcunque ex victus ratione contingunt, pleraque unusquisque prout præter consuetudinem victu usus fuerit, maxime annotat. 7 Nam qui non soliti sunt prandere, si pransi fuerint, multus ventris tumor ipsis accedit, & dormitatio, ac repletio. 8 Si vero insuper cœnaverint, alvus exturbatur. 9 His ubi balneo usi sunt, dormire conducit. 10 Ubi vero dormiverunt, deambulare lenta ac multa circuitione: 11 & siquidem alvus evacuata fuerit, cœnare, & bibere vinum paucum, meracius. 12 Si vero evacuata non fuerit, corpus oleo calido illinere: 13 & si sitierit, vinum aquosum album aut dulce bibere ac quiescere. 14 Si vero non obdormierit, amplius quiescere. 15 Reliquus victus similiter ut his qui crapula gravantur, constituatur.

LXIIX. Quod vero ad potus attinet, qui quidem aquosi sunt, tardioris transitus sunt, 2 & intus obvolvuntur, 3 & circa præcordia redundant, 4 & ad mictionem non decurrunt. 5 Tali vero potu repletus, nullum opus celeriter perficere poterit, ex his quæ intento corpore per violentiam aut celeritatem perfici solent. 6 Quiescat autem quam maxime, donec una cum cibis concoctus fuerit. 7 Quicunque vero potus meraciores sunt, aut austeriores, palpitationem in corpore, & pulsationem in capite inducunt. 8 His commodum est ut insuper dormiant, & calidum quid sorbeant, 9 ad quod maxime jucunde affecti sunt. 10 At vero jejunium ad capitis dolorem

λαλγέῃν καὶ κραιπάλῃν. [11] ὁκόσοι δὲ μονοσιτέουσι, κεῖνοι καὶ ἀδύνατοί εἰσι, καὶ οὐρέουσι θερμὸν, παρὰ τὸ ἔθος κενεαγγέοντες. [12] γίνεται δὲ καὶ τὸ στόμα ἁλυκὸν, καὶ πικρόν· [13] καὶ τρέμουσιν ἐν παντὶ ἔργῳ· [14] καὶ κροτάφους ἐπιξυντείνονται· [15] καὶ τὸ δεῖπνον οὐ δύνανται πέσσειν, ὅκως περ ἢν ἠριστηκότες ἔωσι. [16] τούτους δὲ χρὴ πίνειν ἔλασσον ἢ μεμαθήκασι, [17] καὶ ὑγροτέρην μάζαν αὐτὶ ἄρτου· καὶ λαχάνων λάπαθα, ἢ μαλάχην, ἢ πτισάνην, ἢ σεῦτλα. [18] πίνειν δὲ κατὰ τὸ σιτίον, οἶνον, ὁκόσον ξύμμετρον καὶ ὑδαρέστερον· [19] καὶ ἀπὸ δείπνου περιπατῆσαι ὀλίγον, ἕως οὖρον καταδράμῃ καὶ οὐρήσῃ. [20] χρήσθω δὲ καὶ ἰχθύσιν ἑφθοῖσιν.

rem ac crapulam malum est. [11] Cæterum qui semel in die cibum capiunt, hi & impotentes sunt, & calidam urinam mingunt, præter consuetudinem vasa vacua habentes: [12] fit autem & os salsum ac amarum, [13] & in omni opere tremunt, [14] & tempora ipsis distenduntur, [15] & cœnam concoquere non possunt, velut si pransi essent. [16] Hos autem minus bibere oportet, quam soliti fuerunt, [17] & mazam liquidiorem pro pane sumere: & ex oleribus, rumicem, aut malvam, aut ptisanam, aut betas. [18] Bibere vero vinum inter cibum, moderatum & aquosius: [19] & à cœna modice deambulare, donec urina descenderit, ac minxerint. [20] Utantur autem & piscibus coctis.

LXIX. Βρώματα δὲ μάλιστα ἐπισημαίνει. [2] Σκόροδον φῦσαν, καὶ θέρμην περὶ τὸν θώρηκα καὶ κεφαλῆς βάρος, καὶ ἄσην, καὶ εἴ τι ἄλλο ἄλγημα εἴη μεμαθηκὸς πρόσθεν, παροξύνειεν ἄν. [3] οὐρητικὸν δὲ καὶ τοῦτο ἔχει ἀγαθόν. [4] ἄριστον δὲ αὐτοῦ φαγεῖν, εἰ μέλλοι τις ἐς πόσιν ἰέναι, ἢ μεθύειν. [5] Τυρὸς δὲ φῦσαν ἐμποιέει, καὶ στεγνότητα. [6] καὶ σιτίων ἔξαψιν ποιέει τε, τ' ὠμὸν καὶ ἄπεπτον. [7] κάκιστον δὲ, ἐν ποτῷ φαγεῖν πεπληρωμένοισιν. [8] Ὄσπρια δὲ πάντα φυσώδεα, καὶ ὠμὰ, καὶ ἑφθά· [9] καὶ πεφρυγμένα, καὶ βεβρεγμένα, καὶ χλωρά. [10] τούτοισι δὲ μὴ χρέεσθαι, ἢν μὴ καὶ μετὰ ἑτέρων σιτίων. [11] ἔχει δὲ καὶ ἰδίας μοχθηρίας ἕκαστον αὐτέων. [12] Ἐρέβινθος μὲν, φῦσαν ὠμὸς καὶ πεφρυγμένος, καὶ πόνον ἐμποιέει. [13] Φακὸς δὲ στύφει, καὶ ταραχὴν ἐμποιέει, ἢν

LIX. Edulia porro maxime de se significationem præbent. [2] Allium, flatum & calorem circa thoracem facit, & capitis gravitatem, & anxietatem, & si quis alius dolor antea fieri consuevit, eum exacerbaverit. [3] Urinam autem ciet, & hoc bonum habet. [4] Optimum vero est ut quis ipsum edat, si aut ebrius est, aut ad potationem ire volet. [5] Caseus flatum, & adstrictionem, [6] & ciborum accensionem facit, quum crudum & incoctile sit edulium: [7] pessimum autem est repletos ipsum inter potum edere. [8] Legumina omnia flatuosa sunt, & cruda, & cocta, [9] & fricta, & macerata, & viridia. [10] His autem utendum non est nisi cum cibis. [11] Unumquodque vero ex ipsis sua peculiaria vitia habet. [12] Cicer flatum, tum crudum, tum frictum, & dolorem inducit. [13] Lens adstringit, & turbationem inducit, si cum cortico

ἢν μετὰ τοῦ φλοιοῦ ᾖ. 14 Θέρμος δὲ ἥκιστα τουτέων κακὸν ἔχει. 15 Σιλφίου δὲ καυλὸς καὶ ὀπὸς ἔστι μὲν οἷσι μάλιστα· 16 τοῖσι δὲ ἀπείροισιν οὐ διέρχεται τῇ κοιλίῃ. 17 40 ἀλλὰ καλέεται ξηρὴ χολέρη. 18 μάλιστα δὲ γίνεται, ἢν μετὰ πολλοῦ τυροῦ μιχθῇ ἢ κρεηφαγίης βοείων κρεῶν.

LX. Τὰ μὲν γὰρ μελαγχολικὰ παθήματα καὶ παροξύνεται ὑπὸ βοείων κρεῶν. 2 ἀνυπέρβλητος γὰρ ἡ φύσις αὐτέων, 3 καὶ οὐ τῆς τυχούσης κοιλίης καταπέψαι. 4 βέλτιστα δ' αὖ καὶ ἀπαλλάττοιεν, εἰ διέφθοισί τε χρέοιντο, καὶ ὡς παλαιοτάτοισι. 5 47 Αἴγεια δὲ κρέα ξυμφορώτερα· 6 πλὴν, ὅσα τὰ βοέοισιν ἔνι κακὰ, πάντα ἔχει. 7 ἤγουν τήν τε ἀπεψίην, 45 καὶ φυσωδέστερα, καὶ ἐρευγματώδεα, καὶ χολέρης γεννητικά. 8 ἔστι δὲ τὰ εὐωδέστατα, στερεὰ καὶ ἥδιστα, ταῦτα ἄριστα διέφθα καὶ ψυχρά· 9 τὰ δὲ ἀηδέστατα, καὶ δυσώδεα καὶ σκληρὰ, ταῦτα κάκιστα. 10 ἀλλὰ δὴ καὶ τὰ πρόσφατα. 11 βέλτιστα δέ ἐστιν ἐν θέρεος καιρῷ· ἐν δὲ μετοπώρου καιρῷ, κάκιστα. 12 Χοίρεα δὲ πονηρὰ, ὁκόταν ᾖ ἐνωμότερα, ἢ ἐπικεκαυμένα. 13 χολερώτερα δ' αὖ εἴη, καὶ ἐκταρακτικά. 14 Ὕεια δὲ βέλτιστα τῶν κρεῶν ἁπάντων. 15 κράτιστα δὲ, τὰ μήτε ἰσχυρῶς πίονα, 385 μήτε πάλιν ἰσχυρῶς λεπτὰ, 16 μήτε ἡλικίην φέροντα παλαιοῦ 48 ἱερείου. 17 ἐσθίειν δὲ αὐτὰ τῆς φορίνης καὶ ὑπόψυχρα.

LXI. Χολέρης δὲ ξηρῆς ἡ γαστὴρ πεφύσηται, καὶ ψόφοι ἔνεισι, 2 καὶ ὀδύνη πλευρέων καὶ ὀσφύος. 3 διαχωρέει δὲ οὐδὲν κάτω, ἀλλ' ἀπο-

tice ſumatur. 14 Lupinus minime inter hæc mala habet. 15 Silphii caulis & ſuccus, quibuſdam quidem maxime, 16 inexpertis autem non tranſit per ventrem. 17 Verum vocatur hoc malum cholera ſicca. 18 Fit autem maxime, ubi cum multo caſeo 336 mixtus fuerit, aut cum carnis bubulæ eſu.

LX. Nam & atrabilariæ affectiones à bubularum carnium eſu exacerbantur. 2 Eſt enim inſuperabilis ipſarum natura, 3 & non cujuſvis ventriculi eſt ipſas concoquere. 4 Optime tamen ipſas concoxerint, ac ſummoverint, qui percoctis, & quam vetuſtiſſimis utantur. 5 At caprinæ carnes 6 quæcunque in bubulis inſunt mala, omnia habent: 7 itemque à concoctione alienitatem: & flatuoſiores ſunt ac ru- 333 ctus ampliores faciunt, & choleram generant. 8 Sunt autem odoratiſſimæ, ſolidæ ac jucundiſſimæ, optimæ & percoctæ & frigidæ. 9 Verum injucundiſſimæ & graveolentes ac duræ, peſſimæ: 10 imo etiam recentes. 11 Optimæ vero ſunt æſtatis tempore: peſſimæ autumno. 12 Porcinæ vero carnes pravæ ſunt, quum fuerint crudiores aut ambuſtæ. 13 Magis autem choleram generant, & turbationem faciunt. 14 Suillæ autem optimæ ſunt 306 omnium carnium, 15 Sed præſtant etiam ex his quæ non vehementer pingues ſunt, neque tenues, 16 neque veteris victimæ ætatem habent. 17 Edere vero ipſas oportet abſque pelle, & ſubfrigidas.

LXI. In cholera ſicca venter inflatus eſt, & ſtrepitus inſunt, 2 dolor laterum ac lumborum. 3 Secedit autem nihil deorſum,

ἀπεστέγνωνται. 4 τὸν τοιόνδε διαφύλαξον, ὅκως μὴ ἐμέσηται, ἀλλ' ἡ κοιλίη ὑπελάσηται. 5 κλύσον οὖν ὅτι τάχιστα θερμῷ καὶ ὡς λιπαρωτάτῳ. 6 καὶ ἐς ὕδωρ, ἀλείφων ὡς πλεῖστον, κάθιζε θερμὸν, ἐν σκάφῃ κατακλίνων, καὶ τὸ θερμὸν παράχει κατὰ μικρόν. 7 καὶ, ἢν θερμαινομένῳ αὐτέῳ ἡ κοιλίη ὑπάγῃ, λέλυται. 8 ξυμφέρει δὲ καὶ ἐγκοιμηθῆναι τῷ τοιῷδε, 9 καὶ πίνειν οἶνον λεπτὸν καὶ παλαιὸν καὶ ἀκρητέστερον. 10 καὶ ἔλαιον διδόναι, ὥστε ἡσυχίην, καὶ ἡ κοιλίη ὑποίη, καὶ λέλυται. 11 σιτίων δὲ καὶ τῶν ἄλλων ἀπεχέσθω. 12 ἢν δὲ μὴ λύῃ ὁ πόνος, ὄνου γάλα δίδου πίνειν, ἕως ἂν καθαρθῇ. 13 ἢν δὲ ὑγρὴ ἡ κοιλίη ᾖ, καὶ χολὴ ὑποχωρέῃ, καὶ στρόφοι, καὶ ἔμετοι, καὶ πνιγμοί, τούτοισιν κράτιστον ἀτρεμίζειν· 14 πίνειν δὲ μελίκρητον, καὶ μὴ ἐξεμέειν.

LXII. Ὑδρώπων δύο φύσιες, ὧν ὁ μὲν, ὑποσαρκίδιος ἐγχειρέων γίνεσθαι, ἄφυκτος· 2 ὁ δὲ μεθ' ἐμφυσημάτων, πολλῆς εὐτυχίης δεόμενος· 3 μάλιστα δὲ, ὑπὸ ταλαιπωρίης καὶ πυρίης καὶ ἐγκρατείης, ξηρὰ καὶ δριμέα ἐσθιέτω. 4 οὕτω γὰρ οὐρητικώτατος ἂν εἴη, καὶ ἰσχύοι μάλιστα. 5 ἢν δὲ δύσπνοος ᾖ, καὶ ἡ ὥρη ἐαρινὴ ἐοῦσα τυγχάνῃ, καὶ ἡλικίη ἅμα ἀκμάζῃ, καὶ ῥώμη ᾖ, ἀπὸ τοῦ βραχίονος αἷμα ἀφαιρέειν. 6 εἶτα θερμοὺς ἄρτους ἐξ οἴνου μέλανος καὶ ἐλαίου ἀποβάπτων ἐσθιέτω, 7 καὶ ὡς ἐλάχιστα πινέτω, 8 καὶ ὡς πλεῖστα πονεέτω, 9 καὶ κρέα ὕεια σαρκώδεα ἐσθιέτω μετ' ὄξεος ἑφθὰ, ὅκως πρὸς τοὺς προσάντεας περιπάτους ἀντέχῃ. 10 Ὁκόσοι κοιλίας τὰς κάτω θερμὰς ἔχουσι, καὶ δριμέα τὰ ὑποχωρήματα

sed alvus adstricta est. 4 Talem observato ut ne vomat, sed alvus subeat. 5 Infusum itaque calidum ac pinguissimum quam citissime per clysterem immittito: 6 & oleo illitum in aquam plurimam calidam demittito, in solium reclinans, & calidam paulatim affundens. 7 Et si calescenti ipsi alvus subierit, morbus solutus est. 8 Dormire quoque tali conducit, 9 & bibere vinum tenue, & vetus ac meracius, 10 & oleum dato, ut & quiescat, & alvus subeat, & solvatur morbus: 11 à cibis vero & aliis abstineat. 12 Si vero non remiserit dolor, asininum lac bibendum dato, donec purgatus fuerit. 13 At si liquida fuerit alvus, & bilis subeat, & tormina sint, & vomitus, ac suffocationes: his optimum fuerit quiescere: 14 bibere vero aquam mulsam, & non vomere.

LXII. Hydropum duæ naturæ sunt: quorum alter sub carne si fieri aggreditur, inevitabilis est. 2 Qui vero cum inflationibus fit, multa bona fortuna opus habet, 3 maxime autem ærumnis, & fomentis, ac temperantia. Edat autem sicca & acria. 4 Sic enim vel maxime urinam ejecerit, & plurimum viribus polluerit. 5 Si vero difficulter spiraverit, & tempus vernum fuerit, & simul ætas viguerit, & virium robur adsit, de brachio sanguinem detrahere oportet: 6 deinde panes calidos ex vino nigro & oleo tinctos edat: 7 & quam minimum bibens, 8 quam plurimum laboret, 9 & carnes suillas carnosas edat cum aceto coctas, ut adversus acclives deambulationes reniti possit. 10 Quicunque infernum ventrem calidum habent, & alvi egestiones acres & inæqua-

χρήματα καὶ ὠμὰ διέρχεται, ὑπὸ ξυντήξιος αὐτέοισιν. [11] Ἢν μὲν δυνατοὶ ἔωσιν, ἐλλεβόρῳ τῷ λευκῷ ἀνακαθᾶραι. [12] Ἢν δὲ μὴ, ὁ χυλὸς τῶν σητανίων πυρῶν παχὺς [καὶ] ψυχρὸς, [13] καὶ τὸ φάκιον ἔτνος, [14] καὶ ἄρτοι ἐγκρυφίαι, [15] καὶ ἰχθύες, πυρέσσοντι μὲν, ἑφθοὶ· ἀπυρέτῳ δὲ ἐόντι, ὀπτοί. [16] καὶ οἶνος μέλας ἀπυρέτῳ· [17] ἢν δὲ μὴ, ὕδωρ ἀπὸ μεσπίλων, ἢ μύρτων, ἢ μήλων, ἢ οὔων, ἢ φοινικοβαλάνων, ἢ οἰνάνθης ἀμπελικῆς.

LXIII. Ἢν δὲ πυρετὸν μὴ ἔχῃ, καὶ στρόφοι ἔωσι, γάλα ὄνειον θερμὸν, ὀλίγον τὸ πρῶτον, ἔπειτα ἐκ προσαγωγῆς πλέον· [2] καὶ λίνου σπέρμα, [3] καὶ πύρινα ἄλφιτα, [4] καὶ τῶν αἰγυπτίων κυάμων ἐξελὼν τὰ πικρὰ, καταλέσας καὶ ἐπιπάσσων, πινέτω. [5] καὶ ᾠὰ ἡμιπαγέα ἐσθιέτω ὀπτά. [6] καὶ σεμίδαλιν, καὶ κέγχρον, καὶ χόνδρον ἑφθὸν ἐν γάλακτι, ἑφθὰ ψυχρὰ ἐσθιέτω. [7] καὶ τὰ τούτοισιν ὅμοια καὶ ποτὰ καὶ ἐδέσματα προσφερέσθω. [8] Τῆς διαιτητικῆς ἐστὶ μέγιστον, παρατηρεῖν καὶ φυλάσσειν, ὥσπερ ἐν τοῖς ὀξέσι καὶ ἐν τοῖσι μακροῖσιν ἀῤῥωστήμασι, καὶ τὰς ἐπιτάσιας τῶν πυρετῶν, καὶ τὰς ἀνέσιας, [9] ὥστε τοὺς καιροὺς διαφυλάσσεσθαι, ὁκότε μὴ δεῖ τὰ σιτία προσενεγκεῖν. [10] καὶ, ἀσφαλέως ὁκότε δεῖ προσενεγκεῖν, εἰδέναι. [11] ἔτι δὲ, ὁκόταν πλεῖστον ἀπέχωσι τῆς ἐπιτάσιος.

LXIV. Εἰδέναι δὲ [δεῖ] τοὺς κεφαλαλγικοὺς, ἐκ γυμνασίων, ἢ δρόμων, ἢ πορειῶν, ἢ κυνηγεσίων, ἢ ἄλλου τινὸς πόνου ἀκαίρου, ἢ ἐξ ἀφροδισίων· [2] τοὺς ἀχρόους· [3] τοὺς βραγχαλέους· [4] τοὺς σπληνώδεας· [5] τοὺς ἀφαίμους· [6] τοὺς πνευματώδεας· [7] τοὺς

inæquales ipsis prodeunt præ colliquatione: [11] his siquidem potentes fuerint, veratro albo revellere oportet. [12] Sin minus, succus tritici horni crassus, frigidus dandus est, [13] & lenticulæ fresæ decoctum, [14] & panes subcineritii, [15] & pisces frebrienti quidem cocti, non vero febrienti, assati; [16] & vinum nigrum non febrienti: [17] sin minus, aqua à mespilis, aut myrti baccis, aut malis, aut sorbis, aut palmulis, aut vitium œnanthe.

LXIII. Si vero febris non habeat, & tormina adsint, lac asininum calidum modicum primum: deinde sensim facto progressu amplius, [2] & lini semen, [3] & triticeam polentam, [4] & fabas ægyptias, exempto eo quod in ipsis amarum est, molita ac trita hæc inspergens bibat: [5] aut ova semiconcreta assata edat, [6] & similaginem, & milium: & alicam coctam in lacte: hæc cocta frigida edat, [7] & quæ his similia existunt, tùm pocula, tum edulia in cibo assumat. [8] Maximi momenti circa victus rationem, est observare ac cavere, tum in acutis, tum in longis morbis, & intensiones febrium, & remissiones, [9] quo temporum occasiones scias, quando cibos adhibere non oportet, [10] & quando tuto exhiberi possunt. [11] Insuperque quando plurimum ab intentione absunt.

LXIV. Nosse porro oportet, eos quibus caput dolet ab exercitationibus, aut cursibus, aut profectionibus, aut venationibus, aut ex alio quopiam intempestivo labore, aut ex re venerea: [2] decolores item, [3] raucosos, [4] splenicos, [5] exangues, [6] spirituosos, [7] & siccam tussim habente-

τοὺς ξυνεχέως βήσσοντας· 8 τοὺς διψώδεας· 9 τοὺς φυσώδεας· 10 [τὰς] φλεβῶν ἀπολήψιας· 11 [τοὺς] ἐντεταμένους ὑποχόνδρια, καὶ πλευρὰ, 35 καὶ μετάφρενον· 12 τοὺς ἀποναρκωμένους, 13 καὶ ἀμαυρὰ βλέποντας, 14 καὶ οἷσιν ἦχοι τῶν ὤτων ἐμπίπτουσι· 15 καὶ τὰς οὐρήθρας ἀκρατέως διακειμένους· 16 τοὺς ἰκτερώδεας, 17 καὶ ὧν αἱ κοιλίαι ὠμὰ ἐκβάλλουσι· 18 καὶ [τοὺς] αἱμοῤῥαγέοντας ἐκ ῥινὸς ἢ καθ' ἕδρην σφοδρῶς· 19 ἢ ἐνεμφυσήματα ἔχοντας, ἢν πόνος αὐτοῖσιν ἐπιτρέχῃ σφοδρὸς, καὶ μὴ ἐπικρατέωσι. 20 τῶν τοιῶνδε μηδένα φαρμακεύειν. 21 κίνδυνον τε γὰρ ἕξεις καὶ οὐδὲν ὀνήσεις. 22 τάς τε ἀπὸ τοῦ αὐτομάτου ἀπαλλάξιας καὶ κρίσιας ὑφαιρήσεις.

40 LXV. Ἢν δὲ αἷμά τινι ξυμφέρῃ ἀφαιρέειν, στερεὴν πρότερον ποιέειν τὴν κοιλίην, καὶ οὕτως ἀφαιρέειν, καὶ λιμαγχονέειν, καὶ οἶνον ἀφαιρέειν αὐτέων. 2 ἔπειτα τῇ διαίτῃ τῇ προσηκούσῃ τὰ ἐπίλοιπα αὐτέων, καὶ πυριήσιν ἐνικμοῖσιν θεραπεύειν. 3 ἢν δέ σοι καὶ πυκνὸς ἡ κοιλίη δοκέῃ εἶναι, μαλθακῷ κλύσματι ὑποκλύζειν. 4 ἢν δὲ φαρμακεῦσαι δόξῃ, ἐλλεβόρῳ ἀσφαλέως ἄνω κάθαιρε, κάτω δὲ μηδενὶ τῶν τοιῶνδε. 5 κράτιστα δὲ, ἐς οὔρησιν, καὶ ἐς ἱδρῶτας, καὶ ἐς περιπάτους ἄγειν. 6 καὶ τρίψει 45 ἡσύχῳ χρέο, ἵνα μὴ πυκνώσῃς τὴν ἕξιν. 7 ἢν δὲ κλινοπετὴς ᾖ, ἄλλοι τριβέτωσαν αὐτόν, 8 καὶ, ἢν μὲν ἐν τῷ θώρηκι ὑπὲρ τῶν φρενῶν λυπέῃ τὸ πάθος, αὐτὸν ἀνακαθίζειν ὡς πλειστάκις, καὶ ὡς ἥκιστα προσκλινέσθωσαν, ἐς ὅτε δυνατοί εἰσι, 9 καὶ καθίζοντα ἀνατρίβειν μὲν πολὺν

χρόνον

bentes, 8 & siticulosos, 9 & flatuosos, 10 & venarum interceptiones: 11 & eos qui intenta habent præcordia, & latera, & dorsum, 12 & torpefactos, 13 & 400 obscure videntes, 14 & quibus aurium sonitus incidunt, 15 & qui urinariam fistulam urinam non continentem habent, 16 & morbo regio laborantes, 17 & quorum alvi cruda ejiciunt, 18 & quibus ex naribus, aut per sedem sanguis vehementer erumpit, 19 & qui tubercula habent, & quibus vehemens dolor incurrit, & non superaverint: 20 ex talibus nullum medicamento purgandum esse. 21 Periculum enim habebis, & nihil opis afferes; 405 22 & spontaneas liberationes ac judicationes tolles.

LXV. At si sanguinem alicui detrahere conducit, solidam alvum facere oportet, atque sic detrahere, & fame macerare, ac vinum auferre. 2 Postea victu conveniente, & fomentis humidis, reliquam curationem perage. 3 Si vero alvus densa ac adstricta esse videatur, molle infusum per clysterem immitte. 4 Si vero medicamentum dare visum fuerit, per veratrum tuto sur- 410 sum purga. Deorsum vero nullum talium. 5 Optimum autem est ad mictionem, & ad sudores, & ad deambulationes perducere, 6 & leni frictione uti, ut ne habitum densum efficias. 7 Si vero in lecto decumbat, alii ipsum fricent. 8 Et siquidem in thorace supra septum transversum, affectio ipsum infestarit, plurimum resideat, & minime ipsum reclinent: quandiu vires tolerant: 9 & sedentem multo tempore

multo

χρόνον πολλῷ θερμῷ. [10] ἢν δὲ ἐν τῇ κάτω κοιλίῃ ὑπὸ φρένας ἴσχῃ τὰ ἀλγήματα, ἀνακέεσθαι ξυμφέρει, [11] καὶ μηδεμίην κίνησιν κινέεσθαι τῷ τοιῷδε σώματι ξυμφέρει, ἔξω τῆς ἀνατρίψιος. [12] τὰ δὲ ἐκ τῆς 384 κάτω κοιλίης λυόμενα δι' οὔρων καὶ ἱδρώτων, ἢν ὀλισθῇ μετρίως, ὑπὸ αὐτοματισμοῦ λύεται τὰ σμικρά· τὰ σφόδρα δὲ πονηρόν. [13] οἱ τοιοῦτοι γὰρ ἢ ἀπόλλυνται, ἢ ἄνευ ἄλλων κακῶν οὐ γίνονται ὑγιέες, ἀλλ' ἀποσηρίζει τὰ πιστότερα.

LXVI. Πόμα ὑδρωπικῶν. [2] 51 κανθαρίδας τρεῖς, ἀφελὼν τὴν κεφαλὴν ἑκάστης καὶ πόδας καὶ πτερά, τρίψας ἐν τρισὶ κυάθοις 5 ὕδατος τὰ σώματα. [3] ὁκόταν δὲ πονέῃ ὁ πιὼν, θερμῷ βρεχέσθω. [4] ὑπαλειψάμενος δὲ πρότερον, νῆστις πινέτω. [5] ἐσθιέτω δὲ ἄρτους θερμοὺς ἐξ ἀλείφατος. [6] Ἴσχαιμον. ὀπὸν συκῆς ἐν ἐρίῳ προσθεῖναι εἴσω πρὸς τὴν φλέβα, [7] ἢ πιτύην συστρέψαντα ἐμβῦσαι ἐς τοὺς μυκτῆρας. [8] ἢ χαλκίτιδος τῷ δακτύλῳ προσεπιπασάμενος πίεσον, καὶ τοὺς χόνδρους ἔξωθεν προσπιέζειν ἑκατέρωθεν. [9] καὶ τὴν κοιλίην λῦσον ὄνου γάλακτι ἑφθῷ. [10] καὶ τὴν κεφαλὴν ξυρῶν ψυκτικὰ πρόσφερε, ἢν ἐν 10 ὥρῃ θερμῇ γένηται. [11] σησαμοειδὲς ἄνω καθαίρει. ἡ [δὲ] πόσις ἡμιόλιον δραχμῆς ἐν ὀξυμέλιτι τετριμμένον. [12] ξυμμίσγεται δὲ καὶ τοῖσιν ἐλλεβόροισι, καὶ ἧσσον πνίγει, τὸ τρίτον μέρος τῆς πόσιος. [13] Τριχώσιος. ὑποθεὶς τὸ ῥάμμα τῇ βελόνῃ, τῇ τὸ κύαρ ἐχούσῃ, κατὰ τὸ ὀξὺ τοῦ ἄνω ταρσοῦ τοῦ βλεφάρου ἐς τὸ κάτω διακεντήσας, δὶς καὶ ἄλλο ὑποκάτω τούτου, [14] ἀνατεί-

 νας

multo oleo calido defricent. [10] 415 Si vero in inferna alvo sub septo transverso dolores habeat, decumbere conducit, [11] & nullo motu moveri tali corpori confert, extra defrictionem. [12] Qui vero ex inferna alvo solvuntur dolores, per urinas & sudores, si moderate delabuntur, sua sponte solvuntur, qui parvi sunt, vehementes autem pravi sunt. [13] Tales enim aut pereunt, aut absque aliis morbis sani non fiunt. Verum qui hujusmodi sunt in- 420 cumbunt ac firmantur.

LXVI. Potio hydropica. [2] Cantharidas tres, detracto capite uniuscujusque, & pedibus, & alis, corpora videlicet ipsarum in tribus aquæ cyathis terito. [3] Quum autem is qui bibit doluerit, calida aqua perfundatur. [4] Bibat autem prius illitus, jejunus: [5] & edat panes calidos ex oleo. [6] Medicamentum sanguinem sistens. Fici succum lana exceptum intus ad venam ap- 425 pone: [7] aut coagulo intorto nares obturato. [8] aut chalcitidem digito prius efformatam apprime, & cartilagines extrinsecus utrinque comprime: [9] & alvum lacte asinino cocto solve, [10] & caput rade, & perfrigerantia adhibe, si calidum tempus fuerit. [11] Sesamoides sursum purgat, potus ejus est drachma dimidia in aceto mulso trita. [12] Commiscetur etiam veratris tertia potionis pars, & minus suffocat. [13] Ad trichiasin, id est pilos pun- 430 gentes in palpebris enascentes. Immissum in acum foramen habentem filum, in summa supernæ palpebræ margine deorsum versus perpunctione facta transmitte, & aliud itidem sub hoc inferne trajice: [14] extenta fila

νας δὲ τὰ ῥάμματα, ῥάψον καὶ καταδέε, ἕως ἂν ἀποπέσῃ. 15 κἢν μὲν ἱκανῶς ἔχῃ, καλῶς· ἢν δὲ μὴ, ἢν ἐλλείπῃ, ὀπίσω ποιέειν τὰ αὐτά.

LXVII. Καὶ τὰς αἱμοῤῥοΐδας τὸν αὐτὸν τρόπον διώσεις. 2 τῇ βελόνῃ ὡς παχύτατον ἐρίου οἰσυπηροῦ ῥάμμα, καὶ ὡς μέγιστον ἀποδήσας· 3 ἀσφαλεστέρη γὰρ γίνεται ἡ θεραπείη· 4 εἶτα ἀποπιέσας τῷ σηπτῷ χρέο, 5 καὶ μὴ βρέχε πρὶν ἀποπέσῃ. 6 καὶ αἰεὶ μίαν καταλίμπανε. 7 καὶ μετὰ ταῦτα ἀναλαβὼν ἐλλεβορίσαι. 8 εἶτα γυμναζέσθω καὶ ἱδρούτω. 9 γυμνασίου δὲ τρίψις πολλὴ ἀπὸ ὄρθρου. 10 δρόμου δὲ ἀπεχέσθω, καὶ μέθης, καὶ τῶν δριμέων, ἔξω ὀριγάνου. 11 ἐμείτω δὲ δι' ἑπτὰ ἡμερέων, ἢ τρὶς ἐν τῷ μηνί. 12 οὕτω γὰρ ἂν ἔχοι ἄριστα τὸ σῶμα. 13 οἶνον δὲ κιῤῥὸν αὐστηρὸν, ὑδαρέα τε καὶ ὀλίγον πινέτω.

LXVIII. Τοῖσι δὲ ἐμπύοισι, σκίλλης κατατεμὼν κυκλισμοὺς ἕψειν ὕδατι· 2 καὶ ἀποζέσας εὖ μάλα ἀπόχεον· 3 καὶ ἐπιχέας ἄλλο ἕψε, ἕως ἂν ἁπτομένῳ δίεφθον καὶ μαλθακὸν φανῇ. 4 εἶτα τρίψας λεῖον, ξύμμισγε κύμινον πεφρυγμένον, καὶ λευκὰ σήσαμα, καὶ ἀμυγδάλας νέας, τρίψας ἐν μέλιτι ἐκλεικτὸν δίδου. 5 καὶ ἐπὶ τούτῳ οἶνον γλυκύν. 6 ῥόφημα δὲ, μήκωνος τῆς λευκῆς ὑποτρίψας ὅκοσον λεκίσκιον ὕδατι διεὶς, 7 σιτανίου πλύματι ἀλεύρου ἑψήσας, μέλι ἐπιχέας, χλιερὸν ἐπιῤῥοφέων, οὕτω διαγέτω τὴν ἡμέρην· 8 εἶτα, ἐς τὰ ἀποβαίνοντα λογιζόμενος, τὸ δεῖπνον δίδου. 9 Δυσεντερικῆς. κυάμων καθαρῶν τεταρτημόριον, καὶ ἐρυθροδάνου δυοκαίδεκα κάρφεα λεῖα συμμίξαντα, καὶ ἑψήσαντα,

consue ac deliga, donec decidant: 15 & siquidem satis habuerit, bene est: sin minus, & quid defecerit, rursus eadem facito.

LXVII. Sed & hæmorrhoidas eodem modo transmittes, 2 filo lanæ succidæ crassissimo ac maximo in acum immisso, ac deligato. 3 Securior enim fit curatio: 4 deinde compressione facta medicamento erodente utere, 5 & ne prolue donec deciderint: 6 & semper unam relinque. 7 Postea vero refectis viribus veratrum dato: 8 deinde exerceatur & exudet, 9 & ante exercitationem mane frictio multa fiat. 10 Verum à cursu abstineat, & ebrietate, & ab acribus, origano excepto. 11 Vomat autem per interpositos dies septem, aut ter in mense. 12 Sic enim quam optime habuerit corpus. 13 Vinum vero fulvum, austerum, aquosum ac modicum bibat.

LXVIII. At vero ad suppuratos, scillæ frusta rotunda secta in aqua coquito, 2 & ubi valde bene efferbuerit, diffundito, 3 & alia affusa coquito, donec ad contactum percocta ac mollia apparuerint: 4 deinde leviter tritis cuminum frictum ammisce, & sesama alba, & amygdalas recentes tritas, & hæc melle excepta delingenda præbe, 5 & postea vinum dulce bibendum. 6 Sorbitiones vero sumat, peplum, appellatum meconium album, tritum acetabuli parvi mensura, in aqua 7 loturæ farinæ recentis dilutum ac coctum, melle affuso tepidum absorbens. Atque sic degat per diem: 8 deinde supputans ea quæ eveniunt, cœnam dato. 9 Fabarum item depuratarum quadrantem, & rubiæ sarmenta duodecim, terito, misceto,

τε, λιπαρὰ ᾗ διδόναι ἐκλείχειν. [10] Ὀφθαλμῶν. σποδὸς πεπλυμένη, λιπαρῶς πεφυρημένη, ὡς σταῖς, μὴ ὑγρὸν λεῖον τρίψας, [11] ὀμφακίῳ τῷ τῆς πικρῆς ὄμφακος ἐνυγρήνας, ἐν ἡλίῳ τε ἀναξηρήνας, ὑγρήνας ὡς ἐνάλειπτον. [12] ὁκόταν δὲ ξηρὸν γένηται, τρίψας λεῖον ξηρὸν ὑπάλειφε τοὺς ὀφθαλμοὺς, καὶ παρὰ πάσας τοὺς κανθούς. [13] Ὑγρῶν. ἐβένου δραχμὴν, χαλκοῦ κεκαυμένου ἐννέα ὀβολοὺς ἐπ᾽ ἀκόνης τρῖψαι, κρόκου τριώβολον. [14] ταῦτα τρίψας λεῖα, παράχει οἴνου γλυκέος κοτύλην ἀττικήν. [15] κἄπειτα ἐς τὸν ἥλιον θεὶς, καταχαλύψας ὁκόταν συνεψηθῇ, τούτῳ χρέο. [16] Πρὸς τὰς περιωδυνίας. [17] χαλκίτιδος δραχμὴν, σταφυλῆς, ὁκόταν δύο μέρεα λειφθῇ, ἐκπιέσας σμύρναν καὶ κρόκον τρίψας, συμμίξας τὸ γλεῦκος, ἕψησον ἐν τῷ ἡλίῳ. [18] καὶ τούτῳ ὑπάλειφε τοὺς περιωδυνέοντας. [19] ἔστω δὲ ἐν χαλκῷ ἀγγείῳ.

LXIX. Ὑπὸ ὑστερικῶν πνιγομένων γνῶσις. [2] πίεσαι τοῖσι δακτύλοισι, κἢν μὲν αἴσθηται, τὰ ὑστερικά ἐστιν· ἢν δὲ μὴ, σπασμώδεα. [3] Τοῖσιν ὑδρωπιώδεσι, μηκώνιον, λεκίσκιον ἀττικὸν στρογγύλον. [4] Πόσις. λεπίδος, μηλαὶ τρεῖς τοῦ πλάτεος, καὶ ἀλήτου σιλιγνίου κολλήσας. ταῦτα λεῖα τρίψας καταπότια δίδου. [5] Κάτω ὕδωρ καθαίρει, καὶ κοιλίην ἐκκοπρεῖ. [6] ἐς ἰσχάδας ὀποῦ τοῦ τιθυμάλλου ἀποστάζε, ἑπτάκις ἐς ἑκάστην, εἶτα ἐς καινὸν ἄγγος συνθεὶς ταμιεύεσθαι, [7] δίδου τῷ εἰρημένῳ πρὸ τῶν σιτίων. [8] καὶ τὸ μηκώνιον τρίβων, ὕδωρ ἐπιχέων καὶ διηθῶν, ἄλευρον φυρῶν, ἰτρίων ὀπτῶν, μέλι παραχέων, τοῖσι ὑδρωπικοῖσι τρώγειν

ceto, coquito, & pingui addito delingenda præbeto. [10] Ad oculos. Spodium lotum probe velut farinæ massam subactum, non liquidum, [11] uvæ immaturæ acerbæ succo humectatum leviter terito, in sole resiccato, & ut ad illitionem commodum sit humectato: [12] quum vero siccum factum fuerit, leviter trito sicco oculos sublinito, & angulos conspergito. [13] Ad eosdem. Ebeni drachmam, æris usti obolos novem, croci obolos tres. [14] Hæc trita in coticula terito, & vini dulcis heminam Atticam affundito: [15] deinde ad solem obvelata exponito, & ubi cocta exaruerint, ipsis utere. [16] Ad dolores oculorum. [17] Chalcitidis drachmam, uvæ expressæ, ut duæ partes sint reliquæ, myrrham & crocum terito, & mustum admisceto, & ad solem coquito, [18] ac illinito. [19] Sint autem in vase æneo.

LXIX. Earum quæ ab utero strangulantur cognitio. [2] Digitis duobus comprimito, & si senserit, uteri strangulatio est: si non, convulsio. [3] Ad hydropicos. Pepli meconii appellati, acetabulum parvum atticum rotundum, [4] potio una, squamæ æris spicilla lata tria. Hæc leviter trita, & cum farina recenti agglutinata, ac deglutienda dato. [5] Purgant aquam deorsum. Aliud, quod stercora per alvum expellit. [6] In caricas succum tithymalli instilla, in singulas septies: deinde in novum vas compositas recondc, [7] ac exhibe ante cibum. [8] Aliud. Peplum, quod & meconium appellatur, aqua affusa terito ac excolato, & farinam placentarum torrefactarum ammiscens, & mel coctum affundens,

45 τρώγειν δίδου, καὶ ἐπιπίνειν οἶνον γλυκὺν ὑδαρέα, ἢ μελίκρητον ὑδαρές. 9 τὸ δὲ ἀπὸ τῶν κοπρίων μηκώνιον ξυλλέγων, ταμιεῦε, καὶ θεράπευε.

dens, hydropicis edendum dato: & vinum dulce aquosum, aut aquosam insuper bibendam. 9 At meconium, quod primum excrementum à pueris prodit, collectum recondito, ac curato. 470

ΙΠΠΟΚΡΑΤΟΥΣ περὶ ΙΕΡΗΣ ΝΟΥΣΟΥ.

HIPPOCRATIS DE MORBO SACRO.

Basil. græc. Foesius sect. III. 84. 301. Basil. lat.

pag 122 ΠΕΡΙ μὲν τῆς ἱερῆς νούσου καλεομένης ὧδε ἔχει. 2 οὐδέν τί μοι δοκέει τῶν ἄλλων θειοτέρη εἶναι νούσων, οὐδὲ ἱερωτέρη· 3 ἀλλὰ φύσιν μὲν ἔχειν, ἣν καὶ τὰ λοιπὰ νουσήματα, ὅθεν γίνεται. 4 φύσιν δὲ αὐτῇ καὶ πρόφασιν οἱ ἄνθρωποι ἐνόμισαν θεῖον 10 εἶναι, 5 ὑπὸ ἀπειρίης καὶ θαυμασιότητος, ὅτι οὐδὲν ἔοικεν ἑτέρῃσι νούσοισι. 6 καὶ κατὰ μὲν τὴν ἀπορίην αὐτοῖσι τοῦ μὴ γινώσκειν, τὸ θεῖον αὐτῇ διασώζεται· 7 κατὰ δὲ τὴν εὐπορίην τοῦ τρόπου τῆς ἰήσιος ᾧ ἰῶνται. 8 ἀπολύονται γὰρ ἢ καθαρμοῖσιν ἢ ἐπαοιδῇσιν. 9 εἰ δὲ διὰ τὸ θαυμάσιον, θεῖον νομιεῖται, πολλὰ τὰ ἱερὰ νουσήματα ἔσται, καὶ οὐχὶ ἕν. 10 ὡς ἐγὼ ἀποδείξω ἕτερα οὐδὲν ἧσσον ἐόντα θαυμάσια, οὐδὲ τερατώδεα, ἃ οὐδεὶς νομίζει ἱερὰ εἶναι. 11 τοῦτο 15 μὲν γὰρ οἱ πυρετοὶ οἱ ἀμφημερινοί, καὶ οἱ τριταῖοι, καὶ οἱ τεταρταῖοι, οὐδὲν ἧσσόν μοι δοκέουσιν ἱεροὶ εἶναι, καὶ ὑπὸ θεοῦ γίνεσθαι ταύτης τῆς νούσου, ὧν οὐ θαυμάσιον ἔχουσι. 12 τοῦτο δὲ ὁρέω μαινομένους ἀνθρώπους καὶ παραφρονέοντας ἀπὸ μηδεμιῆς προφάσιος ἐμφανέος, 13 καὶ

1 De morbo sacro appellato sic se res habet. III 344 pag 172 2 Nulla re videtur mihi aliis divinior esse morbis, neque sacratior. 3 Verum naturam habet quam etiam reliqui morbi, unde fit. 4 Homines vero naturam & causam ejus divinam esse putaverunt, 5 præ inexperientia & admiratione, 5 propterea quod reliquis morbis nulla re similis est. 6 Et per inopiam quidem quod non cognoscunt, divinitas ipsi conservatur: 7 per abundantiam vero & parabilem modum sanationis medentur. 8 Exolvuntur enim aut expiationibus aut incantamentis. 9 Si vero propter admirationem divinus censetur, multi morbi sacri erunt, & non unus: 10 quemadmodum ego demon- 10 strabo etiam alios nihil minus admirabiles, neque minus monstrosos, quos nemo sacros esse censet. 11 Primum etenim febres quotidianæ, & tertianæ, & quartanæ, nihil minus mihi sacri esse videntur, nec minus à deo fieri quam hic morbus, etiamsi nihil admirabile habeant. 12 Deinde video insanos homines & delirantes à nulla manifesta causa, 13 &

καὶ πολλά τι ἄμια καὶ ἄκαιρα ποιέοντας. 14 ἔν τε τῷ ὕπνῳ οἶδα πολλοὺς οἰμώζοντας καὶ βοῶντας, τοὺς δὲ καὶ πνιγομένους, τοὺς δὲ καὶ ἀναΐσσοντάς τε καὶ φεύγοντας ἔξω καὶ παραφρονέοντας, μέχρις ἂν ἐξέγρωνται. 15 ἔπειτα δὲ καὶ ὑγιέας ἐόντας καὶ φρονέοντας, ὥσπερ καὶ πρότερον, 16 ἐόντας τε αὐτοὺς ὠχρούς τε καὶ ἀσθενέας. 17 καὶ ταῦτα οὐχ ἅπαξ, ἀλλὰ πολλάκις. 18 ἄλλα τε πολλά ἐστι καὶ παντοδαπά, ὧν περὶ ἑκάστου λέγειν, πολὺς ἂν εἴη λόγος.

11. Ἐμοὶ δὲ δοκέουσιν οἱ πρῶτοι τοῦτο τὸ νόσημα ἀφιερώσαντες τοιοῦτοι εἶναι ἄνθρωποι, 2 οἷοι καὶ νῦν εἰσι μάγοι τε καὶ καθάρται, 3 καὶ ἀγύρται, καὶ ἀλαζόνες, 4 ὁκόσοι δὴ προσποιέονται σφόδρα θεοσεβέες εἶναι, καὶ πλέον τι εἰδέναι. 5 οὗτοι τοίνυν παραμπεχόμενοι καὶ προβαλλόμενοι τὸ θεῖον τῆς ἀμηχανίης, τοῦ μὴ ἔχειν ὅ,τι προσενέγκαντες ὠφελήσουσιν, 6 ὡς μὴ κατάδηλοι ἔωσιν οὐδὲν ἐπιστάμενοι, ἱερὸν ἐνόμισαν τοῦτο τὸ πάθος εἶναι, 7 καὶ λόγους ἐπιλέξαντες ἐπιτηδείους τὴν ἴησιν κατεστήσαντο ἐς τὸ ἀσφαλὲς σφίσιν ἑωυτοῖσι, καθαρμοὺς προσφέροντες καὶ ἐπαοιδάς, 8 λουτρῶν τε ἀπέχεσθαι κελεύοντες, 9 καὶ ἐδεσμάτων πολλῶν, καὶ ἀνεπιτηδείων ἀνθρώποισι νοσέουσιν ἐσθίειν· 10 θαλασσίων μὲν τρίγλης, καὶ μελανούρου, κεστρέος, ἐγχέλυος· 11 οὗτοι γὰρ οἱ ἰχθύες εἰσὶν ἐπικαιρότατοι· 12 κρεῶν δὲ αἰγείου καὶ ἐλαφείου, καὶ χοιρείου καὶ κυνός· 13 ταῦτα γὰρ κρεῶν ταρακτικώτατά ἐστι τῆς κοιλίης· 14 ὀρνίθων δὲ, ἀλεκτρυόνος καὶ τρυγόνος, ὠτίδος. 15 ἔτι δὲ, ὅσα νομίζεται ἰσχυρότατα εἶναι. 16 λαχάνων δὲ μίνθης, σκορόδου καὶ κρομμύου. 17 δριμὺ γὰρ ἀσθενέοντι οὐδὲν ξυμφέρει. 18 ἱμά-

τιον

& multa & simul importuna facere,[14] vidique multos in somno plorare ac vociferari, alios vero suffocari, alios exilire & foras fugere, atque ita delirare donec expergiscuntur: [15] postea autem etiam sanos esse ac sapientes velut prius,[16] esseque ipsos pallidos ac debiles: [17] atque hæc non semel, sed sæpe. [18] Aliique multi sunt ac omnigeni morbi, in quibus singulis recensendis in longum sermo extenderetur.

11. Cæterum qui primi hunc morbum sacrum esse [1] pronunciaverunt, tales homines mihi esse videntur, [2] quales etiam nunc sunt magi & expiatores [3] & circulatores, & quidam arrogantes, [4] qui se vehementer pios esse simulant, & amplius quid scire.[5] Hi itaque consilii ac mentis inopiæ obvelantes ac prætexentes divinitatem, quum nihil haberent quod exhibitum prodesset, [6] ut ne manifesta fieret ipsorum ignorantia, sacram hanc affectionem esse pronunciarunt: [7] & rationibus idoneis collectis, curationem constituerunt sibiipsis securam, expiamenta offerentes & incantamenta, [8] & à balneis abstinere jubentes, [9] & à cibis multis ac ineptis ad hominum ægrotorum esum, [10] velut ex marinis quidem à mullo, & melanuro, mugilique ac anguilli, [11] hi enim pisces periculosissimi esu sunt. [12] Ex carnibus vero, à caprina, cervina, suilla, ac canina. [13] Hæ enim carnes maxime alvum turbant. [14] Ex volucribus autem, à gallo & turture ac otide; [15] insuperque ab his quæ robustissimæ esse censentur. [16] Ex oleribus, à mentha, allio, ac cepa. [17] Nihil enim acre infirmo conducit.[18] Pallium præ-

terea

πον δὲ μέλαν μὴ ἔχειν. [19] θανατῶδες γὰρ τὸ μέλαν. [20] μηδὲ ἐν αἰγείῳ κατακεῖσθαι δέρματι, μηδὲ φορέειν, [21] μηδὲ πόδα ἐπὶ ποδὶ ἔχειν, μηδὲ χεῖρα ἐπὶ χειρί. [22] ταῦτα γὰρ πάντα κωλύματα εἶναι.

III. Ταῦτα δὲ πάντα τοῦ θείου εἵνεκεν προστιθέασιν, ὡς πλέον τι εἰδότες καὶ ἄλλας προφάσιας προλέγοντες· [2] ὅκως, εἰ μὲν ὑγιὴς γένοιτο, αὐτῶν ἡ δόξα εἴη καὶ ἡ δεξιότης· [3] εἰ δὲ ἀποθάνοι, ἐν ἀσφαλεῖ καθισταῖτο αὐτῶν αἱ ἀπολογίαι, [4] καὶ ἔχοιεν πρόφασιν, ὡς οὐκ αἴτιοί εἰσιν αὐτοὶ, ἀλλ' οἱ θεοί. [5] οὔτε γὰρ φαγέειν οὔτε πιέειν ἔδοσαν φάρμακον οὐδὲν, οὔτε λουτροῖσι καθήψησαν, ὥστε δοκέειν αἴτιοι εἶναι. [6] ἐγὼ δὲ δοκέω Λιβύων τῶν τὴν μεσόγειον οἰκεόντων, οὐδένα ὑγιαίνειν, ὅτι ἐν αἰγείοισι δέρμασι κατακέονται, καὶ κρέασιν αἰγείοισι χρῶνται. [7] ἐπεὶ οὐκ ἔχουσιν οὔτε στρῶμα, οὔτε ἱμάτιον, οὔτε ὑπόδημα, ὅ, τι μὴ αἴγειόν ἐστιν. [8] οὐ γάρ ἐστιν αὐτοῖσιν ἄλλο προβάτιον οὐδὲν, ἢ αἶγες καὶ βόες. [9] εἰ δὲ ταῦτα προσφερόμενα καὶ ἐσθιόμενα τὴν νοῦσον τίκτει τε καὶ αὔξει, καὶ μὴ ἐσθιόμενα ἰῆται, [10] οὐκ ἔστιν ἄρα ὁ θεὸς αἴτιος οὐδεὶς, οὐδὲ οἱ καθαρμοὶ ὠφελέουσιν, [11] ἀλλὰ τὰ ἐδέσματα τὰ ἰώμενά τε καὶ βλάπτοντα. [12] τοῦ δὲ θείου ἀφανίζεται ἡ δύναμις. [13] οὕτως οὖν ἔμοιγε δοκέουσιν, οἵτινες τούτῳ τῷ τρόπῳ ἐγχειρέουσιν ἰῆσθαι ταῦτα τὰ νοσήματα, οὔτε ἱερὰ νομίζειν εἶναι, οὔτε θεῖα. [14] ὅκου γὰρ ὑπὸ καθαρμῶν τοιούτων μεταστατὰ γίνεται, καὶ ὑπὸ θεραπείης τοιῆσδε, [15] τί κωλύει καὶ ὑφ' ἑτέρων τεχνημάτων ὁμοίων τούτοι-

terea nigrum habendum non esse præcepere. [19] Niger enim color mortalis est. [20] Neque in caprina pelle decumbendum esse, neque eandem gestare oportere: [21] neque pedem supra pedem habendum esse, neque manum supra manum: [22] Hæc enim omnia curationis impedimenta esse.

III. Omnia autem hæc divinitatis gratia apponunt, velut amplius quid scientes, & alios prætextus proferentes, [2] quos si sanus æger evadat, ipsis gloria & dexteritas adscribatur: [3] sin moriatur, in tuto positæ sint ipsorum excusationes, [4] habeantque prætextum quod non ipsi sint in caussa, sed dii. [5] Neque enim medicamentum aliquod edendum aut bibendum exhibuerunt, neque balneis incoxerunt, ut ipsi in caussa esse videri possint. [6] Mihi autem videtur nullum ex his qui mediterranea Africæ inhabitant, sanum esse posse, propterea quod caprinis pellibus ac carnibus utuntur, [7] quum neque stratum, neque pallium, neque calceamentum habeant, quod non sit caprinum. [8] Non enim alia ulla ipsis sunt pecora, præter capras & boves. [9] Si autem hæc admota & comesta morbum augent, & non comesta sanant, [10] non est sane deus alicujus auctor aut caussa, neque prosunt expiamenta, [11] sed edulia sunt quæ & sanant & lædunt. [12] Numinis vero vis dissipatur. [13] Sic igitur mihi videntur hi qui hoc modo hos morbos curare aggrediuntur, neque sacros ipsos putare, neque divinos. [14] Ubi enim præ talibus expiamentis ac tali curatione transmutantur, [15] quid vetat etiam præ aliis artibus similibus illis,

τούτοισιν ἀποχέεσθαι, τοῖσιν ἀνθρώ-
ποισι καὶ προσαπτέεσθαι; [16] ὥστε μη-
κέτι τὸ θεῖον αἴτιον εἶναι, ἀλλά τι
ἀνθρώπινον. [17] ὅστις γὰρ οἷός τε πε-
113 ρικαθαίρων καὶ μαγεύων ἀπάγειν
τοιοῦτον πάθος, [18] οὗτος κἂν
ἀπάγοιτο ἕτερα τεχνησάμενος· ταύ-
της δὲ τούτῳ τῷ λόγῳ τὸ θεῖον ἀπόλ-
λυται. [19] τοιαῦτα λέγοντες δὲ μεμη-
χανημένοι προσποιέονται πλέον τι
εἰδέναι, [20] καὶ ἀνθρώπους ἐξαπα-
τέουσι, προστιθέμενοι τούτοισιν ἁ-
γνείας τε καὶ καθαρότητας, [21] ὅ,τε πο-
λὺ αὐτοῖσι τοῦ λόγου ἐς τὸ θεῖον ἀφή-
κει, καὶ τὸ δαιμόνιον. [22] καίτοι ἔμοι-
5 γε οὐ περὶ εὐσεβείης δοκέουσι τοὺς
λόγους ποιέεσθαι, ὡς οἴονται, ἀλλὰ πε-
ρὶ δυσσεβείης μᾶλλον, καὶ ὡς οἱ θεοὶ
οὐκ εἰσί. [23] τό, τε εὐσεβὲς καὶ θεῖον
αὐτῶν ἀσεβὲς καὶ ἀνόσιόν ἐστιν, ὡς
ἐγὼ διδάξω. [24] εἰ γὰρ σελήνην τε 11
καθαιρέειν, καὶ ἥλιον ἀφανίζειν, [25]
χειμῶνά τε καὶ εὐδίην ποιέειν, καὶ
ὄμβρους καὶ αὐχμοὺς, καὶ θάλασσαν
ἄφορον, καὶ γῆν, [26] τἄλλα τὰ τοιου-
τότροπα πάντα, ὑποδέχονται ἐπί-
στασθαι, [27] εἴτε καὶ ἐκ τελετέων, εἴ-
τε καὶ ἐξ ἄλλης τινὸς γνώμης ἢ με-
λέτης φασὶν οἷοί τε εἶναι, [28] οἱ
10 ταῦτα ἐπιτηδεύοντες, δυσσεβέειν
ἔμοιγε δοκέουσι, [29] καὶ θεοὺς οὔτε εἶ-
ναι νομίζειν, οὔτε ἐόντας ἰσχύειν οὐδὲν,
οὔτε εἴργεσθαι ἂν οὐδενὸς τῶν ἐσχάτων
ποιέοντας. [30] ὧν ἕνεκά γε πῶς οὐ 12
δεινοὶ ἄρ' αὐτοῖσιν εἰσιν; [31] εἰ γὰρ
ἄνθρωπος μαγεύων τε καὶ θύων
σελήνην τε καθαιρήσει, καὶ ἥλιον
ἀφανιεῖ, καὶ χειμῶνα καὶ εὐδίην
ποιήσει, [32] οὐκ ἂν ἔγωγέ τι θεῖον νο-
μίσαιμι τούτων εἶναι, ἀλλ' ἀνθρώ-
πινον. [33] εἰ δὴ τοῦ θείου ἡ δύναμις
ὑπὸ ἀνθρώπου γνώμης κρατέεται καὶ
δεδούλωται. [34] ἴσως δὲ οὐχ οὕτως
ἔχει

illis, & discere ab hominibus &
accedere? [16] Quare non deus au-
tor est, sed aliquid humanum. [17]
Quisquis enim lustrationibus &
magicis incantamentis talē affe-
ctionem abducere potens est, [18] is
etiam aliis artibus abduxerit: &
ex hac ratione divinitatis opinio
penitus pessum it. [19] Talia ita-
que dicentes ac excogitantes,
amplius quid se scire simulant,
[20] & homines decipiunt, propo- 55
nentes his lustrationes & purifi-
cationes, [21] quum verba ipsorum
magna ex parte se ad deum ac
dæmonium extendant. [22] Atqui
mihi sane non de pietate verba
facere videntur, velut ipsi pu-
tant, sed potius de impietate, &
quod dei non sunt, [23] pietasque
ac divinitas ipsorum impia est ac
scelesta, velut ego docebo. [24] Si
enim & lunam abolere, & solem
obscurare, [25] tempestatemque ac
serenitatem facere, pluvias item 60
ac siccitates, & mare sterile,
itemque terram, [26] & alia hujus-
cemodi omnia, se scire profiten-
tur: [27] sive ex sacrorum myste-
riis, sive ex alia quadam profes-
sione aut meditatione, hanc po-
tentiam jactent, [28] qui talia stu-
dio habent, impii sane mihi esse
videntur, [29] & deos non esse pu-
tare, neque si sint, aliquid posse,
neque ullum aliquod etiam ex-
tremum malum prohibere. [30]
Quod quum faciant, quomodo
non ipsis infesti sint? [31] Si enim 65
homo incantamentis ac sacrifi-
ciis utens, & lunam abolebit, &
solem obscurabit, & tempestatem
ac serenitatem faciet, [32] non uti-
que ego horum aliquid divinum
esse putaverim, sed humanum,
[33] si sane divinitatis potentia ab
humana voluntate superatur, &
in servitutem redacta est: [34] for-

'ἔχει ταῦτα. 35 ἀλλ' ἄνθρωποι βίου δεόμενοι πολλὰ καὶ παντοῖα τεχνέονται καὶ ποικίλλουσιν, 36 ἔς τε τὰ ἄλλα πάντα καὶ ἐς τὴν νοῦσον ταύτην ἑκάστῳ εἴδει τοῦ πάθεος θεῷ τὴν αἰτίην προστιθέντες. 37 οὐ γὰρ καθάπαξ, ἀλλὰ πλεονάκις ταυτὰ μεμίμηνται. 38 κἢν μὲν γὰρ αἶγα μιμῶνται, " κἢν βληχῶνται, κἢν τὰ δεξιὰ σπῶνται, μητέρα θεῶν φασὶ αἰτίην εἶναι. 39 ἢν δὲ ὀξύτερον καὶ εὐτονώτερον φθέγγηται, ἵππῳ εἰκάζουσι, καὶ φασὶ Ποσειδῶνα αἴτιον εἶναι. 40 ἢν δὲ καὶ τῆς 'κόπρου τι παρέῃ, ὃ πολλάκις ποτὲ γίνεται ὑπὸ τῆς νούσου βιαζομένοισιν, " 'Ενοδίου πρόσκειται ἡ προσωνυμίη. 41 " ἢν δὲ λεπτότερον καὶ πυκνότερον, οἷον ὄρνιθες, 'Απόλλων νόμιος. 42 ἢν δὲ ἀφρὸν ἐκ τοῦ στόματος ἀφίῃ, καὶ τοῖσι ποσὶ λακτίζῃ, ῎Αρης τὴν αἰτίην ἔχει. 43 ὁκόσοισι δὲ δείματα νυκτὸς παρίσταται, καὶ φόβοι, καὶ παράνοιαι, καὶ ἀναπηδήσιες ἐκ τῆς κλίνης, καὶ φόβητρα, καὶ φεύξιες ἔξω, 'Εκάτης φασὶν εἶναι ἐπιβουλὰς, καὶ ἡρώων ἐφόδους· 44 καθαρμοῖσί τε χρέονται' καὶ ἐπαοιδῇσι, καὶ ἀνοσιώτατόν γε" καὶ ἀθεώτατον ποιέουσιν, ὡς ἔμοιγε δοκέει, τὸ θεῖον. 45 καθαίρουσι γὰρ τοὺς ἐχομένους τῇ νούσῳ αἵμασι, καὶ τοῖσι τοιούτοισι μιάσμασιν. 46 ἔχοντας " ἢ ἀλάστορας, ἢ πεφαρμακευμένους ὑπὸ ἀνθρώπων, ἤ τι ἔργον ἀνόσιον εἰργασμένους, 47 οὓς ἐχρῆν τἀναντία τούτοισι ποιέειν, 48 θύειν τε καὶ εὔχεσθαι, καὶ ἐς τὰ ἱερὰ φέροντας ἱκετεύειν τοὺς θεούς. 49 νῦν δὲ τούτων μὲν ποιέουσιν οὐδὲν, καθαίρουσι δέ. 50 καὶ τὰ μὲν τῶν καθαρμῶν γῇ κρύπτουσι, 51 'τὰ δὲ

ἐς

tassis autem hæc non hoc se modo habent, 35 sed homines victus indigi multa & omnigena 'moliuntur & evariant, 36 tum in alia omnia, tum in hunc morbum, in singulis affectionis speciebus caussam deo adscribentes. 37 Non enim semel, sed sæpius eorundem mentionem faciunt. 38 Siquidem enim capras imitentur, & si balatum edant, & frendant, & si dextris partibus convellantur, Matrem deorum caussam esse ajunt. 39 Si vero acutiorem & concitatiorem sonum emittant, equo assimilant, & 'Neptunum auctorem esse dicunt. 40 Si vero etiam aliquid stercoris emittant, quod sæpe quibusdam contingit præ morbo coactis: Hecates enodiæ appellatio additur. 41 Si autem tenuiorem & densiorem vocem edant, velut aviculæ, Apollo Nomius, id est pastor: 42 si vero spumam ex ore remittant, ac pedibus calcitrent, Mars caussam habet. 43 Quicunque porro pavores noctu ingruunt, timoresque 'ac deliria, & exsaltationes è lecto, terroresque ac fugæ foras, Hecates insidias esse dicunt, & heroum insultus, 44 expiamentisque utuntur ac incantamentis, & scelestissimum ac impiissimum, meo sane judicio, faciunt numen. 45 Expiant enim morbo correptos sanguine, itemque aliis sceleribus inquinatos, 46 aut injustos, aut ab hominibus intoxicatos, aut qui scelestum aliquod facinus perpetrarunt, 47 quos 'contraria his facere oportebat, 48 sacrificare nimirum ac precari, & ad templa progressos diis supplicare. 49 Nunc vero horum quidem nihil faciunt, verum expiant, 50 & alia expiamenta terra occultant, 51

alia

ἐς θάλασσαν ἐμβάλλουσι, 52 τὰ δὲ ἐς τὰ ὄρεα ἀποφέρουσιν, ὅπη μηδεὶς ἅψηται, μηδὲ ἐπιβήσηται. 53 τὰ δ' ἐχρῆν ἐς τὰ ἱερὰ φέροντας τῷ θεῷ ἀποδοῦναι, εἰ δὴ θεός γε ἐστιν αἴτιος. 54 οὐ μέντοι ἔγωγε ἀξιῶ ὑπὸ θεοῦ ἀνθρώπου σῶμα μιαίνεσθαι, τὸ ἐπικηρότατον ὑπὸ τοῦ ἁγνοτάτου. 55 ἀλλά, κἢν τυγχάνῃ ὑπὸ ἑτέρου μεμιασμένον ἤ τι πεπονθός, ἐθέλοι ἂν ὑπὸ τοῦ θεοῦ καθαίρεσθαι καὶ ἁγνίζεσθαι μᾶλλον, ἢ μιαίνεσθαι. 56 τὰ γοῦν μέγιστα τῶν ἁμαρτημάτων καὶ ἀνοσιώτατα τὸ θεῖόν ἐστι τὸ καθαῖρον καὶ ἁγνίζον, καὶ ῥύμμα γινόμενον ἡμῖν. 57 αὐτοί τε ὅρους τοῖσι θεοῖσι τῶν ἱερῶν καὶ τῶν τεμενέων ἀποδεικνύμενοι, 58 ὡς ἂν μηδεὶς ὑπερβαίνῃ, εἰ μὴ ἁγνεύοι, 59 εἰσιόντες τε περιρραινόμεθα, οὐχ ὡς μιαινόμενοι, ἀλλ' εἴ τι καὶ πρότερον ἔχομεν μύσος, τοῦτο ἀφαγνιούμενοι. 60 καὶ περὶ μὲν τῶν καθαρμῶν οὕτω μοι δοκεῖ ἔχειν.

V. Τὸ δὲ νόσημα τοῦτο οὐδέν τι μοι δοκεῖ θειότερον εἶναι τῶν λοιπῶν, 2 ἀλλὰ φύσιν μὲν ἔχει, ἣν καὶ τὰ ἄλλα νοσήματα, καὶ πρόφασιν, ὅθεν ἕκαστα γίνεται. 3 φύσιν δὲ τοῦτο καὶ πρόφασιν ἀπὸ ταὐτοῦ τὸ θεῖον γίνεσθαι, ἀφ' ὅτου καὶ τἆλλα πάντα. 4 καὶ ἰητὸν εἶναι, καὶ οὐδὲν ἧσσον ἑτέρων, 5 ὅτι μὴ ἤδη ὑπὸ χρόνου πολλοῦ καταβεβιασμένον ἐῃ, ὥστε ἤδη εἶναι ἰσχυρότερον τῶν φαρμάκων τῶν προσφερομένων. 6 ἄρχεται δὲ ὥσπερ καὶ τἆλλα νοσήματα κατὰ γένος. 7 εἰ γὰρ ἐκ τοῦ φλεγματώδεος φλεγματώδης, καὶ ἐκ χολώδεος χολώδης γίνεται, καὶ ἐκ φθινώδεος φθινώδης, καὶ ἐκ σπληνώδεος σπληνώδης, 8 τί κωλύει, ὅτου πατὴρ καὶ μήτηρ εἴχετο τούτῳ τῷ νοσήματι, τούτῳ καὶ τῶν ἐκγόνων ἔχεσθαί τινα; 9 ὡς ὁ γόνος ἔρχε-

alia in mare projiciunt, 52 alia ad montes deferunt, ubi nemo attingat, neque conculcet. 53 Oportebat autem ea ad templa deferre, ac Deo contribuere, siquidem Deus est auctor. 54 Non tamen ego puto hominis corpus à Deo inquinari, sordidissimum scilicet à purissimo. 55 Verum etiamsi contingat ab alio inquinari, aut quid perpeti, cupierit utique à Deo purgari ac purificari magis quam inquinari. 56 Deus itaque est qui maxima ac sceleratissima peccata purgat ac purificat, & liberatio nostra existit, 57 ipsique terminos templorum ac delubrorum diis designamus, 58 ut nullus qui non purus sit eos transcendat, 59 & ingressi respergimur, non velut qui inquinemur, sed si quod etiam prius scelus habemus purificemur. 60 Et de expiationibus quidem sic se habere mihi videtur.

V. Hic vero morbus nulla re divinior reliquis mihi esse videtur. 2 Sed naturam habet, quam etiam alii morbi, & caussam unde singuli gignuntur. 3 Naturam autem & caussam ab eodem deum fieri, à quo etiam alia omnia. 4 Et sanabilis esse mihi videtur nihilo minus quam alii, 5 nisi jam præ temporis longitudine invaluerit, ut fortior sit medicamentis quæ adhibentur. 6 Incipit autem velut etiam alii morbi secundum genus. 7 Si enim ex pituitoso pituitosus, ex bilioso biliosus gignitur, & ex tabido tabidus, & ex splenico sive lienoso lienosus: 8 quid prohibet, ut cujus pater & mater hoc morbo correpti fuerint, etiam posteriorum ac nepotum aliquis eo corripiatur? 9 Semen enim genitale ab omnibus

ἔρχεται πάντοθεν τοῦ σώματος, ἀπό τε τῶν ὑγιηρῶν ὑγιηρὸς, ἀπό τε τῶν νοσερῶν νοσερός. [10] ἕτερον δὲ μέγα τεκμήριον, ὅτι οὐδὲν θειότερόν ἐστι τῶν λοιπῶν νοσημάτων. [11] τοῖσι γὰρ φλεγματώδεσι φύσει γίνεται. [12] τοῖσι δὲ χολώδεσιν οὐ προσπίπτει. [13] καίτοι, εἰ θειότερόν ἐστι τῶν ἄλλων, τοῖσιν ἅπασιν
224 ὁμοίως ἔδει γίνεσθαι τὴν νοῦσον ταύτην, [14] καὶ μὴ διακρίνειν μήτε χολώδεα μήτε φλεγματώδεα. [15] ἀλλὰ γὰρ αἴτιος ὁ ἐγκέφαλος τούτου τοῦ πάθεος, [16] ὥσπερ καὶ τῶν ἄλλων νοσημάτων τῶν μεγίστων. [17] ὅτῳ δὲ τρόπῳ καὶ ἐξ οἵης προφάσιος γίνεται, ἐγὼ φράσω σαφέως.

VI. Ὁ ἐγκέφαλος τοῦ ἀνθρώπου ἐστὶ διπλόος, [2] ὥσπερ καὶ τοῖσιν ἄλλοισι ζώοισιν ἅπασι. [3] τὸ δὲ μέσον
5 αὐτοῦ διαιρέει μῆνιγξ λεπτή. [4] διό, τι οὐκ αἰεὶ κατὰ τὸ αὐτὸ τῆς κεφαλῆς ἀλγέει, ἀλλ' ἐν μέρει ἑκάτερον, ὁτὲ δὲ ἅπασαν. [5] καὶ φλέβες τε ἐς αὐτὸν τείνουσιν ἐξ ἅπαντος τοῦ σώματος πολλαὶ καὶ λεπταί. [6] δύο δὲ παχεῖαι· ἡ μὲν ἀπὸ τοῦ ἥπατος, ἡ δὲ ἀπὸ τοῦ σπληνός. [7] καὶ ἡ μὲν ἀπὸ τοῦ ἥπατος ὧδε ἔχει. [8] τὸ μέν τι τῆς φλεβὸς κάτω τείνει διὰ τῶν ἐπὶ δεξιὰ παρ' αὐτὸν τὸν νεφρὸν καὶ τὴν ψύαν ἐς τὸ εἴσω τοῦ μηροῦ, καὶ καθήκει ἐς τὸν πόδα, [9] καὶ καλέεται κοίλη
10 φλέψ. [10] ἡ δὲ ἑτέρη ἄνω τείνει διὰ φλεβῶν τῶν δεξιῶν καὶ τοῦ πνεύμονος. [11] ἀπέσχισται δὲ καὶ ἐς τὴν καρδίην καὶ ἐς τὸν βραχίονα τὸν δεξιόν. [12] τὸ δὲ λοιπὸν ἄνω φέρει διὰ τῆς κληῖδος ἐς τὰ δεξιὰ τοῦ αὐχένος, καὶ αὐτοῦ τὸ δέρμα, ὥστε κατάδηλος εἶναι. [13] παρ' αὐτὸ δὲ τὸ οὖς κρύπτεται. [14] καὶ ἐνταῦθα σχίζεται. [15] καὶ τὸ μὲν παχύτατον καὶ μέγιστον καὶ κοιλότατον ἐς τὸν ἐγκέφαλον τελευτᾷ, [16] τὸ δὲ ἐς τὸ

bus corporis partibus procedit, à sanis sanum, à morbidis morbosum. [10] Aliud porro signum magnum est, quod nihilo divinior reliquis sit morbis: [11] pituitosis enim natura oboritur, [12] biliosis vero non accidit. [13] Atqui si divinior est reliquis, similiter omnibus morbum hunc fieri oportebat, [14] & non discrimen facere inter biliosos ac pituitosos. [15] Sed enim ipsis cerebrum auctor est & causa hujus
110 affectionis, [16] velut etiam aliorum maximorum morborum. [17] Quo vero modo, & ex qua caussa fiat, ego manifeste docebo.

VI. Cerebrum hominis duplex est, [2] quemadmodum etiam aliis omnibus animalibus. [3] Medium autem ipsius dividit membrana tenuis. [4] Quapropter non semper eandem capitis partem dolet, sed particulatim utramvis, aliquando vero totum. [5] Sed & venæ in ipsum tendunt ex uni-
115 verso corpore, multæ & tenues: [6] duæ vero crassæ, altera ab hepate, altera de liene. [7] Et quæ quidem ab hepate venit, hoc modo se habet. [8] Altera quidem venæ pars deorsum tendit, per partes ad dextram, juxta ipsum renem ac lumbum, ad internam femoris partem, & descendit in pedem, [9] & vocatur vena cava. [10] Altera vero sursum tendit per venas dextras ac pulmonem. [11] Finditur autem & in cor, & in
120 brachium dextrum. [12] Reliquum vero sursum fertur per claviculam in dextram cervicis partem, ad ipsam cutem, ut conspicua fiat. [13] Juxta aurem vero occultatur, [14] atque hic finditur [15] Et crassissima quidem ac maxima & cavissima ipsius pars, in cerebrum desinit: [16] alia vero pars

τὸ δ᾽ ἐς τὸ δεξιὸν, φλέβιον λεπτὸν, [17] τὸ δ᾽ ἐς τὸν ὀφθαλμὸν τὸν δεξιὸν, [18] τὸ δ᾽ ἐς τὸν μυκτῆρα. [19] ἀπὸ μὲν τοῦ 15 ἥπατος οὕτως ἔχει τῶν φλεβῶν. [20] διατέταται δὲ καὶ ἀπὸ τοῦ σπληνὸς φλὲψ ἐς τὰ ἀριστερὰ καὶ κάτω καὶ ἄνω, ὥσπερ καὶ ἀπὸ τοῦ ἥπατος. [21] λεπτοτέρη δὲ καὶ ἀσθενεστέρη. [22] κατὰ ταύτας δὲ τὰς φλέβας καὶ ἐσαγόμεθα τὸ πολὺ τοῦ πνεύματος. [23] αὗται γὰρ ἡμέων εἰσὶν ἀναπνοαὶ τοῦ σώματος, τὸν ἠέρα ἐς σφᾶς ἕλκουσαι, [24] καὶ ἐς τὸ σῶμα τὸ λοιπὸν ὀχετεύουσι, καὶ κατὰ τὰ φλέβια, καὶ ἀναψύχουσι καὶ πάλιν ἀφιᾶσιν. [25] οὐ γὰρ οἷόν τε τὸ πνεῦμα στῆναι, 20 ἀλλὰ χωρέει ἄνω καὶ κάτω. [26] ἢν γὰρ στῇ που καὶ ἀπολαμφθῇ, ἀκρατὲς γίνεται ἐκεῖνο τὸ μέρος, καθ᾽ ὃ ἂν στῇ. [27] τεκμήριον δὲ, ὁκόταν καθημένῳ ἢ κατακειμένῳ φλέβια πιεσθῇ, ὥστε τὸ πνεῦμα μὴ διεξιέναι ἀπὸ τῆς φλεβὸς, εὐθὺς νάρκη ἔχει. [28] περὶ μὲν τῶν φλεβῶν τῶν λοιπῶν οὕτως ἔχει.

VII. Ἡ δὲ νοῦσος αὕτη γίνεται τοῖσι μὲν φλεγματίῃσιν, τοῖσι δὲ χολώδεσιν οὔ. [2] ἄρχεται δὲ φύεσθαι ἐπὶ τοῦ ἐμβρύου ἔτι ἐν τῇ μήτρῃ ἐόντος. [3] καθαίρεται γὰρ καὶ ἀνθέει, ὥσ- 25 περ τἄλλα μέρεα, πρὶν γενέσθαι, καὶ ὁ ἐγκέφαλος. [4] ἐν ταύτῃ δὲ τῇ καθάρσει, ἢν μὲν καλῶς καὶ μετρίως καθαρθῇ, καὶ μήτε πλέον μήτε ἔλασσον τοῦ δέοντος ἀπορρυῇ, οὕτως ὑγιεινοτάτην τὴν κεφαλὴν ἕξει. [5] ἢν δὲ πλείων ἀπὸ παντὸς τοῦ ἐγκεφάλου γένηται ἡ ἀπότηξις, νοσώδεά τε τὴν κεφαλὴν ἕξει αὐξόμενος, καὶ ἤχου πλέην, καὶ οὔτε ἥλιον οὔτε ψῦχος ἀνέξεται. [6] ἢν δὲ ἀπὸ ἑνός τινος γένηται, ἢ ἀπὸ ὀφθαλμοῦ, ἢ οὔατος, ἢ φλέψ τις συνισχναυθῇ, ἐκεῖνος

pars in aurem dextram, quæ sane venula tenuis est: [17] alia autem in oculum dextrum, [18] alia in ipsum nasum. [19] Atque sic quidem venæ ab hepate habent. [20] 125 Tendit autem & à liene vena in sinistra sursum ac deorsum, velut ab hepate, [21] verum tenuior & imbecillior. [22] Cæterum in has venas etiam spiritus copiam inducimus. [23] Hæ enim corporis nostri respirationes sunt, aërem in seipsas trahentes, [24] & in reliquum corpus ac venulas derivantes, refrigerantque ac rursus dimittunt. [25] Non enim possibile est spiritum stare, sed procedit sursum ac deorsum. [26] Si 130 enim alicubi constiterit ac interceptus fuerit, impotens redditur illa pars ubi constiterit. [27] Cujus rei signum hoc est. Quum enim desidenti aut decumbenti venulæ compressæ fuerint, ut spiritus à vena non discurrat, statim torpor occupat. [28] Et de venis quidem reliquis sic habet.

VII. At vero morbus ipse fit in pituitosis, in biliosis vero non. [2] Incipit autem fieri in fœtu adhuc in utero existente. [3] Purgatur enim & florescit cere- 135 brum, velut etiam aliæ partes prius quam gignantur. [4] In hac autem purgatione, siquidem probe ac commoderate purgatum fuerit, & neque plus neque minus quam oportet defluxerit, hic fœtus sanissimum caput habebit. [5] Si autem amplior colliquatio à toto cerebro facta fuerit, morbosum caput augescens fœtus habebit, & sonitu plenum, & neque solem, neque frigus tolerabit. [6] Si vero ab una ali- 140 qua parte colliquatio contigerit, aut ab oculo, aut ab aure, aut vena aliqua simul gracilis facta fuerit,

ἐκείνου κεχώρηται οὕτως, ὁκοίως ἂν καὶ τῆς ἀποτήξιος ἔχῃ. 7 ἢν δὲ κάθαρσις μὴ ἐπιγένηται, ἀλλὰ ξυστραφῇ τῷ ἐγκεφάλῳ, οὕτως ἀνάγκη φλεγματώδεα εἶναι. 8 καὶ ὁκόσοισι μὲν παιδίοισιν ἐοῦσιν ἐξανθέει ἕλκεα ἐς τὴν κεφαλὴν, καὶ ἐς τὰ ὦατα, καὶ ἐς τὸν ἄλλον χρῶτα, 9 καὶ σιαλώδεα γίνεται καὶ μυξόῤῥοα, 10 ταῦτα μὲν ῥήϊστα διάγει προϊούσης τῆς ἡλικίης. 11 ἐνταῦθα γὰρ ἀφίει καὶ καθαίρεται τὸ φλέγμα, ὃ ἐχρῆν ἐς τὴν μήτρην καθαρθῆναι. 12 καὶ τὰ οὕτω καθαρθέντα οὐκ ἐπίληπτα γίνεται ταύτῃ τῇ νούσῳ ὡς ἐπὶ τὸ πουλύ. 13 ὁκόσοι δὲ καθαροί εἰσι, καὶ μήθ' ἕλκος μηδὲν, μήτε μύξα, μήτε σίαλον προέρχεται μηδὲν, μήτε ἐν τῇσι μήτρῃσι πεποίηνται τὴν κάθαρσιν, 14 τοῖσι τοιούτοισιν ἐπικίνδυνόν ἐστιν ἁλίσκεσθαι ὑπὸ ταύτης τῆς νούσου. 15 ἢν δὲ ἐπὶ τὴν καρδίην ποιήσηται ὁ κατάῤῥους τὴν πορείην, 16 παλμὸς ἐπιλαμβάνει καὶ ἄσθματα, 17 καὶ τὰ στήθεα διαφθείρεται, 18 ἔνιοι δὲ καὶ κυφοὶ γίνονται. 19 ὁκόταν γὰρ ἐπικατέλθῃ τὸ φλέγμα ψυχρὸν ἐπὶ τὸν πλεύμονα ἢ ἐπὶ τὴν καρδίην, ἀποψύχεται τὸ αἷμα. 20 αἱ δὲ φλέβες πρὸς βίην ψυχόμεναι πρὸς τῷ πλεύμονι καὶ τῇ καρδίῃ πηδῶσι, καὶ ἡ καρδίη πάλλεται, 21 ὥστε ὑπὸ τῆς ἀνάγκης ταύτης τὰ ἄσθματα ἐπιπίπτειν, καὶ τὴν ὀρθόπνοιαν. 22 οὐ γὰρ δέχεται τὸ πνεῦμα ὅσον ἐθέλει, μέχρις ἂν κρατηθῇ ὑπὸ τοῦ πνεύματος τὸ ἐπιῤῥυὲν, καὶ διαθερμανθὲν διαχυθῇ ἐς τὰς φλέβας. 23 ἔπειτα παύεται τοῦ παλμοῦ καὶ τοῦ ἄσθματος. 24 παύεται δὲ, ὁκως ἂν τοῦ πλήθεος ἔχῃ. 25 ἢν μὲν γὰρ πλέον ἐπικαταῤῥυῇ, χολοίτερον, ἢν δὲ ἔλασσον, θᾶσσον. 26 καὶ ἢν μὲν πυκνότεροι ἔωσιν οἱ κατάῤῥοοι, πυκνότερα ἐπίληπτος γίνεται· ἢν δὲ μὴ, ἀραιό-

fuerit, ille sic afficitur qualiter saue colliquatio contigerit. 7 Si vero purgatio non contingat, sed in cerebro spissetur ac cogatur, sic necesse est fœtus pituitosos esse. 8 Et quibuscunque quidem pueris existentibus erumpunt ulcera in caput, & in aures, ac in reliquum corpus, 9 & quiu salivosi fiunt ac mucosi, 10 hi ipsi progressu ætatis facillime degunt: 11 hic enim abit ac purgatur pituita, quam in utero purgari oportebat, 12 & qui sic purgati fuerint, comitiali sive sacro morbo fere non apprehenduntur. 13 Qui vero mundi sunt, & neque ulcus ullum, neque mucus, neque saliva ulla prodit, neque in uteris purgationem fecerunt, 14 talibus periculum imminet, ut ab hoc morbo corripiantur. 15 Si porro ad cor progressum fecerit defluxus, 16 palpitatio apprehendit & anhelationes, 17 & pectora corrumpuntur, 18 aliqui vero etiam incurvi fiunt. 19 Quum enim descenderit pituita frigida ad pulmonem aut ad cor, perfrigeratur sanguis. 20 Venæ autem violenter perfrigeratæ, ad pulmonem & cor assiliunt, & cor palpitat, 21 ut præ hac necessitate anhelationes incidant, & spiratio cervice erecta. 22 Non enim spiritum suscipere potest, donec id quod influxit, à sanguine fuerit superatum, & calefactum in venas fuerit diffusum. 23 Deinde & palpitatio & anhelatio sedatur: 24 sedatur autem prout copia ejus fuerit. 25 Si enim amplius influxerit, tardius: sin minus, citius. 26 Et siquidem densiores ac crebriores fuerint defluxus, crebrius comitiali morbo corripitur: sin minus,

ἀραιότερον. 27 ταῦτα μὲν οὖν πάσχει, ἢν ἐπὶ τὸν πλεύμονα καὶ τὴν καρδίην ἴῃ. 28 ἢν δὲ ἐς τὴν κοιλίην, διαῤῥοίας λαμβάνουσιν. 29 ἢν δὲ τουτέων μὲν τῶν ὁδῶν ἀποκλεισθῇ, ἐς δὲ τὰς φλέβας, ἃς προείρηκα, τὴν κατάῤῥοον ποιήσηται, 30 ἄφωνός τε γίνεται καὶ πνίγεται, 31 καὶ ἀφρὸς ἐκ τοῦ στόματος ἐκρέει, 32 καὶ οἱ ὀδόντες συνηρείκασι, 33 καὶ αἱ χεῖρες σπῶνται, 125 34 καὶ τὰ ὄμματα διαστρέφονται, 35 καὶ οὐδὲν φρονέουσιν, 36 ἐνίοισι δὲ καὶ ὑποχωρέει ἡ κόπρος κάτω. 37 καὶ ταῦτα γίνεται, ὁτὲ μὲν ἐς ἀριστερὰ, ὁτὲ δὲ ἐς τὰ δεξιὰ, ὁτὲ δὲ ἐς ἀμφότερα.

VIII. Ὅκως δὲ τούτων ἕκαστον πάσχει, ἐγὼ φράσω. 2 ἄφωνος μέν ἐστιν, ὁκόταν ἐξαίφνης τὸ πνεῦμα ἐπικατελθὸν ἐς τὰς φλέβας ἀποκλείσῃ τὸν ἠέρα, 3 καὶ μὴ παραδέχηται, μήτε ἐς τὸν ἐγκέφαλον, μήτε ἐς τὰς φλέβας 5 τὰς κοίλας μήτε ἐς τὰς κοιλίας· ἀλλ' ἐπιλάβῃ τὴν ἀναπνοήν. 4 ὅταν γὰρ ἐπιλάβῃ ἄνθρωπος κατὰ τὸ στόμα καὶ τοὺς μυκτῆρας τὸ πνεῦμα, 5 πρῶτον μὲν ἐς τὸν ἐγκέφαλον ἔρχεται, 6 ἔπειτα δὲ ἐς τὴν κοιλίην τὸ πλεῖστον μέρος, 7 τὸ δὲ ἐπὶ τὸν πλεύμονα, τὸ δὲ ἐπὶ τὰς φλέβας. 8 ἐκ τουτέων δὲ σκίδναται ἐς τὰ λοιπὰ μέρεα κατὰ τὰς φλέβας. 9 καὶ ὅσον ἐς μὲν τὴν κοιλίην, διαψύχει, καὶ ἄλλο τι οὐδὲν ξυμβάλλεται. 10 τοῦτο δὲ ἐς τὸν πλεύμονα. 11 10 ὁ δὲ ἐς τὰς φλέβας ἠὴρ, ξυμβάλλεται ἐς τὰς κοιλίας ἐσιὼν καὶ ἐς τὸν ἐγκέφαλον. 12 καὶ οὕτω τὴν φρόνησιν καὶ τὴν κίνησιν τοῖσι μέλεσι παρέχει. 13 ὥστε ἐπειδὰν ἀποκλεισθῶσιν αἱ φλέβες τοῦ ἠέρος ὑπὸ τοῦ φλέγματος, καὶ μὴ παραδέχωνται, ἄφωνον καθιστᾶσι καὶ ἄφρονα τὸν ἄνθρωπον. 14 αἱ δὲ χεῖρες ἀκρατέες γίνονται καὶ σπῶνται, 15 τοῦ αἵματος ἀτρεμίσαντος καὶ μὴ διαχεομένου, ὥσπερ εἰώθει. 16 καὶ οἱ ὀφθαλ-

nus, rarius. 27 'Hæc itaque perpetitur homo, si ad pulmonem ac cor fluxus processerit. 28 Si vero in ventrem, profluvia alvi apprehendunt. 29 Si vero ab his viis exclusus fuerit, & in venas quas dixi defluxus fecerit, 30 mutus fit & suffocatur, 31 & spuma ex ore effluit, 32 & dentes constringuntur, 33 & manus convelluntur, 34 & oculi distorquentur, 35 & nihil sapiunt, 36 aliquibus etiam stercus inferne secedit. 37 Atque hæc fiunt aliquando 'in sinistra, aliquando in dextra, aliquando utrinque. 160 165

VIII. Quomodo vero singula hæc perpetiatur, ego narrabo. 2 Mutus quidem est, quum pituita derepente in venas delapsa, aërem excluserit, 3 & non admiserit neque in cerebrum, neque in venas cavas, neque in ventriculos, sed occuparit respirationem. 4 Quum enim accipit homo per os & nares spiritum, 5 primum quidem ad cerebrum venit, 6 deinde vero in ventriculum 'magna ex parte, 7 pars 170 etiam ad pulmonem, & pars ad venas. 8 Ex his vero ad reliquas partes in venas dispergitur, 9 & quantum quidem ejus ad ventriculum venit, perfrigerat, & nihil aliud confert. 10 Idem præstat & qui ad pulmonem venit. 11 Qui vero ad venas pervenit aër, confert ad ventriculos ingressus & ad cerebrum. 12 Atque sic sapientiam & motum membris exhibet. 13 Quare ubi fuerit 'exclu- 175 sus à venis aër præ pituita, eumque non susceperint, mutum ac desipientem hominem reddunt. 14 At vero manus impotentes fiunt ac convelluntur, 15 sanguine quiescente, & dum non diffunditur velut solebat. 16 Oculi quoque

ὀφθαλμοὶ διαστρέφονται, τῶν φλεβίων ἀποκλειομένων τοῦ ἠέρος, καὶ σφύζονται. 17 ἀφρὸς δὲ ἐκ τοῦ στόματος προέρχεται ἐκ τοῦ πνεύμονος. 18 ὅταν γὰρ τὸ πνεῦμα μὴ ἐσίῃ ἐς ἑωυτὸν, ἀφρέει καὶ ἀναβλύει, ὥσπερ ἀποθνήσκων. 19 ἡ δὲ κόπρος ὑπέρχεται ὑπὸ βίης πνιγομένου. 20 πνίγεται δὲ τοῦ ἥπατος καὶ τῆς κοιλίης ἄνω πρὸς τὰς φρένας προσπεπτωκότων, 21 καὶ τοῦ στομάχου τῆς γαστρὸς ἀπειλημμένου. 22 προσπίπτει δὲ, ὁκόταν τὸ πνεῦμα μὴ ἐσίῃ ἐς τὸ στόμα, ὅσον εἰώθει. 23 λακτίζει δὲ τοῖσι ποσὶν, ὁκόταν ὁ ἀὴρ ἀποκλεισθῇ ἐν τοῖσι μέλεσι, καὶ μὴ οἷός τε ᾖ διεκδῦναι ἔξω, ὑπὸ τοῦ φλέγματος. 24 ἀΐσσων δὲ διὰ τοῦ αἵματος ἄνω καὶ κάτω, σπασμὸν ἐμποιέει καὶ ὀδύνην· διὸ λακτίζει. 25 ταῦτα δὲ πάσχει πάντα, ὁκόταν τὸ φλέγμα ψυχρὸν παραῤῥυῇ ἐς τὸ αἷμα θερμὸν ἐόν. 26 ἀποψύχει γὰρ καὶ ἵστησι τὸ αἷμα. 27 κἢν μὲν τὸ ῥεῦμα πουλὺ ᾖ καὶ παχὺ, αὐτίκα ἀποκτείνει. 28 κρατέει γὰρ τοῦ αἵματος τῷ ψύχει καὶ πήγνυσιν. 29 ἢν δὲ ἔλασσον ᾖ, τὸ μὲν παραυτίκα κρατέει, ἀποφράξαν τὴν ἀναπνοήν, 30 ἔπειτα τῷ χρόνῳ, ὁκόταν σκιδνασθῇ κατὰ τὰς φλέβας καὶ μιγῇ τῷ αἵματι πολλῷ ἐόντι καὶ θερμῷ, ἢν κρατηθῇ, οὕτως ἐδέξαντο τὸν ἠέρα αἱ φλέβες, καὶ ἐφρόνησαν.

IX. Καὶ ὁκόσα μὲν παιδία σμικρὰ καταλαμβάνεται τῇ νούσῳ ταύτῃ, τὰ πολλὰ ἀποθνήσκει, 2 ἢν πουλὺ τὸ ῥεῦμα ἐπιγένηται, καὶ νότιον ᾖ. 3 τὰ γὰρ φλέβια λεπτὰ ἐόντα οὐ δύναται παραδέχεσθαι τὸ φλέγμα ὑπὸ πάχεος καὶ πλήθεος, 4 ἀλλ' ἀποψύχεται καὶ πήγνυται τὸ αἷμα, καὶ οὕτως ἀποθνήσκει. 5 ἢν δὲ ὀλί-

quoque distorquentur aëre à venis excluso, & commoventur. 17 Spuma vero ex ore prodit ex pulmone. 18 Quum enim spiritus non ingrediatur in ipsum, spumescit & ebullit velut moriens. 19 Stercus vero subit, dum violenter suffocatur. 20 Suffocatur autem, hepate & ventre sursum ad septum transversum irruentibus, 21 & stomacho ventris concluso. 22 Irruunt autem, quum tantum spiritus in os non ingreditur quantum solebat. 23 Calcitrat autem pedibus, quum aër in membris conclusus fuerit, & foras penetrare non poterit præ pituita, 24 verum exiliens per sanguinem sursum ac deorsum, convulsionem ac dolorem inducit, & propterea sane calcitrat. 25 Porro omnia hæc perpetitur, quum pituita frigida defluxerit in sanguinem calidum existentem. 26 Perfrigerat enim & sistit sanguinem. 27 Et siquidem fluxus multus fuerit ac crassus, statim occidit: 28 (Dominatur enim sanguini per frigus, ipsumque congelat.) 29 Si vero paucior fuerit, in præsens quidem dominatur obturans respirationem. 30 Deinde temporis progressu quum dispersus fuerit per venas, & ammixtus sanguini, multo existenti ac calido, si sic superatus fuerit, venæ aërem suscipiunt, atque ita ægri resipiscunt.

IX. Et quicunque quidem pueri parvi hoc morbo corripiuntur, utplurimum moriuntur, 2 si multus fluxus contingat, isque humidus existat. 3 Venæ enim tenues existentes pituitam præ crassitudine ac multitudine suscipere non possunt, 4 sed perfrigeratur ac congelatur sanguis, & sic moriuntur. 5 Si vero modica

ὀλίγον ἐὸν ἐς ἀμφοτέρας τὰς φλέβας τὸν κατάῤῥοον ποιήσηται, ἢ ἐς τὰς ἐπὶ θάτερα, περιγίνονται ἐπίσημα ἐόντα. 6 ἢ γὰρ στόμα παρέσπασται, ἢ ὀφθαλμὸς, ἢ αὐχὴν, ἢ χεὶρ, ὁκόθεν αὐτὸ τὸ φλέβιον, πληρωθὲν τοῦ φλέγματος κρατηθῇ καὶ ἀπισχνανθῇ. 7 τούτῳ οὖν τῷ φλεβίῳ ἀνάγκη ἀσθενέστερον εἶναι καὶ ἐνδεέστερον τοῦτο τοῦ σώματος τὸ βλαβέν. 8 ἐς δὲ τὸν πλείονα χρόνον ὠφελεῖ ὡς ἐπὶ τὸ πολύ. 9 οὐ γὰρ ἔτι ἐπίληπτον γίνεται, ἢν ἅπαξ ἐπισημανθῇ, διὰ τόδε. 10 ὑπὸ τῆς ἀνάγκης ταύτης αἱ φλέβες αἱ λοιπαὶ κακοῦνται, καὶ μέρος τι συνισχναίνονται. 11 ὥστε τὸν μὲν ἠέρα δέχεσθαι, τὸν δὲ τοῦ φλέγματος κατάῤῥοον μηκέτι ὁμοίως παραῤῥέειν. 12 ἀσθενέστερα μέν τοι ὁμοίως τὰ μέλεα εἰκὸς εἶναι τῶν φλεβῶν κακωθεισῶν.

X. 1 Ὁκόσοισι δ' ἂν τελέοισί τε καὶ πάνυ ὀλίγον παραῤῥυῇ, καὶ ἐς τὰ δεξιὰ, ἀσήμως περιγίνονται. 2 κίνδυνος δὲ ξυντραφῆναι καὶ ξυναυξηθῆναι, ἢν μὴ θεραπευθῶσι τοῖσιν ἐπιτηδείοισι. 3 τοῖσι μὲν οὖν παιδίοισιν οὕτω γίνεται, ἢ ὅτι τούτων ἐγγυτάτω. 4 τοὺς δὲ πρεσβυτέρους οὐκ ἀποκτείνει, ὁκόταν ἐπιγένηται, οὐδὲ διαστρέφει. 5 αἵ τε γὰρ φλέβες εἰσὶ κοῖλαι, καὶ αἵματος μεσταὶ θερμοῦ· 6 διότι οὐδὲ δύναται ἐπικρατῆσαι τὸ φλέγμα, οὐδ' ἀποψύξαι τὸ αἷμα, ὥστε καὶ πῆξαι· 7 ἀλλ' αὐτὸ κρατεῖται καὶ καταμίγνυται τῷ αἵματι ταχέως· 8 καὶ οὕτω παραδέχονται αἱ φλέβες τὸν ἠέρα, καὶ τὸ φρόνημα γίνεται. 9 τά τε σημεῖα τὰ προειρημένα ἧσσον ἐπιλαμβάνει διὰ τὴν ἰσχύν. 10 τοῖσι δὲ πρεσβυτέροισιν ὁκόταν ἐπιγένηται τοῦτο τὸ

dica existens pituita in utrasque venas defluxum fecerit, aut in alterius partis, supervivunt, nota ex morbo impressa relicta: 6 aut enim os convellitur, aut oculus, aut cervix, aut manus, ubicunque sane vena pituita repleta superata fuerit & gracilis reddita. 7 Hanc itaque venam necesse est debiliorem esse, & hanc corporis partem læsam defectuosiorem. 8 Verum ad longius tempus plerunque prodest. 9 Non enim amplius morbo apprehenditur, si semel notam impressam susceperit. 10 Quapropter necessario etiam reliquæ venæ affliguntur, ac partim simul gracilescunt, 11 ut aërem quidem suscipiant, pituitæ autem defluxus non amplius similiter illabatur. 12 Debiliora tamen similiter membra esse verisimile est venis afflictis.

X. Quibuscunque autem imperfectis & valde modica pituita defluxerit, & ea in dextras partes, hi citra notæ impressionem supervivunt: 2 verum periculum est ne morbus connutriatur ac simul augescat, si non his quæ commoda sunt curentur. 3 Pueris quidem igitur sic fit hic morbus, aut quam proxime huic modo. 4 Seniores vero non occidit, si accedat, neque distorquet. 5 Nam & venæ sunt cavæ, & sanguine calido refertæ, 6 quapropter neque superare potest pituita, neque perfrigerare sanguinem ut congelet ipsum, 7 sed ipsa superatur, ac sanguini cito ammiscetur: 8 atque sic venæ aërem suscipiunt, & sapientia contingit, 9 signaque prædicta minus invadunt propter fortitudinem. 10 At vero antiquissimis si hic morbus accedat, propterea ipsos

τὸ νόσημα, ἀλλὰ τοῦτο ἀποκτείνει, ἢ 45 παραπλήκτους ποιέει, ὅτι αἱ φλέβες κεκένωνται, καὶ τὸ αἷμα ὀλίγον τε ἐστὶ, καὶ λεπτὸν, καὶ ὑδαρές. [11] ἢν μὲν οὖν πολὺ καταῤῥυῇ καὶ χειμῶνος ἢ καιρὸς, ἀποκτείνει. [12] ἀπέπνιξε γὰρ τὰς ἀναπνοὰς, καὶ ἀπέπηξε τὸ αἷμα, ἢν ἐπ' ἀμφότερα ὁ κατάῤῥοος γένηται. [13] ἢν δὲ ἐπὶ θάτερα, μοῦνον παραπλήκτους ποιέει. [14] οὐ γὰρ δύναται τὸ αἷμα ἐπικρατῆσαι τοῦ φλέγματος, λεπτὸν ἐὸν καὶ ψυχρὸν καὶ ὀλίγον, ἀλλ' αὐτὸ κρατηθὲν ἐπάγη. [15] ὥστε ἀκρατέα εἶναι ἐκεῖνα, καθ' ἃ τὸ αἷμα διεφθάρη· [16] ἐς δὲ τὰ δεξιὰ 216 μᾶλλον καταῤῥέει, ἢ ἐς τὰ ἀριστερὰ, ὅτι αἱ φλέβες εἰσὶ κοιλότεραι καὶ πλέονες ἢ ἐν τοῖσιν ἀριστεροῖσιν. [17] ἀπὸ γὰρ τοῦ ἥπατος τείνουσι, καὶ ἀπὸ τοῦ σπληνός.

XI. Ἐπικαταῤῥέει δὲ καὶ ἀποτήκεται τοῖσι μὲν παιδίοισι μάλιστα, [2] οἷσι δ' ἂν διαθερμανθῇ ἡ κεφαλὴ, ἤν τε ὑπὸ ἡλίου, ἤν τε ὑπὸ πυρὸς, [3] ἤν τε ἐξαπίνης φρίξῃ ὁ ἐγκέφαλος, καὶ τότε ἀποκρίνεται τὸ φλέγ-5 μα. [4] ἀποτήκεται μὲν γὰρ ἐκ τῆς θέρμης καὶ διαχύσιος τοῦ ἐγκεφάλου. [5] ἀποκρίνεται δὲ ἀπὸ τῆς ψύξιός τε καὶ ξυστάσιος, καὶ οὕτως ἐπικαταῤῥέει. [6] τοῖσι μὲν αὕτη ἡ πρόφασις γίνεται. [7] τοῖσι δὲ καὶ ἐπειδὰν ἐξαπίνης μετὰ βόρεια πνεύματα νότος μεταβάλῃ, [8] ξυνεστηκότα τὸν ἐγκέφαλον καὶ ἀσθενέοντα ἔλυσε καὶ ἐχάλασεν ἐξαίφνης, [9] ὥστε πλημμυρέειν τὸ φλέγμα, καὶ οὕτω τὸν κατάῤῥοον ποιέεται. [10] ἐπικαταῤῥέει δὲ ἐξ ἀδήλου φόβου γινομένου, ἢν δείσῃ 10 μὲν ἢ βοήσαντός τινος, ἢ καὶ μεταξὺ κλαίων, μὴ οἷός τε ᾖ τὸ πνεῦμα ταχέως ἀναλαβεῖν· [11] οἷα γίνεται παιδίοισι πολλάκις. [12] ὅ, τι ἂν τούτων αὐτῷ γένηται, εὐθὺς ἔφριξε τὸ σῶμα.

ipsos occidit, aut leviter sideratos facit, quia venæ ipsis suntur evacuatæ, & sanguis modicus est ac tenuis & aquosus. [11] Si igitur multum defluxerit, & hyemis tempus fuerit, occidit. [12] Suffocat enim respirationes, & sanguinem congelat, si in utranque partem defluxus fiat. [13] Si vero in alteram tantum, leviter sideratum facit. [14] Non enim potest sanguis pituitam superare, quum tenuis sit frigidusque ac modicus, sed ipse superatus congelatur, [15] ut impotentes fiant illæ partes; juxta quas sanguis fuerit corruptus. [16] Ad dextras autem magis defluit, quam ad sinistras, quia venæ sunt caviores & plures quam in sinistris. [17] Ab hepate enim tendunt & liene.

XI. Defluit autem & eliquatur pueris maxime, [2] quibus sane caput fuerit percalefactum, sive à sole, sive ab igne, [3] sive etiam derepente inhorruerit cerebrum, etiam tunc pituita secernitur. [4] Eliquatur etenim per calorem ac cerebri diffusionem: [5] segregatur autem à frigore ac concretione, & sic defluit. 221 [6] Et quibusdam quidem defluxionis causa hæc est. [7] Aliis vero etiam ubi derepente post aquilonares ventos auster flare cœperit, [8] compactum ac debile cerebrum derepente solvit ac laxat, [9] ut pituita redundet, & sic defluxum facit. [10] Defluit insuper & ex ignoto timore, siquidem timuerint aut aliquo vociferante, aut inter plorandum spiritum cito 230 revocare non potuerint. [11] id quod pueris frequenter contingere solet. [12] Quicquid sane horum ipsorum acciderit, statim horret

σῶμα, [13] καὶ ἄφωνος γινόμενος τὸ πνεῦμα οὐχ ἕλκουσιν· [14] ἀλλὰ τὸ πνεῦμα ἠρέμισε, καὶ ὁ ἐγκέφαλος ξυνέστη, καὶ τὸ αἷμα ἔστη, καὶ οὕτως ἀπεκρίθη καὶ ἐπικατεῤῥύη τὸ φλέγμα. [15] τοῖσι μὲν παιδίοισιν αὗται αἱ προφάσιες τῆς ἐπιλήψιός εἰσι τὴν ἀρχήν.

XII. Τοῖσι δὲ πρεσβύτῃσιν ὁ χειμὼν πολεμιώτατός ἐστιν. [2] ὅταν γὰρ παρὰ πυρὶ πολλῷ διαθερμανθῇ τὴν κεφαλὴν καὶ τὸν ἐγκέφαλον, ἔπειτα ἐν ψύχει γένηται, καὶ ῥιγώσῃ, [3] καὶ ἐκ ψύχεος ἐς ἀλέην ἔλθῃ καὶ παρὰ πῦρ καθίσῃ, ταὐτὸ τοῦτο πάσχει. [4] καὶ οὕτως ἐπίληπτος γίνεται κατὰ τὰ προειρημένα. [5] κίνδυνος δὲ πολὺς καὶ ἦρος παθεῖν ταὐτὸ τοῦτο, ἢν ἡλιωθῇ ἡ κεφαλή. [6] τοῦ δὲ θέρεος, ἥκιστα. [7] οὐ γὰρ γίνονται μεταβολαὶ ἐξαπιναῖοι.

XIII. [1] Ὁκόταν δὲ εἴκοσιν ἔτεα παρέλθῃ, οὐκ ἔτι ἡ νοῦσος αὕτη ἐπιλαμβάνει, [2] ἢν μὴ ἐκ παιδίου σύντροφος ᾖ, ἀλλ' ἢ ὀλίγους, ἢ οὐδένα. [3] αἱ γὰρ φλέβες μεσταί εἰσιν αἵματος, καὶ ὁ ἐγκέφαλος συνέστηκε καὶ ἐστὶ στρυφνός, ὥστε οὐκ ἐπικαταῤῥεῖ ἐπὶ τὰς φλέβας. [4] ἢν δὲ ἐπικαταῤῥυῇ, τοῦ αἵματος οὐκ ἐπικρατεῖ, πολλοῦ καὶ θερμοῦ ἐόντος. [5] ᾧ δὲ ἀπὸ παιδίου συνηύξηται καὶ συντέτροφεν, ἔθος πεποίηκεν ἐν τῇσι μεταβολῇσι τῶν πνευμάτων τοῦτο πάσχειν, καὶ ἐπίληπτον ὡς τὰ πολλὰ γίνεσθαι, [6] καὶ μάλιστα ἐν τοῖσι νοτίοισιν· ἥτε ἀπαλλαξις χαλεπὴ γίνεται. [7] ὁ γὰρ ἐγκέφαλος ὑγρότερος γίνεται τῆς φύσιος, καὶ πλημμυρεῖ ὑπὸ τοῦ φλέγματος, [8] ὥστε τοὺς μὲν καταῤῥόους πυκνοτέρους γίνεσθαι, ἐκκριθῆναι δὲ μηκέτι οἷόν τε εἶναι τὸ φλέγμα, [9] μηδὲ ἀναξηρανθῆναι τὸν

horret corpus, [13] & æger mutus factus spiritum non trahit; [14] sed spiritus quiescit, & cerebrum compingitur, & sanguis consistit, & sic secernitur ac defluit pituita. [15] Et pueris quidem hæ ipsæ caussæ sunt, ut ab initio à sacro morbo corripiantur.

XII. At vero senibus hyems infestissima est. [2] Quum enim ad multum ignem senex caput & cerebrum percalfecerit, [3] deinde in frigore versatus fuerit ac inhorruerit, & ex frigore ad teporem accesserit, & ad ignem desederit, idem hoc patitur, [4] ac sic à morbo sacro apprehenditur juxta prædictum modum. [5] Periculum vero multum est, ut & vere patiantur idem hoc, si caput fuerit insolatum. [6] Minime autem æstate, [7] non enim fiunt repentinæ mutationes.

XIII. Postquam vero viginti anni præterierint, non amplius hic morbus corripit, præterquam paucos aut nullum, [2] nisi ex puero connutritus fuerit. [3] Venæ enim plenæ sunt, & cerebrum compactum est, & adstrictum, quare non defluit in venas: [4] si vero defluxerit, sanguinem non superat multum ac calidum existentem. [5] In quo vero à puero augmentum cepit ac connutritus est, in eo per consuetudinem facit, ut in mutationibus ventorum patiatur, & ut plurimum morbo sacro corripiatur, [6] præcipue australi ac humida aëris constitutione. Et liberatio difficulter contingit. [7] Cerebrum enim humidius quam ex natura fit, & præ pituita inundat, [8] ut defluxiones quidem frequentiores fiant, non autem amplius possibile sit pituitam excerni, [9] neque cerebrum resiccari, sed

τὸν ἐγκέφαλον, ἀλλὰ διαβρέχεσθαι, καὶ εἶναι ὑγρόν. 10 γνοίη δ' ἄν τις τόδε μάλιστα τοῖσι προβάτοισι, τοῖσι καταληπτοῖσι γινομένοισιν ὑπὸ τῆς νούσου ταύτης, καὶ μάλιστα τῇσιν αἰξίν. 11 αὗται γὰρ πυκνότατα λαμβάνονται. 12 ἢν διακόψῃς τὴν κεφαλὴν, εὑρήσεις τὸν ἐγκέφαλον ὑγρὸν ἐόντα, καὶ ἱδρῶτος περίπλεων, καὶ κακὸν ὄζοντα. 13 καὶ ἐν τούτῳ δηλονότι γνώσῃ, ὅτι οὐχ ὁ θεὸς τὸ σῶμα λυμαίνεται, ἀλλ' ἡ νοῦσος. 14 οὕτω δ' ἔχει καὶ τῷ ἀνθρώπῳ. 15 ὁκόταν γὰρ ὁ χρόνος γένηται τῇ νούσῳ, οὐκ ἔτι ἰήσιμος γίνεται. 16 διεσθίεται γὰρ ὁ ἐγκέφαλος ὑπὸ τοῦ φλέγματος καὶ τήκεται. 17 τὸ δὲ ἀποτηκόμενον ὕδωρ γίνεται, καὶ περιέχει τὸν ἐγκέφαλον ἐκτὸς καὶ περικλύζει. 18 καὶ διὰ τοῦτο πυκνότερον ἐπίληπτοι γίνονται καὶ ῥᾷον. 19 διὸ δὴ πολυχρόνιος ἡ νοῦσος, ὅτι τὸ ἐπιρρέον λεπτόν ἐστιν ὑπὸ πολυπληθίης, 20 καὶ εὐθὺς κρατέεται ὑπὸ τοῦ αἵματος καὶ διαθερμαίνεται.

XIV. Ὁκόσοι δὲ ἤδη ἐθάδες εἰσὶ τῇ νούσῳ, προγινώσκουσιν ὁκόταν μέλλωσι λήψεσθαι, 2 καὶ φεύγουσιν ἐκ τῶν ἀνθρώπων· ἢν μὲν ἐγγὺς αὐτῶν ὁ οἶκος ᾖ, οἴκαδε· ἢν δὲ μὴ, ἐς τὸ ἐρημότατον 3 ὅπῃ μέλλουσιν ὄψεσθαι αὐτὸν ἐλάχιστοι πεσόντα, εὐθύς τε ἐγκαλύπτεται. 4 τοῦτο δὲ ποιέει ὑπ' αἰσχύνης τοῦ πάθεος, καὶ οὐχ ὑπὸ φόβου, ὡς οἱ πολλοὶ νομίζουσι, τοῦ δαιμονίου. 5 τὰ δὲ παιδία τὸ μὲν πρῶτον πίπτουσιν, ὅπῃ ἂν τύχωσιν, ὑπὸ ἀηθίης· 6 ὅταν δὲ πλεονάκις κατάληπτοι γίνωνται, ἐπειδὰν προαίσθωνται, φεύγουσι παρὰ τὰς μητέρας, ἢ παρὰ ἄλλον, ὅν τινα μάλιστα γινώσκουσιν, ὑπὸ δέους καὶ φόβου τοῦ πάθεος. 7 τὸ γὰρ αἰσχύνεσθαι παῖδες ἐόντες οὔπω γινώσκουσιν.

XV. Ἐν

sed perrigatur & humidum existit. 10 Cognoverit autem hoc ipsum quis maxime ex ovibus hoc morbo correptis, & præsertim capris. 11 Hæ enim frequentissime corripiuntur. 12 Si enim caput ipsarum dissecueris, reperies cerebrum humidum esse, & sudore refertum, ac male olens. 13 Et in hoc nimirum cognosces quod non Deus corpus affligit, sed morbus. 14 Sic vero se res habet etiam in homine. 15 Quum enim ætatem adeptus fuerit morbus, non amplius curabilis est, 16 cerebrum enim eroditur à pituita ac colliquatur. 17 Id vero quod colliquatur, aqua fit, & foris cerebrum ambit ac circumalluit, 18 & propterea frequentius ac facilius à morbo hoc corripiuntur. 19 Propterea vero diuturnus est morbus, quia id quod influit venis, tenue est præ multitudine, 20 & statim superatur à sanguine, ac calescit.

XIV. Quicunque vero jam assueti sunt morbo, præcognoscunt se corripiendos, 2 & ex hominum frequentia fugiunt, si domus ipsorum in propinquo fuerit, ad domum: sin minus, in locum desolatissimum, 3 ubi quam paucissimi ipsos lapsos sint visuri, statimque se obvelant, 4 idque faciunt præ pudore affectionis, non præ timore, velut multi putant, dæmonii. 5 At vero pueri primum quidem cadunt ubicunque tandem contigerit præ inassuetudine. 6 Quum autem sæpius à morbo corripiantur, postquam præsenserint, confugiunt ad matres, aut ad alium maxime notum, præ timore ac formidine affectionis: 7 verecundari enim pueri nondum sciunt.

XV. Cæ-

XV. [1] Ἐν δὲ τῇσι μεταβολῇσι τῶν 45 πνευμάτων διὰ τάδε φημὶ ἐπιλήπτους γίνεσθαι, [2] καὶ μάλιστα τοῖσι νοτίοισιν, ἔπειτα καὶ τοῖσι βορείοισιν, ἔπειτα καὶ τοῖσι λοιποῖσι πνεύμασι. [3] ταῦτα δὲ ἐστιν, ὅσα τῶν πνευμάτων ἰσχυρότατά ἐστιν, καὶ ἀλλήλοισιν ἐναντιώτατα κατὰ τὴν στάσιν καὶ κατὰ τὴν δύναμιν. [4] ὁ μὲν γὰρ βορέης ξυνίστησι τὸν ἠέρα, καὶ τὸ θολερόν τε καὶ τὸ νεφῶδες ἐκκρίνει, καὶ λαμπρότερον καὶ διαφανέα ποιέει. [5] 157 κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ τἄλλα πάντα τὰ ἐκ τῆς θαλάσσης ἀρξάμενα, καὶ τῶν ἄλλων ὑδάτων. [6] ἐκκρίνει γὰρ ἐξ ἁπάντων τήν τε νοτίδα καὶ τὸ δνοφερὸν, καὶ ἐξ αὐτῶν τῶν ἀνθρώπων. [7] διὸ καὶ ὑγιεινότατός ἐστι τῶν ἀνέμων. [8] ὁ δὲ νότος τἀναντία τούτῳ ἐργάζεται. [9] πρῶτον μὲν γὰρ ἄρχεται τὸν ἠέρα ξυνεστῶτα τήκειν καὶ διαχέειν. [10] καθότι καὶ οὐκ εὐθὺς πνέει 5 μέγας, [11] ἀλλὰ λαγανίζει. [11] ὅτι 33 πρῶτον οὐ δύναται ἐπικρατῆσαι τοῦ ἠέρος αὐτίκα τοῦ πρόσθεν πυκνοῦ τε ἐόντος καὶ ξυνεστηκότος, ἀλλὰ τῷ χρόνῳ διαλύει. [12] τὸ δ' αὐτὸ τοῦτο καὶ τὴν γῆν ἐργάζεται, καὶ τὴν θάλασσαν, καὶ τοὺς ποταμοὺς, καὶ τὰς κρήνας, καὶ τὰ φρέατα, [13] καὶ ὅσα φύεται, καὶ ἐν οἷσιν ὑγρόν ἐστιν. [14] ἔστι δὲ ἐν παντὶ, ἐν μὲν τῷ πλέον, ἐν δὲ τῷ ἔλασσον. [15] ἅπαντα γὰρ ταῦτα αἰσθάνεται τοῦ πνεύματος τούτου, [16] καὶ ἔκ τε λαμπρῶν δνοφερὰ γίνεται, 10 ἔκ τε ψυχρῶν θερμὰ, καὶ ἐκ ξηρῶν νοτώδεα. [17] ὁκόσα τε ἐν οἰκήμασι κεράμια κατὰ γῆς ἐστι [1] μετὰ οἴνου ἢ 34 ἄλλου τινὸς ὑγροῦ, πάντα ταῦτα αἰσθάνεται τοῦ νότου, καὶ διαλλάσσει τὴν μορφὴν ἐς ἕτερον εἶδος. [18] τὸν δὲ ἥλιον καὶ τὴν σελήνην καὶ τὰ ἄστρα πολὺ ἀμβλυωπότερα καθίστησι τῆς φύσιος. [19] ὅτε

XV. Cæterum in mutationibus ventorum propterea morbo sacro corripi censeo, [2] maxime quidem austrinis, postea vero etiam aquilonaribus, deinde etiam reliquis ventis: [3] hi autem sunt qui fortissimi ex ipsis existunt, & inter se tum statione, tum viribus contrariissimi. [4] Etenim aliquo compingit aërem, & turbatum ac nubilosum excernit, & illustriorem ac pellucidum facit. [5] [1] Eodem modo etiam alii 270 omnes venti ex mari ac aliis aquis proficiscentes. [6] Ex omnibus enim rebus, atque adeo ex ipsis hominibus humiditatem ac tenebrositatem excernunt. [7] Quapropter saluberrimus omnium ventorum aquilo existit. [8] Auster autem contraria huic operatur: [9] primum enim incipit aërem compactum liquare ac diffundere, [10] quapropter etiam non statim magnus spirat, sed primum lentus ac lenis est, [11] quoniam [1] aërem statim superare 275 non potest, qui prius densus est & compactus, sed temporis progressu ipsum dissolvit. [12] Idem porro hoc etiam in terram operatur & in mare, fluviosque ac fontes & puteos, [13] & quæ ex terra nascuntur, & in quibus humor inest. [14] Est autem in omni, in alio plus, in alio minus. [15] Omnia autem hæc ventum hunc sentiunt, [16] & ex splendidis tenebrosa fiunt, & ex frigidis calida, & ex siccis humida. [17] Et quæcunque [1] in domibus vasa 280 juxta terram sunt cum vino ac alio quopiam liquore, ea omnia austerum sentiunt, & formam in aliam speciem transmutant. [18] Solem vero & lunam ac sydera multo hebetiora, quam ex natura sunt reddit. [19] Quum igitur

ὅτι οὖν καὶ τούτων οὕτω μεγάλων ἐόντων καὶ ἰσχυρῶν τοσοῦτον ἐπικρατεῖ, καὶ τὸ σῶμα ποιεῖ αἰσθάνεσθαι, καὶ μεταβάλλειν ἐκ τῶν ἀνέμων τούτων ἐν τῇσι μεταβολῇσιν, [20] ἀνάγκη τοῖσι μὲν νοτίοισι λύεσθαί τε καὶ φλυδᾷν τὸν ἐγκέφαλον, καὶ τὰς φλέβας χαλαρωτέρας εἶναι, [21] τοῖσι δὲ βορείοισι ξυνίστασθαι τὸ ὑγιηρότατον τοῦ ἐγκεφάλου, τὸ δὲ νοσερώτατον καὶ ὑγρότατον ἐκκρίνεσθαι καὶ περικλύζειν ἔξωθεν. [22] καὶ οὕτω τοὺς καταρρόους ἐπιγίνεσθαι ἐν τῇσι μεταβολῇσι τῶν πνευμάτων τούτων. [23] οὕτως ἡ νοῦσος αὕτη γίνεταί τε καὶ θάλλει ἀπὸ τῶν προσιόντων τε καὶ ἀπιόντων. [24] καὶ οὐδέν ἐστιν ἀπορωτέρη τῶν ἄλλων, οὔτε ἰῆσθαι, οὔτε γνῶναι, οὔτε θειοτέρη ἢ ὡς αἱ ἄλλαι.

XVI. Εἰδέναι δὲ χρὴ τοὺς ἀνθρώπους, ὅτι ἐξ οὐδενὸς ἡμῖν αἱ ἡδοναὶ γίνονται, καὶ αἱ εὐφροσύναι, καὶ γέλωτες, καὶ παιδιαὶ, ἢ ἐντεῦθεν· [2] καὶ λῦπαι, καὶ ἀνίαι, καὶ δυσφροσύναι, καὶ κλαυθμοί· [3] καὶ τούτῳ φρονοῦμεν μάλιστα καὶ νοοῦμεν, [4] καὶ βλέπομεν, καὶ ἀκούομεν, [5] καὶ γινώσκομεν τά τε αἰσχρὰ καὶ τὰ καλὰ, καὶ τὰ κακὰ καὶ ἀγαθὰ, καὶ ἡδέα καὶ ἀηδέα· [6] τὰ μὲν νόμῳ διακρίνοντες, [7] τὰ δὲ τῷ συμφέροντι αἰσθανόμενοι. [8] τῷ δὲ τὰς ἡδονὰς καὶ τὰς ἀηδίας τοῖσι καιροῖσι διαγινώσκοντες· [9] καὶ οὐ ταυτὰ ἀρέσκει ἡμῖν. [10] τῷ δὲ αὐτῷ τούτῳ καὶ μαινόμεθα καὶ παραφρονέομεν, [11] καὶ δείματα καὶ φόβοι παρίστανται ἡμῖν, τὰ μὲν νύκτωρ, τὰ δὲ μεθ' ἡμέρην· [12] καὶ ἐνύπνια καὶ πλάνοι ἄκαιροι, καὶ φροντίδες οὐχ ἱκνεύμεναι, καὶ ἀγνωσίη τῶν καθεστώτων, καὶ ἀηθίη, καὶ ἀπειρίη. [13] καὶ ταῦτα πάσχομεν ἀπὸ τοῦ ἐγκεφάλου πάντα, ὅταν οὗτος μὴ ὑγιαίνῃ, [14] ἀλλ' ἢ θερμότερος τῆς φύσιος

etiam his quæ adeo magna sunt ac fortia in tantum dominetur, & corpus sentire faciat, ut ex horum ventorum alterationibus transmutetur, [20] necesse est ab austris quidem solvi ac humectari cerebrum, & venas laxiores reddi : [21] ab aquilonis vero flatibus, quod sanissimum est in cerebro compingi, quod vero morbosissimum ac humidissimum est excerni, & forinsecus circumalluere, [22] atque sic defluxus in horum ventorum mutationibus succedere. [23] Hoc modo hic morbus fit & floret, tum ab accedentibus, tum à decedentibus, [24] & nullatenus difficilior aut cognitu aut curatu est quam alii, neque etiam divinior aliis.

XVI. Porro expedit homines nosse, quod ex nulla alia nobis parte voluptates contingunt, & læticiæ, & risus, & lusus, quam ex cerebro : [2] itemque mœrores & anxietates tristitiæque ac ejulatus & querelæ. [3] Et hoc sapimus maxime ac intelligimus, [4] & videmus, & audimus, [5] & cognoscimus turpia & honesta, mala & bona, jucunda & injucunda, [6] partim consuetudine discernentes, [7] partim utilitate percipientes. [8] Eodem voluptates & injucunditates pro opportunitate dignoscimus, [9] & non eadem nobis placent. [10] Eodem & insanimus & deliramus, [11] & terrores & timores nobis accedunt, partim noctu, partim interdiu, [12] & insomnia, & errores intempestivi, & curæ inanes, & ut non noscamus adstantes, & desuetudo, & inexperientia. [13] Atque hæc omnia perpetimur à cerebro, quum sanum non fuerit : [14] sed aut calidius quam ex natura fiat,

φύσιος γένηται, ἢ ψυχρότερος, ἢ
30 ὑγρότερος, ἢ ξηρότερος, 15 ἤ τι
ἄλλο πεπόνθῃ πάθος παρὰ τὴν
φύσιν, ὃ μὴ εἰώθει. 16 Καὶ μαινόμε- 38
θα μὲν ὑπὸ ὑγρότητος. 17 ὁκόταν
γὰρ ὑγρότερος τῆς φύσιος ἔῃ, ἀνάγ-
κη κινέεσθαι. 18 κινουμένου δὲ τοῦ
πάθεος, μήτε τὴν ὄψιν ἀτρεμί-
ζειν, μήτε τὴν ἀκοὴν, ἀλλ' ἄλλοτε
ἄλλο ὁρᾷν καὶ ἀκούειν, 19 τήν τε
γλῶσσαν τοιαῦτα διαλέγεσθαι, οἷα
ἂν βλέπῃ τε καὶ ἀκούῃ ἑκάστοτε. 20
ὁκόσον δ' ἂν ἀτρεμήσῃ ὁ ἐγκέφα-
λος χρόνον, τοσοῦτον καὶ φρονέει ὁ ἄν-
θρωπος. 21 γίνεται δὲ ἡ διαφθορὴ τοῦ
35 ἐγκεφάλου ὑπὸ φλέγματος καὶ χο-
λῆς. 22 γνώσῃ δὲ ἑκάτερα ὧδε. 23 οἱ
μὲν γὰρ ὑπὸ τοῦ φλέγματος μαινόμε-
νοι, ἥσυχοί τέ εἰσι, καὶ οὐ βοηταὶ, οὐδὲ
θορυβώδεες. 24 οἱ δὲ ὑπὸ χολῆς, κε- 39
κράκταί τε καὶ κακοῦργοι, καὶ οὐκ ἀτρε-
μαῖοι, [ἀλλ'] αἰεί τι ἄκαιρον δρῶν-
τες. 25 ἢν μὲν οὖν ξυνεχέως μαίνωνται,
αὗται αὐτοῖς αἱ προφάσιές εἰσιν.
26 ἢν δὲ δείματα καὶ φόβοι παρι-
στῶνται, ὑπὸ μεταστάσιος τοῦ ἐγκε-
φάλου. 27 μεθίσταται δὲ θερμαινό-
μενος. 28 θερμαίνεται δὲ ὑπὸ τῆς χο-
λῆς, ὁκόταν ὁρμήσῃ ἐπὶ τὸν ἐγκέ-
40 φαλον κατὰ τὰς φλέβας τὰς αἱ- 40
ματίτιδας ἐκ τοῦ σώματος. 29 καὶ φό-
βος παρέστηκε, μέχρις ἀπέλθῃ
πάλιν ἐπὶ τὰς φλέβας καὶ τὸ σῶμα·
ἔπειτα πέπαυται. 30 ἀνιᾶται δὲ καὶ ἀ- 41
σᾶται παρὰ καιρὸν, ψυχομένου τοῦ
ἐγκεφάλου, καὶ ξυνισταμένου παρὰ
τὸ ἔθος. 31 τοῦτο δὲ ὑπὸ φλέγμα-
τος πάσχει. 32 ὑπ' αὐτοῦ τοῦ πάθεος
καὶ ἐπιλήθεται, 33 καὶ νύκτωρ βοᾷ καὶ
κέκραγε, ὁκόταν ἐξαπίνης ὁ ἐγ-
κέφαλος διαθερμαίνηται 34 τοῦτο
δὲ πάσχουσιν οἱ χολώδεες. 35 οἱ
45 φλεγματώδεες δὲ [οὐ.] οὐ [γὰρ] δια-
θερμαί-

fiat, aut frigidius, aut humidius, aut siccius, 15 aut aliud quid perpetiatur præter naturam, & consuetudinem. 16 Et insanimus quidem præ humiditate. 17 Quum enim humidius fuerit quam pro natura, necesse est moveri: 18 ubi vero movetur affectio, necesse est neque visum quiescere, neque auditum, sed alias aliud videre & audire, 19 & linguam talia dicere, qualia semper ac singulis vicibus viderit ac audierit. 20 Quanto vero tempore 305 cerebrum quieverit, tanto etiam homo sapit. 21 Fit autem corruptio cerebri à pituita & bile. 22 Utriusque cognitio sic contingit. 23 Qui enim à pituita insaniunt, quieti sunt, & non vociferantur neque tumultuantur. 24 Qui vero à bile, vociferatores sunt & malefici, & non quieti, semper aliquid intempestivum facientes. 25 Siquidem igitur assidue insaniunt, hæc ipsis sunt caussæ. 26 Si vero terrores ac timores accedant, à cerebri transmutatione 310 id contingit. 27 Transmutatur autem dum calescit. 28 Calescit autem præ bile, ubi ad cerebrum impetum fecerit ex corpore per venas hæmatitidas, hoc est sanguinarias appellatas: 29 & timor adest donec rursus redierit in venas ac corpus, deinde quiescit. 30 Angitur autem homo & inquietudine multa jactatur intempestive, dum cerebrum perfrigeratur, & præter consuetudinem compingitur. 31 Hoc vero 315 à pituita perpetitur. 32 Ab hac autem affectione etiam obliviosus evadit. 33 Noctu vero clamat & vociferatur, quum derepente cerebrum percalefiat: 34 hoc autem perpetiuntur biliosi: 35 pituitosi enim non percalefiunt: 36 quum

θερμαίνεται. [16] ὁπόταν δὲ τὸ αἷμα ἐπέλθῃ πολὺ ἐπὶ τὸν ἐγκέφαλον καὶ ἐπιζέσῃ, ἔρχεται κατὰ τὰς φλέβας πολὺ τὰς προειρημένας, [37] ὁκόταν τυγχάνῃ ὁρέων ὁ ἄνθρωπος ἐνύπνιον φοβερὸν, καὶ ἐν τῷ φόβῳ ἔῃ. [38] ὥσπερ οὖν καὶ εἰ ἐγρηγορὼς, τότε μᾶλλον τὸ πρόσωπον φλογιᾷ, [39] καὶ οἱ ὀφθαλμοὶ ἐρυθαίνονται, ὁκόταν φοβῆται, [40] καὶ ἡ γνώμη ἐπινοέει τι κακὸν ἐργάσασθαι, οὕτω καὶ ἐν τῷ ὕπνῳ πάσχει. [41] ὁκόταν δὲ ἐπέγρηται, καὶ καταφρονήσῃ, καὶ τὸ αἷμα πάλιν ἀποσκεδασθῇ ἐς τὰς φλέβας τὰς προειρημένας, πέπαυται.

XVII. Κατὰ ταῦτα νομίζω τὸν ἐγκέφαλον δύναμιν πλείστην ἔχειν ἐν τῷ ἀνθρώπῳ. [2] οὗτος γὰρ ἡμῖν ἐστι τῶν ἀπὸ τοῦ ἠέρος γινομένων ἑρμηνεὺς, ἢν ὑγιαίνων τυγχάνῃ. [3] τὴν δὲ φρόνησιν αὐτῷ ὁ ἀὴρ παρέχεται. [4] οἱ δὲ ὀφθαλμοὶ, καὶ τὰ οὔατα, καὶ ἡ γλῶσσα, καὶ αἱ χεῖρες, καὶ οἱ πόδες, οἷα ἂν ὁ ἐγκέφαλος γινώσκῃ, τοιαῦτα ὑπηρετέουσι. [5] γίνεται δὲ παντὶ τῷ σώματι τῆς φρονήσιος, ὡς ἂν μετέχῃ τοῦ ἠέρος. [6] ἐς δὲ τὴν σύνεσιν ὁ ἐγκέφαλός ἐστιν ὁ διαγγέλλων. [7] ὁκόταν γὰρ σπάσῃ τὸ πνεῦμα ὁ ἄνθρωπος ἐς ἑωυτὸν, ἐς τὸν ἐγκέφαλον πρῶτον ἀφικνέεται, [8] καὶ οὕτως ἐς τὸ λοιπὸν σῶμα σκίδναται ὁ ἀὴρ, [9] καταλελοιπὼς ἐν τῷ ἐγκεφάλῳ ἑωυτοῦ τὴν ἀκμὴν, [10] καὶ ὅ, τι ἂν ἔῃ φρόνιμόν τε καὶ γνώμην ἔχον. [11] εἰ γὰρ ἐς τὸ σῶμα πρῶτον ἀφικνέεται, καὶ ὕστερον ἐς τὸν ἐγκέφαλον, ἐν τῇσι σαρξὶ καὶ ἐν τῇσι φλεψὶ καταλελοιπὼς τὴν διάγνωσιν, ἐς τὸν ἐγκέφαλον ἂν ἴῃ θερμὸς ἔτι ἐὼν, [12] καὶ οὐκ ἀκραιφνὴς, ἀλλ᾽ ἐπιμεμιγμένος τῇ ἰκμάδι τῇ ἀπὸ τῶν σαρκῶν καὶ τοῦ αἵματος, ὥστε μηκέτι εἶναι ἀκριβής. [13] διότι φημὶ τὸν ἐγκέφαλον εἶναι τὸν ἑρμηνεύοντα τὴν ξύνεσιν.

[36] quum sanguis multus ad cerebrum pervenerit & efferbuerit, venit autem per venas prædictas. [37] Quum contigerit ut homo videat insomnium horrendum, & in timore fuerit, [38] etiamsi vigilet, tunc magis facies [f] ignescit, [39] & oculi rubescunt, quum timuerit, [40] & mens meditatur aliquid mali operari, sic etiam in somno patitur. [41] Ubi vero expergefactus fuerit, & resipuerit, atque sanguis rursus in venas prædictas dispersus fuerit, quiescit.

XVII. Et propterea judico cerebrum vim plurimam in homine habere. [2] Hoc enim est nobis eorum quæ ab aëre fiunt interpres, si sanum fuerit. [3] Sapientiam autem ipsi exhibet aër. [4] Oculi vero & aures & [f] lingua, & manus & pedes, qualia cerebrum statuit ac cognoscit, talia subministrant. [5] Sapientia enim toti corpori contingit, prout aëre participarit. [6] Ad intelligentiam vero internuncius est cerebrum. [7] Quum enim homo spiritum in seipsum attraxerit, primum quidem ad cerebrum pervenit, [8] & sic ad reliquum corpus aër dispergitur, [9] relinquens in cerebro suum ipsius vigorem, [10] & quicquid prudens ac sapientia præditum fuerit. [11] [f] Si enim in corpus primum perveniret, & posterius in cerebrum, relicta in carnibus ac venis dignotione ac judicio, ad cerebrum calidus jam existens perveniret, [12] & non sincerus ac purus, sed ammixto humore à carnibus & sanguine, ut non amplius exacte sincerus esset. [13] Quapropter dico cerebrum intelligentiæ ac prudentiæ internuncium ac interpretem esse.

XIIX. Cæ-

XVIII. Αἱ δὲ φρένες ἄλλως οὔνομα ἔχουσι τῇ τύχῃ κεκτημένον, καὶ τῷ νόμῳ, τῷ δὲ ὄντι οὐκ, οὐδὲ τῇ φύσει. [2] οὐδὲ οἶδα ἔγωγε, τίνα δύναμιν ἔχουσιν αἱ φρένες, ὥστε φρονέειν τε 15 ' καὶ νοεῖν. [3] πλὴν, εἴ τι ὁ ἄνθρωπος ὑπερχαρῇ ἐξ ἀδοκήτου ἢ ἀνιηθείη, πηδῶσι " καὶ ἄλσιν 43 παρέχουσιν ὑπὸ λεπτότητος, [4] καὶ, ὅτι ἀνατέτανται μάλιστα ἐν τῷ σώματι. [5] καὶ κοιλίην οὐκ ἔχουσι, ἐς ἣν τινα δέξασθαι χρὴ ἀγαθὸν ἢ κακὸν προσπίπτον, [6] ἀλλ' ὑπ' ἀμφοτέρων τούτων τεθορύβηνται διὰ τὴν ἀσθενείην τῆς φύσιος. [7] ἐπεὶ αἰσθάνονταί γε οὐδενὸς πρότερον τῶν ἐν τῷ σώματι ἐνεόντων. [8] ἀλλὰ μάτην τοῦτο τὸ οὔνομα ἔχουσι, καὶ τὴν αἰτίην, [9] ὥσπερ τὰ 20 πρὸς τῇ καρδίῃ ἅπερ ὦτα καλέεται ἐς τὴν ἀκοὴν ξυμβαλλόμενα. [10] " λέγουσι δέ τινες, ὡς φρονέομεν 44 τῇ καρδίῃ, καὶ τὸ ἀνιώμενον τοῦτό ἐστι καὶ τὸ φροντίζον. [11] τὸ δὲ οὐχ οὕτως ἔχει, ἀλλὰ σπᾶται μὲν ὥσπερ αἱ φρένες, καὶ μᾶλλον διὰ τὰς αὐτὰς αἰτίας. [12] ἐξ ἅπαντος γὰρ τοῦ σώματος φλέβες ἐς αὐτὴν συντείνουσι, [13] καὶ συγκλείσιας ἔχει, ὥστε αἰσθάνεσθαι, ἤν τις πόνος " ἢ σύστασις γίνηται τῷ ἀνθρώπῳ. 45 [14] ἀνάγκη δὲ καὶ ἀνιώμενον φρίσσειν τὸ σῶμα, καὶ συντείνεσθαι, καὶ 25 ὑπερχαίροντα ' ταὐτὸ πάσχειν. [15] διότι ἡ καρδίη αἰσθάνεταί τε μάλιστα καὶ αἱ φρένες· [16] τῆς μέντοι φρονήσιος οὐδετέρῳ μέτεστιν· ἀλλὰ πάντων τουτέων ὁ ἐγκέφαλος αἴτιός ἐστιν. [17] ὥσπερ οὖν καὶ τῆς τοῦ ἠέρος πρῶτος αἰσθάνεται ὁ ἐγκέφαλος τῶν σώματι ἐνεόντων,

XIIX. Cæterum præcordia alias fortuitum nomen apud Græcos ' per conſuetudinem ha- 335 bent, quum phrenes à ſapientia dicta videantur, revera autem non, neque ex natura. [2] Neque ego ſane novi, quam vim habeant præcordia, ut ſapiant & intelligant, [3] præterquam ſi homo ex improviſo nimio gaudio perfundatur, aut triſtitia afficiatur, tunc ſane exiliunt & anxietatem exhibent, præ tenuitate, [4] & quod diſtenta ſunt maxime in corpore, [5] & ventriculum non habent ad quem ſuſcipiant aut ' bonum, aut malum allabens, [6] 340 ſed ab utriſque his turbantur, propter naturæ debilitatem. [7] Nam nullo ſane prius ſentiunt ex his quæ in corpore inſunt, [8] ſed fruſtra hoc nomen & cauſam habent. [9] Quemadmodum quæ ad cor ſitæ ſunt aures appellantur, quum nihil conferant ad auditum. [10] Porro dicunt quidam quod corde ſapimus,&quod hoc eſt quod angitur, & quod curam gerit. [11] Verum hoc non ita ſe habet, ſed convellitur quidem ' velut præcordia, & magis 345 etiam propter eaſdem cauſſas. [12] Ex omni enim corpore venæ ad ipſum tendunt,[13] & concluſiones habet ut ſentiat, ſi quis dolor,aut collectio homini contingat. [14] Neceſſe eſt enim & dum angitur, inhorrere corpus ac diſtendi, & ſi quis nimio gaudio perfundatur, idem pati. [15] Quapropter cor quidem & præcordia maxime ſentiunt, [16] ſapientia tamen minime participant, ſed omnium ' horum cerebrum cauſ- 350 ſa eſt. [17] Quemadmodum igitur etiam prudentiam ac aërem omnium primum ex his quæ in corpore inſunt percipit cerebrum:

ταν, [18] οὕτως καὶ, ἢν τις μεταβολὴ ἰσχυροτέρη γένηται ἐν τῷ ἠέρι ὑπὸ τῶν ὡρέων, καὶ αὐτὸς ἑωυτοῦ διάφορος γίνεται ἐν τῷ ἠέρι. [19] ὁ γὰρ ἐγκέφαλος διὰ τοῦτο

30 πρῶτος αἰσθάνεται, διότι ' καὶ τὰ νοσήματα " ἐς αὐτὸν ἐμπίπτει 46 φημὶ ὀξύτατα καὶ μέγιστα καὶ θανατωδέστατα καὶ δυσκριτώτατα τοῖσιν ἀπείροισιν. [20] "Αὕτη δὲ ἡ νοῦσος ἡ ἱερὴ καλεομένη ἀπὸ τῶν αὐτῶν προφασίων γίνεται, ἀφ' ὧν καὶ αἱ λοιπαὶ, [21] ἀπὸ τῶν προσιόντων καὶ ἀπιόντων, οἷον ψύχεος, ἡλίου, πνευμάτων, " μεταβαλλομένων τε καὶ 47 μηδέποτε ἀτρεμιζόντων. [22] ταῦτα δ' ἐστὶ θεῖα, [23] ὥστε μηδὲν διακρίνοντα τὸ νόσημα θειότερον τῶν λοιπῶν νοσημάτων νομίζειν, ἀλ-

35 λὰ πάντα θεῖα, ' καὶ ἀνθρώπινα πάντα. [24] φύσιν δὲ ἔχει ἕκαστον καὶ δύναμιν ἐν ἑωυτῷ, [25] καὶ οὐδὲν ἄπορόν ἐστιν, οὐδὲ ἀμήχανον. [26] " ἀκεστά τε τὰ πλεῖστά ἐστιν αὐτοῖ- 48 σι τούτοισιν, ἀφ' ὅτων καὶ γίνεται. [27] ἕτερον γὰρ ἑτέρῳ τροφή ἐστι, [28] " τῷ δὲ κάκωσις. [29] τοῦτο οὖν δεῖ 49 τὸν ἰητρὸν ἐπίστασθαι, καὶ τὸν καιρὸν διαγινώσκειν ἑκάστου, [30] " ὡς αὖ 50 τὸ μὲν ἀποδώσει τῇ τροφῇ καὶ αὐξήσει, τὸ δὲ ἀφαιρήσει καὶ μειώσει. [31] " χρὴ δὲ καὶ ἐν ταύτῃ τῇ νούσῳ καὶ 51 ἐν τῇσιν ἄλλῃσιν ἁπάσῃσι μὴ αὔξειν τὰ νοσήματα, [32] ἀλλὰ σπεύ-

40 δειν ' τρύχειν προσφέροντα τῇ νούσῳ τὸ πολεμιώτατον ἑκάστῃ, [33] καὶ μὴ τὸ φίλον καὶ σύνηθες. [34] ὑπὸ μὲν γὰρ τῆς συνηθείης θάλλει καὶ αὔξεται, [35] ὑπὸ δὲ τοῦ πολεμίου 52 " φθίνει καὶ ἀμαυροῦται. [36] " ὅστις 53 δὲ ἐπίσταται ἐν ἀνθρώποις τὴν τοιαύτην μεταβολὴν, [37] καὶ δύναται ὑγρὸν καὶ ξηρὸν ποιέειν, καὶ θερ-μὸν

VI. Si uteri adglutinati fuerint, incumbunt: 2 &, si contigeris, videbis locum durum sub lateris mollitie, 3 & dolor corripit imum ventrem, & laterum mollitudinem, & lumbos, 4 & in crura dolor iruit, eaque extendere non potest. 5 sæpe vero etiam suppurantur, & linamentis inditis curatæ ■ ac fluentes moriuntur, 7 si non usseris, aut secueris. 8 Quum autem sic habuerit, pharmacum infra purgans bibendum dare oportet, 9 & multa calida lavare ac fovere: 10 & quum recens lota aut fota fuerit, jubere ut admota manu, cum digito os uterorum abstrahat, 11 & myrrham caloniam suffiat, rosaceo affuso. 12 Bibat autem pæoniæ grana nigra quinque, castorio ammixto, in vino odorato: 13 & in coxam sanam decumbat, 14 & apponat baccarim unguentum, aut oleum album ad coxam sanam: 15 & edat allium plurimum, & crudum, & coctum, 16 & succum sorbeat, & cibis mollibus utatur. 17 Postquam autem dolor quieverit, abduces euntem super sanam coxam, 18 postea vero fomentum ex urina adhibeto, lauro inspersa, 19 & à fomento cyclaminum apponito. 20 Postera die lotæ suffitus ex aromatis adhibeatur. 21 Cæterum ex hoc morbo maxime steriles fiunt.

VII. Ἢν ἀποπληχθῇ τὸ στόμα τῶν μητρέων, ² τὰ ἐπιμήνια οὐκ ἐξέρχεται· ³ ἢν δὲ ἐξέλθῃ, ὀλίγα καὶ πονηρά. ⁴ καὶ τῷ ἀνδρὶ ὁκόταν ξυνίῃ, ἀλγέει, καὶ ὀδύνη τὴν νειαίρην γαστέρα ἴσχει καὶ τὰς ἰξύας. ⁵ καὶ, ἢν ἐπαφάσσῃ [τις] τῷ δακτύλῳ καὶ σκέπτηται τὸ στόμα, οὐ δῆλόν ἐστι. ⁶ ὁκόταν ὧδε ἔχῃ, πυριῆσαι τῷ ἀνθρωπίνῳ οὔρῳ· ⁷ ἐπὴν δὲ πυριήσηται, λουέσθω ἀπὸ τοῦ φακίου. ⁸ ἔπειτα λουσαμένη πυριήσθω τῷ αἰγυπτίῳ μύρῳ τὰς ὑστέρας. ⁹ καὶ, ἢν ἐς τὰς ῥῖνας ἀνέλθῃ ἡ ὀδμὴ, ἐλπὶς αὐτὴν ὑγιέα γενέσθαι. ¹⁰ καὶ, ὁκόταν μέλλῃ καθεύδειν, προστιθέσθω τὸ αἰγύπτιον ἔλαιον ἐν ἐρίῳ. ¹¹ τῇ δὲ αὔριον σκέψασθαι, ἢν τι μᾶλλον ὀρθῶνται. ¹² ἔπειτα πυριῆν εὐώδεσι, καὶ προστιθέναι, ἃ μὴ δήξεται, καθαρτήρια. ¹³ καὶ μετὰ κλύζειν μετὰ τὰ προσθετὰ ἴσον τὸ ὄξος μίσγων. ¹⁴ ὅταν δὲ τὰ ἐπιμήνια ἐξέλθῃ, νῆστις οὖσα καὶ ἄλουτος οὖσα καὶ θυμιησαμένη τῷ ἀνδρὶ συνέστω. ¹⁵ μάλιστα δὲ ἐκ ταύτης τῆς νόσου ἄφοροι γίνονται.

VII. Si complicatum fuerit os uterorum, ² menses non prodeunt: ³ si vero prodeant, pauci ac pravi sunt. ⁴ Et ubi cum viro coit, dolet: & dolor imum ventrem tenet ac lumbos. ⁵ Et si contingat digitis & os requirat, non est manifestum. ⁶ Quum sic habuerit, urina humana foveatur: ⁷ & post fomentum lenticulæ decocto lavetur, ⁸ & postquam lota fuerit, uteri unguento ægyptio foveantur. ⁹ Et si odor ad nares ascenderit, spes est ipsam sanam fore. ¹⁰ Et quum dormire voluerit, ægyptium oleum in lana subdat. ¹¹ Postera vero die consideret an magis correcti sint uteri. ¹² Postea odoratis foveto & purgatoria quæ non mordeant subdito, ¹³ & post subdititia medicamenta, pari mensura aceti ad aquam ammixta eluito. ¹⁴ Quum autem menses prodierint, jejuna, & illota, & suffita, cum viro coeat. ¹⁵ Maxime vero ex hoc morbo steriles fiunt.

VIII. Ἢν αἱ μῆτραι πρὸς τὸ ἰσχίον διαθέωσι, ² τά τε ἐπιμήνια οὐκ ἔρχεται, ³ καὶ ὀδύνη ἐς τὴν νειαίρην γαστέρα φοιτᾷ καὶ ἐς τὸν κενεῶνα. ⁴ καὶ, ἢν ἐπαφάσσῃ [τις] τῷ δακτύλῳ, ὄψεται τὸ στόμα ἐν τῷ ἰσχίῳ. ⁵ ὅταν ὧδε ἔχῃ, λούειν θερμῷ. ⁶ καὶ σκόροδα διδόναι ἐσθίειν ὡς πλεῖστα, ⁷ καὶ γάλα οἰὸς πινέτω ἄκρητον. ⁸ ἐπειδὰν δὲ κατατρώξῃ ἄκρητον, ἔπειτα πυριήσας δοῦναι φάρμακον κάτω. ⁹ ἐπειδὰν δὲ καθαρθῇ, αὖθις πυριῆν τὰς ὑστέρας, τὸ μάραθρον καὶ τὸ ἀψίνθιον συμμίσγοντας. ¹⁰ ἐπὴν δὲ νεοπυρίητος ᾖ, ἀφέλκειν τὸ στόμα τῷ δακτύλῳ. ¹¹ ἔπειτα προσθεῖναι τὴν σκίλλαν. ¹² μετὰ δὲ τοῦτο ξὺν τῷ ναρκισσίνῳ, δια-

VIII. Si uteri ad coxam decurrerint, ² & menses non procedunt, ³ & dolor ad imum ventrem accedit, & ad lateris mollitiem: ⁴ & si digito contigeris, deprehendes os in coxa. ⁵ Quum ita habuerit, calida lavato, ⁶ & allia plurima edenda dato. ⁷ Et lac ovillum purum bibat: ⁸ & postquam lac purum exhausit, fomento adhibito, postea pharmacum infra purgans exhibeto. ⁹ Quum autem purgata fuerit, rursus uteros foveto, ex fœniculo & absinthio permixtis. ¹⁰ Ubi vero recens fota fuerit, os cum digito abstrahito, ¹¹ & scillam apponito, ¹² & interposita die postea id quod præparatur cum nar-

ἀλιπῶν μίξας. [13] ἢν δέ σοι δοκέῃ κεκαθάρθαι, νέτωπον προσθέσθω. [14] τῇ δ' ὑστεραίῃ ῥόδινον μύρον. [15] παυσάσθω δὲ τοῦ προστιθέναι τῇ προτέρῃ τῶν ἐπιμηνίων. [16] ἀρχέσθω δὲ τῇ ὑστέρῃ, ἐπὴν ἀπολίπῃ. [17] ἐν δὲ τοῖσιν ἐπιμηνίοισιν, ἢν μὲν τὸ αἷμα καταῤῥαγῇ. [18] εἰ δὲ μή, πινέτω κανθαρίδας τέσσαρας, ἀποκόψασα τοὺς πόδας καὶ τὰ πτερὰ καὶ τὴν κεφαλὴν, καὶ γλυκυσίδης κόκκους πέντε τοὺς μέλανας, καὶ σηπίης ᾠὰ, [καὶ] σπέρμα σελίνου, ἐν οἴνῳ. [19] καὶ ἢν ὀδύνη καὶ στραγγουρίη ἔχῃ, ἐν ὕδατι θερμῷ καθήσθω, καὶ πινέτω μελίκρητον ὑδαρές. [20] ἢν δὲ μὴ καθαρθῇ ὑπὸ τοῦ πρώτου, αὖθις πινέτω, ἐς ὅ τ' ἂν γένηται. [21] ἐπὴν δὲ γένηται, ἀσιτήσασα ξυνέστω τῷ ἀνδρί. [22] ἐν δὲ τῇ καθάρσει τὴν λινόζωστιν ἐσθιέτω, καὶ πουλύποδας ἑφθούς. [23] καὶ σιτίοισι μαλθακοῖσι χρείσθω. [24] τῆς δὲ νούσου ἀπαλλάσσεται, ἢν ἐν γαστρὶ σχῇ.

IX. [1] Ἢν ἐκ τόκου μὴ καθαρθῇ, [2] οἰδέει ἡ γαστὴρ καὶ τὰ σκέλεα, [3] καὶ ῥῖγος καὶ ὀδύνη τὴν νειαίρην γαστέρα καὶ τὰς ἰξύας ἔχει. [4] ἔστι δ' ὅτε καὶ πρὸς τὰ σπλάγχνα ἀνέρχεται, καὶ λιποψυχέει. [5] ταῦτα πάσχει ἀρχομένης τῆς νούσου. [6] ὁκόταν δὲ χρόνος ἐγγένηται, τὰ κοῖλα τοῦ προσώπου ἐξερυθραίνεται. [7] ὁκόταν οὕτως ἔχῃ, πυριήσας τὰς ὑστέρας προσθεῖναι τὴν κυκλάμινον. [8] πινέτω δὲ τὸ ξὺν τῇ δαιδὶ, ἐς ὅ τ' ἂν τὸ ῥεῦμα κινηθῇ. [9] ἐναλείφειν δὲ ἐς τὸ στόμα τῶν ὑστερέων ἔλαιον χήνειον καὶ σμύρναν καὶ ῥητίνην χλιαρήν. [10] [11] καὶ ἐμπλαζέσθω ὡς μάλιστα. [11] καὶ πρὸ τοῦ σιτίου ἐσθιέτω ἑψοῦσα τὴν λινόζωστιν, καὶ σκόροδα, καὶ πράσα. [12] καὶ κράμβης τὸν χυλὸν ῥοφεέτω. [13] καὶ σιτίοισι μαλθακοῖσι χρείσθω.

narcissino adhibeto. [13] Si vero tibi purgata esse visa fuerit, netopon apponito: [14] & postridie rosaceum unguentum. [15] Cæterum prima mensium decurrentium die ab apponendo cessato. [16] Postera vero incipito ubi defecerint. [17] At in mensibus siquidem sanguis eruperit, satis est. [18] Sin minus, cantharides quatuor bibat, pedibus & alis ac capite rejectis, & pæoniæ grana nigra quinque, & sepiæ ova, & apii semen, cum vino. [19] Et si dolor habuerit, & urinæ stillicidium vexarit, in aqua calida desideat: & aquam mulsam bibat aquosam. [20] Si vero à prima non fuerit purgata, rursus bibat donec fiat. [21] Postquam autem purgatio decurrit, jejuna cum viro coeat. [22] In purgatione vero mercurialem edat, & polypos coctos: [23] & cibis mollibus utatur. [24] Liberatur autem à morbo, si in ventre habuerit.

IX. Si ex partu non fuerit purgata, [2] tumet venter & crura: [3] & rigor ac dolor imum ventrem ac lumbos tenet. [4] Quandoque etiam ad viscera ascendit, & animo linquitur. [5] Atque hæc patitur incipiente morbo: [6] progressu vero temporis, cavæ faciei partes rubescunt. [7] Quum igitur sic habuerit, fomento uteris adhibito, cyclaminum apponito. [8] Bibat autem medicamentum cum tæda præparatum, donec fluxus fuerit commotus. [9] Ad os vero uterorum, adipem anserinum illinito, & myrrham, & resinam tepidam: [10] & quam maxime deambulet, [11] & ante cibum mercurialem coctam edat, & allium ac porrum: [12] & brassicæ succum sorbeat: [13] & cibis mol-

θω. [14] θαλασσίοισι δὲ μᾶλλον. [15]
45 καὶ λουέσθω θερμῷ. [16] τῶν δὲ λιπαρῶν
καὶ τῶν γλυκέων ἀπεχέσθω, ἕως ἂν
ὑγιὴς γένηται.

X. [1] Ἢν αἱ μῆτραι φλεγμή- 37
νασαι πλησθῶσι, [2] φῦσαι ἐγγίνονται, [3]
καὶ τὰ ἐπιμήνια λευκὰ ὑπέρχεται, 38
[καὶ] φλεγματώδεα. [4] ἔστι δ' ὅτε καὶ
αἷμα λεπτὸν, ὑμένων ἔμπλεον. [5] καὶ
τῷ ἀνδρὶ ὑπὸ τῆς ὑγρότητος οὐκ ἐθέ-
λει μίσγεσθαι. [6] καὶ ὠχρὴ καὶ λεπτὴ γί-
νεται. [7] ἐρέσθαι οὖν χρὴ αὐτὴν, τὸ ῥέον
ἢν δάκνῃ τε καὶ ἑλκοῖ. [8] καὶ, ἢν μὴ
δάκνηται, ἀπὸ τοῦ ἐγκεφάλου φάναι
εἶναι τὸ ῥεῦμα. [9] εἰ δ' οὖν, ἀπὸ τῆς 39
κοιλίης. [10] ἢν μὲν οὖν ἀπὸ τῆς κοιλίης ᾖ,
216 ἐμείτω ἀπὸ τοῦ φακίου. [11] ἔπειτα ἐλ-
λεβόρῳ καθῆραι. [12] ἔπειτα ἐς τὰς ῥῖ-
νας ἐγχέαι. [13] ἐπὴν δέ σοι ἡ ἄνω
κοιλίη κεκαθάρθαι δοκῇ, φάρμα-
κον πίσαι κάτω. [14] σιτίων δὲ ἀπεχέ-
σθω λιπαρῶν καὶ γλυκέων. [15] τὰ δὲ
δριμέα προσφέρειν ὡς σύμφορα,
ἢν μὴ τὰ αἰδοῖα ἡλκωμένα ἔῃ. [16]
ψυχρὰ δὲ ἀμείνω. [17] καὶ λουέσθω ὀλί-
γον, πλὴν μὴ ἐν θερμῷ, μηδὲ τὴν κε-
φαλήν. [18] πινέτω δὲ νῆστις ὑπερι-
5 κὸν, λίνου σπέρμα, ἐλελίσφακον,
ἐν οἴνῳ ὑδαρεῖ. [19] ἐπὴν δὲ παύσηται
τὸ ῥεῦμα, κλύσαι τῷ χυλῷ τῶν
ὀλύνθων, καὶ μετακλύζειν τοῖσι στρυ-
φνοῖσιν. [20] ἡ δὲ νοῦσος χαλεπή.

XI. [1] Ἢν αἱ μῆτραι φλεγμή- 40
νωσι, [2] τὰ ἐπιμήνια οὐ γίνεται παν-
τάπασιν, ἢ πονηρὰ καὶ ὀλίγα. [3] καὶ,
ὁκόταν νῆστις ᾖ, ἔμετος αὐτὴν λαμ-
βάνει. [4] ὁκόταν δέ τι φάγῃ, ἐμέει τὰ
σιτία. [5] καὶ ὀδύνην ἔχει τὴν νειαίρην γα-
στέρα καὶ τὰς ἰξύας, [6] καὶ λειποψυχίην
ἔχει. [7] ἡ δὲ γαστὴρ ὁτὲ μὲν σκληρὴ, ὁτὲ
δὲ μαλθακή ἐστι, [8] καὶ φυσᾶται, καὶ με-
10 γάλη φαίνεται, καὶ δοκεῖ ἐν γαστρὶ
ἔχειν. [9] ἢν δὲ ἐπιφάσσῃς, κενεὸν γί- 41
νεται.

mollibus utatur, [14] & magis marinis: [14] & calida lavetur. [15] A pinguibus autem & dulcibus abstineat, donec sana fiat.

X. Si uteri pituita impleti fuerint, [2] flatus oboritur, [3] & menses albi pituitosi superveniunt: [4] aliquando etiam sanguis tenuis pelliculis plenus: [5] & præ humiditate cum viro coire non vult: 125
[6] & pallida ac tenuis fit. [7] Interrogare igitur ipsam oportet, an quod fluit mordeat & exulceret: [8] & si non mordeat, pronunciare à cerebro fluxum esse. [9] Si vero mordeat, à ventre. [10] Siquidem igitur à ventre fuerit, à lenticulæ decocto vomat. [11] Deinde veratro purgato. [12] Postea idem in nares immittito. [13] Postquam autem superior venter tibi purgatus esse videbitur, pharmacum infra purgans bibendum dato. 130
[14] A cibis autem pinguibus ac dulcibus abstineat. [15] Acres autem exhibeantur, velut commodi, nisi pudenda fuerint exulcerata. [16] Præstant autem frigidi. [17] Et modice lavetur, non tamen calida, neque caput. [18] Jejuna vero bibat hypericum, semen apii, salviam, in vino aquoso. [19] Quum autem cessaverit fluxus, cum succo grossorum eluito, & postea acerbis colluito. [20] Est autem morbus gravis.

XI. Si uteri inflammati fuerint, [2] menses omnino non prodeunt, aut pravi aut pauci. [3] Et quum jejuna est, vomitus ipsam corripit. [4] Ubi vero quid ederit, vomit cibos: [5] & dolor imum ventrem ac lumbos habet: [6] & animi deliquium invadit. [7] Venter autem aliquando durus, aliquando mollis est, [8] & inflatur ac magnus fit, & putat se in ventre habere. [9] Si vero contigerit, pleni-

γίνεται τὸ πλήρωμα. [10] ταῦτα μέχρι μὲν τῶν δέκα μηνῶν τὸ οἴδημα κατ' ὀλίγον αὔξεται, ὥσπερ τῇ ἐν γαστρὶ ἐχούσῃ. [11] ἐπὴν δὲ οἱ δέκα μῆνες παρέλθωσιν, ἐμπίπλαται ἡ γαστὴρ ὕδατος· καὶ ὁ ὀμφαλὸς ἐξίσχει. [12] καὶ ἢν ἐπαφάσσῃς τῷ δακτύλῳ, εὑρήσεις τὸ στόμα ἰσχνὸν καὶ ξυμπεπτωκὸς τῆς μήτρης. [13] καὶ ὁπόταν ἐπιφαίνηται τὰ ἐπιμήνια, ὀλίγα [ἐστὶ] καὶ πονηρά. [14] καὶ τὰς κληΐδας καὶ τὸν τράχηλον λεπτύνεται, [15] καὶ οἱ πόδες οἰδέουσιν. [16] ὁκόταν οὖν ὧδε ἔχῃ, φάρμακον πίσαι κάτω, [17] καὶ προστιθέναι πρὸς τὰς ὑστέρας, ὁκόσα καθαίρει μὴ δάκνοντα. [18] καὶ μετὰ τὴν πρόσθεσιν κλύζειν τὰς ὑστέρας, ἴσον τὸ ὄξος μίσγων ὀξύτατον. [19] καὶ τὴν λινόζωστιν ἐσθιέτω. [20] καὶ τὸν χυλὸν, ἐπιβάλλουσα ἄλητον καὶ, ὁκόταν ἑφθὸν ᾖ, ῥοφεέτω. [21] ἡ δὲ νοῦσος ἐπικίνδυνός ἐστιν.

XII. [1] Ἢν δὲ ἐρυσίπελας ἐν τῇσι μήτρῃσιν ἐγγένηται, [2] οἴδημα γίνεται ἀπὸ τῶν ποδῶν ἀρξάμενον, καὶ ἐς τὰ σκέλεα, καὶ τὴν ὀσφύν. [3] ὅσῳ δ' ἂν πλείων ὁ χρόνος ἐγγένηται, οἰδέει καὶ ἡ γαστὴρ, [4] καὶ ῥῖγος καὶ πυρετὸς λαμβάνει, καὶ ἀσθενείη. [5] ὑπὸ δὲ τῆς ὀδύνης οὐ δύναται ἡσυχάζειν, ἀλλὰ ῥιπτεῖ ἑωυτήν. [6] ἡ δὲ ὀδύνη ἀνέρχεται ἐκ τῆς νειαιρῆς γαστρὸς ἐς τὰς ἰξύας. [7] ἔπειτα ἄνω ἔρχεται ἐπὶ τὰ ὑποχόνδρια, καὶ τὰ στήθεα, καὶ τὴν κεφαλήν· [8] καὶ δοκεῖ ἀποθανεῖσθαι. [9] ὁκόταν δὲ ἀνῇ, νάρκη λαμβάνει τὰς χεῖρας· [10] ἔστι δ' ὅτε καὶ τοὺς βουβῶνας, καὶ τὰ σκέλεα, καὶ τὰς ἰγνύας. [11] καὶ πελιὸς γίνεται. [12] καὶ ὀλίγον ποτὲ χρόνον ῥᾴων δοκεῖ εἶναι, ἔπειτα [δὲ] αὖθις τὰ αὐτὰ πάσχει. [13] καὶ ὁ χρὼς φλυκταινῶν καταπίμπλαται, [14] καὶ [ἐς] τὸ πρόσωπον ἐρυθήματα φύει. [15] καὶ δίψα ἔχει ἰσχυρή, [16] καὶ ὁ φάρυγξ ξηρός. [17] αὕτη ἡ νοῦ-

plenitudo illa vacua fit. [10] Huic usque ad decimum mensem tumor paulatim augescit, velut in ventre habenti. [11] Ubi vero decem menses præterierint, venter aqua impletur, & umbilicus eminet. [12] Et si digitum admoveris, os uteri gracile & collapsum comperies. [13] Et ubi menses apparuerint, pauci sunt & pravi. [14] Et claviculæ ac collum attenuantur, [15] & pedes intumescunt. [16] Quum sic habuerit, pharmacum infra purgans bibendum dato: [17] & ad uteros quæ purgant & non mordent apponito. [18] Et post appositionem uteros eluito, pari mensura aceti acerrimi ad aquam ammixta: [19] & mercurialem edat; [20] & succum ejus farina inspersa, ubi cocta fuerit, absorbeat. [21] Morbus autem est periculosus.

XII. Si ignis sacer, erysipelas dictus, in uteris oboriatur, [2] tumor fit à pedibus exorsus, & ad crura & ad lumbos procedens. [3] Quum autem tempus amplius processerit, intumescit etiam venter, [4] & rigor ac febris corripit, itemque debilitas. [5] Præ dolore vero, quiescere non potest, sed jactat seipsam. [6] Dolor autem ex imo ventre ascendit ad lumbos, [7] postea sursum vergit ad præcordia, & pectora, & caput, [8] & mori sibi videtur. [9] Quum autem remiserit, torpor occupat manus. [10] Aliquando etiam inguina & crura, & poplites: [11] & livida fit, [12] & modico quandoque tempore sibi melius habere videtur. Deinde rursus eadem patitur, [13] & corpus pustulis impletur, [14] & facies rubescit, [15] & sitis fortis tenet, [16] & fauces siccæ sunt. [17] Hic morbus si

σος ἐπὴν κυοφορεούσῃ ἐγγένηται, ἀποθνήσκει. [18] ἢν δὲ μὴ, μελεδαινομένη ὑγιαίνει. [19] ὁκόταν οὖν ὧδε ἔχῃ, προσφέρειν δεῖ, ἢν ὁ πόνος ἔχῃ, ψύγματα, καὶ τὴν γαστέρα ταράσσειν, [20] καὶ, ἢν μὲν ἐν γαστρὶ ἔχῃ, σιτίοισι καὶ ποτοῖσι χρῆσθαι, ὅκως τὸ ἔμβρυον μὴ διαφθείρηται· [21] ἢν δὲ μὴ ὑποχωρέῃ, κλύζειν. [22] ἢν δὲ μὴ ἔχῃ ἐν γαστρὶ, φάρμακον δοῦναι πιεῖν. [23] καὶ ὡς ἐλαχίστοισι σιτίοισι χρῆσθαι, μαλθακωτάτοισί [τε] καὶ ψυχροῖσι. [24] καὶ τὴν λινόζωστιν ἐσθίειν, καὶ τὴν ἀκτήν, [25] καὶ μήτε ἁλυκὰ, μήτε λιπαρὰ, μήτε δριμέα, οἷον ὀρίγανον, ἢ θύμον, ἢ πήγανον. [26] ἐπὴν δὲ τὸ πῦρ ἀφῇ, καὶ τὸ πνίγμα, καὶ μὴ καθιστῇ τὸ οἴδημα, φάρμακον ἰσχυρότερον μεταπίσαι κάτω. [27] τὴν δὲ νοῦσον ταύτην ὀλίγαι διαφεύγουσιν.

XIII. Ἢν αἱ μῆτραι παρὰ φύσιν χάνωσι, [2] καὶ τὰ ἐπιμήνια πλείω τοῦ δέοντος ἔρχηται, καὶ γλισχρότερα καὶ πυκνὰ, [3] καὶ ἡ γονὴ οὐκ ἐμμένει. [4] καὶ, ἢν ἅψῃ τῷ δακτύλῳ, εὑρήσεις κεχηνὸς τὸ στόμα. [5] καὶ πῦρ, καὶ ῥίγος, καὶ ὀδύνη λαμβάνει τὴν νειαίρην γαστέρα καὶ τὰς ἰξύας. [6] αὕτη ἡ νοῦσος λαμβάνει ἐκ ῥόου αἱματώδεος. [7] γίνεται δὲ, ὁκόταν τὰ καταμήνια ἐξαπίνης ἱστάμενα ῥαγῇ. [8] καὶ ἢν ἡ ὀδύνη μάλιστα ἔχῃ, χλιάσματα προστιθέναι. [9] καὶ, ὁκόταν ἀνῇ, πυριῆν τὰς ὑστέρας, [10] καὶ πίσαι φάρμακον κάτω, [11] καὶ προστιθέναι, ὁκόσα μὴ δήξηται, [12] καὶ κλύζειν μετὰ τὰ πρόσθετα ἐν στρυφνοῖσι. [13] καὶ λούεσθαι ὡς ἥκιστα. [14] σιτίοισι δὲ ὡς ξηροτάτοισι χρέεσθαι. [15] ἢν δὲ ταῦτα ποιεούσῃ ὑγιὴς μὴ γένηται, φάρμακον πίσαι, ὑφ' οὗ ἄνω καὶ κάτω καθαρεῖται. [16] ὁκόταν τὰ ἐπιμήνια κινέη-

ται

ſi prægnanti fiat, moritur. [18] Sin minus, curata ſanatur. [19] Quum igitur ſic habuerit, adhibere oportet, ſi dolor habeat, frigefactoria, & ventrem turbare. [20] Et ſiquidem in ventre habeat, cibis ac potibus utatur, à quibus fœtus non corrumpitur. [21] Si vero non ſecedant, clyſterem adhibeto. [22] Si autem in ventre non habuerit, pharmacum bibendum dato: [23] & à cibis pauciſſimis utatur molliſſimis ac frigidis: [24] & mercurialem edat, & ſambucum: [25] & neque ſalſa, neque pinguia, neque acria, velut eſt origanum, aut thymus, aut ruta. [26] Poſtquam autem calor & ſtrangulatio remiſerit, & tumor non fuerit ſedatus, medicamentum fortius infra purgans poſtea bibendum dato. [27] Morbum autem hunc paucæ effugiunt.

XIII. Si uteri præter naturam hient, [2] & menſes plus quam oportet prodeunt, viſcoſioreſque ac frequentiores, [3] & genitura non manet intus. [4] Et ſi digito contigeris, os hians comperies: [5] & febris ac rigor & dolor, imum ventrem & lumbos corripit. [6] Hic morbus à fluxu ſanguinolento corripit: [7] fit autem quum menſes ſuppreſſi derepente eruperint. [8] Huic quum dolor maxime habuerit, tepefactoria apponito. [9] Et quum remiſerit, uteros foveto: [10] & pharmacum infra purgans bibendum dato. [11] Et quæ non mordent ſubdito: [12] & poſt ſubdititia medicamenta, cum acerbis colluito: [13] & quam minimum lavato. [14] Cibis autem ſicciſſimis utatur. [15] Si vero his factis ſana non fiat, pharmacum bibendum dato, à quo ſurſum ac deorſum purgetur. [16] Et quum menſes moti fuerint, & quum

quie-

ται καὶ, ὁκόταν παύηται, διαιτᾶν 48 τὸν αὐτὸν τρόπον. 17 ἡ δὲ νοῦσος θανατώδης.

XIV. Ἢν αἱ μῆτραι ἐς τὸ 49 μέσον τῶν ἰξύων ἔωσιν, 2 ὀδύνη ἴσχει τὴν νειαιρὴν γαστέρα, καὶ τὰ σκέλεα 50 ὕστερον. 3 καὶ, ὁκόταν ἀποπατέῃσι, ὀδύναι ἐγγίνονται ὀξύτεραι, 4 καὶ ὁ 51 ἀπόπατος πρόσεισι, 5 καὶ τὸ οὖρον 45 στάζει. 6 καὶ λειποψυχέει. 7 ὁκόταν ὧδε ἔχῃ, αὐλίσκον προσδήσας πρὸς [τὴν] κύστιν φυσῆσαι τὰς ὑστέρας, 8 καὶ πυριῆσαι, ἢ λοῦσαι πολλῷ θερμῷ. 9 καὶ ὑποθυμιῇν ὑπὸ τὰ αἰδοῖα τὰ κακώδεα, ὑπὸ δὲ τὰς ῥῖνας τὰ εὐώδεα. 10 ὁκόταν δὲ ἡ ὀδύνη παύσηται, φάκιον προπίσας, φάρμακον πίσαι ἄνω, ὑφ' οὗ ἡ κοιλίη κινηθήσεται. 11 ἐπὴν δὲ αἱ ὑστέραι καταστῶσιν ἐς χώρην, φάρμακον πίσαι κάτω, καὶ γάλα μεταπίσαι. 12 ἔπειτα πυριήσας τὰς ὑστέρας οἴνῳ, τὰ σὺν τῇ δάφνῃ ἐμβαλεῖν, 13 καὶ προστι- 217 θέναι, ἃ μὴ δήξεται, ξυμμίσγων τὸ ὄξος. 14 ἔπειτα ὑποθυμιῇν ποῖσιν ἀρώμασιν. 15 ἄτοκοι δὲ καὶ χωλαὶ ἐκ ταύτης τῆς νούσου γίνονται.

XV. Ὁκόταν δὲ λευκὸς ὁ ῥοῦς ἐξέλθῃ, 2 ὡς ὄνου οὖρον φαίνεται. 3 καὶ 52 ὀδύνη ἴσχει τὴν νειαιρὴν γαστέρα καὶ τὰς ἰξύας καὶ τοὺς κενεῶνας. 4 καὶ οἰδήματα τῶν τε σκελέων καὶ τῶν χειρῶν, 5 καὶ τὰ κοῖλα αἴρεται. 6 καὶ οἱ ὀφθαλμοὶ ὑγροί, 7 καὶ ἡ χροιὴ ἰκτερώ- 5 δης καὶ λευκὴ γίνεται. 8 καὶ, ὁκόταν πορεύηται, ἀσθμαίνει. 9 ἡ δὲ νοῦσος γίνεται, ἢν φύσει ἐοῦσα φλεγματώδης πυρετήνῃ, καὶ χολὴ κινηθεῖσα μὴ καθαρθῇ. 10 ἢν μὲν οὖν ἡ κοιλίη ὀξέη, διάρροιαι γίνονται. 11 ἢν δὲ ἐπὶ τὰς ὑστέρας τράπηται, ῥόος γίνεται. 12 ταύτην ἐπὴν διάρ-

quieverint, ejusdem modi victum exhibeto. 17 Morbus autem lethalis est.

XIV. Si uteri ad medium lumborum processerint, 2 dolor imum ventrem habet, & crura contrahuntur: 3 & quum alvum exonerat, dolores acutiores fiunt, 4 & stercus cum vi prodit, 5 & urina destillat, 6 & animo linquitur. 7 Quum sic habuerit, fistula ad vesicam alligata, uteros sufflato, 8 & fomentum adhibeto. At multa calida lavato. 9 & male olentia sub pudenda suffito: sub nares autem odorata. 10 Quum autem dolor cessarit, lenticulæ decocto præpotato, pharmacum sursum purgans bibendum dato, à quo venter moveatur. 11 Postquam autem uteri ad locum suum redierint, medicamentum infra purgans bibendum exhibeto: & postea lac bibendum dato. 12 Postea fomento ad uteros adhibito ex vino, medicamenta cum lauro præparata immittito, 13 & apponito quæ non mordent, ammixto aceto. 14 Postea aromata suffito. 15 Cæterum steriles & claudæ fiunt ex hoc morbo.

XV. Quum fluxus albus obortus fuerit, 2 velut urina asinina apparet. 3 Et dolor imum ventrem habet, & lumbos, & lateris mollitudinem: 4 & tumores sunt crurum ac manuum, 5 & cava elevantur, 6 & oculi humidi sunt, 7 & color arcuatus ac albus fit. 8 Et quum iter facit, anhelat. 9 Morbus autem fit, si ubi natura pituitosa est, febricitarit, & bilis commota purgata non fuerit. 10 Siquidem igitur venter acuerit, ventris profluvia fiunt. 11 Si vero ad uteros vertatur, fluxus fit. 12 Postquam igitur

διάῤῥοια ἔχῃ, [13] τρίβων μήκωνος λευκῆς τὸ λέπυρον τὸ ἴσον τῆς πυῤῥῆς, καὶ ἀκάνθης τῆς καρπὸν τρίβων ἐν οἴνῳ κεκρημένῳ, ἄλφιτα ἐπιβαλὼν, ποταίνια πινέτω. ἢν δὲ θέλῃς, σίδιον ἐς σποδὸν ἐγκρύψασα ἐν οἴνῳ πινέτω, καὶ ἄλφιτον ἴσον καὶ ἄλητον ἐπιβαλών. [14] ὡς ἥκιστα δὲ λουέσθω. [15] σιτίοισι δὲ χρήσθω ὡς ξηροτάτοισι καὶ ψυχροῖσιν. [16] ἐπὴν δὲ παύσηται τὸ ῥεῦμα, φάρμακον πιπίσκειν, ὑφ' οὗ τὰ ἄνω καθαίρεται. [17] καὶ γάλα ὄνειον πινέτω. [18] ἐπὴν δὲ τὰ κάτω καθαρθῇ, βόειον γάλα πινέτω, ἐπὶ τεσσαράκοντα ἡμέρας, ἢν δύνηται, [19] καὶ ἐξαιθριάσας ἀκρήτου οἴνου μίσγων ὕδατι τὸ τέταρτον μέρος. [20] ἑσπέρης δὲ, ἐπὴν ἐκπίῃ, ῥοφείτω χόνδρον. [21] ἐπὴν δὲ γένηται δεκαταίη, ἀφαιρέειν τοῦ γάλακτος τὴν δεκάτην μοίρην, καὶ τοῦ ὕδατος. [22] ὅσον δὲ ἀφέλῃς, τοσοῦτον χλιαροῦ ἄρτι ἠμελγμένου πινέτω τὴν μοίρην. [23] τῇ δ' ὑστεραίῃ δύο μοίρας, ὡς ἐν τῇσι δέκα μοίρῃσιν εἶναι, ἀντὶ ὀλίγου κεκρημένου ἄκρητον, [24] καὶ ἐπὶ τέσσαρας ἡμέρας πίνειν, ἀφαιρέων τὸ δέκατον μέρος, [25] καὶ τοῦ ῥοφήματος προστιθέναι πλεῖον. [26] ἐπὴν δὲ γένηται τεσσαρεσκαιδεκαταίη, πίνουσα τὴν δεκάτην μοίρην τοῦ γάλακτος, ὑποχέων τρίτην ὕδατος μοίρην, πινέτω δέκα ἡμέρας, καὶ σιτίοισι χρήσθω. [27] καὶ οὕτως γίνονται αἱ ξύμπασαι ἡμέραι τεσσαράκοντα.

XVI. Ἐπὴν διαβαίνῃ τοὺς τόκους φύσει ἄτοκος ἐοῦσα, [2] τὸ μὲν πρῶτον ὑπολείπει τὰ ἐμμήνια, καὶ γίνεται ἐλάσσω, καὶ τὸν χρόνον ὑπερβάλλει, ἐν ᾧ ἐχώρεε πρόσθεν. [3] ἔπειτα ἐξαπίνης ἐχώρεε πολλὰ καὶ καθαρὰ καὶ ἰσχυρά. [4] καὶ, ἢν μὲν οἱ ἅπαξ

igitur ventris profluvium habuerit, papaveris alvi ac rubri corticem pari pondere, & spinæ fructum in vino diluto terito, & polenta recenti inspersa bibat. [13] Si vero velis, malicorium calido cinere torrefactum ac tritum ex vino bibat, pari polenta ac farina inspersa. [14] Minimum vero lavetur. [15] Cibis autem utatur quam siccissimis ac frigidis. [16] Ubi vero fluxus quieverit, pharmacum bibendum dato, à quo superna purgentur, [17] & lac asininum bibat. [18] Postquam autem infra purgata fuerit, bubulum lac bibat, ad dies quadraginta, si poterit [19] meracum, sub dio per noctem expositum, quarta aquæ parte ammixta. [20] Vesperi vero ubi ebibit, alicam sorbeat. [21] Quum autem decem dies fuerint transacti, lactis & aquæ decimam partem detrahito. [22] Quantum autem detraxeris, tantam tepidi recens mulcti portionem additam bibat. [23] Postridie vero duas portiones, ut in decem portionibus pro modico diluto sit meracum, [24] & ad quatuor dies bibat. Cum autem decimam partem detrahit, [25] etiam de sorbitione amplius addat. [26] Postquam autem quatuordecim dies transegerit, decimam lactis partem bibens, postea tertiam aquæ partem affundens, ad dies decem bibat, & cibis utatur, [27] & sic fiant omnes dies quadraginta.

XVI. Quum conceperit & uterum ut partus gestarit, ea quæ natura sterilis est, [2] primum quidem menses deficiunt, & pauciores fiunt, & tempus in quo prius fiebant, transmittunt. [3] Postea derepente multi fiunt, & puri ac fortes; [4] & siquidem semel

ἅπαξ γενόμενα εἴη, τὸ λοιπὸν κατὰ λόγον ἐν γαστρὶ ἴσχει. 5 Ἢν δὲ μὴ, τὸ πρῶτον γίνεται, καὶ δεύτερον, καὶ τρίτον τοῦ μηνός. 6 ἔπειτα τελευτήσει ἐξ ἑωυτοῦ ὁ ῥόος, ὠχρή τε καὶ λεπτὴ γίνεται. 7 Φάρμακον οὖν χρὴ πιπίσκειν καὶ ἄνω καὶ κάτω, 8 καὶ γάλα μετὰ πιπίσκειν ὄνειον, ἢ ὀῤῥόν. 9 ἔπειτα μετὰ ταῦτα πυριήσαντα καθῆραι τὰς ὑστέρας φαρμάκῳ, ὃ μὴ δήξεται. 10 ἔπειτα κλύσαι σὺν τῷ ὄξει. 11 ἔπειτα ὑποθυμιῆσαι τοῖσιν ἀρώμασι. 12 ποιέειν δὲ ταῦτα, ὅκως τῇ προτέρῃ τῶν ἐπιμηνίων ἡ πεπληρωμένα, καὶ μὴ γένηται ἀλουτέουσα καὶ ἀσιτέουσα. 13 κυκεῶνα [δὲ] ἄναλτον παχὺν πίνουσα ὑποθυμιάσθω τοῖσιν ἀρώμασι, νέτωπον περιχέασα, καὶ μύρον ῥόδινον. 14 ἔπειτα τῷ ἀνδρὶ ξυνίτω.

XVII. Ἢν αἱ κοτυληδόνες φλέγματος περίπλεαι γένωνται, 2 τὰ μὲν ἐπιμήνια [οὐ] καλῶς ἐπιγίνονται, 3 καὶ, ἢν ἐν γαστρὶ ἴσχῃ, διαφθείρει, ἐπὴν ἰσχυρότερον τὸ ἔμβρυον γένηται. 4 οὐ γὰρ δύναται ἴσχειν, ἀλλ' ἀποῤῥήγνυται. 5 γνοίης δὲ ὧδε. 6 ὑγρὴ γίνεται, καὶ ἀποῤῥέει μυξῶδες καὶ γλίσχρον, καὶ οὐ δάκνει. 7 καὶ [σὺν] τοῖσιν ἐμμηνίοισιν, ἐπὴν παύσηται τοῦ ῥεύματος καθαιρομένη, δύο ἡμερέων καὶ τριῶν μύξαι ἔρχονται ἀπὸ τῶν ὑστερέων. 8 ταύτην δεῖ κλύσαι τῷ ἀπὸ τῶν ὀλύνθων, 9 καὶ, δὶς ἢ τρὶς μετὰ κλύσιας στρυφνοῖσι, τὸ λοιπὸν προστιθέναι, ὑφ' οὗ καθαίρεται φλέγμα. 10 καὶ τὰ μαλθακὰ πυριῆν. 11 καὶ κλύζειν μετὰ τὰ προσθέτα, ἴσον τὸ ὄξος μίσγων. 12 καὶ ὑποθυμιῆν ἐν τοῖσιν ἐπιμηνίοισι τοῖσιν ἀρώμασιν. 13 ἔπειτα δὲ ἀσιτέουσα καὶ ἀλουτέουσα συνευναζέσθω τῷ ἀνδρί.

XVIII. Ὁκόταν τὰ ἐπιμήνια κρυφθῇ, 2 ὀδύνη ἴσχει τὴν νειαίρην γαστέρα, 3 καὶ δοκέει ἐπικεῖσθαί οἱ βάρος, 4 καὶ

mel facti fuerint, de cætero secundum rationem in ventre habet. 5 Sin minus, & primum fiunt & iterum atque iterum in mense, 6 postea ex seipso desinet fluxus, pallidaque ac tenuis fit. 7 Pharmacum igitur & sursum & deorsum purgans bibendum dare oportet. 8 Et lac asininum postea bibendum aut serum. 9 Postea adhibito fomento, uteros medicamento quod non mordeat purgato. 10 Deinde cum aceto colluito. 11 Postea aromata suffito. 12 Hæc autem facito ut prima mensium die facta sint. Et ne sit illota, & impasta, 13 cyceonem insulsum crassum bibens, & aromatis suffiatur, netopo affuso & unguento rosaceo. 14 Postea cum viro coeat.

XVII. Si acetabula pituita plena fuerint, 2 menses quidem bene succedunt, 3 & in ventre habet. Corrumpit autem foetum ubi fortior factus fuerit. 4 Non enim retinere potest, sed abrumpitur. 5 Cognoveris autem hoc modo. 6 Humida fit, & mucosum ac viscosum defluit, & non mordet: 7 & in mensibus ubi à fluxu purgari cessaverit, per duos ac tres dies muci ab uteris prodeunt. 8 Hanc grossorum succo eluito, 9 & collutione per acerba postea bis aut ter facta; de cætero apponito id à quo pituita purgatur, 10 & mollia fomenta adhibeto. 11 Et post subdititia apposita, pari mensura aceti ad aquam ammixta eluito, 12 & in mensibus aromata suffito, 13 postea impasta & illota cum viro dormiat.

XVIII. Quum menses occultati fuerint, 2 dolor imum ventrem tenet, 3 & onus incumbere ipsi videtur, 4 & lum-

4 καὶ τὰς ἰξύας πονέει, καὶ τοὺς κενεῶνας.

5 Ὁκόταν δὲ πρὸς τὰ ὑποχόνδρια προσπέσωσιν [αἱ ὑστέραι] πνίγουσι. 6 καὶ, ἐπὴν πυκνὰ ὀξέα ἀπεμέσῃ, ῥάων γίνεται ὀλίγον χρόνον. 7 ἡ δὲ ὀδύνη καὶ ἐς τὴν κεφαλὴν καὶ ἐς τὸν τράχηλον φοιτᾷ. 8 ἐπὴν οὖν μέλλῃ ἢ χλιάσματα προστιθέναι, καὶ ὑποθυμιῆν κακώδεα, κάτω δὲ εὐώδεα· 9 καὶ πίνειν διδόναι τὸ κάστορον καὶ τὴν κόνυζαν.

10 Ἐπὴν δὲ κάτω [φοιτᾷ,] ὑποθυμιῆν τὰ κακώδεα, ὑπὸ δὲ τὰς ῥῖνας τὰ εὐώδεα. 11 ἐπὴν δὲ παύσωνται αἱ ὀδύναι, φάρμακον δοῦναι πιεῖν, καὶ μεταπιπίσκειν γάλα ὄνου. 12 ἔπειτα διδόναι χυμὸν, ἀφ' οὗ ἐμεῖται, καὶ πρὸς τὰς ῥῖνας προστιθέναι. 13 ἐπὴν δὲ καθήρῃς, πυριήσας τὰς ὑστέρας τοῖσι ξὺν τῇ δάφνῃ, προσθεῖναι τὸ ξὺν τῷ ναρκίσσῳ. 14 τρεῖς δὲ διαλιπὼν πυρίας, προσθεῖναι τὸ ξὺν τῇ κανθαρίδι. 15 τῇ δὲ ὑστεραίῃ στέαρ χήνειον. 16 ἔπειτα, διαλιπὼν τρεῖς ἡμέρας, κλύσαι τῷ ξὺν τῷ ὄξει. 17 ἐν δὲ τοῖσι καθαρμοῖσιν ἐσθιέτω τὴν λινόζωστιν πρὸ τῶν σιτίων, 18 καὶ σιτίοισι μαλθακωτάτοισι χρήσθω, 19 καὶ δριμέα τρωγέτω. 20 καὶ λουέσθω θερμῷ δὶς τῆς ἡμέρης. 21 ἢν δὲ μὴ γίνηται ἐπιμήνια, ταῦτα ποιήσαντα ἐν τῷ δέοντι χρόνῳ, πίσαι κανθαρίδας. 22 καὶ, ἐπὴν γένηται, νῆστις ἐοῦσα καὶ ἀλουτήσασα καὶ ὑποθυμιήσασα συνευνάσθω τῷ ἀνδρί.

XIX. 1 Ὁκόταν ἐν γαστρὶ ἔχουσα διαφθείρῃ τὸ ἔμβρυον μηνιαῖον, ἢ διμηνιαῖον, καὶ ἐκφέρειν μὴ δύνηται, καὶ λεπτὴ παρὰ φύσιν γίνηται, 2 ταύ-

lumbos dolet, ac laterum mollitudinem.

5 Quum vero ad præcordia uteri allapsa fuerint, suffocant: 6 & ubi frequenter acida evomuit, ad modicum tempus melius habet. 7 Dolor autem & ad caput & ad collum procedit. 8 Postquam igitur allapsum parant, aut allapsi sunt, tepefactoria adhibeto, & graveolentia suffito, infra autem odorata, 9 & castorium bibendum dato, & conyzam.

10 Ubi vero deorsum prociderint, infra graveolentia suffito: sub nares autem odorata. 11 Sedatis autem doloribus, pharmacum bibendum dato. Et lac asininum postea bibendum. 12 Deinde succum à quo vomat dato, & ad nares apponito. 13 Postquam autem purgaveris, fomento uteris adhibito, ex his quæ cum lauro præparantur, id quod ex narcisso præparatur apponito. 14 Et tribus interpositis diebus, fomento adhibito, id quod ex cantharide præparatur apponito, 15 & postera die adipem anserinum. 16 Postea intermissis tribus diebus, collutione cum aceto parata eluito. 17 In purgationibus autem, mercurialem ante cibos edat, 18 & cibis mollissimis utatur, 19 & acria edat. 20 Et his in die calida lavetur. 21 Si vero menses non fiant, ubi hæc opportuno tempore feceris, cantharides bibendas dato: 22 & postquam prodierint, jejuna & illota, ac suffita, cum viro dormiat.

XIX. Quum in ventre habens, fœtum menstruum aut bimestrem corruperit, & ad perfectionem gestare non poterit, & tenuis præter naturam fiat: 2 hu-

ταύτην χρὴ καθήραντα τὸ σῶμα παχῦναι τὰς ὑστέρας. οὐ γὰρ δυνήσεται πρότερον διενέγκαι, ἕως τ' ἂν αὐτῆς παχεῖαι γένωνται αἱ ὑστέραι, καὶ ἰσχύσωσιν. 4 ἢν δὲ παχυνθῇ παρὰ φύσιν, οὐκ ἴσχει ἐν γαστρί. 5 τὸ γὰρ ἐπίπλοον ἐπικείμενον πολὺ καὶ παχὺ ἀποπιέζει τὰς ὑστέρας, 6 καὶ τὴν γονὴν οὐκ ἐνδέχονται. 7 ταύτην χρὴ λεπτύνοντα φάρμακον πίσαι κάτω. 8 καὶ πρὸς τὰς ὑστέρας προσθεῖναι, ὅ, τι καθαίρεται αὐτὰς, καὶ φύσας ἐμποιεῖ.

9 Ἢν δὲ στόμα τῶν ὑστερέων σκληρὸν γένηται ἢ ὁ αὐχὴν, τὸν δάκτυλον προσάγων γνώσῃ. 10 καὶ ἐπὴν πρὸς τὸ ἰσχίον ἔωσιν ἀπεστραμμέναι. 11 ὅταν ὧδε ἔχῃ, μηδὲν προσφέρειν δριμύ. 12 ἢν γὰρ ἐξελκώσῃς τὸ στόμα, ἐπὴν φλεγμήνῃ, κίνδυνος τὸ πάμπαν ἄτοκον γενέσθαι. 13 ἀλλὰ προστιθέναι, ἃ μὴ δάκνει, ὑφ' ὧν καθαίρηται.

XX. Ἢν γυναῖκα μὴ δυναμένην τεκεῖν, ἐθέλῃς καθῆραι, καὶ ᾖ χολώδης ἢ φλεγματώδης. 2 γνώσῃ δὲ τούτων ὁκότερον, ἢν ψάμμον ὑποβάλλων, ἐπὴν τὰ ἐπιμήνια γένωνται, ἐν τῷ ἡλίῳ, [τῇ ψάμμῳ] ἐπιχέας τὸ αἷμα, ἐάσῃς ξηρανθῆναι. 3 ἢ [γὰρ,] ἢν μὲν χολώδης ᾖ, ἐπάνω τῆς ψάμμου ἔσται τὸ αἷμα ὠχρόν. 4 ἢν δὲ φλεγματώδης, οἷον μύξαι. 5 καὶ δὴ, ὁκότερον ἂν εἴη, καθήρας τὴν κοιλίην κάτω, πρὸς τὰς ὑστέρας ἐπιθεῖναι προσθετὰ, 6 ἢν [δὲ] τὰ ἐπιμήνια παντάπασι μὴ γίνωνται, ἢν μὲν ὑπὸ πόνου ᾖ, 7 πρῶτον τὴν κοιλίην καθῆραι κάτω, 8 ἔπειτα προσθεῖναι, ὑφ' οὗ αἷμα καθαίρεται ἐκ τῶν ὑστερέων. 9 ἔπειτα διαλιπὼν ἡμέρην μίαν ἢ δύο, προσθεῖναι, ὑφ' οὗ αἷμα καθαίρηται ἐκ τῶν ὑστερέων. 10 τὸν δὲ ἄλλον χρόνον τὸν φλοιὸν πινέτω τοῦ κρήθμου ἐν οἴνῳ τρίψασα.

jus uteros purgare oportet ac corpus pinguefacere. 3 Non enim prius fœtum perferre poterit, quam uteri ipsius crassi fiant, & robusti evadant. 4 Si vero crassefacta fuerit mulier præter naturam, non concipit in ventre. 5 Nam omentum multum ac crassum incumbens uteros deprimit, 6 & genituram non suscipit. 7 Hanc attenuare oportet, & pharmacum infra purgans bibendum dare, 8 & ad uteros apponere quod purget ipsos, & flatus inducat.

9 Si vero os uterorum durum fiat, aut cervix, digito intromisso id cognosces. 10 Itemque si ad coxam fuerint aversi. 11 Quum sic habuerint, nihil acre adhibeto. 12 Si enim os exulceraveris, ubi inflammatum fuerit, periculum est, ne penitus sterilis fiat. 13 Verum apponito quæ non mordent, à quibus purgetur.

XX. Si mulierem parere non potentem purgare velis, & fuerit biliosa aut pituitosa. 2 Cognosces autem utrum horum sit, si arena substrata quum menses fiunt, in sole sanguinem perfundas, ac siccari sinas. 3 Si enim biliosa fuerit, supra arenam sanguis pallidus erit. 4 Si vero pituitosa, velut mucus erit. 5 Et sane utrum horum fuerit, infra purgato, & ad uteros subdititia apponito. 6 Si menses omnino non fiant, siquidem præ dolore id contingat, 7 primum ventrem infra purgato, 8 deinde medicamentum à quo sanguis ex uteris purgatur apponito. 9 Postea intermissa die una aut altera, rursus id à quo sanguis purgatur apponito. 10 Reliquo vero tempore corticem crethmi in vino tritum bibat.

XXI. Si

XXI. Ἢν ὑγρότερον τοῦ καιροῦ τὸ στόμα τῶν ὑστερέων ᾖ, ² προστιθέναι τὰ δριμέα, ὅκως δηχθῇ, καὶ φλεγμῆναν σκληρὸν λίην γένηται. ³ ἢν δὲ σκιῤῥωθῇ, τὰ δριμέα προσφέρειν· ⁴ διακνοῦντα γὰρ διαχέει τὸ σκίῤῥον· ⁵ ἔπειτα μαλθακὰ προστιθέναι. ⁶ ἐς δὲ τἄλλα νοσήματα ὡς ἥκιστα προστιθέναι.

XXII. ¹ Ἢν δὲ ἐς τὸ ἰσχίον λεχοῖ καταστηρίξωσιν αἱ ὑστέραι, ἢ ἐς τὸν κενεῶνα, ² προστίθεσθαι χρὴ πρὸς τὸ ὑγιὲς ἰσχίον ἔλαιον αἰγύπτιον λευκὸν ἢ βακκάρινον. ³ καὶ ἐπὶ τὸ ὑγιὲς ἰσχίον κατακείσθω. ⁴ καὶ πινέτω γλυκυσίδης κόκκους τοὺς μέλανας πέντε, καὶ ἀκτῆς καρπὸν ὅσον χηραμίδα, καὶ καστόριον ὅσον κύαμον, ἐν οἴνῳ. ⁵ ἔπειτα λουσαμένη θυμιήσθω. ⁶ καὶ τοῖσι ποτοῖσι καὶ σιτίοισι χρήσθω μαλθακοῖσι, καὶ λινοζώστει, ⁷ καὶ τοῖσι δριμέσι πᾶσι, χωρὶς ῥαφάνου καὶ κρομμύων.

⁸ ¹¹ Ὁκόταν πνίγωσιν αἱ ὑστέραι, ὑποθυμιᾶν χρὴ τὰ κακώδεα πάντα· ⁹ ἤγουν ἄσφαλτον, ¹⁰ θεῖον, ¹¹ κέρας, ¹² ἐλλύχνιον, ¹³ φώκης ἔλαιον, ¹⁴ καστόριον. ¹⁵ ὑπὸ δὲ τὰ αἰδοῖα τὰ εὐώδεα.

XXIII. Ἢν δὲ λεχοῖ αἱ ὑστέραι φλεγμήνωσι, ² πίμπλαται [ἡ κοιλίη καὶ μεγάλη γίνεται.] ³ καὶ πνὶξ ἔχει. ⁴ ὁκόταν δὲ ὧδε ἔχῃ, παραθεὶς ὀθόνιον βρύα θαλάσσια λεπτὰ καταπλάσσειν. ⁵ ἔπειτα ὠμήλυσιν καὶ σποδὸν κληματίνην καὶ λίνου σπέρμα, ὄξος καὶ ἔλαιον ἐπιχέας, ἑψεῖν, ἕως ἂν οἷον περ σταὶς γένηται· ⁶ ἔπειτα καταπλάσσειν, ὡς θερμότερον δυνήσεται ἀνέχεσθαι, τὴν νειαίρην γαστέρα.

XXIV. ¹ Ἢν δὲ πεπνίγωσι, ² φακοὺς ἑψήσας ἐν ὄξει καὶ ἡδυόσμῳ πολλῷ, ἑλκέτω τὴν ἀτμίδα ἐς τὸ στόμα

XXI. Si humidius fuerit os uterorum quam oportet, ² acria apponito, quo morsum perceptet, & inflammatum valde durum fiat. ³ Si vero ¹ induratum fuerit, acria adhibeto. ⁴ Mordentia enim saniem diffundunt. ⁵ Deinde mollia apponito. ⁶ Sed & ad alios morbos non minus apponito.

XXII. Si puerperæ uteri in coxam incubuerint, aut ad lateris mollitudinem, ² ad sanam coxam oleum ægyptium album, aut baccarim unguentum apponere oportet, ³ & in sanam coxam decumbat, ⁴ & pæoniæ grana nigra quinque bibat, & fructus sambuci ¹ conchæ testam majorem, & castorii magnitudinem fabæ in vino. ⁵ Postea lota suffiatur, ⁶ & potibus ac cibis mollibus utatur, & mercuriali, ⁷ & acribus omnibus, excepto raphano ac cepis.

⁸ Quum suffocarint uteri, graveolentia omnia suffire oportet, ⁹ bitumen videlicet, ¹⁰ sulphur, ¹¹ cornu, ¹² lucernarium funiculum, ¹³ phocæ adipem, ¹⁴ castoriũ: ¹⁵ Odorata vero subter pudenda.

XXIII. Si vero puerperæ ¹ inflammati fuerint uteri, ² ardet, ³ & suffocatio habet. ⁴ Quum autem sic habuerit, muscum marinum tenuem tritum super linteolo extentum pro cataplasmate adhibeto. ⁵ Postea crudam hordeaceam farinam, & cinerem sarmentitium, ac lini semen, oleo & aceto affuso coquito, donec velut farinæ subactæ massa fiat. ⁶ Deinde quam calidissima ferre potest imo ventri imponito.

XXIV. Si vero fixi fuerint ¹ uteri, ² lentem & mentam multam in aceto coquito, ut vaporem inde in os trahat, & nares adhi-

στόμα, καὶ τὰς ῥῖνας προσίσχειν. 3 καὶ κακώδεα ὑποθυμιῆν. 4 καὶ λινόζωστιν ἐσθίειν, καὶ ἐν τῷ χυλῷ ἄλητον ἑφθὸν ῥοφείτω. 6 ὅτι ἂν τάχιστα [δὲ] καὶ πρὶν ἢ τὴν ὀδύνην ἔχειν, πρότερον χρὴ διδόναι τῶν φαρμάκων, ὅσα τὰς ὑστέρας παύει τῆς ὀδύνης. 7 καὶ σιτία διαχωρητικὰ προσφερέσθω. 8 ἢν δὲ ἡ γαστὴρ θερμαίνηται, ὑποκλύσαι.

XXV. Ἢν δὲ ἐκ τόκου φλεγμήνωσιν αἱ μῆτραι, 2 στρύχνου χυλὸν ἐγχέαι ἐς τὰ αἰδοῖα, 3 καὶ, ἐπὴν οὗτος θερμὸς γένηται, ἕτερον ἐγχέειν. 4 ἢν δὲ μὴ ᾖ, σχίνου, ἢ ῥάμνου, ἢ τεύτλου, ἢ κολοκύντης χυλὸν ἐκπιέσας ἔγχεον. 5 καὶ ἐκ τῆς τὸ ἐν μέσῳ τὸ ἁπαλώτατον περιξύσας μακρὸν ἔνθες, 6 ὕστερον ὕδατι ψιμμύθιον τρίβων ἐν ἐρίῳ ἀναποσπογγίζων πρόσθες. 7 ἢν δὲ φρίσσῃ, ἀφαιρέειν.

XXVI. Ἢν γυνὴ ἀσθενέῃ ἀπὸ ὑστέρων, 2 καὶ χολὴ αὐτὴν πνίγωσι, 3 καὶ δέῃ αὐτὴν καθῆραι κούφως, καὶ τὴν ὀδύνην παύσασθαι, 4 πευκεδανοῦ ὀπὸν ὅσον τρεῖς κυάθους δίδου πίνειν.

XXVII. Ἢν δὲ ἐν τῇ ὀσφύϊ αἱ ὑστέραι ὦσιν, ἢ ἐν τῷ κενεῶνι, 2 ἢν θέλῃς μετακινῆσαι, τρίψαι θεῖον καὶ ἄσφαλτον, μέλι ἑφθὸν παραχέας, 3 καὶ ποιήσας βάλανον παχείην, ἐς ἕδρην ἔνθες. 4 καὶ ἐκ τῶν ὑστερικῶν, ἢν ξηραὶ γένωνται, ταῦτα προσθεῖναι ὡς τάχιστα.

XXVIII. Γυναικὶ ὅταν ὑστέραι σκληραὶ γένωνται, 2 καὶ ἐς τὰ αἰδοῖα ἐξίωσι, 3 καὶ οἱ βουβῶνες σκληροὶ γίνωνται, 4 καὶ καῦμα ἐν τοῖσιν αἰδοίοισιν ἐνῇ, 5 καρκινοῦσθαι ἄρχεται. 6 ὅταν οὕτως ἔχῃ, σικύου χρὴ τὸ εἴσω τρίψαι καὶ ξηρὸν, ὕδατός [τε] κοτύλην ἐπιχέας ἐνεῖναι ἐς τὴν ἕδρην, [καὶ] ἐᾶν, μέχρις ἂν καθαρθῇ. 7 ὁκόταν δὲ γυναικὶ δῷς

adhibeat : 3 & graveolentia suffito : 4 & mercurialem edat, 5 & in succo ejus farinam coctam sorbeat. 6 Quam celerrime autem & priusquam dolor occupet, exhibere oportet pharmaca, quæ uteros à dolore levant : 7 & cibos per alvum secedentes assumat. 8 Si vero venter calefiat, clysterem adhibeto.

XXV. Si ex partu inflammati fuerint uteri, 2 solani succum in pudenda infundito : 3 & ubi hic calidus factus est, alium infundito. 4 Si vero hic non fuerit, lentisci aut rhamni, aut betæ, aut cucurbitæ succum expressum infunde : 5 & quod in medio hujus est tenerrimum, derasum longa forma inde. 6 Postea cerusam aqua tritam & lana exceptam appone. 7 Si vero horruerit, tolle.

XXVI. Si mulier ab utero debilis sit, 2 & bilis ipsam suffocet, 3 & opus sit ipsam leviter purgare, & dolorem sedare, 4 peucedani succum trium cyathorum mensura bibendum dato.

XXVII. Si in lumbis aut lateris mollitudine fuerint uteri, 2 & transmovere velis, sulphur & bitumen terito, & melle cocto affuso, 3 glandulam crassam facito, & in sedem indito : 4 & uteri si sicci fiant, hæc quam celerrime apponito.

XXVIII. Mulieri si uteri sicci fiant, 2 & ad pudenda promineant, 3 & inguina dura fiant, 4 & calor in pudendis insit, 5 cancerari incipit. 6 Quum sic habuerit, cucumeris sylvestris internam partem aridam terere oportet, & aquæ hemina affusa in sedem immittere, & purgari sinere, donec purgetur. 7 Quum autem mulieri pharmacum dederis,

" δῶς φάρμακον, παράμισγε τῷ 89
φαρμάκῳ, ὅσα ὑστέρας καθαίρει, καὶ
ὅσα ἐλαύνει.

XXIX. "Ἕτερα ποτὰ καὶ προσθε- 90
τὰ, δυνάμενα χορίον ἐξάγειν,
καὶ τὰ ἐπιμήνια καταστᾶσαι. [2]
κανθαρίδας πέντε, ἀποτίλας τὰ
319 πτερὰ καὶ τοὺς πόδας καὶ τὴν κεφα-
λὴν, ἔπειτα τριβόλους παραθα-
λασσίους σὺν τῇ ῥίζῃ τρίψας ὅσον
κόγχην, καὶ τοῦ ἀνθέμου " τοῦ χλωροῦ 91
τὸ εἴσω ξηρὸν τρίψας ὅσον κόγχην,
καὶ σελίνου σπέρμα ἴσον, καὶ σηπίης
ὠὰ πεντεκαίδεκα, ἐν οἴνῳ γλυκεῖ
κεκρημένῳ δίδου πιεῖν· [3] καὶ, ἐπὴν ἡ
ὀδύνη ἔχῃ, ἐν ὕδατι θερμῷ καθή-
σθω, καὶ μελίκρητον ὑδαρέα πινέτω.
[4] βατραχίου τῶν φύλλων καὶ τοῦ ἄνθεος
5 τετριμμένου ὅσον στατῆρα αἰγιναῖον
ἐν οἴνῳ γλυκεῖ πιεῖν. [5] ἐπὴν δὲ ἡ
ὀδύνη ἔχῃ, λευκοὺς ἐρεβίνθους καὶ
ἀσταφίδας ἑψήσας ἐν ὕδατι καὶ ψύ-
ξας, " διδόναι πιεῖν. [6] καὶ, ὁκόταν ἡ 92
στραγγουρίη ἔχῃ, ἐν ὕδατι χλιαρῷ
καθιζέσθω. [7] ἀδιάντου ὅσον στατῆ-
ρα αἰγιναῖον ἐν οἴνῳ λευκῷ, ἴσον
ἴσῳ κεράσας δίδου πίνειν. [8] λευκοΐου
καρπὸν ὅσον ἐν τοῖς τρισὶ δα-
κτύλοις λαβὼν, ἐν οἴνῳ λευκῷ τὸν
αὐτὸν τρόπον κεράσας, δοῦναι πί-
νειν. [9] λευκοΐου ῥίζαν τοῦ μέλα-
νος ἐν οἴνῳ διεὶς τὸν αὐτὸν τρό-
10 πον χρήσθω. [10] κρίνανθεμον τὸ
ἐπὶ τῶν οἰκιῶν φυόμενον, τὸν αὐ-
τὸν τρόπον μίξαι καὶ πίσαι. [11]
τῆς ἀγχούσης τὰ φύλλα δύο δραχ-
μίδας ἐν οἴνῳ ἐφθῷ κεράσας,
ὕδατι ἴσως πίσαι. [12] χαμαιλέον-
τος τὴν ῥίζαν ξύσας ὅσον ἐλλεβό-
ρου πόσιν, " ἐν οἴνῳ ἐφθῷ κεράσας 93
ὕδατι πίσαι. [13] κράμβης καὶ
πράσου χυλὸν, ἑκατέρου μίξας
τὸν ὀπὸν σιλφίου ὅσον τρία ἡ-
μιωβο-

deris, ammisce ad pharmacum
ea quæ uteros purgant, & quæ
expellunt.

XXIX. Potiones, & subdititia II
medicamenta, quæ secundas edu-
cere, & menses detrahere pos-
sunt. [2] Cantharides quinque
avulsis alis & pedibus ac capite,
deinde tribulos ad mare nascen-
tes una cum radice, mensuram
quanta est conchæ testa terito:
& anthemi pallidam sive luteam
internam partem siccam tritam,
conchæ testam addito, ' & semi- 5
nis apii tantundem, & sepiæ ova
quindecim, & in vino dulci di-
luto bibenda dato: [3] & quum
dolor habuerit, in aqua calida
desideat, & aquam mulsam aquo-
sam bibat. [4] Aliud. Ranunculi
foliorum & floris triti æginæi
stateris pondus, in vino dulci bi-
bat. [5] Quum autem dolor ha-
buerit, cicer album & uvas pas-
sas in aqua coquito, & perfrige-
ratam bibendam dato: [6] & ubi
urinæ ' stillicidium vexarit, in 10
aqua tepida desideat. [7] Aliud.
Adianti staterem ægineum, in
vino albo pari aqua ammixta, bi-
bendum dato. [8] Aliud. Violæ
albæ semen quantum tribus di-
gitis apprehendere potest, in vi-
no albo eodem modo temperato,
bibendum dato. [9] Aliud. Leu-
coi nigri radicem, in vino eo-
dem modo sumat. [10] Aliud. Cri-
nanthemum quod in domibus
nascitur, eodem modo misceto
ac bibendum dato. [11] Aliud. An-
chusæ foliorum pugillos duos, in
' vino albo æquali aqua ammix- 15
to, bibendos dato. [12] Aliud. Cha-
mæleonis radicem, velut veratri
potionem, derasam in vino albo,
aqua pari mensura ammixta, bi-
bendam dato. [13] Aliud. Brassicæ
& porri succum, ad utrunque

μιώβολα, οἴνῳ ἴσως μίξας λευκῷ πίσαι. 14 Ἐλαίης λευκῆς [καρπὸν,] πρόσθεν ἢ ἔλαιον ἐνῆ, καταχνήσας ξήρανον· ἔπειτα κόψας καὶ σήσας ἐν οἴνῳ ἐπιβαλὼν, διδόναι πίνειν. 15 τοῦτο καὶ τὰ ἐπιμήνια καθαιρεῖ καὶ χόριον ἐξελαύνει. 16 δικτάμνου κρητικοῦ ὅσον ὀβολὸν ἐν ὕδατι πιεῖν. 17 χόριον ἢν μὴ δύνασαι ἐκβαλεῖν πιπίσκων, πυριήσας τῆς ἀκτῆς τῷ χυλῷ ἑφθῷ ἐμβαλὼν, καὶ τὴν κανθαρίδα προσθεῖναι. 18 τοῦτο καὶ τὸ ἔμβρυον ἐξελαύνει. 19 ὁκόταν δὲ δάκνῃ, ἀφαιρουμένη, ἐς ῥόδινον μύρον ἐμβάπτουσα προστιθέσθω, ἐς τ' ἂν ἀποφύγῃ. 20 αἰγείρου κρητικοῦ κόκκους ἐννέα τρίψας ἐν οἴνῳ διδόναι πίνειν. 21 τούτῳ δὲ καὶ ἀπολούεσθαι, ἢν δυστοκέῃ. 22 κονύζης ὅσον χεῖρα λείης διεῖναι πράσου χυλῷ, καὶ νέτωπον ξυμμίξας ὅσον χηραμίδα, ταῦτα ἐν οἴνῳ δίδου πίνειν.

23 Ἐπιμήνια καθαιρεῖ. πευκέδανον καὶ πάνακες, καὶ γλυκυσίδης ῥίζαν ἐν οἴνῳ δίδου πίνειν. 24 Ἔμβρυον ἐκβάλλει τεθνεὸς καὶ τὰ ὕστερα. ἴου καὶ τῆς ἀνδράχνης τὸν καρπὸν, ταῦτα διακόψας καὶ μίξας, δίδου ἐν οἴνῳ λευκῷ παλαιῷ. 25 Ἐπιμήνια καθαιρεῖ. λευκοΐου ὁ καρπὸς, ὅσον τρισὶ δακτύλοις ἐπιλαμβανόμενος, καὶ αἰγὸς σπυράθους ὅσον πέντε ἢ ἕξ, ταῦτα ξυμμίξας οἴνῳ εὐωδεστάτῳ, 26 προπυριάσας ἐς ὕδωρ καὶ ἔλαιον τὴν πυρίην ἐμβαλὼν, πυριῆν δὲ ἐπὶ δίφρου, ἐπὴν δὲ πυριήσῃς, δοῦναι πιεῖν ὡς τάχιστα λούσασαν κατακλίνειν. 27 δοῦναι δὲ φαγεῖν κράμβην, καὶ τοῦ χυλοῦ ῥοφεῖν. 28 λευκοΐου τὸν καρπὸν ὅσον.

ſucci ſilphii obolis tribus ammixtis, ex vino albo cum pari aqua bibendum dato. 14 Aliud. Olivas albas priuſquam oleum inſit compunctas ſiccato, poſtea tuſas & cribratas ac in vinum injectas bibendas dato. 15 Hoc & menſes detrahit, & ſecundam expellit. 16 Aliud. Dictamni cretici obolum in aqua bibendum dato. 17 Et ſi, hoc in potu dato, ſecundam ejicere non potes, ſambuci ſucco cocto immiſſo foveto, & cantharidem apponito. 18 Hoc etiam fœtum expellit. 19 Quum autem morſum intulerit, auferat, & roſaceo unguento tinctum apponat, donec elapſa fuerit. 20 Aliud. Populi nigræ creticæ grana novem trita, in vino bibenda dato. 21 Cum hoc etiam abluatur, ſi difficulter pariat. 22 Aliud. Conyzæ teſtam conchæ majorem cum porri ſucco diluito, & netopi teſtam conchæ majorem ammiſceto: & hæc in vino bibenda dato.

23 Aliud, quod menſes detrahit. Peucedanum & panaces, & pæoniæ radicem, in vino bibenda dato. 24 Aliud, quod fœtum mortuum & ſecundas ejicit. Violæ & portulacæ ſemen contundito ac miſceto, & in vino albo veteri exhibeto. 25 Aliud, quod menſes detrahit. Seminis violæ albæ quantum tribus digitis apprehendi poteſt, & ſtercoris caprini pilulas quinque aut ſex, in vino odoratiſſimo permiſceto, 26 & bibenda dato, ubi prius fomentum ex aqua & oleo immiſeris. Adhibeto autem fomentum in ſella: & ubi hæc bibit, quam celerrime lotam reclinato. 27 Braſſicam vero edendam exhibeto: & ſuccum ejus ſorbendum. 28 Aliud. Seminis violæ albæ

ὅσον τοῖς τρισὶ δακτύλοις ἐν οἴνῳ δοῦναι πιεῖν· καὶ καθήσθω ἐν ὕδατι θερμῷ. 29 ἢν δὲ μὴ ἔχῃ, μαράθρου ῥίζας κλάσας, ἐν μελικρήτῳ χλιαρῷ ἀποβρέχων δίδου. 30 μελίης ὅσον κόκκους δέκα ἐν οἴνῳ δοῦναι πιεῖν. 31 τοῦτο ἀγαθὸν ἐπὶ παντὸς ἀλγήματος ὑστερέων, καὶ σφόδρα διουρητικόν. 32 ὀπὸν σιλφίου ὅσον ὄροβον, καὶ καρδάμου καρπὸν τρίψας λεῖα, καὶ ξυμμίξας ἐν οἴνῳ ἢ ἐν κυνὸς γάλακτι δίδου πιεῖν. τοῦτο καὶ ἔμβρυον ἐξελαύνει.

33 Ἐκβόλιον. βατράχιον καὶ ἐλατηρίου μικρὸν μίξας ἐν ὄξει, εὔκρητον πίσαι. 34 Ἐπὶ τοῦ αὐτοῦ. κράμβης καυλὸν ἁπαλὸν, τὸ ἄκρον χρίσας νετώπῳ τρίψαι.

35 Ἢν τὰ ἐπιμήνια μὴ γίνηται. τερμίνθου καρπὸν τρίψας ἐν οἴνῳ καὶ ὕδατι διεὶς καὶ διηθήσας διδόναι νήστει πιεῖν, καὶ θερμῷ λουέσθω. 36 Ἐμμήνια κινεῖν. φοινικοῦς κόκκους ἐν οἴνῳ νήστει διδόναι πιεῖν. 37 Λοχεῖα καθαίρειν. μαράθρου καρπὸν καὶ κρήθμου τὸν φλοιὸν καὶ λιβανωτὸν ἐν οἴνῳ διδόναι πίνειν. 38 δᾳδίον ὡς πιοτάτην ἐν οἴνῳ ἑψήσας, καὶ γλυκυσίδης κόκκους πέντε τρίψας ἐν οἴνῳ, ὅσον τεταρτημόριον κοτύλης δοῦναι πιεῖν. 39 Λινοζώστιος τὸν καρπὸν καὶ τὰ φύλλα ἐν οἴνῳ δοῦναι πιεῖν. 40 γλυκυσίδης τοὺς μέλανας κόκκους ὅσον πέντε καὶ ᾠὰ σηπίων δοῦναι πίνειν ἐν οἴνῳ.

41 Λεχοῖ πάσῃ. ἐς ἐρύσιμον καὶ ἄλφιτον ἔλαιον παραχέας ἢ ἑφθὸν ῥοφείτω, καὶ σιτίοισιν ὡς μαλακωτάτοισι χρήσθω. 42 σκαμμωνίην τρίψας ἐν γάλακτι γυναι-

κείῳ

albæ quantum tribus digitis apprehendi poteſt, in vino bibendum dato: & in aqua calida deſideat. 29 Si vero id non habeat, fœniculi radices contuſas, in aqua mulſa tepida macerato, & exhibeto. 30 Aliud. Fraxini grana decem, in vino bibenda dato. 31 Hoc in omni uterorum morbo commodum eſt, & valde ciet urinam. 32 Aliud. Succum ſilphii magnitudine ervi, & naſturtii ſemen terito ac ammiſceto, & in vino aut lacte canino bibenda exhibeto. Hoc etiam fœtum expellit.

33 Aliud fœtum ejiciens. Ranunculum herbam, & parum elaterii, in acero temperato ac mixta bibenda dato. 34 Aliud ad idem. Braſſicæ caulem tenerum, extremitate ex netopo illita, affricato.

35 Aliud, ſi menſes non fiant. Terebinthi fructum tritum, in vino & aqua dilutum ac excolatum, jejunæ bibendum dato, & calida lavetur. 36 Aliud, menſes ciens. Rubra pæoniæ grana, in vino jejunæ bibenda dato. 37 Aliud, ad puerperii purgamenta purganda. Fœniculi ſemen, & crethmi corticem, & thus, in vino bibenda dato. 38 Aliud. Tedam quam pinguiſſimam in vino coquito, & pæoniæ grana quinque in vino terito, & heminæ quadrantem bibendum dato. 39 Aliud. Mercurialis ſemen & folia, in vino bibenda præbeto. 40 Aliud. Pæoniæ grana nigra quinque, & ſepiæ ova in vino bibenda dato.

41 Ad omnem puerperam. Ad irionem & polentam oleum affunde, & coctum ſorbeat: & cibis quam molliſſimis utatur. 42 Aliud. Scammoniam in lacte

 mulie-

κέω ἐν εἰρίῳ ἀναπορίσας προσθεῖναι. 43 λινοζώστιος φύλλα τρίψας ἐν ῥάκει προσθεῖναι. 44 τὴν ποίην τὴν ἀρτεμισίην τρίψας, καὶ μύρῳ ῥοδίνῳ δεύσας, προσθεῖναι. 45 τὴν λευκὴν ῥίζαν λείην κόψας καὶ ῥοδίνῳ μύρῳ δεύσας προσθεῖναι. 46 τῆς γλυκυσίδης μέλιτι δεύσας καὶ μύρῳ ῥοδίνῳ καὶ αἰγυπτίῳ ἐν εἰρίῳ προσθεῖναι. 47 ἄλητον ἄπλυτον τὸν αὐτὸν τρόπον προστιθέναι. 48 αἴρων ἄλευρον καὶ πύρινα ἄμφω μέλιτι φυρήσας ἐν εἰρίῳ προστιθέναι.

49 Καθαρτήριον ἐπιμηνίων καὶ λοχείων, [ὃ] καὶ ὕδωρ ἄγει. 50 στρουθίου ῥίζης λείου κεκομμένου ὅσον τοῖσι τρισὶ δακτύλοισι, μέλιτι δεύσας, προσθεῖναι. φύεται δὲ ἐν Ἄνδρῳ ἐν τοῖς αἰγιαλοῖς. 51 Ὑστέρας ἀποκαθῆραι. λινοζώστιος κεκομμένης καὶ σικύης ὀλίγον τρίψας, ἐν οἴνῳ καὶ μέλιτι δεύσας προστιθέναι. 52 λαγωοῦ τρίχας κατακαύσας καὶ τρίψας ἐν οἴνῳ καὶ μέλιτι δεύσας ἑφθῷ καὶ ὕδατι δοῦναι πιεῖν, καὶ ἐν ὕδατι θερμῷ λουέσθω. 53 Τόκου καθαρτήριον. κρίμνον ἐξερίσας, ὅσον ἥμισυ ἡμιχοινικίου ἑψεῖν ἐν ὕδατος κοτύλαις τέσσαρσιν· ὁκόταν δὲ ζέσῃ, δοῦναι δὶς ἢ τρὶς ῥοφῆσαι.

54 Λοχεῖα καθαίρει. τῆς ἀκτῆς τὰ φύλλα ἑψήσας, ἐπιχέας ἔλαιον δοῦναι πιεῖν· ἐσθιέτω δὲ καὶ κράμβας ἑφθὰς, καὶ πράσου. 55 Καθαρτήριον ὑστερέων. τοῦ ῥοῦ τὰ φύλλα καὶ τὸν καρπὸν ἐν οἴνῳ πιεῖν δοῦναι· 56 καὶ ἐρύσιμον λεῖον ποιήσας ἐν οἴνῳ, καὶ ἄλφιτα ἐπιβαλὼν, δοῦναι πιεῖν. 57 μίσυος ὅσον δύο ὀβολοὺς τρίψας ἐν οἴνῳ καὶ φυρήσας προσθεῖναι. 58 λίνου καρπὸν τρίψας ἐν οἴνῳ φυρήσας προσθεῖναι. 59 τριφύλλου

muliebri tritam, lana exceptam appone. 43 Aliud. Mercurialis folia trita in linteo ſubde. 44 Aliud. Herbam artemiſiam tritam, & unguento roſaceo imbutam appone. 45 Aliud. Albam radicem tritam, ac roſaceo unguento ſubactam appone. 46 Aliud. Pæoniæ radicem melle, unguento roſaceo & ægyptio ſubactam, in lana ſubde. 47 Aliud. Farinam non lotam eodem modo appone. 48 Aliud. Lolii & tritici farinam, ſimul melle ſubactas, in lana ſubde.

49 Aliud, quod menſes & puerperii purgamenta purgat & aquam ducit. 50 Radicis ſtruthii tuſi triti quantum tribus digitis apprehendi poteſt, melle ſubactum appone. Naſcitur autem in Andro in littoribus. 51 Aliud, ad uteros depurgandos. Mercurialis contuſæ, & cucumeris ſylveſtris modicum, in vino tere, & melle ſubacta appone. 52 Aliud. Pilos leporis combuſtos, ac tritos in vino, & melle cocto & aqua ſubactos, bibendos dato: & aqua calida lavetur. 53 Aliud, partus purgatorium. Polentam craſſius freſam dimidii hemichœnicis menſura, in aquæ heminis quatuor coquito, & ubi efferbuerit, bis aut ter ſorbendam dato.

54 Aliud, purgans puerperii purgamenta. Sambuci folia coquito, & oleo affuſo bibenda dato. Edat & braſſicas coctas, & porrum. 55 Aliud, purgans uteros. Rhois folia 56 & irionem terito, & in vino, polenta inſperſa, bibenda dato. 57 Aliud. Miſyos obolos duos tritos & vino ſubactos apponito. 58 Aliud. Lini ſemen tritum, vino ſubactum apponito. 59 Aliud. Trifolii ſemen in

φύλλα τὸν καρπὸν ἐν οἴνῳ πιεῖν δοῦναι. 60 Ἐὰν δὲ ἐς τὴν ὀσφὺν ὑστέραι ἐπιλέξωσιν, ἐσθιέτω πουλύποδας ἑφθοὺς καὶ ὀπτοὺς, καὶ οἶνον πινέτω μέλανα εὐώδεα ἄκρητον ὡς πλεῖστον.

61 Ἕτερα ποτὰ, [καὶ] προσθετὰ, καὶ καθαρτήρια. ῥοῦν τὴν ἐρυθρὴν καὶ γίγαρτα ἑψήσας ἐν ὕδατι, τοῦ σιταρίου ἐμβάλλων ἐπὶ τὸ ὕδωρ δίδου πίνειν. 62 ἄλητον ἐφ' ὕδωρ ἐμβαλὼν δίδου πιεῖν. 63 μόρα τὰ ἀπὸ τῆς βάτου ξηρήνας καὶ τρίψας λεῖα, καὶ ἄλφιτα ποταίνια ἀναμίξας, ὅσον ὀξύβαφον ἀμφοτέρων ἐν οἴνῳ εὐώδει καὶ ὑδαρεῖ πινέτω. 64 τὴν γῆν τὴν μέλαιναν τὴν σαμίην ἐν ὕδατι τρίψας ὅσον ἀστράγαλον δίδου πιεῖν. 65 ὑποκυστίδος ἐν οἴνῳ διδόναι πιεῖν. 66 σίδας οἰνώδεας ἐκχυλώσας, ἄλφιτα φυρήσας τῷ χυλῷ ξήραινον, ἔπειτα τρίψας ἐν οἴνῳ λεῖον δίδου πιεῖν. 67 μύρτων μελάνων τὸν καρπὸν τρίψας διεὶς ἐν ὕδατι ἄλφιτα ἐπιβαλὼν, δίδου πίνειν. 68 ῥοιῆς γλυκείης ὀπτήσας ὁλκὴν τρίψας ἐν οἴνῳ, δίδου πίνειν. 69 πυροὺς καὶ κάχρυας τρίψας, φρύξας τε καὶ ἄλητα ποιήσας, ἐν οἴνῳ μέλανι δίδου πιεῖν. 70 ῥοιῆς γλυκείης τὰ ἔσω ξυμμίξας ἴσῳ ὕδατι δίδου πίνειν. 71 κώνειον ὅσον τρισὶ δακτύλοισιν ἐν ὕδατι δίδου πίνειν. 72 ἄλητα σιταρίου καὶ γύψου τὸ ἴσον μίξας ἐν ὕδατι, δίδου πίνειν. 73 ῥοιῆς γλυκείης τὸν φλοιὸν καὶ σίδια ἐν οἴνῳ δίδου πίνειν.

74 Ἢν αἷμα ἐξ ὑστερέων ῥέῃ, ἄγνου φύλλα ἐν οἴνῳ δίδου πιεῖν μέλανι. 75 Ῥόου καὶ ὀδύνης. κάχρυος ῥίζαν ἐν οἴνῳ διδόναι πίνειν.

76 Ἕτερα ποτὰ ὑστερέων. κεδρίδας,

in vino bibendum dato. 60 Si vero ad lumbos uteri incubuerint, polypos coctos edat, itemque assatos: & vinum bibat nigrum, odoratum, meracum quamplurimum.

XL. Si lævigati fuerint uteri, 2 & menſes plures fiunt, & deteriores, & humidiores, ac frequentiores, 3 & genitura intus non manet, ſed rurſus exit: 4 & ſi digito contigeris, comperies os læve. 5 Et impotentia ipſam corripit præ menſibus, & febris ac rigor, 6 & dolor imum ventrem, & lumbos, ac lateris mollitudi- [400] nem, 7 maxime ſi quid in ipſa corruptum computruerit, & ex partu, & alias. 8 Quum ſic habuerit, curare oportet ubi dolor habuerit, velut ſcriptum eſt in priore.

XLI. Ἢν αἱ μῆτραι κατὰ τὰ ἀριστερὰ νεύσωσι, ² τὸ ἰσχίον ὀδύνην ἴσχει, ὀξέην τε καὶ σπερχνὴν, καὶ τὰς ἰξύας, καὶ τοὺς κενεῶνας. ³ καὶ τὸ σκέλος ἐπισκάζει. ⁴ ὁκόταν ὧδε ἔχῃ, φάρμακον χρὴ πίσαι ἐλατήριον. ⁵ τῇ δὲ ὑστεραίῃ ὑποθυμιῆν, ⁶ τῶν τε κριθέων χοίνικας δύο καὶ ἐλαίης φύλλα κατακνήσας πυκνὰ, καὶ κηκίδα κατακόψας καὶ σήσας, καὶ ὑοσκυάμου τριταῖα χοίνικος, ταῦτα μίξας καὶ ἐλαίῳ περιποιήσας ὅσον ἡμικοτύλιον ἐν χύτρῃ, ⁸ ὑποθυμιᾶν ἐπὶ τέσσαρας ἡμέρας, τρὶς τῆς ἡμέρης, ⁹ τῆς δὲ νυκτὸς γάλα βοὸς καὶ μέλι καὶ ὕδωρ πινέτω. ¹⁰ καὶ θερμῷ λουέσθω.

XLII. Ἢν ἐς τὴν κεφαλὴν τράπωνται αἱ ὑστέραι, σημεῖον τόδε. ² τὰς φλέβας τὰς ἐν [τῇ] ῥινὶ, τάς τε ὑπὸ τοῖς ὀφθαλμοῖς ἀλγεῖν δοκέει. ³ ταύτην χρὴ λούειν θερμῷ πολλῷ, καὶ κατὰ τῆς κεφαλῆς δάφνην τε καὶ μυρσίνην ἐνεψῶν ἐν τῷ ὕδατι. ⁴ καὶ ῥοδίνῳ μύρῳ τὴν κεφαλὴν ἐγχεέσθω. ⁵ καὶ ὑποθυμιήσθω τὰ εὐώδεα, ⁶ καὶ τὴν κράμβην ἐσθιέτω. ⁷ καὶ τὸν χυλὸν ἐπιροφείτω.

XLIII. Ἢν ἐς τὰ σκέλεα καὶ τοὺς πόδας τράπωνται, γνώσῃ ἐν τῷδε. ² τοὺς μεγάλους δακτύλους τῶν ποδῶν σπῶνται ὑπὸ τοὺς ὄνυχας. ³ καὶ ὀδύνη ἴσχει τὰ σκέλεα καὶ τοὺς μηρούς. ⁴ ὁκόταν ὧδε ἔχῃ, χρὴ λούειν αὐτὴν πολλῷ καὶ θερμῷ. ⁵ καὶ πυριῆν, ὅ, τι ἂν μάλιστα προσδέχηται. ⁶ καὶ ὑποθυμιῆν τὰ κακώδεα. ⁷ καὶ τῷ μύρῳ τῷ ῥοδίνῳ ἀλείφεσθαι.

XLIV. Ἢν γυνὴ ὑστέρας ἀλγέῃ ἀσιτέουσα, καὶ πυρετὸς αὐτὴν καὶ ῥῖγος λαμβάνῃ, ² μήκωνος λευκῆς ὅσον πεμπτημόριον ἡμιχοινικίου, ³ καὶ κνίδης καρποῦ τὸ ἴσον, ⁴ καὶ τυροῦ αἰγείου ὅσον ἡμιχοίνικα ξύσας, ⁵ ὁμοῦ τε μαλθάξας σὺν οἴνῳ παλαιῷ, ἔπειτα ἑψήσας, διδόναι ῥοφάνειν.

XLI. Si uteri ad ventrem nutaverint, ² dolor acutus & vehemens coxendices, & lumbos, ac laterum mollitudinem habet. ³ Et crus claudicat. ⁴ Quum sic habuerit, pharmacum infra purgans bibendum dare oportet, ⁵ postridie vero suffire hoc modo. ⁶ Hordei chœnices duas, & oleæ folia probe contusa, & gallam contusam ac cribratam, & hyoscyami tertiam chœnicis partem: ⁷ hæc mixta, & olei hemina dimidia affusa, efformata, in olla ⁸ per dies quatuor, ter in die suffito. ⁹ Noctu vero lac bubulum, & mel, & aquam bibat, ¹⁰ & calida lavetur.

XLII. Si ad caput conversi fuerint uteri, signum hoc est. ² Venas in naso & sub oculis dolere videtur. ³ Hanc calida multa lavare oportet, etiam in capite, lauro & myrto in aqua incoctis: ⁴ & caput unguento rosaceo illinatur, ⁵ & odorata subter suffiantur, ⁶ & brassicam edat, ⁷ & succum absorbeat.

XLIII. Si ad crura & pedes conversi fuerint, ex hoc cognosces. ² Magnis pedum digitis convellitur sub ungues. ³ Et dolor crura ac femora tenet. ⁴ Quum sic habuerit, multa calida ipsam lavare oportet, ⁵ & fomentum adhibere quod maxime libenter admiserit, ⁶ & subter suffire graveolentia, ⁷ & unguento rosaceo ungere.

XLIV. Si mulier cibum aversans uteros doleat, & febris ipsam ac rigor corripiat, ² pepli albi quintam dimidiæ chœnicis partem, ³ & seminis urticæ tantundem, ⁴ & casei caprini rasi dimidiam chœnicem, ⁵ simul cum vino vetere mollito, deinde cocta sorbenda dato.

XLV. [1] Ἢν ἐκ τόκου ῥόος λαμβάνῃ, [2] καὶ τὰ σιτία ἐν τῇ γαστρὶ μὴ ἐμμένῃ, [3] ἀσταφίδος χρὴ μελαίνης καὶ ῥοιῆς γλυκείης τὰ εἴσω τρίψαντα, καὶ ἐρίφου πυτίην [4] διεὶς οἴνῳ μέλανι, χρέο, [5] τυρὸν ἐπιξύσας αἴγειον, [6] καὶ ἄλφιτα πυρῶν πεφωσμένα ἐπιβάλλων, [7] κεράσας δὲ καλῶς, δὸς πιεῖν.

XLVI. [1] Ἢν αἷμα ἐμέῃ ἐκ τόκου, [2] τοῦ ἥπατος ἡ σύριγξ τέτρωται, [3] καὶ ὀδύνη ἐς τὰ σπλάγχνα φοιτᾷ, καὶ τὴν καρδίην, [4] καὶ σπᾶται. [5] ταύτην χρὴ λούειν πολλῷ καὶ θερμῷ. [6] καὶ τῶν χλιασμάτων, ὅ, τι ἂν μάλιστα προσδέχηται, προστιθέναι. [7] καὶ πιπίσκειν ὄνου γάλα, ἐπὶ ἡμέρας πέντε. [8] μετὰ δὲ ταῦτα μεταπιπίσκειν βοὸς μελαίνης, [9] ἀσιτεύουσαν ἐπὶ ἡμέρας τεσσαράκοντα. [10] ἐς δὲ τὴν ἑσπέρην σήσαμον τετριμμένον πιπίσκειν. [11] ἡ δὲ νοῦσος ἐπικίνδυνος.

XLVII. [1] Ἢν γυνὴ διὰ πολλοῦ μὴ κυΐσκηται, τῶν ἐπιμηνίων ἐμφαινομένων, [2] ὁκόταν ἢ τριταίη ἢ τεταρταίη, στυπτηρίην λείην τρίψας, διεὶς μύρῳ ἰρίνῳ, ἀνασπογγίζων προστιθέσθω. [3] καὶ ἐχέτω κείμενον ἡμέρας τρεῖς. [4] τῇ δὲ τρίτῃ ξύσας βοὸς χολὴν, καὶ ἐν ῥάκει ἐπιθεὶς, διεὶς ἐλαίῳ τὸ ξύσμα καὶ ἀναδεύσας προστιθέσθω· [5] καὶ ἐχέτω ἡμέρας τρεῖς. [6] τῇ δὲ ἑτέρῃ ἐξελέσθω, καὶ τῷ ἀνδρὶ ξυνελθέτω.

XLVIII. [1] Ὑστερέων πάσης νούσου θεραπευτικόν. [2] λίνον τὸ σχιστὸν αὐτῆς τῆς καλάμης ὅσον δραχμίδα κόψας λεπτὰ, [3] καταβρέξας τε ἐν οἴνῳ λευκῷ ὡς ἡδίστῳ τὴν νύκτα, [4] ἔπειτα ἀπηθήσας χλιαίνων ἐν χυτριδίῳ, εἴριον ὡς μαλθακώτατον ἐμβάπτων, [5] τὸ μὲν προστιθέναι, τὸ δὲ ἀφαιρέειν.

XLV. Si ex partu fluxus corripiat, [2] & cibi in ventre non maneant, [3] uvam passam nigram, & mali punici dulcis grana trita, & coagulum hœdi, [4] vino nigro diluito ac utitor, [5] ita ut caseum caprinum derasum, [6] & polentam tritici torrefactam adjicias, [7] & bene temperata bibenda præbeas.

XLVI. Si ex partu sanguinem vomat, [2] hepatis fistula sauciata est, [3] & dolor ad viscera procedit, & cor [4] convellitur. [5] Hanc multa calida lavare oportet, [6] & tepefactoria, quæ maxime admiserit, adhibere, [7] & asininum lac bibendum ad dies quinque dare. [8] Postea vero vaccæ nigræ lac bibendum præbere, [9] ita ut sine cibo degat, ad dies quadraginta. [10] Ad vesperam vero sesamum tritum bibat. [11] Morbus hic est periculosus.

XLVII. Si mulier diu non concepit, mensibus apparentibus tertia aut quarta die, [2] alumen tritum unguento dilutum, lana exceptum apponito, [3] & per tres dies appositum habeat. [4] Tertia vero die fel bovis radito, & ramentum oleo dilutum ac subactum, linteo exceptum apponito. [5] Et tres dies appositum habeat. [6] Sequenti vero cum viro coeat.

XLVIII. Ad uterorum morbum sedandum, [2] lini scissi una cum stipula pugillum tenuiter tusum, [3] in vino albo quamjucundissimo per noctem madefacito, [4] deinde excolatum in ollula tepefacito, & in eo lanam mollissimam tinctam apponito, [5] & vicissim priore detracta aliam subdito.

XLIX. Ἢν βούλῃ ὑστέρας καθῆραι, [2] πρῶτον μὲν χρὴ ὑποθυμιῆσαι κριθὰς, ἐν ἐλαίῳ δεδευμένας, ἐπ' ἀνθράκων. [3] τῇ δὲ ὑστεραίῃ ὄϊος χρὴ κρέας ἑψεῖν κριθιδίῳ ἐξηθριασμένῳ. [4] τὸ δὲ κριθίδιον εἶναι ὅσον χοέα· καὶ καθεψεῖν σφόδρα. [5] ἐπειδὰν δὲ ἑφθὰ ᾖ, ἀκροχλίαρα κατεσθιέτω, καὶ τὸν ζωμὸν ἐπιρροφείτω. [6] τῇ δ' ὑστεραίῃ λιβανωτὸν καὶ γλήχωνα λεῖον ποιήσας, ἀναδεύσας μέλιτι, εἰρίῳ, ἀναπολίζων προστιθέναι ἐπὶ τρεῖς ἡμέρας.

L. Ἢν δὲ ἐς τὴν ἕδρην τραπῶσι, [2] καὶ τὰ ὑποχωρήματα κωλύωσιν ὑποχωρέειν, [3] ὀδύνας ἴσχουσι τήν τε ὀσφὺν καὶ τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας. [4] ὁκόταν ὧδε ἔχῃ, λούειν χρὴ αὐτὴν τῷ θερμῷ, [5] καὶ πυριῆν τὴν ὀσφὺν, [6] καὶ ὑποθυμιῆν τὰ κακώδεα. [7] καὶ προστιθέναι, ὁκόσα καθαίρει τε καὶ ἐλαύνει τὰς ὑστέρας. [8] καὶ πιπίσκειν, ὅ,τι ἂν μάλιστα προσδέχηται.

LI. Ἢν ἑλκωθῇ τὸ στόμα ἢ φλεγμήνῃ, [2] σμύρναν καὶ στέαρ χήνειον, καὶ κηρὸν λευκὸν, καὶ λιβανωτὸν ἐν λαγωοῦ θριξὶ, τῇσιν ὑπὸ τὴν γαστέρα, μίξας καὶ λεῖα ποιήσας, ἐν εἰρίῳ ὡς μαλθακωτάτῳ προστιθέσθω.

LII. Ἢν τὰ ὕστερα μὴ δύνηται ἀποφυγεῖν, [2] παραχρῆμα μὲν χρὴ ἀσιτέειν, [3] ἄγνου δὲ πέταλα λεῖα τρίψαντα ἐν οἴνῳ καὶ μέλιτι, ἔλαιον ἐπιχέας, ἀναχλιήνας δίδου πιεῖν, ὅσον κοτύλην.

LIII. Ἢν φλεγμήνωσιν αἱ ὑστέραι, [2] τῆς ἀκτῆς τὰ φύλλα ὡς ἁπαλώτατα ἐν πυρῶν κρίμνοις ἑψήσας σητανίοις, [3] ἀκροχλίαρον δίδου ῥοφεῖν.

LIV. Ἢν μετακινηθῶσιν αἱ μῆτραι, [2] κισσὸν ὡς ξηρότατον τρίψας καὶ λεπτότατον, δήσας ἐς ὀθόνιον προσ-

ἴσχειν

XLIX. Si uteros purgare voles, [2] primum quidem hordeum oleo imbutum in prunis suffire oportet. [3] Postridie vero carnem ovillam coquere, cum hordei decocto sub dio per noctem exposito. [4] Sit autem decoctum hordei congii mensura, & valde ipsas carnes coquito. [5] Ubi vero coctæ fuerint, leviter tepidas edat, & jusculum sorbeat. [6] Postridie autem thus & pulegium tritum, melle subactum & lana exceptum ad triduum subdito.

L. Si uteri ad sedem conversi fuerint, [2] & secessus secedere prohibuerint, [3] dolores habent & lumbos, & imum ventrem, & ilia. [4] Quum sic habuerit, calida ipsam lavare oportet, [5] & lumbos fovere, [6] & graveolentia suffire, [7] & apponere quæ purgant & impellunt ipsos uteros, [8] & bibenda dare ea quæ maxime admittit.

LI. Si ulceratum fuerit os uterorum aut inflammatum, [2] myrrham & adipem anserinum, & ceram albam, & thus, in leporis pilis qui sub ventre sunt misceto ac terito, & in lana mollissima apponito.

LII. Si secundæ decedere non possint, [2] statim quidem à cibo abstinere oportet. [3] Viticis autem folia trita in vino & melle, oleo affuso tepefacito, & heminæ mensuram bibendam dato.

LIII. Si inflammati fuerint uteri, [2] sambuci folia tenerrima in tritici recentis crassiore farina coquito, [3] & leviter tepida sorbenda dato.

LIV. Si uteri transmoti fuerint, [2] hederam siccissimam tritam, & linteolo tenui illigatam

subdito,

ἰσχὺν καὶ λιπαρὸν προσφέρειν· ἄλλο [δὲ] μηδέν. 3 πιεῖν δὲ διδόναι πυροὺς προκωνίας, καὶ μήκωνα λευκὴν, καὶ ἐλελίσφακον, καὶ κύπερον, καὶ ἄννησον. 4 ταῦτα τρίψας λεῖα, διεὶς οἴνῳ, 5 καὶ τῶν κυρηβίων τῶν ἀπὸ τῶν κριθῶν 6 διδόναι δὶς τῆς ἡμέρης, ἐφ' ἑκάτερον ἡμικοτύλιον.

LV. Ἢν τὰ ἐπιμήνια μὴ γίνηται ἐν τῷ καθεστηκότι χρόνῳ, 2 κράμβης πέταλα καὶ πήγανον τρίψας λεῖα, 3 ἔπειτα ἄχυρα ἀπὸ τῶν κριθῶν ὅσον χοίνικα βρέξας, ἕως ἂν τέγξηται, ἐξαιθρίασον. 4 ἕωθεν δὲ ποιήσας ὅσον κοτύλην διεῖναι τὴν κράμβην καὶ τὸ πήγανον, ἔλαιον αὐτοῖς ἐπιχέας καὶ ἀναταράξας, δοῦναι πιεῖν. 5 ἔπειτα πολύποδα πνίξας ἐν οἴνῳ λευκῷ, δὸς φαγεῖν, καὶ τὸν οἶνον ἐπιπιεῖν. 6 ἢν δὲ βούλῃ τῶν ἰχθύων, ἑψῶν εὐωδεστάτων, διδόναι ἐσθίειν καὶ τὸν ζωμὸν ῥοφάνειν.

LVI. Ἢν ἀφθήσῃ τὰ αἰδοῖα, 2 μύρτα ἑψήσας ἐν οἴνῳ διακλυζέσθω αἰδοῖα. 3 ἔπειτα ῥοιῆς γλυκείης σίδια ἑψήσας ἐν οἴνῳ, καὶ σμύρνης καὶ ῥητίνης ὁμοῦ μίξας, διεὶς οἴνῳ, ὀθόνιον ἐμβάπτων, προσθεῖναι.

LVII. Ἢν στραγγουρίη λάβῃ, 2 τῆς σικύης ἀποταμὼν τὸ στόμα καὶ τὸν πυθμένα, 3 ὑποθεὶς ἀνθρακιὴν, περίθες τὴν σικύην, 4 τῆς σμύρνης ἐπὶ τὸ πῦρ ἐπιπάσσας, 5 καὶ περικαθίσας ἐπὶ τὴν σικύην, 6 καὶ ἐνθέσθω ἐς τὸ αἰδοῖον τὸ ἄκρον τῆς σικύης ὡς ἐσωτάτω, 7 ὅκως ἂν ἡ ἀτμὶς ὡς πλείστη ἐς τὰ αἰδοῖα ἀποπέμπηται. 8 καὶ τῶν οὐρητικῶν πομάτων διδόναι νήστει.

LVIII. Ἢν δὲ ἐς τὴν καρδίαν προσιστάμεναι πνίγωσιν αἱ ὑστέραι καὶ μὴ ἀφιστῶνται, 2 πράσου καρπὸν τρίψας καὶ γλήχωνα διεὶς ὕδατι

subdito, & pingue aliud nihil adhibeto. 3 Bibendum vero dato triticum recens, & peplum tostum, & salviam, & cyperum, & anisum. 4 Hæc trita vino diluta 5 cum furfuribus hordei 6 bis in die dato, pro vice dimidiam heminam.

LV. Si menses constituto tempore non fiant, 2 brassicæ folia, & rutam terito, 3 postea paleas hordei chœnicis mensura madefacito donec flaccescant, & per noctem sub dio exponito. 4 Mane vero in hemina inde excolata brassicam ac rutam diluito, & affuso oleo conquassato, & bibenda dato, 5 postea polypum vino albo suffocatum edendum dato, & vinum ebibendum. 6 Si vero volueris, pisces odoratissimos coctos edendos dato, & jusculum sorbendum.

LVI. Si ex fervido & superficiario ulcere pudenda fuerint exulcerata, 2 myrti baccis in vino coctis pudenda colluat. 3 Et postea mali punici dulcis putamina in vino coquito, & myrrham ac resinam simul mixta vino diluito, & intinctum in his linteum subdito.

LVII. Si urinæ stillicidium corripiat, 2 cucumeris sive cucurbitæ os & fundum resecato, 3 & subjecta pruna cucumim circumponito, 4 & inspersa in ignem myrrha, 5 mulierem super cucumim locato, 6 ita ut summam cucumeris partem quam penitissime in pudendum indat, 7 quo vapor plurimus in pudenda transmittatur. 8 Et ex potionibus urinam cientibus jejunæ aliquas exhibeto.

LVIII. Si ad cor progressi uteri suffocent, & non decedant, 2 porri semen tritum, & pulegium,

ὕδατος κυάθοις τρισὶ, καὶ ὄξεος λευκοῦ κυάθῳ, καὶ μέλιτος τρίτῳ μέρει κυάθου, χλιαίνων, ³ νήστει δίδου ῥοφάνειν.

LIX. Ἢν ἐκ τόκου ἢ τρωσμοῦ ῥῖγος λαμβάνῃ, ² ἀρκεύθου τὸν καρπὸν καὶ ἐλελίσφακον ὁμοῦ τρίψας, ³ διεὶς ἐς ὄξεος λευκοῦ κύαθον, ⁴ ἐπιχέας τε ἐπὶ οἴνου λευκοῦ κεκρημένου κύλικα, καταλίξας ἔασον κεῖσθαι. ⁵ ἕωθεν δὲ ἀπηθήσας καὶ χλιήνας πιεῖν δίδου.

LX. Ἢν ἀνεμωθέωσιν αἱ μῆτραι, ² καὶ ἄνεμος ἐγγένηται τῇ νηδύϊ, καὶ πόνος ᾖ, ³ ἐλελίσφακον καὶ κύπερον κόψας τέγξαι τὴν νύκτα, ⁴ ἕωθεν ἀπηθήσας, τὸ καθαρὸν ἐς χύτρην ἐγχέας, ⁵ κρίμνα πύρινα ἐμβαλὼν, ⁶ καὶ ὄξεος λευκὸν ὅσον κύαθον ἐπιχέας, ⁷ [καὶ] ὀπὸν σιλφίου ὅσον κύαμον ἐμβαλὼν, ⁸ καὶ ἑψήσας ἐνωμότερον, δίδου ῥοφάνειν.

LXI. Ἢν ἐν τοῖς αἰδοίοισι δυσοσμίη ᾖ, ² καὶ κίων ἐγγένηται, ³ καὶ ὀδύνην ἔχῃ· ⁴ τὴν μὲν ὀδύνην παύσει σελίνου καρπὸς ἐν οἴνῳ διδόμενος νήστει. ⁵ τὴν δὲ δυσοσμίην ἄνησον τὸν αὐτὸν τρόπον διδόμενον· ⁶ τὸν δὲ κίονα χρὴ ἀποτάμνειν.

⁷ Ἢν ἕλκεα ἐγγένηται ἐν τοῖσιν αἰδοίοισι, καὶ ξυσμὸς λαμβάνῃ, ⁸ ἐλαίης φύλλα καὶ κισσοῦ καὶ βάτου καὶ ῥοιῆς γλυκείης τρίψας, ἐν οἴνῳ τε διεὶς παλαιῷ, ⁹ ἔπειτα λαβὼν σάρκα ποταινίην προσθεῖναι καὶ καταπλάσαι τοῖσι φύλλοισι, ¹⁰ καὶ ἐχέτω τὴν νύκτα. ¹¹ ἕωθεν δὲ ἐξελομένη μυρσίνην ἐν οἴνῳ ἀφεψέουσα, ¹² τῷ οἴνῳ διακλύζεσθαι τὰ αἰδοῖα.

LXII. Ἢν τὴν γονὴν μὴ δέχηται, τῶν γυναικείων κατὰ φύσιν γινομένων, ² ἢ μῆνιγξ ἐπίπροσθεν τοῦ [στόματος] γίνεται. ³ γίνεται δὲ καὶ ἐξ ἄλλων. ⁴ γνώσῃ δὲ τῷδε. ἢν ἐσαφάσσῃς τῷ δακτύ-

gium, in aquæ cyathis tribus, & aceti albi cyatho uno, & mellis tertia cyathi parte diluito, tepefacito, ³ & jejunæ sorbenda dato.

LIX. Si ex partu aut abortu rigor corripuit, ² juniperi fructum & salviam simul trita, ³ in aceti albi cyatho diluito, ⁴ & vini albi diluti poculum affundito, versato ac stare sinito. ⁵ Mane vero excolato, & tepefactum bibendum dato.

LX. Si uteri inflati fuerint, ² & si ventus in utero fiat & dolor, ³ salviam & cyperum tusa madefacito per noctem, ⁴ & mane excolato, & purum cremorem in ollam fundito, ⁵ tritici farina crassiore adjecta, ⁶ & aceti albi cyatho affuso, ⁷ & succi silphii magnitudine fabæ addita, ⁸ & cocta crudius sorbenda dato.

LXI. Si in pudendis graveolentia fuerit, ² & columella nascatur, ³ & dolor habeat, ⁴ dolorem quidem sedabit apii semen, jejunæ in vino datum. ⁵ Graveolentiam vero, anisum eodem modo datum. ⁶ Columellam vero resecare oportet.

⁷ Si ulcera fiant in pudendis, & pruritus corripiat, ⁸ oleæ & hederæ & rubi & mali punicæ dulcis folia trita in vino veteri dilue, ⁹ & postea carnem recentem foliis intege & appone. ¹⁰ Et habeat subditam per noctem. ¹¹ Mane vero eximat, & myrtum in vino decoquat, ¹² & cum vino pudenda colluat.

LXII. Si genituram non suscipiat, mensibus secundum naturam prodeuntibus, ² membrana ante uteri os excrevit. ³ Contingit etiam ex aliis causis. ⁴ Cognosces autem hoc, si digitum admo-

δακτύλῳ ἅψῃ τοῦ προβλήματος. ⁵ταύτῃ χρὴ πρόσθεμα ποιήσασθαι, ῥητίνην καὶ ἄνθος χαλκοῦ μέλιτι διεὶς, ⁶ ὀθόνιον δ᾽ ἀποβαλώσας προσθεῖναι ὡς ἐσωτάτω, 35 ῥάμμα ἐνδήσας ἀπὸ τοῦ ἄκρου. ⁷ " ὁκόταν 241 γοῦν ἐξάλληται, τὴν μυρσίνην ἐν οἴνῳ ἀφεψῶν χλιηρῷ κλυζέσθω.

LXIII. Ἢν ἄσθματα λαμβάνῃ γυναῖκα, ² θεῖου ὅσον κύαμον, καὶ καρδάμου τὸ ἴσον, καὶ πηγάνου, καὶ κυμίνου αἰθιοπικοῦ, ταῦτα τρίψας λεῖα, καὶ διεὶς ἐν οἴνῳ, πίνειν δοῦναι νῆστιν. ³ δεῖ καὶ τῶν σιτίων ἀπέχεσθαι, ⁴ καὶ μὴ πυκνὰ ἐσθίειν.

LXIV. Ἢν τίκτουσα ἐξανεμωθῇ, ² ἧπαρ οἶος ἢ αἰγὸς ἐς τέφρην ἐγκρύψας, διδόναι ἐσθίειν " ἐπὶ τέσ- 242 20 σαρας ἡμέρας. ³ καὶ οἶνον ζωρότερον πινέτω παλαιόν.

⁴ Ἢν τὰς ἰξύας ἀλγέῃ, ⁵ ἄνησον καὶ κύμινον αἰθιοπικὸν πινέτω, ³ καὶ θερμῷ λουέσθω, ⁶ καὶ " ἀπόθερμον πινέτω. 243

LXV. " Ἢν τὰ ἐπιμήνια [μὴ] 244 γίνηται, ² ὄστρακον παχὺ κατακαύσας καὶ λεῖον τρίψας, ³ καὶ ὀρίγανον ἑψήσας ἐν χηνὸς ἐλαίῳ λεῖον ποιήσαι, ⁴ καὶ ξυμμίξας τῷ ὀστράκῳ ἐν ὀθονίῳ, χλιαρὸν προστιθέσθω.

LXVI. Ἢν ξυμμύωσιν αἱ μῆτραι, καὶ τὰ ἐπιμήνια μὴ φαίνηται, ² κολοκυνθίδα ἀγρίην, καὶ " φύλ- 245 λον, κύμινον αἰθιοπικὸν, νί- 25 τρον, ἅλα θηβαϊκὸν, " καὶ νε- 246 φρίδιον, καὶ σμύρναν, καὶ ῥητίνην, ³ ἅπαντα ζέσας ταῦτα, ὁμοῦ τε μίξας λεῖα, ποιῶν βάλανον προστιθέσθω.

LXVII. Ἢν πρὸς τὰ σπλάγχνα τραπεῖσαι πνίγωσιν, ² οἶνον κέδρινον

admoveris, membranæ prætextum continges. ⁵ Ad hæc medicamentum subdititium facere oportet. Resinam itaque & æris florem melle diluito, ⁶ & linteum ex his tinctum penitissime indito, filo ad extremam partem dependente illigato. ⁷ Quum itaque hoc exiluerit, myrtum in vino coquito, & cum vino 30 tepido eluatur.

LXIII. Si anhelationes corripuerint mulierem, ² sulphuris magnitudinem fabæ, & nasturtii tantundem, & rutam, & cuminum æthiopicum, hæc trita & vino diluta, jejunæ bibenda præbeto. ³ Oportet autem & a cibis abstinere, ⁴ & non frequenter edere.

LXIV. Si pariens inflata fuerit, ² hepar ovillum aut caprinum calido cinere obrutum, edendum dato meracius ad dies 35 quatuor, ³ & vinum bibat vetus.

⁴ Si lumbos doleat, ⁵ anisum & cuminum æthiopicum bibat, & calida lavetur, ⁶ & apothermon (potus id genus est) bibat.

LXV. Si menses non fiant, ² testam crassam exurito ac terito, ³ & origanum in pinguedine anseris coctum terito, ⁴ & ad testam in linteum ammisceto, ac tepida apponito.

LXVI. Si uteri conclusi fuerint, & menses non apparuerint, ² colocynthidem sylvestrem, & silphii semen, cuminum æthio- 30 picum, nitrum, salem thebaicum, adipem renalem, farinam, myrrham, & resinam: ³ omnia hæc fervefacito, simulque mixta ac trita in glandulam efformato, & apponito.

LXVII. Si uteri ad viscera conversi strangularint, ² vinum cedri-

cedrinum, & cuminum æthiopicum bibat, [3] & calida lavetur, [4] & apothermon bibat.

LXVIII. Si menses non fiant, [2] adipem anseris, & netopon, & resinam, mulier lana excepta subdat.

[3] Si vero magis quam convenit prodeant, [4] susinum, & rajæ linguam, in lana apponat.

LXIX. Si transmoti uteri aliquo allapsi fuerint, [2] hordeum decorticatum tritum una cum paleis sume, [3] & cum cornu cervino vino subige, & hinc uteros suffito.

LXX. Si secundæ decedere non possint, [2] fœniculum vino & oleo ac melle fervefactum bibendum dato.

LXXI. Si menses non appareant, & velis ipsos detrahere, crassiorem tritici farinam [2] & hordeum coquito, & oleo affuso edenda dato.

LXXII. Si inflammati fuerint uteri, [2] cotyledonis folia, & porrum, in crassiore tritici farina coquito, & affuso oleo edenda dato.

LXXIII. Si moti uteri aliquo allapsi fuerint, & dolorem exhibuerint, [2] oleæ scabiem, & lauri ac cupressi ramenta in aqua coquito, & linteo excepta apponito.

LXXIV. Si uterus doleat, & ad vesicam fuerit dolor, [2] porri semen in aqua tritum jejunæ bibendum præbe, & tepefactoria adhibe.

LXXV. Si uteri prominuerint, [2] lotos ipsos cum aqua tepida, & vino ac oleo illitos, rursus intrudito, [3] & ex lumbis deligato. [4] & graveolentia suffito: [5] & si urinam emittere non poterit, [6] calida

θερμῷ, καὶ πυελήσας, ⁷ καὶ ὑποθυμιήσας κυπαρίσσου πρίσματα, ⁸ τῶν οὐρητικῶν πομάτων διδόναι πίνειν.

LXXVI. Ἢν ῥόος γένηται, ² ὑποθυμιήσας στρυφνοῖσιν, ³ ὀνίδας περιξύσας, ἐνδήσας εἰρίῳ προστιθέναι. ⁴ ἡ δὲ ὀνὶς ἔστω ξηρή.

LXXVII. Ἢν ἐν τοῖσιν αἰδοίοισιν ἕλκεα γένηται, ² βόειον στέαρ ἐπαλείφειν καὶ προστιθέναι, ³ καὶ τῷ μυρσίνης ἐν οἴνῳ ἀφεψῶν διακλύσαι.

45 LXXVIII. Ἢν ἐκ τόκου τὸ στόμα ἑλκωθῇ, ² ῥόδων ἄνθος τρίψας λεῖον, οἴνῳ δεύσας ἐν λαγωῇσι θριξὶ προστιθέναι ³ καὶ διακλυζέσθω τοῖσι στρυφνοῖσιν.

LXXIX. Ἢν τὰς ὑστέρας ἀλγέῃ, 255 ² σκορόδων μώλυζαν, καὶ νίτρον ὀπτὸν, καὶ κύμινον λεῖα ποιήσας, μέλιτι δεύων, προστιθέναι. ³ καὶ τῷ θερμῷ λουέσθω. ⁴ καὶ ἀπόθερμον πινέτω.

LXXX. Ἢν ἀφθήσῃ τὰ αἰδοῖα, ² στέαρ βοὸς καὶ βούτυρον καὶ χηνὸς ἔλαιον καὶ σούσινον μίξας, διαχρίειν τὰ αἰδοῖα τελέως. ³ καὶ διακλυζέσθω χλιαρῷ ὕδατι.

LXXXI. Ἢν προσιστάμεναι πνίγωσιν, ² ἐλλύχνιον ἀνάψας καὶ 228 ἀποσβέσας, ³ ὑπέχειν ὑπὸ τὰς ῥῖνας, ὅκως ἂν τὸν καπνὸν ἕλκῃ. ⁴ ἔπειτα σμύρναν διεὶς μύρῳ, εἰρίῳ 256 ἀναδεύσας προστιθέναι. ⁵ καὶ πίνειν δίδου ῥητίνην ἐλαίῳ διεῖσα.

LXXXII. Ἢν τὸ χορίον μὴ ὑποχωρέῃ, ² κόνυζαν τρίψας, ἐν εἰρίῳ ποιήσας πρόσθεμα, προστιθέναι· ³ καὶ [εἰς] τὴν ἴγδην οἴνῳ διατρίψας δοῦναι πιεῖν. 257

LXXXIII. Ἢν τὴν κεφαλὴν ἀλγέῃ, καὶ τὴν νειαιρὴν γαστέρα καὶ τὰς ἰξύας, ² χολὴ ἐν τῇσι μήτρῃσιν ἐστί. ³ ταύτῃ γοῦν χρὴ δοῦναι φάρμακον, ὃ καθαίρει ἄνω τε καὶ κάτω δύναται.

calida lavato & foveto, ⁷ & cupressi ramenta suffito. ⁸ Et potiones urinam cientes bibendas dato.

LXXVI. Si fluxus fiat, ² acerba suffito, ³ & stercus asini derasum, lanæ illigatum subdito. 100 ⁴ Sit autem stercus siccum.

LXXVII. Si in pudendis ulcera fiant, ² adipem bubulum illinito, & apponito, ³ & cum vino in quo myrtus cocta est colluito.

LXXVIII. Si ex partu os uterorum fuerit exulceratum, ² florem rosarum tritum & vino imbutum, in pilis leporinis apponito, ³ & acerbis colluito.

LXXIX. Si uterus doleat, ² allii caput integrum, & nitrum tostum, & cuminum terito, & 105 melle subacta subdito, ³ & calida lavetur, ⁴ & subcalidam bibat.

LXXX. Si ex fervido ac superficiario ulcere pudenda fuerint ulcerata, ² adipem bubulum, & butyrum, & anseris adipem, ac susinum unguentum misceto, & ex his pudenda illinito, ³ & aqua tepida colluito.

LXXXI. Si uteri ascendentes suffocarint, ² funiculum lucernarium accensum extinguito, ³ & naribus admoveto, quo fumum attrahat, ⁴ postea myr- 110 rham unguento dilutam, & lana exceptam apponito. ⁵ Et resinam oleo dilutam bibendam dato.

LXXXII. Si secunda non secedat, ² conyzam tritam lana exceptam apponito, ³ & ignen in vino tritam bibendam dato.

LXXXIII. Si caput doleat, & imum ventrem, & lumbos, ² bilis in uteris est. ³ Huic itaque pharmacum dare oportet, quod sursum ac deorsum purgare potest,

ναι. 4 καὶ λούειν θερμῷ. 5 καὶ προστιθέναι, ὅσα χολὴν καθαίρει. 6 καὶ ἄννησον καὶ μελάνθιον διεὶς οἴνῳ, δίδου πιεῖν.

LXXXIV. Ἢν ῥόος ἐξίζηται, 2 καρκίνους ποταμίους ἀποπνίξας ἐν οἴνῳ, τὸν οἶνον διδόναι πίνειν, 3 καὶ ὑποθυμιῆν, 4 καὶ ὅσα ξηραίνει, προστιθέναι.

LXXXV. Ἢν ῥόος ἐξίζηται, τὰ προβάτων ὀστᾶ δεσμίδα τρίψας ἐν οἴνῳ δίδου πίνειν. 3 καὶ τοῖσι ξηροῖσι καὶ τοῖσι στρυφνοῖσι χρῆσθω.

4 Ἢν ῥόος ἐξίζηται, 5 ἡμιόνου ὄνθον καύσας, καὶ κόψας λεῖον, διαττήσας τε, διεὶς οἴνῳ πιπισκέτω. 6 τοῖσι δὲ ἄλλοισι τὸν αὐτὸν τρόπον χρῆσθω. 258

7 Ἢν ῥόος ἐξίζηται, καὶ πολυχρόνιος ἤδη ᾖ, 8 σπόγγον καύσας καὶ τρίψας λεῖον, οἴνῳ διεὶς εὐώδει, πίσαι, 9 καὶ ὑποθυμιήσας ξηραίνειν, 10 καὶ προστιθέναι, ὅσα ἂν ἀποστύφῃ. 259

LXXXVI. Ἢν καθῆραι τὰς ὑστέρας βούλῃ, 2 νίτρον, κύμινον, σκόροδον, καὶ σῦκα λεῖα ποιήσας, μέλιτι δεύσας προστιθέναι, 3 καὶ θερμῷ λούεσθαι, 4 καὶ ἀπόθερμον πινέτω. 260

LXXXVII. Ἢν ἀλγῇ τὰς ὑστέρας, 2 κυκλαμίνου τὴν ῥίζαν ἐν οἴνῳ νῆστις πιπισκέτω. 3 καὶ θερμῷ λουέσθω. 4 καὶ ἀπόθερμον πινέτω.

LXXXVIII. Ἢν γάλα ἀποσβεσθῇ, 2 τὰ μὲν ἄλλα τὸν αὐτὸν τρόπον θεραπεύειν, 3 πιπισκέτω δὲ τοῦ μαράθρου τὸν καρπόν, 4 καὶ τὰς κεφαλὰς τοῦ μαράθρου ἐκλέψας, καὶ βούτυρον ἑψήσας ὁμοῦ, 5 ἐπὴν δὲ ἑφθὰ ᾖ, ψύξας δὸς πιεῖν. 6 ἀγαθὸν δὲ καὶ τὸ ἱππομάραθρον καὶ τὸ ἱπποσέλινον συνεψόμενα. 261

7 Ἢν γάλα ἀποσβεσθῇ, 8 πράσα τρίψας, διεὶς ὕδατι, δοῦναι πιεῖν. 9 καὶ θερμῷ λουέσθω. 10 καὶ τὰ πρά- 262

test, 4 & calida lavare, 5 & apponere quæ bilem purgant. 6 Et anisum ac nigellam vino diluito, & bibenda dato. 115

LXXXIV. Si fluxus oboriatur, 2 cancros fluviatiles in vino suffocato, & vinum bibendum dato, 3 & quæ siccant suffito, 4 & apponito.

LXXXV. 4 Si fluxus oboriatur, 5 muli stercus combustum, tusumque ac cribratum, vino dilutum bibat. 6 Reliquis autem eodem modo utatur. 120

7 Si fluxus oboriatur, & jam diuturnus fuerit, 8 spongiam combustam ac tritam, vino odorato dilutam, bibendam dato, 9 & per suffitus resicca, 10 & quæ restringunt appone.

LXXXVI. Si uteros purgare velis, 2 nitrum, cuminum, allium, & ficus terito, & melle subacta apponito, 3 & calida lavetur, 4 & apothermon bibat.

LXXXVII. Si uteros doleat, 2 cyclamini radicem in vino jejunæ bibendam dato: 3 & calida lavetur, 4 & apothermon bibat. 125

LXXXVIII. Si lac extinctum fuerit, 2 reliqua quidem eodem modo curato, 3 fœniculi vero semen bibendum dato, 4 & radices fœniculi decorticatas, ac butyrum simul coquito. 5 Quum autem cocta fuerint, frigefacito ac bibenda dato. 6 Commodum est etiam hippomarathrum & hipposelinum simul coctum.

7 Si lac extinctum fuerit, 8 porrum tritum, aqua dilutum bibendum præbe: 9 & calida lavetur, 10 & porrum ac brassicam edat, 11 simul coctis cy- 130

20 πράσων καὶ τῶν καρδάμων ἐσθιέτω, [11] συνεψῶσα τῆς κνύζης τὰ φύλλα, [12] καὶ τὸν χυλὸν ῥοφεέτω.

[13] Ἢν γάλα ἀποσβεσθῇ, [14] τὴν ἐλελίσφακον ἑψῶσα, καὶ τὰς κεδρίδας ἢ τὰς ἀρκευθίδας παρεμβάλλουσα, ἀποχέουσα τὸν χυλὸν, καὶ οἶνον ἐπιχέουσα, πινέτω. [15] ἐς τὰ λοιπὰ ἄλευρον ἐμβάλλουσα, καὶ βολβὸν, ἔλαιον μικρὸν ἐπιχέουσα, ἐσθιέτω. [16] καὶ τῶν δριμέων, καὶ τῶν ὀξέων, καὶ [τῶν] ἁλμυ-25 ρῶν, καὶ ὠμῶν λαχάνων, πάντων ἀπεχέσθω. [17] τὸ δὲ κάρδαμον ἐν οἴνῳ πινόμενον, ἀγαθόν, [18] καὶ γὰρ τὸ γάλα καθαίρει. [19] καὶ θερμῷ λούεσθαι, [20] καὶ ἀπόθερμον πινέτω.

LXXXIX. Ἢν βούλῃ γυναῖκα κυῆσαι, [2] καθῆραι αὐτὴν, καὶ τὰς μήτρας. [3] ἔπειτα [4] διδοῦ τὸ ἄλητον 263 ἐσθίειν νῆστιν [4] καὶ οἶνον ἐπιπίνειν ἄκρητον. [5] καὶ προστιθέναι νίτρον ἐρυθρὸν, [6] [ἢ] κύμινον καὶ ῥητίνην μέλιτι δεύσας ἐν ὀθονίῳ προσθεὶς. [7] καὶ ὁκόταν τὸ ὕδωρ ἀποῤῥυῇ, τὰς μελαίνας πεσσοὺς προστιθέσθω μαλθακτηρίους, [8] καὶ τῷ ἀνδρὶ ξυνευνάσθω. 264

30 [9] Ἢν βούλῃ ἔγκυον ποιῆσαι γυναῖκα, [10] καθήρας αὐτὴν καὶ τὰς μήτρας, [11] προστιθέναι τῇσι μήτρῃσι ῥάκος, καὶ ξηράνας ὡς λεπτότατον καὶ μέλιτι δεύσας, καὶ βαλάνους ποιήσας, [12] ἀποβάπτων ἐς ὀπὸν συκῆς, προστιθέναι μέχρις 265 οὗ ἀναστομωθῇ. [13] ἔπειτα δὲ μᾶλλον ἐσωθεῖν. [14] ἐπειδὰν δὲ ἀποῤῥυῇ τὸ ὕδωρ, διανιζομένη οἴνῳ καὶ ἐλαίῳ, συνευδέτω τῷ ἀνδρί. [15] πινέτω δὲ καὶ, ὁκόταν μέλλῃ καθεύδειν, γλήχωνα ἐπὶ κεδρίνῳ οἴνῳ.

XC. Ἔκβολον ἐμβρύων καὶ ὑστε- 266 35 ρίων. [2] σικύης ἀγρίης τοῦ ὀποῦ ὅσον πόσιν [3] ἐς μάζαν ἐμπλάσσουσα 267 προστιθέναι, [4] καὶ ἣν ἐν δυσὶν ἐπὶ

δύο

tisi foliis, [12] & succum sorbeat.

[13] Si lac extinctum fuerit, [14] salviam, cedri aut juniperi baccis adjectis coquat, & ad diffusum succum, vinum affundat ac bibat, [15] & ad cætera farina inspersa additoque bulbo, & modico oleo affuso, edat. [16] Et acria, & acida, & salsa, ac cruda olera omnia vitet. [17] Nasturtium vero in vino potum commodum est ([18] nam lac purgat) [19] & calida lavetur, [20] & apothermon bibat.

LXXXIX. Si velis mulierem prægnantem fieri, [2] ipsam & uteros purgato. [3] postea farinam jejunæ edendam dato, [4] & vinum meracum insuper bibendum: [5] & nitrum rubrum, [6] cuminum, ac resinam, melle subacta in linteo subdito, [7] & ubi aqua defluxerit, nigros pessos mollitorios apponat, [8] & cum viro dormiat.

[9] Si prægnantem facere voles mulierem, [10] ipsam & uteros purgato. [11] Deinde linteum tenuissimum resiccatum, ac melle imbutum in glandes efformato, [12] & in fici succo tinctas apponito, donec fuerint aperti. [13] Postea vero magis intrudito. [14] Ubi autem defluxerit aqua, vino & oleo colluta cum viro dormiat. [15] Bibat autem & pulegium in vino cedrino, quum viro condormire volet.

XC. Medicamentum fœtum ex uteris pellens. [2] Cucumeris sylvestris succum potionis mensura, in mazam conspertum apponito, [3] ubi ad duos dies antea

tea

δύο ἡμέρης. ⁴ σταφίδος ἀγρίης ὅσον δύο δραχμίδας, διεὶς ἐν μελικρήτῳ, δὸς πιεῖν.

XCI. Πειρητήριον. ² μώλυζαν σκορόδου ἀποξύσας προσθεῖναι πρὸς τὰς μήτρας. ³ τῇ δ' ὑστεραίῃ τὸν δάκτυλον διεῖσα καὶ ἐπαφάσσουσα σκοπείτω. ⁴ καὶ ἢν μὲν ὄζῃ τὸ στόμα, [illegible] εἰ δ' οὔ, πάλιν προστίθεσθαι. ⁵ Ἕτερον πειρητήριον. ⁶ νέτωπον ὀλίγον ἐν εἰρίῳ εἱλίξας προσθεῖναι, καὶ ὁρᾶν, ὄζει ἀπὸ τοῦ στόματος ἢ οὔ.

XCII. Προσθετά. ² σκορπίου θαλασσίου τὴν χολὴν ἐς εἴριον ἐνειλίξας καὶ ξηράνας ἐν σκιῇ, προστιθ. ³ Γλήχωνα ξηρὸν λεῖον ποιήσας, μέλιτι δεύσας, προστιθέναι ἐν εἰρίῳ. ⁴ σικύος ἀγρίου σπέρμα καὶ ὄστρακον κεκαυμένον, οἴνῳ δεύσας, ἐν λαγωοῦ θριξὶν, ἐν εἰρίῳ προστιθέναι. ⁵ στυπτηρίην αἰγυπτίην εἰρίῳ περιπλίξας, προστιθ. ⁶ κανθαρίδας τρίψας, οἴνῳ δεύσας, ἐν εἰρίῳ προστιθ. ⁷ τὴν ἀρτεμισίην ποίην, οἴνῳ δεύσας, προστιθ. ⁸ μελάνθιον τρίψας ἐν οἴνῳ λευκῷ, [ἐν] εἰρίῳ προστιθ.

XCIII. Νεοτόκῳ πειρητήριον. ² ῥόδινον μύρον καὶ κηρὸν ἐν εἰρίῳ προστιθ. ³ βολβίον τὸ ἐκ τῶν πυρῶν τρίψας, ἐν οἴνῳ δεύσας, ἐν εἰρίῳ προστιθ. ⁴ οἴνου λευκοῦ παλαιοῦ τὴν τρύγα κατακαύσας καὶ κατασβέσας ἐν οἴνῳ λευκῷ, καὶ τρίψας, [illegible] προστιθ. ⁵ χαλβάνην καὶ νέτωπον καὶ μίσυ ἐν ῥοδίνῳ μύρῳ, ἐν ὀθονίῳ προστιθ. ⁶ ἐλατήριον ὡς δύο πόσιας καὶ κηρίον ἐν οἴνῳ, ἐν ὀθονίῳ προστιθ. ⁷ βούτυρον καὶ στυπτηρίην, μέλιτι δεύσας, ἐν ὀθονίῳ προστιθ. ⁸ ὀπὸν σκαμμωνίης καὶ στέαρ ἐν μάζῃ συναναμί-ξας

tea jejunavit. ⁴ Aliud. Staphidis sylvestris pugillos duos, in aqua mulsa dilutos, bibendos dato.

XCI. Experimentum fœcunditatis. ² Caput allii integrum derasum uteris apponito. ³ Postridie vero digitum immittat, ac contingens consideret: ⁴ & siquidem oluerit inde os, bene habet: sin minus, rursum apponat. ⁵ Aliud experimentum. ⁶ Netopum modicum in lana involutum apponat, & consideret an per os oleat.

XCII. Alia subdititia medicamenta. ² Scorpii marini fel, in lana involutum, & in umbra siccatum apponito. ³ Pulegium siccum tritum, melle imbutum in lana apponito. ⁴ Cucumeris sylvestris semen, & testam combustam, vino subactam, cum pilis leporinis, in lana subdito. ⁵ Alumen ægyptium, lana involutum apponito. ⁶ Cantharidas vino subactas, in lana subdito. ⁷ Herbam artemisiam vino subactam apponito. ⁸ Nigellam in vino tritam, in lana subdito.

XCIII. Aliud ad recens enixam. ² Unguentum rosaceum & ceram, in lana apponito. ³ Bulbion ex tritico, tritum & vino subactum in lana subdito. ⁴ Vini albi veteris fecem combustam, & vino albo extinctam ac tritam, in lana apponito. ⁵ Galbanum, netopum, & misy, cum unguento rosaceo, in linteo apponito. ⁶ Elaterii potiones duas, & favum cum vino, in linteo apponito ⁷ Butyrum & alumen melle subactum, in linteo subdito. ⁸ Scammoniæ succum, & adipem, cum maza misceto; & vino imbu-

ξας, οἴνῳ διδοὺς, ἐν ὀθονίῳ προστιθέσθω. [9] Ἢν μὴ θέλῃς κυΐσκεσθαι, μίσυος ὅσον κύαμον διεὶς ὕδατι δίδου πίνειν, καὶ ἐνιαυτὸν οὐ κυήσεται. 276

XCIV. [1] Ἢν βούλῃ γυναικὸς 277 εἰ πειρηθῆναι, εἰ ἐν γαστρὶ ἔχει, εἴτε καὶ μὴ, [2] τῇ ἐρυθρῇ λίθῳ τοὺς ὀφθαλμοὺς ὑπαλεῖψαι. [3] καὶ, ἢν μὲν ἐσέλθῃ τὸ φάρμακον, παιδεύσεται· ἢν δὲ μὴ, οὔ.

5 XCV. [1] Ἢν παιδευομένῃ ἀφθήσῃ 278 τὰ αἰδοῖα, [2] ἀμύγδαλα λεῖα τρίψας, καὶ βοὸς μυελὸν ἐν ὕδατι ἑψῶν, καὶ ἄλητον ἐμβαλὼν μικρὸν, διαχρίειν τὰ αἰδοῖα· [3] καὶ διακλύζειν τῷ ὕδατι τῷ ἀπὸ τῶν μύρτων.

XCVI. [1] Ἢν παρθένος λιθιήσῃ, 279 [2] τὸ φύλλον διδόναι τῆς αἰθιοπικῆς ῥίζης ἐν σταθμῷ, ἐν οἴνῳ παλαιῷ διδοὺς ἐπὶ ἡμέρας δέκα, [3] τὸ δὲ λοιπὸν διδοῦν ἐν ὕδατι ἐπὶ εἴκοσιν ἡμέρας. [4] καὶ λοῦν δὶς τῆς ἡμέρης πολλῷ καὶ θερμῷ.

XCVII. Καταπλάσματα. [2] σκόροδον, ἀνδράχνην, σέλινον, λωτοῦ καὶ 280 κέδρου πρίσματα, λεῖα ὁμοῦ μίξας, διεὶς μελικρήτῳ, κατάπλασμα ποιέων, καταπλάσσειν. [3] βάτου φύλλα, μυρσίνης φύλλα, ὁμοῦ λεῖα, διεὶς μελικρήτῳ, ξυμφυρήσας ἀλφίτοις καταπλάσσειν. [4] ἀκτῆς φύλλα, τερμινθίνης τὰ ἁπαλώτατα, τὸν αὐτὸν τρόπον καταπλάσσειν. [5] λωτοῦ πρίσματα, συκαμίνου φύλλα, ὁμοῦ λεῖα μίξας, διεὶς ὕδατι ἀσταφίδος καταπλάσσειν. 281

XCVIII. Ὑποθυμιήσιες. [2] οἰσύπην αἰγὸς ξηρὰν [καὶ] κέρας, καὶ κριθὰς πεφωσμένας καὶ ἐρικτὰς, ἐν ἐλαίῳ δεύσας, ὑποθυμιᾶν. 282 [3] ἐλάφου κέρας, καὶ ἐλαίας τὰς μήπω ἐχούσας ἔλαιον, ὁμοῦ λεῖα μίξας, θυμιᾶν. [4] ῥοῦν τὴν ἐρυθρὴν 283

imbuta, in linteo apponito. [9] Si concipere nolit, misyos fabæ magnitudinem aqua dilutam bibendam dato, & per annum non concipiet.

XCIV. Si periculum facere velis in muliere, an prægnans sit aut non, [2] rubro lapide sive terra erythrea oculos sublinito. [3] Et siquidem ingrediatur pharmacum, prægnans est: sin minus, non.

XCV. Si prægnanti pudenda fervido & superficiario ulcere fuerint exulcerata, [2] amygdala trita, & medullam bubulam in aqua coquito, & modica farina adjecta, pudenda illinito; [3] & baccarum myrti decocto colluito.

XCVI. Si virgo ex lapide laborarit, [2] semen radicis æthiopicæ in vino veteri ad dies decem dato. [3] Deinde in aqua ad dies viginti, [4] & bis in die, multa calida lavato. 170

XCVII. Cataplasmata. [2] Allium, portulacam, apium, loti, & cedri ramenta, trita simul mixta aqua mulsa diluito, & cataplasma hinc factum imponito. [3] Rubi folia, myrti folia, simul trita aqua mulsa diluito, & polenta ammixta subacta imponito. [4] Sambuci folia, myrti folia, terebinthi folia tenerrima, eodem modo apponito. [5] Loti ramenta, mori folia, simul trita mixta, aqua diluta, cum uva passa imponito. 175

XCVIII. Suffitus. [2] Oviculæ aut capræ cornu rusum, & hordeum tostum ac fresum, oleo subigito, ac suffito. [3] Cervi cornu, & olivas nondum habentes oleum, simul trita mixta suffito. [4] Rhoem rubrum, & polentam tostam,

θρίων καὶ ἄλφιτα πεφωσμένα ἐλαίῳ δεύσας ὑποθυμιᾶν. [5] ἄλφιτον καὶ βόλβιτον καὶ ἄχυρα [κεθῶν,] 284 ἐλαίῳ δεύσας, ὑποθυμιᾶν. [6] λωτοῦ πρίσματα, οἴνῳ μέλανι δεύσας αὐστηρῷ, ὑποθυμιῆν. [7] χαλβάνην, μάνναν, ῥητίνην, μύρῳ δεύσας, 285 ὑποθυμιῆν. [8] αἰγὸς κέρας, καὶ κηκίδα, καὶ στέαρ ὑὸς, καὶ κέδρελαιον, 286 ὑποθυμιᾶν. [9] ὄνων τῶν ἐπὶ τοῖς ποσὶ γῆν ξύσας, καὶ ὀνίδας οἴνῳ μέλανι δεύσας, ὑποθυμιῆν.

XCIX. Κλυσμοί. [2] μυρσίνης 287 φύλλα, καὶ δάφνης, καὶ κισσοῦ, ἐν ὕδατι χλιαρῷ κλύζειν. [3] ῥοῦ φύλλα, καὶ ῥοιῆς, καὶ βάτου, ἐν μελικρήτῳ 288 ἀφεψῶν, ἀποχέας κλύζειν. [4] τῆς ἀκτῆς τὰ φύλλα, καὶ σχίνου ἀφεψῶν 289 ὕδατι, ἀποχέας, ἀκροχλιαρῷ κλύζειν. [5] μαράθρου ῥίζαν κόψας, ἐν ὕδατι ἀφεψῶν, καὶ κράμβης, ἐπιχέας ἔλαιον, ἔπειτα ἀποχέας κλύζειν. [6] οἰνάνθην, καὶ κύπερον, καὶ ἀσταφίδας ἀφεψῶν ἐν μελικρήτῳ κλύζειν.

C. Μαλάχην ἐν ὕδατι ζέσας, ἀποχέας τὸ ὕδωρ, ἀκροχλιαρὸν 290 κλύζειν. [2] κυπαρίσσου πρίσματα καὶ ἀμάρακον ἐν γλυκεῖ κεκρημένῳ ὕδατι ἀφεψῶν κλύζειν. [3] ἕρπυλλον καὶ λευκοίου τὴν ῥίζαν ἀφεψῶν 291 ἐν μελικρήτῳ κλύζειν. [4] Ὑπερικὸν, καὶ σχῖνον, καὶ κεδρίδας, ἐν ὕδατι ἀφεψῶν, ἀκροχλιαρὸν κλύζειν. [5] κηρίον, καὶ βούτυρον, καὶ ῥητίνην, καὶ χηνὸς ἔλαιον, ἐν ὕδατι ἀφεψῶν, κλύζειν.

CI. Πυριήσεις. [2] αἴρας φώξας καὶ καταλέσας, ἕψε ἐν ὀξυκράτῳ ἀκρατεστέρῳ. ὁκόταν δὲ ἑψήσῃς, ἐνδήσας εἰς ὀθόνιον, πυριῆν. 292 [3] φακὸς φώξας, καὶ περιπτίσας, καὶ ποιήσας ἄλευρα χονδρώδη, ὕδατι 293 ἀφεψή-

tostam, oleo subigito, ac suffito. [5] Polentam & stercus bubulum, & paleas, oleo subigito ac suffito. [6] Loti ramenta, & rhois 180 folia, & cupressi siccæ ramenta, vino nigro austero subacta suffito. [7] Galbanum, mannam, & resinam, unguento subacta suffito. [8] Capræ cornu, & gallam, & adipem suillum, ac cedriam suffito. [9] Terram ex asinorum pedibus deradito, & stercus asininum, cum 185 vino nigro subigito, ac suffito.

XCIX. Collutiones. [2] Folia myrti, & lauri, & hederæ in aqua coquito, & cum hac tepida colluito. [3] Rhois, & mali pu- 185 nicæ, ac rubri folia, in aqua mulsa coquito, & cum ea excolata colluito. [4] Sambuci & lentisci folia in aqua coquito, & excolatam leviter tepidam infundito. [5] Fœniculi & brassicæ radices tusas in aqua coquito, oleo affuso, & postea cum excolata colluito. [6] Oenanthen, & cyperum, & uvas passas, in aqua mulsa coquito, ac colluito.

C. Malagmata. Malvam & fœnograecum in aqua fervefacito, 190 & cum excolata aqua leviter tepida colluito. [2] Cupressi ramenta & amaracum, in passo aqua temperato coquito, ac colluito. [3] Serpyllum & violæ albæ radicem, in aqua mulsa coquito, ac colluito. [4] Hypericum, & lentiscum, & baccas cedri in aqua coquito, & cum leviter tepida colluito. [5] Favum, & butyrum, & resinam, & adipem anserinum, in aqua coquito, & colluito.

CI. Fomenta. [2] Lolium tostum ac molitum, in posca meraciore coquito. Postquam autem coxeris, linteo illigato, & 195 foveto. [3] Lentem tostam, decorticatam, & in farinam crassiorem

ἀφεψήσας, ἐνδήσας ἐς ὀθόνιον, προστιθέναι. ⁴ ὀρόβους, τὸν αὐτὸν τρόπον ποιέων, πυριῆν. ⁵ ἀγαθὸν δὲ καὶ ὁ ἐλελίσφακος, τὸν αὐτὸν τρόπον γινόμενος. ⁶ ἐλελίσφακον καὶ ὑπερικὸν ἀφεψῶν ἐν ὕδατι, ἐν τῷ ἀφεψήματι ἄχυρα κριθῶν ἑψήσας, ἐς ὀθόνιον [ἐνδήσας] πυρίαν. ⁷ λωτοῦ πρίσματα καὶ κυπαρίσσου ἀφεψῶν ἐν ἀσταφίδος ἀποβρέγματι, ἐνδήσας ἐς ὀθόνιον, πυρίαν. ⁸ ἐλαίης φύλλα, καὶ μυρσίνης, καὶ κισσοῦ, καὶ δάφνης, ἕψων ἐν ὕδατι, ἀποχέας τὸ ἀφέψημα ἕψε ἐν αὐτῷ ἄχυρα κριθῶν· ἔπειτα ἐνδήσας ἐς ὀθόνιον, πυρίαν. ⁹ κυπαρίσσου πρίσματα, καὶ κέδρου, καὶ πίτυρα κριθῶν, ὁμοῦ μίξας ἐν ἀποβρέγματι ἀσταφίδος, φυρήσας καὶ ποιήσας ἄρτον, ὀπτήσας, θερμὸν ἐς ῥάκος ἐνδήσας, πυρίαν. ¹⁰ λευκοΐου τὸν καρπὸν ἢ τὰς ῥίζας ἀφεψήσας ὕδατι, καὶ τῷ ὕδατι φυρήσας πίτυρα κριθῶν, ἄρτον ὀπτήσας, θερμὸν ἐς ῥάκος ἐνειλίξας, πυρίαν. ¹¹ τὸ ἕρπυλλον ἐν ὕδατι ἀφεψήσας, τῷ ἀφεψήματι πίτυρα πύρινα ἐμβαλὼν, τὸν αὐτὸν τρόπον πυρίαν. ¹² σπόγγοις θερμαίνων καὶ προστιθεὶς, καὶ εἰρίοισι μαλθακοῖσι, καὶ ῥακίοισιν εἰρινέοισι, καὶ ὀστρακίοισιν ἀγγείοισιν ὕδωρ ἐπιχέων, καὶ θυλακίοισι τὸν αὐτὸν τρόπον, καὶ τὰ ἀφεψήματα ἐγχέων, πυριῆν.

CII. Καθαρτήριον. ² Ἢν γυναῖκα, μὴ δυναμένην τεκεῖν, κυῆσαι θέλῃς ποιῆσαι, ³ σκέψασθαι χρὴ ἐν τοῖσι καταμηνίοισιν, ἢν τε χολώδης, ἤν τε φλεγματώδης ᾖ. ⁴ γνώσῃ δὲ τόδε τῷ τρόπῳ. ⁵ ψάμμον ἐμβαλὼν ἐς τὸν ἥλιον λεπτὴν [καὶ] ξηρὴν, ὁκόταν τὰ καταμήνια γίνωνται, ἐν τῷ ἡλίῳ, ἀποχέας τοῦ αἵματος, ἐᾶν ξηρανθῆναι. ⁶ καὶ, ἢν μὲν

fiorem alicui similem redactam, in aqua coquito, & linteo illigato, ac foveto. ⁴ Ervum eodem modo parato, ac foveto. ⁵ Commoda est & salvia eodem modo parata. ⁶ Salviam & hypericum in aqua coquito, & hordei paleis in decocto coctis, & linteo exceptis, foveto. ⁷ Loti & cupressi ramenta in uvæ passæ cremore coquito, linteoque ipsa illigato, ac foveto. ⁸ Oleæ, & myrti, & hederæ, ac lauri folia, in aqua coquito, & in decocto, hordei paleas coquito: deinde linteo illigato, ac foveto. ⁹ Cupressi ramenta & cedri, & hordei furfures, simul misceto, & in uvæ passæ cremore subigito, ac panem formato, & cum hoc assato, calido in linteum illigato, foveto. ¹⁰ Violæ albæ semen, aut radices, in aqua coquito, & cum aqua furfures tritici subigito, & panem formato, cum quo calido in linteum involuto, foveto. ¹¹ Serpillum in aqua coquito, & furfure triticeo in aquam conjecto, eodem modo foveto. ¹² Spongias calefacito, & adhibeto, & cum mollibus lanis, & pannicul is laneis, & vasis testaceis aqua infusa, & utriculis eodem modo, & decoctionibus in utres infusis, foveto.

CII. Purgatorium. ² Si mulierem parere non potentem, facere velis ut prægnans fiat, ³ considerare oportet in mensibus, an biliosa aut pituitosa sit. ⁴ Cognosces autem hoc, ⁵ arena tenui sicca ad solem conspersa, & quum menses prodierint, sanguine super arenam in sole effuso, ita ut ipsum siccari sinas. ⁶ Si enim

μὲν biliosa

μὲν χολώδης ᾖ, ἐπὶ τῇ ψάμμῳ ξηραινόμενον τὸ αἷμα, χλωρὸν γίνεται. ⁷ ἢν δὲ φλεγματώδης, οἷον μύξα. ⁸ τουτέων δὲ, ὁκότερον ἂν ᾖ, καθήρας τὴν κοιλίην, ἤν τε ἄνω, ἤν τε κάτω δοκέῃ σοι δεῖσθαι. ⁹ αὖτις, διαλιπὼν ἡμέρας ὀλίγας, τὰς ὑστέρας καθαίρειν.

CIII. Ὑστερέων πυρίαι. ² Ἢν σκληραὶ ἔωσιν αἱ ὑστέραι, καὶ μὴ κυΐσκηται, ³ οἶνον ὡς ἥδιστον ἴσον ἴσῳ κεράσας, ὅσον τρία ἡμιχόεα Ἀττικὰ, καὶ μαράθου ῥίζας, καὶ τοῦ καρποῦ τοῦ μαράθου τεταρτημόριον, καὶ ῥοδίνου ἀλείμματος ἡμικοτύλιον. ⁴ ταῦτα ἐγχέας ἐς χύτρην καινὸν, καὶ τὸν οἶνον ἐπιχέας, ⁵ τὸ δὲ ἐπίθημα τρυπήσας τὸ ἐπίθημα, καὶ ἐνθεὶς κάλαμον, πυριῆν. ⁶ τὸν δὲ κάλαμον σὺν τῷ ἐπιθήματι ἀφαιρέεσθαι. ⁷ ἢν γὰρ ἄνευ τοῦ ἐπιθήματος ἀφαιρέῃς, καυθήσεται. ⁸ ἐπὴν δὲ πυριηθῇ, τὴν σκίλλαν προστιθέναι, ὡς κάτω γέγραπται. ⁹ προστιθέναι δὲ, ἕως ἂν φῇ μαλακὸν εἶναι τὸ στόμα καὶ εὐρύ. ¹⁰ καὶ ἢν μὲν ἑλκωθῇ, καὶ φλυκταίνας ἴσχῃ ἐν τῇ καθάρσει, ἢν μὲν ἄκρα τὰ χείλεα ἑλκωθῇ, ἄννησον καὶ χηνὸς στέαρ ἐν ῥοδίνῳ ἐλαίῳ τρίψας, ἐς εἴριον ἐνελίξας, ¹¹ κρέας βοὸς λαβὼν παχύτερον τοῦ μεγάλου δακτύλου ποδὸς, μῆκος δὲ ἓξ δακτύλων, ¹² χρίσας τῷ φαρμάκῳ, περιελίξας τῷ εἰρίῳ, τὸ φάρμακον ἀναποστρέψας, τὸ ἔσχατον τοῦ κρέως, ὃ μέλλει ἔξω εἶναι, λίνῳ δῆσαι, ¹³ ἔνθες τὸ ψιλὸν τοῦ κρέως ἐς τὰς μήτρας, οὗ ἂν τὸ ἕλκος ᾖ.

CIV. Γυναικείων καθαρτήρια. ² Ἢν μὴ προΐῃ ἡ κάθαρσις, ³ λαβὼν σικύης ἐντεριώνην ὅσον τριώβολον, καὶ ἀρτεμισίην ποίην, καὶ

λιβα-

biliosa fuerit, sanguis super arenam siccatus, pallidus fit: ⁷ Si vero pituitosa, velut mucus existit). ⁸ Horum igitur utrum tandem fuerit, ventrem purgato, sive sursum sive deorsum purgatione opus habere visa tibi fuerit: ⁹ postea paucis diebus interpositis, uteros purgato.

CIII. Uterorum fomenta. ² Si duri fuerint uteri, & non concipiat, ³ vinum quam jucundissimum cum pari aqua temperatum, trium semicongiorum atticorum mensura, & fœniculi radices, & seminis fœniculi quartam partem, & unguenti rosacei semiheminam. ⁴ Hæc in vas novum fundito, & vinum affundito: ⁵ Vasis autem operculum perforato, & imposita arundine foveto. ⁶ Arundinem vero cum operculo tollito. ⁷ Si enim sine operculo abstuleris, exuretur. ⁸ Postquam autem fota fuerit, scillam apponito, velut infra scriptum est. ⁹ Apponito autem donec dixerit molle & amplum esse uterorum osculum. ¹⁰ Et siquidem exulcerata fuerit, & pustulæ in purgatione fuerint, si summa labia exulcerata fuerint, anisum, & adipem anserinum, in rosaceo oleo terito, & in lana involvito, ¹¹ & accepta carne bubula, magno pedis digito crassiore, sex digitorum longitudine, ¹² ipsam pharmaco illinito, & lana exceptam involvito, & ad extremam carnis partem quæ foras spectat filum alligato, ¹³ & reliquam in uteros indito, ubi est ulcus.

CIV. Mensium purgatoria. ² Si non procedat menstrua purgatio, ³ cucumeris sylvestris internam partem pondere trium obolorum, & artemisiam herbam,

λιβανωτοῦ ὀβολὸν τρίψας, ἐν μέλιτι μίξας, ἐν εἰρίῳ ἐνελίξας, προσθεὶς πρὸς τὸ στόμα τῆς μήτρης, τῆς ἡμέρης πεντάκις τοῦτο ποιῶν. 4 τὸ ἀμπέλιον, τρίψαι χλωρὸν ἐν μέλιτι, καὶ ἐν εἰρίῳ ἐνελίξας, προσθεῖναι τὸν αὐτὸν τρόπον. 5 τῆς κυπαρίσσου τὸν καρπὸν, καὶ σικυώνης ἐντεριώνης, καὶ λιβανωτὸν τρίψας ἐν τῷ αὐτῷ μέλιτι, ἐνελίξας ἐν εἰρίῳ, προσθεὶς τὸν αὐτὸν τρόπον. 6 τῆς κυπαρίσσου τὸν καρπὸν, καὶ λιβανωτὸν τρίψας ἐν τῷ αὐτῷ μέλιτι, ἐνελίξας ἐν εἰρίῳ, προσθεὶς. 7 ἀβρότονον ὅσον τριόβολον τρίψας ἐν μέλιτι, ἐς εἴριον ἐνελίξας, προστιθέναι. 8 ἐλατηρίου ὀβολὸν, καὶ σμύρνης ὀβολὸν τρίψας [ἐν] μέλιτι καὶ ἐς εἴριον ἐνελίξας, προστίθει.

CV. Ἢν γυνὴ μὴ κυίσκηται, καθαρτήριον. 1 ταύρου οὖρον ξυλλέξαι ὅσον τρεῖς κοτύλας· ἔπειτα λαβὼν ἀρτεμισίην ποίην, ἢ παρθένιον, ἢ ἀδίαντον, καὶ δάφνην χλωρὴν, καὶ κέδρου πρίσματα, κόψειν λεῖα ἐν ὅλμῳ. 3 εἶτα ὀρύξας βόθρον, ἐγκαύσας τε ἄνθρακας, καὶ ἐπιθεὶς χύτρην, ἐγχέαι τὸ οὖρον τοῦ ταύρου, καὶ ἐμβάλλειν τὰ κεκομμένα ἐν ὅλμῳ. 4 ἔπειτα περιθεὶς δίφρον, ἐπιθεὶς τῆς ἀρτεμισίης ποίης, ἢ ὑσσώπου, ἢ ὀριγάνου. 5 εἶτα ἐπικαθίσας τὴν γυναῖκα πυριῆσαι, ἕως ἂν ἱδρώσῃ. 6 ὅταν δὲ ἱδρώσῃ, λοῦσαι θερμῷ. 7 ἐς δὲ τὸ λουτρὸν ἐμβάλλειν τὴν ἀρτεμισίην καὶ δάφνην. 8 εἶτα πρόσθετον ποιήσαι, ἢ ἀρτεμισίην ἢ βόλβιον ἐν οἴνῳ λευκῷ τρίψας, εἰρίῳ ἐνελίξας, προστιθέτω. 9 ταῦτα ποιέειν ἐφ' ἡμέρας τρεῖς. 10 εἶτα κοιμᾶσθαι παρ' ἀνδρί. 11 Πρόσθετον κυητήριον. ἐκ νίτρου καὶ λιβανωτοῦ βάλανον ποιήσας ἐν μέλιτι, προσθεῖς. 12 πρόσθετον καθαρ-

bam, & thuris obolum terito, & ammixto melle in lana involvito, & ad os uteri apponito, quinquies in die hoc faciens. Aliud. 4 Vitem viridem terito, & melle ammixto lana excipito, & eodem modo apponito. 5 Aliud. Cupressi fructum, & cucumeris sylvestris internam partem, & thus, terito, & melle ammixto lana excipito, & eodem modo subdito. 6 Aliud. Cupressi fructum & thus terito, & melle ammixto lana excipito, ac subdito. 7 Aliud. Abrotoni obolos tres, cum melle lana excipe ac subde. 8 Aliud. Elaterii obolum, & myrrhæ obolum terito, & cum melle lanæ involvito, ac subdito.

CV. Purgatorium, si mulier non concipiat. 1 Tauri urinam collige trium heminarum mensura. Deinde artemisiam herbam, aut parthenium, aut adiantum, & laurum viridem, & cedri ramenta simul contunde. 3 Deinde in effossa scrobe carbones accende, & imposita olla urinam tauri infunde, & contusa in mortario adjice: 4 postea, sellam circumpone, & artemisiam herbam, aut hyssopum, aut origanum impone, 5 & muliere super hæc collocata, donec sudet fove. 6 Ubi vero sudarit, lava cum calida, 7 & in lavacrum artemisiam & laurum immitte. 8 Deinde subditicium medicamentum adhibe. Aut artemisiam, aut bulbium in vino albo tritum lanæ involutum subdat. 9 Hæc ad tres dies faciat, 10 & deinde cum viro dormiat. 11 Subditicium pharmacum ad conceptum faciens. Ex nitro & thure, cum melle glandem formato, & apponito. 12 Aliud, purgatorium molliens. Cari-

καθαρτήριον μαλθακτικόν. ἰσχάδα λαβὼν ἑψήσας, ἕως ἂν τὰς κεγχραμίδας ἀποβάλλῃ, τοῦτο ἀποπιέσας ὡς λεπτότατον, προσθέσθω ἐν ἐρίῳ καὶ ῥοδίνῳ μύρῳ. 13 Ἕτερον δριμύτερον. κράμβης, πηγάνου, ἑκατέρου ἴσον, τρίψας, χρῶ τὸν αὐτὸν τρόπον. 14 Ἕτερον πρόσθετον μαλθακτικόν τε καὶ καθαρτήριον. χηνὸς μυελὸν, ἢ βοὸς, ἢ ἐλάφου, ὅσον κύαμον, παραχέοντα μύρου ῥοδίνου καὶ γάλα γυναικὸς τρίβειν, ὥσπερ τὸ μαλθακὸν φάρμακον τρίβεται· εἶτα ὑπαλείφειν ἐκ τούτου τὸ στόμα τῆς μήτρης. 15 Ἕτερον χλιαρὸν καθαρτήριον. χηνὸς μυελὸν ὅσον κύαμον, ῥητίνης σχινίνης ἢ τερεβινθίνης ὅσον κάρυον. ταῦτα τήξας ἐν μύρῳ ῥοδίνῳ ἐπὶ πυρὸς μαλθακοῦ, καὶ ποιήσας ὥσπερ κηρωτὴν, εἶτα τούτῳ χλιαρῷ ἐναλείφειν τὸ στόμα τῆς μήτρης, καὶ τὸν κτένα καταβρέχειν. 16 Καθαιρετικὸν καθάρσιος καὶ σταλτικόν. γλυκυσίδης κόκκους ἐρυθροὺς τρεῖς ἢ τέσσαρας, τούτους τρίβοντα ἐν οἴνῳ δοῦναι πιεῖν. 17 ἢν δὲ μᾶλλον καθαιρεῖσθαι θέλῃς, τῶν μελάνων κόκκων τῆς γλυκυσίδης τρίψας, τὸν αὐτὸν τρόπον δὸς πιεῖν. 18 Ἕτερον καθαρτήριον καὶ καθαιρετικόν. δαφνίδας εἴκοσι τὰς πλείστας, καὶ σεσέλιος ἥμισυ ὀξυβάφου, τρίψας μετ' οἴνου, πινέτω. 19 ταύρου χολὴν ὅσον τρία ἡμιωβόλια ἀττικὰ τρίψας, ἐν οἴνῳ δοῦναι πιεῖν νήστει. 20 καὶ περιπλάσσων καταπότια δίδου. 21 [Πρόσθετον καθαρτικόν.] ἄλευρον σιτάνιον, σμύρνης ὅσον τριώβολον, κρόκου τὸ ἴσον, καστορίου ὀβολὸν, ταῦτα τρίψαντα μύρῳ ῥοδίνῳ, προστιθέσθω. 22 Ἕτερον καθαρτικόν. κνίδης καρπὸν καὶ μαλάχης χυλὸν, ἐν στέατι χηνὸς τρίψαντα, προσθεῖναι. 23

Ἢν

Caricam coquito donec granula abjiciat, & hanc expressam levissime tritam in lana cum rosaceo unguento appo- nat. 13 Aliud acrius. Brassicæ, rutæ, pares portiones tere, ac utere eodem modo. 14 Aliud molle & purgatorium. Medullam anseris, aut bovis, aut cervi, magnitudine fabæ, affuso unguento rosaceo & lacte muliebri terito, velut molle pharmacum teri solet. Deinde ex hoc os uteri illinito. 15 Aliud tepidum purgatorium. Anseris medullam magnitudine nucis, resinæ lentissimæ aut terebinthinæ magnitudinem nucis: Hæc in unguento rosaceo ad lentum ignem liquefacito, & velut ceratum facito, & deinde ex hoc tepide os uteri illinito, & pectinem madefacito. 16 Aliud, detrahens purgationem & sistens. Pæoniæ grana nigra aut rubra, tria aut quatuor in vino trita bibenda dato. 17 Si vero magis detrahere voles, grana nigra eodem modo trita bibendo præbeto. 18 Aliud purgans ac detrahens. Lauri baccas ad summum viginti, & seselis dimidium acetabulum, cum vino trita bibat. 19 Aliud. Tauri fel trium dimidiorum obolorum atticorum pondere, in vino jejunæ bibendum dato. 20 Et efformata quoque ex ipso catapotia devoranda dato. 21 Aliud. Farinam recentem, myrrhæ obolos tres, croci tantundem, castorii obolum: hæc cum unguento rosaceo trita apponat. 22 Aliud purgatorium. Semen urticæ, & malvæ succum, cum adipe anserino tritum subdat. 23 Aliud. Si

non

Ἢν μὴ καθαρθῇ ἐκ τόκου, τῆς πάλης ὅσον τοῖς τρισὶ δακτύλοις ἑψήσας, μέλιτι ἐγχέαι, καὶ συμπλάσαι τῇ 308 πάλην, καὶ δοῦναι πιεῖν. 24 Ὑστέρας ἀναστομωτήριον, τὸ αὐτὸ καὶ καθαρτικόν. κανθαρίδας τρίβε πέντε, ὄξος λευκὸν παραχέων, καὶ μὴ ὑγρὸν πάνυ ποίει, ἀλλ' ὡς ἐκμάσσεσθαι δακτύ- 309 λιον. 25 λαβὼν δὲ σύκου λευκοῦ πίονος, ἄνευ τῶν κεγχραμίδων καὶ τοῦ δέρματος, διπλάσιον ξυμμίξας, τρίψας μέρος τῆς κανθαρίδος, βάλανον ποιήσας, ἐρίῳ λεπτῷ 310 καταπλίξασα προσθέσθω. 26 Καθαρτήριον. ἢν ἐκ τόκου μὴ καθαρθῇ, τοῦ τριφύλλου ἐν οἴνῳ [λευκῷ] 311 πίνειν. 27 τοῦτο δὲ καὶ τὰ καταμήνια καταῤῥήγνυσι, καὶ ἔμβρυον ἐκβάλλει. 28 Μητρέων καθαρτήριον. ὁκόταν, παιδίου ἐναποθανόντος, αἷμα ἐμμείνῃ, κολοκυνθίδα ἀγρίην, τρίψας ἐν μέλιτι, λειχέτω ἢ προσθέσθω.

CVI. Αἵματος καθαρτικόν. 2 Αἷμα ἐξελάσεις ἐκ μητρέων, λευκοίου καρπὸν τρίβων λεῖον, οἴνῳ διεὶς, διδόναι πίνειν. 3 αἷμα ὡσαύτως ἐξελάσεις ἐκ μητρέων. 4 ῥοῦ τὸν καρπὸν, ὁκόταν ἐρυθρὸς ᾖ, τρίβων κόκκους ὅσον τριήκοντα χλωροὺς, καὶ κυνόῤῥοδα ἐρυθρὰ περιλέγων, τὸ ἐρυθρὸν διδόναι πίνειν ἐν οἴνῳ, 5 ἕως 312 ἂν τὸ αἷμα ῥαγῇ. Πρόσθετον κα- 313 θαρτικὸν, 6 ἢν τὰ γυναικεῖα μὴ φαίνηται. στύρακα καὶ ὀρίγανον τρίψας λεῖα, καὶ ξυμμίξας ἐπιχέειν καὶ χηνὸς ἔλαιον, ἔπειτα προσθέσθω. 7 Πρόσθετον καθαρτικὸν, ὥστε μήτρας ἐκκαθαίρειν, καὶ κενοῦν. 8 ἀψινθίου ῥίζαν τρίψας λείην, καὶ περιμίξας μέλι, προσθεῖναι σὺν ἐλαίῳ. 314

CVII. Πρόσθετα ὑστερέων καθαρτικὰ καὶ ἀναστομωτήρια καὶ ὕδωρ ἄγοντα. 2 σκίλλης ὅσον ἑξαδάκτυλον τὸ μῆκος,

non purgata fuerit ex partu, floris farinæ quantum tribus digitis comprehendi potest coquito, & melle affuso, ventri velut cataplasma imponito, & bibendum dato. 24 Aliud, quod uteros aperit & purgat. Cantharidas quinque aceto albo affuso terito, & non valde liquidum pharmacum facito, sed ut digitis affingi possit: 270 25 & de ficu alba pingui, sine granulis & pelle, duplam cantharidum partem ammisceto, & efformatam glandulam tenui lana involutam subdito. 26 Aliud. Si ex partu non fuerit purgata, trifolium in vino albo bibendum dato, 27 hoc etiam menses educit, & fœtus expellit. 28 Aliud, purgans uteros. Quum puero immortuo sanguis intus manserit, colocynthidem sylvestrem in melle tritam delingat, aut 275 subdat.

CVI. Aliud, sanguinem purgans. 2 Sanguinem ex uteris expelles, si violæ albæ semen tritum, vino dilutum bibendum dederis. 3 Aliud, quod similiter sanguinem ex uteris expellit. 4 Rhois seminis quum rubrum fuerit, grana viridia triginta terito, & rosas caninas rubras, rubicundo ex ipsis delecto, in vino bibenda dato, 5 quum sanguis eruperit. 6 Aliud purgatorium. Si menses non apparuerint, sty- 280 racem & origanum terito, commisceto, & adipe anserino affuso apponito. 7 Aliud, quod subditum uteros purgat ac evacuat. 8 Absinthii radicem tritam cum melle, cum oleo apponito.

CVII. Subdititia uteros purgantia, aperientia, & aquam ducentia. 2 Scyllæ frustum longitudine

μῆκος, πάχος δὲ ὡς ὁ μικρὸς δάκτυλος. [3] τούτου περιξύσας ὅσον δύο δακτύλους, λεῖον ποιήσας, καὶ περιελίξας τὸ λοιπὸν ἐν εἰρίῳ ῥυπαρῷ. [4] καὶ τὸ μὲν ἀπεξυσμένον πρὸς τὸ στόμα τῶν ὑστερέων ἐᾷν προσκεῖσθαι ἡμέρην καὶ εὐφρόνην. [5] λουσαμένη δὲ καὶ ἀφαιρεομένη, διανιζέσθω ὕδατι εὐώδει. [6] Καθαρτικὸν μαλθακὸν, 315 ὅπερ ὕδωρ ἄγει καὶ φλέγματα, χλωρά τε [καὶ] ὕφαιμα καταμήνια καθαίρει, ἢν μὴ πολυχρόνια ᾖ, καὶ τὸ 15 στόμα μαλθάσσει. [7] μύρον ναρκίσσινον, κύμινον, ὃ ἐσθίομεν, σμύρναν τε καὶ λιβανωτὸν, ἀψίνθιον, κυπάρισσον, ἅλας, ῥόδινον, ἄλειφα. [8] τῶν μὲν ἄλλων χοῦν ἑκάστων, τοῦ δὲ ναρκισσίνου τέσσαρας μοίρας. [9] ἐπὶ ὀθόνιον ὠμόλινον ξυμμίξας ἅπαντα 316 καὶ ποιήσας βάλανον, [10] ἢ περὶ πτερὸν ῥάκος λεπτὸν περιθεὶς, καταδῆσαι καὶ ἐμβάψαι ἐς ἄλειφα λευκὸν αἰγύπτιον, προσθεῖναι, [11] καὶ ἐᾷν ὅλην ἡμέρην προσκεῖσθαι. [12] εἶτα λουσαμένη καὶ ἀφαιρευμένη διανιζέσθω ἐν ὕδατι εὐώδει.

tudine sex digitorum, & digiti parvi crassitudine accipito, [3] & de hoc duos digitos circumderadito ac lævigato, & reliquum 285 lana sordida, involvito: [4] eam vero partem quæ circumrasa est, ad os uterorum subditam, per diem ac noctem appositam finito. [5] Postquam autem lavit & abstulit, aqua odorata colluatur. [6] Aliud purgatorium molle, quod aquam & pituitam ducit, & pallidos ac subcruentos menses detrahit, si non diuturni fuerint, & os emollit. [7] Unguentum narcissinum, cuminum, quod edimus, myrrham, thus, absin- 290 thium, cupressum, salem, rosaceum oleum sumito. [8] Et de aliis quidem singulis congium accipito, narcissini vero partem quartam: [9] & omnia in glandem efformata, ac crudi lini linteo excepta subdito. [10] Aut linteum tenue pennæ circumdato ac deligato, & in oleo albo ægyptio tinctum apponito, [11] & tota die appositum finito. [12] Deinde ubi lavit & abstulit, aqua odorata colluatur.

ΙΠΠΟΚΡΑΤΟΥΣ περὶ ΓΥΝΑΙΚΕΙΩΝ τὸ πρῶτον.

HIPPOCRATIS DE MORBIS MVLIERVM liber primus.

Basil. græc. Foesius sect. v. 152-588. Basil. lat.

pag 231 Τὰ δὲ ἀμφὶ γυναικείων νούσων ὧδε φημί. [2] γυναῖκα, ἄτοκον ἐοῦσαν ἢ τετοκυῖαν, χαλεπώτερον καὶ θᾶσσον ἀπὸ τῶν καταμηνίων νοσέειν. [3] ὁκόταν γὰρ τέ- 1

De muliebribus morbis sic sentio. [2] Mulierem quæ non peperit, gravius & citius a mensibus ægrotare, quam eam quæ peperit. [3] Quum enim peperit, venulæ fluidiores sunt 111 217 pag 309

χη, εὐροώτεραί οἱ αἱ φλέβιές εἰσιν ἐς τὰ καταμήνια. 4 εὔροα δέ σφιν ποιέει ἡ λοχίη κάθαρσις ἢν ἴωσι. 5 Καὶ ἢν καταρραγῇ, τοῦ σώματος τὰ πλησιάζοντα μάλιστα, τῆς τε κοιλίης καὶ τῶν μαζῶν καταρρήγνυται. 6 καταρρήγνυται δὲ καὶ τὸ ἄλλο σῶμα. 7 ὑπὸ τοῦ δὲ γίνεται, εἴρηταί μοι ἐν τῇ φύσει τοῦ παιδίου τοῦ ἐν τόκῳ. 8 καταρραγέντος δὲ τοῦ σώματος, ἀνάγκη τὰς φλέβας μᾶλλον στομοῦσθαι καὶ εὐροωτέρας γίνεσθαι ἐς τὰ καταμήνια, 9 καὶ τὰς μήτρας μᾶλλον στομοῦσθαι, οἷα τοῦ παιδίου χωρήσαντος διὰ σφέων, καὶ βίην καὶ πόνον παρασχόντος. 10 καὶ, τουτέων ὧδε ἐχόντων, τὰ καταμήνια ἀκαματώτερον καθαίρεται ἡ γυνὴ, ἐπὴν λοχείων ἔμπειρος γένηται. 11 εἰ δὲ καί τι πάθημα τῇ γυναικὶ γένοιτο τῇ ἤδη τετοκυίῃ, ὥστε καταμήνια μὴ δύνασθαι ἐλθόντα εὖ καθαρθῆναι, ῥηϊτέρως τὸν πόνον οἴσει, ἢ εἰ ἄτοκος ἦν. 12 ἠθάδες γὰρ αἱ μῆτραι, καὶ τὸ σῶμα ἐπιτήδειον πληροῦσθαι, ἅτε ἐν γαστρὶ ἐχούσῃ, καὶ ἅμα εὐρυχωρίη πολλή ἐστιν ἐν τῷ σώματι. 13 πλείων δὲ ἡ εὐρυχωρίη γίνεται τῷ σώματι, ἐπὴν τέκῃ, οἷα τοῦ σώματος καταρραγέντος. 14 ἐν εὐρυχωρίῃ ἐὸν τὸ σῶμα ἀπονώτερον γίνεται, ἢν μὴ ὑπερπιμπλῶνται αἱ φλέβες καὶ ὑπερπονέωσιν. 15 ἀτόκῳ δὲ ἐούσῃ, τοῦ δὲ σώματος οὐ ξυνήθεος ἐόντος, 16 ἐπὴν πληρωθῇ, καὶ ἰσχυροτέρου τε καὶ στερεωτέρου καὶ πυκνοτέρου ἐόντος, ἢ εἰ λοχείων ἔμπειρος γένοιτο, 17 καὶ τῶν μητρέων ἀναστομωτέρων ἐουσῶν, 18 τὰ ἐπιμήνια ἐπιπονωτέρως χωρέει, καὶ τὰ παθήματα παραπίπτει πλείονα, 19 ὥστε διὰ τοῦτο τὰ καταμήνια ἀποφράσσεσθαι, ἐπὴν ἄτοκος ἦ. 20 ἔχει δὲ ὧδε, ὥς μοι καὶ πρόσθεν εἴρηται.

ad menses. 4 Fluidas autem ipsas facit purgatio illa quæ fit à partu. 5 Et ubi hæc erumpit, vicinæ maxime ventri ac mammis corporis partes discinduntur: 6 discinditur item reliquum corpus. (7 A quo vero hoc fiat, dictum est à me in natura pueri in partu.) 8 Discisso autem corpore necesse est venas magis aperiri, & ampliores ac fluidiores ad menses fieri: 9 itemque uteros magis aperiri, nimirum puero per ipsos egresso, qui & vim & dolorem induxit. 10 Et quum hæc sic se habeant, mulier purgationem à partu experta, minus laboriose mensibus decurrentibus purgatur. 11 Si vero etiam affectio aliqua mulieri quæ jam peperit accidat, ut menses venientes probe purgari non possint, facilius dolorem feret, quam si non peperisset. 12 Assueti enim sunt uteri, & corpus idoneum ut impleatur, utpote in ventre habenti, & simul multa amplitudo in corpore est. 13 Major autem fit etiam amplitudo ubi peperit, nimirum corpore discisso: 14 & corpus in amplitudine existens, minus dolore affligitur, si non venæ superimpleantur, & nimium doleant. 15 At vero ei quæ non peperit, quum corpus non assuetum sit (16 si impleta fuerit, & fortius ac solidius & densius sit, 17 si purgationem à partu experiatur, & quum uteri ægrius aperiantur) 18 menses laboriose prodeunt, & affectiones plures accidunt: 19 ut propterea menses obturentur, si prius non peperit. 20 Habet autem res se hoc modo, velut etiam prius à me dictum est.

II. Φημὶ [δὲ] τὴν γυναῖκα ἀραιοσαρκοτέρην καὶ ἁπαλωτέρην εἶναι, ἢ τὸν ἄνδρα. [2] καὶ τούτου δὲ ὧδε ἔχοντος, ἀπὸ τῆς κοιλίης ἕλκει τὴν ἰκμάδα καὶ τάχιον καὶ μᾶλλον τὸ σῶμα τῆς γυναικὸς ἢ τοῦ ἀνδρός. [3] καὶ γὰρ, εἴ τις ὑπὲρ ὕδατος καὶ διὰ χωρίου ὑδρηλοῦ δύο ἡμέρας καὶ δύο εὐφρόνας θείη εἴρια καθαρὰ καὶ εἷμα καθαρὸν καὶ βεβυσμένον " συσταθμώσας ἴσον τοῖσιν εἰρίοισιν, ἀνελὼν εὑρήσει σταθμώσας 10 πολλὸν βαρύτερα τὰ εἴρια ' ἢ τὸ εἷμα. [4] ὅτι δὲ τοῦτο γίνεται, αἰεὶ ἀποχωρέει ἐς τὸ ἄνω ἀπὸ ὕδατος ἐν ἀγγείῳ εὐρυστόμῳ ἐόντος, [5] καὶ τὰ μὲν εἴρια, ἅτε ἀραιά τε καὶ μαλθακὰ ἐόντα, ἀναδέξεται τοῦ ἀποχωρέοντος πλέον, [6] τὸ δὲ εἷμα, ἅτε πλῆρες ἐὸν καὶ βεβυσμένον, ἀποπληρώσεται τὸ πολλὸν οὐκ ἐπιδεχόμενον τοῦ ἀποχωρέοντος. [7] οὕτω δὴ καὶ ἡ γυνὴ, ἅτε ἀραιοσαρκοτέρη ἐοῦσα, ἑλκύσει πλείονα ἀπὸ τῆς κοιλίης τῷ σώματι τὴν ἰκμάδα καὶ θᾶσσον, ἢ ὁ ἀνήρ. [8] καὶ ἅτε ἁπαλοσάρκῳ ἐούσῃ τῇ γυναικὶ, ἐπὴν ' πλησθῇ τοῦ αἵματος τὸ σῶμα, ἢν μὴ ὑποχωρήσῃ ἀπ' αὐτέου, πληρευμένων τῶν σαρκῶν καὶ θερμαινομένων, πόνος γίνεται. [9] " θερμότερον γὰρ τὸ αἷμα ἔχει ἡ γυνή. [10] καὶ διὰ τοῦτο θερμοτέρη ἐστὶ τοῦ ἀνδρός. [11] ἢν δὲ τὸ πλεῖον ἐπιγινόμενον ἀποχωρέῃ, οὐ γίνεται ὁ πόνος καὶ ἡ θέρμη ὑπὸ τοῦ αἵματος. [12] ὁ δὲ ἀνὴρ, στερεοσαρκότερος ἐὼν τῆς γυναικὸς, [13] οὔτε ὑπερπίμπλαται τοῦ αἵματος ' ἐς τὸ ἄνω τῆς κοιλίης τόσον, ὥστε, ἢν μὴ ἀποχωρέῃ τι τοῦ αἵματος καθ' ἕκαστον μῆνα, ' πόνοι γίνεσθαι, [14] ἕλκει τε ' ὁκόσον ἐς τροφὴν τοῦ αἵματος, [15] τό, τε σῶμά οἱ οὐκ ἁπαλὸν ἐὸν, οὐχ ' ὑπερπονέει, οὐδ' ὑπερθερμαίνεται

II. Dico mulierem rariore carne præditam & teneriorem esse quam virum: [2] & hæc res sic se habet. A ventre trahit humiditatem, & citius, & magis, corpus mulieris quam viri. [3] Etenim si quis super aquam, & per regionem aquosam, duobus diebus ac duabus noctibus, ' molles 25 lanas ponat, & vestem puram & contextam æquali ad lanas pondere sublatis utrisque apponderatione facta, multo graviores lanas comperiet quam vestem. [4] Fit autem hoc ex eo, quod semper aqua sursum decedit in vasa ampliora oscula habentia. [5] Et lanæ quidem, tanquam raræ & molles, ' ex decedente amplius 30 suscipiunt. [6] Vestis autem, ut quæ plena est, & ex contextu obturata, explebitur, non multum ex decedente aqua suscipiens. [7] Sic sane etiam mulier, velut quæ rarior est, ampliorem à ventre humiditatem corpori attrahit, & citius quam vir: [8] & tanquam teneriori carne præditæ mulieri, ubi corpus sanguine repletum fuerit, si non ab ipso secesserit, carnibus impletis ac calefactis, dolor oboritur. [9] Habet enim mulier sanguinem calidiorem, [10] & propterea calidior est quam vir. [11] Si vero amplior accedens sanguis ' secesserit, do- 35 lor non fit à sanguine, neque calor. [12] Vir autem ut qui solidiore carne præditus est quam mulier, [13] neque in superna ventris parte adeo sanguine superimpletur, ut nisi aliquid sanguinis singulis ' mensibus secedat, dolorem fieri necesse sit: [14] & sanguinis quantum satis est ad nutrimentum trahit: [15] & quum corpus ipsi non sit tenerum, non dolore affligitur, neque superin-

ὑπὸ πληθώρης, ὡς τῇ γυναικί. 16 μέγα δὲ ξυμβάλλεται ἐς τοῦτο τῷ ἀνδρὶ, ὅτι ταλαιπωρέει μᾶλλον τῆς γυναικός. 17 ἡ γὰρ ταλαιπωρίη ἀπάγει τι τῆς ἰκμάδος.

III. Ἐπὴν δὲ γυναικὶ ἀτόκῳ ἐούσῃ κρυφθῇ τὰ ἐπιμήνια, καὶ μὴ δύνηται ὁδὸν ἔξω εὑρεῖν, ἡ νοῦσος γίνεται. 2 τοῦτο δὲ ξυμβαίνει, ἢν τῶν μητρέων τὸ στόμα μεμύκῃ, ἢ ἰδνωθῇ, ἢ ξυστραφῇ τι τοῦ αἰδοίου. 3 ἢν γὰρ τουτέων τι ᾖ, οὐ δυνήσεται ἔξοδον εὑρεῖν τὰ ἐπιμήνια, πρὶν ἂν αἱ μῆτραι ἐς τὴν φύσιν τὴν ὑγιέην μεταστέωσι. 4 γίνεται δὲ τὸ νόσημα τοῦτο μάλιστα ταύτῃσιν, αἵ τινες στενοστόμους τὰς μήτρας ἔχουσιν, ἢ τὸν αὐχένα πρόσω τοῦ αἰδοίου κείμενον. 5 ἢν γὰρ τουτέων θάτερον ᾖ, καὶ μὴ μίσγηται ἡ γυνὴ τῷ ἀνδρὶ, καὶ κενωθῇ ἡ κοιλίη μᾶλλον τοῦ καιροῦ, ὑπὸ τουτέου τοῦ παθήματος, στρέφονται αἱ μῆτραι. 6 οὔτε γὰρ ἰκμαλέαι εἰσὶ κατὰ σφέας οἷα μὴ λαγνευομένης, 7 εὐρυχωρίη τε σφισίν ἐστιν, ἅτε τῆς κοιλίης κενωτέρης ἐούσης, ὥστε στρέφεσθαι· 8 ἅτε ξηροτέρης καὶ κουφοτέρης ἐούσης τοῦ καιροῦ. 9 καὶ ἔστιν ὅτε στρεφομένων σφῶν τυγχάνει τὸ στόμα παραστραφὲν, οἷα τοῦ αὐχένος πρόσω τοῦ αἰδοίου κειμένου. 10 ἢν γὰρ ἰκμαλέαι ἔωσιν αἱ μῆτραι ἀπὸ λαγνείης, καὶ ἡ κοιλίη μὴ κενῶται, οὐ ῥηιδίως στρέφονται.

IV. Τοῦτ' οὖν αἴτιον γίνεται ὥστε αὐτὰς ξυμμῦσαι, οἷα μὴ λαγνευομένης τῆς γυναικός. 2 ἐν δὲ τοῖσι τριταίοισι (ἐν ἄριστα μὲν πείσεται), ἢν οἱ κατελθόντες ἐξαγάγῃ τὰ προϋπάρχοντα. 3 εἰ δὲ μὴ, πείσεται τάδε ἡ γυνὴ, πνίξ τέ οἱ ἄλλοτε καὶ ἄλλοτε ξυμπίπτει, καὶ πῦρ λήψεται ἄλλοτε καὶ ἄλλοτε, καὶ φρί-

κη,

calescit à plenitudine, velut mulieri. 16 Multum autem confert ad hoc viro, quod magis laborat quam mulier. 17 Nam labor aliquid humoris abducit.

III. Postquam igitur mulieri quæ non peperit, occultati fuerint menses, & viam foras reperire non poterint, morbus fit. 2 Hoc autem contingit, si uterorum os conclusum fuerit, aut distortum, aut aliqua pudendi pars contracta. 3 Si enim horum quid fuerit, menses exitum invenire non poterint, priusquam uteri ad sanam naturam redierint. 4 Fit autem hic morbus his maxime, quæ angustos uteros habent, aut cervicem ultra pudendum sitam. 5 Si enim horum alterum fuerit, & mulier viro non misceatur, & venter magis quam oportet evacuetur, ab hac affectione uteri obtorquentur. 6 Neque enim humidi in seipsis sunt, utpote muliere non coeunte: 7 & amplitudo ipsis spatiosa est, utpote quum venter magis vacuus existat. Quare obtorquentur, 8 dum siccior & levior est venter quam convenit. 9 Et aliquando dum ipsi obtorquentur, etiam os ipsorum distorqueri contingit, nimirum cervice ultra pudendum sitá. 10 Si enim humidi fuerint uteri à coitu, & venter non evacuetur, non facile distorquentur.

IV. Hæc igitur causa est ut ipsi sint conclusi, nimirum à venere abstinente muliere. 2 In tertiis porro mensibus optime afficietur, si quæ prius insunt progressa fuerint educta. 3 Sin minus, mulier hæc patietur. Suffocatio alias atque alias in ipsam irruet, & febris alias atque alias corripiet, ac horror, &

lum-

κη, καὶ ὀσφύος ἄλγημα. 4 ταῦτα πάσχει ἐν τοῖσι τριταίοισιν ἐπιμηνίοισιν, ἢν μή οἱ ἐξίῃ. 5 ἐν δὲ τοῖσι τεταρταίοισιν, ἢν μή οἱ ἐξιόντα, τοῖσί τε προτέροισιν ἔξοδον ποιήσῃ, καὶ τότε μὲν τρίτα πονήματα πάντα μᾶλλον πονήσει, καὶ μάλιστα ἐν τῷ χρόνῳ τῶν καταμηνίων, ἔπειτα ἧσσον. 6 πολλάκις δὲ καὶ δόξει ἄπονος εἶναι. 7 ἔσται δὲ ἐπὶ τοῖσι τεταρταίοισι καὶ τάδε τὰ σημεῖα. 8 οὐρήσει τε πολὺ παχὺ ἄλλοτε καὶ ἄλλοτε, καὶ ἡ γαστὴρ αὐτῆς σκληρὴ ἔσται, καὶ μείζων ἢ πρόσθεν, καὶ βρύξει τοὺς ὀδόντας, καὶ ἀσιτήσει, καὶ ἀγρυπνήσει. 9 τοιαῦτα πάσχει ἐπὶ τοῖσι τεταρταίοισι καταμηνίοισι· μελεδαινομένη δὲ καὶ ἐν τουτέοισιν ὑγιαίνει. 10 καὶ ἐν τοῖσι πεμπταίοισιν, ἢν μή οἱ πολλὰ τὰ ἐπιμήνια κατίῃ, καὶ ὁ πόνος ἰσχυρότερος προσπίπτει. 11 ἐν δὲ τοῖσιν ἑκταίοισιν ἤδη ἀνίητος ἔσται· καὶ κατὰ μὲν τὰ πρότερα σημεῖα μᾶλλον πονήσει. 12 ἔπειτα δὲ ἐπ' αὐτοῖσι καὶ τάδε· ἀλύξει τε καὶ ῥίψει ἑωυτὴν ἄλλοτε καὶ ἄλλοτε, καὶ λειποθυμήσει. 13 καὶ ἐμέσει φλέγμα. 14 καὶ δίψα ἰσχυρή μιν λήψεται· ἅτε καιομένης τῆς κοιλίης ὑπὸ μητρέων ἐουσέων πληρέων αἵματος· 15 καὶ ψαυομένη ἀλγήσει, καὶ μάλιστα τὸ ἦτρον. 16 καὶ πυρέξει ἄλλοτε καὶ ἄλλοτε ὀξέως. 17 καὶ βορβορύξουσιν αἱ μῆτραι ἄλλοτε καὶ ἄλλοτε, ἅτε τοῦ αἵματος ἐγκλονεομένου καὶ οὐ διαχωρέοντος ἐν αὐτῇσι. 18 καὶ ἡ κοιλίη οὐ διαχωρήσει κατὰ τρόπον, οὔτε ἡ κύστις διηθήσει τὸ οὖρον.

v. 1 Ἐπὴν οἱ αἱ μῆτραι προσπέσωσι πρὸς τὸν στόμαχον νευρώδεα ἐόντα, καὶ ἐς τὴν κοιλίην ἐμβάλλωσιν, 2 ἀλγέει τὴν ῥάχιν, καὶ τὸ νῶτον πᾶν. 3 καὶ τὴν γλῶτταν αὐτῆς χαλινοῦται, καὶ ἀσαφῆ ταύτην ἔχει. 4 καὶ λειποθυμίη. 5 ἔστι δ' ἧσι

lumborum dolor. 4 Hæc patietur in tertiis mensibus, si ipsi non prodierint. 5 In quartis vero si non egressi prioribus exitum fecerint, etiam tunc tertii mensis afflictionibus omnibus magis affligetur, & maxime tempore mensium. Deinde minus. 6 Sæpe vero etiam à dolore libera sibi esse videbitur. 7 Erunt autem in quartis etiam hæc signa. 8 Urinam multam & crassam ejiciet, alias atque alias. Et venter ipsius durus erit, & major quam prius, & dentibus fremet, & cibum aversabitur, & vigilabit. 9 Hæc patietur in quartis mensibus. Si vero curetur, etiam in his sana evadit. 10 Et in quintis si non multi menses descenderint, dolor adhuc fortior accidit. 11 In sextis vero jam incurabilis est, & juxta priora quidem signa magis dolebit. 12 Deinde ad ea etiam hæc aderunt. Anxia erit, & alias atque alias seipsam jactabit, & animo deficiet, 13 & pituitam vomet, 14 & sitis fortis ipsam corripiet: nimirum dum exuritur venter ab uteris sanguine plenis: 15 & ad contactum dolebit, & maxime pectinem. 16 Et alias atque alias acute febriet, 17 & uteri alias atque alias murmurabunt, dum videlicet sanguis in ipsis commovetur ac discurrit, 18 & venter consueto modo non secedet. Neque vesica urinam excolabit.

v. Maxime quum uteri ad stomachum qui nervosus est, mulieri allapsi fuerint, & ad ventrem irruerint, 2 dolet spinam & totum dorsum, 3 & lingua ipsius refrenatur, & hanc non claram habet, 4 & animi deliquium adest. 5 Aliquibus etiam

δ' ἤτοι καὶ ἀφωνίη. [6] καὶ δάκνεται τὸν στόμαχον, καὶ ξανθὴ ἡ χολὴ ἔξεισι. [7] καὶ πνεῦμα προσπταίει, καὶ ἀλύει, καὶ ῥιπτεῖ ἑωυτὴν, καὶ ἐμπίπραται. [8] ἐπὴν δὲ μεταστέωσι καὶ εἰρύσῃ ἡ κύστις τὸ λεπτὸν τοῦ αἵματος ἀπὸ τῶν μητρέων, τότε τὸ οὖρον διουρέεται ἐρυθρόν, [9] καὶ πονέει μὲν τὸ ἄλλο σῶμα, μάλιστα δὲ τὸν τράχηλον, καὶ τὴν ῥάχιν, καὶ τὴν ὀσφὺν, τούς τε βουβῶνας. [10] καὶ ἐς τοῦτο ἐλθούσῃ αὐτῇ ἥ τε γαστὴρ αἴρεται, καὶ τὰ σκέλεα ὑπὲρ τὸ χρεὼν οἰδίσκεται, καὶ αἱ κνῆμαι, καὶ οἱ πόδες· [11] καὶ ὁ θάνατος ἔπεισι. [12] καὶ περὶ μὲν ταύτης οὕτω τελευτᾷ ἐς ἓξ μῆνας τὰ ἐπιμήνια ἀδηλούμενα. [13] γίνεται δὲ καὶ ταῦτα.

VI. Ἔστιν ᾗσι τῶν γυναικῶν, ἐπὴν δίμηνα ἢ τὰ καταμήνια ἐν τῇσι μήτρῃσι πολλὰ ἐόντα, ἔρχεται ἐς τὸν πλεύμονα, ἐπὴν ἐπανακληθῇ, [2] καὶ πάσχει πάντα, ἅπερ ἐν φθινάδι εἴρηται. [3] καὶ οὐχ οἷόν τέ ἐστι περιεῖναι. [4] γίνεται δὲ καὶ τάδε. ἔστιν ᾗσι διάπυα γίνονται τὰ ἐπιμήνια χρονίσαντα, ἐπὴν γένηται δίμηνα ἢ τρίμηνα. [5] τοῦτο δὲ μάλιστα γίνεται, ἢν ξυγκαῇ ὑπὸ τοῦ πυρός. [6] σημεῖα δέ ἐστιν, ἢν διάπυα ᾖ. [7] ὀδύναι γὰρ ἐμπίπτουσιν ἐς τὸ ἦτρον ἰσχυραὶ, καὶ σφύξιες, καὶ ψαυομένη οὐκ ἀνέχεται. [8] καὶ, ἢν μέλλῃ βελτιόνως ἔχειν, ῥήγνυται αὐτῇ τὰ ἐπιμήνια κατὰ τὸ αἰδοῖον, καὶ χωρέει πύον καὶ αἷμα. [9] ὀζόμενον δὲ χωρέει ἐπὶ ἡμέρας ἑπτὰ ἢ ὀκτὼ ἢ ἐννέα. [10] ἐν δὲ τῷ πρὶν χρόνῳ πονέεται, ὡς εἴρηται ἔμπροσθεν. [11] ἐπὴν δὲ ἀποκαθαρθῇ, ἄριστον μὲν, ἢν μὴ γένοιτο ἕλκεα. [12] ἢν δὲ ὑπολείπηται ἕλκεα, πλείονος δέεται θεραπείης, ὅκως τὰ ἕλκεα μὴ μυδήσῃ καὶ κάκοδμα γίνηται.

VII. Ἄφορος δὲ ἔσται, καὶ ἢν ῥᾴων ᾖ, ἢν μεγάλα ᾖ τὰ ἕλκεα γενό-

vocis privatio: [6] & stomachus mordetur: & flava bilis exit: [7] spiritus offendens, & anxia est, & jactat seipsam, & ardet. [8] Postquam autem transmutati fuerint, & vesica tenuem sanguinem ab uteris trahet, tunc urina mingitur rubra. [9] Et dolet quidem reliquum corpus, maxime vero collum, & spinam, & lumbos, ac inguina. [10] Et ipsi ad hoc progressæ, & venter attollitur, & crura supra modum intumescunt, & tibiæ ac pedes, [11] & mors succedit. [12] Et circa hanc quidem sic finiunt menstruæ purgationes ad sex menses occultatæ. [13] Fiunt item hæc.

VI. Quibusdam mulieribus menses bimestres in uteris existentes multi ad pulmonem procedunt: & ubi recepti fuerint, [2] omnia patiuntur quæ in Tabe dicta sunt: [3] & non est possibile ipsam superesse. [4] Fiunt & hæc. Quibusdam suppurati fiunt menses, ubi per duos aut tres menses moram traxerint. [5] Hoc autem maxime fit, si à febre fuerint combusti. [6] Signa vero sunt si suppurati fuerint: [7] dolores enim incidunt in pectinem, & pulsationes fortes, & contactum non sustinet: [8] & si melius habitura est, menses ipsi erumpunt in pudendum, & procedit pus ac sanguis, [9] & procedit graveolens, ad septem, aut octo, aut novem dies. [10] In priore vero tempore dolet velut dictum est antea. [11] Postquam autem depurgata fuerit, optimum quidem est non fiant ulcera. Si vero relinquantur ulcera, ampliore curatione opus habebit, quo ulcera non putrescant, & graveolentia fiant.

VII. Sterilis autem evadet, etiamsi melius habebit, ubi magna

γινόμενα ἐν τῇσι μήτρῃσιν. 2 ἢν δὲ μή οἱ κατὰ τὸ αἰδοῖον χωρήσῃ τὰ ἐπιμήνια, διάπυα γινόμενα ἐς τὰ ὑπὲρ τοῦ βουβῶνος ξυμβήσεται κατὰ τὴν λαπάρην ῥαγῆναι ἅτε φύματος· 3 ἅτε τοῦ πύου διαῤῥαγέντος· καὶ κείνῃ χωρήσει πυώδεα ὀδμαλέα. 4 καὶ, ἢν τοῦτο γένηται, οὐ περιγίνεται ἡ γυνή· 5 ἢν δὲ καὶ περιγένηται, αἰεὶ ἄφορος ἔσται. 6 ταύτῃ γὰρ οἱ τὸ λοιπὸν ἡ ὁδὸς γίνεται τοῖσιν ἐπιμηνίοισιν ἔξω. 7 τὸ γὰρ στόμα τῶν μητρέων πρὸς τοῦτο τὸ χωρίον περιπέπτωκε.

VIII. Γίνεται δὲ καὶ τόδε. 2 ἔστιν ᾗσιν, ἐπὴν δίμηνα ἢ τρίμηνα ἢ χρονιώτερα ᾖ τὰ ἐπιμήνια, καὶ προσπέσῃ πρὸς τὴν λαπάρην, μὴ διαπύων τῶν καταμηνίων ἐόντων, 3 ὡς φῦμα γίνεται ὑπὲρ τοῦ βουβῶνος, ἀκέφαλον, μέγα, ἐρυθρόν. 4 καὶ τῶν ἰητρῶν πολλοὶ ἤδη, οὐκ εἰδότες τοῦτο οἷόν ἐστιν, ἔταμον, καὶ ἐς κίνδυνον ἤγαγον οὕτως. 5 τὸ δὲ ὡς φῦμα γινόμενον γίνεται τρόπῳ τοιῷδε. 6 ἐπαυρίσκεται τοῦ αἵματος ἡ σὰρξ, ἅτε προσκειμένου τοῦ στόματος τῶν μητρέων τῇ λαπάρῃ. 7 καὶ ἐμπίμπλαται ἀπ' αὐτέου καὶ ἐξίσταται, ὥστε πληρευμένη τοῦ αἵματος ἡ σάρξ.

IX. Καὶ ἔστιν ὅτε, ἢν μεταστῇ τὸ στόμα τῶν μητρέων, καὶ γένηται κατὰ τὸ αἰδοῖον, 2 καὶ χωρέωσι διὰ τοῦ αἰδοίου τὰ καταμήνια, 3 καθίσταται τὸ ἐξεστηκὸς κατὰ τὴν λαπάρην. 4 διαδιδοῖ γὰρ ἐς τὰς μήτρας· 5 αἱ δὲ ἔξω ἐχάλασαν. 6 ἢν δὲ μὴ μεταστραφῇ κατὰ τὸ αἰδοῖον τὸ στόμα τῶν μητρέων, διαπυεῖ κατὰ τὴν λαπάρην, 7 καὶ ταύτῃ ὁδὸς γίνεται τοῖσι καταμηνίοισι· 8 καὶ

gna ulcera fuerint quæ in uteris facta sunt. 2 Si vero non continget, ut menses ipsi in pudendum procedant suppurati facti, ad partes supra inguen, juxta lateris mollitudinem erumpent, citra tuberculum, 3 utpote pure rupto, & illa parte purulenta ' graveolentia procedent: 4 & si hoc fiat, mulier non superstes manet. 5 Si vero etiam superstes maneat, semper sterilis erit. 6 Hac enim parte de cætero via fit mensibus ut foras prodeant. 7 Nam os uterorum ad hunc locum allapsum est.

VIII. Fit & hoc. 2 Quibusdam ubi bimestres aut trimestres, aut diuturniores fuerint menses, & ad lateris mollitudinem allapsi fuerint, quum non suppurati sint ' menses, 3 velut tuberculum fit supra inguen, sine capite, magnum, rubrum: 4 & vulgus medicorum ignarum quid hoc esset, jam sæpe secuerunt, & sic in periculum induxerunt. 5 Cæterum id quod velut tuberculum fit, tali modo fit. 6 Fruitur sanguine caro ipsa, utpote osculo uterorum lateris mollitudini adjacente: 7 & impletur caro ab ipso, & insurgit ac eminet, velut sanguine repleta.

IX. Et aliquando si transmotum ' fuerit os uterorum, & ad pudendum conversum, 2 & menses processerint per pudendum, 3 id quod circa lateris mollitudinem eminuit, sedatur. 4 In uteros enim distribuitur, 5 hi vero foras laxantur. 6 Si vero non conversum fuerit os uterorum ad pudendum, circa lateris mollitudinem suppuratur, 7 & hac parte transitus fit mensibus: 8 &

20 8 καὶ οἱ κίνδυνοι οἱ αὐτοί ἐστιν, οἱ καὶ πρόσθεν εἰρημένοι. 9 τρέπεται δὲ καὶ ἐς ἔμετον. 10 ἔστιν ᾗσι καὶ κατὰ τὴν ἕδρην, ὥσπερ μοι εἴρηται ἐν τῇσι παρθενίῃσι νούσοισι. 11 καὶ σημεῖα καὶ πόνους τοὺς αὐτοὺς δείκνυσι τοῖσι κεῖθι εἰρημένοισιν. 12 ἧσσον δὲ ταύτην τὴν ὁδὸν ποιέεται τὰ ἐπιμήνια τῇσι γυναιξὶν, ἢ τῇσι παρθένοισιν.

X. Ὁκόταν δὲ τὰ ἐπιμήνια κρυφθῇ, 2 ὀδύνη ἕξει τὴν νειαιρὴν γαστέρα, καὶ δοκέει τι ἐγκεῖσθαι βάρος, 3 καὶ τὰς ἰξύας ἐκπάγλως ποιέει, καὶ τοὺς κενεῶνας. 4 Ἢν δὲ τὰ 25 ἐπιμήνια παντάπασι μὴ ἐχωρέοντα, γίνεται ὑπὸ νούσου ἢ παχέα καὶ γλίσχρα, ἢ κολλώδεα. 5 χρὴ οὖν πρῶτον τὴν κοιλίην καθῆραι, ἄνω τε καὶ κάτω. 6 ἔπειτα [ἐπὶ] τὰς ὑστέρας προσθέτω, ἀφ' οὗ αἷμα καθαίρεται. 7 καὶ διαλιπὼν [ἡμέρην μίην ἢ δύο, ἔπειτα] πίσαι, ὑφ' οὗ αἷμα ἴῃ. 8 πινέτω δὲ καὶ κρηθμὸν ἐν οἴνῳ τῷ ἀπὸ δαδός. 9 ἢν δὲ οἱ ῥόος μὴ γίνηται, ἔσται ὥστε δοκέειν ἐγκύμονα εἶναι, 10 καὶ μισγομένην ἀνδρὶ ἀλγέειν ὥστε δοκέειν ἐγκεῖσθαί τι. 11 καὶ βάρος ἐν τῇ γαστρὶ ἐγγίνεται. 30 12 καὶ ἡ γαστὴρ προέχει, 13 καὶ ἀείρεται ἠδελφισμένως ὡς ἐν γαστρὶ ἐχούσῃ. 14 καὶ καρδιώσσει, ἐπὴν ἡμέραι πεντήκοντα μάλιστα ἔωσι. 15 καὶ πόνος ἔχει ἄλλοτε καὶ ἄλλοτε τῆς γαστρὸς, [μάλιστα] τὸ κατὰ τὸν ὀμφαλὸν, τόν τε τράχηλον, καὶ τοὺς βουβῶνας, καὶ τὴν ὀσφύν. 16 καὶ, ἐπὴν μῆνες δύο ἢ τρεῖς γένωνται, ἔστιν ὅτε ἐρράγη οἱ κατὰ τὸ αἰδοῖον τὰ καταμήνια ἀθρόα, 17 καὶ δοκέει ὥσπερ σαρκία εἶναι τὰ ἀπιόντα ὡς ἐκ διαφθορῆς, καὶ μέλανα.

XI. Ἔστι δὲ ᾗσι καὶ ἕλκεα γίνεται ἐν τῇσι μήτρῃσι. 2 καὶ δέονται προσέχειν

8 & eadem pericula sunt, quæ prius sunt relata. 9 Sed & ad vomitum convertitur, 10 & quibusdam in sedem, velut in virginum morbis à me dictum est, 11 & signa & dolores eosdem ostendit, quos isthic retulimus. 12 At 28 hanc viam minus faciunt menses mulieribus quam virginibus.

X. Quum menses fuerint occultati, 2 dolor habebit imum ventrem, & onus quoddam incumbere videtur, 3 & lumbos & laterum mollitudinem mirum 29 in modum dolet. 4 Si vero omnino non procedunt, præ morbo aut crassi & viscosi, aut glutinosi fiunt. 5 Primum igitur ventrem purgare oportet sursum ac deorsum. 6 Deinde uteros subditio medicamento, à quo sanguis purgatur. 7 Atque ita quie- 30 scere, & potandum dare pharmacum, à quo sanguis prodeat. 8 Bibat etiam crethmum in vino tædaceo. 9 Si vero fluxus ipsi non fiat, continget ut prægnans esse videatur, 10 & dum cum viro coit doleat, ut putet quid incumbere, 11 & gravitas fit in ventre, 12 & venter prominet, 31 13 & desideriis similibus afficitur, velut in ventre habeat: 14 32 stomachi dolore afficitur, maxime ubi quinquaginta dies præterierint. 15 Et dolor alias atque alias habet ventrem, & partem 33 circa umbilicum, & collum, & inguina, & lumbos. 16 Et postquam menses duo aut tres præterierint, quandoque menses acervatim ipsi in pudendum 34 erumpunt: 17 & quæ prodeunt velut carnem esse putat, quemadmodum ex fœtus corruptione & nigra.

XI. Quibusdam etiam ulcera fiunt in uteris, 2 & opus habent dili-

35 προσέχειν τῇ μελέτῃ. [3] πολλῇσι δὲ συμβαίνει, ὥστε δοκέειν ἐξ μῆνας ἔχειν ἐν γαστρὶ, ἢ καὶ ὀλίγῳ ἐλάσσονα χρόνον. [4] καὶ ἡ γαστὴρ προέχει, καὶ πολλά οἱ δοκεῖ γίνεσθαι ὥστε ἐν γαστρὶ ἐχούσῃ. [5] ἔπειτα ἐστὶν ᾗσι διαπυέσαντα ἐῤῥάγη ὑπὲρ τοῦ βουβῶνος ἅμα τῷ πέμπτῳ ἢ ἕκτῳ μηνὶ, καὶ ὁδὸν ταύτῃ ποιέεται. [6] ἔστι δὲ καὶ ᾗσιν ἕλκεα γίνεται ἐν τῇσι μήτρῃσι, καὶ κατὰ τὸ ὑπὲρ τοῦ βουβῶνος. [7] καὶ κινδυνεύσει ἀποθανεῖν. [8] ἢν δὲ καὶ περιγένηται, ἄφορος ἔσται. [9] ἔστι δὲ ᾗσι καὶ κατὰ τὸ αἰδοῖον ῥήγνυται, [10] καὶ χωρέει αὐτὴ σεσηπότα καὶ πυώδεα. [11] καὶ ἀπὸ τουτέων ἕλκεα ἐγγίνεται ἐν τῇσι μήτρῃσι, [12] καὶ κινδυνεύσει. [13] καὶ χρὴ, ὅκως μὴ τὰ ἕλκεα παλαιὰ γένηται, ἰητρεύειν προσέχοντα. [14] ἄφορος δὲ καὶ αὐτὴ γίνεται, ἢν γε καὶ ἰηθῇ.

diligenti animadversione. [3] Multis vero contingit ut putent se sex mensibus in utero habere, aut etiam paulo breviore tempore: [4] & venter prominet, & alia sibi fieri putat, velut in ventre habenti. [5] Postea sunt & quibus suppurati eruperunt supra inguen, simul cum quinto aut 130 sexto mense, & viam ea parte patefecerunt. [6] Quibusdam autem ulcera fiunt in uteris etiam infra sub inguine: [7] & periclitatur mulier de vita. [8] Si vero etiam superstes maneat, sterilis erit. [9] Quibusdam etiam in pudendum erumpunt, [10] & prodeunt ipsi putrefacti ac purulenti. [11] Et ab his ulcera fiunt in uteris, [12] & periclitatur. [13] Et oportet, ut ne antiqua fiant ulcera, cum attentione mederi. [14] Sterilis autem & hæc fit, etiam- 135 si fuerit curata.

XII. Ἢν δὲ μὴ ὀὶ ῥαγῇ τὰ καταμήνια ἐνδεχθέντα ἐξ μῆνας, πείσεται πάντα, ἅπερ τῇ ἀτόκῳ τὰ καταμήνια ὁδὸν οὐ δυνάμενα ἐκφορέειν. [2] καὶ ἢν μὲν θεραπευθῇ, ὑγιὴς ἔσται. [3] ἢν δὲ μὴ, διαρκέσασα καὶ ἐς 38 ὀκτὼ μῆνας, θνήσκει. [4] πολλῇσι δὲ 45 γίνεται, ἢν τὰ καταμήνια φλεγ- 39 ματώδεα χωρέωνται ἐπὶ πολλὸν χρόνον, [5] καὶ ἐλάσσονα τῶν ὑγιηρῶν. [6] ὑγιὴς δὲ γίνεται ἐν κόσμῳ τῷ προσήκοντι ἰηθεῖσα.

XII. Si vero non eruperint menses sex mensibus intus conclusi, omnia patietur velut ea quæ non peperit, in qua menses viam invenire non possunt. [2] Et siquidem curata fuerit, sana erit. [3] Sin minus, etiam ad octo menses durans moritur. [4] Multis vero contingit, ut menses pituitosi ad multum tempus prodeuntes, [5] etiam pauciores sanis sint: [6] sana autem talis fit, si convenienti 140 cura fuerit sanata.

XIII. Ἢν δὲ τὰ ἐπιμήνια γυναικὶ χωρέῃ μὲν, ἐλάσσονα δὲ τοῦ δέοντος χωρέει, [2] οἷα τοῦ στόματος τῶν μητρέων παρεγκεκλιμένου ὀλίγον τοῦ αἰδοίου, [3] ἢ δρόμου μεμυκότος ἐς τοῦτο, [4] ὥστε χωρέει 40 μὲν, ἀποφράσσεται δὲ ὑπ᾽ αὐτέων καὶ αἱ δίοδοι, ᾗς περαιοῦσιν, ἐπὴν κατέλθῃ ἐς τὰς μήτρας, [5] τὰ μέτρια, τελέως τοῦ αἵματος ἐπικεμένου

XIII. Si vero menses mulieri prodeant quidem, verum pauciores quam convenit, [2] utpote osculo uterorum paululum à pudendo emoto, [3] aut nuper concluso ad hoc, [4] ut prodeant quidem, verum obturentur ab ipsis etiam transitus, per quos penetrant ubi ad uteros descendunt: [5] moderati sane paulatim prodeunt, sanguine semper perfecte

μήτρης τοῦ στόματος αἰεὶ, περιέρχεται δὴ καὶ ὀλίγον. 6 καὶ ἐπὴν αἱ ἡμέραι παρέλθωσιν, ᾗσι καθαίρεσθαι μεμαθήκει, καὶ εἰρχθῇ τὸ αἷμα ἐν τῇσι μήτρῃσι τὸ ὑπολειφθὲν, καὶ ἕτεροι ἐπικατιόντες ἐπιμήνια μὴ ἐξωθῇ τὸ εἰρχθὲν αἷμα, ἀλλ' αἰεὶ βαρύνῃ κατ' ὀλίγον, ἔς τε τοὺς [μὲν] πρώτους μῆνας ἢ ἐπὶ δύο ἢ ἐπὶ τρεῖς μὴ ἐσιέναι κάρτα. 7 ἐπὴν δὲ οἱ μῆνες πλέονες γίνωνται, ἔτι μᾶλλον πονήσεται, 8 καὶ οὐκ ἴσχει ἐν γαστρὶ, μέχρις ἂν οὕτως ἔχῃ, 9 καὶ πῦρ λήψεταί μιν, μάλιστα τὰς ἡμέρας, ἐν ᾗσι καθαίρεσθαι μεμαθήκει, ἠπεδανόν. 10 εἰκὸς δέ ἐστι καὶ τοῦ μεσηγὺ χρόνου πυρεταίνειν καὶ φρίσσειν, καὶ καρδιώσσειν, καὶ ἀνάγειν ἐπὶ τὸ πλῆθος ἀνὰ πᾶσαν ἡμέρην. 11 καὶ ἀλγεῖ ἄλλοτε καὶ ἄλλοτε τὸ σῶμα, καὶ μάλιστα τὴν ὀσφὺν, καὶ τὴν ῥάχιν, καὶ τοὺς βουβῶνας, τά τε ἄρθρα τῶν χειρῶν καὶ τῶν ποδῶν. 12 ταῦτα δὲ οὐχ ὁμοῦ ἀλγεῖ, ἀλλ' ἄλλοτε καὶ ἄλλοτε, ὅπῃ ἂν βρίσῃ τὸ αἷμα τὸ ἀποκεκριμένον καὶ μὴ δυνάμενον εἶναι ἐν τῇσι μήτρῃσι. 13 καὶ, ὅπῃ ἂν στηρίξῃ τοῦ σώματος, οἴδημά ἐστιν. 14 ὅτε γίνεται καὶ σπασμὸς ἰσχυρὸς τῶν ἄρθρων τοῦ σώματος. 15 καὶ τῶν ἄλλων σημείων τῶν προειρημένων φαίνεταί οἱ ἄλλοτε ἄλλο. 16 ἔστιν ὅτε αὕτη, ἢν μὲν θεραπευθῇ κατὰ τρόπον, ὑγιὴς ἔσται. 17 εἰ δὲ μὴ, ἡ νοῦσος ἑπταμηνιαῖος ἢ καὶ χρονιωτέρη γινομένη, θανατώδης εἴη ἂν, ἢ χωλώσειεν, ἢ ἀκρατέα τινὰ τῶν μερέων ποιήσειεν. 18 ἢν ὑπὸ ῥίγεος καὶ ἀσιτίης τὸ αἷμα ἔνθα ἂν ἐπέλθῃ, πῆξιν ἴσχει περὶ τὰ νεῦρα. 19 τοῦτο δὲ τὸ νόσημα γίνεται μᾶλλον τῇσιν ἀνάνδροισιν. 20 ἢν δὲ ἐμπειροτόκῳ ταῦτα τὰ νοσήματα ἐμπέσῃ τὰ εἰρημένα, ἢ ἅσσα μέλλει εἰρή-

σεσθαι

osculo incumbente. 6 Et postquam dies præterierint quibus purgari solet, & conclusus fuerit sanguis in uteris relictus, & alii menses subdescendentes non expulerint conclusum sanguinem, sed semper paulatim gravant, & primis mensibus duobus aut tribus non valde prodeunt: 7 postquam autem plures menses præterierint, adhuc magis dolebit; 8 & non habet in ventre, quamdiu sane sic habuerit, 9 & febris corripiet ipsam debilis, maxime in diebus quibus purgari solet. 10 Verisimile est autem & in intermedio tempore ipsam febrire, & horrere, & stomachi dolore vexari, & ad multitudinem addere singulis diebus. 11 Et dolet alias atque alias corpus, & maxime lumbos, & spinam, & inguina, & articulos manuum ac pedum. 12 Verum his locis non simul dolet, sed alias atque alias, qua parte sanguis discretus, & in uteris esse non potens impetu suo gravarit: 13 & qua sane corporis parte incubuerit, tumor est, 14 fitque etiam convulsio fortis articulorum corporis. 15 Et alias aliud ex relatis antea signis ipsi apparet. 16 Hæc siquidem juxta debitum modum curata fuerit, sana evadet. 17 Sin minus, morbus septimestris aut diuturnior factus, lethalis fuerit, aut claudam faciet, aut partes aliquas impotens efficiet, 18 si præ rigore & cibi fastidio sanguis circa nervos compactus fuerit, quemcunque tandem locum occupaverit. 19 Hic autem morbus magis fit his quæ virum non habent. 20 Si vero hi morbi jam relati, aut quicunque postea referentur, incidant in eam quæ partum non sit experta, diutur-

niores

στῆναι, πολυχρονιώτερα ἔσται, καὶ ἧσσον ἐπίπονα. 21 τὰ δὲ σημεῖα ταυτὰ καὶ τελευταὶ αἱ αὐταὶ γίνονται τῇ τε ἀτόκῳ, καὶ τῇ λοχείων ἐμπείρῳ, ἢν μὴ θεραπεύωνται. 22 χρὴ δὲ αὐτίκα τὴν θεραπείην ποιέεσθαι· εἰ δὲ μὴ, ἐπιφαίνεται αὐτίκα τὰ νοσήματα.

XIV. Ἢν δὲ τὰ ἐπιμήνια πλείονα τοῦ δέοντος χωρέῃ καὶ παχύτερα· 2 οἷα τοῦ σώματος φύσει τε εὐρρόου ἐόντος; καὶ τοῦ στόματος τῶν μητρέων πλησίον τοῦ αἰδοίου κειμένου· 3 καὶ ἐπὶ τουτέοισιν ἀνδρί τε ξυνίῃ πολλὰ, 4 καὶ εὐωχέηται, 5 ἐσάπαξ ποτὲ πολλὰ κατελθόντα καὶ χωρέοντα βύζην, ἐπευρύνει μᾶλλον τὸ στόμα τῶν μητρέων βιαζόμενα. 6 καὶ ἢν ἐπὶ τουτέοισι μὴ ἐπιπέσῃ κενεαγγείη, ἀλλ' αὖθις πολλὴ εἴη ἀλέα καὶ τὸ στόμα εὐρὺ ποιέῃ, καὶ τὸ σῶμα, 7 ἅτε εὐωχευμένης ἱμειρομένης τε καὶ συνιούσης ἀνδρὶ, εὔροον, 8 ἡ ἐπὶ τὰς μήτρας καὶ ἀλέα ἐπιφέρηται, 9 ἄχροός τε ἔσται, μέχρις ἂν οὕτως ἔχῃ. 10 καὶ, ἢν ὕστερόν τι νόσημα ἢ πάθημα ἐπιπέσῃ, ὥστε τρυχωθῆναι τὸ σῶμα, 11 ὁμοίως αἵ τε μῆτραι κατὰ τὸ εἰωθὸς εὐρύστομοί εἰσι, καὶ τὸ σῶμα εὔροον ἐπ' αὐτάς ἐστιν. 12 καὶ μετὰ ταῦτα πῦρ ἔχει, καὶ ἀσιτέει, καὶ ἀλυκτέει, καὶ λεπτὴ καὶ ἀμβλείη [γίνεται,] καὶ τὴν ὀσφὺν ἐκ τῶν ἐπιμηνίων πονήσει. 13 καὶ, τοῦ χρόνου προϊόντος, ἢν μὴ θεραπευθῇ, πάντα μιν μᾶλλον πονήσει ἐν τῷ μεταξὺ χρόνῳ, 14 καί οἱ ἔσται κίνδυνος ἄφορον γενέσθαι, ἢ τρυχωθεῖσαν ὑπὸ χρόνου τε καὶ τῆς νούσου, ἤν τι οἱ ξυμπίπτῃ καὶ ἄλλο νόσημα, ἐπὶ τουτέῳ θανεῖν αὐτήν. 15 χωρέει δὲ τὰ καταμήνια παχύτερα καὶ πλεῖστα τῶν ἡμερέων τῇσιν ἐν μέσῳ· ἀρχόμενα δὲ καὶ τελευτῶντα, ἐλάσσονα καὶ λεπτότερα.

XV. Μέ-

niores erunt, & minus doloroſi. 21 Verum ſigna eadem, & iidem fines, tum ei quæ non peperit, tum ei quæ puerperia experta eſt, contingunt, ſi non curentur. 22 Oportet autem ſtatim curationem facere. Sin minus, ſtatim comparent morbi.

XIV. Si vero menſes plures quam oporteat prodeant, & craſſiores: (2 nimirum corpore natura fluido exiſtente, & oſculo uterorum prope pudendum ſito) 3 & ad hæc multo cum viro coitu utatur, 4 & convivetur, 5 ſemel aliquando multi deſcendentes & cumulate prodeuntes, os uterorum impetu ſuo magis dilatant: 6 & ſi ad hæc non incidat vaſorum evacuatio, ſed rurſus multus acceſſerit calor, & os amplum faciunt, & corpus: 7 utpote dum convivante & voluptatem ac conſuetudinem viri conſectante muliere, facili fluxu 8 ad uteros etiam calor defertur, 9 & decolor erit quam diu ſic habuerit: 10 & ſi poſtea morbus aliquis aut affectio inciderit, aut corpus affligatur, 11 & uteri ſimiliter juxta ſolitum morem ampli ſunt, & corpus facili fluxu in ipſos præditum eſt. 12 Et poſt hæc febris habet, & cibum averſatur, & anxia eſt, & tenuis ac debilis, & lumbos ex menſibus dolebit: 13 & progreſſu temporis ſi non curata fuerit, omnia ipſam magis affligent in intermedio tempore, 14 & periculum ipſi imminet, ne ſterilis fiat, aut à tempore & morbo vexata, ſi alius morbus coincidat, ex hoc moriatur. 15 Prodeunt autem menſes craſſiores & plurimi, in intermediis diebus. Incipientes autem & deſinentes, pauciores & tenuiores.

XV. Μέτρια δ' ἐστὶ πάσῃ γυναικὶ χωρέειν, ἢν ὑγιαίνῃ, τὰ ἐπιμήνια, ² ἐλθόντα ὅσον κοτύλας δύο ἀττικὰς, ἢ ὀλίγῳ πλέονα, ἢ ἐλάσσονα· ³ ταῦτα δὲ ἐφ' ἡμέρας δύο ἢ τρεῖς. ⁴ ὁ δὲ πλείων χρόνος ἢ ἐλάσσων, ἐπίνοσος καὶ ἄφορός ἐστι. ⁵ τεκμαίρεσθαι δὲ χρὴ ἐς τὸ σῶμα τῆς γυναικὸς ὁρέοντα, ⁶ καὶ ἐρωτῶν "πρὸς τὰ πρότερον ξυμβαλλόμενον," εἴτε ἐπίνοσος εἴη, εἴτε μή. ⁷ ἢν γὰρ ἐλάσσονας "ἢ πλείονας ἡμέρας τοῦ συνήθεος φοιτᾷ, ἢ αὐτὰ ἐλάσσονα ἢ πλέονα εἴη, ἐπίνοσά ἐστιν, ⁸ ἢν μὴ ἡ φύσις αὐτῇ νοσερὴ καὶ ἄφορος ᾖ. ⁹ ἢν δὲ τοῦτο ᾖ, καὶ μεθίστηται ἐπὶ τὸ ὑγιηρότερον, ἄμεινον. ¹⁰ χωρέει δὲ αἷμα οἷον ἀπὸ ἱερείου, ¹¹ "καὶ ταχὺ πήγνυται, ἢν ὑγιαίνῃ ἡ γυνή. ¹² ᾗσι δὲ ἐν φύσει ἐστὶ πλέονα καθαίρεσθαι τεσσάρων ἡμερέων, καὶ πολλὰ κάρτα χωρέει τὰ ἐπιμήνια, αὗται λεπταὶ γίνονται, ¹³ καὶ τὰ ἔμβρυα αὐτέων λεπτὰ," καὶ ἀμαλδύνεται. ¹⁴ ᾗσι δὲ τριῶν ἡμερέων ἔλασσον ἡ κάθαρσις γίνεται, ἢ ὀλίγα χωρέει, αὗται παχεῖαι καὶ εὔχροοι, ἀνδρικαί τε [καὶ] οὐ μνησιτοκέουσιν· ¹⁵ αἱ δὲ οὐδὲ κυΐσκονται.

XVI. Ἢν δὲ πνὶξ προσπέσῃ ἐξαπίνης, ² γίνεται δὲ μάλιστα τῇσι μὴ ξυνιούσῃσιν ἀνδράσι, καὶ τῇσι γεραιτέρῃσι μᾶλλον ἢ τῇσι νεωτέρῃσι· ³ κουφότεραι γὰρ αἱ μῆτραι σφέων εἰσί. ⁴ "γίνεται δὲ μάλιστα τότε, ἐπὴν κενεαγγήσῃ καὶ ταλαιπωρήσῃ πλέονα τοῦ μαθήσιος. ⁵ αὐανθεῖσαι αἱ μῆτραι ὑπὸ τῆς ταλαιπωρίης στρέφονται, ἅτε κενεαὶ ἐοῦσαι καὶ κοῦφαι. ⁶ εὐρυχωρίη γάρ σφιν ἐστὶν, ὥστε στρέφεσθαι, ἅτε τῆς κοιλίης κενεῆς ἐούσης. ⁷ στρεφόμεναι δὲ ἐπιβάλλουσι

τῷ

XV. Moderati vero sunt menses prodeuntes in omni muliere si sana sit, ² ut duarum heminarum atticarum mensura secedant, aut paulo plures, vel pauciores, ³ atque hoc ad duos aut tres dies. ⁴ Longius autem tempus aut brevius, morbosum & sterile est. ⁵ Conjectare porro oportet, mulieris corpus inspiciendo, ⁶ & interrogare collatione ad 'priora facta, an semper morbosa vivat, an non. ⁷ Si enim pauciores aut plures dies, quam solent prodeant, aut ipsi pauciores aut plures fuerint, morbosi sunt: ⁸ nisi natura ipsa morbosa & sterilis fuerit. ⁹ Si vero hoc fuerit, & ad salubriorem statum transmutatur, melius est: ¹⁰ procedit autem sanguis velut à victima, ¹¹ & cito congelatur si sana fuerit mulier. ¹² Quibus vero in natura est, ut plures quam quatuor dies ' purgentur, & menses valde multi prodeunt, hæ tenues fiunt, ¹³ & fœtus ipsarum tenues, & emarcescunt. ¹⁴ Quibus autem purgatio infra tres dies fit, aut pauci menses secedunt, hæ crassæ sunt, & bene coloratæ, virilesque ac partus immemores, ¹⁵ & neque concipiunt.

XVI. Si suffocatio derepente accesserit (²fit autem maxime his quæ cum viris non cocunt, & senioribus magis quam junioribus. ³ Leviores enim ' uteri ipsarum sunt: ⁴ fit autem potissime tunc, ubi mulieri vasa evacuata fuerint, aut plus solito laborarit:) ⁵ resiccati à labore uteri convertuntur, ut qui vacui sint ac leves. ⁶ Est enim ipsis locus spatiosus ut convertantur, utpote ventre vacuo existente. ⁷ Dum autem convertuntur, impetunt

petunt

τῷ ἥπατι, καὶ ὁμοῦ γίνονται, καὶ ἐς τὰ ὑποχόνδρια ἐμβάλλουσι. [8] θέουσι γὰρ καὶ ἔρχονται ἄνω πρὸς τὴν ἰκμάδα, ἅτε ὑπὸ τῆς ταλαιπωρίης ξηρανθεῖσαι μᾶλλον τοῦ καιροῦ. [9] τὸ δὲ ἧπαρ ἰκμαλέον ἐστίν. [10] ἐπὴν δὲ ἐπιβάλλωσι τῷ ἥπατι, πνῖγμα ποιέουσιν ἐξαπίνης ἐπιλαμβάνουσαι τὴν διάπνοιαν τὴν περὶ τὴν κοιλίην. [11] καὶ, ἅμα τε ἄρχονται ἔστιν ὅτε προσβάλλειν πρὸς τὸ ἧπαρ, 23 καὶ ἀπὸ τῆς κεφαλῆς φλέγμα 'καταρρέει ἐς τὰ ὑποχόνδρια οἷα πνιγομένης. [12] καὶ ἔστιν ὅτε ἅμα τῇ καταρρύσει τοῦ φλέγματος ἔρχονται ἐς χώρην ἀπὸ τοῦ ἥπατος, καὶ παύεται ἡ πνίξ. [13] κατέρχονται δὲ καθελκύσασαι ἰκμάδα καὶ βαρυνθεῖσαι. [14] τρυσμὸς δὲ ἀπ' αὐτέων γίνεται, ἐπὴν χωρέωσιν ἐς ἕδρην τὴν σφῶν αὐτέων. [15] ἐπὴν δὲ ἔλθωσιν, ἔστιν ὅτε ἡ γαστὴρ μετ' ἐκεῖνα ὑγροτέρη γίνεται ἢ ἐν τῷ 5 πρὶν χρόνῳ. [16] χαλᾷ γὰρ ἤδη ἡ κεφαλὴ τοῦ φλέγματος ἐς τὴν κοιλίην.

XVII. Ἐπὴν δὲ πρὸς τῷ ἥπατι ἔωσιν αἱ μῆτραι καὶ τοῖσιν ὑποχονδρίοισιν, πνίγουσι, [2] καὶ τὰ λευκὰ τῶν ὀφθαλμῶν ἀναβάλλει, καὶ ψυχρὴ γίνεται. [3] εἰσὶ δὲ, αἳ καὶ πελιδναὶ γίνονται. [4] ἡ δὲ καὶ τοὺς ὀδόντας βρύχει. [5] καὶ σίαλα ἐπὶ στόμα ῥέει. [6] καὶ ἐοίκασι τοῖσιν ὑπὸ τῆς ἡρακλέης νόσου συνεχομένοισιν. [7] ἢν δὲ χρονίσωσι αἱ μῆτραι πρὸς τῷ ἥπατι καὶ τοῖσιν ὑποχονδρίοισιν, ἀποπνίγεται ἡ γυνή. [8] ἔστι δ' ὅτε, ἐπὴν κενεαγγήσῃ ἡ γυνὴ καὶ 10 ἐπιταλαιπωρήσῃ, ' αἱ μῆτραι στρεφόμεναι πρὸς τοῦ κύστιος, τὸν στόμαχον προσπίπτουσι, καὶ στραγγουρίην ποιέουσιν. [9] ἄλλο δὲ οὐδὲν κακὸν ἴσχει. [10] καὶ ἐν τάχει ὑγιαίνει θεραπευομένη. [11] ἔστι δ' ὅτε καὶ αὐτομάτη. [12] ἔστι δ' ἧσιν ἐκ ταλαιπωρίης ἢ ἀσιτίης πρὸς ὀσφὺν ἢ πρὸς ἰσχία προσ-

petunt hepar, & juxta consistunt, & ad præcordia irruunt. [8] Currunt enim & progrediuntur sursum ad humiditatem, 'tanquam 200 à labore magis quam opportunum est resiccati. [9] Hepar autem humidum est. [10] Postquam autem impetiverint hepar, suffocationem faciunt, derepente perspirationem circa ventrem intercipientes: [11] & aliquando simul incipiunt hepar impetere, & à capite pituita defluit ad præcordia, velut ab eo quod suffocatur: [12] & aliquando simul cum pituitæ defluxu, descendunt ab hepate ad locum suum, & cessat 'suffocatio. [13] Descendunt au- 205 tem detrahentes humiditatem, & gravati. [14] Stridor autem ab ipsis fit, dum ad suam ipsorum sedem procedunt. [15] Postquam autem eo devenerint, aliquando venter post illa humidior fit, quam superiori tempore. [16] Laxat enim jam caput pituitam in ventrem.

XVII. Ubi vero apud hepar & præcordia fuerint uteri, & strangularint, [2] mulier albas oculorum partes subvertit, & frigida fit. [3] Sunt autem quæ 'lividæ 210 fiunt. [4] Quædam etiam dentibus frendunt, [5] & salivæ ad os fluunt: [6] & similes sunt his qui ab herculeo morbo detinentur. [7] Si vero diutius moram traxerint uteri apud hepar ad præcordia, mulier strangulatur. [8] Quandoque vero ubi mulier vasa evacuata habuerit, & insuper laborarit, uteri conversi ad vesicæ stomachum allabuntur, & urinæ stillicidium inducunt. [9] Aliud autem nihil mali habet, [10] & 'cu- 215 rata cito sanescit, [11] quandoque etiam sponte. [12] Quibusdam vero ex labore aut inedia, ad lumbos

περιπεσοῦσαι πόνους παρέχουσιν.

XVIII. Ἢν δὲ γυνὴ τὸ σῶμα φλαύρως ἔχῃ, καὶ ἴῃ χολώδεα [11] τὰ 62 καταμήνια, γνωστά ἐστι τῷδε. [2] μέλανά ἐστι κάρτα. [3] ἔστι δ' ὅτε μέλανα ἢ λαμπρὰ καὶ ὀλίγιστα 15 ἔρχεται, καὶ ταχύτατα πήγνυται. [4] καὶ ὁ γόνος ἀμαλδύνεται ἀμφοῖν τοῦ τε ἄρρενος καὶ τοῦ θήλεος, καὶ οὐκ ἴσχει ἐν γαστρί. [5] καὶ, ἀρχομένης μὲν τῆς νούσου, καθαίρεται τὰς ἡμέρας ἃς μεμαθήκει, οὐ πλέονας· [6] προϊόντων δὲ τῶν ἐπιμηνίων, πλείονας ἡμέρας καθαίρεται, καὶ ἐλάσσονα τὰ καταμήνια καθ' ἑκάστην φαίνεται, [7] πυρετοί τε ἐπιγίνονται πλανῆται ὀξέες ξὺν φρίκῃ καὶ ἀσιτίῃ, ἄλλοτε καὶ ἄλλοτε, [8] καὶ καρδιωγμός. [9] καὶ πονήσει μάλιστα, ἐπὴν πλησιάζωνται 20 τὰ καταμήνια αὐτέῃ. [10] ἐπὴν δὲ ἀποκαθαρθῇ, καὶ ῥηΐσῃ ἐπ' ὀλίγον [11] πρὸς τὰ πρόσθεν, ἔπειτα δὲ αὖθις 63 ἐς τωὐτὸ καταστήσεται. [11] μελεδαινομένη δὲ ἐν τάχει ὑγιαίνει. [12] ἢν δὲ μὴ θεραπεύηται καὶ ὁ χρόνος προΐῃ, πάντα μιν μάλα πονήσει τὰ πρόσθεν εἰρημένα, [13] καὶ ὀδύνη λήψεται, ποτὲ μὲν τῆς γαστρὸς τὸ κάτω τοῦ ὀμφαλοῦ, ποτὲ δὲ τοὺς βουβῶνας, ποτὲ δὲ τὴν ὀσφύν τε [11] καὶ κο- 64 χώνην, ποτὲ δὲ τὸν τράχηλον, [14] ποτὲ δὲ πνὶξ προσπεσεῖται ἰσχυρὴ, καὶ πρὸ τῶν ὀφθαλμῶν ζόφος ἔσται οἱ καὶ 25 δῖνος, οἷα τοῦ καθάρσιος ἀναστελλομένης καὶ ἀνιούσης.

XIX. Ἢν γὰρ τὸ σῶμα φλαύρως ἔχῃ, γυναικὶ τὰ καταμήνια ἐλάσσω γίνεται. [2] καὶ, ᾗσιν αὖ τὸ σῶμα ἔμπλεων ᾖ, τὰ καταμήνια ταύτῃσι πλέονά ἐστι. [3] τῇ δὲ χολώδεϊ τὰ καταμήνια ἢν ἔρχηται, ὀλιγοψυχίη ἐμπίπτει, καὶ ἀποσιτίη ἄλλοτε καὶ ἄλλοτε, καὶ ἀλυσμὸς, καὶ ἀγρυπνίη.

[4] καὶ

bos aut ad coxas allapsi, dolores exhibent.

XVIII. Si mulier corpore male habuerit, & menses biliosi prodierint, ex hoc probe cognosci possunt. [2] Nigri sunt valde, [3] quandoque vero nigri aut splendidi, & paucissimi prodeunt, & citissime congelantur: [4] & semen amborum, & maris & fœminæ evanescit, & non 'habet 220 in ventre: [5] & incipiente quidem morbo, purgatur diebus quibus solita fuit, non pluribus: [6] progredientibus autem mensibus, pluribus diebus purgatur, & menses pauciores singulis diebus apparent. [7] Et febres succedunt erroneæ acutæ, cum horrore & cibi fastidio alias atque alias, [8] & stomachi dolor: [9] & dolebit maxime, ubi menses ipsi appropinquarint. [10] Postquam autem purgata fuerit, & ad 'modicum tempus, superiorum re- 225 spectu melius habuerit, postea rursus ad idem perveniet. [11] Dum autem curatur, cito sana fit. [12] Si vero non curetur, & tempus procedat, omnia prius relata valde ipsam affligent: [13] & dolor corripiet, nunc ventris partem infra umbilicum, nunc inguina, nunc lumbos & coxendicum ad sedem juncturam, nunc collum: [14] aliquando vero strangulatio fortis accidet, & caligo ante 'oculos obversabitur, & vertigo, 230 utpote purgatione sursum vergente ac ascendente.

XIX. Si enim corpus male habuerit, mulieri menses pauciores fiunt: [2] & quibus corpus plenum fuerit, his menses plures prodeunt. [3] At vero biliosæ si menses prodeant, pusillanimitas incidit, & cibi fastidium alias atque alias, & anxietas, & vigilia:

[4] &

4 καὶ ἐρυγγάνει θαμινά, καὶ οὐκ ἐθέλει περιπατέειν, καὶ ἀθυμέει, καὶ ἐμβλέπειν οὐ δοκέει, καὶ δέδιεν. 5 καὶ, ἢν μελεδαίνηται ἐκ τουτέων, ὑγιὴς ἔσται. 6 ἢν δὲ ὁ χρόνος περιίῃ, ἔτι μᾶλλον 30 πονήσει. 7 ξυμβαίη δ' ἂν ἄριστα, ἢν ἔμετος χολώδης ἐπιγίνηται, ἢν ἡ κοιλίη ταραχθῇ μὴ ἰσχυρῶς, καὶ ὑπίῃ χολώδεα, καὶ ῥόος ἐπιγίνηται αὐτῇ μὴ ἰσχυρός. 8 ἢν μὲν γάρ τι τουτέων ἐπιπέσῃ ἰσχυρὸν ἐπὶ σῶμα τετρυχωμένον, κινδυνεύσει. 9 ἢν δὲ ἠρεμέως ἀποκαθαίρηται τοῦ χολώδεός τι ἢ πᾶν τὸ λυπέον, ὑγιὴς γίνεται. 10 ἢν δὲ μήτε μελεδαίνηται, μήτε μηδὲν τουτέων γίνηται, θνήσκει ἡ γυνή. 11 ὡς δὲ ἐπὶ τὸ πλεῖστον ξυμβαίνει ῥόον ἐμπίπτειν χολώδεα ἐκ τοιουτέου νοσήματος. 12 κἢν ῥόος γίνηται, καὶ τὰ 65 35 μὲν τὰ πρῶτα ὀλίγα οἱ τὰ φαινόμενα ἔσται, 13 ἀνὰ πάσας δὲ τὰς ἡμέρας ὡς ἐπίπαν πλέονα ξυμβαίνει. 14 ὁκόταν δὲ ὁ χρόνος περιίῃ, ὡς ἐπὶ τὸ πλεῖον καὶ ἡ νοῦσος ὀξείη γίνεται, 15 καὶ αἱ μῆτραι δάκνονται ὑπὸ τοῦ καθάρσιος τοῦ χολώδεος χωρεούσης καὶ ἑλκοῦνται. 16 ἔτι δὲ καὶ ἐν τούτῳ ὑγιαίνει μελεδαινομένη, ἢν οἱ εἰρχθῇ ὁ ῥόος. 66

XX. Ἢν δὲ φλεγμαίνωσιν αἱ μῆτραι ὑπὸ τῶν ἑλκέων, 2 ἔτι ὀξυτέρη ἡ νοῦσος ἔσται, 3 καὶ πολλά τε καὶ ὀδμαλέα καὶ πυώδεα ἐλεύσεται ἀπ' αὐ- 40 τέων τῶν μητρέων, ἤδη ἀπιόντα, 4 καὶ ἑκάστοτε οἷον ἀπὸ κρεῶν [ἰχώρ,] 5 καὶ τὰ 67 πρότερον εἰρημένα ἅπαντά μιν μᾶλλον πονήσει, 6 καὶ τὰ ἕλκεα ἔτι μᾶλλον ἀγριώτερα ἔσται μέχρις 68 μιν ὑπερνικῇ. 7 εἰ δὲ καὶ ἰηθῇ, ἄφορος ἔσται ἀπὸ τῶν οὐλέων.

XXI. Ἢν δὲ γυνὴ τὸ σῶμα 69 φλαύρως ἔχῃ, καὶ ἐς φλεγματώδεα τὰ ἐπιμήνια χωρήσῃ, γνωστὸν ὧδε ἐστιν. 2 ἢν γὰρ χωρέῃ φλεγματώδεα, ὑμενώ-

4 & eructat frequenter, & non vult deambulare, & tristis est, & non videre sibi videtur, & timet. 238 5 Et, si curetur, ex his sana erit. 6 Si vero tempus processerit, adhuc magis dolebit. 7 Optime autem cum hac agatur, si vomitus biliosus succedat, aut venter turbetur non fortiter, & subeant biliosa, & si fluxus succedat ipsi non fortis. 8 Si enim quid ex his forte inciderit in corpus afflictum, periclitabitur. 9 Si vero leniter depurgetur aliquid biliosi aut totum id quod molestum est, sana fiet. 10 Si vero neque curetur, neque 240 quicquam horum fiat, moritur mulier. 11 Plerunque tamen contingit ut fluxus incidat biliosus ex hoc morbo: 12 & si fluxus fiat, primum quidem pauca sunt quæ comparent: 13 per omnes autem dies omnino plura contingunt. 14 Temporis autem progressu plerunque etiam morbus acutus fit, 15 & uteri à purgatione biliosa prodeunte mordentur ac exulcerantur. 16 Sed & in hoc adhuc sana fit, si curetur, & fluxus compescatur. 245

XX. Si vero uteri ab ulceribus fuerint inflammati, 2 adhuc acutior morbus erit, 3 & multa graveolentia ac purulenta prodibunt, ab ipsis uteris jam egressa, 4 & semper velut aqua de carnibus, 5 & prius relata omnia ipsam magis affligent: 6 & ulcera adhuc magis efferatiora erunt, donec ipsam vincant. 7 Si vero etiam sanata fuerit, sterilis erit à cicatricibus.

XXI. Si mulier corpore male habuerit, & pituitosi menses 250 prodierint: cognosci autem possunt 2 si pituitosi prodeant. Pelli-

culosi

ὑμενώδεά τε φαίνεταί οἱ, καὶ ὥσπερ ἀράχνια διατείνεται, καὶ ὑπόλευκά ἐστιν. [3] τοῦτο δὲ γίνεται, ἢν οἱ τὸ σῶμα καὶ ἡ κεφαλὴ φλέγματος πεπληρωμένα ᾖ, [4] καὶ τοῦτο μὴ ὑποκαθαίρηται, μήτε κατὰ τὰς ῥῖνας, μήτε κατὰ τὴν ἕδρην, μήτε κατὰ οὐρήθρην. [5] ἀλλ' ἐν τοῖσι καταμηνίοισι καὶ ἐν τῷ ταράχῳ τοῦ αἵματος σὺν τῇ καθάρσει ἔξω ἥκει. [6] καὶ, ἢν ταῦτα ὧδε ἔχῃ, ἐπὶ μὲν δύο ἢ τρεῖς μῆνας οὐδὲν νοσεῖ. [7] ἐπὴν δὲ ὁ χρόνος πλείων γένηται, καὶ μὴ μελεδαίνηται, μᾶλλον πονήσει, καὶ πυρετὸς ἐπιλήψεται πλάνος, καὶ ἀσιτήσει ἄλλοτε καὶ ἄλλοτε, καὶ καρδιώξει, καὶ πονήσει, μάλιστα ἐπὴν πλησιάζῃ τὰ ἐπιμήνια. [8] ὁκόταν δὲ ἀποκαθαρθῇ, ῥηΐζει ἐπ' ὀλίγον χρόνον πρὸς τὰ πρόσθεν, ἔπειτα ἐς τὸ αὐτὸ καθίσταται. [9] καὶ, ἢν μὴ μελεδαίνηται, ἀλλὰ χρόνος προΐῃ, γίνονται πάνθ', ὅσα τῇ χολώδεα ἐχώρει τὰ καταμήνια, ἄχρις οὗ ὁ ῥόος εἰρχθῇ. [10] ἔπεται δὲ ταύτῃ καὶ ῥόον φλεγματώδεα γίνεσθαι, ἢ ἄλλα, ὅσα ἐγὼ ἐρέω ὀλίγῳ ὕστερον. [11] καὶ, ἢν προσεπιγένηται αἰεὶ, προέρχεται ἀνὰ πάσας τὰς ἡμέρας, ὁτὲ μὲν ἀθρόα, ὁτὲ δὲ ὀλίγα. [12] καὶ ἔστιν ὅτε οἷον ἀπὸ κρεῶν ὕδωρ χωρεῖ, ὁτὲ δὲ οἷον ἰχώρ. [13] καὶ ἐν αὐτέῳ θρόμβοι πολλοὶ αἵματος ἐγγίνονται, [14] καὶ ξύει τὴν γῆν ὡς ὄξος, [15] καὶ δάκνει τῆς γυναικὸς, ᾗ ἂν ἐπιψαύσῃ, καὶ ἑλκοῖ τὰς μήτρας. [16] καὶ ἐλθοῦσα ἐς τοῦτο, τὰ μὲν ἄλλα πάσχει αὐτὰ, ὡς ἡ προτέρη. [17] ἧσσον δὲ τὴν κεφαλὴν ἐκείνης πονήσει, [18] καὶ τὰ ἕλκεα οὔτε δυσειδέα, οὔτε μεγάλα, οὔτε πυώδεα, οὔτε ὀδμαλέα ὁμοίως κείνῃ γίνεται· ἀλλὰ ταύτῃ ἧσσον. [19] ἐπιμελεδαινομένη

δὲ

culosi enim apparent, & velut araneorum casses distenduntur, & subalbidi sunt. [3] Hoc autem contingit, si corpus & caput ipsi pituita repleta fuerint, [4] & hæc non subpurgetur, neque per nares, neque per sedem, neque per urinæ meatum. [5] Sed in mensibus, & in turbatione sanguinis, una cum purgatione foras exit. [6] Et si hæc sic habuerit, ad duos quidem aut tres menses nihil ægrotat: [7] postquam autem amplius tempus progressum fuerit, & non curetur, magis dolebit, & febris erronea corripiet, & cibum alias atque alias fastidiet, & stomachum dolebit, & maxime dolebit ubi menses appropinquarint. [8] Quum vero purgata fuerit, ad modicum tempus, superiorum respectu melius habebit, postea ad idem relabitur: [9] & si non curetur, sed tempus procedat, fient ipsi omnia quæ ei cui biliosi menses prodibant, donec fluxus sistatur. [10] Consequitur etiam ut hæc fluxum pituitosum habeat, aut alia quæ ego dicam paulo postea. [11] Et siquidem fluxus succedat, semper procedunt per omnes dies, nunc acervata, nunc pauca: [12] & quandoque velut à carnibus aqua prodit, quandoque velut sanies: [13] & in hoc ipso multi sanguinis grumi insunt: [14] & radit terram velut acetum, [15] & mordet ubicunque mulierem contigerit, & uteros exulcerat. [16] Et ubi ad hoc pervenit, reliqua quidem similiter paritur, velut prior. [17] Minus vero quam illa caput dolebit: [18] & ulcera neque deformia, neque magna, neque purulenta, neque graveolentia, similiter velut illi fiunt, sed minus huic. [19] Si vero cure-

tur,

δὲ ὑγιαίνει, καὶ προεληλυθυίης τῆς νούσου, καὶ οὐ μάλα ἀποθνήσκει. [20] Φορὸς δὲ οὐ δύναται εἶναι ὧδε ἔχουσα.

XXII. Ὁκόσαι δὲ ξυνοικέουσαι οὐ δύνανται ἐν γαστρὶ ἔχειν, πυθέσθαι χρὴ, εἰ σφίσιν ἐπιγίνεται τὰ καταμήνια, ἢ οὔ· καὶ γίνεται πυώδεα ἢ ψυχρά. [2] Ἢν μὲν οὖν φῇ αὐτίκα ἀπιέναι, ὅταν δύναται, τὸ στόμα οὐκ ὀρθόν ἐστι τῆς μήτρης, ἀλλ᾽ ἰδνοῦται, καὶ οὐ λάζεται τὴν γονήν. [3] Ἢν μὲν οὖν φῇ, εἰ αὐτίκα ἄπεισιν ἡ γονὴ, ἢ τῇ ὑστεραίῃ, ἢ τῇ τρίτῃ, ἢ τῇ ἕκτῃ, ἢ τῇ ἑβδόμῃ. [4] Ἢν δὲ φῇ δευτεραίη, ἢ τριταίη, ἢ τεταρταίη, ἡ ὑστέρη ἐξυγρασμένη ἐστὶ, καὶ ἡ γονὴ ἐκπλύνεται. [5] Ἢν δὲ ἑκταίη, ἢ ἑβδομαίη, ἡ γονὴ καταστήπεται· κατασαπεῖσα δὲ ἀπέρχεται. [6] Ἢν μὲν οὖν ἀρχὴν μὴ προσδέχηται τὴν γονὴν, τῆς ὑστέρης τὸ στόμα θεραπευτέον πρῶτον, ὅκως ὀρθὸν ἔσται. [7] Ἢν δὲ καταπλύνηται, δευτεραίη καὶ τριταίη ἡ ὑστέρη καὶ κεφαλή. [8] Ἢν δὲ καταστήπηταί τε καὶ ἀπέρχηται, καὶ ἡ ὑστέρη καὶ τὸ σῶμα ἅπαν ἔνυγρον ὄν. [9] Τούτων ἕκαστα γινώσκειν ὧδε χρή.

XXIII. Ὁκοίης δὲ χρήζει καθάρσιος, γνώσεται ὧδε. [2] Ὅταν τὰ ἐπιμήνια γίνηται, ῥάκος πτύξας ὅσον σπιθαμῆς, ἐπιτανύσαι ἐπὶ σποδιῇσι λεπτῇσι, καὶ ἔπειτα ποιέειν ἐπὶ τούτῳ ὡς ἐπιῤῥυῇ τὰ ἀπιόντα. [3] Εἶναι δὲ δύο τὰ τρυχία, χωρὶς ἐφ᾽ ἑκάτερα, τὸ μεθ᾽ ἡμέρην τε καὶ νύκτωρ, [4] καὶ τὰ μὲν ἡμερήσια πλύνειν χρὴ τῇ ὑστεραίῃ· τὰ δὲ νύκτωρ, ὁκόταν αὐτέοισιν ἡμέρη καὶ νύκτωρ γένηται ἐπὶ τῇσι σποδιῇσι κειμένοισιν. [5] Ἐν δὲ τῇ πλύσει σκέπτεσθαι, ὁκοῖα ἄσσα γίνηται τὰ ῥάκεα πλυθέντα, ὅταν ἐν ἡλίῳ τέρσηται. [6] Κράτι-

tur, sana evadit, etiam ubi morbus progressum fecit: & non valde moritur, [20] verum prægnans esse non potest quæ sic habet.

XXII. Quæcunque viro cohabitantes in ventre habere non possunt, interrogandæ sunt, an ipsis menses prodeant, aut non: & an purulenti sint, aut frigidi. [2] Siquidem igitur responderit, interrogetur an statim exeat genitura, an postera die, an tertia, aut sexta, aut septima. [3] Si igitur dixerit statim exire ubi coivit, uteri osculum rectum non est, sed distortum, & genituram non capit. [4] Si vero dixerit, postera die, aut tertia, uterus perhumectus est, & semen eluitur. [5] Si vero sexta aut septima, semen computrescit: putrefactum vero exit. [6] Si igitur ab initio non suscipiat semen, os uteri primum curandum est, ut rectum sit. [7] Si vero eluatur postera, aut tertia die, uterus & caput. [8] Si vero computrescat & exeat, & uterus & totum corpus curetur. [9] Atque hæc singula sic cognoscere oportet.

XXIII. Quali vero purgatione opus habeat, hoc modo cognoscit. [2] Quum menses prodeunt, linteum complicatum palmi magnitudine super tenuem cinerem expandito, deinde ut quæ exeunt super hoc defluant curato. [3] Præstat autem duo esse lintea, utrunque seorsim, alterum diurnum, alterum nocturnum: [4] & diurnum quidem, postera die lavare oportet: nocturnum vero, ubi per diem ac noctem super cinere situm fuit. [5] In lotura vero considerare oportet, qualia-nam fiant lintea lota, ubi in sole fuerint siccata. [6] Opti-

6 κράτιστον δὲ ἐν σκοτεινῷ χωρίῳ. 7 ἢν μὲν οὖν φλέγμα ᾖ τὸ κωλῦον, 25 μυξώδεα τὰ ῥάκεα ἔσται. 8 ἢν δὲ δι' ἅλμην τε καὶ χολὴν, πυῤῥά τε καὶ ὑπόπελιδνα. 9 ταῦτ' οὖν εἰσιδὼν, καὶ γνώμῃ σκεψάμενος βασανίσας, ὅλον τε 82 τὸ σῶμα ἀθρέειν, ἤν τε πολλῆς καθάρσιος δοκέῃ δεῖσθαι, ἤν τε καὶ μὴ, 10 ἀποσκεψάμενος ἐς τὴν χροιὴν, καὶ τὴν ἡλικίην, καὶ ῥώμην, καὶ ὥρην, καὶ οἵῃ διαίτῃ χρέωνται.

XXIV. 1 Ἰητρείη δὲ καὶ τοῦ σώ- 83 ματος παντὸς προσνοεῖσθαι, καὶ τὰς ὑστέρας, καὶ τὸ στόμα ἰῆσθαι. 2 καὶ, ἢν μεμυκὸς ᾖ, ἀναστομῶσαι. 3 ἢν δὲ λοξωθέωσιν, ἐξιθύνειν χρή. 4 ἢν δὲ ὑγραὶ ἔωσιν, αὐαίνειν· καὶ τἄλλα 30 δρᾷν ἐναντίον. 5 σχεδὸν δὲ πάσῃσιν ἡ πολλὴ θεραπείη ἡ αὐτή ἐστι, πλὴν τοῦ καθαίρεσθαι τὰ ἐπιμήνια. 6 ὅ- 84 σῃσι γὰρ μὴ γίνεται, οὐδὲν δεῖ ταύτῃσι καθαίρειν. 7 ἀλλ' ὅ, τι κακὸν ἐν τοῖσιν ἐπιμηνίοισιν ἔνι, τοῦτο ἀφαιρέειν χρή, 8 ὅταν φλεγματώδεά τε καὶ ὑμενώδεα, 9 καὶ ἰχωροειδέα καὶ λε- 85 πτὰ, 10 ἢ λευκὰ καὶ θρομβοειδέα, 11 καὶ ὅταν μέλανά τε καὶ ἀνθρακώδεα, 12 ἢ ζοφοειδέα, ἢ δριμέα, ἁλμυρὰ, θολερὰ, πυώδεα. 13 αὗται πᾶσαι αἱ προφάσιες ὑπεξαιρετέαι. 14 κωλύουσι γὰρ λαμβά- 35 νειν ἐν γαστρί.

XXV. 1 Ὁκόσῃσι οὖν φλεγματώδεα καὶ ὑμενοειδέα τὰ ἐπιμήνιά ἐστι, 2 καὶ αὗται σαρκώδεές εἰσι, 3 καὶ ταύτῃσι τὸ στόμα ἔξυγρον, καὶ 86 πτύαλον πολὺ καὶ γλίσχρον. 4 καὶ, ἢν ὀξέος γεύσηται ἢ δριμέος, τὸ πτύαλον ἐν τῷ στόματι πλαδαρώτερόν τε ἔσται καὶ ἀναλέστερον 5 καὶ πρὸς πᾶν, ὅ, τι ἂν φάγωσιν ἢ πίωσιν, ὄχλος. 6 καὶ περιπίπτεται αὐτέοισιν καὶ ἀείρεται καὶ ἡ κοιλίη, καὶ ναυτίη, καὶ ἀλυσμός·

6 Optimum tamen est in tenebricoso loco ea resiccari. 7 Siquidem igitur pituita fuerit, quæ conceptionem impedit, mucosa lintea erunt. 8 Si vero propter salsuginem & bilem impeditur, fulva & sublivida. 9 His igitur 290 consideratis, & diligenti animadversione expensis, totum etiam corpus inspicito, an multa purgatione opus habeat, aut secus, 10 ita ut & ad colorem, & ætatem, & robur, & anni tempus, & qua diæta utantur respicias.

XXIV. Curatio vero & totius corporis est, & uteros ac osculum ipsorum sanare: 2 & si hoc conclusum fuerit, aperire. 3 Si vero illi distorti fuerint, dirigere oportet. 4 Si autem humidi fuerint, resiccare, & alia quo- 295 que facere contraria. 5 Ferme autem omnibus multa curatio eadem est, excepta mensium detractione. 6 Nam quibus nihil prodit, his detrahere oportet. 7 Immo quicquid in mensibus mali inest, hæc auferre oportet: 8 Quum videlicet pituitosi sunt, & pelliculosi, 9 & saniosi, & tenues, 10 aut albi, aut grumosi: 11 & quum nigri sunt, & carbunculosi, 12 aut caliginosi, aut acres, salsi, turbati, purulenti. 13 Hæ omnes causæ tollendæ. 14 Pro- 300 hibent enim in ventre conceptum.

XXV. Quibuscunque igitur menses pituitosi ac pelliculosi sunt, 2 hæ carnosæ sunt, 3 & his os humectum est, & saliva multa ac viscosa. 4 Et, si acidum aut acre quid gustarint, sputum in ore liquidius erit, & insulsum, 5 & ad omnia quæ ederint aut biberint, turbatio sequitur: 6 & supprimitur ipsis ac attollitur venter, & nausea adest, & anxie-

σμός tas

σμὸς πουλύς. 7 ἀπό τε κεφαλῆς ῥεῦμα καταῤῥεῖ, καὶ πάντ' ἐπιπλάσσεται, καὶ πολλὴν ὑγρασίην ἐπάγεται, καὶ τὰ ὑποφθάλμια πελιδνὰ καὶ πεφυσημένα. 8 ταύτας χρὴ ὅλας πυριῆν, 9 καὶ πυκνὰ ἐμέειν, καὶ ἀπὸ σιτίων, καὶ ἀπὸ νήστιος. 10 μαλάσσειν δὲ τὴν κάτω κοιλίην, φαρμάκοισι δὲ πάμπαν κούφοισιν, ὁκόσα ἥκιστα χολὴν ἄγει. 11 καὶ μονοσιτέειν, καὶ γυμνάζεσθαι συχνὰ, καὶ ὡς ξηροτάτῃ τροφῇ διαιτᾶσθαι, καὶ ποτῷ ἐλαχίστῳ ἀκρητεστέρῳ. 12 κοιλίη δὲ εὔλυτος ἀμείνων διαφυλάσσεσθαι. 13 τὰς δὲ ὑστέρας χρὴ, ἢν μὴ πρὸς ταύτην τὴν δίαιταν ἐνακούωσι, καθαίρειν φαρμάκοισιν ἀδήκτοισι προσθετοῖσιν. 14 προπυριῆν δὲ πρὸ τῶν καθάρσιων αἰεὶ, πρότερον μὲν τῇ πυρίῃ τῇ ἐκ τῶν θυμιαμάτων. 15 τὰς δὲ πυρίας ποιέεσθαι καὶ τὰς προσθέσιας, 16 τεκμαιρόμενος ὅκως ἅπαντα πεποιήσεται καὶ τρόπον ἕξει, ἐν ᾧ χρόνῳ τὰ ἐπιμήνια ἴῃ. 17 ἢν μὲν οὖν καθαρά τε καὶ ἀκραιφνέα καὶ ἔναιμα γένηται, οὕτως ἴτω παρὰ τὸν ἄνδρα ἐν ἀρχομένοισι τοῖσιν ἐπιμηνίοισιν. 18 ἄριστον δὲ ἐν ἀπολείπουσι, καὶ ἔτι ἰόντων μᾶλλον ἢ ἀφανέων.

XXVI. Ὅταν δὲ μέλλῃ ἰέναι παρὰ τὸν ἄνδρα, ὑποθυμιήσθω τι τῶν ὑποθυμιαμάτων τῶν στυπτικῶν. θυμιήσθω δὲ διὰ τοῦ κανέου καὶ τοῦ καλάμου ἐπὶ σποδιὴν θερμὴν ἐπιπάσσουσα τὸ φάρμακον. 3 ὅταν δὲ ἐπιπάσσῃ, καὶ τὸ κανέον περιθεῖναι, καὶ τὸν κάλαμον, καθιζομένην πυριῆσθαι. 4 ὁπόταν δὲ δέῃ αὐτὴν θυμιῆσθαι, τῷ μολυβδίνῳ χρῆσθαι, ὡς ἀνεῳγμένῳ τῷ στόματι θυμιῆται. 5 εἶτα, ὅταν ἀνίστηται, πάλιν ἐν τῇ κλίνῃ προστιθέσθω τὸ μολίβδιον.

tas & jactatio multa. 7 Et à capite fluxus defluit, & omnia obducit, & multam humiditatem inducit, & partes sub oculis lividæ sunt ac inflatæ. 8 Has totas fovere oportet, 9 & frequenter vomere, & à cibis, & jejunas. 10 Infernum autem ventrem mollire, sed pharmacis omnino levibus, quæ minime bilem ducunt, 11 & semel in die cibum capere, & frequenter exerceri, & cibo siccissimo uti, & potu paucissimo meraciore. 12 Melius autem est ut venter facile solubilis conservetur. 13 Verum uteros si ad hanc diætam non paruerint, pharmacis subdititiis non mordacibus purgare oportet. 14 Fomentum tamen semper purgationibus præmittendum est, prius id quod ex fœniculo paratur, deinde quod ex suffimentis. 15 Fomenta vero & subditiones medicamentorum facito, 16 conjectura facta ut omnia fiant, & pro ratione adhibeantur, quo tempore menses prodeunt. 17 Siquidem igitur puri & sinceri ac cruenti fiant: ita ad virum accedat incipientibus mensibus. 18 Optimum autem desinentibus, & adhuc euntibus magis, quam ubi disparuerunt.

XXVI. Quum autem ad virum itura est, suffimentum quoddam ex adstringentibus suffiat, 2 atque hoc per canistrum, & arundinem, pharmaco calido cineri insperso. 3 Quum vero inspersеris, & canistrum, sive operculum circumponito, & per arundinem insidenti fomentum adhibero. 4 Ubi vero opus fuerit ipsam suffiri, plumbea fistula utere, ut aperto osculo suffiatur. 5 Deinde quum surrexit, rursus in lecto plumbeam fistulam apponat.

βόλιον. [6] εἶτα ὑφελομένη, τηνικαῦτα
ξυνευναζέσθω τῷ ἀνδρί. [7] Καὶ, ἢν
τὰ ἀπὸ τοῦ ἀνδρὸς μὴ δῆλά οἱ ᾖ, ἐκ-
τείνασα τὰ σκέλεα καὶ ἐπαλλάξα-
σα, ἠρεμείτω. [8] νῆστις δὲ ὄφελος
ἐν ταύτῃ τῇ ἡμέρῃ, πλὴν κυκεῶ-
να, ἢν ἐθέλῃ, ἄναλτον ἐφ' ὕδατι.
[9] ʺ τοῦτο δὲ ποιέειν τότε, ὁκόταν 87
10 μέλλῃ θυμιῆσθαι. [10] ἢν δὲ ' ξυγγενο-
μένη τῷ ἀνδρὶ κατέχῃ τῇ ὑστεραίῃ
τὴν γονὴν, καὶ μηδὲν ἐς τὴν ἑτέρην
ἀπίοι ἡμέρην, [11] σιτίων μὲν εἰργέσθω
καὶ λουτρῶν, πίνειν δὲ ἄλφιτον ἐν ὕ-
δατι ἄναλτον, καὶ δὶς καὶ τρὶς τῆς ἡμέ-
ρης. [12] αὕτη δὲ ἡ δίαιτα ἔστω ἡμέρας
ἕξ· ἄμεινον δὲ ἑπτά. [13] ἢν δὲ μὴ
ἀπίῃ τὰ τοῦ ἀνδρὸς, ὅταν ξυγγένηται,
ἀλουτείτω πάντα τὸν χρόνον, καὶ ἀκι-
νητέειν ἐπιτηδευέτω. [14] ἢν δὲ βούλη-
ται περιπατέειν, περιπατείτω ἐν
ὁμαλῷ χωρίῳ καὶ λείῳ, [15] προσ-
άναντες δὲ μηδαμῶς, μηδὲ κά-
15 ταντες. [16] ' καθεζέσθω δὲ ἐπὶ μαλ-
θακοῖ, ἢν ξυλλάβῃ. [17] τὴν δ' ἄλ-
λην δίαιταν τὴν αὐτὴν ποιέεσθαι
μέχρις ἡμερέων τριήκοντα. [18] ἀλου-
τείτω δὲ, ἢ καὶ, ὅτε δέῃ λουθῆναι, ὀλί-
γῳ καὶ μὴ λίην θερμῷ. [19] τὴν δὲ κε-
φαλὴν μὴ βρέχειν. [20] σιτίοισι δὲ
χρείσθω καὶ ἄρτοισι καὶ μάζῃ, ἢν γε
βούληται. [21] κρεῶν δὲ φάσσῃ καὶ τοῖσι
παραπλησίοισι. [22] θαλασσίων δὲ,
ὁκόσα κοιλίην ἱστᾶσι. [23] εἰργέσθω δὲ
λαχάνων δριμέων. [24] οἴνῳ δὲ μέλα-
νι χρείσθω. [25] κρέασι δὲ ὀπτοῖσι
μᾶλλον ἢ ἑφθοῖσι, καὶ τῶν ἡμέρων καὶ
20 τῶν ' θηρείων. [26] καὶ ταῦτα μὲν, ἢν ξυλ-
λάβῃ, οὕτως χρὴ ποιέειν. [27] ἢν δέ γε
μὴ ξυλλάβῃ, ἀλλ' οἴχεται δευτε-
ραῖα ἢ τριταῖα τὰ τοῦ ἀνδρὸς ῥεό-
μενα παμπόλλῳ ὑγρασίῃ, δῆ-
λον, ὅτι ὑγρότεραί εἰσιν αἱ ὑστέ-
ραι. [28] θεραπεύειν οὖν χρὴ κατὰ
τὸν

ponat. [6] Deinde ea subtracta
cum viro coëat. [7] Et si ea quæ
à viro prodeunt, non fuerint ei
manifesta, extentis & alternatim
positis cruribus quiescat. [8] Je-
junium autem utile est in hac
die, præterquam si 'cyceonem 325
velit non salsum in aqua. [9] Hunc
autem tunc bibat quum vult suf-
firi. [10] Si vero ubi cum viro co-
ivit, postridie detineat genitu-
ram, & neque altera die exeat: [11]
à cibis quidem & balneis pro-
hibeatur. Bibat autem polentam
in aqua non salsam, bis ac ter in
die. [12] Atque hæc diæta sit per
sex dies, aut quod melius est, se-
ptem, [13] si non exierint ea quæ à
viro suscepit dum cum ipso co-
ivit, Illota vero maneat per ' om- 330
ne tempus, & det operam ut mo-
tus vitet. [14] Si vero deambulare
velit, deambulet in loco plano &
lævi, [15] nequaquam acclivi, ne-
que declivi. [16] Desideat etiam
super mollia, si conceperit. [17]
Reliquam vero diætam eandem
faciat usque ad dies triginta. [18]
Illota autem sit, aut si lavari opus
habeat, pauca & non valde calida
lavetur. [19] Caput vero ne made-
faciat. [20] Cibis autem utatur &
panibus, & maza, si velit. [21] Ex
carnibus autem, 'palumbe, & 335
similibus: [22] ex marinis, his quæ
alvum sistunt: [23] prohibeatur ab
oleribus acribus. [24] Vino vero
nigro utatur. [25] Carnibus au-
tem assatis potius quam coctis,
tum mansuetis, tum ferinis. [26]
Et hæc quidem si conceperit,
hoc modo facere oportet. [27] Si
vero non conceperit, sed secun-
da aut tertia die exeunt quæ à
viro immissa sunt, fluentia cum
multa humiditate: manifestum
est quod uteri sunt humidiores.
[28] Curare 'itaque oportet juxta 340
relatum

τὸν ὑφηγημένον τρόπον, μέχρις ἂν ξηραὶ γένωνται. [29] ὁκόταν δ' ἤδη δοκέωσι ξηραὶ εἶναι, ἰητρεύειν χρὴ ὧδε. [30] ἄριστον φάρμακον μαλθακτήριον, μηκωνόπιόν τε καὶ ἐς τοὔμπροσθεν, ἄχρις οὗ αὗται κατὰ φύσιν γένωνται. [31] καὶ αὖθις ἴτω παρὰ τὸν ἄνδρα, ὅταν τὰ ἐπιμήνια μηκέτι πολλὰ, ἀλλ' ὀλίγα καὶ εὔχροα, καὶ ὀργᾷ. [32] καὶ ἐν τῇσιν ἄλλῃσιν ἡμέρῃσιν ἱμείρεσθαι χρὴ τοῦ ἀνδρὸς, ἢν ἄριστα ἔχωσιν αἱ ὑστέραι. [33] ὅταν δὲ ξυγγένηται ἐν τῇσιν ἡμέρῃσι τῇσιν εἰρημένῃσιν, ἢν εὐτρεπισθῶσιν αἱ ὑστέραι, ἢν κατίσχῃ τε τὴν γονὴν ἡμερέων δέκα, ἢ δυοκαίδεκα, μὴ ἰέναι ὡς τὸν ἄνδρα.

XXVII. Ἢν δὲ μὴ ξυλλάβῃ, ὑγιέες δὲ ἔωσιν αἱ μῆτραι· [2] γίνεται γὰρ δὴ καὶ τοῦτο πολλῇσιν· [3] ἐπειδὰν ἀκιδναὶ αἱ μῆτραι ἐοῦσαι ἄτροφοι ὑπὸ πάθεος γένωνται, [4] ἢ ὑπὸ φαρμακείης τε, καὶ πυρίης πολλῆς, [5] οὐ δύνανται φέρειν τὴν γονὴν, πρὶν ἢ ἠθάδες γίνωνται καὶ ἰσχύωσιν. [6] γνωστὸν δὲ τοῖσιδέ ἐστιν ὧδε. [7] ὁκόταν ἀπίῃ οἱ, ἄπεισι δὲ δευτεραίη ἢ καὶ τριταίη, καὶ ἐπὶ ἀνωτέρω· [8] ἀπέρχεται δὴ παχεῖά τε καὶ ξυνεστῶσα οἷον βλέννα, [9] ἢν μὴ κακόν τι ᾖ, καὶ διὰ νοῦσον ἑτέρην ὑστερέων ἡ γονὴ ἀπαλλάσσηται. [10] ὅταν οὖν τοιαῦτα φανῇ, θεραπείης μὲν ἀπέχειν ὑστερέων, τοῦ δὲ ἄλλου σώματος ἐπιμέλειαν ἔχειν, [11] ὡς καὶ ἡ ἕξις τοιαύτη οἱ ᾖ, ὡς ξυνεσταλμένον τε ἅμα τὸ σῶμα εἶναι καὶ εὔογκον· [12] λουτροῖσι [δὴ] ὀλίγοισι, πλείοσι δὲ πόνοισι καὶ κούφοισι· [13] δριμέων [δ'] καὶ ἁλμυρῶν εἴργεσθαι. [14] ἐμέτοισι [δ'] χρέεσθαι πρὸ τῶν ἡμερέων, ὧν μεμάθηκε τὰ ἐπιμήνια γίνεσθαι, [15] καὶ αὖθις λιμα-

relatum modum, donec sicci fiant. [29] Quum autem sicci esse videbuntur, sic curato. [30] Optimum est pharmacum mollitorium, & retro, & anteriori parte ipsi adhibitum, donec uteri ad naturam suam redeant: [31] & rursus ad virum accedat, quum menses non amplius multi, sed pauci & bene colorati fuerint, & ad libidinem concitatur. [32] Sed & in aliis diebus cum viro consuetudinem habere oportet, si optime habuerint uteri. [33] Quum autem in relatis diebus consuetudinem habuerit cum viro, si probe parati fuerint uteri, & si genituram ad decem aut duodecim dies detinuerit, ne adeat virum.

XXVII. Si vero non concipiat, uteri autem sani sint: [2] contingit enim & hoc plerisque, [3] quum debiles existentes uteri, ab affectione macilenti fiunt: [4] aut præ medicamentis & fomento multo, [5] genituram ferre non possunt, priusquam assueti fiant & convalescant. [6] Hoc autem sic cognosci potest. [7] Quum ab ipsa exierint, secunda aut tertia die exeunt, aut adhuc prius, [8] crassa & compacta velut mucus: [9] nisi mali quid sit, & propter alium uterorum morbum genitura discedat. [10] Quum igitur talia apparuerint, curatione quidem uterorum non est opus, verum reliqui corporis cura habenda est, [11] quo hujusmodi bonus habitus sit ipsi, ut contractum simul sit corpus, & justa mole præditum, [12] ex paucorum balneorum, plurium vero & levium laborum usu. [13] Ab acribus autem & salsis prohibeatur. [14] Vomitibus utatur ante dies quibus menses fieri solent, [15] & rursus

λιμοκτονέηται, 16 καὶ τἄλλα ἐπιτελέειν, ὅσα εἴρηται. 17 αὕτη μὲν θεραπείη ἀμφὶ τῶνδε.

XXVIII. Ὁκόσῃσι δὲ, ὅταν ξυγγένωνται, αὐτίκα διαῤῥέει τὰ ἀπὸ τοῦ ἀνδρὸς, ταύτῃσι τὸ στόμα τῶν ὑστερέων πρόφασις. 2 θεραπεύειν δὲ δεῖ οὕτως. 3 ἢν μὲν σφόδρα μεμυκὸς ᾖ, ἀναστομῶσαι τοῖσι δᾳδίοισι καὶ τοῖσι μολιβδίοισι. 4 πυριῆν δὲ μαλθακῇ πυριῇ, τῇ ἐκ τοῦ μαράθρου. 5 καὶ καθαίρειν προσθέτοισιν, οἷα λεπτύνει τὰς ὑστέρας, καὶ ἐς ἰθὺ καθίστησι. 6 μετὰ δὲ τὰς καθάρσιάς τε καὶ πυριὰς κλύζειν τοῖσδε, ἅσσα ἐναντία τῇ προφάσει.

XXIX. Ὁκόσῃσι δὲ τὸ στόμα ἀπεστραμμένον ἐστὶ καὶ προσπεπτωκὸς πρὸς τὸ ἰσχίον· 2 γίνεται γὰρ καὶ τοιαῦτα διακωλύοντα τὴν ὑστέρην τὴν γονὴν προσδέχεσθαι· 3 ὅταν οὖν τι τοιοῦτον ξυμβῇ, πυριῆν χρὴ τῇσιν εὐώδεσι πυρίῃσι. 4 μετὰ δὲ τὴν πυρίην παραφασσομένην τῷ δακτύλῳ ἀποσπᾶν ἀπὸ τοῦ ἰσχίου. 5 ὅταν δὲ ἀποστήσῃ, ἐξορθοῦν τοῖσι δᾳδίοισι καὶ τῷ μολιβδίῳ κατὰ τὸν ἔμπροσθεν λόγον. 6 ὅταν δὲ ἐξωρθωμέναι τε καὶ ἀνεστομωμέναι γένωνται, προσθέτοισι μαλακοῖσι καθαίρειν, καὶ τἄλλα ποιέειν κατὰ τὸν ὑφηγημένον τρόπον.

XXX. Ὅταν δὲ ἀνεστομωμέναι μᾶλλον τοῦ δέοντος αἱ ὑστέραι ἔωσι, καθάρσιος δέονται. 2 μετὰ δὲ τὰς καθάρσιας, κλυσμῶν ἀζέων καὶ θυμιημάτων. 3 ἢν δὲ ἐγγύτερον ἔωσι τοῦ δέοντος, ἐμέτων δέονται αἱ ὑστέραι, καὶ πυρίης δυσώδεος, μέχρις ὅτου ἐς χώρην ἔλθωσι. 4 τῇ διαίτῃ δὲ τῇ ὑφηγημένῃ χρῆσθαι.

5 Ἢν δὲ τὸ στόμα πιμελῶδες ᾖ καὶ παχὺ, καὶ διὰ τοῦτο μὴ κυίσκηται, 6 νάπυ ἑφθὸν ἐσθιέτω νῆστις, καὶ ἄκρητον ἐπιπινέτω.

rurſus fame maceretur, 16 & alia perficiat quæ dicta ſunt. 17 Atque hæc quidem harum curatio eſt.

XXVIII. Quibus autem ſtatim ubi coiverint diffluunt ea quæ à viro ſunt immiſſa, his os uterorum cauſſa eſt. 2 Curare vero ſic oportet. 3 Siquidem valde concluſum fuerit, tædis & plumbeis fiſtulis immiſſis aperito, 4 & molli fomento ex fœniculo foveto, 5 & ſubdititiis, quæ uteros attenuant, & in directum redigunt, purgato. 6 Poſt purgationes autem & fomenta, ea infundito quæ cauſſæ ſunt contraria.

XXIX. Quibus vero os diſtortum eſt, & ad coxam allapſum: 2 fiunt enim etiam talia prohibentia, ne uterus ſemen ſuſcipiat. 3 Quum igitur tale quid acciderit, odoratis fomentis fovere oportet: 4 poſt fomentum autem, per digitum avulſum à coxa detrahito. 5 Quum autem diſceſſerit, tædis & plumbeis fiſtulis immiſſis juxta priorem rationem in rectitudinem dirigito: 6 ubi vero rectificati ac aperti fuerint uteri, medicamentis ſubdititiis purgato, & alia facito juxta relatam rationem.

XXX. Quum autem magis quam oportet aperti fuerint uteri, purgatione opus habent: 2 poſt purgationes autem, collutionibus & ſuffimentis. 3 Si vero propiores ſint quam oportet, vomitibus uteri opus habent, & fomento fœtido, donec ad ſuum locum redeant. 4 Diæta vero utendum eſt relata.

5 Si vero os pingue fuerit & craſſum, & propterea non concipiat, 6 ſinapi coctum jejuna edat, & meracum inſuper bibat.

πινέτω. 7 προσθέτω δὲ νίτρον ἐρυθρὸν, καὶ κύμινον, καὶ ῥητίνην. 8 ἄριστον δὲ οἴνῳ νίτρον ξὺν σμύρνῃ ξυμμίσγειν, καὶ ῥητίνῃ ἅμα, καὶ κυμίνῳ, καὶ μύρῳ λευκῷ. 9 ἢ ἐλάφου κέρας καύσαι καὶ μίξαι ὠμήλυσιν διπλῆν ἐν οἴνῳ ἡμέρας τέσσαρας πινέτω. 10 ἢν δὲ μὴ ῥαΐζῃ, πράσα ἑψεῖν, καὶ ἀμφικαθίζεσθαι. 11 ἢ φηγὸν τρίβουσα προστιθέσθω. 12 σκόροδά τε τρωγέτω νεαρὰ, καὶ μελίκρητον ἐπιπίνουσα, ἐμείτω.

XXXI. Ὁκόσῃσι δὲ ἐμμένει, καὶ ἐνσήπεται, καὶ ὄχλον ποιέει, 2 ἀνδράφαξιος ἀγρίης καρπὸν ἢ χυλὸν ξὺν μέλιτι, ἢ ξὺν κυμίνῳ ἐκλεικτὸν διδόναι. 3 ὅταν δὲ δυσώδεα ᾖ, οὐ κυΐσκεται. 4 ἀνδράχνην οὖν καὶ χηνὸς ἔλαιον μίσγειν καὶ προστιθέναι.

5 Ὁκόσῃσι δὲ ἑκταῖα καὶ ἑβδομαῖα τὰ ἀπὸ τοῦ ἀνδρὸς καὶ σηπόμενα χωρέει, ταύτῃσιν εἰκὸς γίνεσθαι ὑπ᾽ ἀμφοῖν, 6 ἢν [οὖν] ἐπιρρέῃ ἡ χολῆς καὶ ἅλμης. 7 θεραπεύειν χρὴ ἐλλεβόρῳ ἢ σκαμμωνίῃ καὶ πεπλίῳ. 8 καθαίρουσι γὰρ ταῦτα ἄνω τε καὶ κάτω φλέγμα καὶ χολὴν, καὶ φύσας ἄγει. 9 πρὸ δὲ τῶν καθάρσεων τῇσι χρέεσθαι ἐκ τῶν θυμιημάτων. 10 ὅταν δὲ πυριήσῃς, καθαίρειν προσθέτοισι, τὸν τρόπον, ὡς ἐν τοῖσι πρόσθεν. 11 καὶ μετὰ τὰς προσθέσιας καὶ καθάρσιας τοῖσι μαλθακτηρίοισι χρέο· 12 καὶ τὸ ἐκ τῆς λινοζώστιος προσθετὸν, καὶ ἀρτεμισίης ποίης, καὶ ἀνεμώνης, καὶ ἐλλεβόρου λευκοῦ ἢ μέλανος. 13 τὰ μὲν τῶν φαρμακέων ταύτῃσιν ὧδε χρή.

XXXII. Τὴν δὲ δίαιταν ἀποσκεπτόμενον τῆς ἀνθρώπου, ἐς τὸ ὅλον σῶμα-

bat. 7 Apponat autem nitrum rubrum, & cuminum, ac resinam. 8 Optimum autem fuerit nitrum vino ammiscere & resinæ, una cum cumino & unguento albo. 9 Aut cornu cervi urito, & duplum crudæ hordeaceæ farinæ cum vino ammisceto. 10 Si vero non melius habeat, porrum coquito, & ipsam insidere facito. 11 Aut fagum id est glandem tritam apponat. 12 Et allio recenti vescatur, & aqua mulsa insuper pota vomat.

XXXI. Quibus porro intus manet viri semen & computrescit, & turbationem facit, 2 his atriplicis semen aut succum, cum melle aut cum cumino delingendum dato. 3 Quum autem à viro immissa graveolentia fuerint, non concipit. 4 Portulacam igitur & adipem anserinum misceto & apponito.

5 Quibus vero sexta aut septima die, à viro immissa prodeunt putrefacta, his verisimile est, ab utrisque fieri, 6 & bilis, & salsuginis influxu. 7 Curare autem sic oportet, per veratrum, aut scammonium, aut peplum. 8 Hæc enim sursum ac deorsum pituitam & bilem purgant, & flatus educunt. 9 Ante purgationes autem fomentis utendum est ex suffimentis. 10 Ubi vero fomentum adhibueris, per subdititia purgato, eodem modo velut in prioribus. 11 Et post subdititiorum ac purgationum usum, mollitoriis utere, 12 & subdititio medicamento ex mercuriali & artemisia herba, & anemona, & veratro albo aut nigro. 13 Atque hæ quidem medicationes hoc modo his conducunt.

XXXII. Diætam vero respectu ad totum hominis corpus facto

σώματος ποιέειν, ἤν τε αὐχμηροτέρη δοκέῃ εἶναι, ἤν τε σαρκωδεστέρη. [2] καὶ ἢν μὲν αὐχμηροτέρη, λουτροῖσι πλείοσι, καὶ ἑφθοῖσι πᾶσι τοῖς ὄψοισιν, εἴ τε θαλασσίοισιν, εἴτε κρέασιν· [3] οἴνῳ δὲ ὑδαρέϊ, λαχάνοισί τε ἑφθοῖσι καὶ λιπαροῖσι πᾶσι καὶ γλυκέσι. [4] ταῦτα γὰρ ὡς ἐπὶ τὸ πολὺ ποιέει ὑγρηδόνα εἶναι, καὶ ἐν τῷ παντὶ σώματι, καὶ ἐν τῇσιν ὑστέρῃσιν. [5] ἢν δὲ ὑγροτέρη ᾖ, δέονται αἱ τοιαῦται ὑστέραι τούτων οὐδὲν, ἀλλὰ τἀναντία, [6] οὐ χρὴ οὔτε ψαύεσθαι, οὐδὲ κλύζεσθαι νεοχμοῖς, οὐδὲ θυμιῆσθαι. [7] πρὸς γὰρ τὸ κινδυνεύμενον φιλέει ἰέναι. [8] καὶ ἢν ἐξυγρανθῶσι μᾶλλον τοῦ φύσιος, χρὴ δὴ ξηραίνειν καὶ θυμιῆν. [9] ἢν δὲ χολώδεα ἴῃ ἐπὶ σφέας, ὅ, τι χολὴν καθαίρει, διδόναι. [10] ἢν δὲ ἁλμυρώδεα, γάλα ὄνειον, καὶ οἶνον, καὶ τὰ ἄλλα ἀλεξιτήρια. [11] χρὴ δὲ σκεψάμενον τῶν νοσημάτων τὰς δυνάμιας, καὶ ὑφηγεύμενον τὰς προφάσιας, ὡς χρὴ, ἐξ ὧν αἱ νοῦσοι γίνονται, ἐπὶ τὰ ἄλλα ἰέναι ὧδε, καὶ τὰ ἀμφὶ τὰ χωρία ἰῆσθαι. [12] ὅσαι μὲν διὰ τῶν στομάτων περιφερέων τὴν αἰτίην κωλύονται, μὴ ἴσχειν ἐν γαστρὶ, τούτων εὐτρεπίζειν τὰ στόματα, ὡς εὐκρινέα ᾖ. [13] ὁκόταν δὲ ἡ ὑγρηδὼν εἴργῃ, ταύτην ἐσορῇν ὡς μὴ διακωλύῃ, σκεπτόμενον ἐς ὅλα τὰ πρήγματα τῶν γυναικῶν, [14] ἤν τε ἐξ ἅπαντος τοῦ σώματος δοκέῃ τι κινέεσθαι, ἤν τε ἀπ' αὐτέων τῶν ὑστερέων, ἤν τε ἀπ' ἀμφοῖν.

XXXIII. Τὰς δὲ ὑστέρας ὧδε μελεδαίνειν, ὅκως μήτε ὑγραὶ ἔωσι, μήτε λίην αὐαίνωνται. [2] ἀλλὰ τὰς μὲν ξηροτέρας εὐχύλως, ὅσῳ καὶ αὐχμηρότεραί εἰσι, τοιαύτῃ ἰκμάδι, ὡς πιαλέαι μᾶλλον ἔσονται ἢ ἰσχναλέαι. [3] τὰς δὲ ἐξυγρασμένας καὶ διαβρόχους ξηραίνειν, ὑπολειπόμενον

constituere oportet, sive siccior, sive carnosior mulier esse videatur. [2] Et siquidem siccior fuerit, balneis pluribus, & obsoniis omnibus coctis, tum marinis, tum carnibus utatur. [3] Vino vero aquoso, & oleribus coctis, & pinguibus omnibus ac dulcibus. [4] Hæc enim plerunque faciunt ut humiditas sit, tum in reliquo corpore, tum in uteris. [5] Si vero humidior fuerit, tales uteri nullo ex his opus habent, sed vice versa: [6] neque contrectare, neque lavare recenti motu facto oportet, neque suffire. [7] Nam ad periculum hæc procedere solent. [8] Et si magis quam pro natura fuerint humectæ, siccare sane ac suffire oportet. [9] Si vero biliosa in ipsos confluant, medicamentum dare quod bilem purgat. [10] Si vero salsuginosa, lac asininum, & vinum, & alia auxiliaria. [11] Morborum porro vires considerare oportet, & causas ex quibus morbi fiunt exquirere, atque sic ad alia procedere, & morbos circa locos curare; [12] & quæ quidem ob causam osculorum biantium prohibentur, ut ne detineant in ventre, harum oscula præparare, ut probe diducta sint. [13] Quum vero humiditas prohibuerit, hanc inspicere ut ne impediat, totis mulierum negotiis expensis, [14] sive ex toto corpore quid moveri videatur, sive ex ipsis uteris, sive ex utrisque.

XXXIII. Uteros autem sic curare oportet, ut neque humidi sint, neque valde sicci. [2] Imo sicciores quidem, tanto magis bono succo, quanto sunt sicciores, ejusmodi humiditate ut pingues magis fiant quam graciles. [3] Humectos vero & madidos siccare, ita ut relinquas quo humidi

sint,

ῥεῦμον ἐνίκμους εἶναι, καὶ μὴ λίην ἀνεξηράνθαι. 4 αἱ γὰρ ὑπερβολαὶ τουτέων πάνυ φαῦλαι. 5 λαμβάνει δὲ ἐν γαστρὶ, οὔτε τὴν ὑγρηδόνα ἔχουσαν, οὔτε ἢν ἀναξηρασμένην, ἢν μὴ ἡ ἐν τῇ ἀρχαίῃ φύσει τουτέων τι. 6 ἰέναι δὲ χρὴ παρὰ τὸν ἄνδρα, ὅταν τὰ ὑπὸ τῆς θεραπείης καλῶς ἔχῃ, 7 ληγόντων ἢ ἀρχομένων τῶν ἐπιμηνίων. 8 ἄμεινον δὲ καὶ ἐπὴν παύσωνται. 9 μάλιστα δὲ ἐν ταύτῃσι τῇσιν ἡμέρῃσι πειρηθῆναι, ἢν δύνηται κυΐσκεσθαι· αὗται γὰρ κυριώταται. 10 ἢν δὲ μὴ αὐτίκα ξυλλάβῃ, τὰ ἄλλα δὲ καλῶς ἔχῃ, οὐδὲν τὸ κωλῦον ἐν τῇσιν ἄλλῃσι τῶν ἡμερέων ξυνιέναι ἀνδρί. 11 προθυμίην γὰρ σφίσι ποιέει ἡ μελέτη, καὶ ἀναχαλᾶται τὰ φλέβια. 12 καὶ, ἢν τὰ ἀπὸ τοῦ ἀνδρὸς ἀπιόντα ὁμορροθῇ κατ' ἰξὺν τῷ ἀπὸ τῆς γυναικὸς, τάχιον κυήσει. 13 καὶ γὰρ τόδε αἴτιόν ἐστιν ᾗσιν, ἤν τε αὐτίκα, ἤν τε ἐν ὑστέρῳ χρόνῳ ἀπίῃ. 14 ταῦτα μὲν ἀμφὶ τούτων λέλεκται.

XXXIV. Ἢν δὲ ὑγρότερον ᾖ τὸ στόμα τῶν ὑστερέων, οὐ δύνανται εἰρύσαι τὸν γόνον. 2 προσθέτοισι δὲ χρὴ καίεσθαι δριμέσι. 3 δηχθεὶς γὰρ καὶ φλεγμήνας ὁ στόμαχος, στερρός ἐστιν ὅτε γίνεται, 4 καὶ κατὰ δὲ ἢν δέχεσθαι. 5 καὶ, ἢν σκιρρωθῶσιν, ἄμεινον τὰ δριμέα τι προσαιθῆναι, [καὶ] ἃ δήξονται. 6 τὰ γὰρ λεπτὰ καὶ πυρώδεα ἐόντα τὸ σκῦρον διαχέει. 7 ἢν δὲ καταμαλθαχθῇ ὁ σκίρρος, μαλθακοῖσιν ἰῆσθαι, καὶ ὅσα μὴ δήξεται.

XXXV. Ἢν δὲ χρόνον πολὺ μὴ κυΐσκηται, τῶν καταμηνίων μὴ φαινομένων, 2 ὅταν ἡ τρίτη ἢ τετάρτη, στυπτηρίην λείην τρίψας μύρῳ, εἰρίῳ ἀναστοιχίζων προσ-

sint, & non valde resiccentur. 4 Excessus enim in his valde sunt vitandi. 5 Concipit autem in ventre, neque ea quæ humiditatem habet, neque quæ resiccata est, nisi quid horum in uteri natura fuerit. 6 Cæterum virum adire ipsam oportet, post adhibitam curationem, 7 desinentibus aut inchoantibus mensibus. 8 Optimum est etiam ubi quieverint. 9 Maxime vero in his diebus experiendum est, an prægnans fieri possit: hi enim sunt opportunissimi. 10 Si vero non statim concipiat, & reliqua bene habeant, nihil prohibet etiam aliis diebus cum viro coire. 11 Nam hæc exercitatio alacritatem ipsi inducit, & venulæ hinc laxantur: 12 & si ea quæ à viro prodeunt concurrerint secundum rectitudinem cum eo quod à muliere, citius concipiet. 13 Hæc enim caussa est his, quibus sive statim, sive posteriore tempore exeunt. 14 Atque hæc quidem de his dicta sunt.

XXXIV. Si vero humidius fuerit os uterorum, genituram attrahere non possunt. 2 Urendum autem est medicamentis subditiis acribus. 3 Commorsus enim & inflammatus stomachus, solidus ac firmus quandoque fit, 4 & aliquo modo accommodatur. 5 Sed & si in callum indurati fuerint, præstat acria apponere quæ mordeant. 6 Quæ enim tenuia & fervida sunt, calli duriciam diffundunt. 7 Si vero mollitus fuerit callus, mollibus curato, & his quæ non mordent.

XXXV. Quod si diu non concipiat, mensibus non apparentibus, 2 quum tertia aut quarta dies aderit, alumen tritum, unguento dilutum, & lana exceptum

προσθέσθω· καὶ ἐχέτω [ἐπὶ] ἡμέρας τρεῖς. 3 τῇ δὲ τετάρτῃ, χολὴν βοὸς αὔην ἐν ἐλαίῳ ἀναζέσας, καὶ ἄχνην ἀναδεύσας, προσθέσθω· καὶ ἐχέτω ἐπὶ ἡμέρας τρεῖς. 4 τῇ δὲ ὑστεραίῃ ἐξελέσθω, καὶ τῷ ἀνδρὶ ξυνίτω.

XXXVI. Ἢν γονὴν μὴ δέχηται ἡ γυνὴ, τῶν γυναικείων κατὰ φύσιν ἐρχομένων, ὑμὴν ἐπίπροσθεν ἐστι. 2 γίνεται δὲ καὶ ἐξ ἄλλων. 3 γνώσῃ δὲ, ἣν τῷ δακτύλῳ ἅψῃ τοῦ προβλήματος. 4 πρόσθεμα δὲ ποιήσαι ῥητίνην καὶ ἄνθος χαλκοῦ, ἐν μέλιτι δεύσας, ὀθόνιον ἀναδεύσας, προσθέσθω, ῥάμμα ἐνδήσας ἐκ τοῦ ἄκρου, ὡς ἐσωτάτω. 5 ὅταν δὲ ἐξελκύσῃς, τὴν μυρσίνην ἐν οἴνῳ ἀφεψῶν, τῷ οἴνῳ χλιαρῷ διανιζέσθω. 6 περιελεῖν δὲ τὸν χιτῶνα ἄμεινον.

XXXVII. Εἰσὶ δὲ γυναῖκες, αἵ τινες λαμβάνουσι μὲν ῥηιδίως ἐν γαστρὶ, ἐξενεγκεῖν δὲ οὐ δύνανται· 2 ἀλλά σφεων τὰ παιδία διαφθείρονται ἢ ἅμα τῷ τρίτῳ μηνὶ, ἢ τῷ τετάρτῳ, 3 οὐδεμιῆς αἰτίης ἐπιγενομένης, οὐδὲ βορῆς ἀνεπιτηδείης. 4 καὶ ταῦτα σφίσιν ἐστὶν αἴτιον ἐν τῷ εἰρημένῳ 5 καὶ μάλιστα, ἐπὴν τὰς διαμονὰς τῆς αὐξήσιος τοῦ ἐμβρύου αἱ μῆτραι, ἢ ἡ κοιλίη σφιν ταραχθῇ. 6 ἀσθένεια [δὲ] καὶ πυρετὸς σφοδρὸς, καὶ ἀσιτίη ἐμπίπτει τοῦ χρόνου τούτου, ᾧ ἂν τὰ παιδία φθείρωσιν. 7 ἔστι δὲ καὶ τόδε αἴτιον, ἣν αἱ μῆτραι ἔωσι λεῖαι, ἢ φύσει, ἢ ἑλκέων ἐν αὐτῇσιν ἐγγενομένων. 8 ἢν γὰρ λεῖαι ἔωσιν, ἐστὶν ὅτε οἱ ὑμένες οἱ περιέχοντες τὸ ἔμβρυον, ἧσσον, ἢ ὡς δεῖ, ἐχόμενοί εἰσι, τῶν μητρέων ἀλεῶν ἐουσέων, καὶ ἀπ' αὐτέων ἀφίστανται, ὅταν τὸ παιδίον ἄρχηται κινέεσθαι. 9 εἰδείη δ' ἄν τις τούτων ἕκαστα, εἰ ἐρωτῴη ἀτρεκέως ταῦτα. 10 περὶ δὲ τῆς λειότητος, εἰ ἑτέρη

ptum apponito, & habeat per triduum. 3 Quarta vero die fel bubulum siccum in oleo fervefacito, & lanam teneram eo imbutam subdito, & habeat per triduum. 4 Postridie autem eximat, & cum viro coeat.

XXXVI. Si genituram non concipiat mulier, mensibus secundum naturam prodeuntibus, membrana præposita est (2 fit etiam ex aliis causis) 3 cognosces autem ubi digito obicem contigeris. 4 Facito autem medicamentum subdititium: resinam & æris florem cum melle subacta in linteo apponito quam penitissime, filo ad extremitatem alligato: 5 ubi vero hoc extraxerit, myrtum in vino coquat, & vino tepido perluatur. 6 Præstat autem membranam auferre.

XXXVII. Sunt autem mulieres quæ facile quidem in ventre concipiunt, gestare vero non possunt, 2 sed fœtus ipsis corrumpuntur, aut tertio, aut quarto mense, 3 nulla causa accedente, neque cibo incommodo ingesto: 4 & hæc est causa quæ relata est, 5 & maxime quum uteri augmentum fœtus dimiserint, aut venter ipsis turbetur. 6 Debilitas autem, & febris vehemens, & cibi fastidium incidit eo tempore quo fœtus corrumpunt. 7 Est autem & hæc caussa, si uteri fuerint læves, aut natura, aut ulceribus in ipsis innatis. 8 Si enim læves fuerint, quandoque continentes ipsum pelliculæ, minus quam oportet cohærent: utpote quum uteri ipsi pleni existant: 9 cognoverit autem quis hæc, si de his exacte interroget. 10 De lævitate vero cogno-

ἑτέρη γυνὴ ψαύσειεν τῶν μητρέων κενεῶν ἐουσέων. [11] οὐ γὰρ ἄλλως διάδηλον γίνεται. [12] ἢν δὲ ἴωσι τὰ καταμήνια ταύτῃσιν, ἀλέα ἔρχεται. [13] ἔστιν αὐτέων ᾗσι γίνεται, ὥστε ἐκφέρειν τὰ ἔμβρυα. [14] μελεδαινομένῃ δὲ ἐλπίδες ἔνεισι τόκου. [15] ἀμφὶ δὲ τῶνδε ὧδε ἔχει.

XXXVIII. Ἢν γυναῖκα μὴ δυναμένην [τικτεῖν,] τοκήεσσαν ἐθέλῃς γενέσθαι, χρὴ τοῖσιν ἐπιμηνίοισι σκέψασθαι, ἤν τε φλεγματώδεα, ἤν τε χολώδεα ᾖ. [2] γνώσῃ δὲ τῷδε, ψάμμον ὑποβάλλων λεπτὴν καὶ ξηρὴν, ὅταν οἱ τὰ ἐπιμήνια γίνηται, ἐν τῷ ἡλίῳ ἐπιχέαι τοῦ αἵματος, καὶ ἐᾶν ξηρανθῆναι. [3] καὶ, ἢν μὲν χολώδης ᾖ, ἐν τῇ ψάμμῳ ξηραινόμενον τὸ αἷμα χλωρὸν ἔσται. [4] ἢν δὲ φλεγματώδης ᾖ, οἷον μύξαι. [5] τούτων ὁκότερον ἂν ᾖ, καθῆραι τὴν κοιλίην, ἤν τε ἄνω δέῃ, ἤν τε κάτω. [6] ἔπειτα τὰς ὑστέρας καθαίρειν. [7] ἢν δὲ θέλῃς ξυλλαβεῖν, τοῦ κισσοῦ ἑπτὰ κόκκους, [8] ἢ τῶν φύλλων κατὰ μῆνα πιεῖν ἐν οἴνῳ παλαιῷ, παυομένων τῶν ἐπιμηνίων. [9] ἑψήσας καὶ σίδιον ἐν οἴνῳ εὐώδει ἀκρήτῳ, καὶ βάλανον ἐκ τούτου ποιήσας, προσθεῖναι ἐς τὴν μεσημβρίην, [10] ἢ στυπτηρίην αἰγυπτίην τρίψας λεπτὴν ἐς εἴριον ἐνδήσας προσθέσθαι. [11] ἡνίκα δ' ἥλιος δύῃ, εἶτα ἀφελομένη, διανιζέσθω οἴνῳ εὐώδει. [12] ποιέειν δὲ ταῦτα, παυομένων ἐπιμηνίων. [13] ἔχει δὲ καὶ τόδε οὕτως.

[14] Ἐπὴν ἀποκαθαρθῶσιν αἱ γυναῖκες, μάλιστα ἐν γαστρὶ λαμβάνουσιν ἱμερωθεῖσαι, [15] καὶ ὁ γόνος σφίσι ῥώννυται, ἢν μισγέωνται ὅτε χρὴ, [16] καὶ ὁ τοῦ ἀνδρὸς ῥηϊδίως μίσγεται, [17] καὶ, ἢν ἐπικρατήσῃ, ἐνίδεται ἠδελφίσαι. [18] τότε γὰρ μάλιστα

cognoverit, si alia mulier contigerit, dum uteri vacui sunt. [11] Non enim hoc tempore manifestum fit. ■ Si vero menses prodierint his, acervatim prodeunt. [13] Quibusdam tamen ipsarum contingit ut fœtus edant. [14] Et si qua curetur, spes partus adest. [15] Et de his quidem sic habet.

XXXVIII. Si mulierem puerperam facere velis, alias concipere nequeuntem, menses considerare oportet, an pituitosi sunt aut biliosi. [2] Cognosces autem sic. Arenam tenuem ac siccam subjicito, & quum menses prodeunt, in sole sanguinem perfundito, ac siccari sinito. [3] Et siquidem biliosa fuerit, sanguis in arena siccatus pallidus erit. [4] Si vero pituitosa fuerit, velut mucus. [5] Utrum igitur horum fuerit, venerem purgato, sive supra opus habuerit, sive infra: [6] postea uteros purgato. [7] Si vero concipere voles, hederæ grana septem, [8] aut folia, singulis mensibus in vino veteri, cessantibus mensibus, bibenda dato. [9] Et malicorium in vino odorato meraco coquito, & glandem ex hoc factam in meridie subdito. [10] Aut alumen ægyptium tritum lanæ illigatum apponito. [11] Quum autem sol occiderit, eo detracto, vino odorato perluatur. [12] Hæc autem cessantibus mensibus facere oportet. [13] Sed & hoc sic habet.

[14] Quum purgatæ fuerint mulieres, maxime in ventre concipiunt cum viro consuetudinem habentes, [15] & genitura ipsis corroboratur, si quando oportet coiverint. [16] Et semen viri facile ammiscetur: [17] & si prævaluerit, illi accommodatur ac appropriatur. [18] Tunc enim ma-

xime

λιστα τὸ στόμα τῶν μητρέων κέχηνε, καὶ πιεζόν ἐστι μετὰ τὰς καθάρσιας, καὶ αἱ φλέβες τὴν γονὴν σπῶσιν. [19] ἐν δὲ τῷ πρὶν χρόνῳ τό, τε στόμα τῶν μητρέων μέμυκε, καὶ μᾶλλον αἱ φλέβες, πλεῖαι αἵματος ἐοῦσαι, οὐχ ὁμοίως σπῶσι τὴν γονήν.

XXXIX. Ἢν δὲ [ὁ] γόνος ἀπορρέῃ διηνεκής, ἡ γυνὴ τῷ ἀνδρὶ οὐ ξυμμίσγεσθαι φιλέει, καὶ ξυνεοῦσα οὐ κυΐσκεται, [2] καὶ ἡ ὀσφὺς καὶ τὰ ἰσχία πόνους παρέχουσι, καὶ μιν πῦρ ἔχει βληχρόν, [3] καὶ ἀδυναμίη καὶ ἀψυχίη ἐπιγίνεται, καὶ ἔστιν ὅτε αἱ ὑστέραι ἐν τῇ σφετέρῃ αὐτέων μὴ ἔωσιν ἕδρῃ. [4] ἢν μὲν οὖν ὑπὸ πλησμονῆς ῥέῃ, ἐᾶν ἄμεινον. [5] ἢν δὲ ὑστέρη χαλάσῃ, δίαιτα χόνδρος, κρέας ὕειον, ἢ φάσσης, ἢ οἶνος μέλας. [6] πόματα δὲ ὅσα πρὸς ῥόον γεγράψεται.

XL. Νῦν δὲ ἐρέω ἀμφὶ νουσημάτων τῶν ἐν γαστρὶ ἐχουσέων. [2] φημὶ [δὲ] τῇ γυναικὶ ἐν γαστρὶ ἐχούσῃ δίμηνον ἢ τρίμηνον καὶ περαιτέρω, ἢν τὰ ἐπιμήνια προχωρέῃ αὐτίκα κατὰ μῆνα ἕκαστον, ἀνάγκη λεπτήν τε γενέσθαι καὶ ἀσθενέα. [3] ἔστι δ' ὅτε καὶ πῦρ ἐπιλαμβάνει τὰς ἡμέρας, ἕως ἂν χωρέῃ τὰ ἐπιμήνια, καὶ ἐπὴν χωρέῃ. [4] καὶ μετὰ τὴν χώρησιν χλωρὴ γίνεται· ἢν χωρέῃ δὴ ὀλίγα, [5] ταύτῃσι κεχήνασιν αἱ μῆτραι μᾶλλον τοῦ καιροῦ, καὶ παραμεθιᾶσί τι τῆς αὔξης τοῦ ἐμβρύου. [6] κατέρχεται γάρ, ἐπὴν ἐν γαστρὶ ἔχῃ ἡ γυνή, ἀπὸ παντὸς τοῦ σώματος αἷμα ἐπὶ τὰς μήτρας κατ' ὀλίγον, [7] καὶ περιειστάμενον κύκλῳ περὶ τὸ ἐν τῇσι μήτρῃσιν ἐόν, αὔξει κεῖνο. [8] ἢν δὲ χάσκωσιν αἱ μῆτραι μᾶλλον τοῦ καιροῦ, παραμεθιᾶσι τοῦ αἵματος κατὰ μῆνα, ὥσπερ εἴωθε, χωρέειν. [9] καὶ τὸ ἐν τῇσι μήτρῃσιν ἐὸν λεπτόν τέ τι καὶ ἀσθενὲς

ximе os uterorum hiat, & distentum est post purgationes, & venæ genituram attrahunt. [19] At in priore tempore, & os uterorum conclusum est, & venæ magis sanguine plenæ existentes, non similiter genituram attrahunt.

XXXIX. Si vero genitura jugi cursu defluat, mulier viro misceri non cupit, &, si misceatur, non concipit: [2] & lumbi ac coxendices doloribus vexantur; & febris debilis corripit, [3] & impotentia ac animi deliquium succedit, & aliquando uteri in suo loco non sunt. [4] Siquidem igitur præ plenitudine defluat, sinere ipsam optimum est. [5] Si vero uterus laxus fiat, diæta sit alica, caro suilla, aut palumbis, & vinum nigrum, [6] potiones vero, quæ ad fluxum describentur.

XL. Nunc porro dicam de morbis earum quæ in ventre habent. [2] Pronuncio autem de muliere in ventre habente duos aut tres menses & ultra, si menses statim prodeant singulis mensibus, necesse est tenuem ipsam fieri ac debilem. [3] Quandoque etiam febris ipsam corripit his diebus, quamdiu menses prodierint, & dum prodeunt. [4] & postquam prodierint, pallida fit. Sed & pauci prodeunt. [5] His uteri magis quam opportunum est hiant, & augmentum fœtus dimittunt. [6] Descendit enim, quum mulier in ventre habet, sanguis paulatim in uteros à toto corpore, [7] & in orbem circa id quod in uteris est circumstans, illud auget. [8] Si vero hiarint uteri magis quam oportet, sanguinem singulis mensibus, velut procedere solet, dimittunt. [9] Et quod in uteris est, tenue ac debile

ἀσθενὲς γίνεται. 10 μελεδαινομένης δὲ τῆς γυναικὸς, ἄμεινον τό, τε ἔμβρυον [ἔχει] καὶ αὐτὴ ἡ γυνὴ ὑγιαίνει. 11 ἢν δὲ μὴ μελεδαίνηται, φθείρεται τὸ ἔμβρυον· 12 κινδυνεύει δὲ καὶ αὐτὴ τὸ νόσημα χρόνιον ἔχειν, ἤν οἱ ἡ κάθαρσις πλείων τοῦ δέοντος χωρέῃ. 13 μετὰ τὴν διαφθορὴν, οἷα τῶν μητρέων μᾶλλον ἐστομωμένων, καὶ κίνδυνος ἔσται.

XLI. Ἢν δὲ γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ἡ κεφαλὴ φλεγματώδης ᾖ, 2 καταβαίνει τὸ φλέγμα δριμὺ ἐς τὴν κοιλίην, 3 καὶ καταρρήσσεται ἀπὸ τῆς κεφαλῆς ἐς τὴν κοιλίην, 4 καὶ πῦρ ἐπιλαμβάνει αὐτὴν βληχρὸν, 5 καὶ παλμοὶ ἔστιν ᾗσιν ἀσθενέες ἐπεκλυόμενοι, ἐπιδιδόντες ὀξέες. 6 ἢν δὲ καὶ ἀσιτίη ἔχῃ καὶ ἀδυναμίη, κίνδυνος ἐν τάχει φθαρῆναι τὸ ἔμβρυον. 7 καὶ αὐτὴ ἐν κινδύνῳ ἔσται ἀπενεχθῆναι, ἢν μὴ μελεδαίνηται. 8 ἐπὴν δὲ ἀποφύγῃ, ἅτε τῆς κοιλίης ὑγρῆς ἐούσης, αὐτίκα δεῖ καταλαμβάνειν. 9 πολλοὶ δὲ καὶ ἄλλοι εἰσὶ κίνδυνοι, ἐν οἷσι τὰ ἔμβρυα φθείρονται. 10 καὶ γὰρ, ἢν ἡ γυνὴ ἐν γαστρὶ ἔχουσα νοσήσῃ καὶ ἀσθενήσῃ, 11 καὶ ἄχθος βιήσηται, 12 ἢ πληγῇ, 13 ἢ πηδήσῃ, 14 ἢ ἀσιτήσῃ, 15 ἢ λειποθυμίη ἔχῃ, 16 ἢ πλείονα ἢ ὀλίγην τροφὴν λαμβάνῃ, 17 ἢ δειδίσσηται καὶ πτύρηται, 18 ἢ κεκράγῃ, 19 ἢ ἀκρατήσῃ. 20 ἐν γὰρ καὶ ἡ τροφὴ αἰτίη φθορῆς, καὶ πόμα πουλύ. 21 καὶ αὐταὶ δὲ [αἱ] μῆτραι ἔχουσι φύσιας ᾗσιν ἐξαμβλοῦνται, 22 ἢν ἔωσι πνευματώδεες, πυκναὶ, μεγάλαι, μικραὶ, καὶ ἄλλα ὅσα ἔοικεν.

XLII. Ἢν [δὲ] γυνὴ ἐν γαστρὶ ἔχουσα τὴν κοιλίην ἢ τὴν ὀσφῦν πονέῃ, ὀῤῥωδέειν καὶ τὸ ἔμβρυον ἀμ-

βλώσῃ

bile fit. 10 Si vero curetur mulier, melior & fœtus & mulier evadit. 11 Si vero non curetur, fœtus corrumpitur. 12 Sed & ipsa periclitatur, ne diuturnum habeat morbum, si purgatio plus quàm oportet prodeat. 13 Quia & post corruptionem, periculum imminebit, nimirum uteris magis apertis.

XLI. Si vero mulieri in utero habenti caput pituitosum fuerit, 2 & pituita acris in ventrem descenderit, 3 & à capite ventrem perrumpit, 4 & febris debilis ipsam corripit, 5 & palpitationes quibusdam debiles subexolutæ, augescentes acutæ. 6 Si vero etiam cibi fastidium, & impotentia corripiat, periculum est ne brevi fœtus corrumpatur. 7 Sed & ipsa in periculum adducetur, si non curetur. 8 Ubi vero effugerit, utpote ventre fluido existente, statim concludere ac constringere oportet. 9 Multa vero etiam alia sunt pericula, in quibus fœtus corrumpuntur. 10 Nam si mulier in ventre habens ægrotarit, aut debilis fuerit, 11 aut onus levarit, 12 aut percussa fuerit, 13 aut saltarit, 14 aut cibum fastidierit, 15 aut animi deliquio correpta fuerit, 16 aut amplius aut minus nutrimentum accipiat, 17 aut timeat, & consternetur, 18 aut vociferetur, 19 aut intemperanter vivat, fœtum corrumpet. 20 Nam & cibus corruptionis caussa est, & potus multus. 21 Sed & ipsi uteri naturas habent, quibus abortum faciunt, 22 quum sunt flatuosi, densi, magni, parvi, & alia his similia.

XLII. Si mulier in utero habens, ventrem aut lumbos doleat, formidare oportet ne fœ-

tum

βλῶσιν ῥηϊδίως τῶν ὑμένων, οἳ αὐτὸ περιέχουσιν. ² εἰσὶ δὲ αἳ διαφθείρουσι τὰ ἔμβρυα, ἢν δριμύ τι ἢ πικρὸν φάγωσι παρὰ τὸ ἔθος ἢ πίωσι, νηπίου τοῦ παιδίου ἐόντος. ³ ἢν γὰρ τῷ παιδίῳ παρὰ τὸ ἔθος τι γίνηται, καὶ ἢν σμικρὸν ἔτι ᾖ, θνήσκει. ⁴ καὶ ἢν τοιαῦτα φάγῃ ἢ πίῃ, ὥσπερ εἴπομεν, ὥστε οἱ ἀνάγκην ταραχθῆναι τὴν κοιλίην, νηπίου ἐόντος τοῦ παιδίου. ⁵ ἐπαΐουσι γὰρ αἱ μῆτραι τοῦ ῥεύματος χωρέοντος ἐκ τῆς κοιλίης. ⁶ καὶ ἢν ταλαιπωρήσῃ ἡ γυνὴ πλείονα τοῦ καιροῦ, καί οἱ ἡ κοιλίη ἐρχθῇ καὶ μεγάλη γένηται, ἀπογίνεται καὶ οὕτως τὸ παιδίον, ⁷ διαθερμανθὲν ὑπὸ τῆς ταλαιπωρίης, καὶ πιεζόμενον ὑπὸ τῆς κοιλίης. ⁸ κάρτα γὰρ τὰ πολλὰ σμικρὰ ἐόντα ἐστὶν ἄγυια. ⁹ τὰ δὲ καὶ μεγάλα φθείρεται παιδία. ¹⁰ ὥστε οὐ χρὴ θαυμάζειν τὰς γυναῖκας, ὅτι διαφθείρουσιν ἀέκουσαι. ¹¹ φυλακῆς γὰρ καὶ ἐπιστήμης πολλῆς δεῖ ἐς τὸ διενεγκεῖν, καὶ ἐκθρέψαι τὸ παιδίον ἐν τῇσι μήτρῃσι, ¹² καὶ ἀποφυγεῖν αὐτὸ ἐν τῷ τόκῳ.

XLIII. Εἰ δὲ γυνὴ ἐν γαστρὶ ἔχουσα τὸ σῶμα φλαύρως ἔχοι, καὶ εἴη χολώδης καὶ ἐπίπονος, καὶ πυρετήνειε ἄλλοτε καὶ ἄλλοτε, καὶ τὸ στόμα ἐκπικραίνοιτο, καὶ χλωρὴ γλῶσσα, ὄμματα ἰκτερώδεα, ὄνυχες χολώδεες, οὖρον δριμύ. ² ἄλλως τε καὶ ἢν πυρεταίνῃ, ἄλλοτε καὶ ἄλλοτε ταῦτα ξυμβαίνονται. ³ ἐπὴν δὲ ξυμβῇ οἱ καὶ τὴν κάθαρσιν χολώδεα εἶναι, πάνυ ἐλπὶς καὶ τὰ παιδία ἀσθενέα ἔσεσθαι. ⁴ ἢν χολώδεα ἀποπατέῃ, κάρτα δὲ γίνεται τοῦτο, ῥήϊον διάγει. ⁵ καὶ ἢν χολώδεα τὰ λοχεῖα ἢ μέλανα ἢ κάρτα, καὶ ἐπιπολῆς λίπος ἐπιγίνηται, καὶ

tum per abortum edat, pelliculis qui ipsum continent ruptis. ² Sunt etiam quæ fœtus corrumpunt, si acre quid, aut amarum ederint, aut biberint præter consuetudinem, dum adhuc parvus intus est puerulus. ³ Si enim puero quid accidat præter consuetudinem, & si parvulus adhuc fuerit, moritur. ⁴ Et si ejusmodi edat aut bibat, velut diximus, ut sit necesse ipsi turbari ventrem, dum adhuc parvus est puer. ⁵ Percipiunt enim & concitantur ipsius uteri, fluxione ex ventre fecedente. ⁶ Et si laborarit mulier plus quam oportet, & venter ipsius concludatur, aut magnus fiat, etiam sic puer corrumpitur, ⁷ velut à labore calefactus, & à ventre pressus. ⁸ Plerunque enim dum parvi sunt, debiles sunt. ⁹ Quidam vero etiam magni corrumpuntur. ¹⁰ Quare mirari non oportet mulieres, quod invitæ corrumpunt. ¹¹ Nam custodia & scientia multa opus est, ut in uteris gestent puerum & enutriant, ¹² & ut evadant ab ipso in partu.

XLIII. Si vero mulier in ventre habens, corpore male habeat, & fuerit biliosa & doloribus vexata, & alias atque alias febriciter, & os amarescat, & lingua cum virore pallida fiat, oculi velut morbo regio affecti, ungues biliosi, urina acris: ² hæc tum alias, tum si febriciter, alias atque alias ipsi accident: ³ postquam vero etiam purgationem contigerit biliosam esse, plane timendum est etiam pueros debiles fore. ⁴ Hæc si biliosa per secessum egerat (id quod valde contingit) melius deget. ⁵ Et si biliosa aut valde nigra sunt partus purgamenta, etiam utplurimum

ἔρχεται κατ' ὀλίγον, καὶ οὐ ταχὺ πήγνυται. 6 τὸν μὲν πρῶτον χρόνον ῥηϊτέρως οἴσει, ἔπειτα χαλεπώτερον, καὶ ἐκκαθαίρεται ἐλάσσονα τοῦ δέοντος. 7 ἢν γὰρ τὸ σῶμα φλαῦρον ἔχῃ, καὶ τὰ λοχεῖά οἱ ἐλάσσονα χωρήσει καὶ πονηρότερα. 8 πείσεται δὲ ταῦτα πάντα, καὶ ἢν τὰ καταμήνια χωρέῃ χολώδεα, 9 ἐλάσσονα δὲ χρόνον νοσήσει, 10 καὶ κινδύνους ἐς τοὺς αὐτοὺς ἥξει ἡ νοῦσος, καὶ σημήϊα, καὶ μεταλλαγάς. 11 ἢ γὰρ ἔμετος ταύτῃσι χολώδης, ἢ κατὰ τὴν κοιλίην κάθαρσις ἐπιγίνεται. καὶ ἑλκοῦνται αἱ μῆτραι. 12 φυλακῆς δὲ πολλῆς δέεται ἡ γυνή. 13 ὅταν οὖν τοιοῦτόν τι γένηται, αὐτὴ, ὅκως μὴ θανῆται, ἄφορος ἔσται. 14 ἢν δὲ μηδὲν τουτέων γίνηται, καὶ μὴ μελεδαίνηται, ἀλλά οἱ τὰ λοχεῖα κρυφθῇ, θνήσκει ἐν τριήκοντα καὶ μιῇ ἡμέρῃ ὡς ἐπὶ τὸ πολύ. 15 ταύτῃ φάρμακον πίσαι χολαγόν· 16 καὶ ἄνησον διδόναι, καὶ ὅσα ἐς οὔρησιν. 17 ἐμέειν δὲ, καὶ ἱδρῶτας ἄγειν, καὶ τὴν κοιλίην κλύζειν χυλῷ πτισάνης, καὶ μέλιτι, καὶ ὠοῖσι, καὶ μαλάχης ὕδατι.

XLIV. 1 Ἦσιν [δὲ] ἐν γαστρὶ ἐχούσῃσι περὶ τὸν ἕβδομον ἢ ὄγδοον μῆνα ἐξαπίνης τὸ πλήρωμα τῶν μαζῶν καὶ τῆς γαστρὸς ξυμπίπτει, 2 καὶ οἱ μαζοὶ ἰσχναίνονται, καὶ τὸ γάλα οὐ φαίνηται, 3 φάναι τὸ παιδίον ἢ τεθνηκὸς εἶναι, ἢ ζώειν τε καὶ εἶναι ἠπεδανόν. 4 ἢν γὰρ ἔχωσιν ἐν γαστρὶ, καὶ ἐπιφαίνηται τὰ ἐπιμήνια, 5 ἢ τιτρωσμοὶ γίνονται, ἢν πλείονα ᾖ καὶ κάκοδμα, 6 ἢ νοσώδεα τὰ ἔμβρυα γίνεται.

XLI. Ἢν γυνὴ ἐν γαστρὶ ἔχουσα φλεγματώδης ᾖ, 2 καὶ τὴν κεφαλὴν

mum pinguedo succedit, & prodeunt paulatim, & non cito congelantur: 6 & primo quidem tempore levius fert, postea vero gravius, & minus purgatur quam oportet. 7 Si enim corpus male habuerit, etiam partus purgamenta pauciora ac deteriora ipsi procedent. 8 Patietur autem & hæc omnia, etiamsi menses prodeant biliosi. 9 Verum breviori tempore ægrotabit. 10 Et morbus ad eadem pericula, & signa, & transmutationes deveniet. 11 Aut enim ipsis vomitus biliosus, aut purgatio per ventrem, in hoc morbo fit, & uteri exulcerantur. 12 Multa vero custodia mulier opus habet. 13 Quum igitur tale quid factum fuerit, ut ne moriatur, sterilis erit. 14 Si vero nihil horum fiat, & non curetur, sed partus purgamenta fuerint ipsi occultata, in triginta & una diebus utplurimum moritur. 15 Huic pharmacum in potu exhibendum est quod bilem ducat. 16 Prodest & anisum, & quæ ad urinam ciendam dantur. 17 Vomat autem, & sudores eliciantur, & alvus succo ptisanæ, & melle, & ovis, & malvæ aqua infusa eluatur.

XLIV. Quibus in ventre habentibus circa septimum aut octavum mensem, 2 derepente mammarum & ventris plenitudo collabitur, 3 & ubera gracilescunt, & lac non apparet, 3 his dicendum est, puerum aut mortuum esse, aut vivere & debilem esse. 4 Si enim in ventre habuerint, & apparuerint menses: 5 aut abortus fiunt, si plures fuerint & male olentes, 6 aut fœtus morbosi fiunt.

XLV. 1 Si mulier in ventre habens pituitosa fuerit, 2 & caput dolet,

κεφαλὴν ἀλγέει, 3 καὶ πυρεταίνει 40 ἄλλοτε καὶ ἄλλοτε, 4 καὶ ἐν τῇ κεφαλῇ εἰλέεται τὸ φλέγμα, 5 καὶ βάρος ἔχει καὶ ψύξιν, 6 καὶ ἐς τὸ σῶμα διαχωρέει καὶ ἐς τὰς φλέβας, ὅταν ἡ κεφαλὴ ᾖ πλήρης. 7 γίνεται δὲ καὶ μολίβδῳ τὴν χροιὴν ἴκελος, 8 καὶ ἐμέει φλέγμα· 9 γλῶσσα λευκή, 10 καὶ οὔρησις κοινῇ ἔκλευκος, 11 ψυχρή, 12 ταραξις, 13 δυσκινησίη. 14 ἐπὴν δὲ τέκῃ, χωρήσεται οἱ ἡ κάθαρσις φλεγματώδης, καὶ φανεῖται ὑμενώδης, καὶ 134 ὥσπερ ἀράχνια διατεταμένα ἐν ταύτῃ ἔσται. 15 καὶ πείσεται μὲν ταῦτα 45 πάντα καὶ ἣν τὰ καταμήνια ἐχώρει τὰ φλεγματώδεα· 16 ἐλάσσονα δὲ χρόνον νοσήσει· 17 καὶ κινδύνους τοὺς αὐτοὺς ἡ νοῦσος ἕξει καὶ σημεῖα καὶ μεταλλαγάς. 18 ξυμβήσεται δὲ αὐτῇ ἔμετον γενέσθαι φλεγματώδεα, καὶ 135 παθήματα ὅμοια κείνῃ χωρήσονται. 19 ἐξήρτηται γὰρ τῷ αὐτέῳ τρόπῳ τὰ λοχεῖα καὶ τὰ καταμήνια τὰ φλεγματώδεα· 20 ἐλάσσονα δὲ χρό- 136 νον μὲν νοσήσει τῶν καταμηνίων. 21 καὶ, ἢν μὴ ῥαγῇ αὐτῇ ἡ κάθαρσις χρονισθεῖσα, θνήσκει ἐν πέντε καὶ τεσσαράκοντα ἡμέρῃσι, 22 καὶ, ἢν οἱ 137 41 φλεγματώδης ἡ λοχείη κάθαρσις χωρήσῃ. 23 μελεδαινομένη δὲ ἡ γυνή, ὑγιὴς ἔσται. 24 καὶ φυσηθήσεται ἐξ ἀρ- 138 χῆς, μέχρις ἂν ὑγιανθῇ. 25 χα- 139 λεπὸν γὰρ τοῦτο ἔσται νόσημα. 26 ταύτῃ χρὴ διδόναι φάρμακον, ὅ, τι φλέγμα ἄγει, καὶ μίσγειν γάλα ἑφθὸν αἴγειον ξὺν μέλιτι. 27 ἢν δὲ πολλάκις μὴ ὑπακούῃ, κάρδαμον ἢ κνῆκον, ἢ κνέωρον, ἢ πολυπόδιον, ἢ ἄσαρον, 28 ἢ τὸ ἀπ' αὐτῶν ξυντιθέμενον δι- 140 δόναι, καὶ ὅσα φλέγμα χαλᾷ καὶ ἀνάγει.

5 XLVI. Ἢν δὲ γυνὴ ἐν γαστρὶ ἔχουσα σπληνώδης ᾖ ὑπὸ παθημάτων, ὧν εἴρηται, 2 ἐν τῇ νόσῳ τῶν καταμη-

dolet,[3] & alias atque alias febrit, [4] & in capite obvolvitur pituita: [5] & gravitatem exhibet ac frigus, [6] & in corpus procedit, & in venas, quum caput fuerit repletum. [7] Fit etiam colore plumbo ſimilis, [8] & vomit pituitam: [9] lingua alba eſt, [10] & urina communiter exalbeſcit:[11] frigida eſt,[12] turbatio adeſt,[13] & æger motus. [14] Ubi vero peperit, procedet ipſi purgatio pituitoſa, & 90 apparebit pelliculoſa, & velut araneorum caſſes in hac diſtenti erunt, [15] & patietur quidem eadem omnia etiam ea cui menſes pituitoſi prodeunt,[16] verum breviore tempore ægrotabit: [17] & eadem pericula & ſigna & tranſmutationes morbus habebit. [18] Continget enim ipſi vomitum pituitoſum fieri, & affectiones velut illi accident. [19] Dependent enim eodem modo partus purgamenta, & menſes pituitoſi, [20] 91 verum purgamenta partus breviore tempore quam menſes: [21] & niſi eruperit ipſa purgatio quæ diu moram traxit, moritur in quinque & quadraginta diebus, [22] etiamſi pituitoſum partus purgamentum ipſi prodierit. [23] Curata autem mulier ſana fiet, [24] & inflabitur ab initio ſi ſanata fuerit. [25] Gravis enim erit hic morbus. [26] Huic dare oportet pharmacum quod pituitam ducit, & lac caprinum coctum cum melle miſcere. [27] Si vero ſæpe non 100 obediat, naſturtium, aut cnicum, aut cneorum, aut polypodium, aut ſerum,[28] aut medicamentum ex ſale compoſitum exhibeto, & quæcunque pituitam laxant, ac educunt.

XLVI. Si vero mulier in utero habens, lienoſa ſit à relatis affectionibus, [2] & in hoc morbo menſes

καταμήνια τὰ ὑδρωποειδέα καὶ φλεγματώδεα ἀφίησι, 3 καὶ τὰ λοχεῖα χωρήσει ὑδρωποειδέα, 4 καὶ ἐλεύσεται ὁτὲ μὲν πολλά, ὁτὲ δὲ ὀλίγα. 5 καὶ γίνεται μὲν ὥσπερ ἀπὸ κρεῶν ὕδωρ, ὡς εἴ τις κρέα αἱματώδεα ἀποπλύνοι· 6 ὁτὲ δὲ ὀλίγῳ παχύτερον, καὶ οὐ πήγνυται. 7 πείσεται δὲ ταῦτα πάντα ἃ καὶ 141 ἣ τὰ καταμήνια τὰ ὑδατώδεα χωρέει, 8 καὶ κινδύνους τοὺς αὐτοὺς ἡ νοῦ-
10 σος ἕξει καὶ μεταλλαγάς. 9 ξυμβήσεται γάρ οἱ ῥόον γενέσθαι ὑδατώδεα, 10 ἢ κρυφθῆναι τὴν κάθαρσιν, 11 καὶ τραπέσθαι περὶ τὴν κοιλίην καὶ τὰ σκέλεα, ἢ ἐς τὸ στέρνον, ἢ ἔς τι τούτων. 12 καὶ κίνδυνοι ἔσονται οἱ αὐτοί, οἳ καὶ πρόσθεν εἴρηνται.

XLVII. Ἢν κύουσα οἰδέῃ, κνίδης καρπὸν ὡς πλεῖστον καὶ μέλι καὶ οἶνον κεκρημένον εὐώδεα διδόναι ποτόν, δὶς τῆς ἡμέρης.

XLVIII. Ἢν κυούσαν χολὴ λυπέῃ, πτισάνης χυλὸν δίδου, 2 ῥόον ἐπιπάσσων τὸν ἐρυθρόν, ἢ τὸν ἐκ τῶν συκαμίνων. 3 ψυχρὸν δὲ ῥοφεέτω, 4 καὶ καταστήσεται.

15 XLIX. 1 Ἢν δὲ πνὶξ προσπέσῃ ἐξαπίνης ἐχούσῃ ἐν γαστρί. 2 γίνεται δὲ τοῦτο μάλιστα, ἐπὴν ἡ γυνὴ ταλαιπωρέῃ καὶ ἀσιτήσῃ, θερμανθεισέων τῶν μητρέων ὑπὸ τῆς ταλαιπωρίης, 3 καὶ ἐλάσσονος τῆς ἰκμάδος γινομένης τῷ ἐμβρύῳ, 4 καὶ ἅτε τῆς μήτρης κενεωτέρης καὶ τῆς κοιλίης τοῦ καιροῦ ἐούσης. 5 ἰθύει τὸ ἔμβρυον πρὸς τὸ 142 ἧπαρ καὶ τὰ ὑποχόνδρια, ἅτε ἰκμαλέα ἐόντα· 6 καὶ πνῖγα ποιέει 143 ἰσχυρὴν ἐξαπίνης. 7 ἐπιλαμβάνεται 144 γὰρ τῆς διαπνοῆς τῆς ἀμφὶ τὴν κοι-
20 λίην. 8 καὶ ἀναυδίη ἴσχει τὴν γυναῖκα, 9 καὶ τὰ λευκὰ ἀναβάλλει τῶν ὀφθαλμῶν, καὶ τἄλλα πάσχει πάντα, ὅσα προείρηται. 10 ἤν τινι δὲ ἡ φύσις τὰς 145 μήτρας πνίγῃ· ἅμα τε ἄρχεται ἡ πνὶξ

menses hydropi similes & pituitosos demittit, 3 & partus purgamenta procedent hydropi similia, 4 & prodibunt modo multa, modo pauca, 5 & fiunt quemad- 105 modum aqua à carnibus, velut si quis carnes cruentas abluat. 6 Aliquando vero paulo crassiora, & non congelantur. 7 Et patietur eadem omnia etiam ea cui menses aquosi procedunt, 8 & pericula eadem ac transmutationes morbus habebit. 9 Continget enim ipsi fluxum aquosum fieri, 10 & purgationem occultari, 11 & ad ventrem converti, & ad crura, aut ad pectus, aut aliquam harum partium, 12 & pericula erunt eadem quæ prius sunt re- 110 lata.

XLVII. Si prægnans intumescat, urticæ semen plurimum, & mel, & vinum dilutum odoratum potandum dato, bis in die.

XLVIII. Si prægnantem bilis vexet, ptisanæ succum dato, 2 rhoë rubro insperso, aut eo qui ex moris paratur. 3 Sorbeat autem frigidam, 4 & sistetur.

XLIX. Si suffocatio derepente accidat prægnanti. 2 Fit autem hoc maxime ubi mulier laborarit, & cibum fastidierit, uteris 115 à labore calefactis, 3 & pauciore humore fœtui accedente. 4 Et quum uterus ac venter inanior sit quam oportet, 5 procedit fœtus ad hepar & præcordia, ut quæ sunt humecta, 6 & suffocationem fortem derepente inducit. 7 Intercipit enim perspirationem circa ventrem, 8 & mulier voce privatur, 9 & albas oculorum partes subvertit, & reliqua patitur omnia quæ relata sunt, 10 si mulier non prægnans 120 ab utero suffocetur. Quin & suffocatio

πνὶξ γίνεται τῇ ἐν γαστρὶ ἐχούσῃ γυναικὶ, καὶ ἀπὸ τῆς κεφαλῆς καταῤῥέει φλέγμα ἐς τὰ ὑποχόνδρια, οἷα τοῦ σώματος μὴ δυναμένου τὴν ἀναπνοὴν ἕλκειν. [11] καὶ ἢν μὲν ἅμα τοῦ φλέγματος τῇ καταβάσει ἴῃ τὸ ἔμβρυον ἐς χώρην τὴν ἑωυτοῦ, ὅλην τὴν ἰκμάδα ἑλκύσαν 146 καὶ κατενεχθὲν ὑπὸ τοῦ φλέγματος, 25 ὑγιὴς γίνεται ἡ γυνή. [12] τρυσμὸς δὲ γίνεται λιπόντος τοῦ ἐμβρύου τὴν χώρην 147 τὴν ἑωυτοῦ. [13] καὶ ἡ γαστὴρ ὑγρὴ γίνεται ὡς ἐπὶ τὸ πλεῖον τῆς γυναικός. [14] ἢν δὲ μὴ ἴῃ τὸ ἔμβρυον ἐν τάχει ἐς χώρην τὴν ἑωυτοῦ, δύο γίνεται ἤδη τὰ πονέοντα τὸ ἔμβρυον, [15] τὸ φλέγμα τὸ κατελθὸν ἀπὸ τῆς κεφαλῆς· [16] βαρύνει τε γὰρ καὶ ψύχει ἐπιχεόμενον· [17] καὶ ἡ ἀηθείη τοῦ χωρίου. [18] καὶ κινδυνεύσει, ἤν γε μή τις ἐν τάχει ἐπιτηδεοτέρως διαιτῴη· [19] ἀποπνιγείη γὰρ ἂν ἡ γυνή. [20] καὶ τὰ μὲν ἀμφὶ τούτων ὧδε ἔχει.

L. Ἢν δὲ γυναικὶ ἐν γαστρὶ 30 ἐχούσῃ ὁ χρόνος ἤδη τοῦ τόκου παρῇ, καὶ ὠδῖνες ἔχῃ, [2] καὶ ἐπὶ πολλὸν χρόνον ἀποφυγεῖν ἡ γυνὴ τὸ παιδίον μὴ οἵη τε ᾖ, [3] ὡς ἐπίπαν ἔρχεται πλάγιον, ἢ ἐπὶ πόδας· [4] χρεῶδες δ᾽ ἐπὶ τὴν κεφαλὴν χωρέειν. [5] καὶ, ἢν πλάγιον ἴῃ, χαλεπὸν γίνεται τὸ πάθημα. [6] ὡς γὰρ, εἴ τις ἐς λήκυθον μικρόστομον πυρῆνα ἐμβάλλοι, οὐκ εὐφυὲς ἐξελεῖν πλαγιούμενον. [7] οὕτω δὴ καὶ τῇ γυναικὶ χαλεπὸν πάθημα τὸ ἔμβρυον, ἐπειδὰν λοξωθῇ. [8] καὶ γὰρ χαλεπὸν ἐξελθεῖν. [9] χαλεπὸν δὲ καὶ, ἢν 148 35 ἐπὶ πόδας χωρήσῃ, [10] καὶ πολλάκις ἢ αἱ μητέρες ἀπόλωνται, ἢ τὰ παιδία, ἢ καὶ ἄμφω. [11] ἔστι δὲ καὶ τόδε μέγα αἴτιον τοῦ μὴ ῥηϊδίως ἀπιέναι, ἢν νεκρὸν, ἢ ἀπόπληκτον, ἢ διπλόον ᾖ. 149

LI. Ἐπὴν ἐν γαστρὶ ἡ γυνὴ ἔχῃ,

focatio fieri incipit mulieri in ventre habenti, quum à capite defluit pituita ad præcordia, utpote corpore respirationem trahere non potente. [11] Et siquidem una cum pituitæ descensu fœtus redierit ad suum locum, velut qui humorem attrahit, & à pituita delatus sit, mulier sana fit. [12] Stridor autem fit fœtu locum suum occupante. [13] Et venter mulieris utplurimum humidus fit. 129 [14] Si vero non brevi redeat fœtus in suum locum, duo jam fiunt quæ fœtum affligunt: [15] pituita, quæ à capite descendit ([16] gravat enim & insistens frigefacit) [17] & loci alienitas. [18] & periclitabitur. Et si non brevi quis commodiorem diætam adhibuerit, [19] mulier suffocabitur. [20] Et de his quidem sic habet.

L. Si vero mulieri in ventre habenti, tempus partus jam affuerit, & dolor partus tenuerit, [2] & 130 ad multum tempus mulier puerum edere non poterit, [3] omnino obliquus aut in pedes procedit. [4] Utile est autem in caput procedere. [5] Et si obliquus procedat, difficilis fit affectio. [6] Sicut enim si quis in vas olearium angusti oris nucleum immittat, non proclive est extrahere ipsum obliquatum. [7] Sic sane etiam mulieri gravis affectio est, ubi fœtus fuerit obliquatus. [8] Difficile est enim ipsum exire. [9] Gra- 131 ve autem est etiam si in pedes processerit: [10] & sæpe aut matres pereunt, aut pueri, aut ambo. [11] Est autem & hæc magna causa ut non facile exeat, si mortuus, aut syderatus, aut duplicatus fuerit.

LI. Quum mulier in ventre habue-

ἔχῃ, χλωρὴ γίνεται πᾶσα, [2] ὅτι αὐτῆς τὸ αἷμα τὸ ἀεὶ τὸ ἀκραιφνὲς καθ' ἡμέρην ἀπολείβεται ἐκ 150 τοῦ σώματος, καὶ κατέρχεται ἐπὶ τὸ ἔμβρυον, καὶ αὔξη οἱ γίνεται. [3] Καὶ, ἐλάσσονος τοῦ αἵματος ἐόντος ἐν τῷ σώματι, ἀνάγκη εἶναι χλωρὴν, [4] καὶ ἱμείρεσθαι ἀλλοκότων ἀεὶ βρωμάτων, [5] καὶ ἐπὶ κοιλίην αἱμαλ- 151
40 ώδεα ἰέναι. [6] καὶ ἀσθενεστέρη γίνεται, ὅτι τὸ αἷμα μινύθει. [7] φημὶ δὲ γυναῖκα, ἢν ἐπίτεξ ᾖ, πνεῦμα πυκνὸν ἀφιέναι. [8] καὶ, ἢν ἡ κάθαρσις ἄρχηται, ἡ κοιλίη πλήρης ἐστὶ, καὶ θέρμῃ πιεζομένη. [9] μάλιστα δὲ ἀναπνέει πυκινὸν, ἐπὴν τόκος πελάζῃ. [10] Καὶ τὴν ὀσφὺν τότε μάλιστα πονέει. [11] φλᾶται γὰρ καὶ ἡ ὀσφὺς ὑπὸ τοῦ ἐμβρύου. [12] καρδιώσσει δὲ ἐν τῷ μεταξὺ σύμπαντι χρόνῳ ἄλλοτε καὶ ἄλλοτε, [13] ἅτε τῆς κοιλίης περιειλεομένης ἀμφὶ τὸ ἔμβρυον, μάλιστα δὲ τῆς ὑστέρης.

45 LII. Καὶ ἢν τικούσης ὑστέρη 152 ἐξανεμωθῇ, [2] ἧπαρ οἰὸς ἢ αἰγὸς ἐς τέφρην κρύψαι, καὶ μετέπειτα ἑψεῖν, καὶ λαμβανέτω. [3] καὶ οἶνον, ἢν μή τι κωλύῃ, πινέτω ζωρότερον παλαιὸν ἐπὶ τέσσαρας ἡμέρας, ἢν πορρωτέρω ᾖ ἀπὸ τοῦ τόκου. [4] ἢν δὲ τὰς ἰξύας ἀλγέῃ, μύνησον καὶ κύμινον αἰθιοπικὸν πινέτω, [5] καὶ τῷ θερμῷ λουέσθω. [6] ἢν δ' ἄσθμα λάζηται, θεῖον ὅσον κύαμον, καὶ καρδαμώμου ἴσον, καὶ πηγάνου, καὶ κυμίνου αἰθιοπικοῦ, ταῦτα τρίψας, καὶ δεὶς οἴνῳ, δίδου πιεῖν νήστει. [7] καὶ σιτίων
24 ἀπεχέσθω πυκινά.

LIII. Ἢν ἐν τόκῳ κάθαρσις ἴῃ πολλὴ, [2] ἡ ὑστέρη ξυνέλκεται, καὶ ἡ 153 κύστις, καὶ [τὸ] ἔντερον, [3] καὶ οὔτε τὸ κόπρον κατέχουσιν, οὔτε τὸ οὖρον σώζειν δέ. [4] ᾠὰ οὖν ῥοφεῖν δίδου, [5] 154

habuerit, tota fit cum virore pallida, [2] quoniam purus ipsius sanguis semper quotidie ex corpore destillat, & in fœtum descendit, & augmentum ipsi accedit. [3] Et quum paucior sanguis 140 sit in corpore, necesse est ipsam esse pallidam, [4] & semper alienos cibos appetere, [5] & sanguinea in ventrem intrare. [6] Et debilior fit, quoniam sanguis minuitur. [7] Assero porro mulierem, ubi pariet, frequentem spiritum emittere. [8] Et si purgatio inceperit, venter plenus est, & calore pressus. [9] Maxime vero frequenter respirat, ubi partus appropinquat. [10] Et tunc maxime lumbos dolet. [11] Nam & 145 lumbi à fœtu colliduntur. [12] Dolet autem stomachum sive ventriculi osculum in intermedio tempore alias atque alias, [13] utpote dum venter, maxime vero uterus, circum fœtum obvolvitur.

LII. Et si puerperæ uterus inflетur, [2] oviculæ aut capræ hepar cinere obruito, deinde coquito, & hoc edat: [3] ac vinum meracius vetus, si nihil prohibuerit, bibat ad dies quatuor, si longius aberit à partu. [4] Si vero lum- 150 bos doleat, anisum & cuminum æthiopicum bibat. [5] Et calida lavetur. [6] Si vero anhelatio corripiat, sulphuris magnitudinem fabæ, & cardamomi tantundem, & rutæ ac cumini æthiopici tantundem. Hæc terito, & vino diluta jejunæ bibenda præbeto. [7] Et à cibis frequenter abstineat.

LIII. Si in partu purgatio multa prodierit, [2] uterus contrahitur, & vesica, & intestinum, [3] & neque stercus continent, sed 155 & urinam emittunt. [4] Ova igitur sorbenda dato, & panem cinericium

καὶ ἄρτον ἐγκρυφίην τρώγειν, καὶ ὅσα λοιπὰ γέγραπται.

nericium edendum, & reliqua quæ scripta sunt.

LIV. [1] Ἢν δὲ ἐν τόκῳ ἐοῦσα, ξηρὴ ᾖ καὶ δύσικμος, [2] ἔλαιον πίνειν, καὶ καταιονᾶν τὰ χωρία ἐλαίῳ [καὶ] θερμῷ μαλάχης ὕδωρ. [3] κηρωτῇ [δὲ] ὑγρῇ διαχρίειν, [4] καὶ ἐγχεῖν 5 χηνὸς ἄλειφα ξὺν ἐλαίῳ.

LIV. Si vero ea quæ in partu est, sicca fuerit, & difficulter humectetur, [2] oleum bibat, & locos oleo calido cum malvæ aqua irriget, [3] & cerato liquido illinat, [4] & anserinum adipem cum oleo infundat.

LV. [1] Ἢν δὲ μὴ δύνηται τίκτειν, [2] ὑποθυμιᾶν ῥητίνην, ἢ κύμινον, ἢ πίτυος φλοιόν. [3] καὶ τούτῳ ὑποθυμία. 155

LV. Si vero parere non poterit, [2] resinam, aut cuminum, aut pinus corticem [3] suffito.

LVI. [1] Ὅσα δὲ οἰδήματα γίνεται ὑστερικὰ ἐν τόκῳ ἢ ἐκ τόκου, [2] οὐ χρὴ στύφειν, οἷα οἱ ἰητροὶ ποιέουσι. [3] τὰ δὲ φάρμακα ἄριστα προσφέρειν. [4] κύμινον αἰθιοπικὸν 5 ὅσον τρισὶ δακτύλοισι, καὶ τοῦ ἀννήσου, καὶ τοῦ σεσέλιος πέντε ἢ ἕξ, γλυκυσίδης χηραμίδος ἥμισυ τῆς ῥίζης, ἢ καὶ τοῦ σπέρματος. [5] ταῦτα ἐν οἴνῳ λευκῷ ἡδυόδμῳ μάλιστα νήστει διδόναι. [6] ἢ δαύκου ῥίζαν 10 αἰθιοπικοῦ, σέσελι, γλυκυσίδης ῥίζαν τὸν αὐτὸν τρόπον. [7] ἢ ἱπποσελίνου, ἢ δαύκου αἰθιοπικοῦ καρπὸν ὡσαύτως. [8] ἢ κρηθμοῦ ῥίζαν, ἢ κυμίνου αἰθιοπικοῦ ἀττικὸν τετρώβολον. [9] ἢ πέπερι, ἄννησον, δαῦκον, ἀκταίης γλυκυσίδης ῥίζαν. [10] ταῦτα ἐν οἴνῳ τρίβε, καὶ διδόναι πίνειν. [11] ἢ μυρτιδάνου κλωνία δύο ἢ τρία, καὶ κύμινον αἰθιοπικὸν, γλυκυσίδης ῥίζαν. [12] ἢ καὶ λίνου σπέρμα· ὃ καὶ τὰ παιδία βήσσοντα ψωμίζουσι ξὺν ᾠοῦ ὀπτοῦ λεκίθῳ ὁμοίως· ξὺν σησάμῳ πεφρυγμένῳ.

LVI. [1] Quicunque vero tu- 160 mores uteri in partu, aut ex partu fiunt, [2] eos adstringere non oportet, velut medici faciunt: [3] verum pharmaca optima exhibeto. [4] Cuminum æthiopicum, quantum tribus digitis capi potest, & anisi, & seselis grana quinque aut sex, pæoniæ radicis aut etiam seminis testam conchæ majoris dimidiam. [5] Hæc in vino albo odorato maxime jejunæ exhibeto. [6] Aut dauci æthiopici [1] radicem, seseli, pæoniæ radi- 165 cem, eodem modo. [7] Aut hipposelini, aut dauci æthiopici semen, eodem modo. [8] Aut crethmi radicem, aut cuminum æthiopicum quatuor obolorum atticorum pondere. [9] Aut piper, anisum, daucum, pæoniæ atticæ radicem. [10] Hæc in vino terito, & bibenda dato. [11] Aut myrtidani ramulos duos aut tres, & cuminum æthiopicum, & pæoniæ radicem: [12] aut etiam lini semen [1] similiter, quo etiam pueros tus- 170 sientes nutriunt, cum ovi assati vitello, & cum sesamo tosto.

LVII. [1] Ἢν [δὲ] παιδευούσῃ 156 15 [1] ἀφθῇ τὰ αἰδοῖα, [2] ἀμύγδαλα τρίψας καὶ βοὸς μυελὸν ἐν ὕδατι ἑψεῖν [3] καὶ, ἄλητον ἐμβαλὼν σμικρὸν, διαχρίειν τὰ αἰδοῖα, [4] καὶ διακλύζειν τῷ ὕδατι τῷ ἀπὸ τῶν μύρτων.

LVII. Si prægnanti pudenda superficiario ac fervido ulcere affecta sint, [2] amygdalas tritas, & medullam bubulam cum aqua coquito, [3] &, modica farina adjecta, pudenda illinito, [4] & aqua à coctis myrti baccis perluito.

LVIII. Ἢν

LVIII. Nunc

LVIII. Νῦν δὲ ἐρέω ἀμφὶ λοχείων καὶ τῶν μετὰ τὸν τοκετὸν ἰόντων. [2] ὅταν γυνὴ ἢ τὰ λοχεῖα μὴ καθαρθῇ, [3] ἢ τὰ ἐπιμήνια μὴ ἴῃ, [4] ἢ ὑστέρη σκληρὴ ᾖ, [5] ὀδύνη ἔχει τὴν ὀσφὺν, [6] καὶ τοὺς μὲν κενεῶνας καὶ βουβῶνας καὶ μηροὺς καὶ πόδας ἀλγέει πικρῶς, [7] καὶ ἡ γαστὴρ ἐπαίρεται, [8] καὶ φρῖκαι διὰ τοῦ σώματος διαΐσσουσιν. [9] ἐκ δὲ τῶν τοιούτων πυρετοὶ γίνονται ὀξέες. [10] ταύτην τὴν οὕτως ἔχουσαν, ἢν μὲν ἄπυρος ᾖ, διαιτᾷν λουτροῖσι· [11] λιπαίνειν δὲ καὶ τὴν κεφαλὴν ἐλαίῳ ἀνθίνῳ. [12] ἕψειν δὲ μαλάχην, ἢ ἔλαιον κύπρινον ἐς ὕδωρ ἐγχέειν, καὶ ἐγκαθίζεσθαι παρηγορικῶς. [13] ἐν πάσῃσι δὲ τῇσι νούσοισιν, ἐφ' ὧν πυρίη ἀρήγει, ἄμεινον ὕστερον χρίεσθαι καὶ λίπα. [14] ἢν δὲ πῦρ ἔχῃ, λουτρῶν ἀπέχεσθαι· [15] πυρίῃσι δὲ καὶ χλιάσμασι τὴν νειαίρην γαστέρα καὶ τὴν ὀσφὺν θεραπεύειν. [16] διδόναι δὲ πίνειν τῶν φαρμάκων τῶν ὑστερικῶν, παραμίσγοντα ἢ τῆς σηπίης τῶν ὠῶν, ἢ τοῦ κάστορος. [17] μετὰ δὲ τοῦτο ῥοφέειν διδόναι ἄλητον ξὺν πηγάνῳ ἑφθὸν, ἢ πτισάνης χυλόν.

LVIII. Nunc vero dicam de puerperii purgamentis, & his quæ post partum exeunt. [2] Quum mulieri aut partus purgamenta non fuerint purgata, [3] aut menses non prodierint, [4] aut etiam uterus durus fuerit: [5] dolor habet lumbos, [6] & lateris mollitudinem, & inguina, & femora, & pedes amare dolet, [7] & venter attollitur, [8] & horrores per corpus discurrunt. [9] Ex talibus autem febres fiunt acutæ. [10] Hanc ita habentem, siquidem sine febre fuerit, balneis curato. [11] Caput autem oleo anthino inungito. [12] Malvam autem coquito, & oleo cyprino in aquam ejus infuso, mitigandi gratia insidere jubeto. [13] In omnibus autem morbis in quibus fomentum auxiliatur, melius est postea oleo ungi. [14] Si vero febris habeat, à balneis abstinere; [15] fomentis autem & tepefactoriis imum ventrem & lumbos curare. [16] In potu autem exhibere pharmaca uterina, aut sepiæ ovis, aut castorio ammixtis. [17] Post hoc vero farinam cum ruta coctam, aut ptisanæ succum sorbendum dare.

LIX. Ἢν δὲ γυναικὶ μετὰ τοῦ παιδίου ἐν τῷ τόκῳ μὴ ἴῃ τὸ ὑγρὸν, ὡς χρὴ, [2] ἀλλὰ μένῃ ἢν μὲν ἐν τῇ κεφαλῇ ἔχῃ τὸ ὑγρὸν ὑπὸ θέρμης εἰρυσθὲν, ἐν τόκῳ καὶ πρὶν ὀλίγον κεφαλαλγήσει. [3] ἢν δὲ ἐς τὴν κοιλίην ἔλθῃ ἁλὲς, ἐπειδὰν σεισθῇ, ταράξει αὐτὴν, καὶ χρὴ πόῤῥω. [4] τιμωρέειν δὲ, ὡς μὴ ἐκ τούτου διάῤῥοια ἐπιγινομένη σώματι φλαύρως ἔχοντι, πονήσῃ μιν. [5] ἢν δὲ ἀπὸ κεφαλῆς ἐλθὸν τὸ ῥεῦμα ἐς τὴν λοχείην κάθαρσιν τραπῇ, καὶ πολλὸν σεισθῇ, ῥήξει,

LIX. Si vero mulieri cum puero in partu non prodierit humor velut oportet, [2] sed siquidem in capite habuerit humorem à calore attractum, in partu & ante, caput dolebit. [3] Si vero in ventrem acervatim descenderit, ubi concitatus fuerit, ipsum turbabit. Et non oportet longe progredi sinere, [4] sed auxilium ferre, ut ne ex partu ventris profluvium succedens, corpore male habente, ipsam dolore affligat. [5] Si vero à capite delatus fluxus, ad puerperii purgationem vertatur, & multum concitetur,

ῥηΐζει. 6 ἢν δὲ πλεῖον τοῦ μετρίου, μελεδαίνειν. 7 ἢν δὲ ἐς τὴν κοιλίην, ῥηϊτέρη αὖ ἡ ἔξοδος τῷ παιδίῳ γένοιτο. 8 εἰ δὲ ἡ κάθαρσις τῇ γυναικὶ ὀλίγη χωρέοι, πόνος λάζεται ἰσχυρὸς ἰξύας τε καὶ τὸν ἀμφὶ τὰ αἰδοῖα πάντα χῶρον, καὶ οἰδεῖ, 9 καὶ οἱ μηροὶ πίμπρανται, 10 καὶ ἐκ τοῦ στόματος καὶ ἐκ τῶν ῥινέων ῥεῖ φλέγμα ἰσχυρῶς ὑδαρές· 11 καὶ ἀλγεῖ κεφαλὴν, 12 καὶ 35 πῦρ ἔχει, 13 καὶ φρίκην, 14 "καὶ 159 οἰδεῖ, 15" καὶ οἱ ὀδόντες βρύχουσι, 16 160 καὶ ἀψυχεῖ. 17 καὶ ἡ γαστὴρ οἱ στεγνὴ ἔσται, καὶ ἡ κύστις, 18 καὶ τὰ ὄμματα ἀναδινεῖ, καὶ ζοφῶδες ὁρῇ.

LX. Γυναικὶ δὲ ἐκ τόκου ἐούσῃ κάθαρσις ἐπὴν ἴῃ, οὐκ εὐμαρέως χωρεῖ, 2 οἷα τῶν μητρέων ἐν φλεγμονῇ γινομένων, καὶ τοῦ στόματος σφέων μύσαντος. 3 περιειλεῖται δὲ ὁ στόμαχος τῶν αἰδοίων μετὰ τὸ παιδίον ποιήσασθαι τὴν ἐκχώρησιν. 4 "ἢν γὰρ του- 161 τέων τι ᾖ, οὐ χωρήσει οἱ ἡ κάθαρσις. 5 ἢν δὲ μὴ χωρέῃ οἱ κάθαρσις, ξυμ- 40 βήσεται, ὥστε μιν πυρεταίνειν, καὶ φρίκην ἔχειν, καὶ τὴν γαστέρα μεγάλην εἶναι. 6 ἢν δὲ ψαύσῃ αὐτῆς, ἀλγέειν πᾶν τὸ σῶμα· μάλιστα δὲ, ἤν τις τῆς γαστρὸς ψαύσῃ. 7 καὶ καρδιώσσει ἄλλοτε καὶ ἄλλοτε, καὶ ὀσφὺν πονεῖ· 8 καὶ ἀσιτίη, καὶ ἀγρυπνίη, καὶ νυγμὸς "ἔ- 162 πεται. 9 ἡμέρῃ [δὲ] πέμπτῃ ἢ ἑβδόμῃ ἔστιν ὅτε ἡ κοιλίη ταράσσεται, 10 καὶ ὑποχωρεῖ μέλανα καὶ κάκοδμα κάρτα ἄλλοτε καὶ ἄλλοτε, 11 καὶ ὡς ὄνειον οὖρον. 12 καὶ, ἢν ὑπέλθῃ, δοκεῖ οἱ ῥηΐτερον εἶναι. 13 καὶ μελεδαινομένη ἐν 45 τάχει ὑγιὴς γίνεται. 14 ἢν δὲ μὴ, κινδυνεύσει, διαῤῥοίης αὐτῇ ἰσχυρῆς ἐπεισπεσούσης. 15 "καὶ τὰ λοχεῖά οἱ 163 κρύψεται. 16 ἢν δὲ ἡ κοιλίη οἱ μὴ ταράσσηται, μηδὲ ἡ κάθαρσις χωρέῃ αὐτομάτη, μηδὲ [illegible] προσφέρηται

ἐν

citetur, melius habebit. 6 Si vero plus moderato, curam adhibeto. 7 Si vero in ventrem, facilior utique exitus puero contigerit. 8 Si vero purgatio modica mulieri prodierit, dolor fortis corripit lumbos, & omnem circa pudenda locum, & intumescit, 9 & femora ardent. 10 'Et ex ore ac naribus pituita 195 fluit fortiter aquosa, 11 & dolet caput, 12 & febris habet, 13 & horror, 14 & tumet, 15 & dentes strident, 17 & venter, & vesica constringitur, 18 & oculos subvertit, & caliginosum visum habet.

LX. Quum mulieri puerperæ purgatio non facile procedit, 2 velut uteris inflammatis, & osculo ipsorum concluso. 3 Obtorquetur enim stomachus uteri post pueri egressum. 4 Si enim quid 'horum fuerit, purgatio 200 non procedet. 5 Si vero non processerit purgatio, continget ipsam febrire, & horrorem habere, & ventrem magnum esse: 6 & si ipsam attigeris, totum corpus dolere, maxime si quis ventrem attingat: 7 & alias atque alias stomachi dolore vexatur, & lumbos dolet, 8 & cibi fastidium, & vigiliæ, & punctura adest. Postea 9 quinto aut septimo die quandoque venter turbatur, 10 & secedunt 'nigra, & valde graveolentia alias atque alias, 11 & urina 205 velut asinina. 12 Et si secesserint, videtur sibi melius habere, 13 & curata, brevi sana fit: 14 sin minus, periclitabitur profluvio ventris forti ipsi illapso. 15 Et puerperii purgamenta ipsi occultabuntur. 16 Si vero venter ipsi non turbetur, neque purgatio prodeat sua sponte, neque ea quæ commoda sunt brevi exhibeantur,

tur,

ἐν τάχει τὰ ἐπιτήδεια, ὁ δὲ χρόνος προΐῃ, πονήσει πολλὰ τὰ προειρημένα. 17 καὶ ἐπὶ τούτοισι κινδυνεύσει πελιδνὴ γενέσθαι ὡς ὁ μόλιβδος, 18 καὶ ὑδρωπιῶσαι. 19 καὶ ὁ ὀμφαλὸς ἐκστήσεται αὐτῇ, ἀειρόμενος ὑπὸ τῶν μητρέων· 20 καὶ ἔσται μελάντερος τὸ περιέξ. 21 καὶ ἐπὴν ταῦτα γένηται, οὐχ οἵη τέ ἐστι περιγενέσθαι ἡ γυνή. 22 θνήσκουσι δὲ ἄλλαι ἄλλῳ χρόνῳ, ὅκως τι καὶ τὰ τοῦ σώματος ἔχουσι καὶ τὰ τῆς πάθης. 23 μιῆς δὲ καὶ εἴκοσι ἡμερέων οὐχ ὑπερβάλλουσιν. 24 ὡς ἐπὶ τὸ πλεῖον [δὲ] οὕτω ξυμβαίνει. 25 ἢν δέ οἱ ῥαγῇ κάθαρσις, εἴτε καὶ ὑπὸ φαρμάκων, εἴτε καὶ αὐτομάτη· 26 γίνεται γὰρ καὶ τοῦτο, ἢν χαλάσωσι τὸ στόμα αἱ μῆτραι, 27 μὴ βιασθεῖσαι ὑπὸ τοῦ αἵματος ἀλέως ἐξαπίνης κατελθόντος· 28 καὶ ἢν ῥαγῇ, ἀποκαθαίρεται δύσοδμα καὶ πυώδεα· 29 ἔστι δ' ὅτε καὶ μέλανα· 30 καὶ ῥήϊτερον ἔσται, καὶ μελεδανθεῖσα ὑγιαίνεται.

LXI. Γίνεται δὲ καὶ ἕλκεα ἐν τῇσι μήτρῃσιν, 2 οἷα τῶν λοχείων σαπέντων. 3 ἢν δὲ ἐγγένηται, πλείονος μελεδώνης δεήσεται, ὅκως μὴ οἱ τὰ ἕλκεα μεγάλα καὶ σηπεδονώδεα ἔσται. 4 κίνδυνος δὲ ἢ θανεῖν, ἢ ἄφορον γενέσθαι. 5 σημήϊα δὲ ταῦτα γίνεται, ἢν ἕλκεα ἐνῇ. 6 ἐπὴν χωρέῃ ἡ κάθαρσις, δοκέει ὡς ἄκανθα διὰ τῶν μητρέων ἰέναι. 7 καὶ πῦρ μιν λάζεται, καὶ μάλιστα τῆς κοιλίης ἐπιλαμβάνει. 8 ἀλγέει δὲ ἐπαφωμένη τὸ κάτω τοῦ ὀμφαλοῦ, ὡς ἕλκεος καθαροῦ νευρώδεος εἰ θίγοις. 9 ἔπειτα ὀδύναι ἰσχυραὶ ἄλλοτε καὶ ἄλλοτε ἐμπίπτουσιν ἐς τὰς μήτρας, 10 καὶ πυρετὸς, ἔστι δ' ὅτε πρὸς χεῖρα βληχρός. 11 καὶ ἄλλοτε καὶ ἄλλοτε ὑποχωρηθέντα χωρέει τὰ λοχεῖα· πυώδεα, δύσοδμα. 12 ταῦτα σημεῖά ἐστιν, ἢν ἕλκεα ἐν τῇσι μήτρῃσι

tur, tempus autem progrediatur, multo magis ex prædictis affligetur. 17 Et insuper periclitabitur, ne livida fiat velut plumbum, 18 & aquam intercutem incidat, 19 & umbilicus extabit ipsi ab uteris, 20 & circumcirca nigrior erit. 21 Et ubi hæc facta fuerint, fieri non potest ut mulier superstes maneat. 22 Pereunt autem aliæ alio tempore, pro corporis & affectionis ratione. 23 Verum unam & vicesimam diem non excedunt, 24 id quod plerunque sic contingit. 25 Si vero purgatio ipsi eruperit, sive à pharmacis, sive sua sponte (26 fit enim & hoc si uteri os laxarint, 27 à sanguine acervatim derepente delato coacti: 28 & si eruperit, graveolentia purulenta depurgantur: 29 quandoque etiam nigra) 30 & melius habebit, & curata sanescit.

LXI. Fiunt autem & ulcera in uteris, 2 utpote puerperii purgamentis putrefactis. 3 Si vero fiant, majore cura opus erit, ut ne ipsi ulcera magna & putredinosa fiant: 4 periculum est autem ne moriatur, aut sterilis fiat. 5 Signa vero hæc fiunt, ut ulcera intus fuerint. 6 Quum purgatio ipsi prodierit, velut spina per uteros transire videtur. 7 Et calor ipsam corripit, ac maxime ventrem invadit. 8 Et si attingatur, partem infra umbilicum dolet, velut si purum nervosum ulcus contingas. 9 Post dolores fortes alias atque alias in uteros incidunt. 10 Et febris aliquando ad contactum manus debilis: 11 & alias atque alias puerperii purgamenta procedunt, maligna, purulenta, graveolentia. 12 Hæc sunt signa, si ulcera in uteris fuerint,

τρήσει ᾖ. [13] καὶ δέεται πολλῆς μελεδώνης. [14] ταύτης μὲν οὖν ἀμφὶ τῆς νούσου τόσαι τελευταί εἰσιν.

LXII. Ἢν δὲ ἡ κάθαρσις ἡ λοχείη τὰς μὲν πρώτας ἡμέρας τρεῖς ἢ τέσσαρας χωρήσῃ, ἔπειτα ἀπόλωλεν ἐξαπίνης ταῦτα, πάσχει παθήματα τῇ προτέρῃ ἀδελφὰ, ἧσσον δέ. [2] καὶ ἢν μεταπίπτῃ ἡ νοῦσος, ἐς ταυτὸ μεταπεσεῖται. [3] χρονίη δὲ καὶ βληχροτέρη ἔσται τῆς προτέρης. [4] διαπεφευγμένη δὲ ἡ γυνὴ περιγίνεται, ἢν ἁρμοῖ μελεδαίνηται. [5] ἀμφὶ δὲ τῆς νούσου ταύτης ὧδε ἔχει.

LXIII. Ἢν δὲ ἐκ τοῦ τόκου μὴ καθαρθῇ, [2] οἰδέει ἡ γαστὴρ, καὶ ὁ σπλὴν, καὶ τὰ σκέλεα. [3] καὶ πῦρ ἔχει, καὶ ῥῖγος λαμβάνει, [4] καὶ ὀδύναι ἀΐσσουσι πρὸς τὰς ἰξύας· ἔστι δ' ὅτε καὶ πρὸς τὰ σπλάγχνα. [5] καὶ ἀποψύχεται. [6] καὶ πῦρ ἔχει. [7] σφυγμοὶ βληχροὶ, ἔστι δ' ὅτε καὶ ὀξέες, ἄλλοτε ἀειρόμενοι, ἄλλοτε ἐκλείποντες. [8] ταῦτα πάσχει, ἀρχομένης τῆς νούσου, καὶ ὧδε ἔχει. [9] ἢν δὲ πρόσω τοῦ χρόνου, τὰ κοῖλα τοῦ προσώπου ἐρυθρὰ γίνεται. [10] ὅταν ὧδε ἔχῃ, διδόναι κοῦφα σιτία. [11] ἢν ὀργᾷ, φάρμακον πίσαι κάτω· [12] ἢν μὲν χολώδης ᾖ, ὃ, τι χολὴν καθαίρει· [13] ἢν δὲ φλεγματώδης, ὃ, τι φλέγμα. [14] μετὰ δὲ τοῦτο, πυριῆσθαι τὰς ὑστέρας εὐώδεσι, καὶ προσθεῖναι μαλθακτήρια τὴν ἡμέρην. [15] ἢν δὲ στερεὸν ᾖ τὸ στόμα, πυριῆν ἅπασαν ἡμέρην, καὶ τὰ μαλθακτήρια προστιθέναι. [16] ἔπειτα λοῦσαι θερμῷ ὕδατι, καὶ ἐνθεῖναι τοὺς μολίβδους. [17] μετέπειτα δὲ ἁλὸς χόνδρους καὶ σμύρναν ἐς τρυχίον ἀποδήσας, καὶ τὴν πίσσαν τὴν ἑφθὴν ἐν εἰρίῳ, ἡδύσματα ξυμμίξας, ἴσον ἑκάστου ποιέων, ἴσον κηκῖδι σμικρῇ· προστιθέσθω δὲ ἡμέρην καὶ εὐφρόνην. [18] μετὰ δὲ τοῦτο καταλι-

πὼν

rint, [13] & multa cura opus habent. [14] Atque hujus quidem morbi tot fines existunt.

LXII. Si vero purgatio puerperii primis tribus aut quatuor diebus processerit, verum postea derepente evanescit, easdem affectiones consimiles priori patitur, sed minus: [2] & si transmutetur morbus, in idem transmutabitur: [3] diuturnus autem & debilior priore erit. [4] Si vero curetur mulier, superstes erit, si cito curetur: [5] & de hoc morbo sic habet.

LXIII. Si vero ex partu non fuerit purgata, [2] venter intumescit, & splen, & crura: [3] & febris habet, & rigor corripit, [4] & dolores prosiliunt ad lumbos, aliquando etiam ad viscera. [5] Et perfrigeratur, [6] & febris habet: [7] pulsus debiles sunt, & aliquando acuti, & alias attolluntur, alias deficiunt. [8] Hæc patitur incipiente morbo, & sic habet. [9] Temporis autem progressu, cavæ faciei partes rubescunt. [10] Quum sic habuerit, leves cibos exhibeto. [11] Et si turget, pharmacum infra purgans bibendum dato, [12] si biliosa fuerit, quod bilem purgat: [13] si pituitosa, quod pituitam. [14] Postea vero uteros odoratis foveto, & mollitorium in die apponito. [15] Si vero osculum solidum fuerit, tota die foveto, & mollitoria apponito. [16] Deinde calida aqua lavato, & plumbeas fistulas indito. [17] Postea salis grana, & myrrham in linteum illigato, & picem coctam ammixtis aromatis lana excipito, & singulorum pares portiones ad gallæ parvæ figuram efformato, & per diem ac noctem apponito. [18] Deinde vero intermissis tribus diebus, iisdem

dem

πιεῖν ἡμέρας τρεῖς, καὶ πυελίῳ χρῆσθαι τοῖσιν αὐτέοισιν. [19] προστιθέναι δὲ καὶ κόκκους ἑψήσας ὅσον δύο πόσιας, καὶ πεπέρεως τρίψας λεῖα, παραμίξας ἔλαιον αἰγύπτιον λευκὸν, καὶ μέλι ὡς κάλλιστον. [20] τοῦτο ἐμπλάσας ἐν εἰρίῳ, καὶ περιελίξας περὶ πτερὸν προστιθέναι ἡμέρην ἅπασαν καὶ εὐφρόνην. [21] καὶ ἢν σοι δοκέῃ κεκαθάρθαι, ἄμεινον ἐᾶν. [22] ἢν δὲ δοκέῃ δεῖσθαι καθάρσιος, δύο ἡμέρας διαλιπεῖν, καὶ αὖθις τὸ ξὺν τῷ σικύῳ ἡμέρην καὶ εὐφρόνην προστιθέναι. [23] καὶ ἔπειτα τὸ νέτωπον, καὶ ῥόδινον ἔλαιον ὡς εὐωδέστατον, καὶ ἐλάφου στέαρ τήξας, εἰρίῳ προστιθέναι μίην ἡμέρην, καὶ λούειν πολλῷ τῷ θερμῷ, ὡς οἷόν τε ἢ εὐμενέως. [24] καθαρτηρίοισι δὲ αὐτίκα καὶ θερμῷ καθηραμένη τὰ ἀμφὶ πονεύμενα χωρία, [25] ἐναλειφέσθω τὸ στόμα τῶν μητρέων χηνείῳ στέατι καὶ σμύρνῃ, καὶ ῥητίνῃ χλιαρῇ, καὶ θαλπέτω. [26] κλυζέτω δὲ τὰς ὑστέρας τῷ οἴνῳ καὶ τῷ ναρκισσίνῳ ἐλαίῳ τῇ ὑστεραίῃ. [27] ἢν δὲ μὴ ᾖ ναρκίσσινον, οἴνῳ μούνῳ. [28] ταῦτα ποιείτω ὅκως σοι πρὸ τῶν ἐπιμηνίων ἡμέρῃ μιῇ πρόσθεν ποιήσηται. [29] ἐπὴν δὲ τὰ ἐπιμήνια γένηται, τὰς μὲν ἐν ἀρχῇ ἡμέρας, τρίψασα μελάνθιον καὶ κύπρον, καὶ ἁλὸς χόνδρον ἐπιχέασα, εἰρίῳ ἀναφορύξαι. [30] τοῦτο ἐν τῷ σώματι ἐχέτω ἐπ' ὀλίγον. [31] καὶ νῆστις οἶνον ἄκρητον εὐώδεα ἐπιρροφεέτω. [32] ἐπὴν δὲ παύσηται τὰ ἐπιμήνια, τὴν ἡμέρην τὸ ξὺν τῇ γλήχωνι προσθεῖσα, καὶ ὡς τὸν ἄνδρα ἴτω. [33] κἢν ἐν γαστρὶ ἔχῃ, ὑγιὴς γίνεται. [34] σιτίοισι δὲ χρέεσθω ἐν τῇ καθάρσει. [35] πρὸς τοῦτοις δὲ ἑψεῖν χρὴ τὴν λινόζωστιν, καὶ συμμίσγειν πράσον, σκόροδον, καὶ κράμβην. [36] κυκεῶνα δὲ καὶ τὸν χυλὸν ῥοφεέτω. [37] τοῖσι

dem foveto. [19] Et grana cnidia decorticata duarum potionum ' mensura, & piperis grana trita, oleo ægyptio albo, & melle optimo ammixto, [20] in lanam infarcito, & pennæ obvoluta, tota die ac nocte apponito. [21] Et si tibi purgata esse videatur, melius est sinere. [22] Si vero purgatione opus habere videatur, duobus diebus interpositis, rursus id quod ex cucumere sylvestri paratur, per diem ac noctem subdito. [23] Deinde netopon, & oleum rosaceum odoratissimum, ' & adipem cervi liquefacito, & die una in lana subdito, & multa calida, quantum ejus fieri potest, leniter lavato. [24] Statim autem ubi purgatoriis, & calida, fuerint purgata loca affecta, [25] adipe anserino, & myrrha, & resina tepida os uterorum illinat, & foveat. [26] Uteros vero postridie vino & oleo narcissino eluat. [27] Aut si narcissinum non sit, vino solo. [28] Atque hæc die uno ante menses faciat. [29] Postquam ' autem menses prodierint, primis diebus atramentum, hoc est spodium cyprium terat, & salis granum addat, & hæc lana excepta [30] paululum in corpore habeat. [31] Et jejuna vinum meracum odoratum absorbeat. [32] Ubi vero quieverint menses, per diem id quod ex pulegio paratur apponat, & virum accedat. [33] Et si in ventre conceperit, sana evadit. [34] Cibis autem in purgatione utatur. [35] Ad hæc commodat, ' mercurialem coquere, & porrum, allium, brassicam, [36] & grana mali punici ammiscere, & succum sorbere. [37] Aliis au-

δὲ σιτίοισι καὶ ὄψοισι, θαλασσίοισι μᾶλλον ἢ κρέασι χρήσθω. 38 τῶν δὲ γλυκέων εἰργέσθω καὶ ἐλαιηρῶν. 39 πινέτω δὲ αἰεὶ νῆστιν τὸ ἀπὸ τῆς δαιδὸς, ἔς τ' ἂν καθαίρηται. 40 ἐν δὲ τοῖσιν ἐπιμηνίοισι μάλα πινέτω.

LXIV. Ἢν δὲ ὀλίγῳ ἐλάσσονα τοῦ δέοντος χωρήσῃ γυναικὶ τὰ λοχεῖα, 2 οἷα τῶν μητρέων στενοστόμων ἐουσέων καὶ παρεστραμμένων, 3 ἢ τοῦ αἰδοίου ἤ τι μεμυκὸς εἴη ὑπὸ φλεγμασίης, 4 ἡ γυνὴ πυρεταίνει ὀξέως, 5 καὶ καρδιώσσει, 6 καὶ ἀλγέει τὸ σῶμα πᾶν, 7 καὶ σφαδάζει, 8 καὶ ἐς τὰ ἄκρεα τῶν χειρέων καὶ τῶν σκελέων ἀπὸ τῆς ὀσφύος ἡ ὀδύνη φοιτᾷ, 9 καὶ τὸν ἀμφὶ τὴν δειρὴν τόπον καὶ ῥάχιν καὶ βουβῶνας ἀλγήσει, 10 καὶ ἀκρατέα τινὰ τῶν μελέων τοῦ σώματος γίνονται. 11 ἔπειτα πῦρ ἠρεμαῖον, φρίκη πάνυ φανερή. 12 ἐμέει δὲ καὶ φλεγματώδεα, πικρὰ, δριμέα. 13 καὶ ἀμφὶ τῆσδε ὧδε ἔχει. 14 καί οἱ ξυμβήσεται, ἢν μελεδαίνηται, ὑγιέα γενέσθαι. 15 ἢν δὲ μὴ, χωλὴν καὶ ἀκρατέα τῶν μελέων γίνεσθαι τοῦ σώματος. 16 ἄφορος δὲ ἡ νοῦσος οὐ πάνυ.

LXV. Ἢν μὲν αἱ μῆτραι ἑλκωθῶσι, καὶ τὰ λοχεῖα μὴ περῇ ὡς χρὴ, πάντα πονήσει. 2 καὶ, ἢν μὴ μεγάλα ᾖ τὰ ἕλκεα, μελεδαινομένη ἐν τάχει ὑγιαίνει. 3 χρὴ δὲ τὴν μὲν μελέτην ἀτρεκέως ποιέεσθαι ἑλκέων τῶν ἐν τῇσι μήτρῃσιν. 4 ἅτε γὰρ ἐν ἁπαλῷ ἐόντα, καὶ εὐαισθήτῳ, καὶ νευρώδεϊ τῇ κοιλίῃ· 5 πολλὰ δὲ τὰ κοινωνέοντα, βρέγμα, στόμαχος. 6 γνώμη ἀΐσσεται καὶ κακοτροπέει, καὶ οὐ ῥηϊδίως ἐθέλει ξυνιέναι.

LXVI. Ἢν δέ οἱ αἱ μῆτραι στενόστομοι γένωνται, καὶ μὴ παραχαλάσωσι

tem obsoniis marinis potius quam carnibus utatur. 38 A dulcibus vero & oleosis prohibeatur. 39 Bibat autem semper jejuna id quod ex tæda paratur, donec purgetur. 40 Et mensibus prodeuntibus idem valde bibat.

LXIV. Si vero paulo pauciora quam oportet prodierint mulieri puerperii purgamenta, 2 velut uteris angusto ore præditis ac distortis, 3 aut aliqua pudendi pars valde fuerit conclusa ab inflammatione, 4 mulier acute febrit, 5 stomachi dolore vexatur, 6 & dolet totum corpus, 7 & moleste fert: 8 & ad articulos manuum ac crurum & lumborum dolor procedit: 9 & locum circa collum, & spinam & inguina dolebit: 10 & quædam corporis partes impotentes fient. 11 Postea calor quietus erit, & horror valde manifestus. 12 Vomunt autem & pituitosa, amara, acria. 13 Et de hac sic habet, 14 & continget, ut si curetur, sana fiat: 15 sin minus, clauda & quarundem corporis partium impotens erit. 16 Non autem valde sterilis est hic morbus.

LXV. Si quidem ulcerati fuerint uteri, & puerperii purgamenta non prodierint, velut oportet, omnia dolebit: 2 & si non magna fuerint ulcera, curata brevi sanescit. 3 Oportet autem curationem ulcerum in uteris exacte facere, 4 ut quæ in tenera & subtili sensu prædita sint parte, & in nervosa cavitate. 5 Multæ autem sunt partes cum quibus societatem habet, sinciput, stomachus. 6 Mens percellitur, & improba fit, & non facile intelligit.

LXVI. Si vero uteri angusti oris ipsi fuerint, & puerperi purgationem

χαλάσωσι τὴν λοχείην κάθαρσιν, φλεγμαίνουσιν. 2 ἢν μὴ μελεδαίνηται ἐν τῷ τάχει, πάντα μὲν μᾶλλον πονήσει· 3 καὶ ὀδμὴ πονηρὴ, καὶ οἰδίσκεται ἡ ἔξοδος. 4 καὶ, ἢν μὴ φλεγμήνωσιν αἱ μῆτραι, αὐτόματον ἔξεισι κακὸν ὀζόμενον καὶ πελιδνὸν ἐὸν, 5 ἢ μέλαν τε καὶ θρομβῶδες, 6 καὶ ἡ γυνὴ καθαίρεται τὰ λοχεῖα· 7 ἔστι δ' ὅτε οὐκ ἔξεισιν, ἀλλὰ τῇ γυναικὶ θάνατον σημαίνει, 8 ἢν μή τις ἐν τάχει φλέβα τάμῃ, 9 ἢ τὴν κοιλίην μαλθάξειεν. 10 ἄμεινον δὲ καὶ κλύσμα ποιῆσαι. 11 ἢν δὲ εὐέμετος ᾖ, καὶ ἐς ἔμετον ἄγειν. 12 κρέσσον δὲ διουρέειν, καὶ ἱδρῶν. 13 τούτων δὲ καιρὸς, ὅτε δέοι, ἄριστος.

LXVII. Ἢν δὲ ἐκ τόκου γυνὴ καθαρθῇ ὀλίγῳ πλέονα ὧν χρή· 2 γίνεται γὰρ καὶ τοῦτο, εἰ αἵ τε μῆτραι εὐρύστομοι γένοιντο, 3 καὶ τῶν φλεβῶν τινες καταρραγέωσιν, αἳ τείνουσιν ὑπὸ τὰς μήτρας, ὑπὸ βίης τῆς ἐξόδου τοῦ ἐμβρύου· 4 πυρετὸς καὶ ῥῖγος ἔχει αὐτὴν λεπτὸς, θέρμη τε ἀνὰ πᾶν τὸ σῶμα· 5 ἔστι δ' ὅτε καὶ φρίκη καὶ ἀσιτίη. 6 καὶ βδελύσσεται πάμπαν, 7 καὶ λεπτὴ ἔσται καὶ ἀσθενὴς, καὶ χλωρὴ, καὶ οἰδαλέος, καὶ ἀποσιτεῖ. 8 ἢν δέ τι φάγῃ ἢ πίῃ, οὐ πέσσεται. 9 ἐνίῃσι δὲ καὶ κοιλίη καὶ κύστις καταρρήγνυνται, καὶ φρίκη ἔχει μᾶλλον. 10 ἀμφὶ δὲ ταύτης ὧδε ἔχει.

LXVIII. Ἢν δὲ, ἐκ τόκου ἐούσης, συμφραχθῇ τι τοῦ αἰδοίου· 2 ἤδη δὲ καὶ τοῦτο εἶδον· 3 ἢν ἑλκωθῇ τὸ στόμα τοῦ αἰδοίου καὶ, ἐπειδὰν ἑλκωθῇ ἐν τόκῳ βιηθὲν ὑπὸ τῆς ἐξόδου τοῦ παιδίου, ἐγγίνεται ἴκελόν τι ἄφθῃ. 4 καὶ ἐφλεγμήνε κάρτα,

gationem non emiserint, inflammantur: 2 & si non curetur brevi, omnia magis ipsam affligent. 3 Et odor malus erit, & exitus intumescit. 4 Et si non inflammati fuerint uteri, sua sponte exit malum grave olens, & lividum, 5 aut nigrum grumosum, 6 & mulieri puerperii purgamenta purgantur. 7 Quandoque vero non exit, sed mulieri mortem portendit, 8 nisi quis brevi venam secet, 9 aut ventrem emolliat. 10 Præstat autem etiam clysterem adhibere. 11 Si vero ad vomitum facilis fuerit, etiam vomitum inducere. 12 Melius autem est lotium ciere & exudare. 13 Verum in his occasio optima est, quum opus his fuerit.

LXVII. Si vero ex partu purgata mulier fuerit, paulo plura quam oportet (2 contingit enim hoc, si uteri amplioris osculi fuerint, 3 & venæ quædam ruptæ sint, quæ sub uteros tendunt, præ violentia egressus ipsius fœtus:) 4 febris & rigor habebit ipsam tenuis, & calor per totum corpus. 5 Aliquando etiam horror, & cibi fastidium: 6 & omnino abominabitur: 7 & tenuis erit ac debilis, & pallida, & tumida, & cibum aversatur. 8 Si vero quid edat aut bibat, non concoquitur. 9 Quibusdam vero etiam alvus & vesica crumpit, & horror magis obtinet. 10 Et de hac sic habet.

LXVIII. Si vero puerperæ aliqua pudendi pars obturata fuerit (2 jam enim etiam hoc cognovi) 3 si ulceratum fuerit os pudendi, ubi sane ulceratum fuerit, in partu à pueri exitu violatum, simile quid fit ulceri superficiario ac ferventi, 4 & val-

ται, καὶ τὰ χείλεα ὑπὸ τοῦ φλεγμάνσιος ξυνέπιπτε πρὸς ἄλληλα, καὶ ἐλάβετο ἀλλήλων ἅτε ἡλκωμένα ἐόντα. 5 καὶ ψύξις δὲ γίνεται, καὶ μεμύκει ἄμφω τὰ χείλεα, ξυνδήσαντα τὸ τῆς καθάρσιος ἀπολελειμμένης. 6 εἰ δὲ ἐχώρεεν ἡ κάθαρσις, οὐκ ἂν ἐμυκώθη τὰ ἕλκεα. 7 νῦν δὲ ἐπιρρέει, καὶ παχύνεται ἀλλοτρίῳ σαρκί. 8 καὶ ἰῆσθαι χρὴ ὡς τὰ ἐν τῷ ἄλλῳ σώματι, καὶ ἐς οὐλὰς ἄγειν. 9 τὸ δὲ χωρίον λεῖον ἔστω καὶ ὁμόχροον, εἰ φροντίς. 10 ἔπασχε δὲ ταῦτα, ἃ πάσχουσιν αἱ μῆτραι οὐκ ἀποκαθαιρόμεναι τὰ λοχεῖα. 11 καὶ ἐπὶ τούτοισιν ἤλγει τὸ αἰδοῖον. 12 καὶ ψηλαφῶσα ἔγνω, ὅτι οἱ ξυνεπέφρακτο, καὶ ἔφρασε, 13 καὶ μελεδαινομένη ἀπεκαθήρατό τε, καὶ ὑγιὴς ἐγένετο, καὶ φορός. 14 εἰ δὲ μὴ ἐμελεδαίνετο, μηδέ οἱ ἡ κάθαρσις ἐρράγη αὐτομάτη, 15 τὸ ἕλκος μέζον ἐποίησε, καὶ μὴ ἀνεῖσα ἐκινδύνευσεν ἐς τὸ καρκινωθῆναι τὰ ἕλκεα.

LXIX. Εἰ δ' ὁρμηθείη γυναικὶ λοχείη κάθαρσις ὡς ἐς κεφαλὴν, θώρηκά τε καὶ πλεύμονα· 2 γίνεται γὰρ καὶ τοῦτο· 3 θνήσκουσι πολλάκις αὐτίκα, ἢν ἴσχηται. 4 εἰ δὲ χωρέοι κατὰ στόμα ἢ ῥῖνας καλῶς, ἐξάντης γίνεται. 5 εἰ δὲ ὀλίγον ἡ νοῦσος χρονιωτέρη γίνοιτο, καὶ πάσχοι ἂν ἡ γυνὴ, ὁκοῖα εἴρηται ἀμφὶ τῆς παρθένου, ἧ τὰ ἐπιμήνια πρῶτα ὥρμησεν ἄνω. 6 ἡ δὲ γυνὴ πλέονα χρόνον περιέσται τῆς παρθένου, 7 καὶ βληχρότερα τὰ παθήματα ἔσται οἱ μέχρις ὁ πνεύμων διάπυος γένηται. 8 ἢν δὲ μὴ χωρέῃ ἡ λοχείη κάθαρσις κατὰ τὸ στόμα, ἀλλ' ἄνω ὁρμηθεῖσα τράπηται, 9 κεκρύψεται τὰ λοχεῖα, καὶ οὐ χωρήσει κατά γε δίκην. 10 καὶ

de inflammatur. Et labia præ inflammatione inter se coincidunt, & se mutuo contingunt, utpote quæ sunt exulcerata. 5 Sed & frigus fit, & ambo labia clausa sunt, constringentia purgationem relictam. 6 Si vero prodiret purgatio, ulcera non conclusa essent. 7 Nunc autem influit, & alienа carne crassescunt. 8 Proinde ea sanare oportet, velut in reliquo corpore, & ad cicatrices perducere. 9 Locus autem lævis & concolor reddatur. 10 Mulier quædam patiebatur eadem quæ patiuntur uteri dum à puerperii purgamentis non purgantur, 11 & ad hæc dolebat pudendum. 12 Et ex contactu cognovit, quod obturata esset, & narravit, 13 & curata depurgata est, & sana evasit ac fœcunda. 14 Si vero curata non fuisset, neque purgatio ipsi sponte erupisset, 15 ulcus majus fecisset, & malo non remittente, periclitata fuisset ne ulcera cancerosa fierent.

LXIX. Si vero processerit mulieri puerperii purgatio ad caput, thoracemque ac pulmonem (2 fit enim & hoc) 3 moriuntur sæpe statim, si detineatur ac firmetur. 4 Si vero probe exeat per os aut nares, sana evadit. 5 Si vero morbus paulo diuturnior fiat, patietur sane mulier ea quæ dicta sunt de virgine, cui menses primum comparentes sursum impetum fecerunt. 6 Verum mulier longiore tempore superstes erit quam virgo, 7 & affectiones debiliores erunt, donec pulmo purulentus fiat. 8 Si vero puerperii purgatio non exeat per os, sed sursum tamen impetum fecerit, 9 occultabitur, & non procedet justo modo. 10 Et tussis

καὶ βὴξ ὑπολήψεται, καὶ ἄσθματα. 11 καὶ πληρευμένου τοῦ πλεύμονος ὑπὸ τοῦ αἵματος πονήσει τὸ πλευρὸν κάρτα, καὶ τὸ μετάφρενον. 12 καὶ, ὅταν βήξῃ, ξηρὸν ἀποβήσσεται· ἄλλοτε δὲ ἀφρῶδες πτύσεται· 13 τοῦ δὲ χρόνου προϊόντος πτύαλον ἐπιφαίνεται ὑπόμελαν ἐὸν καὶ θολερόν. 14 καὶ τὰ στήθεα πῦρ ἔχει τοῦ ἄλλου σώματος πλέον, οἷα αἵματος θερμαίνοντος αὐτά. 15 καὶ πυρεταίνει ἡ γυνὴ, 16 καὶ ἡ γαστήρ οἱ στεγνὴ ἔσται, 17 καὶ ἀσιτήσει, 18 καὶ ἀγρυπνήσει, 19 καὶ βδελύξεται, 20 καὶ οὐ περιγίνεται, ἀλλὰ θανεῖται ἐν μιῇ καὶ εἴκοσιν ἡμέρῃσιν ὡς τὰ πολλά.

tussis corripiet, & anhelationes. 11 Et impleto pulmone à sanguine, valde dolebit latus & dorsum. 12 Et quum tussiet, sicce tussiet. Aliquando vero spumosum expuet. 13 Temporis autem progressu sputum apparet subnigrum & turbatum. 14 Et calor pectora tenet, magis quam reliquum corpus, nimirum sanguine ipsa calefaciente. 15 Et febrit mulier, 16 & venter ipsi coarctatur, 17 & cibum fastidit: 18 & vigilabit, 19 & abominabitur: 20 & non superstes manet, sed moritur plerunque vicesima prima die.

LXX. Ἢν δὲ οἱ καθάρσιες, ἀνορμήσασαι κατὰ τὸ στόμα, μὴ ἔλθῃ, 2 μηδὲ ἐς τὸν πλεύμονα τρέπηται, 3 τρέψεταί οἱ ἐς τὸ πρόσωπον τὰ λοχεῖα, 4 καὶ ἔσται ἐρυθρὸν κάρτα, καὶ ἡ κεφαλὴ βαρείη, οὐδὲ κινῆσαι αὐτὴν ἔσται πόνων ἄτερ. 5 καὶ οἱ ὀφθαλμοὶ ἐρυθροὶ κάρτα ἔσονται, καὶ ἐκ σφῶν αἷμα ῥεύσεται λεπτόν. 6 καὶ ἐκ τῶν ῥινῶν ἔστιν οἷσιν αἷμα ῥεῖ. 7 καὶ, ἢν τοῦτο ἴῃ, οὐδὲ χρονιωτέρη ἡ νοῦσος γίνεται. 8 τοῖσί τε οὔασιν οὐκ ὀξέως ἐπὶ τὸ ἀκούειν ἐν τῇ νούσῳ, 9 καὶ καρδιώξει, 10 καὶ ἐρεύξεται, 11 καὶ ἀλλοφρονήσει καὶ παράνοιαι γίνονται μανιώδεες. 12 ἔστι δ' ἧσι θράσος ὀμμάτων ἰλλωδέων. 13 καὶ τἄλλα πάντα πονήσει, ὅκως καὶ ἐς τὸν πλεύμονα, ὡς εἴρηται, ἢν ἡ κάθαρσις τράπηται. 14 πλὴν οὐ βήξει, οὐδὲ πτύσεται τοιαῦτα, οὐδὲ μετάφρενον ἀλγήσει ὁμοίως. 15 μελεδαινομένη δὲ ὑγιαίνει. 16 οὐ πολλαὶ δὲ ἐλπίδες εἰσὶ περιγενέσθαι. 17 ἢν δὲ ἄρα καὶ περιγένηται, κώφωσις ἔσται οἱ ἢ τύφλωσις τὸ ἐπίπαν. 18 ἀμφὶ τῆσδε τῆς νούσου ὧδε τελευτᾷ.

LXX. Si vero purgatio sursum progressa, per os non exeat, 2 neque in pulmonem vertatur: 3 convertetur ipsi ad faciem, 4 & erit hæc valde rubicunda, & caput grave, quod neque movere potest absque doloribus: 5 & oculi valde rubicundi erunt, & ex ipsis sanguis tenuis fluet. 6 Et quibusdam ex naribus sanguis manat. 7 Et si hic exierit, diuturnior morbus fit. 8 Et aures non acute audiunt in hoc morbo: 9 & stomachi dolore vexatur, 10 & eructat, 11 & mente alienatur, & deliria fiunt furiosa. 12 Quibusdam autem adest oculorum distortorum ferocitas. 13 Et reliqua omnia perpetietur, velut si purgatio ad pulmonem vertatur. 14 Verum non tussiet, neque exspuet ejusmodi, neque dorsum similiter dolebit. 15 Curata vero sana fit. 16 Non multa vero spes est de vita ipsius. 17 Et si etiam superstes maneat, surditas aut cæcitas omnino ipsi accedet. 18 Atque hic est hujus morbi finis.

LXXI. Ἢν ἐκ τόκου ῥόος λαμβάνῃ,

LXXI. Si ex partu fluxus corripiat,

βάνῃ, ² καὶ τὰ σιτία ἐν τῇ γαστρὶ μένῃ, ³ ἀσταφίδα χρὴ μέλαιναν καὶ ῥοιῆς γλυκείης τὰ ἔνδον τρίψας, οἴνῳ διεὶς ἐν μέλανι χρῶ, ⁴ τυρὸν 205 ἐπιξύσας αἴγειον, καὶ ἄλφιτα πύρινα πεφρυγμένα ἐπιπάσσειν, καὶ εὔκρητον δίδου.

LXXII. ¹ Ἢν δὲ αἷμα ἐκ τόκου 206 ἐμέσῃ, ² τοῦ ἥπατος ἡ σύριγξ τέτρωται, ³ καὶ ὀδύνη πρὸς τὰ σπλάγχνα φοιτᾷ, ⁴ καὶ τὴν καρδίαν σπᾶται. ⁵ ταύτην χρὴ λούειν πολλῷ θερμῷ, καὶ τῶν χλιασμάτων ἃ μάλιστα προσδέχεται, προστιθέναι. ⁶ καὶ πιπίσκειν ὄνου γάλα ἐπὶ ἑπτὰ ἡμέρας ἢ πέντε. ⁷ μετὰ δὲ ταῦτα πιπίσκειν βοὸς μελαίνης γάλα ἀσιτήσασαν, εἰ οἷόν τε εἴη, ἡμέρας τεσσαράκοντα. ⁸ ἐς δὲ τὴν ἑσπέρην σήσαμον τριπτὸν πιπίσκειν. ⁹ ἡ δὲ νοῦσος κινδυνώδης. ¹⁰ τὸ δὲ γάλα ὅκως γίνηται, εἴρηταί μοι ἐν τῇ φύσει τοῦ παιδίου τῇ ἐν τόκῳ, καὶ τἄλλα παραπλησίως.

LXXIII. ¹ Ἢν γάλα σβεσθῇ, ² πράσα τρίψας, διεὶς τε ὕδατι, δίδου πιεῖν. ³ καὶ ἐν θερμῷ λουέσθω. ⁴ καὶ ἐς βρῶσιν πράσα καὶ κράμβην ἐσθιέτω. ⁵ συνεψεῖν δὲ καὶ κυτίσου φύλλα, καὶ τὸν χυλὸν ῥοφέειν. ⁶ πιπίσκειν δὲ καὶ τὸν χυλὸν τοῦ μαράθρου, καὶ τοῦ ἀπὸ τῶν μαραθρέων ῥιζῶν, καὶ κριθὰς ἐπτισμένας, καὶ βούτυρον ἑψήσας ὁμοῦ καὶ ψύξας, δίδου πίνειν. ⁷ ἀγαθὸν δὲ καὶ τὸ ἱππομάραθρον, καὶ τὸ ἱπποσέλινον, καὶ κύτισος. ⁸ ὁμοῦ ταῦτα πάντα γάλα πολὺ ποιέει καὶ ἄγει. ⁹ σκυρίαι αἶγες, τυροὶ δὲ μάλιστα, ἀγαθόν. ¹⁰ ἀλλὰ καὶ τὸ ἐλελίσφακον ἑψεῖν. ¹¹ ἢ ἀπὸ τῶν ἀρκευθίδων ἢ κεδρίδων ἀποχέουσα τὸν χυλὸν, καὶ οἶνον ἐπιχέουσα, πινέτω. ¹² καὶ ἐς τὰ λοιπὰ ἔλαιον ἐπιχέουσα ἐσθιέτω. ¹³ καὶ τῶν δριμέων, καὶ τῶν ἁλμυρῶν, καὶ [τῶν] ὀξέων

ripiat, ² & cibi in ventre non maneant, ³ uvam passam nigram, & mali punici dulcis grana terito, & vino nigro dilutis utitor, ⁴ ita ut caseum caprinum derasum, & polentam tritici torrefactam inspergas, & bene temperata bibenda præbeas.

LXXII. Si ex partu sanguinem vomat, ² hepatis fistula sauciata est, ³ & dolor ad viscera procedit, ⁴ & cor convellitur. ⁵ Hanc multa calida lavare 335 oportet: & tepefactoria quæ maxime admiserit: ⁶ & lac asininum ad dies septem vel quinque bibendum dare. ⁷ Postea vero vaccæ nigræ lac bibendum præbere, ita ut sine cibo degat, si fieri poterit, ad dies quadraginta. ⁸ Ad vesperam vero sesamum tritum bibat. ⁹ Morbus hic est periculosus. ¹⁰ Quomodo autem lac bibat, dictum à me est in Pueri in partu nativitate, & alia similiter.

LXXIII. ¹ Si lac fuerit extin- 340 ctum, ² porrum tritum & aqua dilutum bibendum dato. ³ Et calida lavetur, ⁴ & in cibo porrum ac brassicam edat. ⁵ Sed & cytisi folio simul coquat, & succum sorbeat. ⁶ Bibat etiam fœniculi succum, & de radicibus fœniculi. Et hordeum molitum ac butyrum simul coquito, frigefacito, ac bibenda præbeto. ⁷ Bonum est & hippomarathrum, & hipposelinum, & cytisus. ⁸ Hæc omnia simul multum lac faciunt & augent. ⁹ Capræ item 345 Scyriæ, casei autem maxime commodi sunt. ¹⁰ Sed & salviam coquat: ¹¹ aut à juniperi baccis, aut cedri fructu, succum diffundat, & vino affuso edat: ¹³ & ab acribus, & salsis, & acidis, & crudis

ὀξέων καὶ ὠμῶν λαχάνων πάντων εἰργέσθω. [14] τὸ δὲ κάρδαμον ἐν οἴνῳ πινόμενον, ἀγαθόν· καὶ γὰρ τὸ γάλα καθαίρει. [15] καὶ τῷ θερμῷ λουέσθω. [16] καὶ ἀπόθερμον πινέτω· [17] καὶ ἄγνου καρπὸν ἐν οἴνῳ διδόναι πίνειν· [18] καὶ ὁ χυλὸς τοῦ τεύτλου γάλα πουλὺ ποιεῖ πινόμενος, [19] καὶ σήσαμον μετ' αὐτοῦ, καὶ κριθέων τριμηνιαίων ἐμβαλὼν ἐς θυίαν, τρίψας πάντα, δι' ὀθονίου τὸν χυλὸν ἐπιχέας καὶ ἐκχυλίσας, [20] παραμίξας δὲ καὶ μέλι, ἢ ἀμαμηλίδας, [21] εἶτα ἐπ' οἴνῳ μέλανι διδόναι πίνειν.

LXXIV. Ὅταν γυνὴ τέκῃ, καὶ τοῦ ὑστέρου μὴ ἀπαλλαγῇ, [2] διδόναι ἄμεινον, ὑφ' ὧν μάλιστα καθαίρεται τὰ λοχεῖα, [3] σκόροδα ἑφθὰ ἐν οἴνῳ καὶ ἐλαίῳ μετὰ πολυποδίων καὶ σηπιδίων, ἢ ὀπτὰ ἐπ' ἀνθράκων. τουτέων δὲ ὅ, τι ἂν βούληται· [4] καστόριον δὲ ἢ νάρδον πινέτω. [5] πίνειν δὲ καὶ πήγανον ἐν οἴνῳ μέλανι γλυκεῖ νῆστις, ἢ ἄνευ οἴνου. [6] ἢν δὲ μὴ γλυκὺς ὁ οἶνος ᾖ, ἄμεινον μέλι παραμίσγειν. [7] κράμβην ἑφθὴν ὁμοῦ πηγάνῳ καὶ λινοζώστει· [8] καὶ τῶν σπερματίων τι πίνειν τῶν ὑστερικῶν.

LXXV. Ἢν δὲ θρομβωθῇ, καὶ πόνος ἐν τῇ νειαίρῃ γαστρὶ γίνηται, [2] διδόναι πράσα ἑφθά, καὶ ὅσα ἄγρια καὶ ἥμερα· [3] λιπαρὰ δὲ ποιεῖν ἅπαντα· [4] λούεσθαι δὲ καὶ διὰ τρίτης ἡμέρης ἐν εὐδίῃ. [5] τὸ γὰρ ψῦχος ταύτῃσιν ἐναντίον. [6] καὶ μετὰ τὸ λουτρὸν ὑπαλείφειν ἄμεινον [δὲ] μὴ πολλῷ θερμῷ χρῆσθαι.

LXXVI. Ὅταν τὸ ὕστερον μὴ αὐτίκα ἀπίῃ μετὰ τὸν τόκον, [2] τῆς νειαίρης γαστρὸς γίνονται πόνοι ἐν κενεῶσι, καὶ ῥῖγος καὶ πυρετοί. [3] κἢν ἀπαλλάσσηται τὸ ὕστερον,

ὑγιαίνει

dis oleribus omnibus prohibeatur. [14] Nasturtium vero in vino potum commodum est: nam lac purgat. [15] & calida lavetur, [16] & apothermum bibat. [17] Viticis item fructum in vino bibendum dato, [18] & betæ succus potatus multum lac facit. [19] Sesamum quoque recens, & hordeum trimestre, in mortarium conjecta terito, & succum diffusum per linteum exprimito, [20] & mel aut amamelidas ammisceto: [21] deinde in vino nigro bibenda dato.

LXXIV. Quum mulier peperit, & à secunda non fuerit liberata, [2] præstat dare à quibus maxime purgantur puerperii purgamenta: [3] allia cocta aut assata in vino & oleo, cum polypis ac sepiolis super prunis tostis, quicquid tandem ex his voluerit. [4] Castorium vero aut nardum bibat. [5] Bibat etiam rutam in vino nigro dulci jejuna, aut sine vino. [6] Si vero vinum non fuerit dulce, melius est mel ammiscere. [7] Edat etiam brassicam coctam cum ruta & mercuriali: [8] & semen aliquod utero commodum bibat.

LXXV. Si vero puerperii purgamenta in grumos fuerint coacta, & dolor in imo ventre fiat, [2] porrum coctum & quæcunque sylvestria ac hortensia olera dato, [3] verum omnia pinguia facito: [4] & per tertium quenque diem sub clementi cœlo lavetur. [5] Frigus enim his inimicum est. [6] Et post balneum inungere melius est, & non multa calida uti.

LXXVI. Quum secunda non statim exierit post partum, [2] imi ventris dolores fiunt in laterum mollitudine, & rigores ac febres. [3] Et si discesserit secunda, sana-

tur

ὑγιαίνει καὶ ἡ γυνή. 4 σήπεται δὲ πολύ, 5 ἀπαλλάσσεται δὲ ἑκταίη, ἢ ἑβδομαίη, ἢ καὶ ἀνωτέρω. 6 ἐπὶ τῇ τοιαύτῃ χρὴ διδόναι φάρμακα, ὧν ἂν 40 ἐγὼ γράψω, 7 καὶ πνεῦμα κατέχειν. 8 ἄριστον δὲ πάντων οἶδα ἀρτεμισίην βοτάνην καὶ δίκταμνον. 9 λευκοίου ἄνθος καὶ ὀπὸν σιλφίου κράτιστον ἐν ὕδατι πινόμενον, ὅσον κύαμος ἑλληνικός. 10 καὶ, ἢν τὰ ὕστερα μὴ δύνηται ἀποφυγεῖν, ἀσιτεῖν. 11 κἄπειτα πέταλα τοῦ ἄγνου τρίψας ἐν οἴνῳ καὶ μέλιτι, καὶ ἔλαιον ἐπιχέας, 209 χλιήνας, δίδου πίνειν ὅσον κοτύλην, καὶ ἔξεισιν.

12 Ἢν δὲ γυναικὶ τὸ χορίον 210 ἐλλειφθῇ ἐν τῇσι μήτρῃσι (τοῦτο δὲ ὧδε γίνεται). 13 ἢν ῥαγῇ βίῃ ὁ ὀμφα-45 λὸς, ἢ ἀμαθίῃ ἀποτάμῃ ἡ ὀμ- 211 φαλοτόμος τὸν ὀμφαλὸν τοῦ παιδίου, πρόσθεν πρὶν ἢ τὸ χορίον ἐξιέναι ἐκ τῶν μητρέων, αἱ μῆτραι 212 τε ἀνασπῶσι τὸ ὕστερον αὖθις. 14 ἅτε ὀλισθηρὸν ἐὸν καὶ χεόμενον, καὶ κατίσχουσιν ἐν ἑωυτῇσι. 15 τέταται γὰρ τὸ χορίον ἐκ τοῦ ὀμφαλοῦ τοῦ παιδίου. 16 καὶ ὕστερος ἔξεισιν ὁ ὀμφαλὸς ἐκ τῶν μητρέων. 17 ἢν γὰρ πρότερος ἐξίοι, δι' αὐτοῦ οὐκ ἂν διέλθοι τῷ παιδίῳ ἡ τροφή, ὅτι ἐξήρτηται ἐξ αὐτέου.

LXXVII. Ὅταν δὲ ἐν γαστρὶ 245 ἔχουσα φθείρῃ τὸ ἔμβρυον μηνιαῖον, ἢ διμηνιαῖον, καὶ τὰ ὕστερα ἐξιέναι μὴ δύνηται, ἢ δὲ λεπτὴ, 2 ταύτης χρὴ τηνικαῦτα καθῆραι τὸ σῶμα καὶ πιᾶναι. 3 οὐ γὰρ πρότερον ἔξεισι τὰ ἔμβρυα σαπέντα, ἢν μὴ ἰσχυραὶ αἱ μῆτραι ἔωσι καὶ ἀπηγέες.

4 Ἢν γυναικὶ τὸ χορίον ἐλλειφθῇ, 5 ἢν μὴ εὐρύστομοι αἱ μῆ- 213 τραι ἔωσι, 6 χωρέει ἡ κάθαρσις ἔλασσον τοῦ καιροῦ. 7 καὶ ἡ γαστὴρ σκληρὴ γίνεται καὶ μεγάλη. 8 καὶ ψύξις

tur etiam mulier. 4 Sæpe vero putrefcit, 5 & difcedit fexta aut feptima die, aut etiam prius. 6 Huic autem dare oportet pharmaca quæ ego defcribam, 7 & fpiritum continere jubere. 8 Omnium vero optimum novi artemifiam herbam, & dictamnum, 9 & violæ albæ florem. Et filphii fuccus optimus eft, fabæ græcæ magnitudine in aqua potus. 10 Et fi fecundas excludere non poterit, à cibo abftineat. 11 Et poftea viticis folia trita in 370 vino & melle, oleo affufo tepefacito, & heminæ menfuram bibendam dato, & exibunt.

12 Si mulieri fecunda in uteris relicta fuerit, hoc fic contingit. 13 Si per vim ruptus fuerit umbilicus, aut ab obftetrice umbilicifeca per imperitiam refectus, quæ videlicet umbilicum pueri prius incidit, antequam fecunda ex uteris exiiffet, & uteri furfum retrahunt fecundam, 14 utpote lubricam & 375 diffufam, & in feipfis detinent. 15 Nam fecunda ex umbilico pueri hæret, 16 & umbilicus poftremus ex uteris exit. 17 Si enim prior exiret, non accederet per ipfum puero nutrimentum, quoniam ex ipfo dependet.

LXXVII. Quum in ventre habens fœtum corruperit menftruum, aut bimeftrem, & fecundæ exire non poterint, fuerit autem tenuis: 2 hujus corpus tunc purgare oportet ac pinguefacere. 3 Non enim prius ex- 380 eunt fœtus putrefacti, nifi fortes fuerint uteri, & probe compacti.

4 Si mulieri fecunda relicta fuerit, 5 fi non ampli fuerint uteri, 6 purgatio ipfa minus quam oportet procedit, 7 & venter durus fit ac magnus. 8 Et frigus

ψῦξις ἔχει, καὶ πυρετὸς ὀξύς. ⁹ καὶ πόνος καθ' ἅπαν τὸ σῶμα, γαστρὸς δὲ τὸ κατώτερον τοῦ ὀμφαλοῦ. ¹⁰ καὶ βρῖθος γίνεται ἐν τῇσι μήτρῃσιν. ¹¹ καὶ στροφὴ ὡς ἐμβρύου ἐόντος. ¹² ¹³ ¹⁴ καὶ μελεδανθεῖσα ἐκβάλλει τὸ χορίον ἐν τάχει σεσηπὸς, καὶ ὑγιαίνεται.

LXXVIII. Ἢν ἐκ τόκου ἡ μήτρη ἑλκωθῇ, ῥόδων ἄνθει ἰῆσθαι. ² διακλυζέσθω δὲ καὶ στρυφνοῖσιν. ³ Ἢν δὲ ἑλκωθῇ τὸ στόμα καὶ φλεγμήνῃ, ⁴ σμύρναν καὶ στέαρ χήνειον καὶ κηρὸν λευκὸν καὶ λιβανωτὸν λαγωοῦ θριξὶ τῇσιν ὑπὸ γαστέρα μίσγειν, καὶ προστιθέναι ἐν εἰρίῳ λεῖα ποιήσας.

LXXIX. Ἢν ἐκ τόκου φλεγμήνωσιν αἱ ὑστέραι, ² πυρετὸς ἴσχει τὸ σῶμα βληχρὸς, ³ καὶ ἀχλύς. ⁴ ἐκ δὲ τῆς κοιλίης οὐδέποτε ἐκλείπει τὸ πῦρ, καὶ διψῇ, καὶ τὰ ἰσχία ἀλγέει, ⁵ καὶ οἰδέει τὴν γαστέρα τὴν κάτω ἰσχυρῶς, καὶ ἡ κοιλίη ταράσσεται. ⁶ ὑποχώρημα δὲ κακὸν καὶ ὀζόμενον. ⁷ καὶ λάζεται τὸ πῦρ σφοδρὸν, ⁸ καὶ ἀσιτίην ἔχει, ⁹ καὶ κατὰ τὸ βρέγμα ὀδυνῆ, ¹⁰ καὶ οὐ δύναται εἰρύσαι τῆς κοιλίης ὁ στόμαχος ποτὰ καὶ σιτία, καὶ ἀδυνατέει πέσσειν. ¹¹ καὶ, ἢν μὴ θεραπεύωνται αὐτίκα, αἱ πλεῖσται θνήσκουσιν. ¹² ἡ κοιλίη δὲ αἰτίη. ¹³ τῆς ἀκτῆς τὰ φύλλα ὡς ἁπαλώτατα ἐν πυρῶν κρίμνοισιν ἑψήσας σητανίοισιν, ἀκροχλίαρον ῥοφέειν, ¹⁴ διδόναι τε καὶ μελίκρητον, καὶ οἶνον ὑδαρέα. ¹⁵ καὶ τὸ ἦτρον καταπλάσσειν τοῖσι ψυκτικοῖσι. ¹⁶ σιτίον δὲ ὡς ἐλάχιστον ἐσφέρειν. ¹⁷ καὶ τὴν γαστέρα ἱστάναι, ¹⁸ καὶ τὴν κεφαλὴν ἰῆσθαι, ¹⁹ ὑποχόνδριον δὲ καταπλάσσειν καὶ τὸν μητρέων τόπον.

LXXX. Ὁκόταν ἀλγέῃ τὴν ἕδρην, ἢ ἄλλο τι, ² ἀρκευθίδος καρπὸν, ἢ λίνου σπέρμα καὶ κνίδης τρίβειν,

frigus detinet, & febris acuta: ⁹ & dolor per totum corpus, & ventris maxime partem eam quæ est infra umbilicum: ¹⁰ & gravitas fit in uteris, ¹¹ & tormen, velut fœtus insit. ¹² Et curata secundam brevi ejicit putrefactam, & sana evadit.

LXXVIII. Si ex partu uterus ulceratus fuerit, rosarum floribus curato. ² Sed & acerbis infusis colluatur. ³ Si vero os ejus ulceratum fuerit ac inflammatum, ⁴ myrrham, & adipem anserinum, & ceram albam, & thus, pilis leporinis sub ventre enatis misceto, & simul trita in lana apponito.

LXXIX. Si ex partu uteri fuerint inflammati, ² febris debilis corpus tenet, ³ & caligo adest. ⁴ Ex ventre vero nunquam deficit calor: & sitit, & coxas dolet, ⁵ & venter imus fortiter intumescit, & alvus turbatur. ⁶ Secessus autem est malus & olidus: ⁷ & calor vehemens corripit, ⁸ & cibum aversatur, ⁹ & dolor juxta sinciput est, ¹⁰ & ventris stomachus non potest trahere cibos ac potus, & concoquere nequit: ¹¹ & nisi curentur statim, plurimæ moriuntur. ¹² Venter autem est in causa. ¹³ Sambuci igitur folia tenerrima, in crassiore tritici recentis farina cocta, leviter tepida sorbeat. ¹⁴ Dato & aquam mulsam, & vinum aquosum. ¹⁵ Et pectinem cataplasmatis frigefactoriis integito. ¹⁶ Cibum autem quam minimum edat, ¹⁷ & venter sistatur. ¹⁸ & caput curetur. ¹⁹ Præcordiis vero & uterorum loco, cataplasmata adhibeto.

LXXX. Quum doluerit sedem, aut aliud quid, ² juniperi baccas, aut apii & urticæ semen terito, ac

τρίψας, καὶ διδόναι πίνειν. 3 ἢν ἐκ τόκου ἀλγέῃ, ῥητίνην τερεβινθίνην, καὶ μέλι, καὶ οἶνον χλιαρὸν διδόναι ῥοφέειν. 4 καὶ, ἢν φλεγμαίνωσιν αἱ μῆτραι, τοῦτο παύσει. 5 ἢν δὲ μὴ [220] ἀλγέῃ τι τῶν μητρείων τόπων, ἀμυγδάλας τρίψας πικρὰς, ἐλαίης [221] τε τὰ ἁπαλὰ φύλλα, καὶ ἄννησον, καὶ ἐρύσιμον, καὶ ὀρίγανον, καὶ νίτρον, ταῦτα μίξας καὶ τρίψας λεῖα, 6 κολλύρια ποιέειν μητρείων.

7 Ἢν [δὲ] φλεγμαίνωσιν καὶ ὀδύνην ἔχῃ, ῥόδων φύλλα, κινάμωμον καὶ κασσίην τρίψας ἐν τῷ αὐτῷ λεῖα, ἐπιχέειν νέτωπον. 8 καὶ [222] ποιήσας φθοΐσκους ὅσον δραχμιαίους, ὀστράκινον χυτρίδιον καινὸν διάπυρον ποιήσας, περικαθίσας καὶ περιστείλας ἱματίοισι, θυμιῆν ἐς τὰς μήτρας. 9 τοῦτο ὀδύνας παύσει.

LXXXI. Ἢν δὲ ἐκ τόκου αἱ ὑστέραι πονήσωσι, 2 βληχρὸν ἔχει τὸ πῦρ, ἔνδοθεν δὲ ἡ κοιλίη ἡ νειαίρη πυρικαύτης ἐστί. 3 καὶ ἐς τὸ ἰσχίον ἐνίοτε ἀποιδέει. 4 καὶ ὀδύνη ἔχει τὴν νειαίρην γαστέρα, καὶ ἐς τοὺς κενεῶνας. 5 καὶ τὰ ὑποχωρέοντα χολώδεα καὶ κάκοδμα. 6 καὶ ἢν μὴ στῇ ἡ κοιλίη, ἐξαίφνης θνήσκει. 7 ὅταν οὖν ὧδε ἔχῃ, χρὴ ψύχειν τὴν κοιλίην, φυλασσόμενον ὅκως μὴ φρίξῃ. 8 πινέτω δὲ, ἢν μὴ ἵστηται, τὸ ἀπὸ [223] τῶν κρίμνων. 9 τρωγέτω [δὲ] ἄλητον [224]. 10 ῥοφέειν δὲ σίδης οἰνώδεος τὸν χυλὸν, κεράσας ὕδατι· 11 ἐπίπασσε [225] δὲ λεκίθους ὤων, καὶ τοῦτο [226] ἕψει, μίσγων φακὸν, καὶ κύμινον, καὶ ἅλας, καὶ ἔλαιον, καὶ ὄξος. 12 τοῦτο διδόναι ῥόφημα ψυχρόν. 13 καὶ φακῆν ὀξείην, καὶ ἐπιπίνειν οἶνον οἰνώδεα [227] πράμνιον. 14 τῶν δ' ἄλλων σιτίων ἀπέχεσθαι χρὴ, ἕως ἂν ὁ πυρετὸς λυθῇ. 15 ἢν

ac 'bibendum dato. 3 Si ex partu doleat, resinam terebinthinam, & mel, & vinum tepidum, sorbenda dato. 4 Et si inflammati fuerint uteri, inde sedantur. 5 Si vero non doleat uterorum locum, amygdalas amaras tritas, & oleæ folia tenera, & anisum, & irionem, & origanum, & nitrum: hæc misceto, terito, 6 & uterorum collyria efformato.

7 Si vero inflammati fuerint, & dolor habuerit, rosarum folia, cinamomum, ' & cassiam, simul terito, & netopo affuso, 8 placentulas ac pastillos drachmales formato, easque in ollam novam fictilem igne candentem mittito, circumlocataque muliere ac vestibus contecta, in uteros suffito. 9 Hoc dolores sedat.

LXXXI. Si vero ex partu uteri doluerint, 2 calor debilis habet: verum venter imus intus igne ardet: 3 & ad coxendicem aliquando intumescit: 4 & dolor habet imum ventrem, & laterum 'mollitudinem. 5 Et secessus biliosi sunt & graveolentes: 6 & si non sistatur venter, derepente moritur. 7 Quum igitur sic habuerit, ventrem frigefacere oportet, cavendo ne horrescat. 8 Bibat autem si non sistatur, aquam de crassiore tritici farina in ipsa macerata; 9 & panis farinam edat. 10 Sorbeat autem mali punici vinosi succum aqua dilutum, 11 farina lentium inspersa. Et hoc coquito: misce lentem, & ' cuminum, & salem, & oleum, & acetum, 12 atque hanc sorbitionem frigidam exhibeto. 13 Lenticulam item acidam dato, & vinum vinosum pramnium insuper sorbendum. 14 Aliis autem cibis abstinere oportet donec febris solvatur. 15

15 ἢν | 15 Si

15 ἢν δὲ δοκέῃ, καὶ λουέσθω. 16 ἢν δὲ ἀσθενῶς ἔχῃ, πινέτω διδοὺς τὰ ἄλφιτα· ἢν δὲ ἀκιδνοτέρη ᾖ, ἐν ὕδατι ψυχρῷ. 17 σιτίον δὲ προσφέρεσθαι κοῦφον, ὅ, τι μὴ ἰνήσεται, ἐς τ' ἂν τὸ πῦρ μεθῇ. 18 ἡ δὲ νοῦσος ὀξέη τε καὶ θανατώδης.

LXXXII. Ἢν δὲ φλεγμήνωσιν αἱ ὑστέραι λεχοῖ, 2 πίμπρηται ἡ κοιλίη καὶ μεγάλη γίνεται, 3 καὶ πρὸς τὰ ὑποχόνδρια πνῖξ ἔχει. 4 ὅταν ὧδε ἔχῃ, καταπλάσσειν βρύῳ τῷ θαλασσίῳ, ὃ ἐπὶ τοὺς ἰχθύας ἐπιβάλλουσιν. 5 κόψαι δὲ ἐν ὅλμῳ, καὶ ξυμμίσγειν ὠμήλυσιν, καὶ σποδιὴν κληματίνην, καὶ λίνον φώξαντα. 6 βάλλειν δὲ ταῦτα καὶ ἀναφορύξαι ὄξει καὶ ἐλαίῳ· 7 ποιεῖν δὲ οἷον κυκεῶνα παχύν. 8 ταῦτα ἑψεῖν, ἕως ἂν οἷον σταῖς γένηται. 9 καὶ τούτῳ καταπλάσσειν ὡς θερμότατα. 10 καὶ, ἢν χρήζῃ, ἐγκαθιζέσθω.

11 Ἢν δὲ λεχοῖ φλεγμήνωσιν αἱ ὑστέραι, 12 οἰδέουσι, καὶ ὁκόταν τὰ λοχεῖα ἐμμένῃ, κρύβδην τείνονται. 13 γίνεται δὲ ἐπὴν πυκνωθῶσιν ὑπὸ ψύχεος. 14 ταύτῃσιν, ἢν μὲν ἐπιψύχωνται, ἀλεαίνειν· 15 ἢν δὲ περιφλεγέες ἔωσιν, καὶ τὸ ψῦχος ἀφῇ, προσθετὸν ποιέειν, ὅ, τι φλεγμασίῃ ἐναντιοῦται. 16 καὶ λούειν ἅμα καὶ πυριῆν, καὶ φάρμακα προστιθέναι, ἃ ἂν ἐγὼ γράψω. 17 ἕλκειν τε ἀτμίδα ἐς τὸ στόμα καὶ ἐς τὰς ῥῖνας. 18 ἢν δὲ πνίγωσι, φακοὺς ἑψεῖν ἐν ὄξει, καὶ ἁλὶ, καὶ ὀριγάνῳ πολλῷ, καὶ ὁλκὴν ποιέεσθαι. 19 καὶ τὴν λινόζωστιν ἐσθιέτω, καὶ ἐν τῷ χυλῷ ἑφθὸν ἄλητον ῥοφεέτω. 20 ὅτι τάχιστα δὲ καὶ, πρὶν τὴν ὀδύνην ἔχειν, πρότερον διδόναι τῶν φαρμάκων, ὅσα τὰς ὑστέρας παύει τῆς

15 Si vero visum fuerit, etiam lavetur. 16 Si vero debilis fuerit, polentam bibendam dato. Et si imbecillior sit, ex aqua frigida. 17 Cibum autem exhibeto levem, qui non evacuet, ubi calor remiserit. 18 Morbus hic acutus est & lethalis.

LXXII. Si inflammati fuerint puerperæ uteri, 2 venter ardet, & magnus fit, 3 & ad præcordia suffocatio habet. 4 Quum sic habuerit, muscum marinum, quem super pisces injiciunt, pro cataplasmate adhibeto. 5 Verum in mortario misceto ac tundito, crudam hordeaceam farinam, & cinerem sarmentitium, & lini semen tostum: 6 & hæc oleo & aceto subigito, 7 & velut cyceonem crassum facito, 8 deinde coquito donec velut farinæ subactæ massa fiat: 9 atque ita quam calidissima imponito, 10 & si opus fuerit, etiam insidere facito.

11 Si puerperæ inflammati fuerint uteri, 12 intumescunt &, ubi puerperii purgamenta intus manserint, occulte distenduntur, 13 distenduntur autem ubi condensati fuerint à frigore. 14 His siquidem perfrigerentur, calefacere conducit. 15 Si vero inflammati fuerint, & frigus discesserit, medicamentum subdititium facere, quod inflammationi adversatur, 16 & simul lavare, & fovere, & pharmaca adhibere, quæ ego describam, 17 & vaporem in os ac nares attrahere. 18 Si vero suffocent, lentes in aceto, & sale, & origano multo coquere, & attractionem facere. 19 Et mercurialem edat, & in succo ejus tenuem farinam sorbeat: 20 & quam celerrime ac prius quam dolor corripiat, pharmaca dato quæ uterorum dolo-

τῆς ὀδύνης. [21] καὶ σιτία διαχωρητικὰ προσφερέσθω. [22] καὶ, ἢν ἡ 238 γαστὴρ φλεγμαίνηται, ὑποκλύζειν, ὅτι τάχιστα.

247 LXXXIII. [1] Ἢν αἱ μῆτραι φλέγματος ἐμπλησθῶσι, [2] φῦσαι ἐγγίνονται ἐν τῇσιν ὑστέρῃσι, [3] καὶ τὰ ἐπιμήνια περιέρχεται ἐλάσσονα, λευκὰ, φλεγματώδεα, [4] ἔστι δ' ὅτε αἷμα λεπτὸν, ἀκραιφνὲς, ὑμένων ἀνάπλεον. [5] καὶ ἔστιν ᾗσιν κυρ- 239 καναται, καὶ τρὶς τοῦ μηνὸς ἐπιφαίνεται. [6] καὶ τοῦ ἀνδρὸς ὑπὸ τῆς ὑγρότητος οὐκ ἐθέλει μίσγεσθαι, οὐδ' ὀργᾷ τοῦτο δρᾷν, καὶ λεπτὴ γί- 5 νεται. [7] ὀδυνῆται δὲ τὴν νειαίρην γαστέρα, [καὶ] τὰς ἰξύας, καὶ τοὺς βουβῶνας. [8] καὶ, εἰ δάκνοι τὸ ῥέον 240 καὶ ἑλκοῖ τὰ ἀμφίδεα, χρόνιον 241 φάναι τὸ ῥεῦμα. [9] καὶ, ἢν μὴ πολὺ ἔῃ, φάκιον ξὺν ἐλλεβόρῳ δοῦναι ἐμέσαι. [10] ἔπειτα ἐς τὰς ῥῖνας ἐγχέαι, καὶ φάρμακον πῖσαι κάτω. [11] σι- 242 τίων δὲ εἰργέσθω δριμέων. [12] ἢν δὲ βαρύνηται, καὶ ψύχηται, καὶ νάρκην ἔχῃ, γάλα διδόναι, καὶ οἶνον εὐώδεα. [13] πινέτω δὲ νῆστις ὑπερικὸν, σελίνου σπέρμα, ἐλελίσφακον, 243 ἐν οἴνῳ εὐώδει ὑδαρεῖ. [14] καὶ κλύ- 10 σαι τὰς ὑστέρας τῇ ξὺν τῇ τρυγί. 244 [15] καὶ, ἢν [μὴ] ἡλκωμέναι ἔωσι, διαλιπόντα ἡμέρας δύο ἢ τρεῖς, κλύσαι τοῖς ξὺν τῷ κόκκῳ· μετὰ 245 τοῦτο δὲ στρυφνοῖσιν. [16] ἢν δὲ ἡλκωμέναι ἔωσι, νίπτεσθαι τῷ ἀπὸ τῆς μυρσίνης καὶ δάφνης ἀφεψήματι. [17] καὶ ἐγχριέσθω τῷ ξὺν τῷ ἀργυρέῳ ἄνθει. [18] ἡ δὲ νοῦσος χαλεπὴ, καὶ ὀλίγαι ἐκφεύγουσι.

LXXXIV. [1] Ἢν δὲ κοτυληδόνες 246 φλέγματος περίπλεαι ἔωσι, τὰ ἐπιμήνια γίνονται ἐλάσσονα. [2] καὶ, ἢν ἐν γαστρὶ ἔχῃ, διαφθείρει, ἐπὴν

dolores sedant, [21] & cibos per alvum secedentes assumat: [22] &, si venter sit inflammatus, clystere adhibito quam citissime subluatur.

LXXXIII. Si uteri pituita fuerint impleti, [2] flatus in uteris fiunt, [3] & menses procedunt pauciores, albi, pituitosi. [4] Quandoquidem etiam sanguis tenuis sincerus, pelliculis plenus. [5] Quibusdam etiam conturbatur, & ter in mense comparet: [6] & præ 443 humiditate cum viro commisceri non vult, neque libidine ad hoc faciendum concitatur, & tenuis fit. [7] Dolet autem imum ventrem, & lumbos & inguina: [8] & si mordeat id quod effluit, & exulceret osculi uteri circumferentiam summam, fluxionem diuturnam fore pronunciato. [9] Et si non multa fuerit fluxio, lenticulæ decoctum cum veratro exhibeto ad vomendum. [10] Deinde in nares infundito, & 450 pharmacum deorsum purgans bibendum dato. [11] A cibis autem acribus prohibeatur. [12] Si vero gravetur, & frigeat, & torpedo habeat, lac præbeto, & vinum odoratum. [13] Bibat autem jejuna hypericum, apii semen, salviam, in vino odorato aquoso: [14] & uteros medicamento ex vini fece colluat: [15] & si ulcerati fuerint, interpositis diebus duobus aut tribus, pharmaco ex grano cnidio eluat, [16] & postea cum acerbis lavet, myrti ac lauri decocto, [17] & medicamento & flore argenti illinat. [18] Morbus autem est gravis, & paucæ effugiunt.

LXXXIV. Si vero acetabula pituita plena fuerint, menses fiunt pauciores: [2] & si in ventre habuerit, corrumpit ubi fœtus fortior

ἐὰν ἰσχυρότερον τὸ ἔμβρυον γένηται. 3 οὐ γὰρ ῥώννυται, ἀλλ' ἀποῤῥέει. 4 γνοίης δ' ἂν τῷδε. ὑγρὴ γίνεται, καὶ τὸ ἀποῤῥέον μυξῶδες καὶ γλίσχρον, οἷα ἀπὸ κοιλίης φέρεται, καὶ οὐ δάκνει. 5 καὶ ἐν τοῖσιν ἐπιμηνίοισιν, ἐπὴν παύσηται τοῦ αἵματος καθαιρομένη, καὶ δύο ἡμέρας καὶ τρεῖς βλένναι ἴασιν ἐκ τῶν ὑστερέων. 6 καὶ φρίκη ἔχει, καὶ θέρμη οὐκ ὀξεῖα, πλὴν οὐκ ἐκλείπει. 7 ταύτην κλύσαι χρὴ ἀπὸ τῶν ὀλύνθων, ἀφ' ὧν ὕδωρ ἅπαν καθαίρεται, καὶ δὶς καὶ τρίς. 8 ἐπὴν δὲ καθαρθῇ, στρυφνοῖσι τὸ λοιπὸν χρήσθω. 9 προστιθέναι δὲ τὰ μαλθακὰ, ὑφ' ὧν καθαίρεται φλέγμα. 10 καὶ πυριῆν τὰς ὑστέρας τῷ ξὺν τῇ δάφνῃ. 11 καὶ κλύζειν τῷ ξὺν τῷ ὄξει. 12 καὶ θυμιῆν, ἐπὴν παύσηται τὰ ἐπιμήνια, τοῖσιν ἀρώμασι. 13 κἄπειτ' ἀσιτεῖν χρὴ, καὶ ἀλουτεῖν. 14 ξυνίτω δὲ τῷ ἀνδρί. 15 καὶ σιτία, καὶ οἶνον ὀλίγα λαμβάνειν, 16 καὶ ἀλεαίνειν, καὶ ἀρνακίδας ἀμφὶ τὰ σκέλεα ἑλίσσειν, 17 καὶ ἐλαίῳ ἀλείφειν.

LXXXV. Ἢν δὲ ὕδερος ἐν τῇσι μήτρῃσιν ἐγγένηται, τὰ ἐπιμήνια ἐλάσσονα καὶ πονηρὰ γίνεται, καὶ προαπολείπει. 2 καὶ ἡ νειαίρη γαστὴρ οἰδέει, 3 καὶ οἱ μαζοὶ στερροὶ γίνονται μαλθακοὶ, καὶ τὸ γάλα πονηρόν. 4 καὶ δοκέει ἐν γαστρὶ ἔχειν. 5 καὶ ἐν τούτοισι γνώσῃ, ὅτι ὕδερός ἐστι. 6 σημαίνει δὲ καὶ ἐν τῷ στόματι τῇσιν ὑστέρῃσιν. 7 ψαυούσῃ γὰρ ἰσχνὸν καὶ ὑγρὸν φαίνεται. 8 καὶ ῥῖγος καὶ πῦρ λαμβάνει. 9 ὅσῳ δ' ἂν ὁ χρόνος πλείων γένηται, ὀδύνη ἔχει τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας, καὶ τοὺς κενεῶνας, καὶ τοὺς βουβῶνας. 10 αὕτη ἡ νοῦσος ἐκ τρωσμοῦ γίνεται, καὶ ἐξ ἄλλων δὲ προφασίων, καὶ ὅταν τὰ ἐπιμήνια κρυφθῇ. 11 λούειν [δὲ] χρὴ

πολλῷ

fortior factus fuerit. 3 Non enim corroboratur, ſed defluit. 4 Cognoveris autem hinc. Humida fit, & quod defluit mucoſum & viſcoſum velut à ventre defertur, & non mordet, 5 & in menſibus poſtquam ſanguine purgari deſierit, per duos aut tres dies, muci ex uteris prodeunt, 6 & horror tenet, & calor non acutus, verum non deficit. 7 Hanc ſucco groſſorum colluito, à quibus omnis aqua purgatur: & hoc iterum atque iterum. 8 Poſtquam autem purgata fuerit, de cætero acerbis utatur. 9 Apponat autem mollia, à quibus pituita purgatur, 10 & foveat uteros medicamento ex lauro, 11 & colluat pharmaco ex aceto: 12 & aromatis ſuffitum faciat, poſtquam menſes ceſſarint. 13 Poſtea vero à cibis & balneis abſtinere oportet. 14 Coeat autem cum viro, 15 & cibos ac vinum parce ſumat, 16 & calide degat, & tegumenta cruribus circumdet, 17 & oleo illinat.

LXXXV. Si aqua intercus in uteris naſcatur, menſes pauciores & pravi fiunt, & ante tempus deficiunt: 2 & imus venter intumeſcit: 3 & mammæ ſolidæ, molles fiunt, & lac malum. 4 Et putat ſe in ventre habere: 5 & ex his cognoſces quod aqua intercus eſt. 6 Sed & in uterorum oſculo ſignificationem de ſe præbet. 7 Ad tactum enim gracile & humidum apparet, 8 & rigor ac febris corripit. 9 Quanto vero magis tempus proceſſerit, tanto magis dolor habet imum ventrem, & lumbos, & laterum mollitudinem, ac inguina. 10 Hic morbus ex abortu fit: ſed & ex aliis cauſis, & quum menſes fuerint occultati. 11 Hanc multa

calida

πολλῷ καὶ θερμῷ, καὶ χλιάσματα προστιθέναι, ἢν ἡ ὀδύνη ἔχῃ. [12] ἐπὴν δὲ παύσηται, φάρμακον χρὴ πίσαι κάτω· [13] καὶ πυελιῆσαι τῷ ζωμῷ τῷ βολβίτου τὰς ὑστέρας· [14] ἔπειτα προσθεῖναι τὸ ξὺν τῇ κανθαρίδι, καὶ διαλείπειν δύο ἡμέρας ἢ τρεῖς. [15] καὶ, ἢν ῥώμην ἔχῃ, νετώπῳ κλύσαι. [16] καὶ, ἢν ἡ γαστὴρ λαπαρὴ γένηται, καὶ οἱ πυρετοὶ παύωνται, καὶ τὰ καταμήνια προχωρέῃ κατὰ λόγον, [17] καὶ τῷ ἀνδρὶ ξυγκοιμάσθω, καὶ ἐν τοῖσι ' προσθέτοισι μενέτω. [18] '' καὶ μεσηγὺ ἡμέρης πινέτω κρήθμου φλοιὸν, γλυκυσίδης τοὺς μέλανας κόκκους πέντε, καὶ ἀκτῆς καρπὸν ἐν οἴνῳ νῆστις. [19] καὶ τὴν λινόζωστιν ἐσθιέτω ὡς πλείστην, καὶ σκόροδα ὠμὰ καὶ ἑφθά. [20] καὶ τοῖσι μαλθακοῖσι πρὸς ὕπνον χρήσθω. [21] '' καὶ πολυποδίῃ καὶ τοῖσιν ἄλλοισι μαλακίοισι, καὶ ὄψοισι θαλασσίοισι μᾶλλον, ἢ κρέασι. [22] καὶ, ἢν τέκῃ, ὑγιαίνει.

LXXXVI. Ἢν ὕδρωψ γένηται ἐν τῇσι μήτρῃσι, [2] τὰ ἐπιμήνια ἐλάσσω γίνεται καὶ κακίω, καὶ διὰ πλείονος χρόνου, '' καὶ ' κάρτα ἐλάσσονα, ἢ μικρῷ πλείονα ἴῃ. [3] καὶ οἰδέει ἡ κοιλίη, καὶ τὸ ἐπικτένιον, καὶ αἱ κνῆμαι, καὶ ἡ ὀσφύς. [4] ἐπειδὰν δὲ συχνὸς χρόνος γένηται, καὶ ἐν γαστρὶ ἔχῃ, διαφθείρει καὶ ἐκβάλλει. [5] καὶ ὕδωρ ξὺν αὐτῷ χέεται. [6] καὶ ἡ γυνὴ θνήσκει ὡς ἐπὶ τὸ πολύ. [7] τὸ δὲ αἷμα φθείρεται, καὶ ὑδεροῦται. [8] ταύτην γαλακτοποτέειν, [9] καὶ μηκώνιον πίνειν, ἕως τ' ἂν τὸ ἔμβρυον κινέεσθαι δύνηται. [10] '' ἔτι δὲ καὶ πρὸ τούτου ὡς ἐπὶ τὸ πουλὺ διαφθείρεται καὶ ἐξαμβλοῦται. [11] καὶ αἵματος καὶ ὕδατος ῥέουσιν αἱ μῆτραι. [12] ταῦτα δὲ πάσχει οὐδὲν τι μᾶλλον ἐκ πόνου, ἢ ἄλλως. [13] τοῦτο δ' ἂν γνοίης, ἐπὶ

calida ' lavare oportet, & tepefactoria adhibere si dolor habuerit. [12] Postquam autem sedatus fuerit, pharmacum infra purgans bibendum dare oportet, [13] & uteros medicamento ex bubulo stercore fovere. [14] Deinde id quod ex cantharide paratur apponere, & biduum aut triduum intermittere: [15] & si robur affuerit, netopo colluere. [16] Et si venter mollis fiat, & febres cessent, & menses secundum rationem prodeant, [17] ' cum viro dormiat, & in medicamentis subdititiis perseveret: [18] & interposita die crethmi corticem bibat, & pæoniæ grana nigra quinque, & sambuci fructum in vino jejuna. [19] Et mercurialem quam plurimam edat, & allium crudum ac coctum, [20] & mollibus ad somnum utatur, [21] & multa potione, & aliis mollibus: & obsoniis marinis potius quam carnibus: [22] &, si pepererit, sana evadit.

LXXXVI. Si hydrops in uteris fiat, [2] ' menses pauciores fiunt ac deteriores, & per longius tempus, & pauciores quam oportet, aut paulo plures: [3] & venter intumescit, & locus supra pectinem, & tibiæ, & lumbi. [4] Ubi vero multum temporis processerit, & in ventre habuerit, corrumpit ac ejicit: [5] & aqua cum ipso fœtu effunditur, [6] & mulier plerunque moritur. [7] Sanguis autem corrumpitur, & aquosus redditur. [8] Huic lac bibendum dato, [9] & ' peplum album potandum, donec fœtus moveri poterit. [10] Quin & ante hoc utplurimum fœtus corrumpitur: & per abortum ejicitur, [11] & uteri sanguine & aqua manant. [12] Hæc autem patitur nihilo magis ex labore, quam aliter. [13] Cognoscere

ὅτι ὕδρωψ ἐστὶν, εἰ ἀφάσσων τῷ δακτύλῳ ὄψει τὸ στόμα αὐτῶν ἰσχνὸν καὶ περίπλεον ὑγρασίης.

14 Ἢν δὲ ἐν αὐτῇ τὸ ἔμβρυον μὴ κατ' ἀρχὰς, ἀλλ' ἤδη διμηνον διαφθείρηταί τε καὶ ἀποπνίγηται, 15 ἥ τε γαστὴρ ἡ νειαιρὴ ἐπανοιδέει, καὶ ἐπιψαυομένη ἀλγέει, ὡς ἕλκος. 16 καὶ πυρετὸς μέγας αὐτὴν καὶ βρυγμὸς λαμβάνει, 17 καὶ ὀδύνη ἰσχυρὴ τὸ αἰδοῖον, καὶ τὴν νειαιρὴν γαστέρα, καὶ τὰς ἰξύας, καὶ τοὺς κενεῶνας, καὶ τὴν ὀσφὺν ὀξεῖά τε καὶ συνεχής. 18 ὅταν οὕτως ἔχῃ, λοῦε τε αὐτὴν θερμῷ, ἢν ὀδύνη ἔχῃ, 19 καὶ χλιάσματα προσοίσειν, πειρώμενον, ὅ, τι ἂν μάλιστα προσδέχηται, 20 καὶ φάρμακον καθαρτήριον κάτω. 21 διαλιπεῖν δὲ χρόνον, ὅσον ἄν σοι δοκέῃ ἱκανὸς εἶναι. 22 καὶ κλύσαι, καὶ πυριῆσαι, καὶ τὴν κυκλάμινον ἐς ῥάκος μέλιτι δεύων, προσθεῖναι πρὸς τὸ στόμα τῶν μητρέων. 23 καὶ τῆς κυπαρίσσου, καταξύσας καὶ τέγξας ἐν ὕδατι, προσθεῖναι ὡσαύτως. 24 ἐλάσσονι δὲ χρόνῳ καὶ διὰ πλείονος τοῦτο, ὅσῳ μᾶλλον δάκνει καὶ ξαίνει. 25 καὶ μήλην ποιησάμενος κασσιτερίνην ἐγκαθιέναι, καὶ τὸν δάκτυλον ὡσαύτως. 26 καὶ τὰ ποτήματα, ὅ, τι ἂν μάλιστα προσίηται, πιπίσκειν. 27 καὶ ξυγκοιμάσθω τῷ ἀνδρὶ, ὡς μάλιστα τῶν καιρῶν παρόντων. 28 ἢν γὰρ ξυλλάβῃ τὴν γονὴν, καὶ κυήσῃ [καὶ τέκῃ,] ὑποκαθαίρεται καὶ τὰ πρόσθεν ὑπιόντα ξὺν αὐτοῖσι· 29 καὶ οὕτως ἂν μάλιστα ὑγιὴς γένοιτο.

LXXXVII. Ἢν δὲ γυνὴ ὑδρωπιήσῃ, οἷα ὑπὸ σπληνὸς ὑδατώδεος

scere vero poteris quod hydrops est, ex digiti contactu. Deprehendes enim osculum ipsorum gracile & plenum humiditate.

14 Si vero fœtus in ipsa non circa initia, sed jam bimestris corrumpitur ac suffocatur, 15 tunc & venter imus intumescit, & ad contactum dolet, velut ulcere præsente: 16 & febris magna ipsam ac dentium fremitus corripit, 17 & dolor acutus & vehemens pudenda, & imum ventrem, & lumbos, & laterum mollitudinem, & coxas. 18 Quum sic habuerit, calida ipsam lavato: & si dolor habuerit, 19 tepefactoria adhibeto, experimento facto de eo quod maxime admittat: 20 & pharmacum deorsum purgans bibendum dato. 21 Intermissione vero facta per tempus quantum tibi satis esse videbitur, 22 & colluito, & foveto, & cyclaminum melle subactum, ac linteo exceptum, ad os uterorum apponito. 23 Et cupressi ramenta in aqua madefacta, eodem modo apponito. 24 Verum hæc breviore tempore, & per longius temporis intervallum, quanto magis mordent & lancinant. 25 Et specillum stanneum paratum immittito, & digitum eodem modo. 26 Potiones quoque bibendas dato, quascunque maxime libenter admiserit: 27 & cum viro dormiat, maxime opportuno tempore præsente. 28 Si enim genituram conceperit, & prægnans facta fuerit, ac peperit, subpurgantur & ea quæ prius in ipsa fuerunt, una cum ipsis puerperii purgamentis subeuntia. 29 Atque sic maxime sana fieri poterit.

LXXXVII. Si mulier aqua intercute laborarit, splene ipsius

διος καὶ μεγάλου ἐόντος. [2] γίνεται δὲ ὁ σπλὴν ὑδατώδης ἀπὸ τοῦδε τοῦ παθήματος, ἐπὴν πῦρ ἔχῃ, καὶ μὴ ἀφίῃ τὸν ἄνθρωπον, καὶ δίψα μιν 262 λαμβάνῃ καρτερὴ καὶ πίνῃ, καὶ μὴ ἀπεμέσῃ. [3] τὸ μὲν γὰρ ἐς τὴν κύστιν διελθὸν διουρέεται. [4] τὸ λοιπὸν δὲ ὁ 263 σπλὴν λαμβάνει, διασπῶν ἀπὸ τῆς κοιλίης πρὸς ἑωυτὸν, [5] ἅτε ἀραιὸς ὢν καὶ σπογγοειδὴς, κείμενός τε κατὰ 15 τὴν κοιλίην. [6] καὶ ἢν, τούτων οὕτως ἐχόντων, μὴ ἱδρώσῃ, μηδὲ ἡ κοιλίη χαλᾶται, αἴρεται ὁ σπλὴν ὑπὸ τούτου, καὶ μᾶλλον, ἢν ὕδωρ ᾖ τὸ ποτόν. [7] καί μιν, ἤν τις ἐπαφήσηται, μαλθακὸς, ὡς χνοῦς, ἐστιν· [8] ἔστι δὲ ὅτε ἀντιτυπεόμενος. [9] ἀερθεὶς δὲ καὶ πιμπλάμενος ἐκδιδοῖ κατὰ τὰς φλέβας τῷ σώματι, καὶ μάλιστα ἐς τὸ ἐπίπλοον καὶ τοῖσιν ἀμφὶ τὴν κοιλίην ἐοῦσι χωρίοισι καὶ τοῖσι σκέλεσιν. [10] ἕτερον γὰρ ἑτέρῳ διεκδιδοῖ ἐν τῷ σώματι, ἐπὴν πλέον ἑκάστῳ τοῦ καιροῦ ᾖ, καὶ μὴ δύνηται κατέχειν. 20 [11] ἐπιγίνεται δὲ ἀπὸ τοῦ πολὺ ὕδρωψ 264 αἰεὶ, ἐπὴν μάθῃ ὁ σπλὴν ἕλκειν ἐς ἑωυτὸν, φύσει ἀραιὸς ὢν καὶ μανός. [12] γίνεται δὲ αἷς ἀρχὴ αὕτη τῆς νούσου 265 καὶ ἄτερ πυρετοῦ, ἢν καῦμά τι τῇ κοιλίῃ ἐνστῇ, οἷα φλέγματος ἐς αὐ- 266 τὴν καλέντος· [13] καὶ, ἢν ἡ ἄνθρωπος τὴν δίψαν μὴ κατέχῃ, [14] μηδ' ἡ κύστις μηδ' ἡ κοιλίη διηθέωσιν οὖρόν τε καὶ κόπρον κατὰ δίκην, [15] μηδὲ ἐπιτηδείῃ διαίτῃ χρέηται ἡ ἄνθρωπος.

[16] Ἢν δὲ ὑδρωπώδης ᾖ, ἔρχεται τὰ καταμήνια [ὁτὲ μὲν] πολλὰ ἐξα- 25 πίνης, ὁτὲ δὲ ὀλίγα. [17] καὶ γίνονται ὁτὲ μὲν ὡς ἀπὸ κρεῶν, ὕδωρ, ὡς εἴ τις αἱματώδεα ἀποπλυνείεν. [18] ὁτὲ δὲ ὀλίγῳ ἰσχυρότερα, καὶ οὐ πήγνυται. [19] καὶ ἆσθμά μιν λαμβάνει, πρὶν ἢ τὰ

καταμ-

magno & aquoſo exiſtente. [2] Fit autem ſplen aquoſus ab hac affectione, quum febris habuerit, & non dimiſerit hominem, & ſitis ipſum corripuerit fortis, & biberit, ac non revomuerit. [3] Nam quod in veſicam penetrat, per urinam ejicitur. [4] Reliquum vero ſplen capit, abſtrahens à ventre ad ſeipſum, [5] ut qui rarus eſt & ſpongiformis, & ſecundum ventrem ſitus. [6] Et ſi his ſic habentibus non 'exudarit, neque alvus laxetur, ab hoc ſplen attollitur, & hoc magis ſi aqua fuerit potus: [7] & ſi quis ipſum contingat, mollis eſt velut molliſſima pluma ſive lana: [8] quandoque vero etiam renititur. [9] Elevatus autem & impletus, diſtribuit per venas corpori, & maxime in omentum, & locos circa ventrem & crura. [10] Altera enim pars ad alteram delegat in corpore, ubi ſingulis plus quam oportet affuerit, & continere 'non poterint. [11] Succedit autem ex hoc ſemper hydrops, ubi ſplen ad ſeipſum trahere conſueverit, quum natura rarus ſit ac mollis. [12] Quibuſdam vero hoc morbi principium fit ſine febre, ſi calor quidam in ventre conſtiterit, velut pituita in ipſum collapſa: [13] & ſi homo ſitim non continuerit, [14] neque veſica neque venter urinam & stercus juſto modo excolarint; [15] neque commoda diæta homo utatur.

[16] Si vero hydropica 'fuerit, prodeunt menſes multi derepente, quandoque vero pauci. [17] Et fiunt aliquando velut aqua à carnibus, ſicut ſi quis cruentas carnes abluiſſet: [18] aliquando vero paulo ſpiſſiores, & non congelantur, [19] & anhelatio ipſam corripit priuſquam menſes prodeunt,

καταμήνια χωρέειν. [20] καὶ ὀδύνη ἐν τῷ σπληνὶ, καὶ μᾶλλον ἐπὴν τι γλυκὺ φάγῃ. [21] καὶ ἡ γαστὴρ ἐξαίρεται καὶ μεγάλη ἔσται. [22] καὶ, ἐπὴν πλέονα τοῦ μάθεος φάγῃ, πονέει τὴν γαστέρα, καὶ τὴν ὀσφὺν ἀλγέει ἄλλοτε καὶ ἄλλοτε, καὶ πῦρ μιν ἐπιλαμβάνει δι' ὀλίγου. [23] ἐπὴν δὲ ἀποκαθαρθῇ, ῥήϊον δοκέει πρὸς τὰ πρόσθεν, ἔπειτα ἐς τὸ αὐτὸ καθίσταται. [24] καὶ, ἢν μελεδαίνηται, ὡς χρὴ, ὑγιὴς ἔσται. [25] ἢν δὲ μὴ, καὶ ὁ ῥόος ἐπιφαίνηται, καὶ διὰ παντὸς τοῦ χρόνου αἰεὶ ῥεύσεται κατ' ὀλίγον οἷον ἰχὼρ, ἐπιμελείης πλείονος δέεται.

[26] Ἢν δὲ μὴ ῥόος ἐπιγένηται, ἀλλ' αἱ μῆτραι ὑπὸ τοῦ πρόσθεν μὴ χαλάσωσι τὰ ἐπιμήνια, [27] ἥ τε γαστὴρ οἱ μεγάλη ἔσται, [28] καὶ βρῖθος ἐνέσται, ὡς τῇ ἐν γαστρὶ ἐχούσῃ. [29] καὶ δοκέει ὡσεὶ παιδίον ἐν τῇ γαστρὶ αὐτῆς κινέεσθαι· [30] ἅτε τῶν μητρέων ὕδατος ἐουσέων πεπληρωμένων, καὶ τοῦ ὕδατος κινευμένου. [31] ἄλλοτε γὰρ καὶ ἄλλοτε κλυδάζεται αὐτῇσι τὸ ὕδωρ ὡς ἐν ἀσκῷ, καὶ ἀλγέει ψαυομένη τὸ κάτω τοῦ ὀμφαλοῦ. [32] καὶ αἱ κληῖδες, καὶ ὁ θώρηξ, καὶ τὸ πρόσωπον, καὶ τὰ ὄμματα καταλεπτύνεται, [33] καὶ αἱ θηλαὶ αἴρονται. [34] ἐνίοισι δὲ ᾗσι μὲν ἥ τε κοιλίη καὶ τὰ σκέλεα πλήθει ὕδατος· [ἐνίοισι] δὲ ᾗσιν ἐς θάτερον τουτέων. [35] καὶ, ἢν μὲν ἄμφω πλησθῇ, οὐδεμία ἐλπὶς περιγενέσθαι τὸν ἄνθρωπον. [36] ἐνίοισι δὲ, ἢν θάτερον τούτων, ἐλπίδες ὀλίγαι, ἢν μελεδαίνηται, καὶ μὴ λίην τετρυχωμένη ᾖ. [37] χρονίη δὲ αὕτη ἡ νοῦσος. [38] γίνεται δὲ πάντα μᾶλλον μὲν τῇσιν ἀτόκοισιν· γίνεται δὲ πολλάκις καὶ τῇσι τετοκυίῃσιν. [39] ἐπικίνδυνα δὲ ἐστιν, ὡς εἴρηται, καὶ τὸ πουλὺ ὀξέα, καὶ μεγάλα, καὶ χαλεπὰ ξυνιέναι, διὰ τοῦθ' ὅτι αἱ γυναῖκες μετί-

deunt, [20] & dolor in ſplene, & magis ſi quid dulce ederit, [21] & venter attollitur ac magnus fit. [22] Et ubi plura quam ſolita eſt ederit, dolet ventrem, & lumbos alias atque alias dolor vexat, & febris ipſam paulatim corripit: [23] poſtquam autem depurgata fuerit, melius ſibi habere videtur ſuperiorum reſpectu: poſtea ad idem relabitur. [24] Et ſi curetur velut convenit, ſana evadet. Sin minus, & fluxus comparet, & per omne tempus ſemper fluet paulatim velut ſeroſa ſanies, & ampliore curatione opus habet.

[26] Si vero fluxus non ſuccedat, ſed uteri à prioribus menſes non laxarint, [27] tunc & venter ipſi magnus erit, [28] & gravitas intus erit, velut in ventre habenti, [29] & velut puer in ventre ipſius moveri videbitur, [30] nimirum dum uteri aqua pleni ſunt, & aqua movetur. [31] Alias enim atque alias fluctuat in ipſis aqua, velut in utre, & pars infra umbilicum ad contactum dolet, [32] & claviculæ, & thorax, & facies, & oculi attenuantur, [33] & mammæ attolluntur. [34] Quibuſdam vero & venter & crura aqua implentur, quibuſdam autem alterum horum. [35] Et ſiquidem ambo impleta fuerint, nulla ſpes eſt de hominis vita. [36] Si vero etiam alterum horum, modica ſpes eſt ſi curetur, & non valde fuerit attenuata. [37] Diuturnus eſt autem hic morbus. [38] Et fiunt omnia magis his quæ non pepererunt, fiunt autem ſæpe etiam his quæ pepererunt. [39] Periculoſa vero ſunt velut dictum eſt, & plerunque acuta & magna, & intellectu difficilia, eo quod mulieres

μετέχουσι τῶν νούσων. 40 καὶ ἔσθ' ὅτε οὐδ' αὐταὶ ἴσασιν, ὅτι νοσέουσι, πρὶν ἢ ἔμπειροι νούσων γένωνται ἀπὸ καταμηνίων, καὶ ἔωσι γεραίτεραι. 41 τότε δὲ σφέας ἥ τε ἀνάγκη καὶ ὁ χρόνος διδάσκει τὸ αἴτιον τῶν νούσων. 42 καὶ ἔστιν ὅτε τῇσι μὴ γινωσκούσῃσιν ὑφ' ὅτου νοσοῦσι, φθάνει τὰ νοσήματα ἀνίητα γινόμενα, πρὶν ἂν διδαχθῆναι τὸν ἰητρὸν ὀρθῶς ὑπὸ τῆς νοσεούσης ὑφ' ὅτου νοσέει. 43 καὶ γὰρ αἰδέονται φράζειν, κἢν εἰδῶσι· 44 καί σφιν δοκέουσιν αἰσχρὸν εἶναι ὑπὸ ἀπειρίης καὶ ἀνεπιστημοσύνης. 45 ἅμα δὲ καὶ οἱ ἰητροὶ ἁμαρτάνουσιν οὐκ ἀτρεκέως πυνθανόμενοι τὴν πρόφασιν τῆς νούσου· ἀλλ' ὡς τὰ ἀνδρικὰ νοσήματα ἰώμενοι. 46 καὶ πολλὰς εἶδον διεφθαρμένας ἤδη ὑπὸ τῶν τοιούτων παθημάτων. 47 ἀλλὰ χρὴ ἀνερωτᾶν αὐτίκα ἀτρεκέως τὸ αἴτιον. 48 διαφέρει γὰρ ἡ ἴησις πολλὸν τῶν γυναικείων νοσημάτων καὶ τῶν ἀνδρείων.

LXXXVIII. Ἢν δὲ αἱ μῆτραι ἑλκωθέωσιν, 2 αἷμα καὶ πύον καθαίρεται, 3 καὶ ὀσμὴ βαρέη γίνεται, 4 καὶ ὀδύνη ὀξέη λαμβάνει ἐς τὰς ἰξύας, καὶ ἐς τοὺς βουβῶνας, καὶ ἐς τὴν νειαίρην γαστέρα. 5 καὶ ἄνω φοιτᾷ ἡ ὀδύνη ἐς τοὺς κενεῶνας, καὶ ἐς τὰς πλευράς, καὶ ἐς τὰς ὠμοπλάτας. 6 ἐνίοτε δὲ καὶ ἐς τὰς κληῖδας ἀφικνέεται, καὶ δάκνεται, 7 καὶ κεφαλὴν ἀλγέει σφοδρῶς, καὶ παραφρονέει. 8 τῷ δὲ χρόνῳ ἀνοιδίσκεται πᾶσα, καὶ ἀσθενείη μιν λαμβάνει καὶ ἀψυχίη, καὶ πυρετὸς λεπτός, καὶ περίψυξις· 9 οἰδίσκεται δὲ μάλιστα τὰ σκέλεα. 10 ἡ δὲ νοῦσος λαμβάνει ἐκ τρωσμοῦ, ἤν τις αὖ διαφθαρεῖσα τὸ παιδίον ἐγκατασαπὲν μὴ ἐκκαθαρθῇ. 11 καὶ τὸ σῶμα πᾶν πῦρ ἔχει. 12 λαμβάνει δὲ καὶ ἐκ τῶν ῥόων. 13 καὶ ἢν ἐπὶ σφέας δριμέα αὖ ἴῃ καὶ χολώδεα,

lieres participant morbis, 40 & aliquando neque ipsæ sciunt quod ægrotant, priusquam morbos experiantur à mensibus, & seniores factæ fuerint. 41 Tunc autem & necessitas, & tempus, ipsas morborum caussas docet, 42 & quandoque non cognoscentibus ex quo morbo ægrotent, morbi incurabiles fiunt, antequam doceatur recte medicus ab ægrotante ex quo morbo ægrotet. 43 Verentur enim narrare, etiamsi sciant: 44 & præ imperitia ac ignorantia, turpe sibi id esse putant. 45 Sed & medici simul peccant non exacte caussam morbi percunctantes, sed velut viriles morbos sanantes: 46 & multas novi jam ab hujusmodi affectionibus corruptas. 47 Quare statim caussam exacte interrogare oportet. 48 Multum enim differt muliebrium morborum ac virilium curatio.

LXXXVIII. Si uteri fuerint ulcerati, 2 sanguis & pus purgatur, 3 & fœtor gravis oboritur, 4 & dolor acutus corripit lumbos, & inguina, & imum ventrem, 5 & dolor sursum procedit ad laterum mollitudinem, & ad costas, & ad scapulas. 6 Aliquando etiam ad claviculas pervenit, & mordetur, 7 & caput vehementer dolet, & delirat. 8 Progressu vero temporis tota intumescit, & debilitas ipsam corripit, & animi deliquium, & febris tenuis, & perfrigeratio. 9 Intumescunt autem maxime crura. 10 Morbus autem corripit ex abortu, si qua corrupto ac putrefacto intus puero, non fuerit expurgata, 11 & calor totum corpus tenet. 12 Corripit etiam ex fluxibus, 13 si in ipsis acria fuerint, & biliosa mor-

λώδεα, δάκνει. [14] ἢν οὕτως ἐχούσῃ ἐπιτυγχάνῃς, ἐπὴν μὲν αἱ ὀδύναι ἔχωσι, λούειν τε πολλῷ καὶ ' θερμῷ, καὶ χλιάσματα προστιθέναι, ὅκου ἂν ἡ ὀδύνη ἔχῃ. [15] καί, ἢν μὲν ἄνω αἱ ὀδύναι ἔωσι, καὶ ἰσχυρὴ ἔῃ ἡ γυνή, πυριήσαντα ὅλην, καὶ φάρμακον διδόναι κάτω πιεῖν. [16] καί, ἐπὴν ὥρη ἡ τοῦ ἔτεος, ὀρρὸν ἀφεψῶν, διδόναι ἐπιπίνειν ἡμέρας πέντε, ἢν δυνατὴ ᾖ. [17] ἢν δὲ μὴ ᾖ ὀρρός, ὄνου γάλα ἑψεῖν, καὶ διδόναι πίνειν ἡμέρας τρεῖς ἢ τέσσαρας. [18] μετὰ δὲ τὴν γαλακτοποσίην, ὕδασιν ἀνακομίσαι αὐτήν, καὶ σιτίοισιν ἐπιτηδείοισι, κρέασι μηλείοισιν, ἁπαλοῖσι, νέοισι, καὶ ὀρνιθείοισι, ' καὶ τεύτλῳ, καὶ κολοκύντῃ. [19] ἀπεχέσθω δὲ τῶν ἁλμυρῶν, καὶ δριμέων, καὶ τῶν θαλασσίων πάντων, καὶ κρεῶν χοιρείων, καὶ βοείων, καὶ αἰγείων. [20] ἄρτους δὲ ἐσθιέτω. [21] ἢν δὲ ἀψυχίαι ἔχωσι, καὶ μὴ ἰσχύῃ, καὶ περιψύχηται, ῥόφημα λαμβανέτω. [22] εἰσὶ δέ τινες οἳ ταύτῃσι κεφαλὴν ἀλγεούσῃσι πιπίσκουσι γάλα, ὅτι κεφαλὴν ἀλγέουσιν· [23] οἱ δὲ ὕδωρ, ὅτι λειποθυμέουσι. [24] τἀναντία δὲ οἴομαι, εἰ κεφαλὴν ἀλγέουσι, καὶ φρενῶν εἴη ἅψις, ἁρμόζον ὕδωρ· [25] ὅτε δὲ δάκνεται καὶ ' δριμέα ἐστί, γάλα ταύτῃσιν εὐμενές. [26] ἐπὴν δέ σοι δοκέῃ ἰσχύειν, κλύζειν τὰς ὑστέρας, πρῶτον μὲν τῷ ἀπὸ τῆς τρυγός· [27] μετὰ δὲ ταῦτα διαλιπὼν ἡμέρας τρεῖς ἢ τέσσαρας, κλύζειν τῷ ξὺν τῷ κραμβίῳ χλιηρῷ. [28] καὶ αὖθις διαλιπὼν ἡμέρας τρεῖς, κλύσαι τῷ ξὺν τῷ πικερίῳ. [29] καί, ἢν ταῦτα ποιήσαντι ὑγιάζωνται αἱ ὑστέραι, κλύσαι τῷ ξὺν

mordeant.[14] Si in hoc modo habentem incideris, ubi quidem dolores habuerint, multa ' calida lavato, & tepefactoria adhibeto qua parte fuerit dolor: [15] & siquidem superne fuerint dolores, & mulier fortis est, totam fomentato, & pharmacum deorsum purgans bibendum dato: [16] & ubi tempus anni fuerit, serum coctum insuper bibendum præbeto, per dies quinque, si id facere poterit. [17] Si vero non fuerit serum, lac asininum coquito, & per dies tres aut quatuor bibendum dato. [18] Post lactis ' autem potum, cum aquis ipsam reficito, & cum cibis commodis, carnibus ovillis teneris recentibus, & volucrium: & beta, & cucurbita. [19] Abstineat autem à salsis & acribus, & marinis omnibus, & à carnibus porcinis, & bubulis, ac caprinis. [20] Edat autem panes. [21] Si vero animi deliquia teneant, & non valida sit, & perfrigeretur, sorbitionem accipiat. [22] Sunt autem quidam qui his caput dolentibus lac ' bibendum præbent, quia caput dolent. [23] Alii aquam, quia animo linquantur. [24] Ego vero vice versa, si caput dolent, & mente percellantur, aquam commodam puto. [25] Quum autem mordentur, & acria sunt quæ pungunt, lac his lenitatem inducit. [26] Ubi vero tibi valida esse videbitur, uteros colluito: primum medicamento ex vini fece: [27] postea interpositis diebus tribus aut quatuor, eo quod cum brassicæ decocto ' tepido paratur. [28] Et rursus intermissis diebus tribus eo quod cum butyro paratur eluito. [29] Et si ubi hæc feceris sanescant uteri, eo quod cum malicorio paratur

τῷ σιδίῳ. 30 ἐπὶ δὲ τὰ ἕλκεα ἐπιχρίειν ἀργύρεον ἄνθος, καὶ κηκῖδα, καὶ σμύρναν, καὶ λιβανωτὸν, καὶ τῆς αἰγυπτίης ἀκάνθης τὸν καρπὸν, καὶ οἰνάνθην τὴν ἀγρίην, καὶ χρυσοκόλλην, καὶ λεπίδα, καὶ λωτοῦ πρίσματα, καὶ κρόκον, καὶ στυπτηρίην αἰγυπτίην κατακεκαυμένην. 31 τούτων δὲ ἔστω ἴσον ἑκάστου· τῆς δὲ στυπτηρίης, καὶ τὴν κηκῖδα, καὶ τὸν κρόκον ποιῆσαι μίαν μοῖραν πάντων. 32 τρίψας δὲ καὶ ξυμμίξας πάντα λεῖα διεῖναι ἐν οἴνῳ λευκῷ γλυκεῖ· ἔπειτα ἑψεῖν, ἐς τ' ἂν παχὺ γένηται οἷόν περ μέλι. 33 τούτῳ δὲ ἐπαλείφειν δὶς τῆς ἡμέρης διδόναι, νιψαμένην ὕδατι χλιαρῷ· 34 ἑψεῖν δὲ ἐν τῷ ὕδατι " καὶ κισσὸν, καὶ ἐλελίσφακον. 35 καὶ ἐπήν σοι δοκέῃ ταῦτα ποιέοντι ῥᾷον εἶναι, προπιεῖν γάλα ἑφθὸν αἴγειον μίην ἡμέρην· 36 ἔπειτα διδόναι γάλα βόειον τὸν αὐτὸν τρόπον, οἷον ἐπὶ τῇσι προτέρῃσι. 37 μετὰ δὲ τὴν γαλακτοποσίην παχῦναι σιτίοισιν ὡς μάλιστα, 38 καὶ ποιέειν, ὅκως ἐν τῇ γαστρὶ ἔχῃ. " ὑγιὴς γὰρ γίνεται. 39 ὡς δὲ τὰ πολλὰ ἐκ τῆς νούσου ταύτης ἐκφεύγουσι καὶ ἄτοκοι γίνονται. 40 τῇσι δὲ γεραιτέρῃσιν οὐ πάνυ τι. 41 πίνειν δὲ μετ' αὐτὰ φάρμακα λίνου σπέρμα ἀποπεφωσμένον, καὶ ' σήσαμον, καὶ κνίδης καρπὸν, καὶ γλυκυσίδης ῥίζαν τῆς πικρῆς τρίβων ἐν οἴνῳ εὐώδει μέλανι " κεκρημένῳ.

LXXXIX. Ἢν αἱ μῆτραι ἑλκωθέωσι, καὶ αἷμα, καὶ πύον ῥέῃ καὶ ἰχώρ· 2 σηπομένων γὰρ τῶν μητρέων νόσημα ἀπ' αὐτέων γίνεται· 3 καὶ ἡ γαστὴρ ἡ νειαίρη ἐπαίρεται, καὶ λεπτὴ γίνεται, καὶ ἀλγέει ψαυομένη, ὡς ἕλκος, 4 καὶ πῦρ ἔχει " καὶ βρυγμὸς αὐτήν. 5 καὶ ὀδύνη ὀξέη τε καὶ σπερχνὴ ἔς τε τὰ αἰδοῖα, καὶ ἐς τὸ ἐπίσιον, καὶ ἐς τὴν γαστέρα τὴν νειαίρην

colluito. 30 Super ulcera vero argenti florem, & gallam, & myrrham, & thus, & spinæ ægyptiæ fructum, & œnanthen sylvestrem, & chrysocollam, & squammam æris, & loti ramenta, & crocum, & alumen ægyptium combustum illinito. 31 ' Horum singulorum una æqualis sit portio. Alumen vero & gallam, & crocum, una omnium portione sumito. 32 Hæc omnia trita ac permixta in vino albo dulci diluito, deinde coquito, donec mellis crassitudo fiat, 33 & dato ut cum hoc pharmaco bis in die ulcera inungat, ubi aqua tepida prius lavit. 34 Coquantur autem in aqua, & hedera, & salvia. 35 Et ubi tibi hæc facienti melius habere visa fuerit, lac ' caprinum coctum præbibendum una die dato. 36 Postea vero lac bubulum præbeto eodem modo velut in prioribus: 37 post lactis autem potum, per cibos quam maxime crassefacito, 38 & ut in ventre habeat facito. Sana enim fiet. 39 Plerunque vero ex hoc morbo evadunt, & steriles fiunt. 40 Senioribus autem non valde quid horum accidit. 41 Postea vero bibenda sunt pharmaca, lini semen torrefactum, & sesamum, & urticæ semen, ' & pæoniæ radix amara: hæc in vino nigro odorato trita bibat.

LXXXIX. Si uteri ulcerati fuerint, & sanguis, & pus, & serosa sanies fluit (2 putrescentibus enim uteris, morbus ab ipsis fit) 3 & venter imus elevatur, & attenuatur, & ad contactum dolet, velut ulcere præsente. 4 Et febris ac fremitus ipsam occupat, 5 & dolor acutus ac vehemens invadit pudenda, & pubem, & imum ventrem, & lateris ' mollitudinem,

καιρὴν, καὶ ἐς τὸν κενεῶνα, καὶ ἐς τὰς 40 ἰξύας. 6 ἡ δὲ νοῦσος λαμβάνει μάλιστα μὲν ἐκ τόκου, ἢν ἐν αὐτῇσι 276 τι διακνισθὲν σαπῇ, καὶ ἐκ τρωσμοῦ, καὶ ἄλλως ἀπὸ ταὐτομάτου. 7 ταύτῃσιν ἢν ἐπιτυγχάνῃς, λοῦε ἐν ὕδατι πολλῷ καὶ θερμῷ· 8 καὶ, ὅκου ἂν ἡ ὀδύνη ἔχῃ, τοιαῦτα χλιάσματα προστιθέναι, καὶ σπόγγον ἐξ ὕδατος θερμοῦ. 9 καὶ κλύζειν τὰ δριμέα καὶ τὰ στρυφνὰ ἀπεχόμενον. 10 τῶν δὲ μαλακωτέρων διαμίσγε, ὅκως ἂν δοκέῃ σοι καιρὸς εἶναι. 11 σπέρμα τε λίνου τὸν καρπὸν κόψας, καὶ τῆς ἀκτῆς, συμ- 45 μίξας δὲ ἐν μέλιτι καὶ ποιήσας φάρμακον, τούτῳ χρῶ. 12 λοῦσον δὲ ὕδατι θερμῷ, καὶ λαβὼν σπόγγον ἢ εἴριον μαλθακὸν βάπτων ἐς θερμὸν ὕδωρ, διακάθαιρε τά τε αἰδοῖα καὶ τὰ ἕλκεα. 13 εἶτα ἐς οἶνον ἄκρητον ἐμβάπτων πάλιν τὸν σπόγγον ἢ τὸ εἴριον, τὸν αὐτὸν τρόπον χρῶ. 14 ἔπειτα τῷ φαρμάκῳ τούτῳ ἐνάλειφε, ὁσάκις ἂν δοκέῃ σοι καιρὸς εἶναι. 15 ἔπειτα ῥητίνην καὶ στέαρ ὕειον μίξας 250 ὁμοῦ τῷ φαρμάκῳ διαλείφειν 277 πολλάκις μεθ' ἡμέρην καὶ τῆς νυκτός. 16 μετὰ δὲ ταῦτα λίνου σπέρμα φώξας καὶ κόψας καὶ σήσας, μήκωνα λευκὴν κόψας ἐν ἀλφίτοισι καὶ σῆσαι. 17 καὶ τυρὸν αἴγειον ὀπτᾶν, περιξύσας τὸν ῥύπον καὶ τὴν ἅλμην καὶ τὸ πικρὸν 278 συμμίξας, καὶ πάλην ἀλφίτου. 18 ἔστω δὲ ἓν τοῦ φαρμάκου μέτρον, καὶ τοῦ τυροῦ, καὶ τοῦ ἀλφίτου. 19 τοῦτο διδόναι 5 πίνειν ἐξ ἠοῦς νήστει ἐν οἴνῳ αὐστηρῷ κεκρημένῳ. 20 ἐς δὲ τὴν ἑσπέρην μίσγων καὶ παχὺν κυκεῶνα διδόναι. 21 καὶ τῶν γυναικείων, ὅ, τι ἂν μάλιστα 279 προσδέχηται, πιπίσκειν. 22 καὶ μέχρι μὲν ἂν τὸ αἷμα πολὺ ῥέῃ, καὶ ὀδύναι ὀξεῖαι ἔχωσι, καὶ ὀλίγον χρόνον διαλίπωσι, ταῦτα ποιέειν. 23 ἐπὴν δὲ τὸ

nem, & lumbos. 6 Morbus autem maxime corripit ex partu, si quid in ipsis divulsum computruerit: itemque ex abortu, & alias sua sponte. 7 In has si incideris, aqua multa calida lavato: 8 & qua parte dolor habuerit, tepefactoria adhibeto, & spongiam ex aqua calida expressam, 9 & colluito acribus & acerbis vitatis, 10 mollioribus vero ammixtis, prout tibi tempestivum esse videbitur: 11 & lini semen ac sambuci fructum tundito, & 150 ammixto melle pharmacum facito, atque hoc utitor, 12 calida vero aqua lavato, & acceptam spongiam, aut mollem lanam, in aqua calida tingito, & pudenda ac ulcera expurgato. 13 Deinde in vino meraco, rursus spongiam aut lanam tingens, eodem modo utere. 14 Et postea pharmaco hoc inunge, quoties tibi tempestivum esse visum fuerit. 15 Postea resina & adipe suillo mixtis simul illinito sæpe interdiu ac 155 noctu: 16 postea vero lini semen torreto, tundito, ac cribrato, & peplum album in polenta tundito ac cribrato: 17 & caseum caprinum assato, & sordes ac salsuginem deradito, & pinguetudinem ejus, & polentæ pollinem ammisceto. 18 Sit autem una pharmaci mensura, & casei, & polentæ. 19 Hæc bibenda dato mane jejunæ, in vino austero diluto. 20 Ad vesperam autem misceto, & crassum cyceonem 160 præbeto, 21 & quicquid muliercula maxime libenter admiserit, bibendum dato. 22 Et donec quidem sanguis multus fluxerit, & dolores acuti habuerint, & modico tempore intermiserint, hæc facito. 23 Postquam autem ulcus

τὸ ἕλκος ἔλασσον ᾖ, καὶ ὀδύναι βληχραὶ προσλαμβάνωσι, καὶ διὰ πλείονος χρόνου, φάρμακα πιπίσκειν ὑφ' ὧν μέλλει καθαίρεσθαι κάτω μᾶλλον ἢ ἄνω, διαλείπειν
10 χρόνον, ὁκόσον ἂν δοκέῃ ἐπίκαιρος εἶναι. 24 καὶ πυρίῃ βληχρῇσι πυριῆσι ἀνακαθίζοντα ὑψόθι, ἢν δοκέῃ ἐγκαίρως καιρὸς εἶναι. 25 ταῦτα ποιέουσα ὑγιὴς γίνεται. 26 ἡ δὲ νοῦσος βληχροτέρη καὶ θανατώδης, καὶ διαφεύγουσιν αὐτὴν παῦραι.

XC. Ἢν δὲ ἑλκωθῶσι σφόδρως, 2 αἷμα καὶ πύον καθαίρεται, 3 καὶ ὀδμὴ γίνεται βαρεῖα. 4 καὶ, ὁκόταν ἡ ὀδύνη προσλάβῃ, ὡς ὑπὸ ὠδῖνος τὰ περὶ τὸν ῥόον γίνεται. 5 καὶ, ὁκόταν ὁ χρόνος ᾖ, τὰ σκέλεα καὶ οἱ πόδες οἰδέουσι. 6 καὶ ἰῶνται τοῦτο οἱ
15 ἰητροὶ ὡς ὕδρωπα. 7 τὸ δὲ οὐκ ἔστι τοιοῦτον. 8 ταύτην, ἢν λάβῃς, λούειν πρῶτα θερμῷ, καὶ χλιαίνειν. 9 καὶ κλύζειν δριμέσι, καὶ μαλθακοῖσι, καὶ στρυφνοῖσι, ὕδατί τε καὶ οἴνῳ. 10 καὶ 280 πολύκαρπον, καὶ πολύκνημον, καὶ μέλι ἑψῶν ὁμοῦ· εἶτα εἴριον ἐς τοῦτο βάπτων, διαχρίειν τὰ αἰδοῖα. 11 καὶ ῥητίνην, καὶ μέλι, καὶ συὸς ἔλαιον ἐγχέειν. 12 καὶ πιπίσκειν λίνου καρπὸν, καὶ σήσαμον φώξας, καὶ βούτυρον, καὶ τυρὸν αἴγειον, καὶ 281 ἄλφιτον ἐν ἅπασι, πιπίσκειν ἐν
20 οἴνῳ νῆστιν. 13 ἐφ' ἑσπέρην δὲ μέλι ἐπιχέειν πουλύ. 14 καὶ, ἕως μὲν ἂν τὸ αἷμα καθαίρηται, καὶ ὀδύναι ὀξεῖαι ἔχωσι, καὶ ὀλίγον χρόνον διαλίπωσι, τοῦτο ποιέειν. 15 ὅταν δὲ οἱ ἔλασσον ἴῃ, καὶ ὀδύναι βληχρότεραι ἴσχωσι διὰ πλείονος χρόνου, φάρμακον πιπίσκειν κάτω, καὶ διαλιπεῖν. 16 ταῦτα ποιέουσα

ulcus minus fuerit, & dolores debiles apprehenderint, & per longius tempus, pharmaca bibenda dato, à quibus purgetur deorsum magis quam sursum, & intermisso tempore quantum 165 opportunum esse visum fuerit, 24 lenibus fomentis foveto, muliere in alto collocata, prout tempestivum esse videbitur. 25 Hæc si fecerit, sana evadet. 26 Morbus autem est lenior & lethalis, & paucæ ipsum effugiunt.

XC. Si vero vehementer exulcerati fuerint, 2 sanguis & pus purgatur, 3 & odor fit gravis. 4 Et quum dolor apprehenderit, velut à partus dolore fiunt ea quæ circa fluxum contingere solent. 5 Et quum tempus affuerit, 170 crura & pedes intumescunt. 6 Et curant medici hunc morbum velut hydropem: 7 verum hic talis non est. 8 Hanc si curandam acceperis, primum calida lavato, & calefacito. 9 Et acribus ac mollibus & acerbis, & aqua & vino colluito. 10 Et polycarpon, & polycnemon, ac mel simul coquito, deinde lanam in his tingito, & pudenda illinito. 11 Et resinam, ac mel, & pinguedinem suillam illinito. 175 12 Et bibendum dato semen lini ac sesamum torrefactum, & butyrum, & caseum caprinum, & polentam in omnibus. Bibat autem in vino jejuna. 13 Ad vesperam vero plurimum mellis affundito. 14 Et donec quidem sanguis purgetur, & dolores acuti habuerint, & modico tempore intermiserint, hoc facito. 15 Quum autem ipsi minus prodierit, & dolores debiliores per longius tempus tenuerint, phar- 180 macum deorsum purgans bibendum dato, ac finito. 16 Hæc si fecerit,

ποιέουσα ὑγιὴς γίνεται. 17 γονὴ δὲ οὐκ ἔτι.

XCI. Ὅσα δὲ ἑλκώματα γίνεται ἐν τῇσιν ὑστέρῃσιν ἀπὸ τρωσμοῦ ἢ ὑπ' ἄλλου τινὸς, 2 ταῦτα χρὴ ἀποσκεπτόμενον ἐς τὸ ὅλον σῶμα θεραπεύειν πάντα, ὁκοίης ἂν δοκέῃ δεῖσθαι θεραπείης. 3 ἤν τέ σοι δοκέῃ ἐξ ἅπαντος τοῦ σώματος ὁ ἄνθρωπος θεραπευτέη εἶναι, ἤν τε ἀπ' αὐτέων. 4 γνώσῃ δὲ, εἰ ἀπ' αὐτέων τῶν ὑστερέων ἐστί. 5 τὰ μὲν ἀπ' αὐτῶν τῶν ἑλκωμάτων τὴν κάθαρσιν παρέχει πυοειδέα τε καὶ ξυνεστηκυῖαν. 6 τὰ δὲ μὴ ἀπ' αὐτέων, λεπτήν τε καὶ ἰχωροειδέα. 7 ὅσα μὲν οὖν ἐστι λεπτὰ τῶν ῥευμάτων, ταύτας μὲν χρὴ θεραπεύειν ἐν φαρμάκῳ. 8 καὶ διδόναι καὶ ἄνω καὶ κάτω· πρῶτον δὲ ἄνω. 9 καὶ, ἢν μὲν μετὰ τὴν φαρμακείην τὰ ῥεύματα ἐλάσσω γίνεται καὶ εὐπετέστερα, ἢ διαλείποντα, αὖθις φαρμακεύειν τὸν αὐτὸν τρόπον. 10 μετὰ δὲ φαρμακείην διαιτᾷν διαίτῃ τοιαύτῃ, ἐν ὁποίῃ ἂν εἴη μάλιστα ξηροτάτη ἡ ἄνθρωπος. 11 ἔσται δὲ, ἢν αὐτὴν πυριῇς δι' ἡμέρης τρίτης ἢ τετάρτης ὅλον τὸ σῶμα, καὶ ἐμέτους ποιέῃς ἐκ τῶν πυριῶν εὐθύς. 12 μετὰ δὲ τοὺς ἐμέτους καὶ τὰς πυρίας διαιτῆν ἀλουσίῃ τε καὶ ὑδροποσίῃσι, καὶ ἀρτοσιτίῃσιν· 13 ὄψῳ δὲ μηδενὶ, ἀλλ' ἢ οἴνῳ ἀκρήτῳ μέλανι· λαχάνῳ δὲ μηδενί. 14 ὅταν δὲ τὸν ἔμετον παρασκευάζῃς, τότε χρείην ἔχῃς λαχάνων πολλῶν καὶ δριμέων ἐμπιπλάναι, καὶ σιτίων πολλῶν, καὶ ὄψου, ὁκοίου ἂν βούληται, 15 καὶ οἴνου πολλοῦ ἐμπιπλάναι ὑδαρέος, 16 καὶ λούειν ἐκ τῶν πυριῶν πολλῷ θερμῷ. 17 αὕτη μὲν θεραπείη τῶν τοιουτοτρόπων ῥευμάτων

fecerit, sana evadet. 17 Sobolis autem spes non adest.

XCI. Quæcunque ulcerationes in uteris fiunt, ex abortu, aut alia quadam causa, 2 eas omnes respectu ad totum corpus facto curare oportet, quacunque curatione opus habere visæ fuerint, 3 sive ex universo corpore hominem curandam esse putaveris, sive ex ipsis uteris. 4 Cognosces autem an ab ipsis uteris sint, hoc modo. 5 Quæ enim ulcerationes ab ipsis uteris sunt, purgationem exhibent purulentam & compactam: 6 quæ vero non ab ipsis, tenuem & saniosam. 7 Quum igitur tenues sunt fluxiones, cum pharmaco eas curare oportet, 8 & dare quod & sursum & deorsum purget: Primum autem sursum. 9 Et siquidem post pharmaci potionem, fluxiones pauciores fiunt ac faciliores, intermissione facta rursus eodem modo medicari oportet. 10 Post pharmaci vero potionem, talem victum præscribito, ex quo homo ipsa quam siccissima fiat. 11 Id autem continget, si toti ipsius corpori, per tertiam aut quartam diem fomentum adhibueris, & à fomentis statim vomitus feceris: 12 post vomitus autem & fomenta, diætam constituito ex illuvie & aquæ potu, & panis cibo, 13 nullo vero obsonio, quam vino nigro meraco: nullo item olere. 14 Quum vero vomitum præparas, multis & acribus oleribus opus habes, quibus ipsam impleas: multis etiam cibis, & obsonio quodcunque voluerit. 15 Et ut impleas ipsam multo vino aquoso, 16 & ut à fomentis ipsam laves multa calida. 17 Atque hæc quidem curatio est hujusmodi fluxio-

των. 18 ἄμεινον δὲ ἄμφω φαρμακεύειν, καὶ ἐμέειν, καὶ ἄνω ἕλκειν. 19 δίαιτα δὲ ξηραντικὴ κρέσσων, καὶ ἀλουσίη. 20 τὰς δὲ ὑστέρας χρὴ θεραπεύειν ὧδε. 21 πρῶτα μὲν πυρίῃ ὕδατι ἀκτῆς ἀφεψῶντα τὰ φύλλα. 40 22 ἔπειτα μετὰ τὴν πυρίην κλύζειν ἐκ τῆς ἰλύος τῷ σμήγματι. 23 ἢν μὲν σηπεδὼν ἐν τοῖς ἕλκεσιν ᾖ, καὶ τὰ ἀπιόντα δυσώδεα, ἀκρητεστέρῳ τῷ σμήγματι· ἢν δὲ μηδὲν τοιοῦτον, ὑδαρεστέρῳ. 24 μετὰ δὲ τὴν ἰλύν, ὕδατι. ἐν δὲ τῷ ὕδατι ἐναφεψεῖν μυρσίνην καὶ ἐλελίσφακον. 25 μετὰ δὲ τοῦτο οἴνῳ κλύζειν ″ἀκρήτῳ λευκῷ χλιαρῷ. 26 286 ὁκόταν δὲ δάκνηται ἤδη ὑπὸ τῶν κλυσμάτων, τότε ἤδη καθαρά ἐστι τὰ ἕλκεα. 27 κλύζειν οὖν χρὴ ὑδαρεστέρῃ τῇ ἰλύϊ καὶ οἴνῳ ′μέλανι. 45 28 μετὰ δὲ τὸν οἶνον, πιμελὴν ὑὸς τήξαντα νεαρὴν, ἔλαιον παραμίξαντα· 29 ἢν μὲν ᾖ, χηνός· ἢν δὲ μὴ, ἄλλου τευ, μάλιστα ὄρνιθος· εἰ δὲ μὴ, ″τὸ ἐκ τῶν 287 ἐλαιῶν παλαιόν. 30 τούτῳ χλιαρῷ κλύζειν. 31 μετὰ δὲ, τὸν οἶνον ἑτέρῳ κλυστῆρι ἐγχέαντα ἐς τὸ στόμα. 32 ″καὶ ἢν ᾖ ἡλκωμένον, μοτοὺς ποιεῦντα 288 ἀπὸ τῶν μαλθακτηρίων προστιθέναι. 33 καὶ ἢν καῦμα παρέχωσι προσκείμενοι, ἀφελομένην τὴν γυναῖκα 251 ′κελεύειν αὐτὴν νίψασθαι ὕδατι χλιαρῷ τοιούτῳ, οἵῳ περ ἐκλύζετο. 34 ἢν δὲ πρὸς τὴν δίαιταν τὰ ῥεύματα μὴ ἀπαλλάσσηται, ἐλάσσω δὲ γίνηται καὶ δάκνηται σφοδρῶς, 35 καὶ τὰ ἀπορρέοντα χολή τε εἴη καὶ ἅλμη, καὶ μὴ μόνον τὰ ἔνδον, ἀλλὰ καὶ τὰ ἔξω ἑλκοῖ, 36 μεταβάλλειν χρὴ τὴν δίαιταν, καὶ ἐξυγραίνειν πᾶσαν, 37 ὅκως τὰ ῥεύματα ὡς ὑδαρέστατα ἔσται, καὶ ′ἥκιστα δηκτικά, 38 λουτροῖσι θερμοῖσι πολλοῖσι, 39 μάζῃ, λαχάνοισιν ἑφθοῖσι πᾶσι λιπαροῖσιν

fluxionum. 18 Melius tamen est ut utrasque pharmacis cures, & vomitum ′procures, & sursum trahas. 19 Diæta vero siccatoria melior est, & illuvies. 20 Cæterum uteros hoc modo curare oportet: 21 primum quidem fovere sambuci foliis in aqua coctis: 22 deinde post fomentum, smegmate ex vini fece colluere. 23 Et siquidem putredo in ulceribus fuerit, & quæ exeunt graveolentia, smegmate meraciore: si vero nihil tale, aquosiore: 24 post fecem autem, cum aqua in qua cocta est ′myrtus & salvia: 205 25 postea vero cum vino colluere, meraco, albo, tepido. 26 Quum autem mordetur jam à collutionibus, tunc jam pura sunt ulcera. 27 Colluere igitur oportet fece aquosiore, & vino nigro: 28 post vinum vero, adipem suillum recentem liquato, 29 & pinguedinem anseris si affuerit: sin minus, aliam, maxime gallinaceam. Si vero neque hæc adsit, oleum vetus ex olivis ′ammisceto, 30 at- 210 que hoc tepido colluito 31 post vinum, per alium clysterem in os uteri infuso. 32 Et si fuerit ulceratum, linamenta ex mollitoriis facta apponito. 33 Et si hæc subdita ardorem induxerint, his ademptis mulierem aqua tepida lavari jubeto, tali quali colluebatur. 34 Si vero ad hanc diætam fluxiones non discedant, pauciores tamen fiant, & vehementer mordeant, 35 & ea quæ effluunt bilis fuerint ac salsugo: & non ′solum 215 internas partes, sed etiam externas exulcerent, 36 diætam transmutare oportet, & totam humectare, 37 quo fluxiones quam aquosissimæ fiant, & minime mordaces, 38 balneis multis calidis, 39 maza, oleribus coctis, omnibus pingui-

πιαροῖσιν, 40 ἰχθύσι τοῖσι σελάχεσιν, ἐν κρομμύοισι καὶ κοριάννοισιν ἕψοντα ἐν ἅλμῃ γλυκείῃ· 41 ἑψεῖν δὲ λιπαρῶς· 42 κρέασιν ἑφθοῖσι πᾶσι, πλὴν βοὸς καὶ αἰγός. 43 τούτοισι γὰρ διέφθοισιν ἐν ἀνήθοισι καὶ μαράθροισιν· 44 οἴνῳ μελιχρόῳ, κιῤῥῷ, ὑδαρεῖ. 45 πλείονι γαλακτοποσίῃ μετ' οἴνου γλυκέος. 46 τὰ δ' ἄλλα περὶ τῶν κλυσμάτων ποιέειν κατὰ τὸν ὑφηγημένον λόγον. 47 αὕτη μὲν νῦν περὶ τῶν τοιούτων ἡ θεραπείη. 48 ὅσα δὲ πυώδεά τε καὶ ξυνεστῶτα ἄπεισι τούτων, τὸ μὲν ὅλον σῶμα οὐδὲν δεῖ κινέειν· 49 κλύζειν δὲ, καὶ ἀπὸ τούτων τὴν θεραπείην πᾶσαν ποιέεσθαι. 50 κλύζειν δὲ τοῖσιν αὐτέοισι κλύσμασιν, οἷς πρόσθεν εἴρηται τὸν αὐτὸν τρόπον. 51 γεγράψεται δὲ καὶ ἄλλα κλύσματα.

52 Ἑλκῶν ἴησις. ἐλάφου στέαρ χλωρὸν προστιθέναι. 53 κλύζειν δὲ χρὴ αὐτίκα οἴνῳ σιραίῳ. 54 κράτιστον δὲ ψιμυθίῳ, ἢν ἕλκεα ᾖ, καὶ ἐλαίῳ ναρκισσίνῳ. 55 σιτίοισι δὲ μαλθακωτάτοισι χρῆσθαι, καὶ μὴ δριμέσιν. 56 ἢν δὲ ῥυπωμένα ᾖ καὶ νενέμηται, καὶ τοῦ πλησίον χωρίου διαχναίῃ, καθαίρειν, καὶ νέαν σάρκα φύειν, καὶ ἐς οὐλὰς ἄγειν τὴν σάρκα· 57 ῥηϊδίως γὰρ ἀναχαλᾶται, καὶ κακοήθεα γίνεται· 58 καὶ λούειν συχνῶς.

XCII. Ἢν δὲ γυνὴ ἐκ τρωσμοῦ τραῦμα λαμβάνῃ, 2 ἢ προσθέτοισι δριμέσιν ἑλκωθῇ τὰς μήτρας 3 οἷα πολλὰ γυναῖκες αἰεὶ δρῶσί τε καὶ ἰητρεύουσι· 4 καὶ τὸ ἔμβρυον φθαρῇ, καὶ μὴ καθαίρηται ἡ γυνὴ, 5 ἀλλά οἱ αἱ μῆτραι φλεγμαίνωσιν ἰσχυρῶς, καὶ μεμύκωσι· 6 καὶ τὴν κάθαρσιν οὐχ οἷαί τε ὦσι διαμεθιέναι, εἰ μὴ τὸ

πρότερον

pinguibus, 40 piſcibus cartilagineis, cum cepis & coriandro, in muria dulci coctis omnibus, excepta bubula & caprina: 43 his enim percoctis cum anetho & fœniculo: 44 vino mellei coloris, fulvo, aquoſo, 45 uberiore lactis potu cum vino dulci. 46 Reliqua vero de collutionibus juxta relatum modum facito. 47 Atque hæc quidem eſt ejuſmodi fluxionum curatio. 48 Quum vero purulenta & compacta exierint, harum quidem totum corpus non movere oportet, 49 verum colluere: & per collutiones totam curationem facere. 50 Colluere autem oportet cum iiſdem infuſis, quæ prius dicta ſunt eodem modo. 51 Conſcribentur tamen etiam aliæ collutiones.

52 Ulcerum curatio. Cervinum adipem recentem ac viridem ſubdito. 53 Omnia vero ſtatim vino ſiræo ſive ſapa colluere oportet. 54 Optimum autem eſt ceruſſa, ſi ulcera fuerint, & oleo narciſſino. 55 Cibis autem molliſſimis utatur, & non acribus. 56 Si vero ſordida fuerint, & proſerpant, ac proximum locum mordeant, purgato, & novam carnem producito, & carnem ad cicatricem perducito: 57 facile enim reſolvuntur, & maligna fiunt, 58 & frequenter lavato.

XCII. Si vero mulier ex abortu vulnus accipiat, 2 aut ex medicamentis ſubdititiis uteros exulceretur (3 qualia multa ſemper mulieres faciunt ac medicando excitant) 4 & fœtus corruptus fuerit, & mulier non purgetur, 5 ſed uteri inflammati fuerint vehementer ac concluſi, 6 & purgationem emittere non poterint, niſi primum emittant

ſangui-

προσεὸν τὸ αἷμα τὸ ἐν τῷ ἐμβρύῳ. 7 αὕτη, ἢν μὲν ἰητρεύηται, ἐν τάχει ὑγιὴς ἔσται, ἄφορος δέ. 8 ἢν δέ οἱ ῥαγῇ αὐτόματα τὰ λοχεῖα, καὶ τὰ ἕλκεα ὑγιανθῇ· καὶ ὧδε ἄφορος ἔσται. 9 ἢν δέ οἱ ἡ μὲν κάθαρσις γένηται, τὰ δὲ ἕλκεα μὴ μελεδαίνηται, κίνδυνος σηπεδονώδεα εἶναι. 10 ἢν δέ οἱ ἡ κάθαρσις ἤδη τετρυχωμένῃ, θνήσκει. 11 κἢν ἐν τῷ τόκῳ κάρτα ἑλκωθέωσιν αἱ 25 μῆτραι, τοῦ ἐμβρύου μὴ κατὰ φύσιν ἐόντος, πείσονται τὰ αὐτὰ τῇ ἐκ διαφθορῆς ἑλκωθείσῃ τὰς μήτρας. 12 καὶ μεταλλαγὰς καὶ τελευτὰς τὰς αὐτὰς ἡ νοῦσος ἴσχει, ἤν τε ἐκ διαφθορῆς, ἤν τε ἐκ τόκου αἱ μῆτραι ἑλκωθέωσι. 13 καὶ, εἰ τὰ λοχεῖα πάντα παρείσιν, ἧσσον πονήσει, ἢν μὴ μεγάλα ἕλκεα εἴη· 14 καὶ μελεδαινομένη, ἐν τάχει ὑγιαίνει. 15 χρὴ δὲ τὴν μελεδώνην προσέχειν ἐν τάχει, ἢν ἕλκεα ἐν τῇ μήτρῃ ἔνι. 16 ἅτε γὰρ ἐόντα ἐν ἁπαλῷ, ταχὺ αὔξεται, 30 καὶ σαπρὰ ταχὺ γίνεται. 17 ἰῆσθαι δὲ τὰ ἕλκεα, ὡς καὶ τὰ ἐν ἄλλῳ σώματι. 18 ἀφλέγμαντα [γὰρ] χρὴ ποιέειν, καὶ ἀνακαθαίρειν, καὶ ἀναπιμπλάναι, καὶ ἐς οὐλὰς ἄγειν. 19 διδόναι δὲ ὕδωρ εἰς πόσιν, οἶνον δὲ μή· 20 σιτία παῦρα, πολλὰ δὲ μή.

XCIII. Ὁκόσα δὲ τρωσμῶν γινομένων μὴ ἀπαλλάσσεσθαι δύναται, 2 μεζόνων ὅλων τε ἢ τῶν μελέων τῶν ἐμβρύων ἐόντων, 3 ἢ ἐλασσόνων καὶ πλαγίων καὶ ἀδυνάτων. 4 τὰ τοιαῦτα ἢν μὲν κατὰ φύσιν εἴη· 5 διδόναι τῶν φαρ-35 μάκων τι, ἀφ' ὧν ἐγὼ φράσω, προλέοντα θερμῷ παμπόλλῳ. 6 καὶ, ἢν ἐθέλοντα προϊέναι μὴ εὐλύτως

sanguinem qui est in fœtu. 7 Hæc siquidem curetur, brevi sana evadet, verum sterilis. 8 Si vero puerperii purgamenta ipsi sua sponte eruperint, & ulcera sanata fuerint, etiam sic sterilis erit. 9 Si vero purgatio quidem ipsi fiat, ulcera autem non purgentur, periculum est ea putredinosa esse. 10 Si vero purgatio prodierit ipsi jam afflictæ ac extenuatæ, moritur. 11 Quin & si in partu uteri valde fuerint exulcerati, fœtu non secundum naturam exeunte, eadem patientur quæ patitur ea quæ ex corruptione fœtus uteros exulceratos habet. 12 Et transmutationes ac fines eosdem morbus habet, sive ex fœtus corruptione, sive ex partu uteri fuerint ulcerati: 13 & si puerperii purgamenta omnia prodierint, minus dolebit, nisi magna ulcera fuerint. 14 Et si curetur, brevi sanescit. 15 Oportet autem curam cito adhibere, si ulcera in utero fuerint. 16 Nam, ut quæ in tenero loco sunt, cito augescunt, & brevi putrescunt. 17 Curare vero oportet ulcera, velut etiam ea quæ in reliquo corpore sunt. 18 Nimirum ut inflammationem arceas, & repurges, & repleas, & ad cicatricem perducas. 19 Danda est autem aqua in potum, vinum minime: 20 cibos item paucos, ac minime multos exhibeto.

XCIII. 1 Quicunque abortus facti discedere non possunt, 2 dum aut toti, aut partes fœtuum sunt majores, 3 aut minores, & obliqui ac impotentes, 4 tales siquidem secundum naturam siti fuerint, 5 pharmaco aliquo dato ex his quæ ego referam expellito, ubi multa calida prælaveris. 6 Et si prodire volentes, non facile

τως ἀπίῃ κατὰ φύσιν ἐόντα, τῇσι πταρμικοῖσι τοῦ πταρμικοῦ προσφέρειν. 7 ἐπιλαμβάνειν δὲ τοὺς μυκτῆρας, καὶ πταρνύσθαι, καὶ στόμα πιέζειν, ὅκως ὁ πταρμὸς ὡς ὅτι μάλιστα ἐνεργήσῃ. 8 χρῆσθαι δὲ καὶ σεισμοῖσι· σείσεις δ' αὖ ὧδε. κλίνην λαβεῖν ὑψηλὴν ῥωμαλέην, καὶ ὑποστορέσαντα ἀνακλίνειν τὴν γυναῖκα ὑπτίην. 10 τὰ δέ γε στήθεα, καὶ τὰς μασχάλας, καὶ τὰς χεῖρας, 40 ' προσκαταλαμβάνειν ταινίῃ, ἢ ἱμάντι πλατεῖ μαλθακῷ πρὸς τὴν κλίνην, καὶ ζωννύειν, καὶ τὰ σκέλεα ξυγκάμψαι, καὶ κατέχειν τῶν σφυρῶν. 11 ὅταν δὲ εὐτρεπίσῃς, φρυγάνων φάκελλον μαλθακῶν, ἤ τι τῇδε ἐοικὸς εὐτρεπίζειν, 195 12 ὅσον τὴν κλίνην μὴ ὑπερόψεται ἐπὶ τὴν γῆν ῥιπτευμένην, ὥστε ψαύσῃ τοῖσι πρὸς κεφαλὴν ποσὶ τῆς γῆς. 13 καὶ κελεύειν αὐτὴν λαβέσθαι τῇσι χερσὶ τὴν κλίνην, καὶ μετέωρον πρὸς κεφαλὴν τὴν κλίνην ἔχειν, ὡς κατάρροπος ' ᾖ ἐπὶ 45 πόδας, 14 φυλασσόμενος, ὅκως μὴ προπετὴς ἔσται ὁ ἄνθρωπος. 15 ὅταν δὲ ταῦτα ἐνεργῆται, καὶ μετέωρος ᾖ ἡ κλίνη, ἐκ τοῦ ὄπισθεν ὑποθεῖναι τὰ φρύγανα, 16 κατορθοῦσθαι δὲ ὡς μάλιστα, ' ὅκως οἱ πόδες ψαύωσι τῆς γῆς, ῥιπτευμένης τῆς κλίνης, καὶ τῶν φρυγάνων ἔσωθεν ἔσονται. 196 17 αἴρειν δὲ ἐξ ἑκατέρου τοῦ ποδὸς ἄνδρας τῇδε καὶ τῇδε, ὡς κατ' ἰθὺ πίπτῃ ἡ κλίνη ὁμαλῶς καὶ ἴσως, καὶ μὴ σπασμὸς ᾖ. 18 σείειν δὲ ἅμα τῇ ὠδῖνι μάλιστα. 19 καὶ, ἢν μὲν ἀπαλλάσσηται, ' αὐτίκα πεπαῦσθαι. 20 εἰ δὲ μὴ, διαλαβόντα σείειν, καὶ αἰωρέειν ἐπὶ κλίνης φερομένην. 21 ταῦτα μὲν οὖν οὕτως ποιέειν, ἢν ὀρθῶς τι καὶ κατὰ φύσιν

cile exeant, quum siti sint secundum naturam, talibus sternutatorium admoveto. 7 Apprehendito autem nasum, ' & os 155 comprimito, ac sic sternutet, quo sternutatio quam maxime efficax sit. 8 Utatur item concussionibus. Sic autem concussionem facito. 9 Lectum altum robustum ac instratum sumito, & mulierem supinam reclinato, 10 pectus vero & axillas ac manus, fascia aut molli lato loro ad lectum alligato, ac cingito, & crura incurvato, & malleolis apprehensam detineto. 11 Quum autem sic disposueris, sarmentorum ' mollium fascem, aut ali- 160 quid huic simile parato, tantum quantus sufficit, 12 ut lectum non negligat excipiendo ipsum, dum in terram projicitur, quo non pedibus juxta caput, terram contingat. 13 Postea vero ipsam manibus lectum apprehendere jubeto, & lectum ad caput sublimem habere, ut declivis sit in pedes, 14 animadversione habita ne pronua sit homo ipsa. 15 Ubi vero hæc facta fuerint, & lectus sublimis ' fuerit, retro sarmenta 165 supponito: 16 maxime autem dirigito, quo pedes terram non contingant dum lectus projicitur, & ut sint intra sarmenta. 17 Elevent autem duo viri ex utroque pede hinc atque illinc, quo in directum lectus cadat, plane ac æqualiter, & convulsio ne fiat. 18 Concutiendum est autem maxime una cum partus dolore. 19 Et siquidem discedant, statim quiescendum. 20 Sin minus, interstitio ' facto, rursus 170 concutito, & in lecto gestatam attollito, ac agitato. 21 Atque hæc quidem sic facienda sunt, ubi recte & secundum naturam

φύσιν ἀπαλλάσσηται. 22 χρὴ δὲ κηρωτῇ ὑγρῇ περιχρίειν· 23 ἐπὶ πάντων δὲ τῶν ἀμφὶ τὴν ὑστέρην τοιῶνδε παθέων ἄριστον τόδε· 24 καὶ μαλάχης ὕδωρ καταχέειν, καὶ βουκέρας, 297 ἢ πτισάνης πυρίνης μᾶλλον χυλόν. 25 χρὴ δὲ ἄχρι βουβῶνος ἕδρην καὶ 5 αἰδοῖον πυριῆν, καὶ ἐγκαθίζεσθαι δὲ, ὅταν αἱ ὠδῖνες σφόδρα ὀχλέωσι μάλιστα, 26 καὶ μηδὲν ἐν νόῳ ἕτερον 298 ἔχειν. 27 τὴν δὲ ἰητρεύουσαν τὰ στόματα μαλθακῶς ἐξανοίγειν, καὶ ἠρέμα τοῦτο δρᾶν. 28 ὀμφαλὸν δὲ ξυνεφέλκεσθαι τὸ ἔμβρυον.

XCIV. Ὁπόσα δὲ διπλούμενα πλίσσεται καὶ ἐγκέεται ἐν τῷ στόματι τῶν ὑστερέων, 2 ταῦτα δὴ, ἤν τε ζώοντα, ἤν τε τεθνεῶτα ᾖ, περιωθέοντα ὀπίσω πάλιν στρέφειν, 3 ὅκως κατὰ φύσιν ἴῃ ἐπὶ κεφαλήν. 4 ὅταν δὲ ἀπωθέειν βούλῃ ἢ στρέφειν, 10 ἀνακλίναντα χρὴ ὑπτίην ὑπὸ τὰ ἰσχία ὑποστορέσαι τι μαλθακόν. 5 καὶ ὑπὸ τοὺς πόδας τῆς κλίνης, ὅκως ὑψηλότεροι ἔσονται οἱ πρὸς ποδῶν πόδες, συχνὰς ὑποτιθέναι χρὴ τι. 6 καὶ ἀνωτέρω δὲ τὰ ἰσχία τῆς κεφαλῆς ἔστω. 7 προσκεφάλαιον δὲ μηδὲν ὑπέστω τῇ κεφαλῇ, προμηθεόμενος ταῦτα. 8 ὅταν δὲ ἀπωσθῇ τὸ ἔμβρυον καὶ περιδινῆται τῇδε καὶ τῇδε, 9 καὶ κατὰ φύσιν 299 καθίστασθαι καὶ τὴν κλίνην καὶ τὰ ἰσχία, ὑπεξελὼν τὰ ὑπὸ τοὺς πόδας τῆς κλίνης καὶ τοὺς λίθους, καὶ τὸ ὑπὸ τῶν 15 ἰσχίων. 10 πρὸς κεφαλὴν δὲ ὑποθεῖναι ὑποκεφάλαιον. 11 τὰ τοιαῦτα τούτῳ τῷ τρόπῳ θεραπεύειν.

XCV. Ὅσα δὲ ζῶντα τῶν ἐμβρύων τὴν χεῖρα ἢ τὸ σκέλος ἔξω προβάλλεται, ἢ καὶ ἄμφω, 2 ταῦτα χρὴ, ὅταν τάχιστα προσημαίνῃ τὴν ἔξοδον, εἴσω ἀπωθέειν τῷ προειρημένῳ τρόπῳ, καὶ στρέφειν ἐπὶ κεφαλὴν, καὶ ἐς ὁδὸν ἄγειν. 3 καὶ ὅσα πλίσσεται τῶν ἐμβρύων πεπληότα

discedant. 22 Oportet autem cerato liquido præillinere, 23 quod in omnibus hujusmodi circa uterum affectionibus optimum est: 24 malvæ aquam affundere, & fœnigræci, aut potius ptisanæ triticeæ succum. 25 Oportet autem usque ad inguina, sedem & pudendum fovere, ' & insidere, 277 ubi partus dolores maxime infestarint, 26 & nihil aliud mente versate: 27 eam vero quæ medicatur, oscula mollibus aperire oportet, & leniter hoc facere. 28 Umbilicum vero una cum fœtu attrahere.

XCIV. Quicunque vero duplicati complicantur, & in osculo uterorum incumbunt, 2 eos sive vivi fuerint, sive mortui, rursus retro protrusos vertere oportet, 3 quo secundum naturam in caput ' exeant. 4 Quum 280 autem retrudere voles aut vertere, supinæ ipsi reclinatæ molle quiddam sub coxas substernere oportet: 5 & sub lecti pedes, quo altiores sint hi à pedibus semper aliquid supponere. 6 Sed & coxæ altiores capite sint, 7 & ut nullum cervical sub capite sit provideto. 8 Quum vero retrusus fuerit fœtus, & hinc atque illinc obvolvitur, 9 ut secundum naturam constituatur, & quicquid sub ' lecti pedes supposuisti 281 ac lapides, & quicquid sub coxas subdidisti, subtrahito. 10 Capiti vero subjicito. 11 Atque talia hoc modo curato.

XCV. Quicunque vero fœtus vivi, manum aut crus foras præmittunt, aut etiam ambo: 2 eas oportet quam celerrime ubi exitum significarint, prædicto modo intro retrudere, & in caput vertere, & ad viam reducere. 3 Et quicunque fœtus complicantur,

πληρῶται ἢ ἐς τὸν κενεῶνα ἢ ἐς ἰσχίον ἐν τῷ τόκῳ, ⁴ χρὴ ταῦτα ἀπορθοῦσθαι καὶ στρέφειν. ⁵ καὶ προσκαθίζεσθαι ἐς ὕδωρ θερμὸν, ἄχρις ἂν ἰαίνηται.

XCVI. Ὁκόσα δὲ τεθνεῶτα τῶν ἐμβρύων ἢ τὸ σκέλος ἢ τὴν χεῖρα ἔξω ἔχει, ² ταῦτα ἄριστον μὲν, ἢν οἷόν τε, ἀπωθεῖσθαι εἴσω, καὶ ἄμφω ταῦτα ἐπὶ κεφαλὴν στρέφειν. ³ εἰ δὲ μὴ οἷόν τε ᾖ, ἀνοιδίσκηται δὲ, τάμνειν τῷδε τῷ τρόπῳ. ⁴ σχίσαντα τὴν κεφαλὴν μαχαιρίῳ ξυμφλάσαι, ἵνα μὴ θραύσῃ τῷ πιέστρῳ, ⁵ καὶ τὰ ὀστέα ἕλκειν τῷ ὀστεουλκῷ, ⁶ ἢ τῷ ἑλκυστῆρι περὶ τὴν κληῗδα καταθέντα, ὡς ἂν ἔχῃ, ἕλκειν, ⁷ μὴ κατὰ πολὺ, ἀλλὰ κατ' ὀλίγον ἐξανιέντα, καὶ αὖθις βιώμενον. ⁸ ὅταν δὲ ταῦτα ἔξω ἐρύσῃς, ἐν δὲ τοῖσιν ὤμοισιν ἐνῇ, τάμνειν τὰς χεῖρας ἄμφω ἐν τοῖσιν ἄρθροισι μετὰ τῶν ὤμων. ⁹ καὶ, ὅταν ταῦτα κομίσῃς, ἢν μὲν οἷόν τε ᾖ, ἰέναι, καὶ τὰ ἄλλα εὐπετῶς ἕλκειν. ¹⁰ ἢν δὲ μηδὲν ἀκούσῃ, τὸ στῆθος πᾶν μέχρι τῶν σφαγίων σχίζειν. ¹¹ φυλάσσεσθαι δὲ ὡς μὴ κατὰ τὴν γαστέρα τάμῃς, καὶ ψιλώσῃς τι τοῦ ἐμβρύου. ¹² ἔξεισι γὰρ ἡ γαστὴρ καὶ τὰ ἔντερα, καὶ [ἡ] κόπρος. ¹³ ἢν δὲ ἐκ τούτων ἐκπέσῃ, πραγματωδέστερον ἤδη γίνεται. ¹⁴ ξυμφλάσαι δὲ τὰ πλευρὰ καὶ τὰς ὠμοπλάτας ξυνάγειν. ¹⁵ καὶ ῥηϊδίως μετὰ ταῦτα χωρήσει τὸ λοιπὸν ἔμβρυον, ἢν μὴ ἤδη οἰδαλέον ᾖ τὴν κοιλίην. ¹⁶ ἢν γὰρ ᾖ τι τοιοῦτον, ἄμεινον τὴν γαστέρα τοῦ ἐμβρύου τρῆσαι ἠρέμας. ¹⁷ ἔξεισι γὰρ φῦσα μόνον ἀπὸ τῆς γαστρός. ¹⁸ καὶ εὐπετέως οὕτω χωρήσει.

¹⁹ Ἢν δὲ ἐκπεπλώκῃ ἡ χεὶρ ἢ τὸ σκέλος τεθνεῶτος τοῦ ἐμβρύου, ἢν μὲν δυνατὸν ᾖ, εἴσω ἀπῶσαι ἄμφω

tur, ad lateris mollitudinem, aut coxam in partu collapsi,⁴ eos dirigere ac vertere oportet, ⁵ & in aquam calidam desidere facere, donec mulier refocilletur.

XCVI. Quicunque vero fœtus mortui, aut crus, aut manum, foras protendunt, ² eos optimum quidem fuerit, si id fieri posset, intro retrudere, & ambas has partes in caput vertere. ³ Si vero hoc fieri non poterit, verum intumescit, secare hoc modo. ⁴ Dissectum per scalpellum caput, cum contusorio instrumento, ut ne in ramenta findatur contundito, ⁵ & ossa per ossium volsellam, ⁶ aut tractorium instrumentum, juxta claviculam immissum, prout habuerint extrahito, ⁷ non multis simul, sed paulatim exemptis, ac rursus ablatis. ⁸ Quum vero hæc foras extraxeris, & in ipsis humeris fueris, ambas manus in articulis cum ipsis humeris secato. ⁹ Et ubi hæc extraxeris, siquidem fieri poterit ut exeant, etiam reliqua facile extrahito. ¹⁰ Si vero non obediant, totum pectus usque ad jugulum findito. ¹¹ Verum caveto ne in ventrem seces, & aliquid de intestino denudes. ¹² Exit enim venter, & intestina, & stercus. ¹³ Si vero horum quid excidat, majoris negotii jam res fit. ¹⁴ Contundito autem costas, & scapulas contrahito. ¹⁵ Et facile postea reliquum fœtus procedet, nisi jam ventrem tumidum habuerit. ¹⁶ Si enim tale quid fuerit, melius est ventrem fœtus leniter perforare (¹⁷ Flatus enim solum à ventre exit.) ¹⁸ & sic facile prodibit.

¹⁹ Si vero exciderit manus aut crus immortui fœtus, siquidem fieri poterit, ambas partes re-

ἄμφω, καὶ εὐτρεπίσαι τὸ ἔμβρυον. ταῦτα ἄριστα. [20] εἰ δὲ μὴ οἷόν τε ᾖ τοῦτο ποιῆσαι, ἀποταμεῖν, ὅ,τι ἂν ἔξω ᾖ, ὡς ἂν δύνηται ἀνωτάτω, καὶ τὸ ἐπίλοιπον ἐσμασσώμενος ἀπωθῆσαι καὶ στρέψαι τὸ ἔμβρυον ἐπὶ κεφαλήν. [21] ὅταν δὲ στρέφειν ἢ καταταμεῖν μέλλῃς τὸ παιδίον, τὰς ἰδίας χεῖρας χρὴ ἀπονυχίσασθαι. [22] τὸ δὲ μαχαίριον, ᾧ ἂν καταταμῇς, καμπυλώτερον ἔστω ἢ εὐθύτερον, [23] καὶ τοῦτο κατὰ κεφαλὴν ἀμφικαλύπτειν [24] τῷ λιχανῷ δακτύλῳ ἐσμασσώμενον, καὶ ὁδηγεῦντα, καὶ ὀρρωδέοντα, [25] ὅπως μὴ ψαύσῃς τῆς ὑστέρης.

XCVII. Περὶ δὲ μύλης κυήσιος τόδε αἴτιον. [2] ἐπὴν πολλὰ τὰ ἐπιμήνια ἐόντα γονὴν ὀλίγην καὶ νοσώδη ξυλλάβωσιν, [3] οὔτε κύημα ἰθαγενὲς γίνεται, καὶ ἡ γαστὴρ πλήρης, ὥσπερ κυούσης. [4] κινέεται δὲ οὐδὲν ἐν τῇ γαστρὶ, οὐδὲ γάλα ἐν τοῖσι τιτθοῖσιν ἐγγίνεται, σφριγᾷ δὲ τὸ στῆθος. [5] αὕτη οὖν δύο ἔτεα, πολλάκις δὲ καὶ τρία, οὕτως ἔχει. [6] καὶ ἢν μὲν μία σὰρξ γένηται, ἡ γυνὴ ἀπόλλυται· οὐδὲ γὰρ οἵη τέ ἐστι περιγίνεσθαι. [7] ἢν δὲ πολλαὶ, ῥήγνυται αὐτέῃ κατὰ τὸ αἰδοῖον αἷμά τε πολὺ καὶ σαρκῶδες, [8] καὶ ἢν μετριάζῃ, σώζεται· ἢν δὲ μὴ, ὑπὸ ῥόου ἁλοῦσα ἀπόλλυται. [9] τὸ μὲν νόσημα τοιοῦτόν ἐστι. [10] κρίνεσθαι δὲ χρὴ τῷ πληρώματι, καὶ ὅτι οὐ κινέεται ἐν τῇ γαστρί. [11] τὸ μὲν γὰρ ἄρσεν τριμηνιαῖον, τὸ δὲ θῆλυ τετράμηνον τὴν κίνησιν ἔχει. [12] ἐπὴν οὖν τοῦ χρόνου περιελθόντος μὴ κινέηται, δηλονότι τοῦτό ἐστι. [13] ἔστι δὲ τόδε τεκμήριον μέγα· ἐν τοῖσι τιτθοῖσι γάλα οὐκ ἐγγίνεται. [14] ταύτην μάλιστα

retrudito, & fœtum rite dirigito. Hoc enim optimum fuerit. [20] Si vero fieri non poterit ut hoc facias, quicquid ſane foris fuerit quantum potes penitiſſime reſecato, & reliquum profunditate intus explorata protrudito, & fœtum in caput vertito. [21] Quum autem vertere ac ſecare puerum voles, ungues de manibus tuis reſecato. [22] Scalpellum vero quo diſſecas, incurvum potius ſit quam rectum: [23] & hujus caput occultato [24] per indicem digitum, eodemque interna explorato ac deducito, [25] ita ut caveas ne uterum contingas.

XCVII. Cæterum molæ conceptus hæc cauſſa eſt. [2] Quum multi menſes modicum & morboſum ſemen conceperint, [3] neque conceptus rectus fit, & venter plenus eſt velut prægnantis. [4] Nihil autem in ventre movetur, neque lac in mammis generatur. Mammæ autem turgidæ ſunt. [5] Hæc igitur ad duos annos, ſæpe enim tres, ſic habet: [6] & ſiquidem una caro fiat, mulier perit. neque enim fieri poteſt ut ſuperſtes maneat. [7] Si vero plures, erumpit ipſi per pudendum ſanguis carnoſus plurimus: [8] & ſi hoc moderate fiat, ſervatur: ſin minus, à fluxu correpta perit. [9] & morbus quidem talis eſt. [10] Judicare vero oportet ex plenitudinis mole, & quod in ventre non movetur. [11] Nam mas trimeſtris, fœmina quadrimeſtris motum habet. [12] Poſtquam igitur tempore hoc prætergreſſo non movetur, nimirum hic morbus. [13] Eſt autem hoc magnum ſignum, quod lac in mammis non generatur. [14] Hanc igitur maxime quidem ne

curato

μάλιστα μὲν ἰῆσθαι. 15 καὶ πρῶτα μὲν πυριῆσαι ὅλον τὸ σῶμα, ἔπειτα κατὰ τὴν ἕδρην κλύσαι, ὅκως αἷμα καταῤῥαγῇ πουλύ. 16 τάχα γὰρ ἴσως ἂν κινήσειας τὸ ἔμβρυον δοκεῖν εἶναι τὸ ξυνεστηκὸς, διαθερμανθείσης τῆς γυναικὸς ὑπὸ τοῦ φαρμάκου. 17 κλύζειν δὲ καὶ κατὰ τὰς μήτρας, ὅκως ἂν αἷμα ἀγάγῃς. 18 εἰ δὲ μὴ, προσθέτοισι χρῆσθαι τοῖσιν ἀπὸ τῆς βουπρήστιος ἰσχυροτάτοισι, 19 καὶ πιπίσκειν τὸ δίκταμνον τὸ κρητικὸν ἐν οἴνῳ. 20 εἰ δὲ μὴ, καὶ τὸν καστόρεον ὄρχιν. 21 καὶ ὄπισθεν αὐτῇ σικύην προσβάλλειν πρὸς τοὺς κενεῶνας, ' καὶ ἀφαιρέειν ὅτι πλεῖστον αἷμα. 22 " προσβάλλειν δὲ καὶ ὅτι μάλιστα τεκμαιρόμενος τὰ κατ' αὐτάς. 23 καὶ τοσοῦτον μὲν περὶ τῶν νοσημάτων τῶν ἀπὸ λοχείων γινομένων εἴρηται. 24 εἰσὶ δὲ οἱ κίνδυνοι ἐν αὐτοῖσιν οὐ σμικροί. 25 ὀξέα γάρ ἐστι καὶ ταχὺ μεταλλάσσοντα, 26 καὶ μᾶλλον πονοῦνται αἱ πρωτοτόκοι, ἢ αἵ τινές εἰσιν ἔμπειροι τόκων.

XCVIII. " Χωρέει δὲ τὰ λοχεῖα τῇ ὑγιηρῇ γυναικὶ ἱκανὸν ὅσον ἀττικὴ κοτύλη καὶ ἡμίσεια τὸ πρῶτον, ἢ ὀλίγῳ πλέονα, 2 ἔπειτα ἐπὶ ἐλάσσονα ' κατὰ λόγον τοῦτον, μέχρις ἂν παύσηται. 3 χωρέει δὲ οἷον αἷμα ἀπὸ ἱερείου, ἢν ὑγιηρὴ, ὡς ἔφην, ἡ γυνὴ ᾖ, καὶ μέλλῃ ὑγιαίνειν. 4 " καὶ ταχὺ πήγνυται καὶ καθαίρεται. 5 καὶ μετὰ τὸν τόκον ὡς ἐπὶ τὸ πλέον τῇ ὑγιηρῇ ξυμβαίνει ἐπὶ μὲν τῇ κούρῃ, ἡμέρας τεσσαράκοντα καὶ δύο τὴν χρονιωτάτην κάθαρσιν· 6 ἀκινδύνως δὲ ἐστι καὶ εἴκοσι πρὸς ταῖς πέντε ἡμέραις καθαιρομένην. 7 ἐπὶ δὲ τοῦ κούρου ἡμέρας τριήκοντα ἡ κάθαρσις γίνεται ἡ χρονιωτέρη· 8 ἀκίνδυνος δέ ἐστι καὶ εἴκο-

curato: aut certe cum prædictione. 15 Et primum quidem totum corpus foveto: deinde per sedem clysterem adhibeto, quo sanguis multus erumpat. 16 Fortassis enim quod compactum est commoveris, id quod fœtus esse putatur, muliere à pharmaco concalefacta. 17 Sed & uteros colluito, quo sanguinem educas. 18 Sin minus, subdititiis utatur fortissimis ' è buprésti. 19 Et dictamnum creticum in vino bibat: 20 sin minus, castoris testem. 21 Et retro cucurbitam ipsi ad laterum mollitudinem affigito, & plurimum sanguinem detrahito. 22 Atque hoc maxime rerum ac virium ipsarum conjectura facta facito. 23 Et hactenus quidem dictum est de morbis à puerperii purgamentis oborientibus. 24 Sunt autem pericula in ipsis non parva. 25 Acuti enim sunt, & cito transmutantur, 26 & ' magis affliguntur primiparæ, quam quæ sunt partuum expertæ.

XCVIII. Prodeunt autem puerperii purgamenta sanæ mulieri sufficienter, primum sesquiheminæ mensura, aut paulo plura: 2 postea adhuc pauciora juxta hanc rationem, donec cessent. 3 Prodeunt autem velut sanguis à victima, si sana, velut dixi, mulier fuerit, & sana futura est: 4 & cito congelantur ac purgantur. 5 Et post partum plerunque sanæ mulieri contingit ' ut post puellæ partum in quadraginta duobus diebus diuturnissima purgatio fiat: 6 extra periculum autem est etiam si vigintiquinque diebus purgetur. 7 Post masculi vero partum, purgatio diuturnior fit in triginta diebus, 8 extra periculum est etiam, quæ in viginti

εἴκοσιν ἡμέρας γινομένη. 9 καὶ τῇσι διαφθειρούσῃσι τὰ ἔμβρυα κατὰ λόγον ἡ κάθαρσις γίνεται τούτων τῶν ἡμερέων. 10 καὶ ἐπὶ τῇσι νεωτέρῃσι φθειρούσῃσιν ἐλάσσονας ἡμέρας, ἐπὶ δὲ τῇσι γεραιτέρῃσι πλέονας. 11 παθήματα δὲ ταυτά ἐστι περὶ λοχείων φθειρούσῃ τε τὸ ἔμβρυον καὶ τεκούσῃ, ἢν μηνιαῖον φθείρῃ τὸ παιδίον. 12 καὶ κινδυνεύουσιν αἱ φθείρουσαι μᾶλλον. 13 αἱ γὰρ φθοραὶ τῶν τόκων χαλεπώτεραί εἰσιν. 14 οὐ γάρ ἐστιν οὐ βιαίως φθαρῆναι τὸ ἔμβρυον, ἢ φαρμάκῳ, ἢ ποτῷ, ἢ βρωτῷ, ἢ προσθέτοισιν, ἢ ἄλλῳ τινί. 15 βίη δὲ πονηρόν ἐστιν. 16 ἐν γὰρ τῷ τοιούτῳ κίνδυνός ἐστι τὰς μήτρας ἑλκωθῆναι ἢ φλεγμῆναι. 17 τοῦτο δέ ἐστιν ἐπικίνδυνον.

XCIX. Τὸ δὲ γάλα ὅκως γίνεται, εἴρηταί μοι ἐν τῇ φύσει τοῦ παιδίου τοῦ ἐν τόκῳ. 2 ἐπὴν δὲ κυίσκηται ἡ γυνή, καταμήνια οὐ μάλα χωρέει, πλὴν ἔστιν ᾗσιν ὀλίγα. 3 τρέπεται γὰρ ἐς τοὺς μαζοὺς τὸ γλυκύτατον τοῦ ὑγροῦ, ἀπό τε τῶν σιτίων καὶ τῶν ποτῶν, καὶ ἐκθηλάζεται. 4 καὶ ἀνάγκη ἐστὶ καὶ τὸ ἄλλο σῶμα κεκενῶσθαι μᾶλλον, καὶ ἧσσον πλῆρες γίνεσθαι τοῦ αἵματος. 5 τοῦτο οὕτως γίνεται. 6 εἰσὶ δὲ, αἵτινες φύσει ἀγάλακτοί εἰσι, καὶ σφέας ἐπιλείπει τὸ γάλα πρὸ τοῦ καιροῦ. 7 αὗται δὲ φύσει στερραί εἰσι καὶ πυκνόσαρκοι· 8 καὶ διὰ τοῦτο οὐ διέρχεται ἐπὶ τοὺς μαζοὺς ἀρκοῦσα ἰκμὰς ἀπὸ τῆς κοιλίης, πυκνῆς τῆς ὁδοῦ ἐούσης.

C. Ἐπιμήνια καταστᾶται. 2 ἐλατηρίου δύο πόσιας· 3 ξυμμίσγεται δὲ στέαρ οἰὸς ἀπὸ τῶν νεφρῶν, ἴσον τῷ ἐλατηρίῳ μὴ διατρίψας. 4

πρίεσθ

viginti diebus contingit. 9 Et in his quæ fœtus corruperunt secundum horum dierum rationem purgatio contingit, 10 & in junioribus quæ corruperunt paucioribus diebus: in senioribus autem, pluribus. 11 Eædem vero sunt affectiones ex puerperii purgamentis, & ei quæ corrupit fœtum, & ei quæ peperit, si menstruum corruperit fœtum, 12 & quæ corruperunt, magis periclitantur. 13 Corruptiones enim graviores sunt quam partus. 14 Non enim fieri potest ut citra violentiam fœtus corrumpatur, aut pharmaco, aut potu, aut cibo, aut subdititiis medicamentis, aut aliqua alia re. 15 Violentia vero malum est. 16 In hujusmodi enim periculum est ne uteri exulcerentur, aut inflammentur. 17 Hoc autem est periculosum.

XCIX. At vero lac quomodo fiat, dictum est à me in Natura pueri in partu. 2 Postquam autem prægnans fuerit mulier, menses non valde prodeunt, præterquam quibusdam pauci. 3 Dulcissimus enim humor ex cibis ac potibus ad mammas vertitur ac exsugitur. 4 Et necesse est etiam reliquum corpus magis evacuari, & minus sanguine plenum fieri. 5 Atque hoc ita contingit. 6 Sunt autem quæ natura sine lacte sunt, & quibus lac deficit ante tempus. 7 Hæ vero natura solidæ sunt, & densæ carnis: 8 & propterea sufficiens humor non penetrat à ventre in mammas, quum via sit densa.

C. Ad menses detrahendos. 2 Elaterii potiones duas sumito, & adipem ovillum de renibus, 3 pari elaterii portione ammisceto, & non conterito, 4 verum

duas

ποιέειν δὲ δύο πρόσθετα. [5] ἢ μελάνθιον τὸ ἐκ τῶν πυρῶν τρίψας, ὕδατι φορύξαι, καὶ πρόσθετα δύο ποιῆσαι. [6] προστιθέναι δὲ ταῦτα πρὸ τῶν ἡμερῶν, ᾗσι μέλλει ἐπέρχεσθαι. [7] ποιέει γὰρ μὴ ἐξερχόμενα, ῥίγεα καὶ πυρετούς.

[8] Μαλθακτικὰ, ὑφ' ὧν καθαίρεται ὕδωρ καὶ ψάμμος, καὶ ἄγει ἐπιμήνια, ἢν μὴ πολυχρόνια ᾖ, καὶ τὸ στόμα μαλθάσσει. [9] νάρκισσον, σμύρναν, κύμινον, καὶ λιβανωτὸν, ἀψίνθιον, κύπερον, ἴσον ἑκάστου, ναρκίσσου δὲ μόνον μοίρας τέσσαρας, [10] ἐπικτένιον ὠμοῦ λίνου ξυμμίξας, ταῦτα τρίβειν ὀριγάνου ἑψημένου ξὺν ὕδατι, καὶ ποιέειν βάλανον, καὶ προστιθέναι. [11] ἢ καὶ κυκλαμίνου μέγεθος ὅσον ἀστράγαλον καὶ ἄνθος χαλκοῦ ὅσον κύαμον τρίψας μέλιτι δεῦσαι, καὶ ποιῆσαι βάλανον, καὶ προστιθέναι. [12] ἢ γλήχωνα, ἢ σμύρναν, λιβανωτὸν, ὑὸς χολήν τε καὶ βοὸς ἐν μέλιτι ἀναφυρᾶσθαι καὶ ἀναπλάττειν βάλανον.

[13] Ἢν τὰ ἐπιμήνια μὴ γίνηται, χηνὸς ἔλαιον, καὶ νέτωπον, καὶ ῥητίνην ξυμμίσγουσα, προστιθέναι πρὸς εἰρίῳ ἀναλαμβάνουσα.

[14] Πρόσθετον καθαρτικὸν μαλθακτικόν. [15] Ἰσχάδα λαβὼν, ἑφθὸν ποιέειν, καὶ ἀποπιέσας τρίβειν ὡς λειότατον· εἶτα πρόσθες ἐν εἰρίῳ. [16] ἢ καὶ ῥοδίνῳ μύρῳ τὸ δριμὺ κράμβης πηγάνου ἑκατέρου ἥμισυ τρίψας, τὸν αὐτὸν τρόπον χρέο.

[17] Καθαρτικόν. χηνὸς μυελὸν, ἢ βοὸς, ἢ ἐλάφου ὅσον κύαμον, παραχέοντα μύρον ῥόδινον, καὶ γάλα γυναικὸς, τρίβειν ὡς φάρμακον τρίβεται· εἶτα ἐν τούτῳ ἀλείφειν τὸ στόμα τῶν μητρέων. [18] Ἕτερον πρόσθετον καθαρτικόν. χηνὸς μυελὸν ὅσον

duas glandulas subdititias facito. [5] Aut melanthium ex tritico terito, & aqua subigito, & duas glandulas formato, [6] atque has ante dies quibus affuturi sunt apponito. [7] Si enim non prodeunt, rigores ac febres inducunt.

[8] Mollitoria, à quibus aqua & arena purgatur, ducunt etiam menses, si non fuerint diuturni, & osculum emolliunt. [9] Narcissum, myrrham, cuminum, thus, absinthium, cyperum, singula æqualibus portionibus sumito, narcissi vero solum quatuor portiones: [10] & pulvillum stuppæ dum pectinatur crudum linum ammisceto, & hæc cum aqua origani cocti terito, ac glandem formato & subdito. [11] Aut cyclaminum magnitudine tali, & æris florem magnitudine fabæ terito, & cum melle glandem formato, ac apponito. [12] Aut pulegium, myrrham, thus, fel suis ac bovis, cum melle subigito, & glandem efformato.

[13] Si menses non prodeant, adipem anseris, & netopum, ac resinam permixta ac lana excepta apponito.

[14] Medicamentum subditi-tium, purgatorium, mollitorium. [15] Caricam percoctam ac expressam levissime terito, & in lana subdito [16] cum rosaceo unguento: aut acris brassicæ & rutæ, utriusque dimidium terito, ac utitor eodem modo.

[17] Purgatorium. Medullam anseris aut cervi magnitudine fabæ affuso unguento rosaceo & lacte muliebri terito, velut pharmacum teri solet, & cum hoc os uteri illinito. [18] Aliud subdititium molle. Medullam anseris

45 ὅσον κάρυον, κηρὸν ὅσον κύαμον, ῥητίνης σχινίνης ἢ τερεβινθίνης ὅσον κύαμον, ταῦτα τήξας ξὺν μύρῳ ῥοδίνῳ ἐπὶ πυρὸς μαλθακοῦ, ποίησον ὡς κηρωτήν· εἶτα τούτῳ χλιηρῷ ἐναλείφειν τὸ στόμα τῆς μήτρης, καὶ τὸν κτένα καταβρέχειν. 19 Ἕτερον καθαρτικόν. ἄλευρον σητάνιον, σμύρνης τριώβολον, κρόκου τὸ ἴσον, καστορίου ὀβολόν· ταῦτα τρίψας μύρῳ ἰρίνῳ προστιθέσθω. 20 ἢ κνίδης καρπὸν, καὶ μαλάχης χυλὸν, καὶ χηνὸς στέαρ ἅμα ξυμμίξαντα 324 354 προσθεῖναι. 21 Πρόσθετον ἄλλο καθαρτικὸν, ἢν τὰ γυναικεῖα μὴ φαίνωνται. 22 στύρακα καὶ ὀρίγανον τρίψας λεῖον καὶ συμμίξας ἐπίχεαι χηνὸς ἔλαιον, καὶ προστιθέναι. 23 Ἕτερον καθαρτικὸν πρόσθετον, ὥστε μήτρας ἐκκαθαίρειν, καὶ αἷμα ἐκκενοῦν. 24 ἀψινθίου ῥίζαν τρίψας λείην, μέλιτι καὶ ἐλαίῳ χηνὸς μίξας, προστιθέναι. 25 Ἕτερον πρόσθετον καθαρτικόν. βουπρήστιος ἀφελεῖν κε- 326 5 φαλὴν, καὶ πόδας, καὶ πτερὰ, τὰ δ' ἄλλα αὐτοῦ τρίβειν, καὶ ξυμμίσγειν τοῦ σύκου τὸ ἔνδον. 26 διπλάσιον δὲ τοῦ σύκου, τὸ πῖον ἔστω. 27 τοῦτο φυσᾷ τὰς ὑστέρας. 28 τοῦτο καὶ ταῖς ἀπαυδη- 327 σάσαις ἄριστον. 29 ἢ λινοζώστιος τὰ φύλλα λεῖα πρόσθετα ποιέειν. 30 τοῦτο λεπτὴν ἄγει χολώδεα κάθαρσιν. 31 καὶ ἡ ἀρτεμισίη ποιέει ὡς ἡ λινόζωστις, καὶ καθαίρει κρεῖττον. 32 ἐλλέβορος μέλας ἐν ὕδατι λεῖος ἄγει καὶ οὗτος οἷον ἀπὸ κρεῶν ὕδωρ. 33 καὶ στυπτηρίη δὲ, καὶ ῥητίνη, τὸ αὐτὸ δρᾷ. 34 10 κύπερος, ἀψίνθιον, ἀριστολοχίη, κύμινον, ἅλες, μέλι· ταῦτα πάντα ἐν τῷ αὐτῷ τρίβειν, καὶ προστιθέ- 328 ναι. 35 καὶ ἐλλέβορος ἐν οἴνῳ γλυκεῖ μετὰ ἀλεύρου αἰρῶν καὶ πυρῶν μέλιτι φυραθεὶς ἐν ἐρίῳ προστιθέσθω.

magnitudine nucis, ceram magnitudine fabæ, resinæ lentiscinæ aut terebinthinæ magnitudine fabæ: hæc cum rosaceo unguento ad lentum 381 ignem liquefacito, & velut ceratum efficito: deinde ex hoc tepido os uteri illinito, & pectinem irrigato. 19 Aliud purgatorium. Farinam recentem, myrrhæ obolos tres croci tantundem, castorii obolum, hæc trita cum unguento irino apponat. 20 Aut urticæ semen, & malvæ succum, ac anseris adipem simul permixta subdat. 21 Aliud subditicium purgatorium, si menses non compareant. 22 Styracem & 385 origanum terito, & permixtis adipem anserinum affundito ac apponito. 23 Aliud quod uteros expurgat, ac sanguinem evacuat. 24 Absinthii radicem tritam, melle ac adipe anserino ammixtis apponito. 25 Aliud purgatorium. De bupresti caput & pedes & alas tollito, & reliquum ipsius terito, ac ficus internam partem ammisceto. 26 Sit autem pinguetudinis ficus portio dupla. 27 Hoc uteros inflat. 28 Hoc etiam desperatis 390 optimum est. 29 Aut mercurialis folia trita subdito. 30 Hoc tenuem biliosam purgationem ducit. 31 Sed & artemisia facit velut mercurialis, & melius purgat. 32 Veratrum quoque nigrum cum aqua tritum, velut aquam à carnibus ducit. 33 Sed & alumen ac resina idem facit. 34 Cyperum, absinthium, aristolochiam, cuminum, salem, mel; hæc omnia simul terito ac apponito. 35 Et veratrum cum vino dulci, & farina lolii 395 ac tritici, melle subacta, in lana subdatur.

ὑποτιθέσθω. 36 Πρόσθετα, ἢν μὴ τὰ καταπότια καθαίρῃ. 37 Λινόζωστιν, σμύρναν, λευκόϊον, κρόμμυον ὡς δριμύτατον, καὶ μελάνθιον, καὶ τὸ ἡδύοσμον, ἢν ὑποφέρῃ, συμμίξας προστίθει. 38 Πρόσθετα δριμέα ἄγοντα αἷμα. κανθαρίδας πέντε πλὴν τῶν ποδῶν καὶ τῶν κεφαλῶν, καὶ σμύρναν καὶ λιβανωτὸν ἅμα συμμίσγειν, καὶ μέλι μετ' αὐτῶν. 39 Ἔπειτα βάψας ἐς ἄλειφα ῥόδινον ἢ αἰγύπτιον, προστιθέσθω τὴν ἡμέραν, καὶ ἐπὴν δάκνηται, ἀφαιρέεσθαι καὶ βαπτίζειν πάλιν ἐς γάλα γυναικὸς, καὶ μύρον αἰγύπτιον, 40 προστιθέσθαι δὲ τοῦτο ἐς νύκτα, 41 καὶ διανίζεσθαι ἐν ὕδατι εὐώδει· προστιθέναι δὲ στέαρ. 42 ἁρμόζοι δ' ἂν βούπρηστις, ἢν μὲν σμικρὴ ᾖ, ἄνευ πτερῶν καὶ ποδῶν καὶ κεφαλῆς· 43 ἢν δὲ μεγάλη ᾖ, μὴ συμμίσγειν τοιαῦτα ἃ καὶ τῇσι κανθαρίσιν, ἀλλὰ μόνον τιθέναι καὶ προστιθέναι ὁμοίως. 44 ἢν δὲ μαλθακωτέρου δέηται, τῇ βουπρήστει μίξαι οἶνον καὶ κύμινον αἰθιοπικὸν, ἀσταφίδα τε καὶ πάλην σεσέλιος καὶ ἀννήσου, 45 καὶ ἀναζέσαι τὸν οἶνον, ἀποχέας δὲ τρῖψαι λεῖον, καὶ πλάσαι φθοΐσκους ὅσον δραχμιαίους. 46 τούτους προστιθέναι σμύρναν καὶ λιβανωτὸν μίσγοντα. 47 ποιέειν δὲ τὸν αὐτὸν τρόπον, ὅνπερ ἐπὶ τῇσι κανθαρίσι. 48 μελάνθιον τὸ ἐκ τῶν πυρῶν τρίβοντα λεῖον μέλιτι φυρῶντα προστιθέναι. 49 ἢ αὐτὸ τοῦτο τὸ μελάνθιον τρίβοντα μετὰ μέλιτος ποιέειν οἷον βάλανον. 50 πτερῷ δὲ περίπλασσε. 51 Πρόσθετον ἐνεργόν. ὀπὸν μανδραγόρου καὶ κολοκύντης ἀγρίης ξὺν γάλακτι γυναικείῳ πρόσθες· 52 ἢ τρύγα ξηρὴν ἐξ οἴνου παλαιοῦ λευκοῦ καίειν, καὶ οἴνῳ σβέσαι. 53 καὶ κολοκύντην ἀγρίην, λινο-

subdatur. 36 Subdititia, si catapotia non purgarint. 37 Mercurialem, myrrham, violam albam, cepam acerrimam, & melanthium ac mentam, si sufferat, permixta apponito. 38 Subdititia acria sanguinem ducentia. Cantharidas quinque demptis pedibus ac capitibus, & myrrham ac thus simul misceto, & mel addito. 39 Deinde in oleum rosaceum aut ægyptium tinctum per diem subdat, & ubi mordet, tollat: & rursum in lac muliebre ac unguentum ægyptium tingat, 40 & hoc per noctem apponat: 41 & aqua odorata perluat, & adipem subdat. 42 Conduxerit & buprestis, si quidem parva fuerit, sine alis & pedibus ac capite. 43 Si vero magna fuerit, non commisceto eadem quæ cantharidibus, sed solam sumito ac similiter apponito. 44 Si vero molliore opus habuerit, ad buprestim vinum & cuminum æthiopicum ammisceto, uvam item passam & pollinem seselis ac anisi: 45 & vinum fervefacito, eoque affuso reliqua terito, & pastillos drachmales efformato, 46 eosque apponito myrrha ac thure ammixtis: 47 facito autem eodem modo velut cum cantharidibus. 48 Aut melanthium ex tritico, tritum ac melle subactum apponito. 49 Aut hoc ipsum melanthium cum melle tritum velut glandem efficito, 50 circum pennam autem obducito. 51 Subdititium efficax. Succum mandragoræ & cucurbitæ sylvestris, cum lacte muliebri apponito. 52 Aut fecem siccam ex vino veteri albo urito, & vino extinguito ac subdito. 53 Cucurbitam item sylvestrem, mercurialem, ni-

λινοζώσιν, νίτρον, καὶ ἐρύσιμον. [54] θᾶσσον καθαιρεῖ καὶ μανδραγόρου ῥίζα, κανθαρὶς, ἕρπυλος, δάφνης καρπὸς, μύρον ἴρινον, δάφνινον. [55] τιθυμάλλου τὸν ὀπὸν μίσγειν, καὶ ἀνακυκᾶν, καὶ τὸ ἰξὸν ἀφαιρέειν, καὶ διδόναι ὅσον ὄροβον. [56] καὶ προσθετὸν ποιῆσαι, ἄριστον. [57] ἢν δὲ πλεῖον ἴοι, οἴνῳ προσκλυζέσθω. [58] ἢ ὀπτὸν χαλκὸν ἐνδιεὶς, χλιηρὸν ἀναλαμβάνειν ἐρίῳ, καὶ προστιθέναι.

CI. Κυητήριον. κεδρίης ἐμβάφιον, στέατος βοείου δραχμὰς τέσσαρας, λεῖα τρίψας, καὶ ἐς τὸ αὐτὸ τρίψας, πεσσοὺς ποιέων, προστιθεὶς νήστει, καὶ προσκειμένη ἐκνηστευέτω τὴν ἡμέρην. [2] προστιθέσθω δὲ δὶς, πρωῒ καὶ δείλης, μετὰ τὰ καθαρμήνια, καὶ μετὰ τὸ δεῖπνον λούσθω, καὶ κοιμάσθω ξὺν τῷ ἀνδρί. [3] ἢ μελάνθιον φλάσαι, καὶ ἐς ῥάκος ἐνδῆσαι, καὶ χηνὸς ἔλαιον ἐμβαλεῖν, καὶ δοῦναι προσθέσθαι. [4] Ἕτερον κυητήριον. γυναῖκα θεραπεύσαι, ὥστε ξυλλαβεῖν ἐν γαστρί. οὖρον λαβὼν παλαιὸν καὶ σιδήρου σκωρίην ὅσην διπλᾶ ἐς τὰ θρύμματα. [5] ἔπειτα καθίσας τὴν γυναῖκα ἐπὶ δίφρου, συγκαλύψασαν καὶ τὸ σῶμα καὶ τὴν κεφαλὴν, ὑποθεῖσα ἐς πόδας νιπτῆρα, ἐμβαλεῖν κατὰ τρία διάπυρα τὰ τῆς σκωρίης θρύμματα. [6] ἔστω δὲ τὸ παλαιὸν τοῦτο οὖρον, ὅσον χοῦς. [7] καὶ ἐν τούτοις πυριᾶν αὐτὴν. ὅσον τριήκοντα πυρίας. [8] ἐπὴν δὲ πυριήσῃς, σμῆχε τὴν κεφαλὴν τῷ οὔρῳ, ἕως ἂν πυριηθῇ, ἐναποσβεννύων πάλιν τοὺς λίθους, καὶ τὴν πυρίην πάλιν θερμαίνων. [9] μετὰ δὲ ταῦτα λοῦε κατὰ τῆς κεφαλῆς ὡς πλεῖστον, [10] ἕψων δὲ ἐν τῷ ὕδατι πόλιον καὶ τῆς λύγου ὡς πλεῖστα. [11] ταῦτα δὲ ποίεε ἡμέρας ἑπτά. [12] τρεῖς

trum & irionem. [54] Citius detrahit & mandragoræ radix, cantharis, serpyllum, lauri fructus, unguentum irinum, laurinum. [55] Tithymali succum permisceto ac agitato. & detracto visco, ervi magnitudine exhibeto. [56] Optimum est & glandem subdititiam ex eo facere. [57] Si vero amplius prodierit, vino proluatur: [58] aut æs ustum dissolvito, & tepidum lana excipito ac apponito.

CI. Medicamentum ad conceptum. Cedriæ acetabulum, adipis bubuli drachmas quatuor simul terito, & talorum figuras efformato, quas jejuna apponat: & dum appositas habet, per diem jejunet. [2] Apponat autem bis, mane & vesperi, post menses; post cœnam vero lavetur, & cum viro dormiat. [3] Aut melanthium contundito, & in linteum illigato, & adipe anserino addito, subdendum dato. [4] Aliud ad conceptum. Quo cures mulierem ut in ventre concipiat, urinam sumito veterem, & ferri recrementum tantum, ut in fragmenta resolvere possis. [5] Postea mulierem in sella collocato, & corpore & capite velato, pelvique ad pedes supposita, ignita recrementi ferri fragmenta tria pro una vice injicito. [6] Sit autem vetus hæc urina congii mensura: [7] & cum his triginta fomentis ipsam foveto. [8] Dum autem fomentum adhibes, caput lavato, ita ut donec fota fuerit rursus lapides illos recrementi ferri in urina extinguas, & fomentum rursus calefacias. [9] Postea vero caput lavato plurimum, [10] polio & viticis foliis quam plurimis in aqua coctis. [11] Hæc autem facito ad dies septem. [12] Terve-

τρὶς δὲ ὑποθυμιῆν· τούτων ἑκάστην πυρίην πρὸ τοῦ σμήχεσθαι. 13 χριέσθω δὲ ἐκ τοῦ λουτροῦ, ἐλαίῳ δαφνίνῳ. 14 μετὰ δὲ τὸ δεῖπνον φαγοῦσα κρόμμυα, ἐμβάπτουσα ἐς μέλι, καὶ μελίκρητον χλιηρὸν ὅσον κοτύλας τέσσαρας πιοῦσα· 15 ἔπειτα, ἐπὴν φάγῃ, σμικρὸν ἐπισχοῦσα ἀπεμεέτω. 16 καὶ ἀνακλιθεῖσα ὑπτίη, τὸ πήγανον ἐχέτω, καὶ ἐν τοῖσιν ὠσὶ καὶ ἐν τῇσι ῥισί. 17 καὶ ἄρτον ζυμίτην ὅσον ἕκτον μέρος χοίνικος, ἐς ζωμὸν ἐνθρύψαι ὄρνιθος, ἔχοντα σελίνου ὅσον χήμην, προσφερέσθω. 18 καὶ πάλιν διδοῦ τὸ ἴσον ἐπὶ τῷ δείπνῳ. 19 τὸ αὐτὸ δὲ ποίεε τὰς ἑπτὰ ἡμέρας. 20 ἔπειτα δὲ τὴν κοιλίην κλύζε ἡμέρας ἑπτά. 21 ἔστω δὲ κλύσμα, ῥητίνης δραχμαὶ τέσσαρες, μέλιτος ὀξύβαφον, [οἴνου] διπλάσιον, ἔλαιον ἴσον, πιτύρων σητανίων χυλὸς, νίτρου ἀφρὸς, ὠὰ λεπτά. 22 ἔστω δὲ τὸ κλύσμα, κοτύλαι ὀκτώ· τούτων αἱ τρεῖς πτισάνης χυλοῦ. 23 κλυζέτω δὲ πλαγίην, καὶ λουέσθω ὀλίγον. 24 προστιθέσθω δὲ καὶ βαλάνους ἑπτὰ τῆς ἡμέρης· κατεχέτω δὲ, ἐς τ' ἂν κατατακῇ. 25 ἔστωσαν δὲ λιβάνου, νίτρου, χαλβάνης, μέλιτος ἑφθοῦ. 26 σίτῳ δὲ χρήσθω τοῖς αὐτοῖς. 27 ὑποθυμία δὲ, ὄνου τρίχας λευκοῦ, καὶ λύκου κόπρον. 28 ἐπιβάλλε δὲ ὡς πλεῖστον ἐπ' ἀνθρακιὴν καί, περικαθίσας αὐτὴν καὶ περιστείλας, θυμία, φυλασσόμενος, μὴ κατακαύσῃς. 29 Ἕτερον κυητήριον, ἢν δὲ γυνὴ μὴ δύνηται τίκτειν πρόσθεν τίκτουσα, νίτρον, καὶ ῥητίνην, καὶ σμύρναν καὶ κύμινον αἰθιοπικὸν, καὶ μύρον τρίψας ἐν ταὐτῷ, καὶ προστιθέσθω. 30 ἢ γλήχωνα ξηρὴν ἐν ὀθονίῳ προστιθέσθω. 31 πινέτω δὲ τὴν γλήχωνα, ἐπὴν εὕδειν μέλλῃ. 32 Ἕτερον κυητήριον. δίαιταν δεῖ τὴν γυναῖκα, ἥτις δεῖται κυῆσαι, καὶ διδόναι

Ter vero per singula hæc fomenta suffito, antequam laves. 13 A balneo vero oleo laurino inungatur. 14 Post cœnam autem, ubi cepas melle tinctas comedit, & aquam mulsam tepidam quatuor heminarum mensura bibit, 15 & paululum continuit, vomat: 16 & supina reclinata, rutam habeat auribus & naribus inditam. 17 Et panem fermentatum sexta chœnicis parte, in jusculum volucris confringat, habeat autem hoc jusculum apii chemam; & sic assumat; 18 & rursus tantundem in cœna dato. 19 Et hoc per dies septem facito. 20 Postea vero ventri per dies septem clysterem adhibeto. 21 Sit autem infusum clysteris, resinæ drachmæ quatuor, mellis acetabulum, olei platæensium tantundem, furfurum recentium succus, spuma nitri, ova tenuia. 22 Sit autem infusum heminæ octo, & ex his tres succi prisanæ. 23 Obliquæ vero clysterem adhibeto, & parum lavato. 24 Apponat etiam glandes septem in die, & detineat donec fuerint liquefactæ. 25 Sint autem ex thure, nitro, galbano, melle cocto. 26 Cibo vero eodem utatur. 27 Suffito autem asini albi pilos, & lupi stercus. 28 De his plurimum prunis injice, ipsamque circumlocatam ac contectam suffito, cavendo ne comburas. 29 Si vero mulier parere nequeat quæ prius peperit, nitrum & resinam, & myrrham, & cuminum æthiopicum, & unguentum simul terat, & apponat. 30 Aut pulegium siccum in linteo subdat. 31 Bibat autem pulegium ubi dormire volet. 32 Aliud ad conceptum. Victus rationem mulieri constituere oportet, quæ prægnans fieri

δύναμαι αὐτῇ, ἅπερ δέοι ἐσθίειν καὶ πίνειν. 33 τῷ δὲ ἀνδρὶ τῆς γυναικὸς τὰ ἄλλα, πλὴν σκορόδου, καὶ κρομμύων, καὶ ἔτνεος, καὶ ὀποῦ σιλφίου, καὶ ὅσα φυσητικά· τούτων δὲ ἀπεχέσθω. 34 Ὁμοίως ἔγχυτον κυητήριον, εἰ μὴ κυΐσκοιτο. γάλα γυναικὸς κουροτρόφου, 15 σίδης νεαρῆς τοὺς κόκκους τρίψας, καὶ ἐκπιέσας τὸν χυλὸν, καὶ χελώνης θαλασσίης τὸ περίνεον καὶ κατακαύσας τρίψας, ἐγχέαι ἐς τὸ αἰδοῖον. 35 Ὁμοίως ἔγχυτον κυητήριον μὴ κυούσῃ. γάλα, καὶ ῥητίνην, καὶ σίδης γλυκείης χυλόν· ταῦτα ξὺν μέλιτι μίξας ἐγχεῖν πάντα. 36 Κυητήριον. βολβοῦ τοῦ λευκοῦ καρπὸν, ἢ τὸ ἄνθος τρίψας ξὺν μέλιτι, ἐν εἰρίῳ ἑλίξασα, προσθέσθω πρὸς τὰς μήτρας ἡμέρας τρεῖς. 37 τῇ δὲ τετάρτῃ μαλάχην ἀγρίην τὴν πλατύφυλλον τρίψασα, μίξαι γυναικὸς γάλακτι, καὶ ἐς εἴριον ἑλίξασα προσθέσθω. 38 εἶτα κοιμάσθω μετὰ 20 ἀνδρός. 39 προσροφεέτω δὲ γλήχωνα ἐπ' ἀλφίτοισιν ἑφθήν. 40 καὶ πινέτω γλήχωνα ἐν οἴνῳ λεπτήν. 41 337 ἢν δὲ τούτῳ μὴ ἐσακούῃ, λαβὼν 338 κόνυζαν εὔοδμον, ξυγκόψας καὶ ἐκθλίψας τὸν χυλὸν καὶ μίξας οἴνῳ, πινέτω νῆστις. 42 Ἕτερον κυητήριον. ἀσπαράγου καρπὸν πινέτω ὁμοίως ἐν οἴνῳ. 43 Ἕτερον κυητήριον. χόριον γυναικὸς καὶ τῶν σιλφέων τὰς κεφαλὰς τρίψαι, διεὶς στυπτηρίην ἐν χηνὸς στέατι, ἐν εἰρίῳ προσθέσθω πρὸς τὸ στόμα τῆς 25 μήτρης. 44 Ἕτερον ἐπὶ τοῦ αὐτοῦ. ἰὸν, χαλκοῦ ἄνθος, ἡμιωβόλιον ἑκατέρου, λιβανωτοῦ ἄρσενος, στυπτηρίης σχιστῆς, οἰνάνθης ἀμπέλου, κηκίδος, σμύρνης, σίδιον, ῥητίνην, πόλιον ὀβολὸν ἑκάστου ἐν μέλιτι τρίψας, προσθέσθω ἐπὶ

τρεῖς

fieri cupit, & ad edendum ac bibendum exhibere ipsi, quæ libenter admittit. 33 Viro autem mulieris reliqua dato, præter 458 allium, & cepam & legumina fresa cocta, & silphii succum, & quæ inflant. Ab his sane abstineat. 34 Medicamentum quod similiter infunditur si non concipiat. Lac mulieris masculum alentis, grana mali punici recentis terito, ac succum exprimito, & testudinis marinæ partem inter anum & pudendum comburito ac terito, & hæc in pudendum muliebre infundito. 35 Aliud, quod similiter infunditur non concipienti. Lac & resi- 459 nam, & mali punici dulcis succum: hæc omnia melle ammixto infundito. 36 Aliud ad conceptum. Bulbi albi semen, aut florem, cum melle terito, & lanæ involutum per triduum ad uterum apponat. 37 Quarto vero die malvam sylvestrem latifoliam terat, lacte muliebri ammixto, & lanæ involutam apponat: 38 deinde cum viro dormiat: 39 præsorbeat autem pulegium in farina coctum, 40 & 460 bibat pulegium tenue in vino. 41 Si vero huic non obediat, conyzam odoratam contundat, & expressum succum vino mixtum jejuna bibat. 42 Aliud. Asparagi semen similiter in vino bibat. 43 Aliud. Secundam mulieris, & vermium carnium capita, & alumen ægyptium, cum adipe anserino diluito, & in lana ad os uteri apponat. 44 Aliud. Æruginem, florem æris, utrunque oboli dimidii pondere, thuris 461 masculi, aluminis scissi, fructus vitis sylvestris, gallæ, myrrhæ, malicorii, resinæ, polii, singulorum obolum, in melle tritum,

per

τρισὶν ἡμέραις," δὶς τῆς ἡμέρας. 45 ἢν δ' ἴσως δριμύτερον ᾖ, παραμίσγειν χηνὸς στέαρ, καὶ νίτρον ὀπτόν. 46 διδόναι δὲ οἶνον, φεύγοντα τὸ ἐν αὐτῷ μένος. 47 Ἕτερον κυητήριον. σκώληκα, ἥτις ἔχει τὴν κέρκον, λαβὼν ἀπ' αὐτῆς τρεῖς ἢ τέτταρας μοίρας, καὶ ὀρίγανον λεπτὴν τρίψας ἐν ῥοδίνῳ μύρῳ, προστιθέτω" πρὸς τὸ στόμα τῆς μήτρης. 48 Ἕτερον κυητήριον. ἀνδράχνην τρίψας μετὰ στέατος χηνὸς καὶ σμύρνης, καὶ πράσου σπέρματος, καὶ βοὸς χολῆς ἐν εἰρίῳ ἐνελίξας, τιθέναι πρὸς τὸ στόμα τῆς μήτρης.

49 Ἢν τὰ μὲν καταμήνια γίνηται πολλὰ, οὐ ξυλλαμβάνῃ δὲ, χαλκοῦ ἄνθος ὀβολοὺς δύο, καὶ στυπτηρίης σχιστῆς ὡσαύτως, τρίψας λεῖα ἐν μέλιτι, 50 εἶτα ἐν εἰρίῳ ἀναποσπογγίσας, ἐνδησάσθω ἡ γυνὴ τὸ εἴριον" ἐς ὀθόνιον λίνεον, προσθέτω ἕως ἔσω αὐτῆς· τὸ δὲ λίνον ὑπερεχέτω. 51 εἶθ', ὅταν καλῶς καθαρθῇ, ἀφελέτω. 52 καὶ οἶνον ἀναζέσας εὐώδεα, μυρσίνης φύλλα ἐμβαλὼν, τούτῳ προσκλυζέσθω. 53 καὶ ἴτω πρὸς τὸν ἄνδρα. 54 Κυητήριον προσθετόν. μέλι, σμύρναν, μυρίκης τὸν καρπὸν, ῥητίνην ὑγρὴν, χηνὸς ἄλειφα, τρίψας ἅπαντα τὸ αὐτό, ἐν εἰρίῳ ἐνελίξασα προστιθέσθω. 55 Κυητήριον προσθετὸν, σφόδρα ἀναστομῶσαι μήτρην δυνάμενον, ὅταν μεμύκῃ καὶ μὴ δύνηται κυῆσαι, καὶ ὕδωρ ἐκκαθαῖρον. 56 λαβὼν χειράδα τὴν μικρὴν, καὶ σχῖνον, καὶ κύμινον, καὶ κύπειρον, καὶ ἀγρίην κολοκύντην, καὶ νίτρον ἐρυθρὸν, καὶ ἅλα αἰγύπτιον, καὶ χειράδα τὴν μεγάλην, ταῦτα πάντα λεῖα ποιήσας δι' ὀθονίου διηθῆσαι. 57 λαβὼν δὲ μέλι ἕψησον ἐπὶ πυρὶ μαλθακῷ· ἐπὴν δὲ ζέσῃ,

παρα-

per triduum bis in die apponat. 45 Si vero fortassis acrius fuerit, anseris adipem ac nitrum tostum ammisceto. 46 Vinum autem exhibeto, fortitudinem in ipso vitans. 47 Aliud ad conceptum. Vermem carnium qui caudam habet accipito, & de ipso tres aut quatuor 'partes sumito, & origanum tenuem simul cum rosaceo unguento terito, & hoc ad uteri os apponat. 48 Aliud. Portulacam cum adipe anserino, & myrrha, & porri semine, & felle bubulo terito, & lanæ involuta ad os uteri apponito.

49 Si menses quidem fiant multi, non concipit autem, floris æris obolos duos, & aluminis scissi tantundem, cum melle terito, 50 & lana excipito. Illiget autem mulier lanam in 'linteum cum filo, sibiipsi subdat, ita ut filum extra promineat. 51 Deinde quum probe purgata fuerit extrahat, 52 & vino odorato myrti foliis injectis fervefacto proluat, 53 & virum accedat. 54 Subdititium ad conceptum. Mel, myrrham, myricæ fructum, resinam liquidam, adipem anserinum, omnia simul trita lanæ involuta apponat. 55 Aliud, quod uterum valde aperire potest, quum conclusus ' est, & concipere non potest, & ad aquam expurgandam. 56 Accipe anchusam parvam, & lentiscum, & cuminum, & cyperum, & cucurbitam sylvestrem, & nitrum rubrum, & sal ægyptium, & anchusam magnam. Hæc omnia trita per linteum rarum excernito, 57 & acceptum mel ad lentum ignem coquito, postquam vero efferbuit, ceram ac resinam

ammis-

παράμιξον κηρὸν [καὶ] ῥητίνην. ἔπειτα ξυμμίξας πάντα, ἔλαιον ἐπιχέας καὶ ἀφελὼν χλιήνας, " εἴριον 343 45 ἐγκυλινδῶν ἐνελίξας, ' προστιθέτω τῇ μήτρῃ, μέχρις ἂν καθαρθῇ. 58 " Ἕτερον κυητήριον. Ἢν γυναῖκα βούλῃ κυῆσαι, καὶ τοῖσι καθαρτηρίοισιν ᾗτις χρῆται, καὶ δεῖ πρὸς τὸν ἄνδρα ἰέναι, καὶ δαφνίδας μέλανας δέκα, λιβανωτοῦ δὲ δραχμίδας τρεῖς, καὶ κύμινον ὀλίγον τρίψας ἐν μέλιτι, ἐς εἴριον πινῶδες ἐγκυλίων, ἅπαξ τῆς ἡμέρης τῇ αὐτῇ προστιθέσθω, καὶ ἀφαιρείσθω ἅπαξ ἕως ἡμερῶν τεσσάρων, καὶ ἔπειτα ἀσιτείτω " τὰς 343 αὐτὰς ἡμέρας.

CII. " Ἀτόκιον. 2 Ἢν μὴ δέῃ 344 256 κυΐσκεσθαι, μίσυος, ' ὅσον κύαμον διεὶς ὕδατι, πίνειν διδόναι. 3 καὶ ἐνιαυτὸν, ὡς ἔπος εἰπεῖν, οὐ κυήσεται.

CIII. Ὠκυτόκια δυστοκεούσῃ. Δάφνης ῥίζαν ξύσας ἢ τοὺς κόκκους ὅσον ἥμισυ ὀξυβάφου ἐν ὕδατι δὸς πιεῖν θερμήνας. 2 Ὠκυτόκιον. Δικτάμνου ὅσον δύο ὀβολοὺς τρίψας ἐν ὕδατι θερμῷ πινέτω. 3 ἢ ἀβροτόνου δραχμὴν, " καὶ κεδρίδας ἢ ἀνήσου 345 ἐντρίψας ἐν γλυκέος οἴνου κυάθῳ, ' 5 παραχέας ὕδατος οὐρανίου κύαθον, δὸς πιεῖν. 4 τοῦτο καλὸν δίδοται, ἢν πρὸ τῶν ὠδίνων δοθῇ. 5 ἢ δικτάμνου ὀβολὸν, σμύρνης ὀβολὸν, ἀνήσου δύο ὀβολοὺς, νίτρου ὀβολόν. 6 ταῦτα τρίψας διὰ γλυκέος οἴνου, ἐπιχέας κύαθον, " καὶ ὕδατος θερ- 346 μοῦ κυάθους δύο, δὸς πιεῖν. εἶτα λοῦσον θερμῷ. 7 Ὠκυτόκιον. ῥητίνην τερμινθίνην, μέλι, ἔλαιον διπλάσιον τούτων, οἶνον εὐώδεα ὡς ἥδιστον. 8 ταῦτα συμμίξας, χλιήνας, διδόναι ἐκπιεῖν πλεονάκις. 9 " κα- 347 10 ταστῆσαι δὲ χρὴ καὶ ' τὰς μήτρας, ἢν φλεγ-

ammisceto. Deinde etiam aliis omnibus ammixtis oleum ' af- fundito, ac ab igne tollito: & tepida lanæ convolutæ involuta utero apponito, donec purgata fuerit. 58 Aliud. Si mulierem concipere velis, ad purgatoria quibus utitur, etiam virum accedere oportet. Et baccas lauri nigras decem, thuris pugillos tres, & cumini modicum, cum melle trita in lanam succidam involvat, & semel in die subdat, & semel auferat, ad quatuor dies, & iisdem diebus à cibo ' absti- 490 neat.

CII. Conceptum impediens. 2 Si vero concipere non oporteat, misyos magnitudinem fabæ aqua diluito, ac bibendam dato: 3 & per annum, ut ita dicam, non concipiet.

CIII. Partum accelerans ægre parienti. Lauri radicem derasam, aut lauri baccas dimidii acetabuli mensura in aqua calefacta bibendas dato. 2 Aliud, partum accelerans. Dictamni obolos duos tritos in aqua calida bibat. 3 Aut ' abrotoni drachmam, & 491 lauri baccas, & anisum, in vini dulcis veteris cyatho terito, & aquæ cyatho affuso bibendum dato. 4 Hoc bonum est, si ante partus dolores fuerit datum. 5 Aut dictamni obolum, myrrhæ obolum, anisi obolos duos, nitri obolum. 6 Hæc cum vini dulcis cyatho uno terito, & aquæ calidæ cyathis duobus affusis bibenda dato, deinde calida lavato. 7 Aliud, partum accelerans. Resinam terebinthinam, ' mel, 492 oleum duplum horum, vinum odoratum quam suavissimum. 8 Hæc mixta tepefacta sæpe ebibenda dato. 9 Oportet autem & uteros sedare, si fuerint inflammati.

φλεγμαινούσῃσιν. 10 Ἕτερον ὠκυτόκιον. τοῦ σικύου τοῦ ἀγρίου, ὅστις ἤδη λευκὸς ᾖ, τὸν καρπὸν ἐμπλάσσειν κηρῷ, εἶτα εἰρίῳ ἐνελίξας φοινικῷ, περίαψον περὶ τὴν ὀσφύν. 11 Ἢν δὲ κύουσα πουλὺν χρόνον ἐπέχηται, καὶ μὴ δύνηται τεκεῖν, ἀλλ' ὠδίνῃ πλείους ἡμέρας, 12 νέη δὲ ᾖ καὶ ἀκμάζῃ, καὶ πολύαιμος· 13 τάμνειν χρὴ τὰς ἐν τοῖσι σφυροῖσι φλέβας, καὶ ἀφαιρέειν τοῦ αἵματος, πρὸς τὴν δύναμιν ὁρῶν. 14 καὶ μετὰ ταῦτα λοῦσαι θερμῷ διὰ φλοιῶν δάφνης. 15 πιεῖν δὲ δοῦναι ἄγνου καρπὸν, καὶ δίκταμνον κρητικὸν, ἴσον ἑκατέρου ἐν οἴνῳ λευκῷ ἢ ἐν ὕδατι. 16 πρόσθετον δὲ ποιήσας χαλβάνην, καὶ δαφνίδας, καὶ ῥόδινον ἔλαιον, ταῦτα ἐν εἰρίῳ ἐνελίξας πρόσθες. 17 Ὠκυτόκιον. τῆς δρυοπτέριδος τὴν ῥίζαν τρίψας, ἐν οἴνῳ δὸς πιεῖν. 18 καὶ ἀδίαντον τρίψας, ἐν ἐλαίῳ διεὶς ἀλείφειν ἐν οἴνῳ ἀκρήτῳ.

CIV. Λυχοῖ τὰ λοχεῖα καθαίρει ἄμεινον. χελώνης θαλασσίης ἧπαρ χλωρὸν ἔτι ζώσης ἐν γάλακτι γυναικείῳ τρίβειν, καὶ ἴρινον μύρον καὶ οἶνον ἀναδεῦσαι καὶ προσθεῖναι. 2 ἢ λινόζωστιν τρίψας ἐν εἰρίῳ πρόσθες. 3 ἢ ἀρτεμισίην τρίβων ὁμοίως ἐν εἰρίῳ προστιθέναι. 4 καὶ λινόζωστιν καὶ σικύης ὀλίγον τρίψας, ἐν οἴνῳ τε καὶ μέλιτι δεύσας προστιθέναι.

5 Ἐκ τόκου καθαρτήριον λοχείων. πυροὺς τριμηνιαίους ἐρείκειν ὅσον ἥμισυ χοίνικος ἑψῆσαι ἐν ὕδατι κοτύλῃσι τέσσαρσιν. ὅταν δὲ ζέσῃ, δὶς ἢ τρὶς δοῦναι ῥοφῆσαι. 6 Ἕτερον. τῆς ἀκτῆς τὰ φύλλα ἑψήσας ἐν ὕδατι ἐπι-

χέαι

mati. 10 Aliud. Cucumeris sylvestris quicunque albus fuerit semen ceræ infarcito: deinde lanæ puniceæ involutum lumbis alligato. 11 Si vero prægnans multo tempore cohibeatur, & parere non possit, sed diebus pluribus ex partus doloribus labo-ret: 12 sit autem juvenis, in vigore, & multo sanguine referta: 13 secare oportet venas in malleolis, & sanguinem detrahere, virium respectu habito: 14 & postea lauri corticibus incoctis lavato. 15 Viticis autem semen, & dictamnum creticam utrunque pari portione, in vino albo aut aqua bibendum dato. 16 Subdititium autem medicamentum facito, galbano, & baccis lauri, & oleo rosaceo, in lana involutis ac subditis. 17 Aliud. Filicis quercinæ radicem tritam in vino bibendam dato, 18 & adiantum tritum in oleo dilutum illinendum, & in vino meraco bibendum dato.

CIV. Aliud, quod puerperæ puerperii purgamenta melius purgat. Testudinis marinæ hepar viride adhuc viventis, in lacte muliebri terito, & cum unguento irino ac vino subigito, & apponito. 2 Aut mercurialem tritam in lana apponito. 3 Aut artemisiam tritam similiter in lana subdito. 4 Aut mercurialis & cucumeris sylvestris parum terito, & vino ac melle subactum apponito.

5 Purgatorium puerperii purgamentorum ex partu. Triticum trimestre fractum ac fresum, dimidiæ chœnicis mensura, in aquæ heminis quatuor coquito. Quum autem efferbuerit ter aut quater, sorbendum dato. 6 Aliud. Sambuci folia in aqua coquito, &

aquam

25 χέειν καὶ πίνειν. 7 τρωγέτω δὲ καὶ κράμβας ἑφθὰς, καὶ πράσα, καὶ μάραθρον, καὶ ἄνηθον, καὶ πουλύποδας, καὶ καρίδας. 8 ἢ τῆς ῥοῦ τὰ 352 φύλλα καὶ ἐρύσιμον ἐν οἴνῳ, ἄλφιτα 353 παλαιῶν, δοῦναι πίνειν. 9 ἢ 354 μίσυος ὅσον δύο ὀβολοὺς τρίψας, ἐν οἴνῳ φορύξας προσθεῖναι.

10 Καθαρτήριον ἐπιμηνίων καὶ λοχείων μάλιστα, καὶ ὕδωρ ἄγει, καὶ τ' ἄλλα. 11 στρουθίου ῥίζαν λείην 355 κεκομμένην ὅσον τοῖσι τρισὶ δακτύλοισιν ἐν μέλιτι δεύσας προσθεῖναι. 12 φύεται δὲ, οἷον τὸ ἐν Ἄνδρῳ, 30 ἐν τοῖσιν αἰγιαλοῖσιν. 13 Ἕτερον καθαρτήριον ὁμοίως. ἐρύσιμον ἕψειν ἐν ὕδατι, καὶ ἐπιχέειν ἔλαιον ὅταν ἀναβλύῃ, καὶ ψύχειν, καὶ ὑποθυμιῆν. 356 14 ἀγαθὸν δὲ καὶ τὸν χυλὸν [πίνειν,] καὶ σιτίοισι μαλθακοῖσι χρέεσθαι. 15 Λοχεῖα καθαίρει. ἐρύσιμον τρίβε ἡσύχως, καὶ ἀναφυσᾶν θέλε τὸ κέλυφος. 16 ὅταν δὲ καθαρὸν ποιήσῃς, τρίβειν λείως καὶ ὕδωρ παραστάζειν, καὶ ἅλας καὶ ἔλαιον μίσγειν. 17 ὅταν δ' ἐπιπάσῃς ἄλητα, ἕψε, καὶ ῥοφείτω. 18 Ἢν μὴ 357 κατίῃ κάθαρσις, ἢ λοχεῖα μὴ γίνηται, 35 λαβὼν σικύης ἀγρίης ἐντεριώνης ὅσον τριώβολον, καὶ ἀρτεμισίην ποίην, καὶ λιβανωτοῦ ὅσον ὀβολὸν, τρίψας καὶ ἐν μέλιτι μίξας, ἐς εἴριον ἐνελίξας, προσθεὶς πρὸς τὸ στόμα τῆς μήτρης, νυκτὸς αἰεὶ καὶ ἡμέρης. ἄχρις ἡμερῶν πέντε τοῦτο ποιέειν. 19 ἢ τὸ ἀμπέλιον τρίβειν χλωρὸν, καὶ μέλιτι μίσγων ἐς εἴριον ἐνελίξας, προστιθέναι τὸν αὐτὸν τρόπον. 20 ἢ τῆς κυπαρίσσου τὸν καρπὸν καὶ λιβανωτὸν τρίψας, ἐν τῷ αὐτῷ ῥοδίνῳ διεὶς, καὶ μέλιτι ἐς εἴριον 40 ἐνελίξας, προστιθέσθω. 21 ἢ ἀβρότονον ὅσον δραχμὴν, καὶ σικύης

aquam bibendam dato. 7 Edat 351 autem & brassicas coctas, & porrum, & fœniculum, & anethum, & polypos, & locustas pisciculos. 8 Aut rhois folia & erysimum ex vino, aut polentæ pollinem bibendum dato. 9 Aut misy duorum obolorum pondere tritum ac vino subactum apponito.

10 Purgatorium mensium & puerperii purgamentorum. Ducit etiam aquam & alia. 11 Radicis struthii tusi triti, quantum tribus digitis apprehendi potest, melle subactum apponito. 12 Nascitur autem in Andro in littoribus. 13 Aliud, similiter purgans. Erysimum in aqua coquito, & ubi ebulliit oleum affundito, ac bibendum dato. 14 Commodum est etiam succum pro fomento adhibere per suffitum, & cibis mollibus uti. 15 Aliud, quod puerperii purgamenta purgat. Erysimum placide terito, & 358 corticem difflato. 16 Quum autem purum feceris, leviter terito, & aquam adstillato, salemque ac oleum ammisceto: 17 & ubi polentam insperseris coquito, ac sorbendum dato. 18 Aliud, si non descenderit purgatio, aut puerperii purgamenta non prodierint. Cucumeris sylvestris internam partem, trium obolorum pondere sume, & artemisiam herbam, & thus oboli pondere: & hæc trita, & melle ammixto, lanæ involuta, ad uteri os appone. 359 Et hoc semper noctu ac interdiu per dies quinque facito. 19 Aut vitis pampinos aut folia viridia terito, & melle ammixto lana excipito, & eodem modo subdito. 20 Aut cupressi fructum & thus simul trita, rosaceoque ac melle diluta, & lana excepta apponat. 21 Aut abrotoni drachmam,

κύης ἐντεριώνην, ὅσον ὀβολὸν, τρίψας, καὶ λιβανωτὸν ἐν μέλιτι, ἐς εἴριον ἐνελίξας, προσθεῖναι. 22 Ἢ ἐλατηρίου ὀβολὸν, καὶ σμύρνης τρίψας ἐν μέλιτι ἐς εἴριον ἐνελίξας προστιθέσθω. 23 Ἢ κυπαρίσσου καρπὸν καὶ σικύης ἐντεριώνην, καὶ λιβανωτὸν μέλιτι μίξας ἐν εἰρίῳ προστιθέσθω.

CV. Καθαρτήριον, ἢν ἐκ τόκου μὴ καθαρθῇ. Τὸ τριφύλλου ἐν οἴνῳ λευκῷ πινέτω. 2 Καὶ τὰ καταμήνια καταρρήγνυσι τοῦτο καὶ προστιθέμενον, καὶ ἔμβρυον ἐκβάλλει. 3 Μητρέων καθαρτικὸν, ὅταν τοῦ παιδίου ἀποθανόντος, αἷμα ἐμμένῃ. κολοκύντην ἀγρίην τρίψας ἐν μέλιτι λειχέτω, ἢ προστιθέσθω. 4 Λοχείης πάσης, ἢν μὴ καλῶς ἴῃ. ἐρύσιμον ἑψεῖν, καὶ ἄλφιτον, καὶ ἔλαιον ἐπιχέας, ὅταν ᾖ ἑφθὸν, ῥοφεέτω· 5 καὶ σιτίοισιν ὡς μαλθακωτάτοισι χρεέσθω. 6 Ἢ σκαμμωνίην τρίψας ἐν γάλακτι γυναικείῳ, εἰρίῳ ἀνασπογγίσας, προσθεῖναι. 7 Ἢ τῆς γλυκυσίδης μέλιτι δεύσας, καὶ ῥοδίνῳ μύρῳ ἢ αἰγυπτίῳ, ἐν εἰρίῳ προστιθέσθω. 8 Ἢ ἄλητον ἄπλυτον ὁμοίως προστιθέσθω. 9 Πινέτω δὲ κρήθμου καρπὸν καὶ σεσέλιος, πηγάνου καρπὸν, ὅσον ἑκάστου ὀβολοὺς δύο, τρίβειν ὁμοῦ, καὶ ἐν ἀκρήτῳ, ἢν μὴ πυρεταίνῃ, διδόναι.

CVI. Πρόσθετον ἐκβάλλον χορίον ἀπολελειμμένον. 2 Τῆς ἀκτῆς τὸ φύλλον προπυριῆν τε καὶ προστιθέναι τὸ ξὺν τῇ κανθαρίδι. 3 Τοῦτο καὶ ὅσα ἠπεδανὰ, ἰᾶται. 4 Ἢν δὲ ἀμύσσηται καὶ δάκνῃ, αὐτίκα ἀφαιρέειν, καὶ ἐς ῥόδινον εἴριον ἀποβάψασα προστιθέσθω. 5 Πρόσθετον δυνάμενον χορίον ἐξαγαγεῖν, καὶ ἐπιμήνια καταστῆσαι, καὶ ἔμβρυον ἀποπληκτον. 6 Κανθαρίδας

mam, & cucumeris sylvestris medullæ obolum, & thus cum melle terito, & in lana involuta apponito. 22 Aut elaterii obolum, & myrrham, cum melle terito, & lana excepta apponat. 23 Aut cupressi fructum, & cucumeris sylvestris internam partem, & thus, melle ammixto, in lana subdat.

CV. Purgatorium, si ex partu non purgetur. Trifolium in vino bibendum dato. 2 Idem etiam appositum menses erumpere facit, & fœtum ejicit. 3 Purgatorium uterorum, quum puero mortuo sanguis intus manserit. Cucurbitam sylvestrem tritam cum melle delingat, aut apponat. 4 Ad omnia puerperii purgamenta, si non probe prodeant. Erysimum coquito cum polenta, & oleo affuso ubi coctum fuerit sorbeat, 5 & cibis mollissimis utatur. 6 Aut scammoniam cum lacte muliebri tritam, ac lana exceptam apponito. 7 Aut radicem dulcem melle & rosaceo aut ægyptio unguento subactam, in lana subdat. 8 Aut farinam lotam similiter apponat. 9 Bibat autem crethmi & seselis, & rutæ, & silphii semen, ita ut de singulis obolos duos simul teras, & in vino meraco, si non febricitarit, præbeas.

CVI. Subdititium, quod secundam relictam ejicit. 2 Ex sambuci foliorum decocto prius fomentum adhibeto, & id quod ex cantharide fit apponito. 3 Hoc & ea quæ debilia sunt sanat. 4 Si vero lancinet ac mordeat, statim tollito, & lanam rosaceo tinctam subdat. 5 Potiones quæ secundam educere possunt, & menses detrahere, itemque fœtum enectum. 6 Cantharidas quinque

θαρίδας πέντε, ἀφελὼν τὰ πτερὰ καὶ τὰ σκέλεα καὶ τὴν κεφαλήν· εἶτα τρίβολον τὸν παρὰ θάλασσαν κόψας σὺν τῇ ῥίζῃ καὶ τοῖσι φύλλοισιν, ὅσον κόγχην, [6] καὶ τὸ ἀνθέμου σελίνου σπέρματος τὸ ἴσον, καὶ σηπίης ᾠὰ πεντεκαίδεκα ἐν οἴνῳ γλυκεῖ κεκρημένῳ [6] προσθεῖναι. [7] ἢν δὲ ὀδύνη ἔχῃ, ἐν ὕδατι θερμῷ 10 καθήσθω, καὶ μελίκρητον ὑδαρὲς πινέτω καὶ οἶνον γλυκύν. [8] [βατραχίου] τῶν φύλλων καὶ τοῦ [ἄνθεος] τετριμμένου, ὅσον στατῆρα αἰγιναῖον, ἐν οἴνῳ πίνειν γλυκεῖ. [9] ἢν δὲ ὀδύνη ἔχῃ, λευκοὺς ἐρεβίνθους καὶ σταφίδας ἑψήσας ἐν ὕδατι ψῦξαι, καὶ διδόναι πίνειν, ὅταν ἡ στραγγουρίη ἔχῃ, καὶ ἐν ὕδατι χλιαρῷ ἐγκαθήσθω. [10] Ἐκβόλιον ὑστέρων. σικύου ἀγρίου τὸν ὀπὸν [7] ἐς μάζιον ἐμπάσσουσα προσθεῖναι, προνῆστις δύουσα ἐπὶ δύο ἡμέρας. [11] οὐκ ἂν εὕροις τούτου ἄμεινον.

CVII. Πειρητήριον. μώλυζαν 15 σκορόδου ἀποξέσας προσθεῖναι ὁρῆν. [2] [8] Ἕτερον πειρητήριον. νέτωπον ὀλίγον εἰρίῳ ἐνελίξας προσθεῖναι, καὶ ὁρῆν, εἰ διὰ τοῦ στόματος ὄζῃ.

CVIII. Πρόσθετα. σκορπίου θαλασσίου τὴν χολήν, ἐν εἰρίῳ τιθεὶς, καὶ ξηράνας ἐν σκιῇ, προστιθέναι. [2] ἢ γλήχωνα ξηράνας, λεῖόν τε ποιήσας καὶ ἐν μέλιτι δεύσας, ἐν εἰρίῳ προστιθέναι. [3] ἢ ἄνθος χαλκοῦ ἐν μέλιτι ἐς ὀθόνιον ἐνδήσας προσθεῖναι. [4] ἢ σικύου σπέρμα [9] καὶ ὄστρακον κατακαύσας, ἐν οἴνῳ τε δεύσας, ἐν λαγωοῖσι θριξὶ ἢ εἰρίῳ προστιθέναι. [5] 20 [10] ἄλλο πρόσθετον. στυπτηρίην αἰγυπτίην ἐν εἰρίῳ κατελίξας προσθεῖναι. [6] ἢ κανθαρίδας τρίψας, οἴνῳ τε δεύσας ἐν εἰρίῳ [11] προστιθέναι. [7] ἢ τὴν ἀρτεμισίην ποίην οἴνῳ δεύσας προστιθέναι. [8] ἢ μελάνθιον τρίψας

alis & cruribus ac capite avulſis, & tribulum ad mare natum cum radice ac foliis tritum conchæ menſura, & euanthemi, ac ſeminis apii tantundem, & ſepiæ ova 367 quindecim, in vino dulci temperato bibenda dato. [7] Et ubi dolor habuerit, in aqua calida de- 368 ſideat, & aquam mulſam aquoſam bibat, & vinum dulce. [8] Alia. Ranunculi foliorum ac floris tri- 369 ti, ſtateris æginæi pondus, [i] in vino dulci bibat. [9] Si vero dolor habuerit, cicer album & uvas paſſas, in aqua coquito, perfrigerato, ac bibendum dato: & ubi urinæ ſtillicidium vexarit, in aqua tepida deſideat. [10] Aliud, quod ejicit ſecundas. Cucumeris ſylveſtris ſuccum in mazam conſperſum apponat, ubi prius 370 ad biduum jejunarit. [11] Hoc nullum aliud præſtantius inveneris.

CVII. Fœcunditatis experimentum. Caput allii integrum deraſum [l] appone, & vide an per 10 os oleat. [2] Aliud experimentum. Netopon modicum lana involutum apponito, ac videto an per os oleat.

CVIII. Alia ſubdititia. Scorpii marini fel, lana exceptum, & in umbra ſiccatum appone. [2] Aut pulegium ſiccatum & tritum ac melle ſubactum, in lana apponito. [3] Aut florem æris cum melle linteolo illigatum ſubdito. [4] Aut 371 cucumeris ſylveſtris ſemen, & teſtam combuſtam, cum vino ſubigito, & [l] leporinis pilis ac la- 11 na excepta ſubdito. [5] Aliud ſubdititium. Alumen ægyptium lanæ involutum apponito. [6] Aut cantharidas tritas vinoque ſuba- 372 ctas ſubdito. [7] Aut artemiſiam herbam vino ſubactam apponito. [8] Aut melanthium cum vino

ψας ἐν οἴνῳ, ἐν ἐρίῳ προστιθέναι. 9 ἢ βόλβιον τὸ ἐκ τῶν πυρῶν τρίψας, ἐν οἴνῳ τε δεύσας, προστιθέναι. 10 ἢ οἴνου παλαιοῦ λευκοῦ τὴν τρύγα κατακαῦσαι καὶ κατασβέσαι οἴνῳ λευκῷ, καὶ τρίψαι, καὶ προσθεῖναι ἐν ὀθονίῳ. 11 ἢ χαλβάνην, καὶ νέτωπον, καὶ μίσυ, ἐν ῥοδίνῳ μύρῳ, ἐν ὀθονίῳ. 12 Ἄλλο προσθετόν. ἐλατηρίου δύο πόσιας, καὶ κηρίον ἐν οἴνῳ ἐν ὀθονίῳ προστιθέναι. 13 ἢ βούτυρον καὶ στυπτηρίην μέλιτι δεύσας ἐν ὀθονίῳ [προστιθέναι.] 14 ἢ ὀπὸν σκαμμωνίης καὶ στέαρ ἐν μάζῃ ξυμμίξας, οἴνῳ τε δεύσας, ἐν ὀθονίῳ προστιθέναι. 15 Ἐπὶ τοῦ αὐτοῦ. κολοκυνθίδος ἀγρίης τρίψας τὸ ἔνδον ἐν γάλακτι γυναικείῳ, ἐν ὀθονίῳ προστιθέσθω. 16 Ποτὰ δυνάμενα χορίον, τὸ κατεχόμενον ἐν τῇ μήτρῃ, ἐξαγαγεῖν. σίλφιον, ὅσον κύαμον, ἐν οἴνῳ διδόναι πίνειν. 17 Ἕτερον ἐκβόλιον. ὑπὸ τὰς μασχάλας λαβὼν σείειν ἰσχυρῶς. 18 ποτὰ δὲ διδόναι ἄγνου πέταλα ἐν οἴνῳ. 19 ἢ δίκταμνον κρητικὸν ὅσον ὀβολὸν ἐν ὕδατι τρίβειν καὶ διδόναι. 20 ἢ κονύζης τῆς δυσόσμου ὅσον χειροπληθείην διεῖναι πράσου χυλῷ, καὶ νέτωπον ὅσον χήμην ἁδρήν. ταῦτα ἐν οἴνῳ δοῦναι πιεῖν, τρίψαντα λεῖα. 21 ἢ δᾷδα πιοτάτην ξὺν γλυκεῖ οἴνῳ ἑψεῖν, ἐπιχέας ὅσον τρεῖς κυάθους, καὶ χαλβάνην ὅσον τριώβολον, καὶ σμύρναν ἑψήσας, ἐπὴν δὲ παχὺ γένηται, δὸς πιεῖν χλιηρόν. 22 ἢ πράσου χυλὸν, καὶ σμύρναν, καὶ οἶνον γλυκὺν ὁμοῦ. 23 ἢ ἀνδράχνης καρπὸν λεῖον. διδοῦ δὲ ἐν οἴνῳ λευκῷ παλαιῷ. 24 ἢ αἰγείρου κρητικῆς κόκκους ἐννέα τρίψας ἐν οἴνῳ πινέτω. 25 ἢ βατράχου βοτάνης τῶν φύλλων καὶ τοῦ ἄνθεος τετριμμένου ὅσον δραχμὴν

tritum in lana subdito. 9 Aut bulbion ex tritico tritum & vino subactum apponito. 10 Aut vini veteris albi fecem comburito, & vino albo extinguito, teritoque ac in linteo apponito. 11 Aut galbanum, & netopon, & misy cum rosaceo unguento in linteo subdito. 12 Aliud. Elaterii potiones duas, & favum cum vino in linteo apponito. 13 Aut butyrum & alumen melle subacta similiter. 14 Aut scammoniæ succum & adipem cum maza misceto, & vino imbuta in linteo apponito. 15 Ad idem. Colocynthidis sylvestris internam partem cum lacte muliebri tritam, in linteo apponat. 16 Potiones quæ possunt secundam in utero detentam educere. Silphium magnitudine fabæ in vino bibendum dato. 17 Aliud quod fœtum expellit. Mulierem sub alis apprehensam fortiter concutito. 18 In potu vero dato, viticis folia in vino. 19 Aut dictamnum creticum oboli pondere in aqua terito ac exhibeto. 20 Aut conyzæ graveolentis manus plenæ mensuram cum porri succo diluito, & netopum chemæ plenæ mensuram addito, atque hæc trita in vino bibenda dato. 21 Aut tædam pinguissimam cum vino dulci coquito, trium cyathorum mensura vini affusa, & galbani obolos tres, & myrrham adjicito: & ubi cocta crassa facta fuerint, tepida bibenda dato. 22 Aut porri succum, & myrrham, & vinum dulce simul exhibeto. 23 Aut portulacæ semen terito, & in vino albo veteri dato. 24 Aut populi nigræ creticæ grana novem in vino trita bibat. 25 Aut ranunculi herbæ foliorum ac floris triti, drach-

μὴν αἰγιναίην ἐν οἴνῳ πιεῖν γλυκεῖ. ²⁶ Ἢν δ' ἔτι ἐνέχηται τὸ χορίον, λεβηρίδος ὅσον ὀβολὸν τρίβειν ἐν οἴνῳ, καὶ πίσαι. ²⁷ ἢ σελίνου ῥίζαν καὶ μύρτα ἑψέται, πίνειν δὲ ἡμέρας τέσσαρας. ²⁸ ἢ κύμινον αἰθιοπικὸν, καὶ τὸ καστόριον, ὁκόσον ὀβολὸν, καὶ κανθαρίδος μικρόν· ταῦτα ἐν οἴνῳ διδόναι πιεῖν. ²⁹ ἢ μαράθρου ῥίζαν ἐν οἴνῳ καὶ ἐλαίῳ καὶ μέλιτι ἀναζέσαντας, πιπίσκειν.

³⁰ Ἢν τὸ χορίον μὴ ὑποχωρέῃ, κόνυζαν τρίψας ἐν ἐρίῳ πρόσθες· πίνειν δὲ ἄμεινον. ³¹ ἢ κονύζης ὅσον χανδάνει χεὶρ, πράσου τε χυλὸν, καὶ νέτωπον ξυμμίξαι ὅσον χήμην μίαν· ταῦτα ἐν οἴνῳ πινέτω. ³² Χορίον ἐξάγει, καὶ ἐπιμήνια καθαίρει, καὶ τὸ ἔμβρυον ἡμίεργον ἕλκει. ³³ κανθαρίδας πέντε ἀφελὼν τὰ πτερὰ καὶ τὰ σκέλεα καὶ τὴν κεφαλὴν, εἶτα τρίβολον τὸ παραθαλάσσιον κόψας ξὺν τῇ ῥίζῃ καὶ τοῖσι φύλλοισιν ὅσον κόγχην, καὶ τὸ ἄνθεμον τὸ χλωρὸν τρίψον ἴσον πλῆθος, καὶ σελίνου σπέρμα, καὶ σηπίης ᾠὰ πεντεκαίδεκα, ἐν οἴνῳ γλυκεῖ κεκρημένῳ ταῦτα ὁμοῦ, καὶ, ἐπὴν ὀδύνην ἔχῃ, πίνειν. ³⁴ καὶ ἐν ὕδατι θερμῷ ἐγκαθιζέσθω· πινέτω δὲ μελίκρητον ὑδαρὲς, καὶ γλυκὺν οἶνον λευκόν. ³⁵ Ὕστερον δύναται ἐκβάλλειν. ὁλοκωνίτιδος τῆς γλυκείης ῥίζα· ἔστι δὲ ὡς ὁ βολβὸς· σμικρὸν δὲ ὡς ἐλαίη· ταύτην τρίβειν ἐν οἴνῳ καὶ διδόναι πίνειν. ³⁶ ἢν μὲν ᾖ σμικρὴ, δύο· ἢν δὲ μείζω, μία ἀρκεῖ. ³⁷ παραμίσγειν δὲ τῶν σπερμάτων κύμινον αἰθιοπικὸν καὶ σέσελι μασσαλιωτικόν. ³⁸ ἢ σίλφιον τὸ λιβυκὸν ξηρὸν ἡμιχοίνικον ξὺν οἴνου κοτύλῃσι τρισὶν ἑψεῖν καὶ ἄγειν ἐς τὸ ἥμισυ καὶ ἀπὸ τούτου πινέτω. ³⁹ Ἄλλο. λύγου καρπὸν, σέσελι ἴσον, σμύρνης τρίβειν ὁμοῦ, καὶ ξὺν ὕδατι διδόναι πίνειν. ⁴⁰ Ἐκβόλια. ἄγνου λευκῆς νέης ὅσον ὀξύβαφον ἐν οἴνῳ λευκῷ εὐώδει δὸς πιεῖν, τρίψας λεῖον. ⁴¹ Ἕτερον. καστορίου ἢ σαγαπηνοῦ ὀβολὸν, ἀσφάλτου

drachmæ ægineæ pondus, in vino dulci bibat. ²⁶ Si vero adhuc secunda intus detineatur senectæ anguium obolum in vino terito, ac bibendum dato. ²⁷ Aut apii radicem, & myrti baccas coquat, & per dies quatuor bibat. ²⁸ Aut cuminum æthiopicum, & castorii obolum, & cantharidis parum, hæc in vino bibenda dato. ²⁹ Aut fœniculi radicem, in vino & oleo ac melle fervefactam bibat.

³⁰ Si secunda non prodierit, conyzam tritam in lana subdito. Melius autem est ut bibat. ³¹ Aut conyzæ quantum manus capit, & porri succum, & netopum chemæ mensura misceat, & hæc in vino bibat. ³⁵ Aliud, quod secundam ejicit. Holoconitidis dulcis radicem (est autem velut bulbus, & parva velut oliva) hanc in vino terito, ac bibendam dato. ³⁶ Et siquidem parva fuerit, duas dato: si vero major, una sufficit. ³⁷ Ammisceto autem ex seminibus cuminum æthiopicum, & seseli massiliense. ³⁸ Aut silphii libyci semen siccum chœnicis dimidiæ mensura, in vini heminis tribus coquat, & ad dimidias redigat, & de hoc bibat. ³⁹ Aliud. Viticis semen, & seselis, pari portione simul cum myrrha terito, & cum aqua bibenda dato. ⁴⁰ Alia, secundas expellentia. Viticis albæ recentis acetabulum, in vino albo odorato tritum bibendum dato. ⁴¹ Aliud. Castorii aut sagapeni obolum, bituminis drachmam

ἰτου δραχμὴν μίαν, νίτρου δύο· πάντα τρίψας ἐν γλυκεῖ οἴνῳ, καὶ ἐλαίου ὅσον ἡμικοτύλιον, δὸς πιεῖν νήστει ὀβολοὺς δύο. 42 καὶ λοῦσον θερμῷ καλῶς. 43 Ἄλλο ὁμοίως ἔχον. ἐχίνους θαλασσίους τρεῖς τρίψας ὅλους λείους ἐν οἴνῳ εὐώδει δὸς πιεῖν. 44 Ἄλλο. μίνθης δεσμίδα μικρὴν, καὶ πηγάνου, καὶ κοριάνου, καὶ κέδρου ἢ κυπαρίσσου σπέρμα, ἐν οἴνῳ εὐώδει δὸς πιεῖν. 45 καὶ τῶν ἐχίνων, ἢν ἔχῃ, ῥοφείτω ἐπὶ τὸ πλεῖστον· ὡσαύτως ἔπειτα λοῦσον θερμῷ. 46 Ἄλλο ὁμοίως. ἄννησον, κεδρίδας, σελίνου καρπὸν, αἰθιοπικὸν κύμινον, σέσελι, ἑκάστου ἥμισυ ὀξυβάφου, δὸς ἐκπιεῖν οἴνῳ λευκῷ τρίψας λεῖον. 47 Ἄλλο ὁμοίως. δικτάμνου δεσμίδα, καὶ δαύκου καρποῦ δραχμὰς δύο, καὶ μελάνθιον ἴσον, ἐν οἴνῳ λευκῷ, τρίψας λεῖον, δὸς πιεῖν καὶ λοῦσον θερμῷ πολλῷ. 48 διδόναι δὲ πρὸς τὴν ἰσχὺν τοῦ νοσήματος. 49 Ἄλλο. χαλβάνην ὅσον ἐλαίην τρίψας ἐν κεδρίνῳ ἐλαίῳ, προσθέσθω. 50 τοῦτο δύναται διαφθείρειν καὶ ἐκβάλλειν τὸ χορίον. 51 Ἄλλο ἐκβόλιον ἐγχυτὸν ὑστέρων, ὅταν σαπῇ νεκρωθὲν ὑπὸ ψύχεος, καὶ ἄνεμος ᾖ. κρόκον τρίψας λεῖον ὅσον δραχμὴν ὁλκὴν ἐν στέατι χηνὸς ἐγχέαι, καὶ ἐᾶν ὡς πλεῖστον χρόνον. 52 Ποτὸν ξυμβάλλον πρὸς τόδε καλῶς. κόνυζαν τὴν ἡδύοσμον τρίψας λείην ἐν οἴνῳ εὐώδει ἢ ἐν συρμαίῃ δοῦναι πιεῖν, καὶ λοῦσαι θερμῷ. 53 Ἄλλο, ὁμοίως ποτὸν, τοῦ παιδίου καὶ τῶν ἐνεόντων κακῶν. ἰὸν χαλκοῦ ξυντρίψας ξὺν μέλιτι καὶ συρμαίῃ δὸς πιεῖν.

mam unam, nitri drachmas duas. Hæc omnia terito, & in vino dulci, ac olei hemina dimidia obolos duos jejunæ bibendos dato. 42 Et calida probe lavato. 43 Aliud similiter habens. Erinaceos marinos tres totos tenuiter tritos, in vino odorato bibendos dato. 44 Aliud. Mentæ fasciculum parvum, & rutæ & coriandri, & cedri aut cupressi semen, in vino odorato bibendum dato. 45 Et de erinaceis si habuerit, plurimum sorbeat: postea vero similiter calida lavato. 46 Aliud. Anisum, cedri baccas, semen apii, cuminum æthiopicum, seseli, singulorum dimidium acetabulum, tenuiter tritum, ex vino albo bibendum dato. 47 Aliud. Dictamni fasciculum, & dauci seminis drachmas duas, & melanthii tantundem, tenuiter terito, & in vino albo bibenda exhibeto. Et multa calida lavato. 48 Dato autem juxta corporis robur. 49 Aliud. Galbanum olivæ magnitudine, in oleo cedrino tritum apponat: 50 hoc corrumpere & ejicere morantes secundas potest. 51 Aliud secundarum expulsorium quod uteris infunditur. Quum secunda à frigore mortificata computruerit, ubi ventus frigidus fuerit, crocum leniter tritum drachmæ pondere, cum adipe anserino infundito, & ad plurimum tempus sinito. 52 Potus, ad idem probe conferens. Conyzam suaveolentem, & mel, & resinam terito, inque vino odorato, aut in syrmæa potione moderate purgante bibenda dato, & calida lavato. 53 Alius similis potus ad puerum & mala intus existentia. Æruginem tritam cum melle, & syrmæa potione bibendam dato.

CIX. [1] Ἄλλο πρόσθετον ἐκβόλιον, ἢν ἀποθνήσκῃ. [2] χαλκοῦ ῥίνημα ἐνθεὶς ἐς ὀθόνιον μαλθακὸν, πρόσθες πρὸς τὸ στόμα τῶν μητρέων, καὶ ὠφελήσεις. [3] Ἄλλο. ὄστρακον νέον καὶ στέαρ χηνὸς τρίψασα προσθέσθω. [4] Ἄλλο πρόσθετον. νίτρον ἑψήσας ξὺν ῥητίνῃ, καὶ ποιήσας βάλανον, βάπτων ἐς ὄρνιθος στέαρ προστίθει. [5] Ἄλλο πρόσθετον, χάριεν τὸ ἐπονομαζόμενον. κυκλαμίνου ῥίζαν πρὸς τὸν ὀμφαλὸν πρόσθες μὴ πουλὺν χρόνον. [6] Ἄλλο. ἀγρίην κολοκύντην καὶ μυῶν ἀπόπατον τρίψας, λεῖα προστίθει. [7] Ἄλλο ἐπιδετόν. ῥητίνην καὶ στέαρ ὄρνιθος, τρίψας ἅμα καὶ μίξας, ἐπιδησάσθω ἐπὶ τὸν ὀμφαλὸν καὶ τὴν γαστέρα. [8] Ἄλλο πρόσθετον. τοῦ κισσοῦ τοῦ λευκοῦ τὸν καρπὸν καὶ κέδρου πρίσματα τρίψασα, καὶ βαλάνια ποιήσασα, προστιθέσθω. [9] Ἄλλο. χελώνης θαλασσίης τὸν ἐγκέφαλον, καὶ αἰγύπτιον κρόκον, καὶ ἅλας αἰγύπτιον τρίψας καὶ ξυμμίξας ποιέειν βαλάνους, καὶ προστιθέσθω. [10] Ἐκβόλιον θυμίαμα, δυνάμενον καὶ αἷμα γαστρὸς ἐξελάσαι. ἰτέης φύλλα ἐπὶ πῦρ ἐπιθεὶς θυμιῆν, καὶ περικαθίσας τὴν γυναῖκα ἐᾶν ἄχρις ἂν ὁ καπνὸς ἐς τὴν μήτρην ἐσίῃ.

CX. Περὶ ἰάσιος ἐκτρωσμοῦ. Ὅταν ἡ γυνὴ ἐκτρώσῃ, καὶ τὸ παιδίον μὴ ἐξίῃ ἤν τε σαπῇ, καὶ οἰδήσῃ, ἢ ἄλλό τι πάθη τοιοῦτον, [2] πράσα καὶ σέλινα ἐκθλίψας τὸν χυλὸν διὰ ῥάκεος ἀμφοτέρων ἐπισυνάξας, καὶ κοτύλην ῥοδίνου ἐλαίου, καὶ στέαρ χηνὸς ὅσον τεταρτημόριον ῥητίνης τε ὀβολοὺς τρεῖς κατατήξας ἐν ἐλαίῳ, [3] καὶ ποιήσας πρὸς ποδῶν ὑψηλοτέρην, ἔγχεον ἐς τὰς μήτρας, καὶ ἐχέτω κειμένη χρόνον ὅτι πλεῖστον. [4] ἔπειτα κάθισον ἡμέρας τέσ-

σαρας

CIX. Aliud subdititium, ad ejiciendum fœtum immortuum. [2] Æris ramenta in molle linteum indita, ad os uteri apponito, & profueris. [3] Aliud. Testam recentem, & adipem anserinum terat ac apponat. [4] Aliud. Nitrum cum resina coctum, & in glandem efformatum, gallinaceo adipe tinctum appone. [5] Aliud. Charien appellatur herba, hujus radicem non multo adeo tempore ad umbilicum apponito. [6] Aliud. Cucurbitam sylvestrem, & murium stercus, leviter trita apponito. [7] Aliud, quod alligatur. Resinam & adipem gallinaceum, trita ac simul mixta, super umbilicum ac ventrem deliget. [8] Aliud subdititium. Hederæ albæ semen, & cedri ramenta terat, & glandes hinc factas subdat. [9] Aliud. Testudinis marinæ cerebrum, & crocum ægyptium, & salem ægyptium terito, misceto, glandes formato, ac subdito. [10] Suffimentum expulsorium, quod & sanguinem ventris expellere potest. Salicis folia in ignem posita suffito, & mulierem circumlocatam sinito, donec fumus in uterum intraverit.

CX. Abortus sanatio. Quum mulier abortum fecerit, & puer non fuerit egressus, sive putrefactus fuerit, & intumuerit, aut aliud quid ejusmodi passus fuerit, [2] porri & apii succum per linteum expressum, de utrisque colligito, & olei rosacei heminam, & adipis anserini quadrantem adjicito, resinæque obolos tres in oleo liquefacito: [3] & ubi mulierem ad pedes altiorem feceris, in uteros infundito: ac decumbens ad plurimum tempus contineat: [4] deinde ad dies

quatuor

σπέρας, καὶ ἐξέρχεται τὸ ἀποπεπὸν παιδίον. [5] Ἢν δὲ μὴ, λαβὼν ἅλας αἰγυπτίους, καὶ κολοκύντην ἀγρίην χλωρὴν, μέλιτι μίξας καὶ τρίψας δοῦναι φαγεῖν, καὶ, ἐπὴν φάγῃ, κινείσθω τῇδε καὶ τῇδε. [6] Ἐμβόλιον προσθετόν· ἅλας αἰγυπτίους, καὶ μυόχοδα, καὶ ἀγρίην κολοκύντην, καὶ μέλιτος ὅσον τεταρτημόριον ἐπιχεῖν ἡμίεφθον, λαβὼν ῥητίνης δραχμὴν μίην ἔμβαλε ἐς τὸ μέλι, καὶ τὴν κολοκύντην καὶ τὰ μυόχοδα, ξυντρίψασα πάντα καλῶς, [7] καὶ ποιήσασα βαλάνους πρὸς τὴν μήτρην προσθέσθω, ἕως ἂν δοκίῃ καιρὸς εἶναι. [8] Ἕτερον ἐκβόλιον, ὃ τὸ παιδίον βλητὸν γενόμενον ἐκβάλλει. ἑλξίνην ἐν οἴνῳ τρίψας πόπισον. [9] Ἕτερον ποτὸν ἐκβολῆς, ὃ τὸ παιδίον ἐκβάλλει πελιδνόν. τοῦ ἐκτόμου τὰς ῥίζας τρίψας λεπτὰς, καὶ τοῖσι τρισὶ δακτύλοισι, καὶ σμύρνης ὅσον κύαμον ἄρας ἐν οἴνῳ λευκῷ καὶ γλυκεῖ πιπισκε. [10] Ἐκβόλιον. κορίανον ξὺν τῇ ῥίζῃ καὶ νέτωπον προσθεμένη, περιπατείτω. [11] Ἔγχυτον ἐμβρύῳ, ἢν ἀποθάνῃ παιδίον ὥστε ἐκβάλλειν. κρόκον τρίψας ἐπίχεε χηνὸς ἔλαιον, καὶ διηθήσας ἔγχεε ἐς τὰς μήτρας, καὶ καταλίμπανε ὡς πλεῖστον χρόνον. [12] Ἔμβρυον ἀκίνητον φθεῖραι καὶ ἐκβαλεῖν. στυπτηρίης σχιστῆς δραχμὴν μίαν, σμύρνης ἴσον, ἐλλεβόρου μέλανος τριώβολον, τρίψας λεῖα ἐν οἴνῳ μέλανι, βαλάνια ποιέειν, καὶ προστιθέναι ἄγχι, ἄχρις ἂν κατ' ὀλίγον ἀπολυθῇ.

CXI. Κλυσμοὶ καθαρτικοὶ μητρέων, ἢν ἐκ τόκου ἑλκωθέωσι, ἢ φλεγμασίης. [2] ὀλύνθους χειμερινοὺς ὕδωρ ἐπιχέας καὶ ζέσας, ἀφεῖναι καὶ καταστῆναι· εἶτα ἔλαιον ἐπι-

quatuor desidere jubeto, & egreditur puer putrefactus. [5] Sin minus, salem ægyptium & cucurbitam sylvestrem viridem accipito, & melle ammixto trita edenda dato. Et postquam ederit, hinc & hinc moveatur. [6] Aliud. Salem ægyptium, & murium stercus, & cucurbitam sylvestrem sumito, & mellis semicocti quadrantem affundito, & resinæ drachmam unam in mel injicito, & cucurbitam ac murium stercus, omnia probe conterito, [7] & in glandes efformato, easque ad uterum subdito, quamdiu opportunum esse visum fuerit. [8] Aliud expulsorium, quod puerum enectum ejicit. Helxinem in vino tritam bibendam dato. [9] Aliud ejectorium, quod puerum lividum expellit. Veratri nigri radices tenues tritas, quantum tribus digitis apprehendere potes, & myrrham magnitudine fabæ, in vino dulci bibenda præbe. [10] Aliud expulsorium. Coriandrum cum radice, & netopum apponat, ac deambulet. [11] Aliud quod infunditur, si mortuus fuerit puer, ut ipsum ejiciat. Crocum terito, & anserinum adipem affundito, & excolata in uteros infundito, & ad plurimum tempus relinquito. [12] Ad fœtum immobilem corrumpendum ac expellendum. Aluminis scissi drachmam unam, myrrhæ tantundem, veratri nigri obolos tres, in vino nigro leviter trita, in glandes efformato, & apponito donec paulatim fuerit exolutus.

CXI. Collutiones uteros purgantes, si ex partu aut inflammatione fuerint exulcerati. [2] Grossos hybernos aqua affusa fervefacito, & excolato: deinde oleo

ἐπιχέαι χλιηρὸν καὶ μίξαι. 3 κλύσαι δὲ δύο κοτύλῃσι τὸ πλεῖστον. πάντα δὲ τὰ κλύσματα μὴ πλέω τούτων κλύζειν. 4 καὶ σιδίοισι καὶ μάννῃ ἐν οἴνῳ μέλανι αὐστηρῷ ἑψημένα· εἶτα ἀποχέας τὸν οἶνον, τούτῳ κλύζε. 5 Ἄλλος κλυσμός. τρύγα οἴνου κατακαύσας τῆξον ἐν ὕδατι καὶ κλύσον. 6 εἶτα σίδια, μύρτα, σχοῖνον εὐώδεα, φακοὺς, ἑψήσας ἐν οἴνῳ, ἀποχέας τὸν οἶνον, κλύζε. 7 Ἄλλος κλυσμός. βούτυρον, λιβανωτὸν, ῥητίνην, μέλι τήξας ἐν τῷ αὐτῷ, οἶνόν τε ἐπιχέας, κλύζε χλιηρῷ. 8 ἢ ἀκτῆς καρπὸν ἑψήσας ἐν ὕδατι, ἀποχέας τὸ ὕδωρ, τρίψας ἐν τῷ αὐτῷ σέλινον, σμύρναν, ἄννησον, λιβανωτὸν, ἐπιχέας τε καὶ οἶνον ὡς εὐώδεα, ἴσον τῷ ὕδατι, διηθήσας τε δι' ὀθονίου, χλιήνας, κλύσαι. 9 Ἄλλος κλυσμός. κράμβην, καὶ λινόζωστιν, καὶ λίνου σπέρμα, καὶ χλωρὸν τὸ λίνον ἑψήσας, ἐν ὕδατι ἀπηθήσας, κλύσαι τῷ ὕδατι. 10 μυρσίνης τῶν φύλλων ὀξύβαφον, σμύρνης, ἀννήσου, μέλι, ῥητίνην, μύρον αἰγύπτιον, τρίψας πάντα καὶ ἑνώσας, ἐπιχέας τε καὶ οἴνου λευκοῦ ὡς εὐωδεστάτου κοτύλας δύο, διηθήσας, χλιήνας, κλύσον αὐτῷ. 11 ἢ δάφνης καρπὸν καὶ γλήχωνα ἑψήσας ἐν ὕδατι, μύρον τε ῥόδινον ἐπιχέας οὕτω κλύζε χλιήνας. 12 ἢ χηνὸς στέαρ τῇ ῥητίνῃ μίξας, ἐπιχέας τε πρὸς τοῦτο οἶνον, καὶ χλιήνας κλύσαι. 13 Ἄλλος κλυσμός. βούτυρον καὶ κέδρινον ἔλαιον, ἐν μέλιτι ὀλίγῳ χλιήνας, κλύσον αὐτῷ. 14 ἢ δάφνης καρπὸν, λαβὼν μέλι, βούτυρον, σχοῖνον, κάλαμον εὐώδεα, βρύον θαλάσσιον, καὶ ἑψῆσαι ἐν οἴνῳ· εἶτα ἀπηθῆσαι, καὶ οὕτω κλύσαι. 15 ἢ σελίνου καρπὸν, σέσελι, σμύρ-

oleo tepido affuſo miſce, 3 & duas heminas ad ſummum infunde. Omnes autem collutiones non ampliore quam hac menſura uteris infundantur. 4 Malicorium item & mannam thuris in vino nigro auſtero coquito, excolatum vinum infundito. 5 Alia collutio. Fecem vini uſtam liquefacito, & cum aqua infundito. 6 Deinde malicorium, myrti baccas, juncum odoratum, lentes, in vino coquito, & diffuſum vinum infundito. 7 Alia. Butyrum, thus, reſinam, mel, ſimul liquefacito, & affuſo vino, tepida infundito. 8 Aut ſambuci fructum in aqua coquito, & excolata aqua, apium, myrrham, aniſum, thus, ſimul in ipſa terito: & vinum odoratum pari aquæ menſura affundito, excolatoque per linteum, & tepefactum infundito. 9 Alia. Braſſicam, & mercurialem, & lini ſemen, & linum viride, in aqua coquito, excolato, ac infundito. 10 Aut foliorum myrti acetabulum, myrrham, aniſum, mel, reſinam, unguentum ægyptium, omnia terito ac unito, affuſiſque vini albi odoratiſſimi heminis duabus, excolato, tepefacito, infundito. 11 Aut lauri fructum & pulegium in aqua coquito, & unguentum roſaceum affundito, & cum hoc tepido colluito. 12 Aut anſeris adipem reſinæ ammiſceto, affuſoque ad hoc vino, tepefactum infundito. 13 Alia. Butyrum & oleum cedrinum, in modico melle tepefacito ac infundito. 14 Aut mel, butyrum, juncum odoratum, calamum odoratum, muſcum marinum ſumito, & in vino coquito, excolato, ac infundito. 15 Aut apii ſemen, ſeſeli, myrrham,

σμύρναν, ἄννησον, μελάνθιον, ἐν οἴνῳ ἀπηθήσας, τὸ οἶνον κλύσαι. [16] ἢ κέδρον ἑψήσας ἐν οἴνῳ, κλύσαι τῷ οἴνῳ. [17] ἢ κισσὸν ἑψήσας ἐν ὕδατι, κλύσαι τῷ ὕδατι. [18] ἢ 400 ἐλατήριον, ἢ κέστρον δύο πόσιας ἑψεῖν ἐν ὕδατι, καὶ ὅσον δύο κοτυλῶν κλύσαι χλιαρᾶς. [19] ἢ σικύης ἀγρίας ἐλάνης ὅσον δάκτυλον ἑψήσας, ἐν κοτύλησι δύο ὕδατος, ἐπὶ τὸ ὕδωρ ἐπιχέας μέλι καὶ ἔλαιον, τούτῳ κλύσαι. [20] ἢ θαψίης ῥίζης ὅσον δύο πόσιας τρίψας λεῖον, ἐπιχέας τὸ 25 μέλι καὶ ἔλαιον, διεὶς ὕδατι χλιαρῷ ὅσον δύο κοτύλησι κλύσαι. [21] ἢ ἐλλεβόρου μέλανος ὅσον δύο πόσιας, διεὶς οἴνῳ γλυκεῖ καὶ ὕδατι, κλύζειν. [22] ἢ κόκκους κνιδίους ὅσον ἑξήκοντα τρίψας λείους, ἐπιχέας τὸ μέλι καὶ ἔλαιον καὶ ὕδωρ, κλύσαι.

[23] Κλυσμὸς κραταιωτήριος, ἢν ἕλκεα ᾖ καθαρά. ὀλύνθους χειμερινοὺς τρίβειν καὶ ἐπιχέειν ὕδωρ, βρέξον δι' ὅλην ἡμέρην, καὶ ἔλαιον ἐπίχεε, καὶ κλύσαι. [24] ἢ σιδίοισι καὶ λωτοῦ πρίσμασιν ἐν οἴνῳ μέλανι 30 ἑψεῖν. [25] ὅταν δὲ ἀκάθαρτα ᾖ, καὶ φέρηται, τρύγα καίειν [καὶ] οἴνῳ καὶ ὕδατι κλύζειν. [26] ἢ σιδίῳ, ῥόῳ βυρσοδεψικῷ, μυρσίνης φύλλοισι καὶ βάτου, ἐν οἴνῳ μέλανι ἑψεῖν καὶ κλύζειν. [27] Κλύσματα πρὸς τὰ 401 παλαιὰ ἕλκεα. χυλῷ κράμβης ἑψημένης κλύζειν, [28] καὶ λινοζώστιν ὁμοίως. [29] καὶ νίτρον παραμίσγειν ἐρυθρὸν ὀλίγον, σμύρνης ὀξύβαφον, λιβανωτὸν, σέσελι, ἄννησον, σελίνου σπέρμα, νέτωπον, ῥητίνην, μέλι, χήνειον στέαρ, ὄξος τὸ λευκὸν, μύρον τὸ λευκὸν αἰγύπτιον. [30] ταῦ- 35 τα πάντα ὁμοῦ τρίβειν λεῖα, εἶτα οἴνῳ διεὶς λευκῷ, κοτύλησι δυσὶ

rham, anisum, melanthium, in vino coquito, & excolatum vinum infundito. [16] Aut cedrum in vino coquito & cum vino colluito. [17] Aut hederam in aqua coquito, & aquam infundito. [18] Aut elaterii, aut cnestri potiones duas in aqua coquito, & duas heminas ex hac tepida infundito. [19] Aut cucumeris sylvestris interioris magnitudinem digiti, in duabus aquæ he- 135 minis coquito, & melle ac oleo ad aquam affuso infundito. [20] Aut radicis thapsiæ potiones duas leviter terito, affusoque oleo ac melle in duabus aquæ tepidæ heminis diluito, ac infundito. [21] Aut veratri nigri potiones duas, vino dulci & aqua dilutas infunde. [22] Aut grana cnidia sexaginta terito, melleque ac oleo & aqua affusa infundito.

[23] Collutio corroborans, si ulcera pura fuerint. Grossos 140 hybernos terito, & aquam affundito, & per totam diem macerato, & oleo affuso colluito. [24] Aut malicorium, & loti ramenta in vino nigro coquito, & infundito. [25] Quum autem impura fuerint, & sordes deferuntur, fecem vini ustam, cum vino & aqua infundito. [26] Aut malicorium, rhoem coriarium, myrtique ac rubi folia, in vino nigro coquito ac infundito. [27] Collutiones quæ infunduntur ad vetera ul- 145 cera. Succo brassicæ cocto collue. [28] Et mercurialem similiter [29] ac nitrum rubrum modicum ammisce, & myrrhæ acetabulum, thus, seseli, anisum, apii semen, netopum, resinam, mel, adipem anserinum, acetum album, unguentum album ægyptium. [30] Hæc omnia simul trita, & vini albi heminis dua-

σὶ χλιαρῶς κλύζειν. 31 ἢ λινοζῶστιν ἑψεῖν ἐν ὕδατι καὶ ἀπηθεῖν, ἢ σμύρνης ὀξύβαφον, λιβανωτὸν, σέσελι, νέτωπον, ἴσον ἑκάστου, χλιαρῶς κλύζειν. 32 ἢ ἐλελίσφακον, καὶ ὑπερικὸν, ἐν ὕδατι ἑψήσας, κλύζειν τῷ ὕδατι. 33 ἢ ἀκτῆς καρπὸν καὶ δαφνίδας ἑκατέρων ἐξ ἴσου ἕψε ἐν οἴνῳ, εἶτα τῷ οἴνῳ κλύζε. 34 ἢ γλήχωνι τῷ ὕδατι κλύσον. 35 ἢ χηνὸς ἔλαιον ἐν ῥητίνῃ τήξας ὁμοίως, κέδρινον ἔλαιον παραχέας ὀλίγον, καὶ μέλιτι διατήξας, κλύζειν χλιαρῶς. 36 ἢ ἀργύρου ἄνθος ἐν οἴνῳ καὶ μέλιτι καὶ κηρῷ τηκτὸν, καὶ κύπερον, καὶ σχοῖνον, καὶ κάλαμον· 37 " ἅπαντα δὴ καὶ ἐς μύρον μίσγεται· " καὶ σισύμβριον, ἐν οἴνῳ ἑψῶν, κλύζειν, 38 ἢ σελίνου καρπὸν, ἄννησον, σέσελι, σμύρναν, μελάνθιον " ἐν οἴνῳ ἑψήσας. ἢ ὕδατι. 39 ἢ κέδρον κρητικὴν καὶ κισσὸν κρητικὸν ἐν οἴνῳ ἢ ὕδατι ἑψεῖν, " καὶ κλύζειν. 40 " ἢν ἑλκέωσιν 41 καὶ σμύρναν διεὶς ἐν ὕδατι κλύσαι. 42 ἢ ἐλατηρίου ὅσον δύο πόσιας ἐν ὕδατι κλύσαι. 43 ἢ κολοκυνθίδας ἀγρίας δύο ἐν οἴνῳ ἢ ἐν γάλακτι ἑφθὼ, ἀποβρέξας ὅσον τέσσαρας κοτύλας, καὶ ἀπηθεῖν, καὶ κλύζειν. 44 ἢ σικύης ἐντεριώνην ὅσον παλαιστιαίην ἑψήσας ἐν ὕδατι κοτύλῃσι τέσσαρσι, μέλι τε καὶ ἔλαιον ἐπιχέας, " ἐνεργεῖν. 45 " ἢ τῆς θαψίης ῥίζης ὅσον δύο πόσιας ἐν οἴνῳ γλυκεῖ διεὶς ξὺν ὕδατος κοτύλῃσι δύο, κλύσαι χλιαρῶς. 46 ἢ ἐλλέβορον ὅσον δύο πόσιας ἐν οἴνῳ γλυκεῖ διεὶς ὡσεὶ δύο κοτύλῃσιν.

47 ἢ

bus diluta, tepida infunde. 31 Aut mercurialem in aqua coque & excola, & myrrhæ acetabulum, thus, 'seseli, netopum, singulorum pares portiones adde ac tepida infunde. 32 Aut salviam & hypericum in aqua coquito, & cum aqua colluito. 33 Aut sambuci fructum, & lauri baccas, æquis portionibus in vino coquito, & cum vino colluito. 34 Aut pulegii aqua colluito. 35 Aut adipem anseris in resina liquefacito, & similiter oleum cedrinum modicum affundito, & cum melle liquefacito, ac tepida infundito. 36 Aut 'argenti florem in vino & melle ac cera liquato, & cyperum, & juncum odoratum, ac calamum (37 quæ sane etiam in unguentum ammiscentur) & iridem ac muscum in vino coquito & infundito. 38 Aut apii semen, anisum, seseli, myrrham, melanthium, in vino coquito ac infundito. 39 Aut cedrum creticam in vino coquito, aut in aqua, & infundito. Aut hederam creticam in aqua coquito ac infundito. 40 ' Atque hæc facienda sunt si vulnus habet, 41 & myrrham in aqua dilutam infunde. 42 Aut elaterii potiones duas cum aqua infunde. 43 Aut colocynthidas sylvestres duas in vino aut in lacte cocto, quatuor heminarum mensura macerato, & excolato, ac infundito. 44 Aut cucumeris sylvestris interioris, palmi magnitudinem in aquæ heminis quatuor coquito, & melle ac oleo affuso colluito. 45 Aut radicis 'thapsiæ duas potiones, in vino dulci dilutas, cum aquæ heminis duabus, tepide infundito. 46 Aut veratri potiones duas, in vini dulcis heminis duabus dilutas infunde.

47 Aut

47 ἢ θλάσπιος ὅσον ὀξύβαφον μέλιτι παραμίξας, ὕδατι διεὶς, ὅσον δύο κοτύλησι, χρῶ χλιηρῷ. 48 ἢ σικύης ὅσον παλαιστὴν, καὶ κνεώρου ὅσον μίαν πόσιν ἑψήσας ὕδατος κοτύλησι πέντε, μέλι παραχέας καὶ ἔλαιον, κλύσαι. 49 ἢ κόκκους κνιδίους ὅσον ἑξήκοντα εἰς μέλι, ἢ εἰς ἔλαιον ξὺν ὕδατι διεὶς, κλύσαι.

CXII. Ἢν ἐκ τόκου διάρροια ληφθῇ, ² πινέτω ἀσταφίδα μέλαιναν, ″ καὶ σιδίου γλυκείης ῥοιῆς τὸ ἔνδοθεν, καὶ πιτύην ἐρίφου· ³ ταῦτα ' διεὶς οἴνῳ μέλανι, καὶ τυρὸν αἴγειον ″ καὶ ἄλφιτα πύρινα ἐπιπάσσειν, καὶ διδόναι πίνειν. ⁴ τοὺς πυροὺς δὲ ἐπ' ὀλίγον φῶξαι.

CXIII. Ἢν δὲ ἐκ τόκου αἷμα ἐμέῃ, ταύτῃ ἡ σύριγξ τοῦ ἥπατος τέτρωται. ² αὕτη πινέτω γάλα ὄνου, ἔπειτα βοὸς, ″ δὶ μαρὲς τεσσαράκοντα ἡμέρας· ³ καὶ σήσαμον τριπτὸν, ἄχρις ἂν εὖ ἔχῃ. ⁴ πινέτω τὸ γάλα νῆστις.

CXIV. ″ Ἢν [δὲ] ἐκ τόκου τὴν ἕδρην ἀλγέῃ, ἀρκευθίδος καρπὸν, σελίνου ῥίζαν, ἑψεῖν καὶ πίνειν ἡμέρας τέσσαρας. ² καὶ θριδακίνης σπέρμα τρίψας ξὺν χηνείῳ ' ἀλείφατι ἐσθίειν.

CXV. Ἢν δὲ ἐκ τόκου αἱ μῆτραι φλεγμαίνωσι, στρύχνου χυλὸν ἐγχέειν, ἢ τεύτλου, ἢ ῥάμνου.

CXVI. Ἢν ἐκ τόκου τὸ σκέλος ὑπὸ ὑστερέων χωλωθῇ, ἀνίστασθαι δὲ μὴ δύνηται, πίνειν ″ ὑοσκυάμου καρπὸν, ὅσον χηραμίδα, ἐν οἴνῳ μέλανι ἡμέρας τρεῖς. ² [ἢν] δὲ παραφέρηται ἡ πίνουσα, ³ λύσις, γάλακτος ὀνείου πίσαι ὅσον κύλικα. ἔπειτα τοῦ φαρμάκου, ὑφ' οὗ τὸ φλέγμα καθαίρεται. ⁴ σανδαράχῃ δὲ καὶ κηρωτῇ καὶ λαγωοῦ θριξὶ θυμιήσθω τρεῖς ἡμέρας.

CXVII. ″ Ἢν

47 Aut thlaspios acetabulum, melle ammixto in aquæ heminis duabus dilue, & tepido utere. 48 Aut cucumeris sylvestris magnitudinem palmi, & cneori potionem unam, in aquæ heminis quinque coquito, & melle ac oleo affuso colluito. 49 ' Aut grana cnidia sexaginta, in melle aut in oleo diluta, cum aqua infundito.

CXII. Si ex partu alvi profluvio corripiatur. ² Bibat uvam passam nigram, & punici dulcis malicorium, & internum nucleum, & coagulum hœdi.³ Hæc vino nigro diluta, & caseo caprino, ac polenta triticea inspersis, bibenda dato. ⁴ Triticum autem modice torreto.

CXIII. Si vero ex partu sanguinem vomat, huic hepatis fistula ' sauciata est. ² Hæc lac asini bibat, deinde vaccæ nigræ, ad quadraginta dies: ³ & sesamum tritum, donec probe habeat. ⁴ Bibat autem lac jejuna.

CXIV. Si ex partu sedem doleat, juniperi fructum & apii radicem coquat, & ad dies quatuor bibat, ² & lactucæ semen cum anserino adipe tritum edat.

CXV. Si vero ex partu uteri inflammati fuerint: solani succum infundito, aut betæ, aut rhamni.

CXVI. Si ex partu crus ab uteris ' claudum factum fuerit, & exurgere non poterit, semen hyoscyami chemæ mensura, in vino nigro ad triduum bibat. ² Si vero mente percellatur ipsa bibens, lactis asinini poculum bibendum dato: ³ deinde pharmacum à quo pituita purgatur: ⁴ ex sandaracha autem & cerato, & pilis leporis, per triduum suffitus fiat.

CXVII. Si

CXVII. Ἢν ἐκ τόκου φλεγμήνωσιν αἱ ὑστέραι, στρύχνου χυλὸν ἐγχέαι αἰδοίων ἔσω. [2] Ἢ σελίνου, ἢ ῥάμνου, ἢ τεύτλου, ἢ κολοκύντης χυλὸν, ἐκπιέσας ἔγχει. [3] Ἢ ἀκτῆς τὸ μέσον καὶ ἁπαλώτατον περιξέσας μακρὸν ἔνθες. [4] Ἢ ἀψίνθιον ἐν ὕδατι τρίβειν, εἰρίῳ δὲ ἀναποσπογγίσας. [5] Ἢν δὲ φρίξῃ, ἀφαιρέειν. [6] Ἢ κοτυληδόνος φύλλα καὶ πράσα ἑψεῖν ἐν πυρῶν κρημνοῖσιν, ἔλαιον ἐπ' αὐτοῖσι χέας διδου.

CXVIII. Χολῆς καθαρτικὰ ἐκ μήτρης. [2] Σικύης τὴν ἐντεριώνην λείην τρίψας, καὶ μέλιτι φυρήσας, βάλανον ποιέων προστιθέναι. [3] Φάρμακον δὲ χρὴ διδόναι, καὶ ἄνω καὶ κάτω καθαίρειν, καὶ λούειν τῷ θερμῷ. [4] Προστιθέναι δὲ ἄννησον, ἢ μελάνθιον, ἢ κολοκυνθίδος ἀγρίης τὸ ἔνδον λεῖον ποιέειν, καὶ μέλιτι φυρῶν, καὶ προστιθέναι. [5] Ἢ ἐλατηρίου ὅσον πόσιας τέσσαρας, ξυμμίξας στέαρ χηνὸς ἢ αἴγειον, βάλανον δὲ μηκεστέρην προστιθέναι. [6] Ἢ νίτρον, καὶ κύμινον, καὶ σκόροδον, καὶ σῦκον, λεῖα πάντα ποιήσας, καὶ μέλιτι δεύσας, προστιθέναι. [7] Θερμῷ δὲ λουέσθω, καὶ ἀπὸ λουτροῦ πινέτω. [8] Ἢ θλάσπι λεῖον ποιέων, καὶ μέλιτι φυρῶν προστιθέναι. [9] Ἢ σύκου παλαιοῦ τὸ πῖον ξύσας, ξυμμίσγειν πόσιας ἐλατηρίου δύο, καὶ νίτρον ὅσον τὸ ἐλατήριον, μέλιτι δεύσας, προστιθέναι. [10] Ἢ πευκεδανοῦ ὁκόσον τρεῖς κυάθους δίδου πιεῖν. [11] Καὶ ἄννησον καὶ μελάνθιον διεὶς ἐν οἴνῳ δίδου πιεῖν. [12] Ἢ ἐλατηρίου πόσιας τέσσαρας, μίξας στέατι μηλείῳ. [13] Ἀφελομένη δὲ διανιζέσθω ὕδατι εὐώδει ἠρέμα στύφοντι. [14] Ἢ ἐλατηρίου πόσιας τρεῖς ξὺν

CXVII. Si ex partu uteri inflammati fuerint, solani succum intra pudenda infundito. [2] Aut apii, aut rhamni, aut betæ, aut cucurbitæ succum expressum. [3] Aut sambuci medullam ac tenerrimam partem derasam, oblongam indito. [4] Aut absinthium in aqua terito, & lana exceptum subdito. [5] Si vero horruerit, tollito. [6] Aut cotyledonis folia, & porrum, in crassiore tritici farina coquito, & oleo ipsis affuso præbeto.

CXVIII. Bilem ex utero purgantia. [2] Cucumeris sylvestris internam partem tritam ac melle subactam, in glandem efformato ac apponito. [3] Pharmacum autem dare oportet, quod sursum ac deorsum purget, & calida lavare, [4] apponere vero anisum, aut melanthium: [5] aut colocynthidis sylvestris internam partem terito, & melle subactam apponito. Aut elaterii potiones quatuor, ammixto adipe anserino aut caprino, in oblongiorem glandem redactas apponito. [6] Aut nitrum, & cuminum, & allium, & ficum, omnia leviter trita & melle subacta apponito. [7] Calida vero lavetur, & à balneo bibat. [8] Aut thlaspi leviter tritum, & melle subactum apponito. [9] Aut ficus veteris pinguetudinem derasam elaterii potionibus duabus ammixtis, & nitro tantum quantum est elaterium, cum melle subigito ac apponito. [10] Aut peucedani tres cyathos bibendos dato. [11] Et anisum ac melanthium vino diluta bibenda dato. [12] Aut elaterii potiones quatuor, adipe ovillo ammixto apponat. [13] Et hoc ablato aqua odorata lavet, quæ leniter adstringat. [14] Aut elaterii potiones tres cum ovillo

ξὺν μηλείῳ στέατι βάλανον περι- πτερὸν ποιέειν. [15] ἢν δὲ ἀφέληται, διακλυζέσθω ὕδατι εὖ ἱκανῷ. [16] ἢ θλάσπιος ὅσον πόσιν ξὺν μέλιτι διδόναι. [17] Κλυσμὸς, ἢν χολώδης ᾖ. ἐλατηρίου ὅσον δύο πόσιας ὕδατι διεὶς, ἐπιχέας ἔλαιον ναρκίσσινον, καὶ κλύζειν χλιηρῷ. [18] ἢ κολοκυνθίδας ἀγρίας δύο ἀποβρέξας ἐν οἴνου [ἢ] γάλακτι ἑφθοῦ ὅσον τέσσαρας κοτύλας, τὴν μὲν μίαν ἀπηθέειν, καὶ ξυμμίσγειν ἔλαιον ναρκίσσινον, καὶ κλύζειν. [19] Ἄλλος κλυσμὸς, ἢν χολώδης καὶ φλεγματώδης ᾖ. σικύης ἐντεριώνης ὅσον παλαιστὴν ἑψήσας ἐν ὕδατι ποτῷ τέσσαρσι κοτύλῃσι, καὶ μέλι μίξας καὶ ἔλαιον ἄνθινον, κλύζειν. [20] Φλέγμα καὶ χολὴν καθαῖρον. κόκκους κνιδίους ἑξήκοντα, μέλι τε καὶ ἔλαιον ἄνθινον μίξας, κλύζειν ἐν ὕδατι. [21] ἢ κνῆστρον ἑψήσας ἐν ὕδατι ποτῷ, ἐν πέντε κοτύλῃσιν, ἀποχέας δύο κοτύλας, συμμίξαι μέλι καὶ ἔλαιον ἄνθινον ξὺν ναρκισσίνῳ, καὶ κλύσαι. [22] Κλυσμοὶ καθαρτήριοι, ὄλυνθοι χειμέρινοι καυθέντες καὶ βραχέντες ἐν ὕδατι, ἀποχύσαντα τὸ ὕδωρ, ἔλαιον ξυμμίσγειν, καὶ κλύζειν. [23] καὶ μετὰ κλύζειν σιδίοισι, κηκῖδι, λωτοῦ πρίσμασι. ἐν οἴνῳ δὲ μέλανι χρὴ ἑψεῖν. [24] ἢ τρύγα καίων χρῆσθαι ξὺν ὕδατι. [25] μετὰ κλύζειν δὲ τούτοισι. [26] [ἢ] τοῖσι τῆς μυρσίνης φύλλοισι, καὶ ῥόῳ τῷ βυρσοδεψικῷ [χρῆσθαι] ἑψεῖν δὲ οἴνῳ μέλανι εὐώδει. [27] μετὰ κλύζειν δὲ, σχίνου φύλλα καὶ ὑπερικὸν καὶ ἐλελίσφακον ἑψήσαντα ξὺν οἴνῳ μέλανι εὐώδει. [28] ἢ κράμβης ὕδατι, καὶ τοῦδε ἑψεῖν λινόζωστιν, νίτρου ἐρυθροῦ ὀλίγον, καὶ κλύζειν. [29] ἢ ἐλατηρίου ὅσον πόσιν, ξὺν ναρκισσίνῳ ἐλαίῳ ἢ ἀνθί-

ovillo adipe, in glandem circum pennam efformato: [15] & ubi amoverit, sufficienti aqua probe eluatur. [16] Aut thlaspis potionem cum melle dato. [17] Collutio, si biliosa fuerit. Elaterii potiones duas aqua dilue, & oleum narcissinum affunde, & cum tepido collue. [18] Aut colocynthides sylvestres duas in lactis asinini cocti heminis quatuor macerato, & unam excolato, ac oleum narcissinum ammisceto, & infundito. [19] Alia collutio biliosa & pituitosa. Cucumeris sylvestris internam partem palmi magnitudine, in aquæ potabilis heminis quatuor coque, & melle ac oleo anthino ammixto infundito. [20] Alia pituitam & bilem purgans. Grana cnidia sexaginta, melle ac oleo anthino ammixto, cum aqua infundito. [21] Aut cnestrum in aquæ potabilis heminis quinque coquito, & duabus excolatis, mel & oleum anthinum, cum narcissino ammisceto, ac colluito. [22] Collutiones purgatoriæ. Grossi hyberni usti in aqua macerantur: & ad aquam excolatam oleum ammiscetur, ac infunditur. [23] Postea vero collutio fiat ex malicorio, galla, loti ramentis. Hæc autem in vino nigro coquere oportet: [24] Aut fece vini usta utere cum aqua. [25] Et postea hæc infundito, [26] myrti folia & rhoem coriarium. Coquantur autem in vino nigro odorato. [27] Et postea lentisci folia, & hypericum, & salviam, cum vino nigro odorato cocta infundito. [28] Aut cum brassicæ aqua, in qua mercurialis cocta sit, modico nitro adjecto, colluito. [29] Aut elaterii potionem, cum oleo narcissino aut anthino, tepi-

νῷ, καὶ κλύσαι χλιηρῶς. 30 Ἢν δὲ χολώδης ᾖ, κολοκυνθίδας δύο ἀποβρέξαι ἐν γάλακτι ὀνείῳ ἑφθῷ ὅσον τέσσαρσι κοτύλῃσι, καὶ ἀπηθήσαντα κλύσαι, ξυμμίξαι τε ἔλαιον ναρκίσσινον ἢ ἄνθινον, ἢ τὸ διὰ τῆς σικύης ἐντεριώνης ὅσον παλαιστήν, 31 ἑψεῖν [δὲ] ἐν ὕδατι ποτῷ τέσσαρσι κοτύλῃσι, καὶ μέλι παραχέαι, καὶ ἔλαιον ἄνθινον. 32 Οὗτος ὁ κλυσμὸς φλεγματώδεϊ καὶ χολώδεϊ ξυμφέρει.

CXIX. Κλυσμὸς ἕλκων φλέγμα. Κόκκον τρίβειν τὸν μανδραγόρου ξὺν ὕδατι. 2 κάθαρσις γὰρ παμπόλλη τε καὶ παντοίη ὑπὸ τούτου γίνεται. 3 Σκορόδου μώλυζαν, νίτρον, σύκου τὸ ἔνδον τὸ πῖον, ἴσον τρίψας λεῖα, ὁκόσον κηκῖδα ποιεῖν τὸ μέγεθος, καὶ προσθεῖναι. 4 ἢ κυμίνου φύλλα ἐν οἴνῳ τρίψας ἐρίῳ προσθεῖς. 5 ἢ γῆς λευκῆς ὅσον πόσιν. 6 ἢ λευκὴν ῥίζαν τρίβειν λείην, καὶ μέλι ἐπιχέας, καὶ ἀναζέσας, βάλανόν τε ποιήσας προστιθέναι. 7 ἢ ὀπὸν σιλφίου μετὰ σύκων μαλάσσειν, καὶ βάλανον ποιεῖν. 8 ἀγαθὸν δὲ καὶ σικύης σπέρμα τρίβειν ὁμοίως. 9 ἢ χολὴν ταύρου, καὶ νίτρον ἐρυθρὸν, καὶ νέτωπον, [καὶ] κυκλάμινον· τούτων ὅσον κηκῖδα, τῆς δὲ κυκλαμίνου πλείονα μοῖραν, μέλιτι ξυμμίξασα ἡ θεραπευομένη προστιθέσθω.

10 Πρόσθετον. Κυκλαμίνου τὴν κεφαλὴν καθαίρειν ὕδατι τρίψαι, καὶ ἐς ἄχνην ἀναφορύξαντα προστιθέναι. 11 ἢ σμύρναν, ἅλας, κύμινον, χολὴν ταύρου ξὺν μέλιτι ὁμοίως. 12 ἢ κόκκους ἐκλέψας ὅσον τρεῖς, ἰνδικοῦ φαρμάκου τοῦ τῶν ὀφθαλμῶν ὃ καλέεται, καὶ πέπερι

τοῦ

dam infundito. 30 Si vero biliosa fuerit, colocynthidas duas in lactis asinini cocti quatuor heminis macerato, & cum excolato colluito, oleo narcissino aut anthino ammixto. Aut cucumeris sylvestris internam partem palmi magnitudine, 31 in aquæ potabilis heminis quatuor coquito, & melle ac oleo anthino addito, colluito. 32 Hæc collutio pituitosæ ac biliosæ conducit.

CXIX. Collutio pituitam trahens. Granum cnidium, & mandragoræ liquorem terito cum aqua. 2 Nam purgatio multa & omnis generis ex hac collutione contingit. 3 Aut allii caput integrum, nitrum, ficus internam pinguem partem, æquis portionibus trita ad gallæ magnitudinem efformato, ac apponito. 4 Aut cumini folia cum vino trita, in lana subdito. 6 Aut radicem albam terito, & melle affuso fervefactam in glandem redigito, ac apponito. 7 Aut silphii liquorem cum ficis emollito, & glandem efformato. 8 Bonum est & cucumeris sylvestris semen similiter tritum ac præparatum. 9 Aut fel tauri, & nitrum rubrum, & netopum, ac cyclaminum, illorum quidem gallæ magnitudinem, cyclamini vero ampliorem portionem, melle ammixto mulier quæ curatur apponat.

10 Aliud subdititium. Cyclamini caput purgatum aqua terito, & lana tenera exceptum apponito. 11 Aut myrrham, salem, cuminum, fel tauri, cum melle eodem modo. 12 Aut grana cnidia triginta, & Indici pharmaci oculorum (quod vocatur piper) grana tria, decorticato: & rotundi

τοῦ στρογγύλου τρία. [13] ταῦτα δὲ λεῖα τρίβειν, καὶ οἴνῳ παλαιῷ χλιαρῷ διεὶς, βαλάνιον περὶ πτερὸν ὄρνιθος πλάσαι, καὶ οὕτω προστιθέναι. [14] ἢ τιθυμάλλου ὀπὸν μέλιτι ἀναδεύσας, ἢ σκίλλης ῥίζαν ὅσον ἑξαδάκτυλον, ἑλίξας τοὺς δύο δακτύλους ἐν εἰρίῳ προσθεῖς. [15] ἢ αὐτὴν τὴν σκίλλαν ἄνευ ῥίζης τρίβειν, καὶ ὡσαύτως ἑλίσσειν εἰρίῳ, εἶτα προστιθέναι.

[16] Κλυσμὸς, ἢν φλεγματώδης γυνὴ ᾖ. ἐλλεβόρου δύο πόσιας ἐν οἴνῳ διιέναι γλυκεῖ, ὅσον δύο κοτύλας, καὶ κλύζειν, μίσγοντα, ἢν καθάρσιος δέηται, πράσα [δὲ] δεῖ ἑψεῖν. [17] ἢ ἀκτῆς καρπὸν, ἢ ἄννησον, λιβανωτὸν, σμύρναν, οἶνον· ταῦτα πάντα τρίβειν, καὶ τῷ χυλῷ τουτέων κλύζειν. [18] ἢ κράμβην ἑψήσας ἐν ὕδατι, ἐν τῷ χυλῷ ταύτης ἕψειν τὴν λινόζωστιν, καὶ λίνου σπέρμα, νίτρον ἀποχέας, κλύζε. [19] ἢ κνήστρου πόσιν ἐν μέλιτι διεὶς ἐνιέναι.

CXX. Σκέπτεσθαι δὲ χρὴ τὰ ἐπιμήνια, ἤν τε χολώδεα, ἤν τε φλεγματώδεα ᾖ. [2] ψάμμον ἐς τὸν ἥλιον ὑποβάλλειν λεπτὴν ξηρὴν καὶ, ὅταν τὰ καταμήνια ἴῃ, τοῦ αἵματος ἐπιχέαι, καὶ ἐᾶν ξηρανθῆναι. [3] καὶ ἢν μὲν χολώδεα ᾖ, ἐπὶ τῇ ψάμμῳ ξηραινόμενον τὸ αἷμα χλωρὸν γίνεται. [4] ἢν δὲ φλεγματώδεα, οἷον μύξαι ὁρῶνται. [5] ἢν οὖν φλεγματώδεα ᾖ, κνήστρου ὅσον πόσιν διιέναι, καὶ ξὺν μελικρήτου κοτύλῃ κλύσαι. [6] Καθαρτικὸν μαλθακὸν, [ὃ καὶ] ὕδωρ ἄγει, καὶ δέρματα, καὶ ἰχῶρας ὕφαιμον, καὶ καταμήνια καθαίρει, ἢν καὶ μὴ πολυχρόνια ᾖ, καὶ ὑστέρων στόμα μαλθάσσει. [7] μύρον ναρκίσσινον καὶ κύμινον ὃ ἐσθίεται, σμύρναν τε καὶ λιβανωτὸν, ἀψίνθιον, κύπερον, ῥόδινον ἄλειφα, ἄλφιτα· [8] τούτων τὸ ἴσον τῶν ἄλλων ἑκάστου,

tundi item tria. [13] Hæc autem terito, & vino veteri tepido diluta, instar glandis circum volucris pennam efformato, & sic adhibeto. [14] Aut tithymali succum melle subactum. Aut scillæ radicem longitudine digitorum sex, duobus digitis lana obvolutis subdito. [15] Aut ipsam scillam absque radice terito, & similiter lana obvolutam apponito.

[16] Collutio, si pituitosa fuerit mulier. Veratri potiones duas in vini dulcis heminis duabus diluito, & permixta infundito. Si purgatione opus habuerit, porrum coquere oportet, [17] aut sambuci fructum, anisum, thus, myrrham, vinum: hæc omnia terito, & cum succo horum colluito. [18] Aut brassicam in aqua coquito, & in hujus succo mercurialem coquito, & nitri parum, & excolatum infundito. [19] Aut cnestri potionem in melle dilutam immittito.

CXX. Verum menses considerare oportet, an biliosi sint, aut pituitosi. [2] Ad hoc arenam siccam tenuem in solem subjicito, & quum menses prodierint, sanguinem perfundito, ac siccari sinito. [3] Et siquidem biliosi fuerint, sanguis in arena siccatus viridis evadit. [4] Si vero pituitosi, velut mucus conspicitur. [5] Si igitur pituitosi fuerint, cnestri potionem cum aquæ mulsæ hemina infundito. [6] Purgatorium molle, aquam ducit & pelliculas, ac saniem subcruentam. Detrahit & menses, nisi diuturni fuerint, & uterorum os mollit. [7] Unguentum narcissinum, & cuminum quod editur, myrrham, thus, absinthium, cyperum, unguentum rosaceum. [8] Horum singulorum pares portiones,

ἑκάστου, τοῦ δὲ ναρκισσίνου τέσσαρας μερίδας, ἐπιχλένιον ὠμοῦ λίνου ξυμμείξας, πάντα τρίψον, 9 καὶ ποίησον βάλανον περὶ πτερὸν, ῥάκος λεπτὸν περιελθεὶς καταδῆσαι, καὶ ἐμβάψαι ἐς ἄλειφα λευκὸν αἰγύπτιον, καὶ προστιθέναι, καὶ ἐᾶν ὅλην τὴν ἡμέρην. 10 λυσαμένη δὲ καὶ ἀφαιρουμένη, διανιζέσθω τῷ ὕδατι τῷ εὐώδει. 11 Ἕτερον καθαρτικὸν, [ὃ] ὕδωρ ἄγει, καὶ δέρματα, καὶ μύξας, καὶ ἰχῶρα ὕφαιμον. 12 σμύρναν, ἅλας, κύμινον, χολὴν ταύρου, ταῦτα συμμίξας, καὶ μέλιτι φυρήσας, καὶ ἐς ῥάκος ἐνθεὶς, προστιθέναι· ἡμέρην δὲ ὅλην ἐντιθέσθαι, εἶτα λυσαμένη καὶ ἀφελομένη, διανιζέσθω ὕδατι τῷ εὐώδει. 13 Ἄλλο. ἅλας, κύμινον, χολὴν ταύρου, μέλιτι ἀναφυρέειν, καὶ προστίθεσθαι. 14 καὶ σίλφιον τῷ σύκῳ μίξαι, καὶ προστίθεσθαι, εἶτα διανίψαι μύρῳ ῥοδίνῳ. 15 ἢ κόκκους κνιδίους ἐκλέψαντα, πόσιν τε τρίψαντα, καὶ βάλανον ποιέειν. 16 ἢ σκόροδον, καὶ νίτρον ἐρυθρὸν, καὶ σῦκον. τούτων ἑκάστου ἴσον μίξας μέλιτι, δοῦναι προστίθεσθαι. καὶ ἐπὴν ἀφέληται, ἐλάφου στέαρ προστίθεσθαι, τήξας ἐν οἴνῳ. 17 ἢ πεπέρεως κόκκους πέντε, ξὺν ἐλατηρίῳ ὀλίγῳ· διαστάζειν δὲ γυναικὸς γάλα ἐν εἰρίῳ, ἐς μύρον ἀποβάψας προστιθέναι δὲ καὶ ἀφελεῖν ὡσαύτως. 18 ἢ σύκου τὸ πιότατον ξὺν ἐλατηρίου πόσει, καὶ νίτρου ἐρυθροῦ τὸ ἴσον, καὶ μέλιτος ἴσον ὡσαύτως. 19 ἢ χολὴν ταύρου, καὶ νίτρον ἐρυθρὸν, νέτωπον, κυκλάμινον ἴσον, ὅσον κηκίδα, ἐν μέλιτι. 20 ἢ χολὴν ταύρου ἐς αἰγύπτιον ἔλαιον βάψασα προστιθέσθω, καὶ ἀφελομένη ῥοδίνῳ. 21 ἢ σικύης τῆς μακρῆς τὴν ἐντεριώνην, τὸ σπέρμα ἐξελὼν ξὺν γάλακτι γυναικὸς κουροτρόφου,

tiones, narcissini vero quatuor partes sumito, & crudi lini pulvillo dum à stuga depectinatur ammixto, omnia terito, 9 & glandem circum pennam efformato, & linteo tenui circundato deligato, & in oleum album ægyptium tingito, ac apponito, & per totam diem sinito. 10 Et ubi lavit & amovit, aqua odorata perluatur. 11 Aliud purgatorium. Ducit aquam & pelliculas, & mucos, & saniem subcruentam. 12 Myrrham, salem, cuminum, fel tauri, melle subacta & linteo indita apponito, & totum diem insita sinito. Deinde ubi lavit & amovit, aqua odorata perluatur. 13 Aliud. Salem, cuminum, fel tauri, melle subigito ac subdito. 14 Et silphium ficui ammisceto ac apponito: deinde unguento rosaceo illinito. 15 Aut grana cnidia decorticato, potionemque ipsorum terito, ac in glandem efformato. 16 Aut allium & nitrum rubrum, & ficum, paribus portionibus melle ammixto subdenda dato. Et ubi amoverit, cervi adipem apponat in vino liquefactum. 17 Aut piperis grana quinque cum modico elaterio, mulicbri lacte instillato, in lana unguento tincta apponat, ac amoveat eodem modo. 18 Aut pinguissimam ficus partem cum elaterii potione, & nitri rubri ac mellis æquali portione eodem modo. 19 Aut fel tauri, nitrum rubrum, netopum, cyclaminum, paribus portionibus eodem modo cum melle in glandem efformato. 20 Aut fel tauri oleo ægyptio tinctum apponat: & eo amoto rosaceum illinat. 21 Aut cucumeris sylvestris longi internam partem, exempto semine, cum lacte mulieris

φυ, καὶ σμύρναν ἄκρητον, καὶ μέλι ὀλίγον, καὶ μύρον αἰγύπτιον τρίβειν καὶ προστιθέναι. 22 ἢ τὴν ἐντεριώνην σικύης ἀγρίης αὐῆναι, κόψαι δὲ ἄνευ τοῦ σπέρματος, καὶ μέλι ἐμβαλεῖν, καὶ ἀναζέσαι, καὶ βάλανον ποιεῖν εὐμήκεα, καὶ βάπτειν ἐς ἔλαιον λευκόν. 23 ἢ τὴν ἀγρίην κολοκύντην ὡσαύτως. 24 ἢ ἐλατηρίου τρεῖς πόσιας ἐν σταιτὶ τρίβειν, καὶ βάλανον ποιεῖν. 25 Ἄλλο ὁμοίως. κόκκους ἐκλέψας τρεῖς, ὅσον πόσιν ἑψήσας, καὶ μέλι περιχέαι καὶ προσθεῖναι. 26 ἢ ῥόδινον ἄλειφα.

CXXI. Ὅσαι δὲ βάλανον προστίθενται, ἐμπήξαντα χρὴ πρότερον ἐς τὴν βάλανον, ἔπειτα ῥάκος περιθεῖναι λεπτὸν ἐν εἰρίῳ, βάψαντα ἄλειφα αἰγύπτιον προστιθέναι. 2 ἄγει δὲ μάλιστα καὶ δέρματα ἀφαιρεῖται. 3 Πρόσθετα καθαρτικὰ ἰσχυρά, ὕδωρ ἄγειν δυνάμενα, καὶ μύξας, καὶ δέρματα μᾶλλον τῶν πρόσθεν. 4 τοῦ πεπέριος κόκκους τέσσαρας τῶν μεγίστων, ἢ καὶ τῶν μικρῶν, εἰ δέοι, ἐλατηρίου πόσιν συμμίξας, τρίβε λεῖα, 5 παραστάζων γυναικὸς γάλα, καὶ μέλι ὀλίγον ἀναφυρήσας. 6 τοῦτο ἐς εἴριον μαλθακὸν καθαρὸν περὶ πτερὸν περιελίξας ῥάκεα, καὶ καταλαβὼν προστιθέναι ἐς λευκὸν ἄλειφα αἰγύπτιον βάπτων. 7 προσκείσθω δὲ ἡμέρην καὶ, ἐπὴν δὲ ἀφέληται, προστιθέσθω τὸ στέαρ τοῦ ἐλάφου. 8 Πρόσθετα καθαρτικά, ἢν μὴ ποτὰ καθαίρῃ. λινόζωστιν τρίψας καὶ σμύρναν προστιθέναι.

CXXII. Πρόσθετα ὁμοίως καθαρτικά, χορία δυνάμενα ἐκβάλλειν καὶ καταμήνια κατασπᾶν, καὶ ἔμβρυον ἀποπληκτὸν ἐξάγειν. 2 κανθαρίδας πέντε, ἀπο-

lieris masculum alentis, & myrrham puram, & modicum mel, & unguentum ægyptium, terito & apponito. 22 Aut cucumeris sylvestris partem internam siccato, & sine semine tundito, & adjecto melle fervefacito, & glandem oblongam efformato, atque oleo albo tinctum subdito. 23 Aut sylvestrem cucurbitam eodem modo. 24 Aut elaterii potiones tres cum farinæ massa terito, & glandem formato. 25 Aliud similiter faciens. Grana cnidia decorticata trium potionum mensura coquito, & melle affuso apponito. 26 Deinde rosaceum illinito.

CXXI. Quæcunque vero glandem subdunt, eas prius lanam in glandem insigere, deinde linteum tenue circumdare oportet, atque sic oleo ægyptio tinctam apponere. 2 Ducunt autem hæc maxime, & pelliculas auferunt. 3 Subdititia purgatoria fortia, quæ aquam ducere possunt, & mucos, ac pelliculas, magis quam priora. 4 Piperis grana quatuor maxima, aut etiam parva, si opus fuerit, ac elaterii potionem ammixta terito, 5 & muliebri lacte instillato, cum modico melle subigito. 6 Atque hæc in lanam mollem circum pennam obvolvito, & linteo circumdato apponito, ubi prius in oleum ægyptium tinxeris. 7 Maneant autem subdita per diem: & ubi amoverit, adipem cervi apponat. 8 Subdititia purgatoria, si potiones non purgarint. Mercurialem tritam ac myrrham apponito.

CXXII. Potiones, similiter purgatoriæ, quæ secundas ejicere possunt, & menses detrahere, & fœtum enectum educere. 2 Cantharides quinque, alis &

πόδας καὶ τὰ πτερὰ καὶ τὰ σκέλεα καὶ τὴν κεφαλήν· εἶτα τρίβολον τὸν θαλάσσιον κόψας τῇσι ῥίζῃσι καὶ τοῖσι φύλλοισι καὶ τὸ χλωρὸν τὸ ἔξω τρίψας ἴσον, καὶ σελίνου σπέρματος, καὶ σηπίης ᾠὰ πεντεκαίδεκα, ἐν οἴνῳ γλυκεῖ κεκρημένῳ [διδόναι,] καὶ ἐν ὕδατι θερμῷ καθίννυσθαι. [3] καὶ 453 μελίκρητον ὑδαρὲς, καὶ οἶνον γλυκύν. [4] καὶ τοῦ [ἄνθεος] 454 τετριμμένου ὅσον στατῆρα αἰγιναῖον ἐν οἴνῳ γλυκεῖ πίνειν. [5] ἐπὴν δὲ ὀδύνην ἔχῃ, λευκοὺς ἐρε-
15 βίνθους καὶ ἀσταφίδας ἑψήσας ἐν ὕδατι, καὶ ψύξας, διδόναι πιεῖν. [6] ὅταν ἡ στραγγουρίη ἔχῃ, ἐν ὕδατι χλιαρῷ καθήσθω, καὶ οἶνον πινέτω γλυκύν.

CXXIII. Πάσης νούσου δυνάμενον καὶ ἀναστομῶσαι, καὶ καθῆραι. 455 [2] σμύρναν ὀλίγην, καὶ ἐλελίσφακον, καὶ ἄννησον τρίψας χρῶ. [3] Καθαρτικὸν δυνάμενον 456 ἄτοκον καθῆραι. [4] ἢν τὸ στόμα 457 τῆς μήτρης ὀρθῶς ἔχῃ, πυρίην βόλβιτον ξηρὸν κόψας καὶ διασήσας τέσσαρας χοίνικας, ὄξους δὲ κοτύλας δέκα, καὶ οὔρου βοείου ἕτερον τοσοῦτον, καὶ θαλάσσης ἅλ-
20 μης κοτύλας εἴκοσι. [5] πυρίην 458 δὲ βληχροῖσι πουλὺν χρόνον. [6] εἶτα λουσαμένη φάκιον πιοῦσα, καὶ μέλι καὶ ὄξος μεμιγμένον πιοῦσα ἐμεσάτω. [7] καὶ ῥοφέειν ἄλευρον δοῦναι, καὶ ἐπιπιεῖν οἶνον εὐώδεα παλαιὸν ἐξηθριασμένον. [8] σίτου δὲ μὴ γευέσθω τῇ τοιαύτῃ ἡμέρῃ. [9] τῇ δὲ δευτέρῃ κόκκον δοῦναι κνίδειον. [10] τῇ δὲ τρίτῃ δοῦναι διουρητικὸν, ἀσταφίδας καὶ ἐρεβίνθους λευκοὺς δύο 459 χοίνικας, καὶ ἐπιχέαι ὕδατος

τρία

cruribus ac capite avulsis, & 290 tribulum ad mare natum cum radicibus ac foliis tritum conchæ mensura, & euanthemi viridem sive luteam internam partem, & seminis apii tantundem, & sepiæ ova quindecim, in vino dulci temperato bibenda dato. Et ubi dolor habuerit, in aqua calida desideat, [3] & aquam mulsam aquosam bibat, & vinum dulce. [4] Alia. Ranunculi foliorum ac floris triti, æginæi stateris pondus in vino dulci bibat. 295 [5] Quum autem dolor habuerit, cicer album & uvas passas in aqua coquito, & perfrigeratam bibendam dato. [6] Et ubi urinæ stillicidium vexarit, in aqua tepida desideat, & vinum dulce bibat.

CXXIII. Aliud ad omnem morbum, & aperire, & purgare potens. [2] Myrrham modicam 300 & salviam, & anisum terito ac utitor. [3] Purgatorium quod sterilem purgare potest. [4] Si os uteri non recte habuerit, stercus bubulum siccum tusum ac cribratum quatuor chœnicum mensura, & aceti heminas decem, & urinæ bubulæ tantundem, & salsuginis marinæ heminas viginti, [5] pro fomento adhibeto: & ad multum tempus hoc leniter facito. [6] Deinde lota, ubi lenticulæ decoctum, & mel ac ace- 305 tum mixta bibat, vomat. [7] Et farinam sorbendam dato: & vinum odoratum vetus sub dio per noctem expositum, insuper bibendum. [8] Cibum autem ea die ne gustet. [9] Sequenti vero granum cnidium devorandum dato. [10] Tertia vero pharmacum urinam ciens adhibeto, ita ut uvas passas & cicer album, duarum chœnicum mensura sumas,

τρία ἡμιχόεα. [11] ἔπειτα ἀποχέας πρὸς τὴν αἰθρίην θεῖναι, καὶ τῇ ὑστεραίῃ πίνειν, [12] καὶ τοῖσι προσθέτοισι χρέεσθαι.

[13] Ἔγχυτον καθαρτικὸν καταμηνίων. βόλβιτον πλάσαι ὅσον σκαφίδα, φυρῶν δὲ καὶ ξυμμίσγειν τοῦ κυπαρίσσου τὰ πρίσματα, ξηραίνειν δὲ ἐν τῷ ἡλίῳ, καὶ ἐς τοῦτο τὰ θυμιήματα ἐμβάλλειν. [14] Εἰς ὅμοιον πάθος. ἢν τὰ καταμήνια ἴῃ, ἀκάνθης λευκῆς τὰ φύλλα τρίψας καὶ ἐξηθήσας ἐπιχλιήνας ἐγχέειν. [15] Κατάχριστον καθαρτικὸν ὥστε μήτρας καθαίρειν. πράσου σπέρμα καὶ καρδαμώμου τρίψας, ἐν οἴνῳ τε δεὶς καὶ γάλακτι ἑφθῷ, διαχρίειν τὴν νειαιρὴν γαστέρα.

[16] Κατάχριστον μαλθακτήριον· ὕδωρ δὲ ἄγει καὶ μύξας καὶ δέρματα, καὶ λοχεῖα φέρει, καὶ οὐχ ἑλκοῖ. [17] σμύρνης ὡς ἀρίστης ἥμισυ, καὶ ἁλὸς χόνδρον ὁμοίως, πίσσαν ἡδυντὴν φλάσας, μίξας τε λεῖα. [18] ἔστω δὲ τὸ τῆς σμύρνης τὸ ἥμισυ τοῦ ἁλὸς, καὶ τῆς πίσσης· ἐμβαλεῖν ἐς ῥάκος τῆς πεφλασμένης μέγεθος ὅσον κηκῖδα μεγάλην. [19] δύο δὲ ἔστω, ὡς τὸ μὲν ἡμέρας ἔχειν, τὸ δὲ εὐφρόνης, ἔς τ' ἂν καταταχῇ. [20] λουέσθω δὲ θερμῷ, εἶτα ἀφαιρέουσα διανιζέσθω ὕδατι εὐώδει. [21] Καθαρτικὸν ἄτοκον καθῆραι, ἢν τὸ στόμα τῶν μητρέων ὀρθῶς ἔχῃ. [22] ἢν ἄτοκον θεραπεύῃς, βόλβιτον αὖον ἡλίου διασείσας ὅσον τέσσαρας χοίνικας ἀττικὰς, ὄξεος δὲ κοτύλας δέκα, καὶ ὀροβίου χοίνικα, καὶ θαλάσσης κοτύλας εἴκοσι, πυριῆσαι ἀλέα πουλὺν χρόνον. [23] ἔπειτα φακῖον ποιῆσαι, καὶ μέλι καὶ ὄξος μίξαι,

& aquæ ſemicongios tres affundas. [11] Deinde facta coctura excoles, & ſub dio per noctem exponas, & poſtera die bibendum prębeas: [12] & ſubdititiis pharmacis utatur.

[13] Aliud purgatorium menſium. Stercus bubulum velut conchæ teſtam efformato, & cupreſſi ramenta ammiſceto ac ſubigito, & in ſole ſiccato: & in hoc ſuffimenta injicito, ac ſuffito. [14] Aliud quod infunditur ad ſimilem affectionem, ſi menſes non prodeant. Spinæ albæ folia trita, & excolata ac tepefacta infundito. [15] Illitio purgatoria, quæ uteros purgat. Porri & naſturtii ſemen tritum, & vino ac lacte cocto dilutum, imo ventri illinito.

[16] Illitio mollitoria. Ducit aquam, & mucos, & pelliculas: & puerperii purgamenta detrahit, & non exulcerat. [17] Myrrhæ optimæ dimidiam partem, & ſalis granum, & picem aromatibus conditam, contundito, ac trita miſceto. [18] Sit autem myrrhæ dimidia pars, ad ſalem ac picem contuſam: hæc in linteum ad gallæ magnæ magnitudinem efformata immittito. [19] Sint autem duo lintea, ut alterum in die, alterum nocte habeat, donec colliqueſcant. [20] Lavetur autem calida. Et deinde ubi amovit, aqua odorata perluatur. [21] [Medicamentum infecundam purgans, ſi os uteri bene habet. [22] Si infecundam cures, fimum bubulum ſole ſiccatum cribratumque ad quatuor chœnicas atticas, aceti heminas decem, & ervi farinæ chœnicem, & marinæ heminas viginti pro fotu tepide adhibeto longo tempore. [23] Deinde lenticulæ decoctum facito,

μίξας, καὶ ἐμείτω, 24 καὶ ῥοφεέτω 40 ἄλητον, καὶ ἐπιπινέτω οἶνον εὐώδεα· 25 σίτου δὲ μὴ ἁπτέσθω ταύτῃ τῇ ἡμέρῃ. 26 τῇ δ' ὑστεραίῃ κόκκον δοῦναι καταπότον. 27 τῇ δὲ τρίτῃ διουρητικόν. 28 ἐὰν δὲ βούλῃ, λευκὴν σταφίδα καὶ ἐρεβίνθους λευκοὺς δύο χοίνικας, ἐπιχέας ὕδατος τρία ἡμιχόεα. 29 ἀφελεῖν δὲ τὸ ἥμισυ, εἶτα ἐς τὴν αἰθρίην θεῖναι, καὶ τῇ ὑστεραίῃ πίνειν ἐκ τούτου κατ' ὀλίγον, 30 καὶ τοῖσι προσθέτοισι χρέεσθαι.

CXXIV. Ἢν βούλῃ γυναῖκα 466 κυῆσαι, καθῆραι αὐτὴν καὶ τὰς μήτρας. 2 ἔπειτα δίδου ἄλητον ἐσθίειν 467 45 νῆστιν καὶ οἶνον ἐπιπίνειν ἄκρητον, 3 καὶ προστιθέναι νίτρον ἐρυθρόν. 4 καὶ κύμινον, καὶ ῥητίνην μέλιτι δεύσας, ἐν ὀθονίῳ προσθεῖς. 5 καὶ, ὅταν τὸ ὕδωρ ἀποῤῥυῇ, τοὺς μέλανας πεσσοὺς προστιθέσθω μαλθακτήριον, καὶ τῷ ἀνδρὶ συνευνάσθω.

CXXV. Ἢν δὲ τὸ στόμα μεμύκῃ, 468 προστιθέσθω καὶ ὀπὸν συκῆς, μέχρις ἂν ἀναστομωθῇ, καὶ ὕδατι αὐτίκα ἀπονιζέσθω. 2 ἴρηκος δὲ ἄφοδον τρίβειν ἐν οἴνῳ γλυκεῖ, καὶ πίνειν νῆστιν, καὶ τηνικαῦτα συνευναζέσθω τῷ ἀνδρί. 3 ἢ, ὁκόταν τὰ καταμή- 263 νια παύσηται, χηνὸς ἢ ἀλώπεκος ἄφοδον ἐν ῥοδίνῳ μύρῳ τρίβειν, καὶ τὸ αἰδοῖον χρίεσθαι καὶ συνευνάζεσθαι.

CXXVI. Ἢν ἕλκεα ᾖ δριμέα, καὶ φλεγμαίνῃ, χρῆ τῷδε κλυσμῷ. 2 χηνὸς ἔλαιον, καὶ ῥητίνην μίσγε, καὶ διεὶς ὕδατι χλιαρῷ κλύσαι. 3 ἢ μέλιτι βούτυρον μίξας τῆξαι καὶ κλύσαι. 4 ἢ ἐχετρώσιος ξύσαι ὅσον σκαφίδα μικρὴν, καὶ σμύρνην, καὶ μέλιτος ὁμοίως· ταῦτα διεῖναι ἐν οἴνῳ μέλανι εὐώδει, καὶ κλύζειν χλιαρῷ. 5 Ἢν ἑλκωθῇ ἢ φλυκ- 469 ταινῶν ἀνάπλεα ᾖ ἐν τῇ καθύπερ-

θε

cito, & mel cum aceto dato, ac vomat, 24 sorbeatque farinam, & superbibat vinum odoratum: 25 Cibo autem abstineat eo die. 26 Sequenti vero grana cnidia devoranda dato: 27 tertia autem quod urinas cieat. 28 si voles passas albas & cicera alba ad duas chœnicas, affundens aquæ tria semicongia. 29 Dimidio ablato reliquum sub dio ponito, & postridie ex eo bibendum paulatim dato. 30 Utendum quoque subdititiis.]

CXXIV. Si voles mulierem concipere, ipsam & uteros purgato: 2 deinde jejunæ farinam edendam dato, & vinum ' meracum insuper bibendum: 3 & nitrum rubrum, 4 aut cuminum, & resinam, melle subigito, & in linteo subdito, 5 & ubi aqua defluxerit, nigros subdititios talos ad emolliendum apponito, & cum viro concumbat. 325

CXXV. Si vero os conclusum fuerit, etiam fici succum apponat, donec fuerit apertum, & statim aqua eluat. 2 Cæterum accipitris stercus in vino dulci terat, & jejuna bibat, & tunc viro condormiat. 3 Aut ' ubi menses desierint, anseris aut vulpis stercus, in rosaceo unguento terat, & pudendum illinat, ac condormiat. 330

CXXVI. Si ulcera fuerint acria & inflammata, hac collutione utere. 2 Adipem anseris & resinam misce, & aqua tepida diluta infunde. 3 Aut butyrum melli ammixtum liquefacito ac infunde. 4 Aut bryoniæ albæ conchæ testam parvam deradito, & myrrham ac mel similiter: hæc in vino nigro ' odorato diluito, ac tepida infundito. 5 Si ulcerata aut pustulis plena fuerint summa 335

labra,

τὰ ἄκρα τὰ χείλεα. 6 σάρκα βοὸς, ἢ πικέριον, ἢ χήνειον ἄλειφα, καὶ ἄννησον, ἢ κόκκον, ἢ κρόκον κυπρίην, τρίψαι ταῦτα πάντα, καὶ περιαλεῖψαι τὴν σάρκα, καὶ προστιθέναι. 7 Ἢν ἕλκεα γένηται καὶ ὀδάξηται. 8 βοὸς σάρκα, στέαρ ἐπαλείφειν, καὶ τὴν σάρκα προστιθέναι, καὶ ἐγκλύζειν. ἢν ῥυπαρὰ ᾖ, καὶ πυρίην συκῆς 470 ἀπὸ ῥίζης, καὶ μετέπειτα καὶ πίονος 10 ἐν γλυκεῖ πινέτω. 9 Ἢν ἐν τοῖ- 471 σιν αἰδοίοισι τὰ ἕλκεα γένηται. 10 βόειον στέαρ ἐπαλείφειν, καὶ μυρσίνην ἐν οἴνῳ καθεψῶν διακλυζέτω τῷ οἴνῳ, ἢ ἐλαίας φύλλα, καὶ βάτου, καὶ ῥοιῆς, καὶ ὁ οἶνος ἔστω πράμνιος. 11 ταῦτα δὲ οὕτως ποιέειν, καὶ περσέης φύλλα, τοῦ δένδρου δηλαδὴ, λεῖα τρίψαι, καὶ πρὸς τὰ αἰδοῖα τιθέναι. 12 ἢ ἀννήθου καρπὸν καὶ σελίνου τρίψας ἐπίχριε.

CXXVII. Ἢν ἀφθήσῃ τὰ αἰδοῖα, πῶς δεῖ ἰᾶσθαι. 2 σάρκα βοὸς ὡσεὶ δύο παλαιστῶν τὸ μῆκος, 15 πάχος δὲ ὡσεὶ στελεὸς, προσ- 472 τιθέσθω μέχρις ἑσπέρης· 3 τὴν δὲ νύκτα αἴρειν. τῇ δ' ὑστεραίῃ πάλιν προστιθέσθω μέχρι μεσημβρίης, 4 καὶ ἐπιπινέτω οἶνον γλυκὺν, μέλιτι τὸν οἶνον ξυμμίσγουσα. 5 Κλύσμα, ἢν ἡλκωμέναι ἔωσιν αἱ μῆτραι, καὶ ἢν στραγγουρίη ἐπιλάβῃ. 6 πράσα, ἀκτῆς καρ- 473 πὸν, σέσελι, ἄννησον, λιβανωτὸν, σμύρναν, καὶ οἶνον ἴσον τῷ χυλῷ τούτων, μίξας ταῦτα καὶ ἀναζέσας, ψύχειν μετρίως καὶ κλύζειν. 7 ἢ μέλι, βούτυρον, μυε- 474 20 λὸν, καὶ κηρὸν ἐνιέναι καὶ χρίσαι. 8 Ἃ ὅσα ἐν αἰδοίῳ ἕλκεα ἐστὶ καὶ φύεται. 9 Φύλλα ἐλαίης, τε βά- 475

labra, 6 carnem bubulam sumito, & butyrum sive adipem anserinum, & anisum aut crocum, aut spodium cyprium: hæc omnia terito, & carni oblita apponito. 7 Si ulcera fiant ac mordeant, 8 bubulam carnem adipe illinito, & carnem subdito. Et si sordida fuerint, eluito, & fomentum ex fici radice adhibeto. Et postea etiam de pinguedine in 340 vino dulci bibat. 9 Si in pudendis fiant ulcera, 10 bubulum adipem illinito. Et myrtum in vino coquito, & cum vino perluat. Aut oleæ folia, & rubi, & mali punicæ, eodem modo. Sit autem vinum pramnium. 11 Atque hæc quidem sic facienda sunt. Et perseæ arboris videlicet folia terito, & ad pudenda apponito. 12 Aut anethi & apii semen tritum illinito.

CXXVII. Si fervido ac superficiario ulcere pudenda laborent, 345 sic curare oportet. 2 Carnem bubulam longitudine duorum palmorum parvorum, crassitudine vero ligni quod in foramen bipennis immittitur, pudendi videlicet virilis forma, usque ad vesperam apponat. 3 Noctu vero auferat. Postera die autem rursus apponat usque ad meridiem: 4 & bibat vinum dulce, melle ad vinum ammixto. 5 Collutio si ulcerati fuerint uteri, & 350 si urinæ stillicidium vexarit. 6 Porrum, sambuci fructum, seseli, anisum, thus, myrrham, & vinum æquali mensura ad horum succum: hæc mixta & fervefacta frigefacito, & moderate colluito. 7 Aut mel, butyrum, medullam, & ceram immittito, ac illinito. 8 Ad ulcera quæ in pudendo sunt ac enascuntur. 9 Folia oleæ, & rubi, & hederæ, & mali

του, καὶ κισσοῦ, καὶ ῥοιῆς γλυκείης, τρίβειν λεῖα, διεὶς δὲ οἴνῳ παλαιῷ, εἰρίῳ προστίθεσθαι τῇ νυκτὶ πρὸς τὰ αἰδοῖα, καὶ καταπλάσσειν ἐν τούτοισιν. [10] ὅταν δὲ ἡμέρη γένηται, ἐρύσαι. [11] ἀφεψεῖν δὲ μύρτα ἐν οἴνῳ, καὶ διακλύζεσθαι. [12] ἢ χηνὸς ἔλαιον καὶ ῥητίνην τῆξαι καὶ κλύσαι. [13] ἢ βούτυρον καὶ κέδρινον ἔλαιον μέλιτι παραμίσγειν μικρὸν, καὶ κλύζειν. [14] Ἕλκεα ἐν μήτρῃσιν ἀποξηραίνειν· ἀργύρου ἄνθος ἐν οἴ- 25 476 νῳ τρίψαι καὶ κλύσαι. [15] ἢ βούτυρον μετὰ μέλιτος κλύσαι. [16] ἢ ἐχάτρωσιν, καὶ σμύρναν, καὶ μέλι οἴνῳ διιέναι, οἴνῳ δὲ μέλανι χλιηρῷ, καὶ κλύζειν τῇ ὑστεραίῃ. [17] ἢ σχίνου φύλλα ἑψήσας ἐν ὕδατι τούτῳ μετακλύζειν. [18] Ἄλλο, ἢν ἑλκωθῇ τὸ στόμα τῶν μητρέων. [19] βούτυρον, λιβανωτὸς, σμύρνη, ῥητίνη, μυελὸς ἐλάφου τούτοισι κλύζειν. [20] ἢ φακὴν ἑψεῖν ἐν ὕδατι, καὶ ἀποχέας τὸ ὕδωρ, ἐν τούτῳ κλύζειν.

[21] Ὅταν δὲ ὕδωρ ἐκ τῶν ὑστερέων ῥέῃ, καὶ ἕλκεα ᾖ, καὶ δάκνη- 30 ται, χηνὸς στέαρ καὶ ὠὸν διαχρίεσθαι. [22] ἢ οἴος στέαρ, ἢ συὸς, καὶ φακὸν ἐν οἴνῳ ἑψεῖν, καὶ κεκρημένον ἴσον τῷ ὕδατι, τούτῳ κλύζειν. [23] τὰ δὲ ἐν τῷ αἰδοίῳ ἕλκεα ἐν τούτῳ καταιονᾷν, ἐπιπάσσειν δὲ μάνναν, βάτον, πίτυος φλοιόν· καὶ τῷ ὕδατι τούτων νιψάσθω.

CXXVIII. Διεκβόλιον, ἢν ἀποθάνῃ τὸ ἔμβρυον. [2] χαλβάνης ὅσον ἐλαίην ἐνειλίξας ἐς ὀθόνιον κέδρινον ἐμβάψασα, προστιθέσθω πρὸς τὸ στόμα τῆς μήτρης. [3] Ἕτερον. κάλαμον εὐώδεα καὶ σικύης ἐντεριώνην τρίψαι ἐν χηνείῳ στέατι· 35 [4] ἐπιδῆσαι δὲ τὸν ὀμφαλὸν καὶ τὸ ἦτρον· [5] καὶ σμικρὸν ἀπ' αὐτοῦ ἐνστά-

mali puuicæ dulcis terito, & vino veteri diluta, ' noctu in lana 355 pudendis apponito, & pro cataplasmate adhibeto. [10] Quum autem dies venerit, detrahito: [11] & myrti baccas in vino coquito, ac colluito. [12] Aut anseris adipem & resinam liquefacito ac infundito. [13] Aut butyrum & oleum cedrinum, modico melle ammixto, infundito. [14] Ad ulcera in utero resiccanda. Argenti florem in vino terito ac infundito. [15] Aut butyrum cum melle infundito. [16] Aut ' bryoniam 360 albam, & myrrham, & mel, vino diluta infundito. Postridie vero vino nigro tepido eluito. [17] Aut lentisci folia in aqua coquito, & cum hac postea colluito. [18] Si ulceratum fuerit os uterorum, [19] butyrum, thus, myrrham, resinam, medullam cervinam infundito. [20] Aut lenticulam in aqua coquito, & cum excolata aqua colluito.

[21] Quum vero aqua ex uteris fluxerit, & ulcera fuerint, & lancinarint, ' anseris adipem & 361 ovum illinito. [22] Aut ovillum aut suillum adipem, & lentem in vino coquito, & hoc pari aqua temperatum infundito. [23] Quæ vero in pudendo sunt ulcera, cum hoc perfundito: & mannam thuris, rubum, pini corticem inspergito; & cum aqua horum laventur.

CXXVIII. Expulsorium, si mortuus fuerit fœtus. [2] Galbanum olivæ magnitudine linteo involutum, ac oleo cedrino tinctum, ad os ' uteri apponat. [3] A- 370 liud. Calamum odoratum, & cucumeris sylvestris medullam, cum adipe anserino terito: [4] Deliget autem umbilicum & pectinem, [5] & de hoc modicum lanæ instilla-

ἐνστάξασα ἐς εἴριον, προστιθέσθω πρὸς τὸ στόμα τῆς μήτρης, καὶ ἐκ τούτου κατ' ὀλίγον ἕλκεται. 6 Ἄλλο. ἐρυθρόδανον κόψας καὶ κέδρου πρίσματα, ὕδωρ τε ἐπιχέας, τίθει ἐς τὴν αἰθρίην· εἶτα πρωῒ δὸς πρὸς τὰς ἀλγηδόνας. 7 Ἄλλο. σιλφίου ὁκόσον δραχμὴν μίαν, καὶ πράσου χυλὸν ὁκόσον ὀξύβαφον, παραμίξας κέδρινον ἔλαιον ἥμισυ κυάθου μικροῦ δὸς πιεῖν. 8 Ἄλλο. ταύρου χολὴν ὅσον ὀβολὸν, ἢ ἡμιωβόλιον τρίβων ἐν οἴνῳ δός. 9 ἢ [ἐν] σταιτὶ περιπλάσας ὡς πάλην καύσας πιεῖν δίδου. 10 Ἄλλο. καρκίνους ποταμίους πέντε, καὶ λαπάθου, καὶ πηγάνου ῥίζαν, καὶ αἰθάλην ἀπὸ τοῦ ἰπνοῦ, τρίψασα ὁμοῦ πάντα, καὶ ἑνώσασα ἐν μελικρήτῳ, ὑπαίθριον θεῖσα, πινέτω νῆστις ἐκ τρίτου. 11 Ἄλλο. σικύης ἐντεριώνην τρίψας λείην, ἐν κεδρίνῃ πίσσῃ ἐς εἴριον ἐνελίξας, προσδήσας πρὸς τὸ πτερὸν λίνῳ, προστιθέσθω εἴσω. 12 τοῦ δὲ πτεροῦ τὸ σκληρὸν προσεχέτω μικρὸν ἔξω ἐκ τοῦ εἰρίου. 13 ὅταν δὲ αἷμα φανῇ, ἀφελέσθω. 14 Ἄλλο. ἐλλεβόρου μέλανος λαβὼν ῥάβδιον ὅσον ἓξ δακτύλων, περιείλιξον ἐν εἰρίῳ, τὸ δὲ ἄκρον ἔα ψιλὸν εἶναι, εἶτα προστιθέσθω εἴσω ὅτι μάλιστα. 15 ὅταν δὲ αἱμαχθῇ τὸ ἄκρον, ἀφελέσθω. 16 Ἄλλο. ἐλλέβορον μέλανα, καὶ κανθαρίδας, καὶ κόνυζαν τρίψας ἐν ὕδατι, καὶ ποιήσας βάλανον μαλθακὸν, ὅσον ἑξαδάκτυλον, ξήρανον· 17 καὶ ἐπὴν δὲ σκληρὸν γένηται, εἰρίῳ περιελίξασα προσθέσθω, τὸ δὲ ἄκρον κεδρίνῃ χρισάτω, καὶ ἔστω ψιλόν. 18 ὅταν δὲ αἷμα φαίνηται, ἀφελέσθω. 19 Ἐκβόλιον. ἢν ἔμβρυον τεθνεὸς ἔνδον ᾖ ἢ ἀπόπληκτον. βατράχιον καὶ ἐλατήριον μικρὸν

instillatum, ad os uteri apponat. Et ab hoc paulatim extrahetur 6 Aliud. Rubiam & cedri ramenta contundito, & aqua affusa sub dio per noctem exponito. Deinde mane ad dolores partus exhibeto. 7 Aliud. Silphii drachmam unam, & porri succi acetabulum, cedrini olei dimidio cyatho parvo ammixto, bibenda dato. 8 Aliud. Tauri fel oboli unius aut semioboli pondere in vino trito ac exhibeto. 9 Aut fermento oblitum, torrefactum devorandum dato. 10 Aliud. Cancros fluviatiles quinque, & rumicis ac rutæ radicem, & fuliginem de furno, omnia simul trita, & cum aqua mulsa unita, sub dio per noctem exponat, & jejuna ter bibat. 11 Aliud. Cucumeris sylvestris medullam tritam, in cedrina pice lanæ involvito, & cum filo ad pennam deligato: apponat autem intro, 12 ita ut pennæ dura pars paululum foras promineat ex lana. 13 Quum autem sanguis apparuerit, amoveatur. 14 Aliud. Veratri nigri virgulam longitudine sex digitorum lana involvito, extremam vero ipsius partem nudam sinito. Deinde quam maxime intro apponat, 15 & ubi extrema pars cruentata fuerit, amoveat. 16 Aliud. Veratrum nigrum, & cantharidas, & conyzam in aqua terito, & glandulam mollem sex digitorum longitudine efformato, siccato: 17 & ubi dura facta fuerit, lana involutam apponat.. Summam autem partem cedrina illinat, sitque ipsa nuda. 18 Quum vero sanguis apparuerit, amoveatur. 19 Aliud expulsorium. Si fœtus mortuus aut syderatus intus fuerit, ranunculum & ela-

μικρὸν μίξας ἐν ὄξει ἀκρήτῳ, καὶ δοῦναι πιεῖν. 20 ἢ κράμβης ἁπαλὸς καυλὸς κατὰ τὸ ἄκρον νετώπῳ χριόμενος ἐμβαλλέσθω.

terii parum in aceto temperato misceto ac bibendum dato. 20 Aut brassicæ tener coliculus in summa parte netopo illitus immittatur.

ΝΟΘΑ ἢ ΠΡΟΣΚΕΙΜΕΝΑ τῇ τελευτῇ τοῦ πρώτου περὶ γυναικείων βιβλίου.

Basil. græc. Foesius v. 200, 634. Basil. lat.

45 / 299 ΒΗΧΟΣ παιδίου. 483 θαψίην ἐπ' ἀλφίτοις ψωμίζειν. 2 Ἕτερον. ᾠὸν ὀπτήσαντα, τὴν 484 λέκιθον ἐξελόντα τρίψαι. καὶ σήσαμον λευκὸν πεφρυγμένον, καὶ ἅλας ἐν μέλιτι ἐκλείχειν. 3 τὴν κοιλίην λύσαι τοῦ παιδίου, εἴριον ἄπλυτον ἐς μέλι βάψας ἐνθεῖναι. 4 ἐὰν δὲ γεραίτερον ᾖ, κρομμύων τὰ ἔσωθεν 485 τρίψας ἐνθεῖναι. 5 ἐὰν δὲ γάλα μὴ ᾖ, σητάνειον ἄλευρον ἐκπλύνας, 300 μέλι [τε] καὶ ἔλαιον μίξας χλιηρὸν κλύσαι. 6 Ἄσθμα παιδίου. 486 λιβανωτὸν ἐν οἴνῳ γλυκεῖ. 7 ἀλουσίη. 487 8 Καθαρτήριον. βαλανίδας ποιέειν κοτύλην μέλιτος, ἀνίσου ὀξύβαφον, ἀσφάλτου δύο δραχμὰς, χολὴν βοὸς, σμύρνης τρεῖς δραχμὰς, πόσιν ἐλατηρίου. ἑψεῖν ἐν χαλκῷ, μίσγειν ἔλαιον χηνὸς, 9 καὶ, ὅταν μέλλῃ χρῆσθαι, ἀλείφειν τὰς βαλάνους τῷ χηνείῳ ἢ τῷ 488 5 οἰείῳ, εἰρίῳ δὲ χρῆσθαι μαλακῷ. 10 ἐλαίῳ δὲ χηνείῳ· τούτῳ μίσγειν 489 κιννάβαρι.

11. Ἔμετον λύει ὠκίμου χυλὸς ἐν οἴνῳ λευκῷ. 2 Ἕτερον. ἀλήτου σητανίου κεχυλισμένου τὸ ὕδωρ. 3 ἢ ῥοιὰς γλυκείας καὶ ὀξείας ἀποχυλώσας, εἶτα μέλιτι μίξας. 4 Τὸ σηπτικὸν ὧδε ποιεῖται. ἐλλέβορος μέλας,

NOTHA seu ADIECTA ad finem libri primi de Morbis mulierum.

111 Ad tussim pueri. Thapsiam in polenta edendam dato. 268 2 Aliud. pag. 383 Ex ovo assato vitellum acceptum terito, & sesamum album tostum, & salem cum melle delingenda dato. 3 Ad alvum pueri solvendam. Lanam illotam melle tinctam indito. 4 Si vero antiquior fuerit puer, ceparum internas partes tritas cum melle indito. 5 Si lac non fuerit, 5 Recentis tritici farinam elotam, melle ac oleo ammixto, tepidam sorbendam dato. 6 Ad anhelitum pueri facit thus in vino dulci, 7 & illuvies. 8 Purgatorium. Glandulas facito [illegible] mellis hemina, anisi acetabulo, bituminis drachmis duabus, felle bovis, myrrhæ drachmis tribus, elaterii potione. Hæc in vase æneo coquito, & anseris adipem ammisceto: 9 & ubi uti voles, glandulis anserino aut ovillo 10 adipe illinito. Lana autem utere molli.

11. Vomitum solvit. Ocymi succus in vino albo. 2 Aliud. Farinæ tritici recentis exsuccatæ aqua. 3 Aut de malis punicis dulcibus & acidis succum exprimito, & deinde mel ammisceto. 4 Corrosivum sic paratur. Veratrum nigrum, sandaracham, squam-

λας, συνδιαφθάχη, λεπὶς χαλκοῦ, ἴσον ἑκάστου τρίψαντα χωρίς. [5] ὅταν δὲ λεῖον ᾖ, παραμίξαι μιᾶς μερίδος διπλάσιον τίτανον, ἀναδεύσας κεδρίνῳ χρίειν. [6] Σηπτὸν φάρμακον ὧδε ποιέεται. [7] ἄνθος κεκαυμένον καθαρῶς ἄχρις οὗ φοινικοῦν γένηται· τρίψας λεῖον, τουτέῳ χρῶ. [8] Τὸ μέλαν φάρμακον. [9] Λεπὶς, ἄνθος, χωρὶς τρίβειν ἑκάτερον. [10] ὁπόταν δὲ λεῖον τρίψῃς, οὕτω μίσγε, ποιέων δύο ἢ τρία εἴδη τοῦ φαρμάκου. [11] τὸ μὲν ἰσχυρότατον, τὸ ἄνθος, τριτημόριον τῆς λεπίδος· τὸ δὲ δεύτερον, τεταρτημόριον· τὸ δὲ τρίτον, πεμπτημόριον. [12] τοῦτο τὸ φάρμακον ἐπὶ πᾶν ἁρμόζει. [13] Διάλειπτον πρὸς τὴν συνάγχην. κάχρυα, σταφὶς ἀγρία, ἀψίνθιον, ἐλατήριον, μέλι. [14] Ἐν τοῖς ποδαλγικοῖς ὀδυνήμασι τὰ ἀφιστάμενα καταπλάσσειν νίτρον ὕδατι φυρόντα λεῖον. [15] καὶ μὴ λύειν τριῶν ἡμερέων. ὅταν δὲ λύσῃς, αὖθις νίτρον ὠμὸν τοῦ ἐρυθροῦ τρίψαντα, καὶ μέλι ὀλίγον. [16] τουτέῳ ὥσπερ αἰεὶ χρῆσθαι. [17] Τὰ πεπυρωμένα διαχρίειν ἀνδράχνῃ ἐν σταιτὶ, θρίδακος τῆς ἐρυθρῆς ὁπόσον ὁλκὴν λύε πᾶσαν ἐν ὕδατι, σταθμὸς ἡμιωβόλιον ἀττικόν.

III. Ὀφθαλμικά. Χαλκοῦ ἰὸς, χολὴ αἰγὸς, σμύρνα, ταῦτα λύεται. [2] πάντα ὁμοῦ τρίψας λεῖα, οἴνῳ διεῖναι λευκῷ. ἔπειτα ἐς κάλαμον ἐμβαλὼν ξηρὰ χρῆσθαι. [3] Ἔμπλαστρον. μίσυ κατασκευάσας, τρίβε ἐν ἴγδῃ. ξυμμίσγειν δὲ αὐτῷ ἀφρὸν χρυσῖτιν πεπλυμένην. [4] ἔστω δὲ τῆς σποδοῦ τρία, τοῦ μίσυος ἕν. [5] τὸ μίσυ κατάκαιε ἐς μάζαν, φυλασσόμενος ὅκως μὴ ἐκρυῇ. ὀπτώμενον γὰρ ἐξυγραίνεται. [6] ὅταν δὲ καλῶς ὀπτὸν ᾖ, φοινίκεον γίνεται. [7] Ἔμπλαστρον. ψιμίθιον

squamam æris, singula paribus portionibus seorsum terito. [5] Quum autem trita fuerint, ad unam partem, duplam calcem ammisceto, & cedrino subacta illinito. [6] Aliud corrosivum pharmacum sic paratur. [7] Florem æris pure combustum donec ruber fiat, terito ac utitor. [8] Pharmacum nigrum. [9] Squamam æris, & florem æris, seorsum ambo terito. [10] Ubi vero contriveris, ita misceto: duas aut tres pharmaci species facito. [11] Unam fortissimam, quæ habet ad squamam, tertiam floris partem: alteram, quæ quartam: tertiam, quæ quintam. [12] Hoc pharmacum ad omnia conveniens est. [13] Illitio ad anginam. Roris marini semen, staphis sylvestris, absinthium, elaterium, mel. [14] In doloribus podagricis, Abscessus nitro trito aqua diluto, cataplasmatis modo integito, [15] & tribus diebus non lavato. Ubi vero laveris, rursus nitrum rubrum crudum cum modico melle terito, [16] & hoc semper utitor. [17] Inflammata illine portulaca cum farinæ massa, & lactucæ rubræ drachma, ex aqua dissoluta.

III. Medicamenta oculorum. Æs ustum, ærugo, fel capræ, myrrha. Hæc dissolvuntur, [2] & omnia simul trita vino albo diluuntur, postea in arundinem conjecta, sicca in usum veniant. [3] Pulvillus. Misy præparatum in pila terito, & spumæ argenti chrysitidis appellatæ cinerem lotum ammisceto: [4] sint autem cineris partes tres, misyos una. [5] At misy in maza comburito vitans ne diffluat. Nam dum torretur liquescit, [6] ubi vero probe tostum fuerit, puniceum fit. [7] Alius pulvillus. Cerusa eodem

μίθιον τὸν αὐτὸν τρόπον μισγόμενον τῷ μίσυϊ ὠπτημένῳ, ὥσπερ ἐν τῇ χρυσίτιδι σποδῷ τὸ μίσυ γίνεται. 8 Ἕτερον ἔμπλαστρον ἰσχυρότερον τούτου. σποδὸς κυπρία ἐκ τῆς ἀσβόλου πεπλυμένη, καὶ ψιμύθιον, καὶ μίσυ ὀπτόν. 9 εἶναι δὲ δύο μοίρας τῆς σποδοῦ, τοῦ ψιμυθίου ἓν, τοῦ μίσυος ἕν. 10 ὑγρὸν ἀνεμώνης τὰ φύλλα κόψαντα ἐκπιέσαι καὶ ἐς τὸν ἥλιον θεῖναι ἐν χαλκῷ ἐρυθρῷ καὶ κατακαλύψαντα, ὅκως μηδὲν ἐμπίπτῃ. 11 ὅταν δὲ παχὺ ᾖ, διαπλάσσειν φθόεις, εἶτα ξηραίνειν. 12 ὅταν δὲ ξηρανθῇ, κατακαίειν ὡς δυνατὸν μάλιστα. 13 εἶτα, ἐπειδὰν ψυχθῇ, τρίβειν λεῖα, καὶ μίσγειν σποδῷ πεπλυμένῃ τῇ ἐκ τῆς ἀσβόλου ἴσον. 14 εἶτα, παραστάζων νέτωπον, μικρὸν τρίβειν. 15 εἶτα μέλιτι διιέναι. 16 εἶτα ξηρήνας ἐς χαλκῆν κιστίδα τυπέων χρῶ. 17 Ξηρὸν μαλακόν. σποδὸς κυπρία, χαλκῖτις ἄπλυτος διατετριμμένη, καὶ ἄνθος χαλκοῦ· ταῦτα ἴσα μίσγειν καὶ τρίβειν λεῖα. 18 Ἕτερον ξηρόν. σποδὸς κυπρία, χαλκῖτις διατετριμμένη, καὶ σποδὸς χρυσίτιδος ἄπλυτος· 19 συναφεψεῖν τὴν χρυσῖτιν, καὶ ταύτας ἀλλήλαις διατρίβειν. 20 Ἕτερον ξηρόν. σποδὸς πεπλυμένη, χρυσῖτις, καὶ ἀφρὸς χαλκοῦ ἴσα λεῖα. 21 Ἕτερον. ὀμφακος χυλὸς, καὶ σποδὸς κυπρία. τὴν ὀμφακα ἀκμάζουσαν χρὴ ἐκπιέσαι τὸν χυλὸν δι' ὀθονίου ἐς χάλκειον ἐρυθρὸν, καὶ μίξαι ὄξεος τρίτον μέρος λευκοῦ ὡς ὀξυτάτου. 22 καὶ οὕτως καθεψεῖν ἐν τῷ ἡλίῳ, καὶ ἀναταράσσειν πεντάκις τῆς ἡμέρης. 23 ὅταν δὲ παχὺς γένηται ὁ χυλὸς, σποδὸν τῆς κυπρίης τῆς χαλκίτιδος λείην ἐμβαλεῖν καὶ ἀναμίξαι. 24 ὅταν δὲ ἑκταῖος ἢ ἑβδομαῖος ᾖ ὁ χυλὸς ἐν τῷ ἡλίῳ κείμενος, ἐς κοτύλην ἀττικὴν τοῦ χυλοῦ τῆς

modo cum misy tosto miscetur, velut chrysitidis cinis. 8 Alius pulvillus fortior priore. Spodium cyprium ex fuligine lota, & cerusa, & misy torrefactum. 9 Sunt autem duæ partes cerusæ de spodio, una vero misyos. 10 In hæc anemonæ folia contusa exprimito, & in æris rubri vase ad solem exponito, & ut nihil illabatur contegito. 11 Quum vero crassa facta fuerint, pastillos formato: deinde siccato, 12 & siccatos quam maxime fieri potest comburito, 13 & postea perfrigeratos leviter terito, & de spodio ex fuligine loto parem portionem misceto: 14 deinde netopon instillato, & parum terito: 15 deinde melle diluito, 16 & resiccata in vase æreo asservato, ac utitor. 17 Pulvillus mollis. Spodium cyprium, chalcitis non lota leviter trita, flos æris. Hæc paribus portionibus misceto ac terito. 18 Alius. Spodium cyprium, chalcitis leviter trita, & cinis chrysitidis illotus. 19 Hæc inter se terito. 20 Alius. Spodium lotum, chrysitis, & æris flos, paribus partibus trita. 21 Alius. Uvæ acerbæ succus, & spodium cyprium. Uvam immaturam in vigore constitutam sume, & succum per linteum, in vas æris rubri exprime, & aceti albi acerrimi tertiam partem ammisce, 22 atque sic in sole coque, & quinquies in die agita ac conturba. 23 Et ubi crassus factus fuerit succus, spodium cyprium tritum adjice ac permisce, 24 ita ut ubi sex aut septem dies in sole positus steterit, ad heminam succi atticam, spodii drachmas

τῆς σποδοῦ δραχμὰς ὀκτώ. [25] ἐὰν δὲ βούλῃ δριμύτερον εἶναι, ἐλάττω τὴν σποδὸν· ἐὰν δὲ μαλθακώτερον, πλέω. [26] μετὰ δὲ ταῦτα ξηραίνειν, ἄχρις οὗ δυνατὸν διαπλάσσειν φθοΐς. [27] εἶτα ἐγξηραίνειν κρεμάσας ἄνω ὑπὲρ καπνοῦ. [28] καὶ οὕτως 45 ξηραίνειν μέχρις οὗ ὀστρακώδεα γένηται, ὥστε τριβόμενον μὴ ξυντρέφεσθαι. 504 [29] εἶθ' οὕτως χρῶ. κείσθω δὲ, ὅκου ἰκμάδα μὴ ἔξει. [30] Ἕτερον ξηρόν. σποδὸς, χαλκῖτις, ὄξει πεφυρμένη λευκῷ, εἶτα φθοΐς ποιήσας, ξήραινε δέ. ὅταν δὲ ξηρανθῇ, λεῖον τρίβειν, ὑπαλείφειν ὀφθαλμὸν μὲν ὡς κάλλιστον, καὶ οἶνον παλαιὸν γλυκὺν, ἑψεῖν ὁμοῦ.

IV. Πρὸς ἄργεμον. αἰγείρου 505 δάκρυον, γάλα γυναικεῖον μίξας, χρῶ. [2] Ἐὰν ὀφθαλμὸς δακρύῃ καὶ 501 ὀδύνη ἔχῃ. ῥοιῆς γλυκείης τὸν χυλὸν ἐκπιέσας ἐν χαλκείῳ ἑψεῖν, καὶ [ποιεῖν] μέλαν ὥσπερ πίσσαν, [καὶ,] ἐὰν θέρος ᾖ, ἐς τὸν ἥλιον τιθέναι· εἶτα ὑγρῷ ὑπαλείφειν. [3] Ἐὰν δὲ δακρύῃ καὶ γλαμυρὸς ᾖ ὁ 506 ὀφθαλμός. [4] ὅταν ἡ σταφυλὴ ᾖ λευκὴ, πέπειρος ἰσχυρῶς καὶ ἰσχνὴ ἐπὶ τῇ ἀμπέλῳ ᾖ, δρέψας ἐξηθῆσαι· 507 εἶτα ξηραίνειν ἐν τῷ ἡλίῳ. [5] ὅταν δὲ ξηρὸν ᾖ, ἀποξέσαι, [καὶ] μίξαι ἰοῦ ἡμιωβόλιον ἀττικοῦ σταθμῷ. εἶτα τούτῳ ὑπαλείφειν. [6] 5 Παραπαστόν. μόλιβδος καὶ σποδὸς ἴσα, σμύρνης δέκατον μέρος, ὀποῦ μήκωνος σμικρὸν, οἶνος παλαιὸς, ξηρὰ τρίψας χρῶ. [7] σκωρία καὶ σποδοῦ τρίτον μέρος, 508 καὶ ψιμυθίου τρίτον μέρος, χάρτου κεκαυμένου μέρος δέκατον, σμύρνης [ἴσον]. [8] Εἰ βούλει ἐκ τοῦ 509 σώματος τρίχας ἀπιλάσαι. δακρύῳ ἀμπέλου ἀλείφειν ἐλαίῳ. [9] ἐὰν δὲ

mas octo immittas. [25] Si vero acrius efficere medicamentum voles, minus de spodio; sin mollius, plus. [26] Postea vero siccato hæc, donec in pastillos formari possunt: [27] deinde domi siccato, sursum in fumum suspensa, [28] atque hoc tandiu donec testacea fiant, ut inter terendum non adhæreant, [29] postea sic utere. Reponito autem in loco humiditatem nullam habente. [30] Alius. Spodium, chalcitidem, aceto albo subigito: deinde factos 55 inde pastillos siccato: & ubi oculum sublinire voles, quam optime terito, & vino veteri dulci concalefacito.

IV. Ad argemon oculi ulcus. Populi nigræ lachrymam, lac muliebre, misce ac utere. [2] Si oculus lachrymetur, & dolor vexet. Mali punici dulcis succum expressum in æreo vase coquito, ut niger fiat instar picis. Si vero æstas fuerit, ad solem exponito: deinde liquidum 60 sublinito. [3] Si vero dulci lachryma fluat oculus, [4] quum uva fuerit alba, valde matura, & gracilis in vite, decerptam exprimito ac excolato: deinde in sole siccato, [5] & ubi siccus factus fuerit succus, deradito, & æruginis dimidium obolum attici ponderis ammisceto: deinde hoc sublinito. [6] Pulvillus inspersilis. Plumbum & spodium, æquis partibus, myrrhæ decimam partem, succi papaveris parum, vi- 65 num vetus, arida tere ac utere. [7] Alius. Accipitur scoria sive recrementum plumbi, & spodii tertia pars, & cerusæ tertia, & chartæ ustæ tertia, & myrrhæ pars decima. [8] Si pilos ex corpore extirpare voles, vitis lachrymam cum oleo illinito. [9] Si vero

δὲ καὶ τὸν ὀφθαλμὸν βούλῃ, ἀποδρέψας ἄλειφε, καὶ ἄπεισι ξὺν λεπτῷ δέρματι, καὶ ἔσται ἐρυθρὸς καὶ εὔχροος.

V. Λειεντερίης. Φακοὺς, πυροὺς σιλανίους ὅσον δύο χοίνικας βρέξας· 2 ἐπειδὰν μαλθακοὶ ὦσιν, ὡς διατραγόμενοι, ἰσχυρῶς ποιῆσαι λείους ἐν ὅλμῳ ἢ ἐν θυίᾳ. 3 ἔπειτα ἐπιχέαι ὕδατος κοτύλας ἕξ, καὶ ἀνακινῆσαι ἰσχυρῶς. 4 ὅταν δ' αὖ ἀπέλθῃ, ἐγχέας ἐς χύτραν ἑψεῖν, μέλι ὀλίγον παραχέας. 5 ἐπειδὰν ἑφθὸν ἰσχυρῶς γένηται, φρύξας διδόναι ἐσθίειν τοῦτο. 6 ἐὰν δὲ διψῇ, οἶνον πινέτω ὡς παλαιότατον. 7 τουτέῳ χρήσθω ἄχρις ἂν ὑγιὴς γένηται. 8 Ἐὰν δὲ κόρυζαν ἔχῃ, σμύρναν τρίψας λείαν, καὶ μέλι μίξας, ὀθόνιον ποιήσας, τὰς ῥῖνας τρίβειν. 9 Κλυσμὸς φλέγμα ἄγων. Θαψίης πόσιν, ἢ ἀσταφίδος ὅσον τεσσαράκοντα κόκκους, ἢ κνιδίου πόσιν, ἢ κνήστρου. 10 μίσγειν δὲ μέλιτος ἡμικοτύλιον, ἐλαίου ἴσον, διιέναι θαλάσσῃ, πίτυρα ἐναφεψήσας, ἢ πτισάνῃ, μέχρις οὗ λιπαρὸν γένηται, ἢ στέατος, ἢ τεύτλου χυλῷ. 11 παραμίσγειν δὲ νίτρου ὅσον δέκα δραχμάς. 12 ἁλὸς τρυβλίον πλεῖον ἐς θάλασσαν.

VI. Ἐὰν δὲ θέλῃς χολὴν ἄγειν, ὀποῦ πόσιν, ἐλατηρίου ὁλκὴν καὶ ἥμισυ, κολοκυνθίδος τρίψαι δραχμὴν σταθμὸν, διιέναι τοῖς αὐτοῖς οἷς καὶ πρότερον. 2 ἐὰν δὲ σφοδρότερον θέλῃς ἄγειν, σικύης ἐντεριώνην τέταρτον δραχμῆς ἀποβρέξας ἐν ὕδατος ἡμικοτυλίῳ, τουτέῳ κλύσαι. 3 καὶ, ἐὰν ἐξελθὸν δάκνῃ, μετακλύσαι πτισάνης χυλῷ. 4 Ἕτερον. γάλακτι ἑφθῷ

vero etiam circa oculum tollere velis, evellito, & illinito, & cum tenui cuticula discedet, & locus rubicundus ac boni coloris erit.

V. Ad intestinorum lævitatem. Lentes ac triticum recens duarum chœnicum mensura aqua macerato, 2 & ubi mollia facta fuerint, in pila aut mortario fortiter conterito: 3 deinde aquæ heminis sex affundito, ac fortiter commoveto: 4 & ubi purgamenta discesserint, in ollam infundito, & modico melle affuso coquito, 5 & valde cocta torrefacito, ac edenda præbeto. 6 Si vero sitierit, vinum vetustissimum bibat, 7 atque hoc utatur donec sanus fiat. 8 Ad gravedinem. Si quis gravedinem habeat, myrrham tritam ammixto melle, linteo excipiat, & nares confricet. 9 Infusum, sedis pituitam ducens. Thapsiæ potionem, & uvas passas quadraginta, aut grani cnidii, aut cnestri potionem sumito, 10 & mellis dimidiam heminam, ac olei tantundem ammisceto, & aqua marina diluito, in qua furfures coctis sunt, aut ptisana, donec pinguis facta fuerit: aut adipem betæ succo 11 ammisceto, & nitri drachmas decem. 12 Aut salis heminam plenam aquæ marinæ ammisceto.

VI. Si vero bilem ducere voles, succi silphii potionem, elaterii drachmam unam & dimidiam, colocynthidis drachmam, terito, & iisdem quibus prius diluito. 2 Si autem vehementius ducere velis, cucumeris sylvestris internam partem quarta drachmæ parte in dimidia aquæ hemina macerato, & per sedem infundito: 3 & si in egressu mordeat, ptisanæ succum postea infundito. 4 Aliud. In lacte asinino

ἑφθῷ ὀνείῳ, ἢ ἐν τεύτλου χυλῷ τρισὶ κοτύλαις ἐναποβρέχειν τὴν ἐντεριώνην, παραμίσγειν ἅλας, καὶ μέλι, καὶ ἔλαιον. ⁵ μετακλύζειν δὲ πτισάνης χυλῷ. ⁶ κολοκυνθίδος δραχμὴν τρίψας καὶ προβρέξας ἐν γάλακτι ὀνείῳ, μίσγειν σὺ αὐτά. ⁷ ἐντεριώνης δραχμὴν, ἐλατηρίου πόσιν, ἅλμης ὅσον τοῖς τρισὶ δακτύλοις, μέλι, ἔλαιον, διιέναι θαλάσσῃ. ⁸ Ἐὰν δὲ κόπρον θέλῃς ἀγαγεῖν, μηδὲν πίνειν φάρμακον· τοῖσι δὲ ἄλλοισι χρῶ.

VII. Δυσεντερίης κλυσμός. ² ἐν οἴνῳ σίδια ῥοιῆς γλυκείης ἑψήσας ὡς πλεῖστα. ³ ἑψεῖν δὲ μέχρις οὗ τὸ ἥμισυ λειφθῇ, μίσγειν δὲ ἔλαιον τεταρτημόριον κοτύλης, λιβανωτοῦ τέταρτον δραχμῆς. ⁴ Ἕτερον. μύρου ῥοδίνου ἡμικοτύλιον, πτισάνης χυλὸς, θάλασσα ἑφθή, ἐλλεβόρου δύο πόσιας τρίψας, ὕδατος δὲ ἐς ἡμικοτύλιον, ἐλαίου ἴσον, ⁵ κλύζειν χυλῷ, ἐγχέας ἐς σκαφίδα. ⁶ μῆλα κυδώνια κατατέμνειν καὶ ἐᾶν ἐμβρέχεσθαι. ⁷ ἐπειδὰν δὲ τὸ ὕδωρ τὴν ὀσμὴν ἔχῃ, διδόναι πίνειν. ⁸ πτισάνης λέκυθον ἐμβαλὼν ἐς χοέα ὕδατος ἕψε μέχρι λιπαρὸς γένηται. ⁹ ἑψήσας δὲ τὰ μῆλα, ἢν κατατετμημένη κηρίον. ¹⁰ καταβρέξαι δὲ ἐν ὕδατι, καὶ ἅμα τρίβειν, ὅταν ὑπόγλυκυ ᾖ, καὶ διηθήσας ἐμβάλλειν σελίνου φύλλα. ¹¹ Ἕτερον. ἀσταφίδα λευκὴν ἐς ὕδωρ ἐμβαλὼν, καλαμίνθην ἢ κηρίον ἀνατρίβειν ἐς ὕδωρ ὑπόγλυκυ.

no coćto, aut in betæ ſucci heminis tribus, internam cucumeris ſylveſtris partem macerato, & ſalem, mel, ac oleum ammiſceto, ⁵ & poſtea ptiſanæ ſuccum infundito. ⁶ Aliud. Colocynthidis drachmam terito, & in laćte aſinino macerato, eademque miſceto. ⁷ Aliud. Cucumeris ſylveſtris interioris drachmam, elaterii potionem, ſalis quantum tribus digitis apprehendi poteſt, mel, oleum aqua marina diluito. ⁸ At ſi ſtercus educere voles, nullum pharmacum bibito, ſed aliis utere.

VII. Infuſum ad dyſenteriam. ² Punici dulcis malicorium in vino ad dimidias coquito, ³ olei quartam heminæ partem ammiſceto, & thuris quartam drachmæ partem. ⁴ Aliud. Unguenti roſacei dimidia hemina, ptiſanæ ſuccus, aqua marina cocta. Aliud. Veratri potiones duas tritas, in aquæ dimidia hemina diluito, & olei tantundem affundito. ⁶ Potio. Mala cotonea diſſecato, & in aqua macerato, ⁷ & ubi aqua odorem acceperit, bibendam dato. ⁸ Alia. Ptiſanæ farinam in congium aquæ miſſam, coquito donec pinguis fiat. ⁹ Alia. Mala conciſa ſiccata, & favum mellis, ¹⁰ in aqua macerato, ac ſimul terito: & ubi ſubdulcis facta fuerit excolato, & apii folia injicito. ¹¹ Alia. Uvam paſſam albam, & calaminthen, & favum mellis, in aquam mittito ac terito, donec aqua ſubdulcis fiat.

ΙΠΠΟΚΡΑΤΟΥΣ περὶ ΓΥΝΑΙΚΕΙΩΝ τὸ δεύτερον.

HIPPOCRATIS DE MORBIS MVLIERVM liber secundus.

Basil. græc. Foesius sect. IV. 94. 423. V. 203. 637. Basil. lat.

74 Αἱ ὑστέραι πάντων τῶν νοσημάτων αἴτιαί εἰσιν. [2] αὗται γὰρ, ὅπη ἂν ἐκ τῆς φύσιος μετακινηθέωσι, νούσους παρέχουσιν, ἤν τε προσέλθωσιν, ἤν τε ἀποχωρήσωσιν. [3] καὶ, ὅταν μὲν μὴ βάλλωσι τὸ στόμα αἱ μῆτραι, καὶ μὴ ψαύσωσι τῶν κρημνῶν μεταχινηθεῖσαι ἔωσιν ἔξω, σμικροτάτη νοῦσός ἐστιν. [4] ἐπεὶ δὲ προκινηθέωσιν ἐς τὸ ἔμπροσθεν, καὶ ἐμβάλλωσι τὸ στόμα ἐς τὸν κρημνὸν, πρῶτον μὲν ψαύσασαι, πόνον παρέχειν· [5] εἶτα ἀποφραχθεῖσα ἡ μήτρη καὶ ἐπιπωμασθεῖσα ὑπὸ τῆς ἐμβλήσιος τῆς ἐς τὸν κρημνὸν, οὐ γίνεται ῥόος τὰ καταμήνια [καλεύμενα.] [6] τοῦτο δὲ ξυνιστάμενον οἶδός τε καὶ ὀδύνην παρέχει.

LX. Καὶ ἢν μὲν κάτω κατελθοῦσα καὶ ἀποστραφεῖσα ἐμβάλλῃ ἐς τὸν βουβῶνα, ὀδύνην παρέχει. [2] ἢν δὲ ἄνω ἐπαναχωρήσασα ἀποστραφῇ καὶ ἀποφραχθῇ, καὶ οὕτω διὰ τὴν ἀραιότητα νοῦσον παρέχει. [3] ὁπόταν δὲ διὰ τοῦτο νοσέῃ, ἐς τὰ ἰσχία καὶ τὴν κεφαλὴν ὀδύνην ποιέει. [4] ὁπόταν δὲ αἱ μῆτραι πλησθεῖσαι συνοιδήσωσιν, οὐ ῥεῖ οὐδὲν, καὶ πλέαι γίνονται. [5] ἐπὴν δὲ πλέαι γένωνται, ψαύωσι δὲ τῶν ἰσχίων, ὀδύνας παρέχουσι καὶ ἐς τὰ ἰσχία καὶ [ἐς] τὸν βουβῶνα, [6] καὶ οἷον σφαῖραι ἐν τῇ γαστρὶ ὑποτρέχουσι, [7] καὶ τὴν κεφαλὴν πονέουσιν,

VTERI omnium morborum causæ sunt: [2] hi enim ubi ex natura transmoti fuerint, morbos exhibent, sive ascenderint, sive descenderint. [3] Et quum quidem uteri osculum suum non demittentes, & pudendi eminentias non contingentes, transmoti fuerint foras, levissimus morbus est. [4] Quum vero in anteriorem partem promoti fuerint, & osculum in pudendi eminentias ac labra immiserint, primum quidem ipso contactu dolorem uterus percipit ac exhibet: [5] deinde obturatus, & velut operculo contectus, ex eo quod pudendi eminentiis incumbit, fluxus non contingit, qui mensium nomine venit. [6] Hic vero fluxus congregatus, tumorem ac dolorem exhibet.

LX. Et siquidem infra descendens & aversus, in inguen se immiserit, dolorem exhibebit. [2] Si vero sursum ascendens aversus & obturatus fuerit, etiam sic propter raritatem ac coarctationem dolorem exhibet. [3] Quum vero propter hoc ægrotarit, coxendicum ac capitis dolorem facit. [4] Ubi vero uteri impleti intumuerint, nihil fluit, & pleni fiunt: [5] quum autem pleni facti fuerint, coxendicesque contingunt, dolores exhibent, & in coxendices, & in inguen, [6] & velut pilæ in ventre discurrunt, [7] & capue

νοῦσον, ποτὲ μὲν ἐς τὸ ἕτερον μέρος, ποτὲ δὲ ὅλην. 8 οἵη γίνεται καὶ ἡ νοῦσος. 9 ὧδε δὴ ταῦτα ἐπιτεχνητέον. 10 ἢν μὲν περιέλθῃ μοῦνον, καὶ ᾖ διαχρίειν, χρῶ ὅ τι ἂν βούλῃ τῶν κακόδμων, ἢ κέδρῳ. ″ ἢ 132 μυσσωτῷ, ἢ ἄλλῳ τινὶ τῶν βαρυτέρων καὶ κακὸν ὀζομένων, 11 καὶ κάπνιζε, καὶ μὴ πυρία, 12 μηδὲ σιτίῳ, μηδὲ πότῳ οὐρητικῷ χρῶ τούτου τοῦ χρόνου, 13 μηδὲ λοῦε θερμῷ. 14 ταῦτα δὲ τοιάδε ἐστί.

LXI. Ἢν δὲ ἀνακεχωρήκῃ καὶ μὴ ἀπεστραμμένη ᾖ, τοῖσιν εὐώδεσι προσθέτοισι χρῶ, ὅσα ἀναθερμαίνουσιν ἅμα. 2 σμύρνῃ ἢ μύρῳ, ἢ τινι ἄλλῳ εὐώδει καὶ θερμαίνοντι ἅμα. 3 τοιούτοισι 25 προσθέτοισι χρῶ, καὶ ′ πυριᾷν οἴνῳ κάτωθεν, καὶ θερμῷ ὕδατι λούειν, καὶ διουρητικοῖσι χρῶ. 4 τὸ δὲ δῆλόν ἐστιν. 5 ἢν μὴ ἀποστραφῇ ἀνακεχωρηκυῖα, ῥεῦμα γίνεται. 6 ἢν δὲ ἀπεστραμμένη ᾖ, οὐ γίνεται ῥόος, τὰ καταμήνια καλεύμενα. 7 τοῦτο τὸ νόσημα πυρίῃ πρῶτον τοιῇδε χρὴ ἰᾶσθαι. 8 ἐς οἶνον ἐρινεὰ ἐμβάλλοντα [καὶ] θερμαίνοντα τὸν οἶνον, περιθέντα σικυώνην περὶ τὸ στόμα τοῦ τεύχεος, ἐν ᾧ ἂν θερμαίνηται, ὧδε ποιῆσαι. 9 ″ σικυώνην μέσην δια- 133 τεμὼν ἐκκενώσας, τὸ ἄκρον ἀποταμὼν σμικρὸν ὡς ἐπ' ἀ- 30 σκίων, τοῦτο ′ περιπωμάσαι, ὅπως ἂν ἡ ὀδμὴ διὰ τοῦ στενοῦ ἰοῦσα πρὸς τὴν μήτρην ἀφίκηται, 10 καὶ θερμῷ ὕδατι αἰονᾷν, καὶ φαρμάκοισι θερμαίνουσι χρῆσθαι προσθέτοισι. 11 ″ θερ- 134 μαίνοντα

caput dolore affligunt, modo altera ipsius parte, modo totum, 8 ′ prout contingit ipsi morbus. 335 9 Hæc itaque sic curanda sunt. 10 Siquidem descenderit solum, & illini possit, utere quocunque libet, ex graveolentium genere, aut cedro, aut allii intrito, myrtoto Græcis appellato, aut aliquo alio ex graviter & male olentium numero, 11 eoque suffitum facito, & fomenta ne adhibeto, 12 neque cibo neque potu urinam ciente hoc tempore utitor, 13 neque calida lavato.

LXI. Si autem sursum ascenderit, ′ & non aversa fuerit, me- 340 dicamentis appositittiis bene olentibus, & quæ simul calefaciunt utere. 2 Velut sunt myrrha, aut unguentum, aut aliud quoddam odoratum : simulque calefactorium. 3 Et his quidem subdititiis uteris, fomentum autem ex infernis ex vino adhibebis, & calida aqua lavabis, & urinam cientibus uteris. 4 Ex hoc autem manifestum fit, aversa sit necne. 5 Si enim sursum progressa aversa non fuerit, ′ fluxus 345 procedit. 6 Si vero aversa sit, fluxus, menstrua appellata, non contingit. 7 Hunc morbum fomento primum tali curare oportet. 8 In vinum grossos immittito, ipsumque vinum calefacito, & cucurbitam circum osculum vasis in quo calefit addito, hoc modo. 9 Cucurbitam per medium dissectam evacuato, & summitate ipsius modice rescissa, velut in utriculis fieri solet, hanc ipsam vasi velut ′ operculum circun- 350 dato, quo odor per angustiam means ad uterum perferatur. 10 Insuper autem & calida aqua fovere, & calefacientibus medicamentis subdititiis uti oportet. 11 Cal-

μαίνοντα δ' ἐστὶ τὰ ἄγοντα τῶν πρόσθεν τάδε τοιάδε. βόλβιτον, χολὴ βοὸς, σμύρνα, στυπτηρίη, χαλβάνη, καὶ ἄλλο, ὃ τοιοῦτόν ἐστι. [12] τούτων ὡς πλείστοισι καὶ ὑπεξάγειν ἐλατηρίοισι φαρμάκοισι κάτω, ὅσα ἔμετον [οὐ] ποιέουσιν, ἀσθενέσιν, ὅπως μὴ ἰνηθμὸς γένηται ἐκ τοῦ ὑπερκενώσιος.

LXII. Τὰς δὲ προσθέτας ὧδε χρὴ ποιέειν, ἢν βούλῃ ἰσχυρὰς ποιέειν. [2] μέλι ἡμίεφθον ποιέων ἔμβαλε τῶν γεγραμμένων προσθέτων τῶν ἄγαν ποιεύντων· [3] καὶ, ἐπὴν ἐμβάλῃς, ποίησον ὥσπερ τὰς βαλάνους τὰς πρὸς τὴν ἕδρην προστιθεμένας. [4] μακρὰς δὲ ποιέειν καὶ [οὐ] λεπτὰς ταύτας. [5] τὴν δὲ γυναῖκα ὑπτίην κατακλίνας [ἐς] ἄνω τοὺς πόδας ποιήσας τῆς κλίνης τοὺς πρὸς ποδῶν, ἔπειτα προσθεὶς ἐν ῥάκει δέων ἢ ἄλλῳ τινὶ, καὶ θερμαίνειν, ἕως ἂν καταταχῇ. [6] ἢν δὲ ἀσθενέστερον βούλῃ τὸ πρόσθετον, προστιθέναι ἐς ὀθόνιον ἐνδέων. [7] καὶ ἢν ὑγρότητος ἔμπλεαι ἐοῦσαι αἱ μῆτραι τὸ στόμα συνοιδήσωσι, καὶ ἄρροιαν παράσχωσι, [8] ῥόον χρὴ ποιέοντα ἰᾶσθαι προσθέτοισι φαρμάκοισι, καὶ πυριῶντα, ὡς γέγραπται, οὕτω ποιεῦντα, ὥσπερ καὶ τὴν πρόσθεν ἄρροιαν. [9] καὶ, εἰ ἐς τὸ πρόσθεν προσχωρέουσα ἀποστραφῇ, ῥόον χρὴ ποιέειν ὥσπερ ἐπὶ τῆς προτέρου ἀρροίης.

LXIII. Ὅταν δὲ ῥόος ᾖ λίην, οὔτε θερμαίνειν χρὴ θερμῷ ὕδατι, οὔτ' ἄλλῳ οὐδενὶ, οὔτε οὐρητικοῖσι χρῆσθαι, οὔτε σιτίοισι διαχωρητικοῖσι. [2] τῆς γε κλίνης τὰ πρὸς ποδῶν ὑψηλότερα εἶναι, ὡς μὴ ἡ κατάκλισις εὔροος ᾖ. [3] καὶ προσθέτοισιν ἅμα τοῖς στύφουσι

Calfacientia autem ſunt ea quæ ducunt ex ſuperius relatis, itemque hæc: ſtercus bubulum, fel bubulum, myrrha, alumen, galbanum, & ſi quod aliud ejuſmodi eſt. [12] Plurimis etiam ipſarum per purgantia inferne medicamenta alvus ſubducenda eſt, & per debilia quæ vomitum faciunt, ne evacuatio ex ſupervacuatione fiat.

IV. Cæterum ſubdititias glandulas ſic facere oportet, ſi fortes facere velis. [2] Mel ſemicoctum facito, & ex præſcriptis ſubdititiis pharmacis ea quæ valde efficacia ſunt immittito, [3] & ubi immiſeris, glandulas formato inſtar earum quæ in ſedem induntur, [4] verum longas facito ac tenues. [5] Mulierem vero ſupinam reclinato, locis à pedibus lecti altius inſtratis, deinde apponito, & panniculo intecto, aut alia quadam re conſimili calefacito, donec colliqueſcat. [6] Si vero debiliorem glandulam ſubdere velis, in linteolum illigato. [7] Sed & ſi humore pleni uteri oſculum tumidum habuerint, & non fluxerint, [8] fluxionem facere oportet, & ſubdititiis pharmacis ſanare, itemque fomentis velut ſcriptum eſt, ita faciendo velut in priore fluxione ſuppreſſa. [9] Quin & ſi in anteriorem partem procedens uterus averſus fuerit, fluxionem facere oportet, velut in ſuperiore fluxione ſuppreſſa.

V. Quum vero fluxus nimius fuerit, neque calida aqua, neque alio quopiam calfacere oportet, neque urinam cientibus uti, neque cibis alvum ſubducentibus. [2] Lecti autem partes à pedibus altiores eſſe oportet, ut ne declinatio fluxui facilitatem præbeat. [3] Utere autem ſimul etiam

φυ[illegible]. [4] οἱ δὲ ῥόοι, ὁπόταν μὲν αὐτίκα ἴῃ ἡ κάθαρσις, αὐτίκα γίνονται. [5] ὁπόταν δ' ὕστερον ἴῃ, πυώδεις. [6] καὶ τῇσι νεωτέρῃσιν ὕφαιμα μᾶλλον· [7] αἱ δὲ πρεσβύτεραι μυξώδεα μᾶλλον ἔχουσι τὰ καταμήνια [illegible].

pag. 1. Ῥόος [δὲ] λευκὸς ἐν τῇσι πρεσβυτέρῃσι μᾶλλον γίνεται ἢ ἐν τῇσι νεωτέρῃσι. [2] ῥόος ξανθὸς ἐν ἀμφοτέρῃσι. [3] ῥόος ἐρυθρὸς ἐν τῇσι νεωτέρῃσι. [4] καὶ ῥόος ἐρυθρὸς γίνεται ἐκ πυρετοῦ, μᾶλλον δὲ ἐκ τρώσμου. [5] γίνεται δὲ καὶ ἐξ ἀπολήψιος ἐπιμηνίων, ὅταν ἀποκλεισθέντα ἐξαπίνης καταρραγῇ. [6] γίνεται δὲ καὶ ἐκ τόκου καὶ ἐκ πυρετῶν. [7] αἷμα δὲ ῥεῖ πάμπολυ, καὶ θρόμβοι ἐκπίπτουσι. [8] καὶ ὀδύνη γίνεται τῶν κληΐδων καὶ τῶν τενόντων. [9] καὶ νάρκη τοῦ σώματος καὶ ἀπόψυξις τῶν σκελέων. [10] ἐνίοτε δὲ καὶ ἡ ῥὶς ἐκχέει ἐς τοὺς ὀδόντας. [11] ἢν [δὲ] πλεῖον [illegible] αἷμα ἀπίῃ, καὶ ἱδρὼς καταχέεται πολύς. [12] πρὸς δὲ τούτοις καρδιωγμοὶ γίνονται καὶ ἀποψύξιες. [13] καὶ πυρετοὶ ἀκρητόχολοι καὶ κνησμώδεες. [14] τῆς αὐτῆς ἡμέρης πολλάκις ῥιγοῦσι καὶ αὖθις ἱδροῦσι. [15] καὶ ἄλλοτε μὲν ἀπὸ τῶν ἄνω χωρίων σπασμοὶ γίνονται σφισιν, ἄλλοτε δὲ ἀπὸ τῶν κάτω. [16] καὶ ἐς τοὺς βουβῶνας ὀδύναι αἱ ὀξεῖαι ἐμπίπτουσι ἰσχυραί, φοιτῶσαι ὥσπερ ὠδῖνες. [17] ἐνίοτε δὲ καὶ στραγγουρίη. [18] καὶ τὸ στόμα ξηρὸν, καὶ δίψα πιέζει, καὶ γλῶσσα τρηχεῖα. [19] καὶ οἱ δάκτυλοι ξυνέλκονται τῶν ποδῶν οἱ μεγάλοι. [20] καὶ ἐς τὰς γαστροκνημίας αἰεὶ τῷ μηρῷ ξυνέλκονται. [21] καὶ τὴν ὀσφὺν ὀδυνῶνται, [22] καὶ τὰς χεῖρας ἀκρατεῖς. [23] ὅκόταν δὲ τοιαῦτα γίνηται, τότε καὶ τέτανοι φιλέουσι γίνεσθαι ἀπὸ

etiam subdititiis adstringentibus. [4] Fluxiones porro, quum confestim venerit purgatio, statim subcruentæ fiunt: [5] quum vero tardius prodierint, purulentæ. [6] Et junioribus subcruenta magis prodeunt: [7] seniores vero magis muccosa menstrua habent.

1. Fluxus albus in senioribus mulieribus magis fit, quam in junioribus: [2] fluxus fulvus in utrisque: [3] fluxus ruber in junioribus. [4] Et ruber quidem fluxus fit ex febre: magis autem ex abortu. [5] Fit & ex mensium interceptione, quum conclusi derepente eruperint. [6] Fit etiam ex partu & febribus, [7] & sanguis profluit valde multus, & grumi excidunt, [8] & dolor fit clavicularum ac tendinum, [9] & corporis torpor, & crurum perfrigeratio. [10] Aliquando vero etiam nasus effundit ad dentes, [11] si amplior sanguis discesserit, & sudor multus diffunditur. [12] Ad hæc & stomachi morsus fiunt, & perfrigerationes, [13] & febris biliosæ meracæ ac pruriginosæ: [14] & eadem die sæpe rigent, & rursus sudant: [15] & aliquando à supernis locis convulsiones ipsi fiunt, aliquando ab infernis: [16] & ad inguina dolores acuti ac fortes irruunt; procedentes velut dolores partus. [17] Quandoque etiam urinæ stillicidium adest, [18] & os siccum est, & sitis premit: & lingua aspera est, [19] & digiti pedum magni contrahuntur, [20] & ad suras semper cum femore distenduntur. [21] Et lumbi dolore vexantur, [22] & manus impotentes fiunt. [23] Quum autem hujusmodi fiunt, tunc etiam nervorum antrorsum ac retrorsum distentiones fieri solent, à clavi-

ἀπὸ τῶν κληΐδων κατὰ τὰς σφαγίας ἐς τὰς γνάθους καὶ τὴν γλῶσσαν. 24 ἐκ δὲ τῶν τοιουτέων ὀλίγον ὕστερον ὄπισθεν ἀπὸ τῶν τενόντων κατὰ τὴν ῥάχιν ἐς ὀσφύν. 25 καὶ οὕτω ἀπόλλυνται κατὰ βίην.

11. Προλέγειν οὖν δεῖ, ἀρχομένων τῶν ῥόων, διαιτῆν τόνδε τὸν τρόπον. 2 πρωῒ μὲν διδόναι πρὸς τὰς ῥόας φάρμακον πίνειν, ὧν ἐγὼ γράψω, ὅ,τι ἂν δοκέῃ δεῖσθαι μάλιστα, 3 διδόναι δὲ καὶ τρὶς καὶ τετράκις, ἢν πουλὺ ἀπίῃ τὸ αἷμα. 4 διαιτῆν οὖν, ἢν μὲν ἀπύρετοι ἔωσι, σιτίοισιν· ἢν δὲ πυρεταίνωσι, ῥοφήμασιν. 5 ἔστι δὲ τῶν ῥοφημάτων τάδε ἐπιτηδειότατα· ἔλυμος, φακὴ, ἄλητον ἑφθὸν, σητάνειον, χόνδρος καθεφθὸς ῥοφητὸς, ζειὰ καθεφθός. 6 τῶν δὲ πομάτων, πάλη ἀλφίτου ἐφ᾽ ὕδατι, 7 καὶ τὰ κλάσματα ἀπὸ τῶν ἄρτων κεκομμένα, καὶ ἄλφιτα πρόσφατα λεπτὰ βεβρεγμένα ἐν ὕδατι ἃ καὶ ἐκλείχειν ἄναλα. 8 τῶν δὲ σιτίων, ἄρτος ἔξοπτος ἐν σποδιῇ. 9 ὄψον δὲ, λαγωοῦ κρέας, πελειάδος, φάσσης, καὶ ἑφθὰ καὶ ὀπτά. 10 ἐρίφου τε κρέας ὀπτὸν, μηδενὶ πρὸς ἄλλῳ πεποιημένον· ἐς ὄξος ἐμβάπτειν. 11 ἧπάρ τε ἐν σποδιῇ ὀπτὸν αἰγὸς ἢ βοός. 12 ᾠοῦ τὸ λευκὸν ἢ ὁ λέκιθος. 13 τυρὸς ἄναλος. 14 λαχάνων δὲ μηδέν τι γεύεσθαι, μήτε ἑφθῶν, μήτε ὠμῶν. 15 καὶ λουτρῶν ἀπέχεσθαι. 16 καὶ ἐπιδεῖν τὼ χεῖρε ἐρείῳ ῥερυπωμένῳ στρίψαντα, καὶ ἀγχόνην ποιήσαντα ὑπὲρ τῶν ἀγκώνων καὶ τῶν ἰγνύων ὑπὲρ τῶν γουνάτων. 17 καὶ σικύας ἀνείρειν, ἐπάρας μαζοὺς ὑπ᾽ αὐτοὺς [illegible]

culis juxta jugulum, ad maxillas & linguam. 24 A talibus vero paulo post retrorſum, à tendinibus juxta ſpinam, ad lumbos, 25 atque ſic per violentiam pereunt.

11. Prædicere igitur oportet fluxibus inchoantibus, & diætam conſtituere hoc modo. 2 Mane quidem dandum eſt pharmacum ad fluxiones, ex his quæ ego deſcribam, quocunque maxime opus habere viſæ fuerint. 3 Dandum autem & ter & quater, ſi multus ſanguis diſceſſerit. 4 Diæta igitur conſtituatur, ſi quidem ſine febre fuerint, ex cibis: ſi vero febricitarint, ex ſorbitionibus. 5 Sunt autem ex ſorbitionibus hæ commodiſſimæ, panicum, lenticula, farina horni ac recentis tritici cocta, alica cocta ſorbilis, zea cocta. 6 Ex potionibus vero, polentæ pollen in aqua, 7 & ramenta à panibus deraſa contuſa. Et polentæ recentes tenues in aqua madefactæ, quas etiam inſulſas delingere prodeſt. 8 Ex cibis vero panis exaſſatus in cinere. 9 Obſonium autem ſit leporis caro, & columbæ, ac palumbis, & cocta, & aſſata. 10 Et hœdi caro aſſata, nullo aſcititio condimento addito, ſed ut in acetum ſaltem intingant. 11 Hepar item capræ aut bovis in cinere aſſatum. 12 Ovi tenue, aut ipſum luteum. 13 Caſeus inſulſus. 14 Ex oleribus autem nullum guſtent, neque coctum, neque crudum. 15 Et à balneis abſtineant. 16 Et manus ipſis deligato, ita ut lana ſordida ipſas circumdes, & laqueum immittas ſupra cubitos, & ad poplites, ſupra genua. 17 Et cum cucurbitis ſub mammas affixis, ipſas elevato,

ἄλλοτε μὲν ἐς τὰ δεξιὰ, ἄλλοτε δὲ ἐς τὰ λαιά. [18] ἢν δὲ δύσπνοια γένηται πρὸς τὴν προσβολὴν τῆς σικύης, ἀφαιρέειν τὴν σικύην, αἷμα δὲ μὴ ἀπάγειν. [19] προσθέτοισι δὲ χρῆσθαι, οἵοισιν αὖ ἐγὼ γράψω τῶν στασίμων τοῦ αἵματος προσθέτων ποιέοντα τῇσι τοιαύτῃσιν.

III. Ἢν μὲν περιγένηται ἐκ τοῦ ῥόου, ἀπιόντος πολλοῦ αἵματος, [2] ὅτε, τὸ χρῶμα ἀφυῶδες καὶ τὸ πρόσωπον μετέωρον, [3] καὶ ἐν τοῖσιν ὑποφθαλμίοισιν οἰδήματα, καὶ τὰ σκέλεα ἐπηρμένα, [4] καὶ ἡ ὑστέρη ὑγρὴ καὶ αἰεὶ ἐσόμενα τῷ παρὰ λόγον, καὶ τὰ ἀπιόντα ὑδαρέα, οἷον ἀπὸ κρεῶν ὠμῶν χυμός. [5] τῇσι τοιαύτῃσι χρὴ, ὅταν ἰσχύῃ, καὶ ἐμέτους ποιέειν, καὶ νήστιας, καὶ μετὰ τοὺς ἐμέτους ἄριστον διδόναι. [6] ταύτῃσι ξυμφέρει ὀλιγοποσίη, οἶνος ἀκρητέστερος, ἀλουσίη ἢ ψυχρολουσίη, περίπατοι, μονοσιτίη, πᾶσα ξηρασίη. [7] ἢν δὲ πρὸς ταῦτα μὴ καθιστῶνται, μηδὲ ξυμπίπτωσιν αἱ ὑστέραι, μηδὲ τῶν ῥευμάτων ἀπαλλάσσωνται, [8] ἀποσκεπτόμενον χρὴ ἐς τὴν δύναμιν τοῦ σώματος καὶ, ἢν ἡ δυνατή, ἐλλεβορίζειν. [9] ἢν δὲ μὴ ὑπακούῃ, τὴν κεφαλὴν καθαίρειν. [10] καθήραντα δὲ τὰ λοιπὰ διαίτῃ θεραπεύειν τὸν αὐτὸν τρόπον καὶ περὶ τὰς ἀτέκνους.

IV. Σκεπτέον δὲ καὶ τὰς φύσιας τῶν γυναικῶν, καὶ τὰς χροιὰς, καὶ τὰς ἡλικίας, καὶ τὰς ὥρας, καὶ τοὺς τόπους, καὶ τὰ πνεύματα. [2] αἱ μὲν γὰρ ψυχραὶ, αἱ δὲ ὑγραὶ καὶ ῥοώδεες· [3] αἱ δὲ θερμαὶ μὲν, ξηρότεραι δὲ καὶ στάσιμοι εἰσιν. [4] αἱ μὲν γὰρ ὑπέρλευκοι, ὑγρότεραι δὲ καὶ ῥοωδέστεραι· [5] αἱ δὲ μέλαιναι, ξηρότεραι δὲ καὶ στρυφνότεραι· [6] αἱ δὲ οἰνωποὶ μεσηγύ τι ἀμφοῖν

to, modo ad dextram, modo ad ſiniſtram partem ' tranſlatis. [18] Si vero ſpirandi difficultas oriatur ad cucurbitæ admotionem, cucurbitam amoveto, ſanguinem autem ne detrahito. [19] Verum ſubdititiis utere, quæ ego deſcribam: & ad ſiſtendum ſanguinem in talibus ſunt apta.

III. Et ſiquidem ex fluxionibus mulier evaſerit, ubi multus ſanguis diſceſſit: [2] & color eſt exalbidus, & facies elevata, [3] & ſub oculis tumores laxi, & crura turgida, [4] & uterus humidus, ac ' ſemper præter rationem hians. Et quæ diſcedunt aquoſa ſunt, velut à crudis carnibus ſuccus. [5] Talibus, ſi robuſtæ fuerint, vomitus ciere oportet jejunis, & poſt vomitus prandium exhibere. [6] His conducit modicus cibus: vinum nigrum meracius: illuvies, aut frigidæ lotio: deambulationes: ſemel in die cibum capere, omnis reſiccatio. [7] Si vero ad hæc non ſedentur, neque conſidant uteri, neque à fluxionibus liberentur, [8] ' reſpectu virium corporis habito: ſiquidem robuſta fuerit, veratrum dare oportet. [9] Si vero non obediat, caput purgare: [10] facta autem purgatione, per diætam reliqua curare eodem modo velut circa ſteriles.

IV. Conſiderare porro oportet etiam naturas mulierum, & colores, & ætates, & tempora, & locos, & ventos. [2] Aliæ enim frigidæ: aliæ humidæ ac fluidæ: [3] aliæ calidæ quidem, ſicciores autem & ſtabiles ſunt. [4] ' Nam quæ ſuperalbidæ ſunt, humidiores ſunt ac fluidiores: [5] nigræ vero ſicciores & acerbiores ac adſtrictiores. [6] Quæ vero vini colorem referunt, medium quid-

φοῖν ἔχουσι. 7 καὶ ἀμφὶ τὰς ἡλικίας ὡσαύτως ξυμβαίνει. 8 αἱ μὲν γὰρ νέαι ὑγρότεραι καὶ πολύαιμοι ὡς ἐπὶ τὸ πολύ. 9 αἱ δὲ πρεσβύτεραι ξηρότεραι καὶ ὀλίγαιμοι. 10 αἱ δὲ μέσαι μέσον τι ἀμφοῖν ἔχουσιν ἰσηνύουσαι. 11 δεῖ δὲ τὸν ὀρθῶς ταῦτα διαχειριζόμενον διαγινώσκειν ἑκάστοτε τὰς φύσιας τῶν γυναικῶν, καὶ τοὺς καιρούς, καὶ τὰς ἡλικίας, καὶ τὰς ὥρας, καὶ τοὺς τόπους, καὶ τὰ πνεύματα.

V. 1 Ἢν ῥόος ἐν τῇσι μήτρῃσιν ἐγγένηται, 2 αἷμα ῥέει πολλόν, καὶ θρόμβοι πεπηγότες ἐκπίπτουσι. 3 καὶ ὀδύνη ἴσχει ἐς τὰς ἰξύας, καὶ τοὺς κενεῶνας, καὶ τὴν νειαιρὴν γαστέρα. 4 καὶ σκληρή ἐστι, καὶ ψηλαφωμένη ἀλγέει. 5 καὶ ῥῖγος, καὶ πυρετὸς ὀξὺς λαμβάνει. 6 καὶ ἀσθενείη ἐγγίνεται. 7 καὶ πάντα, πλὴν ὤμων καὶ ὠμοπλατέων, ἀλγέει. 8 καὶ θέρμην ἴσχει. 9 καὶ ἐρυθριᾷ. 10 καὶ τὰ φλέβια σκληρὰ ἀντιτυπεόμενα. 11 ἡ δὲ νοῦσος γίνεται μάλιστα ἐκ τῶν τρωσμῶν. 12 γίνεται δὲ καὶ ὁκόταν τὰ ἐπιμήνια, μὴ γενόμενα ἀπὸ πολλοῦ χρόνου, ἐξαπίνης καταρραγῇ. 13 ταύτῃ, ὁκόταν ὧδε ἔχῃ, ὄλυνθον ξηρὸν κόψας καὶ διασήσας ἐς ὀθόνιον ἐνδῆσαι καὶ προσθεῖναι. 14 καὶ ἐπὶ τὴν νειαιρὴν γαστέρα ψύγματα ἐπιτιθέναι, φυλασσόμενος μὴ φρίξῃ. 15 ἐπειδὰν δὲ τὸ ῥεῦμα στῇ, ἀγριελαίης φύλλα ἑψήσας ἐν ὄξει ὡς ὀξυτάτῳ διανιψάσθω τὰ αἰδοῖα. 16 πινέτω δὲ γίγαρτα. 17 καὶ ῥόα τὴν ἐρυθρὴν ἑψήσας ἐν ὄξει ὡς ὀξυτάτῳ, ἀλειψάσθω τὰ αἰδοῖα ὅσον ἡμικοτύλιον. 18 ἢ μόρα τὰ ἀπὸ τῆς βάτου τὰ ἐρυθρὰ ξηρήνας καὶ τρίψας λεῖα μετὰ ἀλήτου σητανίου, μίσγειν ἴσον ἴσῳ, νῆστις διδόναι πίνειν. 19 ἢν δὲ θέλῃς ἰσχυρότερον, σητανίου ξυμμίξας δύο μοίρας ἀλήτου ἐπι-

quiddam inter utrasque habent. 7 Sic autem & in ætatibus contingit. 8 Juvenculæ enim humidiores sunt, & multo sanguine plerunque refertæ. 9 Aniculæ vero sicciores, & modicum sanguinem habentes. 10 Mediæ vero medium quiddam inter utrasque habent, ut quæ nunc æquales existunt. 11 Oportet autem eum qui recte hæc tractare volet, semper mulierum naturas discernere, & temporum occasiones, & ætates, & tempora, & locos, & ventos.

V. Si fluxus in uteris obortus fuerit, 2 sanguis multus fluit, & grumi compacti excidunt: 3 & dolor occupat lumbos, & laterum mollitudinem, ac imum ventrem: 4 & durus est venter, & ad contactum dolet: 5 & rigor ac febris acuta corripit: 6 & debilitas oboritur: 7 & omnia præter humeros ad scapulas dolet: 8 & calor invadit: 9 & rubescit: 10 & venæ duræ fiunt ac renitentes. 11 Morbus hic maxime fit ex abortu. 12 Fit & quum menses multo tempore retenti derepente eruperint. 13 Huic ubi sic habuerit, grossum siccum contusum ac cribratum in linteum alligato, ac apponito: 14 & imo ventri perfrigerantia imponito, cavens ne horreat. 15 Postquam autem fluxus steterit, oleæ sylvestris folia in acerrimo aceto coquat, eoque pudenda perluat. 16 Bibat autem vinacea: 17 & rhoem rubrum in aceti acerrimi hemina dimidia coquat, & eo pudenda perluat. 18 Aut mora rubi rubra siccata ac trita, cum farina recenti, pari portione mixta, jejunæ bibenda dato. 19 Si vero fortius facere voles, duabus farinæ partibus

ἐπιλαβὼν πίσαι. [20] καὶ μὴ λουέσθω. [21] σιτίοισι δὲ χρήσθω ξηροῖσι, καὶ οἴνῳ μέλανι οἰνώδει. [22] ἢν δὲ οἰδέῃ, πεπαυμένου ἤδη τοῦ ῥόου, φάρμακον πισάτω κάτω. [23] μετὰ δὲ τὸ φάρμακον τὰς ὑστέρας κλύσαι τῷ ἀπὸ τῶν ὀλύρων, καὶ μετακλύζειν στρυφνοῖσιν. [24] ἢν ταῦτα ποιούσῃ ὑγρανθῇ, θυμιήσθω ἕως ἂν ἀποξηραίνῃ.

VI. Ῥόος ἐρυθρὸς ῥέει τοιόσδε, οἷον αἷμα νεοσφαγὲς, καὶ θρόμβια διαλάμποντα. [2] ἄλλοτε δὲ καὶ [τὸ] ῥέον ἐρυθρὸν ἐκβράσσει. [3] καὶ γαστὴρ ἡ νειαρὴ ἐπαίρεται καὶ λεπτὴ γίνεται, καὶ νωθρεῖ, καὶ σκληρύνεται, καὶ ἀλγεῖ ψαυομένη ὡς ἕλκεος. [4] καὶ πῦρ ἔχει, καὶ βρυγμός. [5] ὀδύνη τε ἐς αὐτὰ τὰ αἰδοῖα καὶ τὸ ἐπίσιον, καὶ ἐς τὸν κενεῶνα καὶ τὰς ἰξύας. [6] καὶ τένοντας, καὶ κοιλίην, καὶ στῆθος, καὶ τὰς ὠμοπλάτας, καὶ τἄλλα πάντα ἀλγεῖ. [7] καὶ ἀδυναμίη, καὶ λιποψυχίη ἔχει. καὶ ὁ χρὼς τρέπεται. [8] κατ' ἀρχὰς [μὲν] τῆς νούσου τάδε ἐπιλαμβάνει. [9] ἢν δὲ μηκύνῃ τάδε πάντα, ἔτι μᾶλλον ἀσθενεῖ, καὶ δῆλος ἡ νοῦσος, [10] καὶ τὰ κοῖλα ἐπαείρεται, καὶ οἱ πόδες οἰδίσκουσι. [11] ἡ δὲ νοῦσος λάζεται ἐκ τόκου μάλιστα, [12] ἢν τι ἐν αὐτῇ διακνησθὲν μὴ ἴῃ, ἀλλ' ἐνσαπῇ καὶ τρυχωθῇ τὸ ἔμβρυον. [13] ταύτῃ κατ' ἀρχὰς, ἢν ἐπιτυγχάνῃς, σπόγγον καταβρέχοντα προστιθέναι, ὁκόταν ἡ ὀδύνη. [14] καὶ ὀθόνιον λεῖον μαλθακὸν καταψῶν, ὕδατι τέγγοντα ψυχρῷ, ἐπὶ γαστέρα ἐπιβαλεῖν, καὶ ὕδατι ψυχρῷ καταχέειν. [15] καὶ τὴν κλίνην ἀπὸ ποδῶν ὑψηλοτέρην εἶναι καὶ στορέσαι ὧδε. καὶ τῶν γυναικείων, πειρώμενος ὅ, τι ἂν μᾶλλον προσίηται, πιπίσκειν, [16] τοῦ σελίνου τὸν καρπὸν,

φῶσαι

tibus ammixtis, bibendum dato. [21] Et ne lavetur. Cibis autem utatur siccis, & vino nigro vinoso. [22] Si vero intumuerit, fluxu jam sedato. [23] Post pharmacum autem uteros grossorum decocto colluito: & postea acerba infundito. [24] Si verò his factis, humecta fuerit, suffitum faciat donec resiccet.

VI. Ruber fluxus fluit talis, qualis sanguis victimæ recens mactatæ, & grumi pellucentes. [2] Aliquando vero etiam fluxum rubrum emittit, [3] & venter imus attollitur, & attenuatur, & impotens fit, & indurescit, & ad contactum dolet, velut ulcere præsente: [4] & febris habet, & dentium fremitus: [5] & dolor ad ipsa pudenda, & pubem, & lateris mollitudinem, & lumbos, [6] & tendinem, & ventrem, & pectus, & scapulas irruit. Et alias omnes partes dolet: [7] & impotentia ac pusillanimitas occupat: & color mutatur. [8] In principio quidem morbi hæc corripiunt. [9] Si vero hæc omnia moram trahant, adhuc magis debilitatur: & manifestus est morbus: [10] & cavæ partes attolluntur, & pedes intumescunt. [11] Morbus hic ex partu maxime corripit, si quid in ipsa dilaniatum non prodierit, sed intus computruerit, & fœtus exasperatus fuerit. [12] Hinc si in principio contigeris, spongiam humectam ipsi adhibeto, quum fuerit dolor. [13] Aut linteum tenue molle rasum, aqua frigida madefactum, ventri imponito, & aqua perfundito: [14] & lectum à pedibus altiorem facito: atque sic insternito: [15] & ad menses ciendos medicamentum quodcunque magis admiserit, bibendum præbeto. [16] Apii semen torreto,

φῶσαι, καὶ σῆσαι, καὶ κόψαι. καὶ ἐρύσιμον ὡσαύτως. [17] καὶ μήκωνος καρπὸν ξὺν ἀλφίτοισι σήσας. καὶ κνίδης καρπὸν ὡσαύτως. [18] καὶ τὴν ψώρας ἀγριελαίης, καὶ κηκῖδα, καὶ πήγανον, καὶ ὀρίγανον, καὶ γλήχωνα ἐν ἀλφίτοις σῆσαι καὶ φυρῆσαι. [19] καὶ κρίμνα ἐπ' ἀλφίτων ἁδρὰ φῶξαι καὶ πύρινα καταλέσαι, καὶ τυρὸν αἴγειον περιξέσαντα τὸ αἶσχος. [20] καὶ τῶν μὲν ἄλλων ἴσον ἑκάστου μίσγειν, ὀρίγανον δὲ καὶ πήγανον καὶ ψώρας καὶ κηκῖδος ἥμισυ. [21] ταῦτα πίνειν νῆστιν πρὸ τῆς κινήσιος. [22] κιρνάναι δὲ χρὴ, καὶ ἐς χρῆσιν, ἢν δριμέα ἴῃ. καὶ κυκεῶνα διδόναι. [23] ἓν μὲν τοῦ φαρμάκου μέρος ἔστω, ἓν δὲ τοῦ τυροῦ, ἓν δὲ τῶν ἀλφίτων. [24] ἐς ἑσπέρην δὲ τοῦ μέλιτος ξυμμίσγοντα πιπίσκειν. [25] καὶ, ἄχρι μὲν ἂν ἀρχῆς ἔχηται τῇ νούσῳ καὶ τὸ αἷμα συχνὸν ἴῃ καὶ διαλείπον ὀλίγον χρόνον, καὶ ὀδύναι ὀξεῖαι ἴσχωσι, ταῦτα χρὴ ποιέειν. [26] ἢν δὲ τὸ αἷμα ἔλασσον ῥυῇ καὶ δι' ἐλάσσονος χρόνου, πιπίσκειν, ἃ δὴ κάτω ὑποχωρεῖ, ἢ ἄνω. [27] καὶ πυριῆν τὰ αἰδοῖα βληχροῖσι πυριήμασιν, ὡς ἂν δοκέῃ ἑκάστοτε καιρὸς εἶναι. [28] καὶ ζειὰς ἐρείξαντα ξὺν τοῖσι κελύφεσι, καὶ ὀλύνθους ἀρινοὺς αὐήναντα κόψαι καὶ σῆσαι, καὶ ἐλαίης φύλλα ὁμοίως, ἴσον ἑκάστου, καταπλάσσειν. [29] καὶ γάλα πιπίσκειν βόειον, ἢ ἑφθὸν ἢ ὠμὸν, [30] καὶ πρὸς τὸ ὀρθῶς ἔχον ὁρῶν, ὡς ἂν καιρὸς δοκέῃ εἶναι. [31] καὶ ἥδε νοῦσος δοκέει βληχρὴ εἶναι καὶ [οὐ] θανατώδης, ὀλίγαι δὲ τῆς τοιαύτης νούσου διαφεύγουσιν.

VII. Ὁκόταν γυναικὶ αἷμα ῥέῃ ἀπὸ τῶν ἄρθρων, ὑπὸ τό-

κου

reto, tundito, ac cribrato, & erysimum similiter, [17] & pepli semen cum polenta cribratum, & urticæ semen similiter, [18] & scabiem oleæ sylvestris, & gallam, & rutam, & origanum, & pulegium cum polenta cribrato ac misceto: polentam vero crassam torreto, [19] & triticeam polentam commolito: & caseum caprinum sordibus derasis: [20] & de aliis quidem singulorum æquales portiones misceto: origani vero & rutæ, & scabiei & gallæ dimidium. [21] Hæc jejunæ ante motum bibenda dato. [22] Miscere vero etiam oportet ad usum, si acriora prodierint, & cyceonem exhibere. [23] Et de pharmaco quidem pars una sit, & casei una, & una polentæ. [24] Ad vesperam autem melle ammixto bibenda dato. [25] Et donec quidem principium morbi fuerit, & sanguis multus prodierit, & modico tempore intermiserit, & dolores acuti tenuerint, hæc facere oportet. [26] Si vero sanguis paucior fluxerit, & per brevius tempus, ea quæ deorsum aut sursum ducunt bibenda dato: [27] & pudenda lenibus fomentis foveto, prout semper opportunum visum fuerit, [28] & zeam una cum cortice fractam, & grossos siccatos, tusos ac cribratos, & oleæ folia similiter, singulorum pares portiones in cataplasmate adhibeto: [29] & lac bubulum coctum, & crudum bibendum dato, [30] respectu ad id quod recte habet facto, & prout opportunum esse visum fuerit: [31] & videtur morbus hic debilis ac lethalis esse, & paucæ ex ipso effugiunt.

VII. Quum mulieri sanguis ab articulis fluxerit, à partu aut à

labore

κυ διαφθορὴν, ἢ ἀπὸ τοῦ πόνου. ² οἴονται δ' ἔνιοι τοῦτο τῶν ἰητρῶν, ῥόον εἶναι. τὸ δ' ἐστὶν ἑτεροῖον. ³ τοῦτο μὲν ἐκ τῶν ἄρθρων ἐστὶν ἑτεροῖον, καὶ ἐκ τῆς ὀσφύος καὶ ἰσχίου κολλῶδες ὁμοῦ τῷ αἵματι. ⁴ κεῖνο δὲ ἀπὸ [τῶν] ὑστερέων καὶ κοίλων φλεβῶν καθαρὸν αἷμα. ⁵ ταύτην χρὴ ὑποθυμιῆν, ζειὰς καλεαίξαντα ὅσον ἡμίεκτον, ὄξει φυρῆσαι ὀλίγῳ, ὅκως μὴ καθύπερ ὑγραίνῃς τὰς μήτρας. ⁶ καὶ τοῦ θείου ἀπύρου ὁκόσον ἡμιωβόλιον μίξας πρὸς τὰς ζειὰς τετριμμένας, καὶ τῷ ὄξει φυρήσας, τὴν νύκτα τιθέναι. ⁷ πρὸς δὲ πῦρ πολλὸν κατακαύσας ἐπιτιθέναι βύσματα ἀπὸ ἐλαιηρῶν κεραμίων, καὶ ἀπὸ τοῦ κνάφου τῶν κναφέων ξύμμισγε καθάρσιον, καὶ τοῦ καρποῦ τοῦ ὄφιος. ⁸ ἀφαιρέειν δὲ τὸ πολλὸν τοῦ πυρὸς καὶ μὴ καίειν, καπνιᾶν δὲ μάλιστα. ⁹ δίφρον δὲ χρὴ ὀπήεντα εἶναι, καὶ ἀμφιέζειν τὴν γυναῖκα περιεσταλμένην εἵμασιν, ὡς μὴ διαπνέῃ. ¹⁰ ἐπὶ δὲ τὸ πῦρ ἐπιπάσσειν τὸ ξὺν τῷ ὄξει, καὶ τοῦ καρποῦ τοῦ ὄφιος. ¹¹ καὶ σμύρνα δὲ μισγομένη, ἐνεργὸν καὶ παύει [καὶ] τὰ αἰδοῖα τὸ θυμιητὸν αἱμάσσοντα. ¹² ἢν δὲ ἅλις ἔχῃ, ἐρυσίμου καρπὸν πεφωσμένον τρίψαι, καὶ ἐν οἴνῳ διδόναι.

VIII. Ῥόος πυῤῥὸς ῥεῖ οἷον ἐξ ᾠοῦ ἐκλεχθέντος πολύ τε καὶ δυσῶδες. ² καὶ φλεγμαίνουσιν αἱ ὑστέραι. ³ καὶ ὀδύνη ἐκ τῆς ὀσφύος καὶ τῶν βουβώνων. ⁴ καὶ τὰ ἐπερχόμενα πονηρὰ καὶ, ἢν μὴ ἀπαλλάσσηται, ταχὺ ῥέοντα. ⁵ ἀλλ' εἰ καὶ χρόνος ἐγγένηται, τὰ λείποντα σήπει ὡς οἷόν τε μάλιστα. ⁶ ῥιγέει γὰρ, καὶ οἷον ἀπὸ κρεῶν ὀπτῶν χυμὸς ἐπιῤῥέει. ⁷ ἅμα δὲ τουτέοισι πυρετοὶ ἰσχυροὶ, καὶ ῥίγεα. ⁸ ἐκ δὲ τῶν τοιούτων ῥόων, αἱ μὲν πολλαὶ ἀπόλλυνται,

labore corruptæ, ² quidam putant ex medicis hoc fluxum esse. Est autem ' aliud. ³ Nam hoc quod ex articulis, & ex lumbis, ac coxendice aliud est, glutinosum est simul cum sanguine. ⁴ Illud vero quod ab uteris & cavis venis fluit, sanguis purus est. ⁵ Hanc suffire oportet hoc modo: zeæ fractæ semodium aceto modico subigito, ut ne per totum uteros humectes: ⁶ & sulphuris vivi semiobolum ad zeas tritas ammisceto; & aceto subacta per noctem sinito. ⁷ Mane vero multo igne accenso, ' obturamenta de doliis oleariis imponito, & sordes officinæ fullonum, & serpentis semen ammisceto. ⁸ Mox autem multum ignem tollito, & non urito, sed maxime suffumigare facito. ⁹ Oportet autem sellam perforatam adesse, & mulierem vestibus contectam insidere, ut ne quid præterspiret. ¹⁰ In ignem vero medicamentum cum aceto præparatum inspergito, itemque de semine serpentis. ¹¹ Sed & myrrha ammixta efficax est, ut ' suffita pudendorum cruentationem sedet. ¹² Si vero satis habuerit, erysimi semen torrefactum terito, & in vino exhibeto.

VIII. Fluxus fulvus fluit velut ex ovo vitioso multus & gravcoiens: ² & uteri inflammantur, ³ & dolor ex lumbis & inguinibus emergit: ⁴ & prodeuntia mala sunt, & si non liberetur, celeriter fluentia. ⁵ At etiamsi tempus accedat, quæ restant putrefacit, quam maxime id fieri potest. ⁶ Riget enim, & ' velut à carnibus assatis humor defluit, ⁷ & cum his simul febres fortes ac rigores fiunt. ⁸ Ex hujusmodi vero fluxibus multæ pereunt,

λείπονται), ὀλίγαι δὲ διαφεύγουσι. 9 ἢν μὲν ἐν ἀρχῇ προσβλέψῃς, θεραπεύειν ὧδε χρή. 10 ἢν μὲν ἀπύρετοι ἔωσι καὶ ἰσχύωσιν, ἐλλεβορίζειν. 11 ὅταν δὲ γένηται, διαλιπόντα ἡμέρας τρεῖς ἢ τέσσαρας, κάτω πίσαι φάρμακον. 12 μετὰ δὲ τὴν κάθαρσιν διαιτᾶν ὀφείλεις ὧδε. 13 ὅκως τὰ ῥεύματα ὑδαρέα ἐστὶ καὶ λεπτότερα, πρωῒ μὲν νήστει διδόναι τῶν φαρμάκων, ἢ πίνειν ἐπ' οἶνον ἐπιπάσσοντα, ὧν ἂν ἐγὼ γράψω πρὸς ῥόον. 14 μετὰ δὲ τὸ φάρμακον ἐν τῇ ἄλλῃ διαίτῃ θεραπεύειν. 15 τὰς δὲ ὑστέρας θεραπεύειν ὧδε χρή. 16 ἢν μὲν φλεγμαίνωσι καὶ ξυμμεμύκωσι, πυριῆν χρὴ μαλθακῇσι τῇσι πυρίῃσι, μέχρις οὗ τὸ στόμα τῶν μητρέων μαλθακὸν γένηται. 17 μετὰ δὲ τὰς πυρίας κλύζειν τῶν κλυσμάτων ὁκοίοισιν ἂν δοκέῃ δεῖσθαι, ἤν τε καθαρτικωτέροισιν, ἤν τε μαλθακωτέροισι. 18 μετὰ δὲ τοὺς κλυσμοὺς, μαλθακτήρια προστιθέναι. 19 ἢν δὲ μὴ διαλυτὸν τὸ στόμα γένηται, πυριῆν καὶ μαλθάσσειν προσθέτοισιν, ὧν ἂν ἐγὼ γράψω, μέχρις ἂν ἀναστομωθῇ. 20 ἢν δὲ μὴ πρὸς ταῦτα παύηται τὰ ῥεύματα, καθαίρειν τὴν κεφαλὴν, καὶ οὕτως διαιτῆν. 21 ἢν μὲν ἄπυρος ᾖ, ὄνου γάλα πίνειν. 22 λαχάνοισιν ἑφθοῖσι καὶ ἡμέροισι καὶ ἀγρίοισι, πλὴν σκορόδων, καὶ πράσων, καὶ κράμβης, καὶ ῥαφάνου τῆς μακρῆς. 23 θαλασσίων δὲ, βάτῳ τῷ λείῳ, σκορπίῳ, γόγγρῳ, νάρκῃ, ἐγχέλυϊ, ψήσσῃ, κωβιῷ. 24 ἕψειν δὲ χρὴ ἐν κρομμύοισι καὶ κοριάννοισιν ἐν ἅλμῃ γλυκείῃ καὶ ῥυπαρῇ διέφθω. 25 κρεῶν δὲ μάλιστα μὲν συὸς, δεύτερον δὲ ἀρνὸς ἢ οἰὸς, ἑφθοῖσι μᾶλλον ἢ ὀπτοῖσι. 26 καὶ τοῖσι ζωμοῖσιν, οἴνῳ λευκῷ μελιχρῷ ἢ ὑδαρεῖ. 27 λουτροῖσιν,

μὴ λίην

paucæ effugiunt: 9 & siquidem in principio accesseris, sic curare oportet. 10 Si sine febre fuerint ac robustæ, veratrum ipsis dato: 11 & intermissis tribus aut quatuor diebus, pharmacum deorsum purgans exhibeto. 12 Post purgationem vero sic diætam constituere debes, 13 quo fluxiones aquosæ sint ac tenues. Mane quidem jejunæ pharmacum aliquod ex his quæ ego describam ad fluxum, ebibendum dato in vinum inspersum. 14 Post pharmacum autem, alia diæta curato. 15 Uteros vero sic curato. 16 Siquidem inflammati fuerint aut conclusi, fomenta adhibere oportet mollia, donec os uterorum molle fiat. 17 Post fomenta, infusis qualibus opus habere visæ fuerint colluito, sive magis purgantibus, sive mollioribus. 18 Post collutiones, mollitoria apponito. 19 Si vero non facile solubile sit osculum, foveto, & subdititiis mollito, quæ ego describam, donec apertum fuerit. 20 Quod si ad hæc fluxiones non sedentur, caput purgato, & sic victus rationem constituito. 21 Siquidem sine febre fuerit, asininum lac bibat: 22 & oleribus coctis hortensibus ac sylvestribus utatur, excepto allio, porro, brassica, & raphano longo. 23 Ex marinis autem, raja lævi, scorpio, congro, torpedine, anguilla, passere, gobio: 24 coquere vero oportet cum cepis & coriandro, in muria dulci ac pingui, ita ut probe percoquantur. 25 Ex carnibus autem, maxime suilla, deinde agnina, aut ovilla, coctis potius quam assatis, 26 & ipsarum jusculis. Vino vero albo mellei coloris, aut aquoso. 27 Balneis autem non

valde

30 ἄνευ τῆς κεφαλῆς, μὴ λίην θερμοῖσι, μηδὲ πολλοῖσιν. 29 ἢν δὲ ὑπὸ ταύτης τῆς διαίτης τοῦ μὲν ἑλκώσιος καὶ τῆς φλεγμασίης ἀπαλλάσσωνται, ὑγραὶ δὲ ἔωσιν αἱ μῆτραι, 29 ἀντὶ μὲν λουτρῶν ἀλουσίῃσιν, 30 ἀντὶ δὲ κιρρῶν οἴνων μέλασιν, 31 ἀντὶ δὲ ὑδαρεστέρων ἀκρητεστέροισιν, 32 ἀντὶ δὲ ἀλφίτων ἄρτοισιν, 33 ἀντὶ δὲ ἰχθύων κρέασιν ὀπτοῖσι, 34 καὶ σιτίοισι πᾶσι τοῖσι ξηραντικοῖσιν, οἷσι περ ἐπὶ τῇσι διαρροίῃσι χρεόμεθα. 35 κλυσμῶν ἀπηλλάχθαι πάντων, πλὴν 35 οἴνου καὶ ὕδατος. 36 θυμιῆσθαι δὲ τοῖσι στυπτικοῖσιν. 37 ἄριστον δὲ ἐν γαστρὶ ἔχειν. 38 ἢν δὲ ἐοῦσα νεῆνις ᾖ, ἐμέτους νηστείας. 39 πυκνὰ δὲ ἐπεμέειν, 40 καὶ μετὰ ταῦτα ἀριστίζεσθαι μικρόν. 41 αὕτη ῥόων τῶνδε τυγχάνει δίαιτα.

IX. Ῥόος λευκός. 2 ῥέει λευκόν, ὡς ὄνου οὖρον. 3 καὶ ἐν τῷ προσώπῳ οἰδήματα, καὶ τὰ ὑποφθάλμια οἰδέει ἄμφω, 4 ὑδρωποειδέα τε καὶ οὐ πάνυ εὐειδέα τὰ τῶν ὀφθαλμῶν, 5 καὶ τὸ λαμπρὸν ἄπεστι, 6 καὶ γλαμυροὶ οἱ ὀφθαλμοὶ καὶ ἀμβλυώσσοντες. 7 καὶ τὸ χρῶμα ἀφυῶδες καὶ φλυ- 40 κταινοειδές. 8 καὶ ἡ γαστὴρ ἐπανοιδέουσα ἡ νειαιρή. 9 καὶ ἐν τῇσι γνάθοισι κατὰ μικρὸν ἐρυθροειδέα τε καὶ σμικρὰ καὶ ὑδαρέα καὶ πονηρά. 10 καὶ ἐν τοῖσι σκέλεσιν οἰδήματα. 11 καί, ἢν πιέζῃς τῷ δακτύλῳ, ἐμπλάσσεται ὥσπερ ἐν σταιτί. 12 καὶ τὸ στόμα σιέλου ἐμπίπλαται, 13 καρδιωγμοί τε, ὁκόταν νήστιες ἔωσιν, ἢ καὶ ἐμέωσιν ὕδωρ οἷον ὄξος. 14 καί, ἢν προσάντεα πορευθῇ, θᾶσσον ἆσθμα ἔχει, καὶ πνὶξ, καὶ σκελέων ἀπόψυξις, καὶ γουνάτων ἀκρασίη. 15 καὶ ἐν τῷ στόματι ἄφθαι. 16 καὶ ὑστέρη παρὰ λόγον ἀνεστόμωται, 17 καὶ ἐμ- 45 πέπλωκεν ἐν τῷ στόματι βαρέη ὥσπερ

valde calidis, neque multis, excepto capite. 28 Si vero hac diæta, ab ulceratione & inflammatione liberentur, humidi vero 140 sint uteri, 29 pro balneis quidem, illuvie: 30 pro fulvis autem vinis, nigris: 31 & pro aquosioribus, meracioribus: 32 & pro polenta, panibus: 33 & pro piscibus, carnibus assatis, 34 & omnibus cibis siccantibus, quibus sane in alvi profluviis utimur: 35 à collutionibus autem omnibus abstineat, excepto vino & aqua. 36 Suffitus autem fiat per adstringentia. 37 Optimum autem esset si conciperet. 38 Si vero juvencula fuerit, 39 frequenter jejuna 145 vomat, 40 & postea parum prandeat. 41 Atque hæc harum fluxionum diæta est.

IX. Fluxus albus 2 fluit velut alba asini urina, 3 & in facie sunt tumores albi, & partes ambæ sub oculis tument: 4 & hydropiformes ac non valde bona specie præditi sunt oculi, 5 & splendor abest: 6 & lachrymosi sunt oculi ac hebetes: 7 & color corporis exalbidus ac pustulosus, 8 & venter imus tumidus: 9 & in maxillis pustulæ paulatim ruben- 150 tes, parvæ, aquosæ ac malignæ: 10 & in cruribus tumores laxi: 11 & si presseris digito, notæ imprimuntur velut in fermento, 12 & os saliva impletur: 13 & stomachi morsus percipiunt quum jejunæ fuerint, aut etiam vomuerint velut acidam aquam: 14 & si ad acclivem locum procedunt, anhelatio citius corripit, & strangulatio, & crurum perfrigeratio, & genuum impotentia: 15 & in ore ulcera fervida ac superficiaria: 16 & uterus 155 præter rationem aperitur, 17 & ad osculum procidit gravis, veluti

Ll 5 luti

ὥσπερ μόλιβδος. 18 καὶ διὰ τῶν μηρῶν διατείνουσιν ὀδύναι. 19 καὶ ἀποψύχεται πάντα τὰ κάτω, τὰ ἀπὸ νειαίρης γαστρὸς ἀρχόμενα ἄχρι ποδῶν, καὶ τὰ θέναρα ναρκῶσι, [καὶ] ἐπιβαίνειν οὐ δύνανται. 20 τὰς τοιαύτας χαλεπὸν ἀπαλλάσσειν τῶν νοσημάτων. 21 αἵ τε γὰρ ἡλικίαι προβεβήκασιν, οἵ τε κάματοι ξυγκαταγηράσκουσιν, ἢν μή τι εὐτύχημα τῶν αὐτομάτων λύσῃ γενόμενον. 22 ταύτῃσι χρὴ ἀπαρύσαι, ὅταν πλεονάζῃ, φαρμάκοισιν ἅσσα χολὴν ξανθὴν μὴ καθαίρει. 23 ἀλλὰ τὰ οὐρητικὰ ταύτῃσι ξυμφέρει πινόμενα, καὶ κεφαλῆς καθάρσιες, καὶ ἀλουσίαι, 24 καὶ τὸ λευκὸν ἐπίθυμον πίνειν, καὶ περίπατοι, καὶ πᾶσα ξηρασίη ἐν τῇ διαίτῃ. 25 ταῦτα δρῶσαι ὑγιέες μὲν παντελῶς οὐ γίνονται, εὐπετέστερον δὲ διάγουσι.

X. Ῥόος λευκοῦ ἑτέρου θεραπείη. 2 καθαίρεται λευκὸν ὑπόχλωρον, καὶ, ὅταν οὐρέῃ, δάκνει, καὶ ἀμύσσει, καὶ ἑλκοῖ τὰς ὑστέρας. 3 καὶ πυρετὸς ἔχει ὀξὺς, καὶ θέρμη πολλὴ, δίψα, ἀγρυπνίη. 4 καὶ ἔκφρονες γίνονται. 5 καὶ, ὅταν σπουδάσῃ, ἆσθμά μιν ἔχει, καὶ τὰ γυῖα λύονται. 6 ταύτην δέον μήκωνα πιπίσκειν λευκὴν, καὶ κνίδης καρπὸν, καὶ ὅ τι ἄμεινον, καὶ ῥοιῆς γλυκείης ῥίζαν καὶ φύλλα, καὶ ῥόον, καὶ κηκῖδα. 7 ταῦτα ἐν οἴνῳ τρυφερῷ διδόναι πιπίσκειν, καὶ ῥοιῆς χυλὸν, καὶ ξυμμίσγειν τυρὸν αἴγειον. 8 ὑποθυμιῆν δὲ ζειὰς καὶ ὀλύνθους χειμερινοὺς, καὶ ἐλαίης πέταλα, καὶ ψώρας τὰς αὐτῆς. καὶ σικύης λέμματα τρίτον μέρος· τὰ δὲ ἄλλα ἴσα. 9 καὶ τῶν ἑψάνων ῥοφεῖν, καὶ τὸ διὰ ἀμυγδάλων, καὶ σησάμου ῥόφημα. 10 καὶ αἰωρείσθω, καὶ ὀχείσθω, καὶ μὴ ἠρεμεέτω.

XI. Ῥόος ἄλλος. 2 καθαίρεται

luti plumbum: 18 & dolores per femora tendunt, 19 & omnia inferna perfrigerantur, ab imo ventre inchoantia usque ad pedes: & plantæ torpent: ac ingredi non possunt. 20 Tales difficile est à morbis liberare. 21 Nam & ætate provecta sunt, & afflictiones consenescunt: nisi casus aliquis spontaneus forte fortuna allapsus ipsas solvat. 22 Has exhaurire oportet quum redundarint, per pharmaca quæ bilem flavam non purgant. 23 Sed urinam cientia his pota conferunt, & capitis purgationes, & illuvies, 24 & epithymi albi potus, & deambulationes, & omnis resiccatio in victu. 25 Hæc ubi fecerint, sanæ quidem penitus non fiunt, facilius autem degunt.

X. Fluxus albi alterius curatio. 2 Purgatur album subluteum, & quum mingit, morsum percipit, & lancinatur, & uterus ulceratur: 3 & febris corripit acuta, & calor multus, sitis, vigiliæ: 4 & mente moventur. 5 Et quum aliquid festinanter egerit, anhelatio ipsam invadit, & membra exolvuntur. 6 Hanc mecona, hoc est peplum album bibere oportet, & urticæ semen; & quod præstat, mali punici dulcis radicem, & folia, & rhoem, & gallam. 7 Hæc in vino acerbo bibenda dato, & mali punici succum, & caseum caprinum ammisceto. 8 Subter autem suffito zeam, & grossos hybernos, & oleæ folia, & scabiem ejusdem, & cucumeris sylvestris cortices ex tertia parte, reliqua paribus portionibus. 9 Sorbeat etiam olera cocta, & sorbitiones ex amygdalis & sesamo, 10 & gestetur ac curru vehatur, & non quiescat.

XI. Alius fluxus. 2 Defluit multum

ῥέεται ὁκοῖον προβάτου οὖρον πολὺ, ³ χροιὴ λευκὴ, ⁴ καὶ οἰδέει πᾶσα, ⁵ καὶ ἐν τῇσι κνήμῃσι πομφοὶ ἀνίστανται. ⁶ καὶ, ἢν ἐπιψαύσῃ τῷ δακτύλῳ, τῇσι κνήμῃσι καὶ τοῖσι ποσὶν ἐμπλέονται βοθροειδέα. ⁷ καὶ, ἢν τι φάγῃ, ἐμπίπλαται καὶ φλεγμαίνει, ⁸ καὶ, ἐπειδὰν ὁδὸν πορεύσῃ καὶ ἔργον τι δράσῃ, ἆσθμα μιν λαμβάνει καὶ πόνος. ⁹ καὶ ἡ χροιὴ λευκὴ, ἐνίοτε ὑπόχλωρος. ¹⁰ ταύτην, ἢν ἰσχύῃ, καὶ ἢν νέη, καὶ τἄλλα φαίνηται, καθαρτικὸν δίδου ἄνω φάρμακον καὶ κάτω. ¹¹ καὶ τὴν κεφαλὴν κάθαιρε, ἢν φλεγματώδης ἐστὶ, δι' ὧν χολή. ¹² καὶ, ἢν ὥρη ᾖ τοῦ ἔτεος, καὶ μὴ φύσει ἐστὶ σπληνώδης, καὶ ἢν τι τῶν εἰρημένων ᾖ, ὀῤῥὸν διδόναι. ¹³ ἀφεψεῖν δὲ καὶ πίνειν ὡς πλεῖστον χρόνον. ¹⁴ καὶ ἐς ἑσπέρην οἶνον γλυκὺν ὑδαρέα, ἢν δέῃ. ¹⁵ σίτου δὲ μὴ ἁπτέσθω. ¹⁶ ἢν δὲ ἀσθενὴς ᾖ, ῥοφήματι ὡς ἐλαχίστῳ, καὶ ἀλουτείτω. ¹⁷ ἐπειδὰν δέ σοι καιρὸς δοκέῃ εἶναι, τῆς πόσιος παυέσθω, ¹⁸ καὶ μετὰ τὴν κάθαρσιν σιτίοισι χρείσθω, ἀπεχομένη λιπαρῶν, καὶ δριμέων, καὶ γλυκέων, καὶ ἁλμυρῶν, καὶ λαχάνων δριμέων. ¹⁹ χρῆσθαι δὲ ἰχθύσι πετραίοισι, καὶ κρέασι μηλείοισιν, ἢ ὀρνιθίοισι, ἢ λαγωοῖσιν. ²⁰ ἄρτῳ σιτώδει, ἢ ἑλκτοῖσι. ²¹ καὶ λαχάνοισιν ἑφθοῖσι χρείσθω, καὶ ἀγρίοισι, τρωκτοῖσι καὶ ἡμέροισιν, ἅπερ δριμέων. ²² καὶ περιπατείτω πρωῒ, καὶ ἀπὸ τοῦ σίτου. ²³ ἐπὴν δέ σοι δοκέῃ ταῦτα ποιεῦντι ξηροτέρη εἶναι, κλύζειν τὰς ὑστέρας τῇ τρυγί. ²⁴ τρεῖς δὲ ἢ τέσσαρας ἡμέρας διαλιπὼν, μετέπειτα στρυφνοῖσι κλύσαι. ²⁵ καὶ ἐπισχόντα, ἢν μὲν ᾖ ξηρὴ, ἡσυ-

χίην

multum velut urina ovilla: ³ color est albus, ⁴ & tota intumescit, ⁵ & in tibiis eminentiæ laxæ & rubicundæ emergunt: ⁶ & si digito attingas, notæ foveas præ se ferentes tibiis ac pedibus imprimuntur: ⁷ & si quid edat, impletur ac inflammatur: ⁸ & ubi iter fecerit, & opus aliquod obierit, anhelatio & dolor ipsam corripit, ⁹ & color albus, quandoque subluteus. ¹⁰ Huic, si robusta & juvencula fuerit, & alia apparuerint, ab initio pharmacum sursum ac deorsum purgans bibendum dato: ¹¹ & caput purgato si pituitosa est, per ea quæ pituitam purgant. Si vero biliosa, per ea quæ bilem: ¹² & si tempus anni fuerit, & à natura non est lienosa, & si quid ex relatis fuerit, serum dato. ¹³ Decoquat autem hoc & bibat quam plurimo tempore, ¹⁴ & ad vesperam vinum dulce aquosum, si opus habuerit. ¹⁵ Cibum vero ne contingat. ¹⁶ Si vero debilis fuerit, sorbitione modica utatur, & non lavet. ¹⁷ Postquam autem tempestivum esse tibi videbitur, à potu cesset: ¹⁸ & post purgationem cibis utatur, ita ut abstineat à pinguibus, & acribus, & dulcibus, ac salsis, & ab oleribus acribus. ¹⁹ Utatur autem piscibus petrosis, & carnibus ovillis, aut volucrium, aut leporinis: ²⁰ pane frumentaceo, aut ex ordeo freso: ²¹ & oleribus coctis utatur, & sylvestribus quæ cruda eduntur, itemque hortensibus, acribus exceptis: ²² & deambulet mane & à cibo. ²³ Ubi vero his factis siccior esse visa fuerit, uteros fece vini colluito: ²⁴ & tribus aut quatuor diebus interpositis, postea acerba infundito, ²⁵ & intermissione facta, si

quidem

χίλω ἄγειν. [26] καὶ, ἢν φύσει ᾖ χολώδης ἢ φλεγματώδης, ὑπὸ δὲ τῆς διαίτης καὶ τῆς φαρμακοποσίης λεπτυνθεῖσα, ἢν μὴ δύνηται ἀναλαμβάνειν, γάλα πινέτω τεσσαράκοντα ἡμέρας βόειον θερμὸν ἀπὸ βοός. [27] τὴν δέ γε φλεγματώδεα ἄμεινον σιτίοισιν ὡς ἐλαχίστοισι χρέεσθαι, ἕως ἂν γαλακτοποτῇ. [28] ἔστω δὲ 30 μέτρον ὅσον ἓξ κοτύλαι ἀττικαί. [29] ἀρχέσθω δὲ ἀπὸ δύο, καὶ προστιθέτω κοτύλην ἑκάστης ἡμέρας, ἄχρις ἂν ἓξ γένωνται. καὶ ἐκ τοῦ κατ' ὀλίγον ἐπὶ τὸ ἔλασσον [30] καὶ μετὰ τὴν γαλακτοποσίην ἀνακομιζέσθω σιτίοισι, καὶ διαίτῃ. [31] καὶ μετὰ τὴν τοῦ γάλακτος πόσιν πινέτω πρωῒ νῆστις ἀδίαντον. [32] ξηρήνας κοψάτω καὶ διασήσας διὰ κρησέρης, τοῦτο διδόναι ἐν οἴνῳ μέλανι εὐώδει κεκρημένῳ. [33] ἢν δὲ ὑποστρέφῃ ἡ νοῦσος, πυριῆσαι αὐτὴν ὅλην, [34] καὶ αὖθις φαρμακεῦσαι καθῆραι κάτω, [35] καὶ μετὰ τοῦτο κλύσαι τὰς ὑστέρας, ἢν μὲν φύσει ᾖ φλεγματώδης, τῷ κόκκῳ τῷ κνιδίῳ ἢ τῇ ῥίζῃ τῆς θαψίης· ἢν δὲ χολώδης ᾖ, τῆς σκαμμωνίης τῷ ὀπῷ ἢ κολοκυνθίδι τῇ ἀγρίῃ. [36] ἐμβαλὼν γὰρ ἀπ' αὐτέης καὶ δύο κοτύλας ἐπιχέειν ὕδατος ἀφεψεῖν, καὶ τῷ ἡμίσει τούτου ξυμμίσγειν μέλι καὶ ἔλαιον ναρκίσσινον ἢ ἄνθινον. [37] ἔστω δὲ τοῦ μὲν μέλιτος τεταρτημόριον κοτύλης, τοῦ δὲ ἐλαίου μέτρον ἡμιόλιον καὶ τοῦ μέλιτος. [38] μετακλύζειν δὲ τῷ μέλιτι καὶ τῷ 40 οἴνῳ καὶ τῷ ἐλαίῳ μούνῳ, καὶ θυμιῆσθαι. [39] καὶ ἐπισχεῖν ἡμέρας τρεῖς ἢ τέσσαρας· ἀδίαντον δὲ πινέτω. [40] καὶ, ἢν ἐν γαστρὶ λάβῃ, ἀπαλλάσσεται· ἢν δὲ μή, ὑποστρεφομένης τῆς νόσου, ἀπόλλυται. [41] ὁκόταν [δὲ] γεραιτέρας λαμβάνῃ ἡ νοῦσος αὕτη καὶ καταση̃πονται αἱ ὑστέραι. [42] ἐκφεύγουσι δὲ πάνυ ὀλίγαι.

quidem ficca fuerit, quiefcito. [26] Et fi à natura fuerit biliofa aut pituitofa, à victu vero & pharmacorum potione attenuata, & fe recolligere non poterit, lac bubulum bibat per quadraginta dies, calidum ex vacca. [27] Præftat tamen pituitofam cibis quam pauciffimis uti, quamdiu lac biberit. [28] Sit autem menfura fex heminarum atticarum. [29] Incipiatque à duabus, & fingulis diebus unam apponat, donec in fex fiant: & inde paulatim ad duas rurfus defcendat: [30] & poft lactis potum, cibis reficito & per victus rationem: [31] & poft lactis potum, mane jejuna adiantum bibat: [32] hoc ficcatum, tufum, & exacte cribratum, in vino nigro odorato diluto exhibeto. [33] Si vero revertatur morbus, totam ipfam foveto, [34] & rurfus pharmacis infra purgato: [35] & poftea uteros colluito, fiquidem natura fuerit pituitofa, per cnidium granum, aut thapfiæ radicem: fi vero biliofa, fcammoniæ fucco, aut colocynthide fylveftri. [36] Hanc enim conjectam, duabus aquæ heminis affufis, coquere ad dimidias oportet, & huic mel, & oleum narciffinum aut anthinum ammifcere. [37] Sit autem mellis quadrans heminæ, olei vero hemiolium mellis, hoc eft menfura ipfius tota, infuperque dimidia. [38] Poftea vero colluendum eft melle, & vino, & oleo folo: & fuffitus adhibendi, [39] & tribus aut quatuor diebus quiefcendum. Bibat autem adiantum: [40] & fi in ventre non conceperit, morbus revertitur: & fi morbus revertitur, perit. [41] Quum vero feniores morbus hic corripuerit, etiam uteri computrefcunt. [42] Valde vero paucæ durabunt.

XII. Ῥόος ἄλλος. [2] καθαίρεται οἷον τὸ ἐξ ᾠοῦ ὠμοῦ χλωρὸν ὑπόλευκον, καὶ ἑλκοῖ τὸ αἰδοῖον. [3] καὶ οἰδίσκεται τούς τε πόδας καὶ τὰς κνήμας. [4] καὶ τὰ κοῖλα τῶν ὀφθαλμῶν ἐπανοιδεῖ, [5] καὶ οἱ ὀφθαλμοὶ ὑγροὶ, γλαμυροί. [6] καὶ, ἢν βαδίζῃ, ἆσθμά μιν λαμβάνει. [7] καὶ ἀσθενείη γίνεται. [8] ἢν δὲ φύγῃ ἡ νοῦσος, φλεγματώδης ἦ. [9] καὶ, ἢν μὴ καθαρθῇ, πυρεταίνει λαύρως, χολῆς κινηθείσης. [10] γεραιτέρας δὲ ἡ νοῦσος αὕτη λαμβάνει μᾶλλον, ἢ νεωτέρας. [11] ὁκόταν δὲ ὧδε ἔχῃ, ἢν μὲν ἀνοιδήσῃ σφόδρα, διδόναι κάτω φάρμακον πιεῖν, ὅ, τι φλέγμα καὶ χολὴν ἴηται. [12] ἢν δὲ μὴ ἰσχυρῶς οἰδέῃ, καὶ τὸ φλέγμα αὐτὴν πιέζῃ, ἄνω δοῦναι φάρμακον. [13] καὶ, ἢν μὲν ᾖ δυνατὴ, ἐλλεβόρῳ καθαιρέσθω· ἢν δὲ μὴ, ὅ, τι χολὴν καὶ φλέγμα ἄξει. [14] μετὰ δὲ τὰ φάρμακα ὀῤῥὸν ἑφθὸν διδόναι πίνειν ὡς πλείστας ἡμέρας ξὺν ἁλὶ ὀλίγῳ. [15] ἐπιτρωγέτω δὲ ἡδύοσμον. [16] ἑσπέρην δὲ σιτίου μὴ ἁπτέσθω· [17] ῥοφείτω δὲ ὀλίγον καὶ ἐπιπινέτω οἶνον γλυκὺν, ἢν χρηΐζῃ. [18] ἢν δὲ μὴ παρῇ ὀῤῥὸς, γάλα τὸ ὄνειον ἀφεψήσας, διδόναι τέσσαρας ἡμέρας. [19] ἑσπέρην δὲ ταὐτὰ ποιεῖν, ἢν μὴ πῦρ ἔχῃ νυκτός. [20] ἢν δὲ ἡ φύσις σπληνώδης, ἢ πνευματώδης ἢ λείφαιμος, μήτε ὀῤῥὸν, μήτε γάλα πινέτω· [21] ἢν δὲ μὴ, κατωτερικοῖσι καθαίρειν. [22] καὶ, ἐπὴν δοκέῃ σοι καιρὸς εἶναι, κλύσαι τὰς μήτρας· πρῶτον μὲν τῇ ἀπὸ τῆς τρυγὸς δὶς ἢ τρίς· [23] μετὰ δὲ τοῦτο, τῷ ὀπῷ τῆς σκαμμωνίης. [24] οἶνον δὲ ἐπιχέαι γλυκὺν ὅσον κοτύλην ἀττικὴν, καὶ ἐλαίου τε-

πεζῶν

XII. Alius fluxus. [2] Purgatur velut ex ovo crudo luteum subalbidum, & ulcerat pudendum: [3] & tument pedes ac tibiæ: [4] & cavæ oculorum partes intumescunt: [5] & oculi humidi ac lachrymosi sunt: [6] & si iter faciat, anhelatio ipsam corripit, [7] & debilitas oboritur. [8] Si vero evaserit, morbus pituitosus fuerit: [9] & si non purgata fuerit, febricitat, bile vehementer commota. [10] Seniores autem hic morbus magis invadit quam juniores. [11] Quum sic habuerit, siquidem vehementer intumuerit, pharmacum deorsum purgans bibendum dato, quod pituitam & bilem purgat. [12] Si vero non fortiter tumuerit, & pituita ipsam presserit, pharmacum sursum purgans dato: [13] & siquidem potens fuerit, veratro purgetur: sin minus, pharmaco quod bilem & pituitam. [14] Post pharmaca vero serum coctum bibendum dato, per plurimos dies, cum modico sale. [15] Edat autem insuper mentam. [16] Ad vesperam cibum ne attingat, [17] sed modicum sorbeat, & vinum dulce insuper bibat, si opus habuerit. [18] Si vero non affuerit serum, lac asininum coquito, & exhibeto per quatuor dies. [19] Ad vesperam vero eadem faciat, nisi febris noctu corripiat. [20] Si vero natura fuerit lienosa, aut flatuosa, & exanguis, neque serum, neque lac bibat: [21] sed purgantibus inferne purgato: [22] & ubi tibi tempestivum visum fuerit, uteros colluito, primum quidem medicamento ex vini fece, bis aut ter: [23] post hoc scammoniæ succo. [24] Affundito autem ad hunc, vinum dulce, heminæ Atticæ mensura, & olei

narcissini

τέταρτον μέρος κοτύλης, μάλιστα μύρῳ ναρκισσίνῳ. 25 μετακλύσαι δὲ τῇ ὑστεραίῃ, οἴνου κοτύλῃ, καὶ μέλιτι τετάρτῃ κοτύλης, καὶ ῥητίνης τρίτην μοῖραν μέλιτος, ἔλαιον δὲ ἴσον μέλιτι. 26 ἢν δὲ τὰ ἀπὸ τοῦ κλυσμοῦ ἀποχωρεῦντα ᾖ φλεγματώδεα, κλύσαι 27 καὶ αὖθις ἐπισχόντα ἡμέρας τρεῖς ἢ τέτταρας. 28 ἔπειτα ἐκλέψαι τοῦ κόκκου δύο πόσιας. κλύζειν δὲ τοῖσιν αὐτοῖσιν. 29 ἢν δὲ μὴ παρῇ κόκκος, τῇ ῥίζῃ τῆς θαψίης πόσιν μίαν, καὶ μετακλύζειν τοῖσιν αὐτοῖσιν. 30 ἐπὴν δὲ καθαρθῇ τὰ ἀποχωρεῦντα πρὸς τούτους τοὺς κλυσμοὺς, καὶ ἢν γίνηταί τι αἱματῶδες οἷον ἀφ' ἕλκεος, μετακλύζειν τοῖσι στρυφνοῖσι. 31 καὶ, ἢν μετὰ ταῦτα αὐτὴ ἐρωτηθεῖσα φῇ τὸ στόμα τῶν ὑστερέων σκληρόν οἱ εἶναι καὶ ὀδύνην ἔχειν, κλύζειν τὸν αὐτὸν τρόπον τῷ ξὺν τῷ πικερίῳ, 32 ἐς τ' ἂν ἀποξηρανθῶσιν αἱ ὑστέραι, καὶ δοκέῃ ὑγιὴς εἶναι. 33 τὰς δὲ μεταξὺ ἡμέρας τῶν κλυσμῶν πινέτω ἀκτῆς καρπὸν, καὶ λαγωοῦ πιτύην, καὶ μήκωνος τὸ κέλυφος, καὶ κνίδης καρπὸν, ῥοιῆς τε γλυκείης τὸν φλοιὸν, τρίβων ἴσον ἑκάστου, ἄλφιτον δὲ ξυμμίσγειν, καὶ ἀδίαντον, ἐν οἴνῳ μέλανι εὐώδει νῆστις. 34 σιτίοισι δὲ χρείσθω μαλθακοῖσι, μὴ ἁλμυροῖσι, μηδ' δριμέσι. 35 κρέα δὲ ἀμείνω ἰχθύων ἤγουν ὀρνίθια ἢ λαγῷα. 36 καὶ λουέσθω θερμῷ μὴ πολλῷ. 37 ἢν δὲ μὴ λωφήσῃ ὁ ῥόος, ἀλλ' ὑπολείπηται, καὶ ὑγραίνωνται αἱ ὑστέραι, θυμιῆσαι τῷ ξὺν τῷ σιδίῳ. 38 καὶ ἔπειτα παρὰ τὸν ἄνδρα ἴτω. 39 κἢν ἐν γαστρὶ ἴσχῃ, ὑγιὴς γίνεται. 40 αἱ δὲ γεραίτεραι οὐ δύνανται ἀναφέρειν, ἀλλ'

narcissini maxime, quartam heminæ partem. 25 Postridie vero cum vini hemina colluito, & mellis quarta heminæ parte, & resinæ tertia mellis parte. Oleum autem sit melli æquale. 26 Si vero ea quæ ab intusa collutione secedunt, prodierint pituitosa, 27 etiam rursus colluito, interpositis tribus aut quatuor diebus. 28 Postea grani cnidii duas potiones decorticato, & ipsas infundito. 29 Si vero non affuerit cnidium granum, radicis thapsiæ potionem unam infundito: & postea iisdem colluito. 30 Postquam autem purgata fuerint ea quæ secedunt ad has collutiones, & si prodierit aliquid cruentum, velut ab ulcere, per acerba postea colluito: 31 & si post hæc ipsa interrogata, dixerit os uterorum durum esse, & dolorem habere, eodem modo eo quod paratur cum butyro colluito, 32 donec uteri fuerint resiccati, & sana esse videbitur. 33 Diebus vero inter collutiones intermediis, sambuci fructum bibat, & leporis coagulum, & pepli corticem, & urticæ semen, & mali punici dulcis corticem; ita ut de singulis pares portiones terat, & polentam ac adiantum ammisceat, & in vino nigro odorato jejuna bibat: 34 cibis autem utatur mollibus, non salsis, neque acribus. 35 Carnes autem præstantiores sunt piscium, aut volucrium, aut leporinæ, 36 & lavetur calida non multa. 37 Si vero non quiescat fluxus, sed relinquatur, & uteri humescant, medicamentum ex malicorio suffito: 38 & postea virum accedat, 39 & si in ventre conceperit, sana evadit. 40 At seniores à morbo levari non possunt,

ἀλλ' ἀπόλλυνται ὑπὸ ἀσθενείης.

[1] XIII. Ῥόος ἄλλος. [2] ῥεῖ ὑπόχλωρον οἷον ἐξ ᾠοῦ, καὶ γλίσχρον. [3] ἡ γαστὴρ ἀνίσταται ἡ νειαίρη, καὶ σκληρὴ γίνεται, [4] καὶ ἢν ψαύσῃς, 25 ἀλγέει, καὶ βρύχει. [5] καὶ πῦρ ἔχει. [6] καὶ ὀδύνη ἐς τὸ ἐπίσιον, καὶ ἐς τὰ αἰδοῖα, καὶ ἐς τὴν νειαίρην γαστέρα, καὶ ἐς τὰς ἰξύας· [7] καὶ λειποθυμίη, ἀλυσμοί τε καὶ περιψύξιες, καὶ ἱδρὼς πολύς. [8] σφυγμοὶ περὶ 45 χεῖρας ψαύοντες, βληχροί, ἐκλείποντες. [9] καὶ αὐτίκα ὄλλυνται. [10] ἢν δὲ περιῇ, καὶ ἡ χροιή οἱ περιπίπτει, καὶ γίνεται οἷον κηρίον· [11] καὶ ὁ χρὼς τῷ δακτύλῳ πιεζόμενος μαλθάσσεται καὶ ἐμπλάσσεται οἷον ἐν σταιτί, [12] οἰδέουσιν οἱ πόδες καὶ τὰ σκέλεα. [13] ἡ 30 δὲ νοῦσος γίνεται μάλιστα, ἢν ἐν αὐτῇσιν ἢ διαχναωθῇ ἢ ἐν τῷ τόκῳ. [14] ἴσχουσι δ' ἀφηλικέστεραι μᾶλλον πάσχουσιν. [15] οὐ πάνυ δὲ ἡ τοιαύτη νοῦσος ἐστὶν εὐήθης.

XIV. Ἄλλος ῥόος. [2] καθαίρεται οἷον ἀπὸ κρεῶν ὀπτῶν χυμός, [3] καὶ ἑλκοῦται τὸ αἰδοῖον, καὶ ὅπῃ ἂν ἄλλῃ τοῦ χρωτὸς ἐπιστάξῃ. [4] καὶ ῥῖγος, καὶ πῦρ ὀξὺ, πυκνὸν, μέγα, καὶ φρίκη ὁμοῦ λάζεται. [5] ὀδύναι δὲ ἐν πᾶσι τοῖσι ῥόοισιν ὅμοιαι. [6] αὕτη πᾶσα ἀνοιδίσκεται καὶ τὰ κάτω τοῦ ὀμφαλοῦ, καὶ τὰ σκέλεα. [7] καὶ ἡ χροιὴ ἰκτερώδης γίνεται. 35 [8] ὁ δὲ τοιοῦτος ῥόος γίνεται, ἐπειδὰν τὸ αἷμα ἐκχωρηθὲν ὑπόχολον γένηται, καὶ μὴ καθαρθῇ. 46 [9] ὁκόταν ὧδε ἔχῃ, φάρμακον δεῖ πίνειν· ἢν μὲν ἰσχυρὴ ᾖ, ἐξ ἐλλεβόρου· ἢν δὲ ἀσθενής, ῥίζαν καὶ ἐλατήριον. [10] καὶ ὑστέρῳ χρόνῳ γάλα αἰγός. [11] ἢ κάτω φαρμακεύειν, ὅ, τι χολὴν καὶ φλέγμα καθαί-

sunt, sed pereunt præ debilitate.

[1] XIII. Fluxus alius. [2] Fluit subluteum velut ex ovo, & viscosum, [3] & venter imus intumescit, ac durus fit: [4] & si contingas dolet, & dentibus strider, [5] & febris occupat: [6] & dolor ad pubem, & ad pudenda, & ad 245 imum ventrem, & ad lumbos irruit: [7] & animi deliquium, & anxietates, & perfrigerationes, & sudor multus, [8] & pulsus ad manum accelerantes, debiles, deficientes: [9] & statim pereunt. [10] Si vero superstes manserit, & color ipsi mutatur, & fit velut favus aut cera: [11] & si corpus digito prematur, mollescit, & notæ velut in massa farinæ subacta fermento imprimuntur: [12] & pedes intumescunt ac crura. 250 [13] Hic autem morbus fit maxime, si in ipsis aliquid dilaniatum fuerit, aut intus computruerit in partu. [14] Seniores autem magis afficiuntur, [15] & hujusmodi morbus non est valde levis.

XIV. Alius fluxus. [2] Purgatur velut à carnibus assatis humor, [3] & pudendum exulceratur, & ad quamcunque aliam corporis partem destillarit: [4] & rigor, & febris acuta, densa, magna, & simul horror corripit: [5] dolo- 255 res autem quales in omnibus fluxibus. [6] Hæc tota intumescit, & infra umbilicum, & cruribus, [7] & color fit morbi arcuati. [8] Talis autem fluxus ex hoc fit. Postquam sanguis exhaustus, subbiliosus factus fuerit, & non fuerit purgatus. [9] Quum sic habuerit, pharmacum bibere oportet: siquidem fortis fuerit, ex veratro: si vero debilis, radicem & elaterium, [10] & posteriore tempore, lac caprinum. [11] Aut pharmacum deorsum purgans dato, quod 260 bilem

καθαίρει. [12] κλύσαι δὲ τὰς ὑστέρας τῷ ξὺν τῷ κραμβίῳ. [13] πίνειν δὲ ἐλελίσφακον, ὑπερικὸν, σελίνου σπέρμα, ἑκάστου ἐν οἴνῳ μέλανι αὐστηρῷ. νήστει δὲ διδόναι πίνειν. [14] ἢν δὲ ἡλκωμένον ᾖ τὸ αἰδοῖον, μετακλύσαι τῷ πικερίῳ. [15] ἔπειτα φάρμακον πῖσαι. [16] καὶ ἐπιχρίειν τὰ ἕλκεα πικερίῳ, ῥητίνῃ, σμύρνῃ, ἀργύρου ἄνθει. [17] διανιζέσθω δὲ ὕδατι ἀπὸ μυρσίνης καὶ ἐλελισφάκου χλιαρῷ. [18] σιτίοισι δὲ χρήσθω, μήθ' ἁλμυροῖσι, μήτε δριμέσιν· ὡς μὴ δακνῶδες τὸ οὖρον γένηται. [19] καὶ τῶν θαλασσίων εἰργέσθω, καὶ κρεῶν βοείων, καὶ οἰῶν, καὶ χοιρείων. [20] τοῖς δὲ ἄλλοισι κρέασι χρήσθω ἑφθοῖσι. [21] καὶ σιτείσθω ἄρτον, καὶ οἶνον εὐώδεα παλαιὸν πινέτω μέλανα. [22] ἢν δὲ ταῦτα ποιέῃ, καὶ μὴ ὑγιὴς γένηται, πυριῆσαι ὅλην, καὶ φάρμακον δοῦναι τῇ ὑστεραίῃ ἄνω, ἔπειτα διαλιπὼν, αὖθις κάτω. [23] καὶ, ἢν μὲν μένῃ ὁ ῥόος, μετὰ τὰ φάρμακα, ἀφεψήσας ὀῤῥὸν, νέμειν ἑκάστης ἡμέρης πίνειν· ἑσπέρην δὲ ῥοφήμασιν, οἴνῳ δὲ γλυκεῖ λευκῷ. [24] ἢν δὲ μὴ ᾖ ὀῤῥὸς, γάλα ὄνου ἑφθὸν πινέτω, ἐπὶ τέσσαρας ἡμέρας· ἑσπέρην δὲ τοῖσιν αὐτοῖσι χρήσθω. [25] μετέπειτα δὲ πινέτω ἐπὶ τεσσαράκοντα ἡμέρας γάλα βοὸς θερμὸν, καὶ τῆς ἡμέρης μηδὲν ἐσθιέτω, ὡς ἔπος εἰπεῖν· ἄριστον γὰρ τοῦτο. [26] καὶ γὰρ καθαίρεται καὶ τρέφεται καὶ ἀμβλύνεται ὑπὸ τοῦ τοιοῦδε γάλακτος. [27] ἑσπέρην δὲ δειπνείτω κρέας ὄρνιθος ὀπτὸν ὀλίγον, καὶ ἄρτον μικρὸν ἐγκρυφίην. [28] ἐπιπίνειν δὲ οἶνον μέλανα παλαιὸν οἰνώδεα, ἔστ' ἂν γάλα πίνῃ. [29] ἢν [δὲ] πολλὰ ἴῃ, καὶ ταράσσηται τὸ δριμὺ, καὶ, ἢν ταῦτα ποιή-

bilem & pituitam ducit. [12] Uteros autem medicamento cum brassicæ decocto parato colluito. [13] Bibat autem salviam, hypericum, apii semen, singula in vino nigro austero. Jejunæ autem hæc bibenda dato. [14] Si vero ulceratum fuerit pudendum, postea butyro colluito: [15] deinde pharmacum bibendum dato, [16] & ulcera butyro, resina, myrrha, flore argenti illinito. [17] Perluantur autem myrti ac salviæ ex aqua decocto tepido. [18] Cibis utatur neque salsis, neque acribus, ut ne mordax urina fiat: [19] & à marinis prohibeatur, & carnibus bubulis, & ovillis ac porcinis. [20] Aliis autem carnibus utatur coctis. [21] Edat etiam panem, & vinum vetus odoratum nigrum bibat. [22] Si vero hæc fecerit, & sana non fiat, totam foveto, & postridie pharmacum sursum purgans dato: deinde intermissione facta, rursus quod infra purget. [23] Et siquidem manserit fluxus post pharmaca, decoctum serum quotidie bibendum præbeto. Vesperi vero sorbitionibus, & vino dulci albo utatur. [24] Si vero non affuerit serum, lac asininum coctum per dies quatuor bibat. Ad vesperam autem iisdem utatur. [25] Postea per dies quadraginta lac bubulum calidum bibat, & per diem nihil edat, ut ita dicam. Optimum enim hoc est. [26] Nam & purgatur, & nutritur, & fluxus obtunditur ab hujusmodi lacte. [27] Vesperi vero cœnet carnem volucris modicam assatam, & panem modicum subcinericium: [28] Bibatque insuper vinum nigrum vetus vinosum, quandiu lac biberit, [29] si multa prodierint, & acrimonia vexarit; & si his

ποιήσωσιν ἐν γαστρὶ ἴσχῃ, ὑγιὴς γίνεται. 30 ὅσαι δὲ γεραίτεραι ἔωσιν, ἐνίοτε ὑποστρέφει ἡ νοῦσος, καὶ ἀπόλλυνται. 31 τῇσι δὲ νέῃσιν οὐ θανατώδης.

XV. Χρονίη δὲ τοῦ ἰχωροειδέος ῥόου ἡ θεραπείη. 2 τὸ δὲ τοιοῦτον ῥέει ὕφαιμον, οἷόν περ ἀπὸ κρεῶν ὀπτῶν χυμός· 3 καὶ δάκνει ὡς ἅλμη, καὶ ἐσθίει καὶ ἐξελκοῖ τὰ αἰδοῖα· καὶ ἡ ὑστέρη ἀνελκοῦται καὶ τὰ πέριξ, καὶ τοὺς μηροὺς, καὶ τὰ ἄλλα. 4 ἐπὴν δ' ἂν ἐπιστάξῃ ἐπὶ τὰ ἱμάτια, βάπτεται καὶ δυσαπόλυτα ἐμμένει. 5 καὶ ἡ γαστὴρ ἐπαίρεται καὶ σκληρὴ γίνεται καὶ ἀλγέει, ἢν ψαύσῃ. 6 καὶ θέρμη ἴσχει 48 ἐς τὰ αἰδοῖα, καὶ ἐς τὴν ἕδρην, 30 καὶ ἐς τὴν νειαίρην γαστέρα, καὶ κενεῶνας, καὶ ἰσχία, καὶ ἰξύας. 7 [ἔστι δὲ καὶ] ἀδυναμίη. 8 καὶ ἡ χροιὴ τρέπεται ὡς ἰκτερώδης. 9 ἢν δὲ ὁ χρόνος μηκύνῃ καὶ ἡ νοῦσος, ταῦτα πάντα πολὺ μᾶλλον ἐπιλαμβάνει, 10 καὶ τὰ κοῖλα ἐπανίσταται, καὶ οἱ πόδες οἰδέουσι, καὶ τὰ σκέλεα ἀπὸ τῶν ἰξύων. 11 ἡ δὲ νοῦσος λάζεται, ἐπὴν διακναισθῇ τι τοῦ ἐμβρύου, ἢ ἐκτρώσῃ ἐν τόκῳ. 12 χρὴ δὲ πυριῆν, καὶ θυμιῆν, καὶ πιπίσκειν, 13 ταῦτα [γὰρ] πάντα ἴσχει τὸν ῥόον. 14 καὶ ὄνειον γάλα προσάγειν, 25 καὶ ἐμέειν, ἢν δέῃ. 15 ἢν δὲ ἄπυρος ἢ καὶ βληχρῶς ἔχῃ, ἄμεινον ξηρὴ πυρίη.

XVI. Ὁκόταν ἐς τὴν κε- 49 φαλὴν τράπωνται αἱ ὑστέραι, καὶ τῇδε λήγει ὁ πνιγμὸς, κεφαλὴν βαρύνει. 2 ἄλλῃσι δὲ ἄλλῃ πῃ πέ- 50 ρας ἴσχεται. 3 σημήιον δὲ τόδε. τὰς φλέβας τὰς ἐν τῇ ῥινὶ καὶ τὰ ὑπὸ τοῖσιν ὀφθαλμοῖσιν ἀλγέειν φασί. 4 καὶ κῶμα ἴσχει, καὶ ἀφρί- 51 ζει, ὅταν ῥαΐσῃ. 5 ταύτην χρὴ

his factis in ventre conceperit, sana fit. 30 Quæcunque vero seniores sunt, in his morbus quandoque revertitur, & pereunt. 31 Juvenculis autem non est lethalis.

XV. Diuturna porro est sa- 280 niosi fluxus curatio, 2 fluit autem talis subcruentus, velut à carnibus assatis humor, 3 & mordet velut muria, & corrodit ac exulcerat pudenda: & uterus exulceratur circumcirca, & femora, & aliæ partes: 4 & ubi super vestes destillarit, tinguntur & ægre elui possunt, 5 & venter attollitur ac durus fit, & ad contactum dolet: 6 & calor corripit: & dolor ad pudenda & sedem, & imum ventrem, & laterum mollitudinem, & coxas, & lumbos 285 irruit, 7 & impotentia adest, 8 & color mutatur, velut morbi arcuati. 9 Si vero tempus & morbus producatur, hæc omnia amplius corripiunt: 10 & cavæ partes attolluntur, & pedes tument, & crura à lumbis. 11 At hic morbus corripit ubi quid de fœtu dilaniatum fuerit, aut in abortu, aut in partu. 12 Oportet autem fomenta adhibere, & suffire, & bibenda præbere 13 omnia ea quæ fluxum sistunt: 14 & lac asininum & alia exhibere, & 290 vomere si opus fuerit. 15 Si vero sine febre fuerit, & debilis febris habuerit, siccum fomentum adhibere melius est.

XVI. Quum ad caput conversi fuerint uteri, & hac parte suffocatio desinit, caput gravat. 2 Verum aliis alicubi alias finis habetur. 3 Signum autem hoc est. Venas in naso, & partes sub oculis dolere dicunt: 4 & sopor altior tenet, & spumat, ubi levius habuerit. 5 Hanc multa calida

λούειν πολλῷ καὶ θερμῷ· ἢν δὲ μὴ ὑπακούῃ, ψυχρῷ· καὶ κατὰ κεφαλῆς, [6] δάφνην τε καὶ μυρσίνην ἐνεψῶν ἐν τῷ ὕδατι καὶ ψύχων, [7] καὶ ῥοδίνῳ μύρῳ τὴν κεφαλὴν χριέσθω. [8] καὶ ὑποθυμιήσθω τὰ εὐώδεα, τὰ δὲ κακώδεα ὑπὸ τὰς ῥῖνας. [9] καὶ τὴν κράμβην ἐσθιέτω, καὶ τὸν χυλὸν ῥοφείτω.

[10] Ἢν δὲ πρὸς τὴν καρδίην προσιστάμεναι πνίγωσιν αἱ ὑστέραι, [11] καὶ ἀνάσσυτος ἴῃ ὁ ἀὴρ βιώμενος, ἀλυσθύει καὶ ἐμέει. [12] καὶ ἔστιν ᾗσιν αὐτίκα ἑλκυσθεῖσαι κάτω χωρέει, καὶ φῦσαι ἔξεισιν. [13] ἡ μὲν ἐμέει ἀφρώδεα, ἧ δὲ παῦλα γίνεται. [14] ᾗσι δὲ οὐκ ἀφίστανται, πράσου τὸν καρπὸν καὶ μήκωνα τρίψας, διεὶς ὕδατος κυάθοις τρισὶ, δίδου πίνειν. [15] καὶ ὄξεος λευκοῦ ἀρήγει πόσις κύαθος. [16] ἢ ἀρκεύθου καρπὸν καὶ ἐλελίσφακον, ὄξος ξὺν τοῖς εἴδεσιν ἢ οἶνον. [17] ἀλεαίνεσθαι δὲ χρή. [18] ἢ ἄλειφα χηνὸς, κηρωτὴν ἐρρητινωμένην, καὶ πίσσαν ἐν αὐτέῳ τῆξαι, καὶ προσθέτα ποιέειν.

XVII. Ὅταν δὲ ὡς πρὸς τὰ ὑποχόνδρια προσπέσωσι, πνίγουσιν. [2] ἐπὴν ἐνθάδε τὸ στερεὸν ᾖ τοῦ πάθεος, καὶ ἐπιλαμβάνει ἔμετος πυρώδης δριμὺς, καὶ ῥάων γίνεται ὀλίγον χρόνον, [3] καὶ ἐς τὴν κεφαλὴν καὶ ἐς τὸν τράχηλον ὀδύνη διαμπερής. [4] [χρὴ δὲ] χλιάσματα προστιθέναι, ἢν ἄνω πνίγωσιν· [5] ὑπὸ δὲ τὰς ῥῖνας θυμιῆν τὰ κάκοδμα ἐκ προσαγωγῆς. [6] ἢν γὰρ ἀθρόως ἴωνται αἱ ὑστέραι ἐς τὰ κάτω, καὶ ὄχλος γίνεται. [7] εὔοδμα δὲ κάτω. [8] καὶ πιεῖν διδόναι τὸ καστόρεον καὶ τὴν κόνυζαν. [9] ἐπὴν δὲ κάτω ἑλκυσθῶσιν, ὑποθυμιῆν τὰ ἐχθρὰ ὑπὸ δὲ τὰς ῥῖνας τὰ εὐώδεα. [10] ἢν δὲ αἱ ὀδύναι παύσωνται, φάρμακον πίσαι

lavare oportet: si vero non obediat, frigida etiam circa caput, [6] ita ut laurum & myrtum in aqua coquas, ac frigefacias. [7] Unguento autem rosaceo caput illinatur, [8] & odorata subter suffiantur: graveolentia vero sub nares: [9] & brassicam edat, & succum sorbeat.

[10] Si vero ad cor progressi uteri suffocent, [11] & aër impeditus violenter attrahatur, anxia est & vomit: [12] & quibusdam statim tractus deorsum cedit, & flatus exit: [13] & aliqua quidem vomit spumosa: alicui vero quies contingit. [14] Quibus autem non decedunt, his porri semen, & peplum, trita & tribus aquæ cyathis diluta, bibenda dato. [15] Auxiliatur & aceti albi cyathus potatus. [16] Aut juniperi fructum & salviam dato, aceto aut vino ad has species ammixto. [17] Oportet autem ipsam calefieri. [18] Aut adipem sumere anserinum, & ceratum resinatum ac picem, in ipso liquefacere, & subdititias glandulas efformare.

XVII. Quum autem ad præcordia allapsi strangularint, [2] ubi hic fuerit affectionis soliditas, & vomitus fervidus acris corripit, & modico tempore mitior fit, [3] & dolor ad caput & ad collum penetrans. [4] Tepefactoria igitur apponito, si sursum strangularint. [5] Sub nares vero graveolentia suffito: sensim progrediendo. [6] Si enim acervatim uteri infra decedunt, turba oboritur: [7] odorata vero inferne: [8] & castorium ac conyzam bibenda dato. [9] Quum vero deorsum tracti fuerint, abominanda subter suffito, sub nares autem odorata. [10] Si vero dolores quieverint, pharmacum deorsum purgans

κίσαι κάτω, καὶ μεταπιπίσκειν γάλα ὄνου, ἢ ὀῤῥόν, 11 ἢν μὴ σπληνώδης ᾖ ἀπὸ γενεῆς, ἢ λειφαιμος, ἢ τὰ ὦτα ἠχώδεα ἔχῃ, 12 [ἃ] διὰ ξυγγένειαν ἐστὶν ἐθάδες ἀπὸ νεότητος αἱ νοῦσοι. 13 τὴν δὲ ἄνω κοιλίην μὴ κινέειν. 14 ἀμβλυώσσουσι γὰρ, ἢ ἀμφὶ τὴν φάρυγγα ὄχλοι, καὶ τἄλλα. 15 διδόναι δὲ πτισάνης χυλόν. 16 ἢν σφόδρα δὲ καὶ εὐεμὴς ᾖ, καὶ ἐμεέτω. 17 κλυσμὸς δὲ ἄριστος ὁ διὰ ναρκίσσου. 18 προσθετὸν τὸ διὰ κανθαρίδων.

XVIII. Ἢν προσπέσωσιν αἱ ὑστέραι πρὸς τὰ ὑποχόνδρια, 2 πνίγεται ὡς ὑπὸ ἐλλεβόρου, καὶ ὀρθόπνους γίνεται, καὶ καρδιωγμοὶ σθεναροί. 3 αἱ δὲ καὶ ἐμέουσιν ἐνίοτε σίελον ὀξύν, 4 καὶ τὸ στόμα ὕδατος ἐμπίπλαται. 5 καὶ τὰ σκέλεα ἀποψύχονται. 6 αἱ τοιαῦται, ἢν μὴ ταχὺ ἀφιστῶνται ἀπὸ τῶν ὑποχονδρίων, ἄναυδοι γίνονται, 7 καὶ τὰ ἀμφὶ τὴν κεφαλὴν καὶ τὴν γλῶσσαν νάρκη ἔχει. 8 πρὸς μὲν τὰς ὑστέρας προσθεῖναι εἴρια πρὸς τὸν αὐλὸν, ὡς ἔνι μάλιστα τοῦ πτεροῦ περιελίξας βάψαι ἢ λευκῷ αἰγυπτίῳ, 8 ἢ μυρσίνῳ, ἢ βακχαρίνῳ, ἢ ἀμαρακίνῳ. 9 ἐς δὲ τὰς ῥῖνας τοῦ φαρμάκου τοῦ μέλανος, τοῦ τῆς κεφαλῆς λαβόντα τῇ μήλῃ ἐμπλάσαι. 10 ἢν δὲ μὴ ᾖ τοῦτο, τῷ ὀπῷ διαλεῖψαι τὰς ῥῖνας, 11 ἢ πτερὸν ὄξει βάψαι, καὶ καθεῖναι, διαλεῖψαι δὲ τὰς ῥῖνας, 12 ἢ τοῦ πταρμικοῦ προσθεῖναι. 13 ὅταν δὲ κλυσθῇ τὸ στόμα καὶ ἡ ἐναυλίη, δοῦναι πιεῖν τοῦ καστορίου ἐν οἴνῳ. 14 τὰς δὲ ῥῖνας διαλεῖψαι ἐλαίῳ φώκης. 15 τὸ δὲ εἴριον ἐᾶν προσκεῖσθαι, μέχρις ἂν

[illegible]

gans bibendum dato: & postea lac asininum aut serum bibendum præbeto, 11 si non lienosa fuerit à nativitate, aut exanguis, aut decolor, aut aurium sonitus habuerit, 12 velut hæ quibus propter cognationem morbi à juventute sunt familiares. 13 At supernum ventrem ne moveto: 14 cæcutient enim, aut circa fauces turbationes, & alia infestabunt. 15 Verum prisanæ succum dato. 16 Si vero etiam valde facilis sit ad vomitum, vomat. 17 Collutio autem optima est ex narcisso. 18 Subdititium vero id quod ex cantharidibus præparatur.

XVIII. Quum uteri apud præcordia constiterint, 2 suffocatur velut à veratro: & recta cervice spirat, & stomachus fortiter vellicatur, 3 Quædam etiam vomunt quandoque salivam acidam: 4 & os aqua impletur, 5 & crura perfrigerantur. 6 Tales si non brevi à præcordiis uteri discedant, loqui non possunt: 7 & partes circa caput ac linguam torpor occupat. 8 Proinde ad uteros quidem lanam quam maxime fieri potest ad foramen apponito, ita ut pennæ obvolutam, unguento albo aut ægyptio, aut bacchario, aut amaracino tingas. 9 In nares vero, de pharmaco nigro ad caput præparato, specillo exceptum infarcias. 10 Si vero hoc non fuerit, silphii succo nares illinas. 11 Aut pennam aceto tingito, & immittito, naresque illinito. 12 Aut sternutatorium apponito. 13 Quum autem conclusum fuerit osculum & internus trames, castorium in vino bibendum dato. 14 Nares vero phocæ adipe illinito. 15 Lanam autem appositam sinito, do-

καθιζέτωσιν. 16 ὅταν δὲ παύσηται, ἀφελέσθαι χρή. 17 ἢν δ' ἀφαιρεθέντος αὖθις ἀναχωρήσωσι, τὸ εἴριον αὖθις προσθεῖναι τὸν αὐτὸν τρόπον. 18 ὑπὸ δὲ τὰς ῥῖνας θυμιῆν κέρας μέλαν αἰγὸς ἢ ἐλάφου κνήσας, ἐπιπάσσων ἐπὶ σποδιὴν θερμὴν, ὅκως μάλιστα θυμιήσηται. 19 καὶ εἰρυσάτω τὴν ὀδμὴν ἄνω διὰ τῶν ῥινῶν, ὡς ἂν δύνηται μάλιστα. 20 θυμιῆν φώκης ἔλαιον ἐπ' ὄστρακον ἐπιθέντα ἄνθρακας, 21 περικαλύψαι [δὲ] τὴν κεφαλὴν καὶ ὑπερέχειν, ὡς μάλιστα ἡ ὀσμὴ ἐσίῃ, 22 καὶ ἐπιστάζειν τοῦ λίπεος. 23 καὶ ἄνω ἑλκέτω τὴν ὀδμήν. 24 τὸ δὲ στόμα ξυμμεμυκέναι. 25 ἢν ἄνω προσαπίπλωσι, ταῦτα χρὴ ποιέειν.

XIX. 1 Ἢν αἱ μῆτραι πρὸς τὸ ἧπαρ τράπωσιν, 2 ἄφωνος ἡ γυνὴ ἐξαπίνης γίνεται, 3 καὶ τοὺς ὀδόντας ξυνερήρεισται, 4 καὶ ἡ χροιὴ πελιδνὴ γίνεται. 5 ἐξαπίνης δὲ ταῦτα πάσχει, ὑγιὴς ἐοῦσα. 6 γίνεται δὲ μάλιστα παρθένοισι παλαιῇσι, 7 καὶ χήρῃσιν ὁκόσαι καὶ τοκήσασαι χηρεύουσι. 8 γίνεται δὲ μάλιστα τῇσιν ἀφόροισι πάμπαν καὶ στείρῃσιν, αἳ ἐκ τοῦ τόκου εἰσίν. 9 οὐ γὰρ γίνεται ἡ λοχείη κάθαρσις. 10 καὶ οὐκ ἀνοιδίσκεται ἡ ὑστέρη, οὐδὲ μαλθάσσεται, οὐδὲ ἐμέουσιν. 11 ὅταν ὧδε ἔχῃ, τῇ χειρὶ ἀπώσασθαι ἀπὸ τοῦ ἥπατος παρηγορικῶς τὸ οἶδος ἐς τὸ κάτω, 12 καὶ ἀποδῆσαι ταινίῃ τὰ ὑποχόνδρια. 13 καὶ τὸ στόμα διανοίγειν, οἶνον δὲ ὡς εὐωδέστατον κεκρημένον ἐγχέειν. 14 ὅταν χρὴ καὶ προσέχειν πρὸς τὰς ῥῖνας τὰ κάκοδμα, καὶ ὑποθυμιῆν· πρὸς δὲ τὰς ὑστέρας τὰ εὐώδεα καὶ ὅσα θυμιήματα. 15 καὶ, ἐπὴν ἰήσῃ, φάρμακον πίσαι κάτω χρή· ἢν μὲν χολώδης ᾖ, ὅ, τι χολὴν καθαί-ρει·

nec considant. 16 Quum autem quieverint, auferre oportet. 17 Si vero ea ablata rursus recurrerint, lanam rursus eodem modo apponere. 18 Sub nares vero cornu capræ nigrum, aut cervinum suffire, scalptum, & in cinerem calidum inspersum, quo maxime suffumigetur: 19 & nidorem sursum per nares quam maxime potest trahat. 20 Suffito etiam phocæ adipem, prunis testæ impositis, 21 ipsaque obvelata, & capite imminente, quo odor maxime ingrediatur, 22 ita ut de adipe instilles, 23 & ipsa odorem sursum trahat, 24 os vero clausum habeat. 25 Et siquidem sursum allapsi fuerint uteri, hæc facere oportet.

XIX. Si vero ad hepar conversi fuerint uteri, 2 mulier derepente voce destituitur, 3 & dentes conserti sunt, 4 & color lividus fit. 5 Derepente vero hæc patitur sana existens. 6 Contingit autem maxime virginibus antiquis, 7 & viduis, quæ pepererunt aliquando, & viduitatem agunt. 8 Maxime vero contingit omnino non ferentibus uterum, & sterilibus ex partu. 9 Non enim prodit puerperii purgamentum, 10 & non intumescit uterus, neque mollitur, neque vomunt. 11 Quum sic habuerit, tumorem ab hepate cum manu infra leniter detrudito, 12 & præcordia cum fascia deligato, 13 & os aperito. Vinum vero odoratissimum dilutum infundito, 14 quando sane etiam graveolentia ad nares adhibere ac suffire convenit; ad uteros vero odorata & suffimenta. 15 Et postquam sic curaveris, pharmacum deorsum purgans bibendum dare oportet, siquidem biliosa fuerit, quod bi-lem

ρέῃ· ἢν δὲ φλεγματῶδες, ὅ, τι φλέγμα. 16 καὶ ἔπειτα πιπίσκειν γάλα ὄνου ἑφθὸν, καὶ τὰς ὑστέρας πυριῆσαι εὐώδεσι, καὶ προστιθέναι τὸ ξὺν τῇ βουπρήστει· τῇ δὲ ὑστεραίῃ νέτωπον. 17 διαλιπὼν δὲ πάλιν ἡμέρας δύο, κλύσαι τὰς ὑστέρας εὐώδεσιν. 18 ἔπειτα διαλιπὼν μίαν ἡμέρην, θυμιῆσαι τοῖσιν ἀρώμασι. 19 ταῦτα ποιέειν τὴν χήρην· 20 ἄριστον δὲ ἐν γαστρὶ ἔχειν. 21 τὴν δὲ παρθένον πείθειν ξυνοικέειν ἀνδρί. 22 πρὸς δὲ τὰς ὑστέρας αἴρειν μηδέν· 23 φάρμακον δὲ πίνειν νῆστιν τὸ καστόριον καὶ κόνυζαν. 24 ἐν οἴνῳ δὲ ὡς εὐωδεστάτῳ πίνειν ἐς εἴκοσιν ἡμέρας. 25 καὶ τὴν κεφαλὴν μὴ ἀλείφεσθαι εὐώδει, μηδ' ὀσφραίνεσθαί τινι τῶν εὐωδέων.

XX. Ἢν δὲ αἱ μῆτραι φλεγμήνωσι, 2 παρὰ τὸ πλευρὸν, ἢν ψαύσῃς, σκληρὸν φαίνεται, 3 καὶ, ὅταν προσπέσωσι τὰ ὑποχόνδρια, πνίγουσι. 4 καὶ ἐμέει φλέγμα ὀξὺ, καὶ τοὺς ὀδόντας αἱμωδιᾶν ποιέει. 5 ἐπειδὰν ἐμέσῃ, ῥᾷον ἔχειν δοκέει. 6 ὅταν δὲ κάτω ὁρμήσωσιν, ἀφίστανται ἀπὸ τῆς γαστρὸς ἄλλοτε ἄλλῃ. 7 μάλιστα δὲ ἐς τοὺς κενεῶνας ἐστὶν ὅτε ἐμπίπτουσι. 8 καὶ ἐς τὴν κύστιν, καὶ στραγγουρίη ἐπιλαμβάνεται· 9 καὶ ἐς τὴν ἕδρην, καὶ δοκέει ἀποπατεῖν. 10 καὶ τὰ ἐπιμήνια πρότερον ἢ ὕστερον τοῦ μεμαθηκότος γίνεται, ἢ οὐκ ἐπιφαίνεται ταύτῃ αὐτίκα. 11 ταύτης τῆς νούσου, ἢν τὰ ἄνω πνίγωσι, χλιάσματα προστιθέναι. 12 καὶ ὑποθυμιᾶν, τὰ [μὲν] κάκοδμα πρὸς τὰς ῥῖνας, πρὸς δὲ τὰς ὑστέρας τὰ εὐώδεα. 13 καὶ πίνειν κόνυζαν τὴν θήλειαν καὶ καστόριον ἐν οἴνῳ νῆστιν. 14 ἐπὴν δὲ τῇ φύσει καθιστῶσι, θυμιῆσαι ἠρεμαίως. 15 πινέτω δὲ διουρητικά. 16 ταῦτα ποιέειν, ἕως

lem purgat: ſi vero pituitoſa, quod pituitam. 16 Et poſtea lac aſininum coctum bibendum præbeto, & uteros odoratis foveto: & medicamentum quod cum bupreſti paratur apponito, poſtridie vero netopum. 17 Interpoſitis autem duobus diebus, rurſus uteros odoratis colluito: 18 & poſtea intermiſſo die, aromatis ſuffito. 19 Atque hæc vidua faciat. 20 Optimum autem in ventre habere. 21 Virginem vero perſuadeto ut viro cohabitet. 22 Ad nares autem nihil adhibeto: 23 neque medicamentum jejuna bibat. Verum caſtorium & conyzam 24 in vino odoratiſſimo bibat per dies viginti, 25 & caput odorato aliquo ne ungat, neque aliquod odoratum olfaciat.

XX. Si vero uteri inflammati fuerint 2 circa latus, ſi contigeris durum apparet: 3 & quum ad præcordia allapſi fuerint, ſtrangulant: 4 & vomit pituitam acidam, & dentes ſtupeſcunt: 5 & ubi vomuerit, melius habere videtur. 6 Quum vero deorſum proceſſerint, diſcedunt de ventre alias alio. 7 Maxime vero ad laterum mollitudinem quandoque incidunt, 8 & ad veſicam, & urinæ ſtillicidium corripit: 9 & ad ſedem, & cacare ſibi videtur: 10 & menſes prius aut poſterius ſolito fiunt, aut non ſtatim huic apparent. 11 In hoc morbo ſi ſurſum ſtrangularint, tepefactoria apponito: 12 & graveolentia ad nares ſuffito, ad uteros autem odorata: 13 & conyzam fœminam, & caſtorium, in vino jejuna bibat. 14 Poſtquam vero ad naturam ſuam conſederint, placide ſuffito. 15 Bibat autem urinam cientia. 16 Atque hæc fa-

30 ἕως ἂν αἱ ὀδύναι ἔχωσιν. 17 ἐπὴν δὲ παύσωνται, πυριήσας ὅλην, 18 ἔπειτα πίσαι φάρμακον κάτω, ἢν μὲν χολώδης ᾖ, ὅ,τι χολὴν καθαίρει, ἢν δὲ φλεγματώδης, ὅ,τι φλέγμα ἄγει. 19 καὶ πιπίσκειν γάλα ὄνειον, ἢ ὀῤῥὸν αἴγειον ἑφθόν. 20 ἢν δὲ σπληνώδης ᾖ, μὴ πιπίσκειν τὸ γάλα, μηδὲ τὸν ὀῤῥόν. 21 καὶ ἐν τοῖσι καθαρμοῖσι, σιτίοισι χρέεσθαι μαλθακοῖσι καὶ ὑποχωρητικοῖσιν. 22 ἰχθύες δὲ ἀμείνους κρεῶν. 23 καὶ πυριῆν τὰς ὑστέρας, ἢ καθαί- 35 ρειν προσθέτοισι, καὶ κλύσαι αὐτάς. 24 καὶ ὑποθυμιασαμένη παρὰ τὸν ἄνδρα ἴτω. 25 λύσις δὲ τῆς νόσου, ἐπὴν λάβῃ ἐν γαστρί.

XXI. 1 Ἢν [δὲ] αἱ μῆτραι πρὸς 67 τὰς πλευρὰς προσπέσωσιν, 2 βὴξ ἴσχει, καὶ ὀδύνη ἐπὶ τὸ πλευρόν, 3 καὶ προσίσταται σκληρὴ ὡς σφαῖρα, καὶ ἁπτομένη πονέει ὡς ἀπὸ ἕλκεος, 4 καὶ καταφθίνει, καὶ δοκέει οἷον περιπλευμονίην εἶναι, καὶ εἰρύεται, καὶ κυφὴ γίνεται. 5 καὶ τὰ ἐπιμήνια οὐ φαίνεται· ἐνίῃσι δὲ καὶ ἀπόλλυνται προφανέντα. 6 τότε δὲ γινόμενα ἀσθενέα 40 καὶ ὀλίγα καὶ κακίονα. 7 καὶ ἡ γονὴ οὐκ ἐγγίνεται τουτέου τοῦ χρόνου. 8 ὅταν ὧδε ἔχῃ, φάρμακον χρὴ πίσαι κάτω ἐλατήριον. 9 καὶ λούειν πολλῷ θερμῷ, καὶ τῶν χλιασμάτων, ἃ ἂν προσδέχηται, προσίσχειν, 10 καὶ προστιθέναι ὑφ' ὧν καθαίρεται τὸ αἷμα. 11 καὶ λίνου σπέρμα φῶσαι, κόψαι, καὶ σῆσαι, καὶ μήκων ὁ λευκὸς ὠφελέουσι. 12 καὶ ἐλελίσφακον ξὺν ἀλφίτοισι λεπτοῖσι, καὶ τυρὸν αἴγειον, ἐπιξύσας τὴν ἅλμην. ταῦτα μίσγε· μίαν μοῖ- 68 ραν τυροῦ, καὶ τῶν ἀνάλτων ἀλφί- 45 των μοίρας. καὶ νῆστις πίνειν δίδου ἐν οἴνῳ. 13 ὅταν δὲ ἑσπέριος ᾖ,

κυκεῶνα

ciat, quam diu dolores tenuerint. 17 Ubi vero quieverint, totam foveto. 18 Deinde pharmacum deorsum purgans bibendum dato, si biliosa fuerit, quod bilem purgat: si pituitosa, quod 365 pituitam ducit: 19 & lac asininum bibendum dato, aut serum caprinum decoctum. 20 Si vero lienosa fuerit, lac ne bibat, neque serum: 21 & in purgationibus, cibis utatur mollibus, & per alvum secedentibus: 22 pisces autem meliores sunt carnibus: 23 & uteros foveto, aut subdititiis purgato, ipsosque colluito: 24 & ubi suffitum admisit, ad virum accedat. 25 Solutio vero morbi contingit, ubi in ventre conceperit.

324

XXI. Si uteri ad latera allapsi fuerint, 2 tussis obtinet, & dolor sublatus: 3 & insidet uterus durus velut pila: & ad contactum dolet, velut ab ulcere, 4 & contabescit, & videtur ipsi peripneumonia esse, & contrahitur, & gibbosa fit, 5 & menses non apparent: aliquibus autem quibus prius apparuerunt, etiam pereunt: 6 & si tunc prodeant, imbecilles sunt, & pauci, ac deteriores: 7 & genitura non fit hoc tempore. 8 Quum sic habuerit, 379 pharmacum deorsum purgans bibendum dato: 9 & multa calida lavato, & ex tepefactoriis quæcunque admiserit adhibeto: 10 & à quibus sanguis purgatur, ea apponito. 11 Et lini semen torreto, tundito, ac cribrato: & peplum album, 12 & salviam cum tenui polenta, & caseum caprinum muria derasa. Hæc misce, ut casei sint partes duæ, reliquorum vero, & polentæ non salsæ pars una: & jejunæ in vino bibenda dato. 13 Vesperi vero 380

cyceo-

κυκεῶνα παχὺν, μέλι ἐπιχέων, δίδου πιεῖν. [14] καὶ τῶν ποτημάτων, ἃ δέεται πιπίσκειν, καὶ πυρίην πυκνά, καὶ τῷ θερμῷ καταιονᾶν. [15] καὶ τῇ κηρωτῇ ἡσύχως, καὶ μαλθακῶς καὶ ὁμαλῶς ἀπωθέειν ἀπὸ τοῦ πλευροῦ τὰς μήτρας, καὶ ἀναδεῖν τὸ πλευρὸν ταινίῃ πλατείῃ. [16] καὶ γαλακτοποτέειν βόειον γάλα ὡς πλεῖστον ἐπὶ ἡμέρας τεσσαράκοντα. [17] σιτίοισι δὲ χρῆσθαι ὡς μαλθακωτάτοισιν. [18] ἡ δὲ νοῦσος ἐπερχνή τε καὶ θανατώδης, καὶ ὀλίγαι φεύγουσιν ὧδε μελεδαινόμεναι.

XXII. [1] Ἢν δὲ ἐν τῇ ὀσφύϊ αἱ ὑστέραι ἐνῶσιν, ἢ ἐν τῷ κενεῶνι, [2] καὶ εἴη πνεῦμα μετεωρότερον, καὶ πνῖγος ἔχῃ, καὶ ἆσθμά μιν λάζηται πυκνὸν, [3] καὶ οὐκ ἐθέλῃ κινέεσθαι. [4] τρίψας θεῖον, ἢ ἄσφαλτον, ἢ κώνειον, ἢ σμύρναν, μέλι ἑφθὸν παραχέας, ποιέειν βάλανον μακρὴν παχέην, καὶ ἐντιθέναι ἐς τὴν ἕδρην.

[5] Ἢν αἱ μῆτραι εἰλέωσι σφέας ἐς τὸ μεσηγὺ τῶν ἰξύων, [6] ὀδύνη ἔχει, καὶ τὴν νειαίρην γαστέρα καὶ τὰ σκέλεα εἰρύαται, καὶ τὰς κοτύλας ἀλγέει. [7] καὶ, ὁκόταν ἀποπατήσῃ, ὀδύναι ἔχουσιν ὀξεῖαι, καὶ ὁ ἀπόπατος περιέρχεται ὑπὸ βίης σμικρός. [8] καὶ τὸ οὖρον στάζει τε, καὶ ὀλιγοψυχίη λαμβάνει. [9] ὁκόταν ὧδε ἔχῃ, χρὴ προσδῆσαι τῇ κύστει αὐλίσκον, καὶ ἐγκλύζειν ἔλαιον θερμὸν ἐς τὰς ὑστέρας. [10] καὶ πυρίην, ἢ λοῦσαι πολλῷ καὶ θερμῷ ὕδατι, καὶ ἐς ἔλαιον καὶ ἐς ὕδωρ καθίζειν. [11] ὑποθυμιῆν δὲ ὑπὸ αἰδοῖα, κακώδεα· ὑπὸ δὲ τὰς ῥῖνας, εὐώδεα. [12] ἐπὴν δὲ ἡ ὀδύνη παύσηται, φάρμακον διδόναι ἄνω. [13] τὴν δὲ κάτω κοιλίην οὐ χρὴ ταράσσειν. [14] ἐπὴν δὲ αἱ ὑστέραι καταστέωσι, φάρμα-

cyceonem crassum melle affuso exhibeto, [14] & ex potibus quencunque admiserit bibendum dato. Et frequenter fomentum adhibeto: & calidam aspergito, [15] & per ceratum leniter mollito, ac à latere detrudito, & latus fascia deligato. [16] Et lac bubulum quam plurimum ad dies quadraginta bibendum præbeto. [17] Cibis autem utatur quam mollissimis. [18] Morbus hic vehemens est & lethalis, & paucæ etiamsi sic curentur, effugiunt.

XXII. Si vero in lumbis fuerint uteri, aut in lateris mollitudine, [2] & spiritus sublimis iverit, & suffocatio habeat, & anhelatio densa ipsam corripiat, [3] & moveri non vult: [4] sulphur, aut bitumen, aut cicutam, aut myrrham terito, & melle cocto affuso, glandulam longam efformato ac crassam, eamque in sedem indito.

[5] Si uteri devolverint seipsos ad intermediam lumborum ac coxarum partem, [6] dolor habet imum ventrem, & crura contrahuntur, & juncturas coxarum ad sedem dolet: [7] & quum alvum exonerat, dolores emergunt acuti, & stercus cum violentia prodit exiguum, [8] & urina destillat, & pusillanimitas ipsam corripit. [9] Quum sic habuerit, fistulam ad vesicam alligare oportet, & oleum calidum in uteros infundere, [10] & fomentum adhibere, aut multa calida aqua lavare, & in oleum & in aquam desidere. [11] Suffire autem subter pudenda, graveolentia: sub nares vero odorata. [12] Postquam autem dolor quieverit, pharmacum sursum purgans dato. [13] Infernum vero ventrem turbare non oportet. [14] Ubi vero uteri consederint,

φάρμακον πίσαι κάτω γάλα ὄνου, ἢν μὴ σπληνώδης ᾖ. [15] ἔπειτα πυριῆσαι, καὶ καταιονᾶν τὰς ὑστέρας τῷ ξὺν τῇ δάφνῃ, προσθεὶς 75 προσθετὸν καθαρτήριον, ὃ μὴ δήξεται. [16] κἄπειτα θυμιωμένη τοῖσιν ἀρώμασι παρὰ τὸν ἄνδρα ἴτω. [17] καὶ ἢν ἐν γαστρὶ ἴσχῃ, ὑγιὴς γίνεται. [18] 15 ἄτοκοι δὲ πολλαὶ καὶ πηραὶ τὰ σκέλεα πολλάκις γίνονται.

XXIII. Ὁκόσῃσι δὲ τὸ στόμα κλίνεται ἑτέρωσε, καὶ προσπίπτει τῷ ἰσχίῳ· [2] γίνεται γὰρ καὶ ταῦτα διακωλύοντα τὰς ὑστέρας καθαίρεσθαι, καὶ τὴν γονὴν δέχεσθαι, καὶ μὴ παιδοποιέειν. [3] ταύτην πυριῆν χρὴ τοῖσιν εὐώδεσι, [4] καὶ μετὰ τὴν πυρίην παραφασσομένην τῷ δακτύλῳ 76 ἀποσπάσαι ἀπὸ τοῦ ἰσχίου· [5] κἄπειτα ἐξιθύνειν τοῖσι δᾳδίοισί τε καὶ τῷ μολίβδῳ. [6] οὐ γὰρ βιᾶται θοῶς, ὡς εἴρηται. [7] ὅταν δὲ κατὰ φύσιν ᾖ, καὶ ἀνεστομωμέναι γίνονται, 20 προσθέτοισι μαλθακοῖσι καθαίρειν, καὶ τἄλλα προσηκόντως ποιέειν.

[8] Ὁκόσῃσιν αἱ ὑστέραι προσπίπτουσι πρὸς τὸ ἰσχίον, ἢν μὴ ταχέως ἀφιστέωνται, καὶ πάλιν ἐς χώρην καθιστέωνται, προσαυαίνονται πρὸς τὸ ἰσχίον. [9] ἀνάγκη δὲ τὸ στόμα ἀπεστράφθαι, καὶ ἀνωτέρω οἴχεσθαι. [10] ὅταν δὲ ἀποστραφῇ, ξυμμύσαι. [11] ἐκ δὲ τοῦ ἀπεστράφθαι τε καὶ ξυμμύσαι, σκληρὸν γίνεσθαι, καὶ ξυμμύειν καὶ πεπηρωμένον τὸ στόμα τῶν ὑστερέων εἶναι. [12] ἀποκλεισθέντων δὲ ἐπαναπέμπειν 25 τὰ ἐπιμήνια ἐς τοὺς μαζοὺς, καὶ 77 βεβηκότας τοῦ στήθεος ποιέει. [13] καὶ ἡ γαστὴρ ἡ νειαιρὴ ἐπαίρεται, καὶ δοκέουσιν αἱ ἄπειροι ἐν γαστρὶ ἔχειν. [14] πάσχουσι γὰρ τὰ τοιαῦτα, οἷά περ αἱ κύουσαι, μέχρι μηνῶν ἑπτὰ ἢ ὀκτώ. [15] ἥ τε κοιλίη ἐπιδιδοῖ κατὰ λόγον τοῦ χρόνου· [16] καὶ

sederint, pharmacum deorsum purgans bibendum dato, & lac asininum, si non fuerit lienosa. [15] Postea fomenta adhibeto, uterosque aspergito: & subdititium purgatorium quod cum lauro 400 præparatur, & non mordet, apponito: [16] deinde aromatis suffita, ad virum accedat: [17] & si in ventre habuerit, sana fit. [18] Verum pleræque steriles & cruribus mutilatæ fiunt.

XXIII. Quibuscunque osculum alio inclinatur, & ad coxam allabitur. [2] Contingunt enim & hæc, quæ uterum purgari prohibent, & genituram suscipere, & liberos gignere. [3] Hanc odoratis fovere oportet, [4] & post fomentum, digito revellere, & à coxa 405 disparare: [5] & postea tædulis ac plumbeis fistulis immissis dirigere. [6] Non enim velociter cogi potest, velut dictum est. [7] Quum autem ad naturalem situm redierit, & uteri aperti fuerint, subdititiis mollibus purgato, & alia convenienter facito.

[8] Quibuscunque uteri ad coxam collabuntur, si non brevi discedant, & rursus in locum suum redeant, ad coxam resiccantur. [9] Necessarium est autem osculum aversum esse, & in 410 supernis detineri. [10] Quum vero aversum fuerit, conclusum esse. [11] Ex aversione vero ac conclusione, durum fieri, & mutilatum esse. [12] Ubi vero uteri conclusi fuerint, menses sursum ad mammas delegare, & ad pectus ascendere facit: [13] & imus venter attollitur, & inexpertæ in ventre se habere putant. [14] Talia enim patiuntur, qualia prægnantes, usque ad septem aut octo menses: [15] & venter 415 pro temporis ratione crescit: [16] &

16 καὶ τὰ στήθεα ἐπαίρεται, καὶ γάλα δοκέει ἐγγίνεσθαι. 17 ὁκόταν δὲ οὗτος ὁ χρόνος ὑπερπέσῃ, οἵ τε τιτθοὶ ξυνισχναίνονται, καὶ ἐλάσσους γίνονται. 18 καὶ ἡ κοιλίη τὸ αὐτὸ πάσχει. 19 καὶ τὸ γάλα ἀποδέδρηκεν ἄδηλον. 20 καὶ ἡ κοιλίη ἐπ' ἐκεῖνον τὸν χρόνον, ἐν ᾧ ἐδόκει τέξειν, ἐπειδὰν ἔλθῃ, ἀποδέδρηκέ τε καὶ ξυμπίπτει. 21 τοιούτων δὲ γινομένων, αἱ ὑστέραι ἰσχυρῶς ἐς ὀλίγον χρόνον ξυνέρχονται, καὶ τὸ στόμα αὐτέων ἐξευρεῖν οὐχ οἷόν τε. 22 οὕτω πάντα ξυμφρύονταί τε καὶ ξυναυαίνονται. 23 καὶ ἐν τοῖσι τιτθοῖσι φύματα γίνονται σκληρὰ, τὰ μὲν μέζω, τὰ δὲ ἐλάσσω. 24 ταῦτα δὲ οὐ γίνονται ἔμπυα, ἀλλ' αἰεὶ σκληρότερα γίνονται. 25 εἶτα ἐξ αὐτέων φύονται καρκίνοι κρυπτοί.

XXIV. Μελλόντων δὲ καρκίνων ἔσεσθαι, 2 πρότερον κατὰ στόμα ἐκπικραίνονται 3 καὶ ὅ, τι ἂν φάγωσι, πάντα δοκέουσι πικρὰ εἶναι, 4 καὶ, ἢν πλείω τις διδῷ, ἀναίνονται λαβεῖν, 5 καὶ χετλιὰ δρῶσι, παράφοροι τῇ γνώμῃ. 6 καὶ ὀφθαλμοὶ σκληροὶ, καὶ βλέπουσιν οὐκ ὀξέα. 7 καὶ ἐκ τῶν τιτθῶν ἐς τὰς σφαγὰς ὀδύναι διαΐσσουσι, καὶ ὑπὸ τὰς ὠμοπλάτας. 8 καὶ δίψα ἴσχει. 9 καὶ αἱ θηλαὶ καρφαλέαι. 10 καὶ αὐταὶ πᾶν τὸ σῶμα λελεπτυσμέναι εἰσί. 11 καὶ αἱ ῥῖνες ξηραί τε καὶ ἐμπεπλασμέναι εἰσὶν, οὐκ ἀφρόμεναι, πνεῦμα μινυθῶδες, καὶ οὐκ ὀδμῶνται οὐδέν. 12 καὶ ἐν τοῖσιν οὔασι πόνος μὲν οὐκ ἐγγίνεται, πῶρος δὲ ἐνίοτε. 13 ὁκόταν οὖν ἐς τοσοῦτον προέλθωσι τοῦ χρόνου, οὐ δύνανται ὑγιέες γίνεσθαι, ἀλλ' ἀπόλλυνται ἐκ τουτέων τῶν νοσημάτων. 14 ἢν δὲ πρότερον, ἢ ἐς τοῦτον ἀφίκηται, θεραπευθῇ, καὶ λυθῇ τὰ ἐπιμήνια, ὑγιὴς γίνεται. 15 θεραπεύειν δὲ τὰς τοιαύτας ὧδε χρή. 16

πρῶτον

16 & pectora elevantur, & lac innaſci videtur. 17 Quum autem hoc tempus præterierit, & mammæ gracileſcunt ac minores fiunt, 18 & venter idem perpetitur, 19 & lac evaneſcit. 20 Venter item eo tempore in quo ſe parituram ſperabat, evaneſcit ac concidit. 21 His vero contingentibus, uteri modico tempore fortiter contrahuntur, & oſculum ipſorum ʹ reperire non datur, 22 adeo omnia contrahuntur ac reſiccantur: 23 & in mammis tubercula fiunt dura, partim majora, partim minora. 24 Hæc autem non fiunt ſuppurata, ſed ſemper duriora: 25 deinde ex ipſis naſcuntur cancri occulti.

XXIV. Quum autem cancri futuri ſunt, 2 prius ora amareſcunt, 3 & quicquid ederint, omnia amara eſſe videntur: 4 & ſi quis plura dederit, accipere renuunt, 5 & compeſcenda faciunt. ʹ Mente vero percelluntur, 6 & oculi duri fiunt, & non acute vident: 7 & ex mammis dolores ad jugulum tranſiliunt, & ſub ſcapulas: 8 & ſitis tenet: 9 & mammæ graciles, 10 & ipſæ per totum corpus attenuatæ ſunt: 11 & nares ſiccæ ac obſtructæ ſunt, & non levantur. Spiritus eſt imminutus, & nihil omnino olfaciunt: 12 & in auribus dolor quidem non oboritur, verum aliquando calloſa concretio. 13 Quum igitur ʹad hoc temporis progreſſæ fuerint, ſanæ fieri non poſſunt, ſed pereunt ex his morbis. 14 Si vero priuſquam huc perveniant curatæ fuerint, & menſes ſoluti fuerint, ſanæ fiunt. 15 At vero curare tales oportet hoc modo. 16 Primum quidem

πρῶτον μὲν ἁπάντων, ἢν ἔτι ἰσχυρὴν ἐοῦσαν λαμβάνῃς, ἀποσκεψάμενος ἐς τὸ ἄλλο σῶμα, φαρμακεύειν, ὁκοίης ἄν τινος δοκέῃ δεῖσθαι καθάρσιος. 17 ὁκόταν δὲ καταστήσῃς τὸ σῶμα, οὕτως ἰέναι ἐς τὴν τῶν ὑστερέων θεραπείην. 18 ἢν δὲ μηδὲν δοκέῃ τὸ πᾶν σῶμα κινητέον εἶναι, μηδὲ αἱ προφάσιες ἐντεῦθεν ὁρμῆσθαι, 19 ἀλλ' αἱ ὑστέραι ἐφ' ἑωυτῶν τὸ νόσημα ἔχωσι, τῆς θεραπείης ἐνάρχεσθαι ὧδε. 20 πυριῆν πρῶτον τὰς ὑστέρας ὧδε. 21 χύτρινον ὅσον δύο ἑκταίας χωρέοντα, καπεῖον ἐπιθεῖναι καὶ ξυναρτῆσαι, ὅκως διαπνέηται μηδέν. 22 ἔπειτα δὲ κόψαι τοῦ καπείου τὸν πυθμένα, καὶ ποιῆσαι ὀπήν. 23 ἐς δὲ τὴν ὀπὴν ἐνθεῖναι κάλαμον, μῆκος ὅσον πηχυαῖον. 24 ἐνηρμόσθαι δὲ χρὴ τὸν κάλαμον τῷ καπείῳ καλῶς, ὅκως μὴ διαπνέηται μηδαμοῦ. 25 ὁκόταν δὲ ταῦτα σκευάσῃς, ἐπιθεὶς τὸ καπεῖον ἐπὶ τὸν χύτρινον, περιπλάσσας πηλῷ. 26 ὅταν δὲ ταῦτα ποιήσῃς, βόθρον ὄρυξον ὅσον δύο ποδῶν βάθος, μῆκος δὲ ὅσον χωρέειν τὸν χύτρινον. 27 ἔπειτα χρὴ ἐγκαίειν ξύλοις, ἕως τὸν βόθρον διάπυρον ποιήσῃς. 28 ὅταν δὲ διάπυρος γένηται, ἐξελεῖν χρὴ τὰ ξύλα καὶ τῶν ἀνθράκων οἳ δὴ ἀδρότατοι ἔσονται καὶ διάπυροι, τὴν δὲ σποδιὴν καὶ τὴν μαρίλην ἐν τῷ βόθρῳ καταλιπεῖν. 29 ὁκόταν δὲ ὁ χύτρινος ζέσῃ, καὶ ἡ ἀτμὶς ἐπανίῃ, ἢν μὲν ᾖ λίην θερμὴ ἡ πνοή, ἐπισχεῖν. 30 εἰ δὲ μή, καθίζεσθαι ἐπὶ τὸ ἄκρον τοῦ καλάμου καὶ ἐνθέσθαι ἐς τὸν στόμαχον, ἔπειτα πυριῆσαι. 31 ἢν δὲ ψύχηται, ἄνθρακας διαπύρους παραβάλλειν, φυλασσόμενος, ἵνα μὴ ὀξείην ποιήσῃς τὴν πυριήν. 32 ἢν δὲ παραβαλλομένων τῶν ἀνθράκων ὀξείη

omnium si adhuc fortem assumpseris, reliqui corporis respectu habito, quacunque tandem purgatione opus habere videtur, medicamentum exhibeto.[17] Ubi vero corpus præparaveris, sic ad uterorum medelam procedito.[18] Si vero totum corpus minime movendum esse videatur, neque morbi causæ hinc proficisci, [19] verum uteri à se ipsis morbum habeant, curam hoc modo auspicare. [20] Primum quidem uteros sic foveto. [21] Ollæ duas sextulas capienti, operculum imponito ac adaptato, ut nihil præterspiret, [22] deinde vero operculi fundum perfundito ac foramen facito. [23] In foramen autem arundinem indito longitudine cubitalem. [24] Oportet autem arundinem operculo probe adaptari, ut penitus nihil præterspiret. [25] Quum autem hæc paraveris, operculum ollæ obdito, lutoque oblinito: [26] & ubi hæc feceris, fossam duorum pedum altitudine effodito, ea magnitudine, quæ ollam capere possit. [27] Postea vero ligna immissa urito, donec fossa ab igne excandescat. [28] Quod ubi factum fuerit, ligna ac prunas quæ crassissimæ ac ignitæ fuerint, eximito: cinerem vero ac favillam in fossa relinquito. [29] Quum autem olla efferbuerit, & vapor sursum processerit, siquidem valde calidus fuerit vapor, abstineat. [30] Si vero non, summæ arundinis parti insideat, ipsamque in uteri stomachum indat, atque sic fomentum admittat. [31] Si vero perfrigeretur, prunas ignitas adjicito, cavendo ut ne acutum fomentum facias. [32] Si vero adjectis prunis, acutum fiat fomentum, magis quam con-

ὀξέη γίνηται ἡ πυρίη μᾶλλον τοῦ δέοντος, ἀφαιρέειν τῶν ἀνθράκων. 33 τὴν δὲ πυρίην χρὴ κατασκευάζειν ἐν αἰθρίῃ, ὅκου ἄνεμος μὴ προσπνεύσῃ, μηδὲ προσψύξῃ. 34 ἀμφικεκαλύφθαι δὲ χρὴ ἀμφιέσμασιν. 35 ἐς δὲ τὸν χύτρινον χρὴ βάλλειν σκόροδα τῶν αὔων. 36 καὶ πλείονα μὲν κατατεθρύπτειν τῶν κατακεκομμένων, 37 καὶ ὕδωρ ἐπιχέαι, ὥς τι αὐτὰ [illegible]-περιβρέξηται, καὶ ὑπερέχειν τὸ ὕδωρ τεττάρων οἷον τρεῖς δακτύλους, 38 καὶ ἐπιχέειν φώκης ἔλαιον· καὶ οὕτως θερμαίνειν. 39 πυριῆν δὲ χρὴ πουλὺν χρόνον. 40 μετὰ δὲ τὴν πυρίην, ἢν ᾖ δυνατή, λουσάσθω τὸ μὲν ξύνολον σῶμα πρὸς ἡδονήν, τὴν δὲ ὀσφὺν καὶ τὰ κάτω τοῦ ὀμφαλοῦ πλέον. 41 δειπνεῖν δὲ δοῦναι μάζαν, ἄρτον καὶ σκόροδα ἑφθά. 42 τῇ δὲ ὑστεραίῃ, ἢν μὲν διαλελυμένη ᾖ πρὸς τὴν πυρίην, διαλιπεῖν τὴν ἡμέρην ταύτην· ἢν δὲ μή, πυριῆν ὀπίσω. 43 πυριωμένου δέ, ἢν δύνηται σκέψασθαι, κελεύειν ψαῦσαι τοῦ στόματος, ἢν ἡ πυρίη αὐτὴν φύσησιν ἐμπιπλᾷ τὰς ὑστέρας. 44 ἐμπιπλάμεναι δὲ φύσησι τὸ στόμα ἐκ τοῦ λίην ἀπεστράφθαι καὶ προσπεπτωκέναι πρὸς τὸ ἰσχίον, ὡς ὀρθὸν μᾶλλον καθεστᾶσι, καὶ ἀναστομοῦνται. 45 ὡς οὖν τοιαύτης ἐούσης τῆς πυρίης, καὶ ταῦτα ποιέειν δυναμένης, οὕτω πυριῆν δεῖ. 46 ὅταν δὲ πυριήσῃς, ἐμβάλλειν χρὴ τῶν σκορόδων καὶ τῆς φώκης τοῦ ἐλαίου ἐπιχέειν. 47 δρῆν δὲ ταῦτα ἄχρις ἂν δοκῶσιν αἱ ὑστέραι πεφυσῆσθαι, καὶ τὸ στόμα ἄνω εἱλκῦσθαι ἰσχυρῶς. 48 πρὸς γὰρ τὴν πυρίην ταύτην τοιάδε ἔστι. 49 διαιτῆν δὲ μετὰ τὰς πυρίας, ὡς ὅτε τὸ πρότερον πυριῆτο.

XXV. Ὁκόταν δὲ ἀνακινηθῶσιν αἱ ὑστέραι, καὶ εὔλυτοι γίνωνται,

convenit, prunas detrahito. 33 At vero hoc fomentum clementi cœlo parare oportet, ubi ventus non afflarit, neque perfrigeret. 34 Ipsam autem indumentis obvelatam esse oportet. 35 Cæterum in ollam allium siccum injicere oportet, 36 idque magis comminutum quam ea quæ sunt contusa, 37 & aquam affundere, quo ipsum permadescat, & aqua tribus digitis ipsum excedat: 38 & phocæ oleum superfundere atque sic calefacere, 39 ac fomentum adhibere per multum tempus. 40 Post fomentum vero si potens fuerit, lavetur toto quidem corpore ad voluptatem, lumbis autem & partibus infra umbilicum amplius. 41 In cœnam porro dato mazam, panem, & allium coctum. 42 Postridie vero siquidem exoluta fuerit à fomento, eam diem intermittito: sin minus, rursus fomentum adhibeto. 43 A fomento vero si considerare hoc potest, osculum contingere jubeto, num fomentum ipsum uteros flatu implet. 44 Si enim flatu implentur, osculum ex valida aversione, & ad coxam allapsu magis dirigunt, ac aperiuntur. 45 Tanquam igitur tale sit fomentum, & hæc facere possit, sic fovere oportet. 46 Quum autem fomentum adhibebis, allium injicere oportet, & phocæ adipem superfundere. 47 Atque hoc faciendum est, donec uteri videbuntur inflati, & osculum fortiter sursum tractum. 48 Nam ad fomentum talia contingent. 49 Post fomentum vero diætam constituito, velut priusquam fovebatur.

XXV. Quum vero commoti fuerint uteri, ac facile solubiles fiant,

ται, ² πυριῆν μαράθρου ῥίζῃσιν, ἕτερόν τε χύτρινον καὶ κατασκευάσαι τὸν αὐτὸν τρόπον. ³ τὰς δὲ ῥίζας τῶν μαράθρων ἀμφιπλύνοντα φλάσαι, καὶ ἐς τὸ χύτρινον ἐμβαλεῖν, καὶ ἐπιχέας ὕδωρ, τὸν αὐτὸν τρόπον πυριῆν. ⁴ μετὰ δὲ ταῦτα λούειν, ⁵ καὶ ἐς ἑσπέρην δειπνεῖν μᾶζαν. ⁶ ἢν δὲ ἄρτον βούληται, καὶ βολβίδια καὶ σηπίδια τῶν 86 σμικρῶν ἐν οἴνῳ ἑψεῖν καὶ ἐν ἐλαίῳ, καὶ παρέχειν ἐσθίειν. ⁷ ἐν δὲ τῇ πυ-
30 ριῇ πειρᾶσθαι τοῦ στόματος ψαύειν, ἢ πυριῇ ἄγειν τὰς ὑστέρας ἀγ- 87 χοτάτω. ⁸ ταύτας χρὴ πυριῆν ἐφ' ἡμέρας πέντε ἢ ἕξ, σκεπτόμενον ἐς τὴν ἄνθρωπον. ⁹ κἢν μὲν διαλύηται καὶ ἀσθενὴς γίνεται, διαλαμβάνειν ἐς ὅσον δεῖ χρόνον. ¹⁰ ἢν δὲ μὴ διαλύηται, πυριῆν ἀνὰ πᾶσαν ἡμέρην. ¹¹ μετὰ δὲ τὰς πυρίας πειρᾶσθαι προστιθέναι τῶν προσθέτων, τῆς πάλαι δαιδὸς πιοτάτης· ¹² χρῖσμα δὲ λίπα ἔστω· ¹³ ποιέειν δὲ, μῆκος μὲν δακτύλων ἕξ, πλῆθος δὲ πέντε ἢ ἕξ, εἶδος δὲ ἔχου- 88 σα. ¹⁴ εἶναι δὲ θάτερον θατέρου
35 σμικρῷ βραχύτερον. ¹⁵ τὸ δὲ πα- 89 χύτερον εἶναι ὁκόσον δάκτυλος ὁ λιχανὸς, καὶ τὸ εἶδος ὅμοιον τῷ δακτύλῳ, ἐξ ἄκρου λεπτότατον, ἀ- 90 γόμενον δὲ παχύτερον. ¹⁶ ποιέειν δὲ ὡς λειότατόν τε καὶ στρογγυλώτατον· ¹⁷ φυλασσόμενον δὲ, ὅκως σχινδαλ- 91 μὸς μηδεὶς ἔσται. ¹⁸ προστιθέναι δὲ πρῶτον τὸ λεπτότατον. ¹⁹ ὅταν δὲ προσθῆται, ἀναπαυέσθω, ὅκως μὴ ἐκπίσῃ, φυλάσσουσα. ²⁰ προστιθέτω δὲ πρῶτον τὸ ἄκρον. ²¹ εἶτα καὶ αἰεὶ μᾶλλον ὁμοῦ τε ἐπιστρέφειν καὶ ἀπωθέειν κυκλόσε τὸ δαΐδιον. ²² καὶ,
40 ὁκόταν σμικρὸν προσδέξηται, ἐπισχεῖν ἐν τῷ σμικρῷ τούτῳ, φυλάσσουσα, ὡς μὴ ἐκπίσῃ. ²³ εἶτα αὖθις

fiant, ² fœniculi radicibus foveto, & aliam ollam eodem modo præparato. ³ Radices autem fœniculi elotas contundito, & in 470 ollam mittito, & affusa aqua eodem modo fomentum facito. ⁴ Postea vero lavato: ⁵ & ad vesperam mazam cœnet. ⁶ Si vero panem voluerit, & bolbidia parvi polyporum generis, & sepiolas parvas, in vino ac oleo coquito, & edenda dato. ⁷ At inter fomenti adhibitionem, osculum contingere coneris, an fomentum uteros propinquissime adducat. ⁸ Hos fovere oportet ad dies quinque vel sex, hominis consideratione habita: ⁹ 475 & siquidem exolvatur ac debilis fit, differre ad sufficiens tempus. ¹⁰ Si vero non exolvatur, fovere per omnem diem. ¹¹ Post fomenta vero, subdititia apponere conare, ex albicante tæda pinguissima. ¹² (Illitio autem sit oleum.) ¹³ facito autem hæc longitudine quidem digitorum sex: numero vero quinque vel sex: figura vero in angustum abeunte. ¹⁴ Sit autem alterum altero paulo brevius: ¹⁵ crassi- 480 tudo vero ejus quod crassissimum est, sit digiti indicis, & forma similis digito, summa parte tenuissima, in processu vero crassior. ¹⁶ Hæc autem levissima ac rotundissima facito, ¹⁷ cavendo ne ulla adsit fissura. ¹⁸ Apponat autem primum id quod tenuissimum est: ¹⁹ & ubi apposuit quiescat, observans ne excidat. ²⁰ Apponatque primum summam partem: ²¹ deinde semper amplius, simulque obtorqueat ac circumcirca tædam 485 intro trudat: ²² & ubi parum susceperit, in hoc parvo se contineat, cavendo ne excidat. ²³ Postea

αὖθις ἀπωθέειν ἐς τὸν αὐτὸν τρόπον, ἄχρις οὗ τεσσάρων δακτύλων τὸ ἔσω τοῦ στόματος τῆς ὑστερέων γένηται. 24 ὅταν δὲ τοῦτο προσδέξηται, τὸ μετὰ τοῦτο προστιθέναι, 25 ὁμοῦ τὸ προσκείμενον ἀφαιρέουσα, ὅκως, πρὶν ξυμπεσεῖν τὸ στόμα, προσκέηται ἔτι ὀρθοῦ ἐόντος καὶ ἀνεῳγμένου. 26 καὶ οὕτως δὲ τοῦτο ἔσται, ἢν τὸ μὲν ἐξαιρέηται, τὸ δὲ προστίθηται. 27 χρὴ δὲ καὶ μολύβδιον ἴκελον ἐξελάσαντα 45 ποιῆσαι τὸ εἶδος τῷ δαιδίῳ τῷ παχυτάτῳ, κοῖλον δὲ, ὅκως ξυνέχῃ. 28 τοῦ δὲ μολύβδου εἶναι τὸ εὖρος ἐληλασμένον, οἷον ἐπὶ τὰ ἕλκεα ἐξελαύνεται, 29 ὅκως τὸ στόμα τοῦ μοτοῦ λεῖον ἔσται, καὶ μὴ τρώσῃ. 30 ποιέειν δὲ ταῦτα, ὡς καὶ τὰ τῶν δαιδίων. 31 ὁκόταν δὲ ποιηθῇ ὁ μοτὸς ὁ μολύβδινος, στέατος αὐτὸν ἐμπλῆσαι οἰέου τετριμμένου. 32 ὁκόταν δὲ παρεσκευασμένος ᾖ, τὸ μὲν δαΐδιον ὑφελεῖν, τὸ δὲ μολύβδιον ἐνθεῖναι. 33 ἢν δὲ τὸ μολύβδιον καῦμα παρέχῃ προστεθὲν, 273 τὸ μὲν μολύβδιον ἀφαιρέειν, τὴν δὲ δαΐδα ὀπίσω προστιθέναι. 34 καὶ τὸ μολύβδιον ἀποβάψαι ἐς ὕδωρ ψυχρὸν, ἔπειτα ὀπίσω προστιθέναι, τὴν δὲ δαΐδα ὑφελεῖν. 35 προσκεῖσθαι δὲ χρὴ αἰεί τι, [καὶ] τὴν [μὲν] ἡμέρην ἄμεινον τὴν δαΐδα ἔχειν, νύκτωρ δὲ τὸ μολύβδιον. 36 ἢν δ' ἀναστῆναι θέλῃ, φυλασσομένη τοῦτο δράτω, ὅκως ὁ μοτὸς ἀτρεμίζῃ· εἰ δὲ μὴ, αὐτίκα κατόπιν προστιθέναι. 37 ἢν δὲ τῶν δαιδίων, ὧν προσκέεται, 5 μηδὲν προσδέχηται, λεπτότερον ποιέειν, μέχρις οὗ προσδέξηται. 38 ἐκ τουτέων ἐς ἐκεῖνα καθιστάναι καὶ εὐπιθῆσαι.

XXVI. Ἢν δὲ τὸ στόμα μηδὲ δύνηται ἀνοίγεσθαι, μηδὲ ὑστέραι ἀγχοῦ

Postea rursus eodem modo intro trudat, donec quatuor digitorum mensura intra osculum uterorum recipiatur. 24 Quum autem hoc susceperit, alterum postea apponat 25 simul ut prius insitum aufert, quo priusquam osculum conniveat recipiatur, dum adhuc rectum est & apertum. 26 Hoc autem ita continget, si alterum eximatur, alterum autem indatur. 27 Oportet autem & plumbum simile figura crassissimæ tædæ formatum intrudere, quod cavum sit, quo continere quid possit: 28 plumbi vero amplitudo sit talis fabricata, qualis in ulcera impellitur, 29 ita ut os ipsius leve sit, & non sauciet: 30 formato autem hæc velut etiam subdititia ex tædis. 31 Quum autem factus fuerit hujusmodi plumbeus penicillus, adipe ovillo trito ipsum expleto: 32 & ubi ita præparatus fuerit, tædam quidem subtrahito, plumbum autem indito. 33 Si vero plumbum appositum ardorem exhibeat, plumbum quidem detrahito, tædam vero rursus apponito. 34 Et plumbum in aquam frigidam immergito, & postea rursus apponito, ac tædam eximito. 35 Semper autem aliquid appositum esse oportet, & interdiu quidem melius est tædam habere, noctu autem plumbum. 36 Si vero surgere voluerit, cum cautione hoc faciat, quo penicillus intus quiescat: sin minus, statim rursus subdatur. 37 Si vero ex tædis appositis nullam suscipiat, tenuiorem facito, donec suscipiat, 38 ex his ad illa transeundo, & obedientes uteros faciendo.

XXVI. Si vero neque osculum aperiri poterit, neque uteri pro-

pe

ἐγγὺς προσίωσιν, ² αὖθις ἐπαναχωρεῖν ἐπὶ τὴν ἀρχαίην ἰητρείην· ³ ἀπὸ δὲ τῆς προτέρης ἐπὶ τὴν δευτέρην, μέχρις ὅτου μαλθαχθῶσι, καὶ πλησιαίτατα προσίωσι. ⁴ κἀπὴν δὲ ἀναστομωθῶσι, προστιθέναι πρόσθετα ποιήσαντα· ⁵ εἶναι δὲ τὸ μέγεθος ὅσον ἐλαίη. ⁶ τούτων δὲ τὸ ἕτερον προσκεῖσθαι μέχρις ὅτου ἐκτακῇ. ⁷ κἄπειτα θάτερον προστιθέναι. ⁸ ὁκόταν δὲ προστίθεσθαι μέλλῃς, βάψαι τὸ πρόσθετον τὸ ἐκ τῆς ῥητίνης· ἀφίστησι γὰρ ἀπὸ τοῦ στόματος τῶν ὑστερέων· ἐς ἔλαιον ῥόδινον ἢ ἴρινον. ⁹ πρὶν δὲ τὸ μολύβδιον προσκεῖσθαι χρὴ, ὅκως ἐν ὀρθῷ τῷ στόματι ἐμφύσηται ἐς τὸ εἴσω τοῦ στόματος, ἔπειτα μαλθακτήρια προστιθέναι. ¹⁰ λοῦσθαι δὲ θερμῷ, καὶ πρὸ τῶν προσθέτων, καὶ ὕστερον. ¹¹ καὶ δεῖπνον διδόναι τῶν θαλασσίων τι τῶν εἰρημένων. ¹² διδόναι δὲ, ὅταν ἡμέραι γένωνται δύο ἢ τρεῖς ἀπὸ προσθέσιος, ¹³ σκεψάμενος, ἢν μὲν τὸ στόμα καλῶς ἔχῃ τῶν ὑστερέων, ¹⁴ καὶ [ἢν] καθαρὸν ᾖ, παύεσθαι τούτου τοῦ προσθέτου. ¹⁵ μετὰ δὲ τοῦτο μαλθακτήρια.

XXVII. Ὅταν δὲ ἀποφλεγμήνῃ τὸ στόμα τῶν ὑστερέων, ² αὖθις προστιθέναι τὸν αὐτὸν τρόπον τὰ φάρμακα, καὶ τἄλλα ποιέειν κατὰ τὸν ὑφηγημένον τρόπον. ³ ὅταν δὲ καλῶς ἔχῃ τὸ σῶμα, ἀναφυσῆν ὡς εἴρηται. ⁴ καὶ τὸ στόμα δὲ ἀναφυσῆν δεῖ καὶ τὰς ὑστέρας ὧδε. ⁵ πρόσθετον ποιήσαντα ξὺν τῷ σύκῳ προσθεῖναι. ⁶ ποιέειν δὲ δύο καὶ ταῦτα. ⁷ πρὸ δὲ τοῦ προσθεῖναι, πυριῆσαι, καὶ τῇ πυρίῃ τῇ ἐκ τοῦ μαράθρου τῇ πρόσθεν εἰρημένῃ. ⁸ μετὰ δὲ τὴν πυρίην τῇ ὑστεραίῃ προστιθέναι τὸ φάρμακον. ⁹ ὅταν δὲ μέλλῃ προστιθέναι, πρὸ πάντων τῶν προσθέτων λούσαντα, αὐτὴν

pe accesserint, ² rursus ad veterem medicinam redito, ³ à prima ad secundam, donec mollescant, & propinquissime accedant. ⁴ Et postquam aperti fuerint, subdititia facta apponito. ⁵ Sint autem magnitudine olivæ. ⁶ Horum autem alterum appositum sit donec liquescat, ⁷ & deinde alterum apponito. ⁸ Quum autem apponere voles, ipsum subditium medicamentum ex resina præparatum, in oleum rosaceum aut irinum tingito. Nam alias ab osculo uterorum recedis. ⁹ Prius tamen plumbum appositum esse oportet, quo recto osculo, in internam osculi partem attrahatur. Postea vero mollitoria apponito. ¹⁰ Lavet autem calida, & ante, & post subdititia medicamenta. ¹¹ Et in cœna exhibeto quid ex relatis marinis. ¹² Exhibeto autem duobus aut tribus diebus ab appositione, ¹³ consideratione habita an osculum uterorum ¹⁴ bene habeat, & purum sit. Quod si est, ab hoc subdititio quiescito. ¹⁵ Postea vero mollitoria apponito.

XXVII. Quum vero inflammatum fuerit os uterorum, ² rursus eodem modo pharmaca apponito, reliquaque facito juxta relatum modum. ³ Ubi vero probe habuerit corpus, velut dictum est, sufflato. ⁴ Sed & osculum, & uteros sufflare oportet sic. ⁵ Subdititium factum cum ficu apponito, ⁶ duo autem subdititia facito: ⁷ & antequam subdas, fomentum exhibeto ex fœniculo prius relatum. ⁸ Postridie vero post fomentum, apponito medicamentum: ⁹ & quum apponere voles, præ omnibus subdititiis ubi prius laveris ipsam

οὕτω προστιθέναι. 10 τῇ δ' ὑστεραίῃ ἡμέρῃ μαλθακτήρια ἀρήγει, ἄχρις ἂν φλεγμαίνωσι. 11 μετὰ δὲ τὴν φλεγμασίην ποιέειν τὰ ἄλλα κατὰ τὸν ἔμπροσθεν λόγον. 12 ποιέειν δὲ καὶ περὶ τοῦ προσθέτου τούτου τοιαῦτα, οἷά περ καὶ περὶ τοῦ προτέρου. 13 κἢν
25 μὲν τῷ μηνὶ ἅπαξ προστεθὲν, ' ἀρκεόντως δοκέῃ εἶναι, φυσῆσαι τὰς ὑστέρας, καὶ πεπαῦσθαι. 14 ἢν δέ τις χρῄζῃ, αὖθις προστιθέναι τὸν αὐτὸν τρόπον, ὅν περ καὶ πρότερον. 15 μετὰ δὲ ταῦτα, ὅταν καλῶς δοκέῃ σοι καὶ καιρὸς εἶναι, τὴν πυρίην κατασκευάζειν τὴν ἐκ τῶν θυμιαμάτων.

XXVIII. Σκευάζεται δὲ τόνδε τὸν τρόπον. 2 κύπειρον κόψαντα καταχῆσαι ὅσον σκαφίδα, καὶ κάλαμον μυρεψικὸν ἕτερον τοσοῦτον, καὶ σχοίνου τῆς μυρεψικῆς ἴσον, καρδαμώμου ἴσον, καὶ κυμίνου αἰθιοπικοῦ, καὶ ἀνίσου, καὶ πηγάνου ξηροῦ, καὶ ὑπερικοῦ,
30 ' καὶ μαράθρου σπέρμα. 3 ὅταν δὲ ταῦτα παρασκευάσῃς, ἐγχέας ἐς τὸν χύτρινον οἴνου αὐστηροῦ κοτύλας ἕξ, ὡς εὐωδεστάτου λευκοῦ, ἐπιπάσαι τῶν κεκομμένων ὅσον τεταρτημόριον, καὶ ἀναταράξαι. 4 εἶτα ἐπιχέαι ὅσον τριώβολον ὁλκὴν μύρου αἰγυπτίου ὡς βέλτιστον, ἢ ἀμαράκινον ἢ ἴρινον ἄκρον. 5 ὅταν δὲ ἐπιχέῃς, ἀναταράξαι, [καὶ] πυριῇν μαλθακῇ τῇ πυρίῃ πλεῖστον χρόνον. 6 λούειν δὲ πρὸ τῆς πυρίης, καὶ πυριῇν ἡμέρας δύο ἢ τρεῖς. 7 ὅταν δὲ παύσηται πυριωμένη, ἐπίθημά τι χρὴ ἐπικεῖσθαι
35 ' ἐπὶ τῇ πυρίῃ, ὅκως μὴ διαπνέῃ. 8 μετὰ δὲ τῇσι δᾳδίοισι, καὶ τοῖσι μολυβδίοισι χρέο. 9 ὅταν δὲ πυριήσῃς ἡμέρας δύο ἢ τρεῖς, ἑτέρας διαλιπεῖν δύο ἢ τρεῖς. 10 τὰς δὲ μεταξὺ ἡμέρας λούειν δὶς τῆς ἡμέρης. 11 ἐσθίειν δὲ πράσα ἑφθὰ καὶ ὠμά, καὶ ῥαφανίδας,

sam ita apponito: 10 postera autem die mollitoria auxiliantur quandiu inflammati fuerint. 11 Post inflammationem vero, alia facito, juxta priorem rationem, 12 facito item de hoc subdititio talia, qualia de priore. 13 Et siquidem in mense semel appositum satis videbitur inflasse uteros, quiescito. 14 ' Si vero aliqua 525 opus habuerit, rursus apponito eodem modo quo prius. 15 Postea vero ubi bene habere tibi visa fuerit, & tempestivum esse, fomentum ex suffimentis præparato.

XXVIII. Præparatur autem hoc modo. 2 Cyperum tusum præparato testæ conchæ mensura, & calamum unguentarium eadem mensura, & junci unguentarii tantundem: cardamomi tantundem. Cumini item æthiopici, & anisi, & ' rutæ sic- 530 cæ, & hyperici ac fœniculi seminis. 3 Quum autem hæc præparaveris, vini austeri albi odoratissimi heminas sex in ollam infundito, & de contusis quadrantem inspergito ac permisceto. 4 Deinde unguenti ægyptii optimi, aut amaricini, aut irini, 99 trium obolorum pondus affundito, 5 permisceto, & molli fomento plurimo tempore foveto. 6 Ante fomentum vero lavato, & duos aut tres dies foveto. 7 Quum autem ' foveri desierit, opercu- 535 lum quoddam fomento imponere oportet, ut ne transpiret. 8 Postea vero tædis & lumbis utere. 9 Quum autem duobus aut tribus diebus fomentum adhibueris, alias duas aut tres intermittito. 10 Intermediis autem diebus bis in die lavato. 11 Edat porrum coctum & crudum, & raphanos, & nasturtium, & allium assatum

νίδας, καὶ καίρδαμα, καὶ σκόροδα ὀπτὰ καὶ ἑφθά. 12 καὶ τὸ πόμα ἀκρητέστερον. 13 καὶ τοῖσι θαλασσίοισι, τοῖσι προειρημένοισι χρέεσθαι. 14 ὅταν δὲ ἡμέραι διαλιπόμεναι παρέλθωσι, πυριῆν χρὴ ἐπιπάσσοντα ὀλίγιστα ἑκάστου τῶν κεκομμένων ἐς τὴν 40 ὑπάρχουσαν πυρίην. 15 καὶ οἶνον ἐπιχέαι, ἢν δοκέῃ δεῖσθαι, καὶ ἔλαιον, καὶ τούτῳ πυριῆσθαι. 16 ὁκόταν δέ σοι δοκέῃ καλῶς ἔχειν τῶν πυριῶν, καὶ τὸ στόμα μαλθακὸν εἶναι καὶ ἀνεστομωμένον, ὡς χρή, καὶ αὐταὶ αἱ ὑστέραι ἐγγύς, 17 μετὰ τὴν πυρίην τῇ ὑστεραίῃ ἡμέρῃ προστιθέναι τὸ φάρμακον τὸ ξὺν τῇ σμύρνῃ. 18 προσθέτα δὲ εἶναι δύο. 19 μετὰ δὲ τὴν κάθαρσιν τῇ ὑστεραίῃ ἡμέρῃ τὰ μαλθακτήρια προστιθέναι, καὶ μέχρις ὅτου ἀποφλεγμήνωσιν αἱ ὑστέραι. 20 μετὰ δὲ τοῦτο τοῖσι δαιδίοισι καὶ μολυβδίοισι χρέεσθαι. 45 21 μετὰ δὲ ταῦτα διαλιπεῖν ἡμέρας, ὡς ἂν δοκέῃς εἶναι, τὰς φλεγμασίας ἀποσκεπτόμενον τῶν ὑστερέων, καὶ τὴν δύναμιν τεκμαιρόμενον τοῦ σώματος, αὖθις ἀναπυριῆν, ὡς γέγραπται. 22 ἢν μὲν δοκέῃ ἡ ὑπάρχουσα πυρίη ἱκανὴ εἶναι, ἐς ταύτην ἐμβαλὼν τῶν θυμιαμάτων, ὥσπερ τὸ πρότερον, καὶ οἶνον ἐπιχέων καὶ ἔλαιον. 23 ἢν δοκέῃ δὲ αὐτὴ ἀχρεῖος εἶναι ἡ πυρίη, ἑτέρην ἐξ ἀρχῆς κατασκευάζειν. 24 δεῖ δὲ νεοχμὸν ποιέειν 100 τὸ φάρμακον ἐφ' ἑκάστῃ προσθέσει, 274 μέχρις ὅτου αἷμα καθαίρηται. 25 ἢν δὲ τοιαῦτα καθαρθῇ, πεπαύσθω. 26 διαιτῆν δὲ τῷδε τῷ τρόπῳ. 27 ἀνερωτᾶν δὲ ἐν ὁκοίῃσιν ἡμέρῃσιν αὐτέῃ ἐχώρει τὰ καταμήνια, ἀπὸ τουτέων ἀρξάμενος διαιτῆν τῇδε τῇ διαίτῃ. 28 πρῶτον μὲν λουέσθω πολλῷ θερμῷ, πλὴν τῆς κεφαλῆς. 29 ὅταν δὲ παύσηται, δίδου τυρὸν δριμὺν

assatum ac coctum: 12 & potus sit meracior: 13 & marinis prædictis utatur. 14 Quum vero 540 intermedii dies præterierint, rursus fovere oportet, ita ut modicum de singulis contusis ad prius fomentum inspergas, 15 & vinum insuper affundas, si opus esse videbitur, itemque oleum, atque cum hoc foveas. 16 Postquam autem fomenta bene habere tibi visa fuerint, & osculum molle esse ac apertum, velut convenit, & ipsi uteri prope: 17 postera die a fomento, pharmacum quod cum myrrha præparatur apponito: 18 (sint 545 autem appositia duo:) 19 postridie vero post purgationem, mollitoria subdito, quandiu uteri fuerint inflammati. 20 Postea vero tædis ac plumbeis penicillis utere. 21 Post hæc intermissis diebus quotquot visum fuerit, respectu ad inflammationes uterorum habito, & virium corporis conjectura facta, rursus velut scriptum est refoveto: 22 siquidem prius fomentum adhuc sufficiens esse videbitur, conjectis ad hoc 550 suffimentis velut prius, & vino ac oleo affuso: 23 si vero inutile esse prius illud fomentum videatur, aliud ex integro præparato. 24 Oportet autem hoc pharmacum renovare in singulis adhibitionibus, quandiu subcruenta purgantur. 25 Si vero talia purgata fuerint, quiescas. 26 Diæta porro hoc modo constituatur. 27 Interrogato in quibus diebus menses ipsi prodierint, & ab his initio facto, hanc diætam præ- 555 scribito. 28 Primum quidem multa calida lavetur, capite excepto. 29 Quum autem cessaverit, caseum acrem, & rutam, vi-

μυὼ καὶ πήγανον, οἴνῳ δὲ ἐνθέντα μέλανι, ἴσον ἴσῳ κεκρημένον. 30 ἔπειτα αὐτὸν, ἄλφιτα ἐπιπάσαντα, δοῦναι πιεῖν ἐκ τοῦ λουτροῦ εὐθέως. 31 εἶτα ἀριστῆν δοῦναι ἐν καιρῷ. 32 ἐσθίειν δὲ μάζαν ἢ ἄρτον, καὶ πράσα ἑφθὰ ἢ ὠμὰ, καὶ τῶν ὁμοιοτρόπων δριμέων πάντων τῶν προγεγραμμένων· 33 καὶ ἔτνος ἄλλοτε. τὸν δὲ ἀφρὸν μὴ ἀφαιρέειν, καὶ σίλφιον πουλὺ ῥινήσαντα, καὶ σκόροδα ἐγκαθεψήσαντα πολλά. 34 ὄψοισι δὲ χρέεσθαι τῶν ἰχθύων τοῖσι σελάχεσι πᾶσιν ἑφθοῖσιν [ἐν] ὀξυγλυκεῖ, σηπιδίοισί [τε καὶ] πουλυποδίοισιν ἐν οἴνῳ καὶ ἐλαίῳ. 35 φύλλον [δὲ] ἀποτετριμμένον πίνειν, καὶ ἐσθίειν ὡς πλεῖστα, καὶ ἐπ' ἀρίστῳ, καὶ ἐπὶ δείπνῳ. 36 λούεσθαι δὲ μετὰ τὸ δεῖπνον, ὅταν μέλλῃ ἀναπαύεσθαι. 37 ταύτῃ τῇ διαίτῃ μέχρι ἡμερέων πέντε ἢ ἓξ χρέεσθω. 38 μετὰ δὲ ταύτας τὰς ἡμέρας, πρωῒ μὲν διδόναι νήστει ἀκτῆς καρπὸν ὅσον πυρῆνας ἓξ ἐν οἴνῳ ἀκρήτῳ, καὶ σηπίης ᾠὰ ὅσον δέκα ἢ δυοκαίδεκα. 39 ταῦτα τρίψαντα ὁμοῦ λεῖα πρωῒ διδόναι νήστει πίνειν. 40 μετὰ δὲ τοῦτο τὸ φάρμακον διδόναι τὴν πόσιν. ἐπὴν ἡσυχάσῃ δὲ λούεσθαι. 41 πιεῖν δὲ τὸ πήγανον καὶ τὸν τυρὸν, 42 οὕτως [δὲ] ἀριστᾶν, τὸν προγεγραμμένον τρόπον· δειπνεῖν δὲ ὀψιαίτερον. 43 λούεσθαι δὲ αἰεὶ τῆς ἡμέρης δὶς αὐτήν. 44 ἡ δὲ δίαιτα ἤτω μέχρις ἡμερέων τρισκαίδεκα ἢ τεσσαρεσκαίδεκα. 45 ὅταν δὲ αὗται αἱ ἡμέραι παρέλθωσι, καταπότια ποιέειν ἐκ τοῦ ὀποῦ τοῦ σιλφίου ὅσον κύαμον, καὶ διδόναι τοῦτο πρῶτον. 46 μετὰ δὲ τοῦτο τὰ ἄλλα τὰ προγεγραμμένα ποιέειν. 47 ὅταν δὲ ἡμέραι γένωνται πέντε καὶ εἴκοσιν ἐν ταύτῃ τῇ διαίτῃ, τὰ μὲν ἄλλα ποιέειν κατὰ ταὐτὰ, 48 πρὸ δὲ τοῦ ἀρίστου, ὅταν μέλλῃ ἀριστᾶν, προ-

no nigro pari aqua temperato diluito, 30 & poſtea polenta inſperſa, ſtatim ex balneo bibenda dato: 31 deinde prandium tempeſtive exhibeto. 32 Edat autem mazam aut panem, & porrum coctum aut crudum, & de hujuſmodi omnibus acribus præſcriptis, 33 & aliquando legu- minis fracti decoctum: ſpumam autem ne detrahito, & ſilphium multum deraſum addito, ac multa allia incoquito. 34 Obſoniis autem utatur piſcium, cartilagineis omnibus coctis aceto mulſo dulci, aut favorum cremore cocto, bolbidiis, polypodiis, in vino & oleo: 35 & ſilphii ſemen tritum bibat: & quam plurima tum in prandio, tum in cœna edat. 36 Lavetur autem poſt cœnam, quum requieſcere volet. 37 Hac diæta ad dies quinque vel ſex utatur. 38 Poſt hos dies, mane jejunæ ſambuci fructus baccas ſex, in vino meraco dato, & ſepiæ ova decem aut duodecim. 39 Hæc trita ſimul mane jejunæ bibenda præbeto. 40 Poſt hoc vero pharmacum potionem dato. At ubi interquievit, lavetur. 41 Sit autem potio, ruta, & caſeus, 42 atque ſic prandeat præſcripto modo. Serius autem cœnet: 43 & ſemper bis in die lavetur. 44 Hæc autem diæta ad dies tredecim aut quatuordecim procedat. 45 Quum vero hi dies præterierint, catapotia ex ſucco ſilphii fabæ magnitudine formato, atque hæc primum dato, 46 poſtea vero alia præſcripta facito. 47 Quum autem dies tranſacti fuerint viginti quinque in hac diæta, reliqua quidem facito eodem modo. 48 Ante prandium vero ubi prandere volet, allii ſegmenta qua-

τρίψαι σκορόδου ἄγλιθας οἷον τέσσαρας, καὶ τυρὸν δριμὺν ὅσον ἀστράγαλον, καὶ ἄλφιτα παραμῖξαι ὀλίγα, 49 καὶ ποιέειν μάζαν, καὶ ταύτην πρῶτον καταφαγεῖν. 50 πρὸ δὲ τοῦ δείπνου ἄκρητον ἐπιῤῥοφέειν, καὶ οὕτω σιτεῖσθαι. 51 τὰ δ' ἄλλα τὴν αὐτὴν δίαιταν διαιτᾶν. 52 ὅταν δὲ ἐννέα ἡμέραι γένωνται, καὶ διαλίπωσι ἐς τὸν χρόνον, διδόναι τοῦτο πρῶτον. 53 καὶ μετὰ τῶν ὠῶν καὶ τῆς ἀκτῆς κύμινον αἰθιοπικὸν καὶ τοῦ καστορίου ὅσον ὀβολόν. 54 ὅταν δὲ ἡμέραι λοιπαὶ δύο ἔωσι, τούτων μὲν ἀπαλλάσσεσθαι πάντων τῶν πομάτων καὶ τῶν καταποτίων, 55 τὸ δὲ ξὺν τῇ δαΐδι φάρμακον διδόναι λουσαμένῃ νήστει. 56 μετὰ δὲ τὴν πόσιν τοῦ φαρμάκου διδόναι λινόζωστιν καὶ κράμβην, ὁμοῦ ἑψῶντα ἐν ὕδατι, ἡδύναντα ἐν ὀξυγλυκεῖ καὶ ἁλσὶ, καὶ σιλφίῳ καὶ ἐλαίῳ ἐπὶ τῷ ἀρίστῳ. 57 ταῦτα διδοὺς τρώγειν, καὶ τῶν χυλῶν ῥοφέειν, καὶ τὸ πόμα ἀκρητέστερον πίνειν. 58 ὄψοισι δὲ χρήσθω πολυποδίῳ ἑφθῷ ἢ σηπιδίοισι. 59 ταῦτα μὲν ἐπὶ τῷ ἀρίστῳ. 60 ἐπὶ δὲ τῷ δείπνῳ, κρέας αἰγὸς, ἢ οἰὸς, ἢ ἀρνὸς διεφθὰ, καὶ πράσα, καὶ τῶν ἄλλων δριμέων, ὅ,τι ἂν βούληται. 61 λουέσθω δὲ ἀπὸ τοῦ δείπνου. 62 αὕτη ἡ δίαιτα τὰς δύο ἡμέρας ἐς τὰς ὑστάτας. 63 ἢν δὲ πρὸς τὴν δίαιταν ταύτην μὴ κατασπασθῇ τὰ ἐπιμήνια, τὸν ἐπιόντα μῆνα τὴν αὐτὴν δίαιταν ἐξ ἀρχῆς διαιτᾶν, ἄχρι τῶν ὑστάτων δύο ἡμερέων. 64 ταύτας δὲ τὰς δύο τῇ προτέρῃ ἡμέρῃ τῆς ὑστάτης πρόσθετα ποιήσας προσθεῖναι κατὰ τὸν ἔμπροσθεν λόγον, φαρμάκου τοῦ ἐν τῷ ὕδατι ποιουμένου. 65 προστιθέσθω δὲ προλούσας. 66 σκέψασθαι δὲ χρὴ καὶ τῶν ὑστερέων, ὅκως ἔχουσι, καὶ αἰεὶ παρὰ πάντα τὸν χρόνον, ὅκως καλῶς

tuor, & caseum acrem tali magnitudine terito, & polentam modicam ammisceto, 49 ac massam efformato, eamque primum edendam dato. 50 Ante cœnam vero meracum absorbeat, atque ita cibum capiat. 51 De cætero vero eadem diæta utatur. 52 Quum autem novem dies reliqui fuerint ad tempus mensium, primum hoc dato. 53 Cum ovis & sambuco, cuminum æthiopicum, & castorii obolum. 54 Ubi vero duo dies reliqui fuerint, ab his omnibus potionibus ac catapotiis abstineat. 55 Verum pharmacum cum tæda præparatum jejuna ubi lavit, sumat. 56 Post medicamenti vero potum, mercurialem & brassicam simul in aqua cocta dato, cum aceto mulso dulci, aut favorum cremore cocto, sale, silphio & oleo condita. 57 Atque hæc in prandio edenda præbeto, & succos sorbendos: & potum meraciorem bibat. 58 Obsoniis autem utatur polypodio cocto aut sepiolis: 59 & hæc quidem in prandio. 60 In cœna vero sumat carnem caprinam, aut ovillam, aut agninam percoctam: & porrum, & alia acria, quæcunque voluerit. 61 A cœna vero lavetur: 62 & hæc sit diæta postremis duobus diebus. 63 Si vero ex hac diæta menses non fuerint detracti, sequenti mense eandem diætam ab initio repetito, usque ad postremos duos dies. 64 In quorum priore apposititia facta apponat, juxta superiorem rationem, ex pharmaco cum tæda facto. 65 Apponat autem prælota. 66 Verum considerare oportet etiam uteros quomodo habent, quo semper omni tempore bene habeant, &

os

κοιλίας ἔχωσι, καὶ τὸ στόμα ὀρθόν τι καὶ ἐστομωμένον εἴη, 67 καὶ, ἢν δοκέῃ σοι, πρὸ τῆς προσθέσιος προπυριῆσαι. 68 ἢν δὲ καταῤῥαγῇ τὰ ἐπιμήνια, ἢν μὲν συχνὰ, ἐλάττοσι τοῖσι λουτροῖσι κεχρῆσθαι, καὶ τῇ ἄλλῃ διαίτῃ τε καὶ θεραπείῃ· ἢν δὲ ἐλάσσω, πλείοσιν. 69 ἢν δὲ προσσημαίνῃ αὐτὰ μὴ ἴῃ, αὖθις διαίτῃ τῇ αὐτέῃ χρέεσθαι, καὶ θεραπεύειν, ἄχρις ὅτου ἂν φανῇ τὰ ἐπιμήνια. 70 ὅταν δὲ ἅπαξ ἔλθῃ τῇσι τοιαύτῃσιν, ἄριστον ἐν γαστρὶ λαμβάνειν. 71 αὕτη πασέων τῶν ὁμοιοτρόπων νούσων ἡ θεραπείη.

XXIX. Ἢν αἱ μῆτραι ψαύσωσι τοῦ ἰσχίου καὶ προσκέωνται, 2 στεῤῥὸν γίνεται ἐπὶ τὸν κενεῶνα· καὶ ὀδύναι τῆς νειαίρης γαστρός. 3 καὶ ἐς αὐτὸν τὸν κενεῶνα, καὶ ἐς τὰς ἰξύας, καὶ ἐς τὰ σκέλεα ἡ ὀδύνη ἐμπίπτει, 4 καὶ τιταίνεται· 5 καὶ ἐκπυΐσκονται, καὶ ἐμμότοι γίνονται, 6 καὶ ὄλλυνται, ἢν μή τι τάμῃς, ἢ καύσῃς. 7 ὅταν οὕτως ἔχῃ, φάρμακον πίσαι κάτω, καὶ λούειν πολλῷ θερμῷ, καὶ πυριῆν τὰς ὑστέρας. 8 καὶ οὖρον παλαιὸν ἐγχέαι τε ἐς τὰ κοῖλα τοῦ πυέλου καὶ ἀναζέειν, καὶ αὐτὴν καθίζεσθαι, περικαλύψας εἵμασι τὴν γυναῖκα, ὡς μὴ παραπνέῃ. 9 ἐπὴν δὲ ἀποψύχηται τὸ οὖρον, ἐμβάλλειν μύδρους διαπύρους καὶ πυριῆν μέχρις οὗ φῇ ἀμαυρὰ βλέπειν, καὶ λιποθυμέειν. 10 λοῦσαι δὲ θερμῷ ὕδατι. 11 καὶ ἔπειτα τῷ δακτύλῳ ἑλκέειν τὸ στόμα τῶν ὑστερέων πρὸς τὸ ὑγιὲς ἰσχίον, καὶ τὰς νύκτας προστιθέναι μαλθακτήρια. 12 ἐπὴν δὲ φῇ κατ' ἰθὺ εἶναι, προπυριήσας τοῖσιν εὐώδεσιν, αὖθις προστιθέναι τινὰ μαλθακτήρια. 13 ἀλλὰ καὶ τὰς μολυβδίδας ἡμέρας τρεῖς, ἵνα καθ' ἑκάστην ἡμέρην. 14 μετὰ δὲ ταῦ-

τας

os rectum & apertum sit: 67 & si ita visum fuerit, ante appositionem fomenta adhibeto. 68 Quod si eruperint menses, siquidem frequentes fuerint; paucioribus lavacris utendum est: & reliqua diæta ac curatione. Si vero pauciores, pluribus. 69 Si vero significationem de se præbuerint, rursus eadem diæta utendum est, aut curandum, donec menses apparuerint. 70 Quum autem semel talibus prodierint, optimum fuerit in ventre concipere. 71 Atque hæc est omnium hujuscemodi morborum curatio.

XXIX. Si uteri contingant coxam, & incumbant, 2 dura ac solida fit coxa ad lateris mollitudinem, & dolores imi ventris: 3 & ad ipsam lateris mollitudinem, & lumbos, ac crura dolor incidit 4 ac extenditur: 5 & suppurantur, & linamentis opus habent, 6 & pereunt, nisi quid seces aut uras. 7 Quum sic habuerint, pharmacum deorsum purgans bibendum dato: & multa calida lavato, & uteros foveto, 8 ita ut urinam veterem in pelvim infundas ac fervefacias, & supra ipsius cavitatem mulierem colloces vestibus contectam, ut ne præterspiret: 9 & si frigefiat urina, ferri igniti frusta in urinam immittas, & fomentum facias donec se obscure videre, & animo deficere dixerit. 10 Lavato autem calida aqua, 11 & postea digito contingens os uterorum ad sanam coxam trahat: & noctu mollitoria apponat. 12 Postquam autem dixerit directum esse, facto prius cum odoratis fomento, rursus mollitoria quædam apponito. 13 Imo & plumbeos penicillos per triduum, singulis diebus unum. 14

 Post

πυος τῆς ἐχέτρωσιν ἢ τῆς σκίλλης τρεῖς ἡμέρας. 15 μετὰ δὲ τοῦτο σκεψάμενος ἐν τοῖσιν ἐπιμηνίοισι μάνθανε, ἤν τε χολώδεα ᾖ, ἤν τε φλεγματώδεα, ἤν τι αἷμα διεφθορὸς ᾖ. 16 καὶ ἢν δέῃ αὐτὴν αἷμα καθῆραι, προστιθέναι, ὅτι ἄν σοι δοκέῃ μάλιστα δεῖσθαι, καὶ μεταγκλύζειν τοιουτοτρόποισι. 17 προστιθέναι δὲ τὰ πρόσθετα, ἐς τὸ ἂν αἷμα καθαρὸν ἄγηται. καὶ ταῦτα ἐνεργεῖν τρεῖς ἡμέρας. 18 ἐλάφου δὲ στέαρ προστιθέσθω τηκτὸν ἐμβάπτων μαλθακὸν εἴριον. 19 ἔπειτα γλήχωνα τὴν ἡμέρην θυμιωμένη τοῖσιν ἀρώμασι. 20 καὶ οὕτω παρὰ τὸν ἄνδρα ἴτω.

XXX. Ἢν δὲ ἐκ τόκου ἡ νοῦσος γένηται, κεκαθαρμένης πάντα ἐκ τῆς πυρίης τοῦ οὔρου, αὐτίκα ἰέναι ἐς τὰ εὐώδεα. 2 καὶ ἔπειτα λουσαμένην, ἄλειφα λευκὸν αἰγύπτιον προστιθέσθω πρὸς τὸ ὑγιὲς ἰσχίον, καὶ κατακείσθω ἐπὶ τοῦτο. 3 ἢν δὲ μὴ πρὸς ταῦτα μεθιστέωσιν αἱ ὑστέραι, πινέτω νῆστις τῆς γλυκυσίδης κόκκους τοὺς μέλανας πέντε ἐν οἴνῳ εὐώδει, 4 καὶ ἐπὶ τοῦ σίτου τρωγέτω σκόροδα ὠμὰ καὶ ὀπτὰ καὶ ἑφθά. 5 ὄψοισι δὲ χρήσθω ὡς ἐλαχίστοισιν. 6 ἢν [δὲ] μὴ γένηται ὑγιής, ὡσαύτως καθαίρειν αὐτὴν ὡς ἐπὶ τοῦ πρόσθεν. 7 ἐπὶ δὲ ταύτης τῆς νούσου, ἢν μὴ αὐτίκα σχοῖεν ἐν γαστρί, ἄτοκοι γίνονται. 8 ἢν δὲ ὧδε ἔχωσι, [καὶ] τὰ ἐπιμήνια μὴ γίνηται, μηδὲ πῦρ ἐπιλάβῃ, 9 φαρμάκοισι πρῶτον καθαίρειν ἄνω μάλιστα, ἢν δὲ ἀσθενὴς ᾖ, κάτω. 10 καὶ μετὰ τὴν φαρμακοποσίην, ἤν σοι δοκέῃ φλεγματώδης εἶναι, ἐμείτω νῆστίς τε καὶ ξὺν τῷ σιτίῳ, 11 καὶ ὡς τὰ πολλὰ ὑγιὴς ἔσται.

XXXI. Ἢν δὲ αἱ μῆτραι πρὸς τὸ ἰσχίον ἐκπέσωσι, 2 τὰ ἐπιμήνια

παχέα

Post hos vero bryoniam albam, aut scillam per triduum. 15 Postea vero consideratis mensibus disce, an biliosi sint, an pituitosi, aut an sanguis sit corruptus: 16 & si opus fuerit ipsi sanguinem purgare, quocunque maxime opus habere tibi visa fuerit, id apponito. Et postea cum ejusmodi colluito. 17 Apponito autem subdititia medicamenta, donec sanguis purus educatur, & hoc per triduum facito: 18 deinde cervinum adipem liquatum, molli lana eo imbuta apponat. 19 Postea per diem pulegium subdat: & aromatis suffita 20 sic ad virum accedat.

XXX. Si vero ex partu morbus fiat, ubi ex urinæ fomento penitus purgata est, statim ad odorata accedat: 2 & postea lota, oleum album ægyptium ad sanam coxam apponat, & super hanc decumbat. 3 Si vero neque ad hæc transmoveantur uteri, jejuna pæoniæ grana nigra quinque in vino odorato bibat. 4 Et in cibo sumat allia cruda, & assata, & cocta. 5 Obsoniis autem utatur paucissimis. 6 Si vero sana non fiat, similiter ipsam purgato velut in prio re dictum est. 7 Cæterum in hoc morbo si non statim in ventre habuerint, steriles fiunt. 8 Si vero sic habuerint, mensesque non fiant, neque febrilis calor corripiat, 9 primum pharmacis sursum maxime purgato. Si vero debilis fuerit, deorsum. 10 Et post pharmaci potionem, si pituitosa esse visa fuerit, vomat jejuna, & accepto cibo: 11 & plerunque sana fiet.

XXXI. Si uteri ad coxam decurrerint, 2 menses crassi existentes

πυχία ἐόντα οὐ γίνεται. 3 ὀδύνη δὲ ἐς τὴν νειαίρην γαστέρα ἀφικνέεται. 4 ἀφικνεῖται δὲ καὶ ἐς τὸν κενεῶνα, καὶ δάκνεται. 5 ὅταν ὧδε ἔχῃ, λούειν πολλῷ καὶ θερμῷ. 6 καὶ διδόναι σκόροδα τρώγειν ὡς πλεῖστα. 7 " καὶ γάλα πίνειν ἱκνεομένως. 8 ἔπειτα οἶνον ἄκρητον. 9 καὶ πυριῆσαι ὅλην. 10 καὶ ' φάρμακον δοῦναι ἄνω. ἢν δὲ ἀσθενεστέρη ᾖ, κάτω. 11 ἢν δὲ ἰηθῇ, πυριῆν τὰς ὑστέρας μαράθρῳ· ξυμμίσγεται δὲ καὶ ἀψίνθιον. 12 ἐπὴν δὲ νεοπυρίητος ᾖ, ἀφέλκειν τὸ στόμα τῷ δακτύλῳ ἠρέμα τῶν ὑστερέων πρὸς τὸ ὑγιὲς ἰσχίον, 13 παρηγορικῶς " μαλθάσσοντα τὸ στόμα τε καὶ τὰ ἀμφιπονεόμενα. 14 καὶ προσθεῖναί τι μαλθακτήριον. μετὰ δὲ μολύβδους, καὶ αὐτίκα σκίλλαν, " εἶτα ναρκίσσινον, μίαν ἡμέρην διαλιπών. 15 " ἐπὴν δέ σοι δοκέῃ καθαρὴ εἶναι, τὸ νέτωπον προστιθέσθω ἐν ἐρίῳ, [καὶ] τῇ ὑστεραίῃ ἔλαιον ῥόδινον. 16 τῶν ἐπιμηνίων δὲ ἰόντων, ἄμεινον μηδὲν προστίθεσθαι. 17 ἢν δὲ μὴ ἴωσι, κανθαρίδας τέσσαρας ἀπτέρους καὶ ἄποδας [καὶ] ἄτερ κεφαλῆς, καὶ γλυκυσίδης κόκκους πέντε τοὺς μέλανας, καὶ σηπίης ὠὰ, καὶ σελίνου σπέρμα ὀλίγον " ἐν οἴνῳ. 18 καὶ, ἢν ὀδύνη ἐνῇ, καὶ στραγγουρίη ἔχῃ, ἐν ὕδατι θερμῷ ἐγκαθιζέσθω, καὶ πινέτω μελίκρητον ὑδαρές. 19 ἢν δὲ μὴ καθαίρηται, αὖθις τὸ φάρμακον πινέτω. 20 " ἢν δὲ ἴῃ, ἀσιτήσασα πινέτω καὶ ξυνίτω τῷ ἀνδρί. 21 ἢν ' δὲ μὴ γίνηται, διδόναι ὅ, τι καθαρεῖ, ὁρέων πρὸς τὴν δύναμιν τῆς γυναικός· 22 καὶ τότε ἀσφαλὲς φοιτᾷν ὡς τὸν ἄνδρα. 23 ἢν γὰρ ἴσχῃ ἐν γαστρὶ, ὑγιὴς γίνεται. 24 ἐν δὲ τῇ καθάρσει, ἢν ἴῃ πολλὴ, λινόζωστιν ἐσθιέτω, 25 " καὶ πολύποδας ἑφθοὺς

καὶ

stentes non prodeunt: 3 verum dolor ad imum ventrem procedit, 4 & lateris mollitudinem, & morsum percipit. 5 Quum sic habuerit, multa calida lavato, 6 & allia plurima edenda dato, 7 & lac convenienter bibendum: 8 deinde vinum meracum: 9 & totam foveto: 10 & pharmacum sursum purgans exhibeto: si vero debilior fuerit, infra. 11 Si vero curata fuerit, uteros cum fœniculo foveto, & absinthium ammisceto. 12 ' Postquam autem recens fota fuerit, os uterorum sensim cum digito ad sanam coxam detrahito, 13 ita ut & ipsum os, & partes circumcirca affectas leniter mollias, 14 & mollitorium quoddam apponas, & postea plumbeos penicillos, & mox scillam: deinde narcissinum una die interposita. 15 Quum vero pura esse visa fuerit, netopum apponat in lana: & postridie oleum rosaceum. 16 At mensibus prodeuntibus melius ' est non apponere. 17 Si vero non prodeant, cantharidas quatuor sine alis, sine pedibus, & sine capite, & pæoniæ grana nigra quinque, & sepiæ ova, & apii semen modicum, in vino bibat. 18 Et si dolor affuerit, & urinæ stillicidium vexarit, in aqua calida desideat: & aquam mulsam aquosam bibat. 19 Si vero non purgetur, rursus pharmacum bibat. 20 Si autem purgatio prodeat, jejuna cum viro coeat. 21 Si vero non ' prodeat, dato quod detrahat ipsam, respectu ad vires mulieris habito: 22 & tunc tutum est ut ad virum accedat. 23 Si enim in ventre habuerit, sana evadit. 24 In purgatione vero si multa prodeat, mercurialem edat, 25 & polypos teneros co-

ctos,

καὶ παλαιούς. 26 καὶ σιτίοισι μαλθακοῖσι χρεέσθω.

XXXII. Ἢν ἐς τὸ ἰσχίον αἱ ὑστέραι ἢ ἐς τὸν κενεῶνα καταστηρίξωσι λεχοῖ, 2 προστιθέναι ἐς θάτερον ἰσχίον αἰγύπτιον ἔλαιον λευκὸν ἢ ῥόδινον. 3 ἐπὶ δὲ τὸ ὑγιὲς ἰσχίον ἄμεινον κατακεῖσθαι. 4 πινέτω δὲ γλυκυσίδης κόκκους τέσσαρας τοὺς μέλανας, καὶ ἀκτῆς καρπὸν ἐν τοῖσι δαισὶν ὅσον χημίδα, καὶ κάστορος ὡς κύαμον. 5 καὶ σιτίοισι χρεέσθω μαλθακοῖσι. 6 λινόζωστις δὲ ἂν ἁρμόζοι πρὸ τῶν σιτίων ἑφθὴ ὡς κράμβη. 7 ῥοφείτω δὲ καὶ τὸ ὕδωρ. 8 καὶ τὰ δριμέα τρωγέτω, πλὴν ῥαφανίδος, καὶ κρομμύου, καὶ καρδάμου. 9 ἄριστον δὲ θριδακίνη.

XXXIII. Ὁκόσα δὲ ἀπὸ τῶν ὑστερέων ξυμβαίνει γίνεσθαι νοσήματα; λέγω δὲ, ὁκόταν αἱ ὑστέραι ἐκ χώρης κινηθῶσι, προσπίπτουσιν ἄλλοτε ἄλλῃ. 2 ὅκου δ' ἂν προσπέσωσιν, ὀδύνην μεγάλην καταστηρίζουσιν ὀδυνηρά. 3 καὶ, ἢν ἅψηταί τις τῆς κύστιος, ὀδύνην παρέχουσι, 4 καὶ τὸ οὖρον οὐ δέχονται, 5 οὐδὲ τὸν γόνον ἐπὶ σφέας ἕλκουσι, 6 καὶ ἄμφω ἀλγέει. 7 καὶ, ἢν μὴ ταχεῖαι λύσιες γίνωνται, διαπυΐσκονται αἱ ὑστέραι ὕστερον κατὰ τὰ αὐτὰ χωρία, ἢν πρὸς αὐτὰ θέωσι. 8 γίνεται δὲ κατὰ κενεῶνάς τε καὶ βουβῶνας καὶ ὑπὲρ τοῦ κτενός. 9 χρὴ δὲ ἐν ἀρχῇσιν, ὅταν ἡ ὀδύνη ἔχῃ, ὧδε θεραπεύειν. 10 καὶ χλιάσματα προστιθέναι, καὶ ἐν ὕδατι θερμῷ εἶναι· ἀγαθὸν γὰρ καὶ ἐν τούτῳ. 11 ἢ σπόγγοισιν ἐν ὕδατι θερμῷ ἐκπιεζομένοισι πυριῆν. 12 καὶ πίνειν τῶν ὑστερικῶν φαρμάκων. 13 ἢν δὲ μὴ πρὸς ταῦτα λύηται, φαρμακεύειν κάτω καὶ ἄνω, ἢν δέῃ. 14 τοῦτο δὲ διαγνώσῃ τῷδε τῷ τρόπῳ. 15 ἢν μὲν ἐς τοὺς βουβῶνας

ctos, 26 & cibis mollibus utatur.

XXXII. Si puerperæ uteri in coxam incubuerint, aut ad lateris mollitudinem, 2 ad alteram coxam oleum ægyptium album, aut rosaceum apponito. 3 Sed & in sanam coxam decumbere melius est. 4 Bibat autem pæoniæ grana nigra quinque, & sambuci fructus in tedis conchæ testam majorem, & castorium magnitudine fabæ. 5 Et cibis utatur mollibus. 6 Convenerit autem mercurialis ante cibum, cocta velut brassica. 7 Sorbeat autem & ipsam decocti aquam: 8 & acria comedat, exceptis raphano & cepis ac nasturtio. 9 Optima est & lactuca.

XXXIII. Quot vero morbos ex uteris fieri contingit? Dico autem quum uteri ex loco moti fuerint, alio alias allabuntur. 2 Ad quemcunque vero locum allapsi fuerint, dolores ingentes incumbunt. 3 Et si quis vesicam contingat, dolorem exhibent: 4 & urinam non suscipiunt, 5 neque genituram in sceipsos trahunt: 6 & ambo dolent: 7 & si non celeres solutiones fiant, uteri postea suppurantur juxta eosdem locos, si ad ipsos decurrerint. 8 Contingit autem hoc & in laterum mollitudine, & in inguinibus, & super pectine. 9 Cæterum in principiis quum dolor habuerit, sic curare oportet, 10 & tepefactoria adhibere, & in aqua calida sedere: bonum enim & hoc est: 11 aut spongiis ex calida aqua expressis fovere: 12 & pharmaca uteris commoda bibere. 13 Si vero ad hæc non solvatur, pharmaco sursum aut deorsum purgare, utro tandem opus fuerit: 14 cognosces autem id hoc modo. 15 Si enim ad inguina,

βυβῶνας καὶ κτένα καὶ κύστιν ἐγχρίμψη, αὗται χρήσονται ἄνω φαρμακείης. 16 ἢν δὲ ἐς τοὺς κενεῶνάς τε καὶ τὰ ὑποχόνδρια, αὗται δέονται κάτω τε ἐλκτοῦ φαρμάκου. 17 τὰ δὲ νοσήματα πάντα τὰ τοιουτότροπα γεραιτέρῃσι μᾶλλον γίνεται, ἢ νεωτέρῃσι, πρὸς τὰς ἀπολήψιας τῶν ἐπιμηνίων. 18 γίνεται δὲ καὶ νέῃσιν ἐούσῃσιν, ὁκόταν χηρεύωσι πουλὺν χρόνον.

19 Ἢν δὲ ἐς τὴν ἕδρην τράπωνται, τὰ ὑποχωρήματα κωλύουσι, 20 καὶ ὀδύναι ἴσχουσι τὴν ὀσφὺν, καὶ τὴν νειαίρην γαστέρα, καὶ τὸν ἀρχόν. 21 ὅταν ὧδε ἔχῃ, λούειν χρὴ μὲν τῷ θερμῷ, καὶ πυριῆν τὴν ὀσφύν. 22 καὶ ὑποθυμιῆν τὰ κακώδεα. 23 καὶ προστιθέναι ὅσα καθαίρει τε καὶ ἐλαύνει τὰς ὑστέρας. 24 καὶ πιπίσκειν ὅ, τι ἂν προσδέχηται τῶν ξυμφερόντων μάλιστα.

XXXIV. Ἢν δὲ κατακέωνται ἐς τοὺς βουβῶνάς τε καὶ οὐρητῆρας, 2 ὀδύναι γίνονται ἰσχυραὶ καὶ νάρκη ἐν τοῖσι σκέλεσι, 3 καὶ ὁ οὐρητὴρ ἀποφράσσεται, καὶ τὸ οὖρον οὐ μεθίησι. 4 θεραπεύειν δὲ χρὴ ὧδε. 5 πρὸς μὲν τὰς ῥῖνας προστιθέναι τὰ εὐώδεα καὶ μύρα, πρὸς δὲ τὰς ὑστέρας τὰ δυσώδεα θυμιῆν. 6 ἅπασα δὲ πρόφασις ἱκανὴ τὰς ὑστέρας παροτρῦναι, ἢν ἔχωσί τι φλαῦρον. 7 καὶ γὰρ ἀπὸ ῥίγεος τῶν ποδῶν καὶ ὀσφύος, 8 καὶ ἀπὸ τοῦ ὀρχεῖσθαι, 9 καὶ πτήσσειν, 10 καὶ κεάσαι, 11 καὶ δραμεῖν πρὸς ἄναντες χωρίον, καὶ πρὸς κάταντες, 12 καὶ ἀπ' ἄλλων ἱκανῶν. 13 ταῦτ' οὖν χρὴ σκέπτεσθαι, ἐς ὅλον τὸ σῶμα καθορέοντα, ὅταν παρεόντα λυπῇ νοσήματα. 14 τὰ γὰρ τοιάδε πάντα ἀνάγκη ἐπὶ τῷ πλέονι ἢ τῷ ἐλάσσονι νοῦσον ποιέειν. 15 καὶ, ἐπειδὰν ἐκλάμ-

guina, & pectinem, & vesicam irruerint, hæ purgatione sursum opus habent. 16 Si vero ad laterum mollitudinem, & præcordia, hæ pharmaco deorsum purgante indigent. 17 At vero hujuscemodi morbi omnes senioribus magis quam junioribus fiunt, ad menses suppressos: 18 fiunt etiam juvenculis, ubi multo tempore viduæ manserint.

19 Si vero ad sedem convertantur uteri, secessus recrementa impediuntur, 20 & ʹ dolores occupant lumbos, & imum ventrem, & intestinum rectum ac podicem. 21 Quum sic habuerit, calida ipsam lavare oportet, 22 & lumbis fomentum adhibere, & postea graveolentia subter suffire, 23 & apponere quæ purgant & impellunt uteros: 24 & bibenda dare quæcunque libenter admiserit ex maxime conferentibus.

XXXIV. Si vero incumbant in inguina, & urinæ meatus, 2 dolores fiunt fortes, & torpor in cruribus: 3 & ʹ urinæ meatus obturatur, & urinam non emittit. 4 Curare vero oportet hoc modo. 5 Ad nares quidem odorata apponito, & unguenta. Ad uteros vero graveolentia suffito. 6 Porro omnis occasio uteros propellere potest, si quid mali habeant. 7 Nam & à frigore pedum ac lumborum, 8 & à saltatione, 9 & terrore, 10 & lignorum sectione, 11 & cursu ad acclivem ac declivem locum, 12 & ab aliis multis propelluntur. 13 Proinde hæc ʹ considerare oportet, ad totum corpus respectu habito, quum præsentes morbi affuerint. 14 Propter talia enim omnia necesse est plus aut minus ægrotare: 15 & postquam hæc relu-

ἐκλάμψῃ, μάλιστα ταύτῃ τὰ ἐξαπιναῖα δῆλα τῶν νοσημάτων. 16 ὁκόταν οὖν ταῦτα λυθῇ, ἀνωτέρω χρὴ λαμβάνεσθαι ἐκ τοῦ παντὸς ἀνθρώπου. 17 ὁκόσαι ἀποψύξιες σκελέων ἢ ναρκώσιες ψύξει γίνονται, καὶ ἐν τοῖσιν ὑστερικοῖσι, ταῦτα πάντα μετεωρίζουσι τὰς ὑστέρας. 18 ἐν τοῖσι τοιουτέοισι καταχέειν χρὴ θερμὸν ὕδωρ κατὰ τὰς ὑστέρας καὶ τῶν πέριξ χωρίων, καὶ ἐκθερμαίνειν αὐτὰς, καὶ τὰ σκέλεα, ὅταν προσπεπλακυῖαι ἔωσιν.

XXXV. Ἢν περιστραφῶσιν αἱ μῆτραι ἐκ τοῦ τόκου κατὰ τὰ δεξιὰ, 2 τά τε λοχεῖα οὐ γίνονται, 3 καὶ ὀδύνη ἔχει τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας, καὶ τοὺς κενεῶνας. 4 καὶ τὸ δεξιὸν σκέλος βαρύνεται, καὶ νάρκην ἔχει. 5 καὶ εἰ μὴ τετραμμένη, οὐκ ἂν δύναιτο τοῦ στομάχου θιγεῖν τῶν μητρέων, ἀλλ' ὄψει λείας τε καὶ ὁμαλὰς ἰσχυρῶς. 6 ὅταν δὲ ὧδε ἔχῃ, φάρμακον πίσαι, ὑφ' οὗ καθαίρεται καὶ ἄνω καὶ κάτω· κάτω δὲ μᾶλλον. 7 καὶ πυριῆν ὅλον τὸ σῶμα, καὶ τὰς ὑστέρας μάλιστα, προσηνῶς. 8 καὶ λούειν τῷ θερμῷ, δὶς τῆς ἡμέρης. 9 καὶ τῶν ποτημάτων [διδόναι] ὅ, τι μάλιστα ἂν προσδέξηται πειρεόμενος. 10 καὶ τῷ ἀνδρὶ ξυνευδέτω θαμινά. 11 καὶ τὴν κράμβην ἐσθιέτω.

12 Ἢν αἱ ὑστέραι κατὰ τὰ ἀριστερὰ κλιθῶσιν, ἢ τὸ ἰσχίον, 13 ὀδύνη ἴσχει ὀξέη τε καὶ ἀπερχνὴ τάς τε ἰξύας καὶ τοὺς κενεῶνας καὶ τὸ σκέλος, καὶ ἐπισκάζει. 14 ὅταν οὕτως ἔχῃ, φάρμακον χρὴ πίσαι ἐλατήριον. 15 τῇ δὲ ὑστεραίῃ ὑποθυμιῆν. 16 τῶν δὲ κριθέων χοίνικας δύο, καὶ ἐλαίης φύλλα κατακόψαι σμικρὰ, καὶ κηκῖδα κατακόψαι καὶ κατασῆσαι, καὶ ὑοσκυάμου τρίτον χοίνικος.

reluxerint, maxime hac parte repentini morbi manifesti fiunt. 16 Quum igitur hæc advenerint, penitius ex toto homine deprehendere oportet. 17 Nam quæcunque perfrigerationes crurum, aut stupefactiones ex frigore fiunt, hæ omnes etiam in uterorum morbis uteros elevant. 18 In talibus itaque aquam calidam affundere oportet uteris & circumsitis locis: & ipsos ac crura excalefacere, quum allapsi fuerint.

XXXV. Si circumversi fuerint uteri ex partu ad dextram partem, 2 & puerperii purgamenta non fiant, 3 & dolor imum ventrem habet, & lumbos, & laterum mollitudinem: 4 & dextrum crus gravatur, & torpor occupat, 5 & non tremit, & osculum uterorum contingere non potest, sed ipsos leves ac fortiter planos deprehendet. 6 Quum sic habuerit, pharmacum bibendum dato, à quo sursum ac deorsum purgetur, magis vero deorsum: 7 & totum corpus foveto, & præsertim uteros leniter: 8 & calida bis in die lavato: 9 & ex potibus quemcunque libenter admiserit, experimento facto præbeto: 10 & viro frequenter condormiat: 11 & brassicam edat.

12 Si uteri ad sinistram partem, aut coxam declinaverint, 13 dolor acutus ac vehemens habet lumbos, & laterum mollitudines ac ipsum crus: & claudicat. 14 Quum sic habuerit, pharmacum infra purgans bibendum dare oportet, 15 & postera die suffire hoc modo. 16 Hordei chœnices duas, & oleæ folia parum confringito, & gallam contundito ac cribrato, & hyoscyami tertiam chœnicis partem.

κος. 17 ταῦτα μίξας καὶ ἐλαίου περιποιήσας ὅσον ἡμικοτύλιον ἐν χύτρῃ καινῇ, ὑποθυμία τέσσαρας ἡμέρας. 18 τὰς δὲ νύκτας γάλα βοὸς καὶ μέλι καὶ ὕδωρ πινέτω. 19 καὶ τῷ θερμῷ λουέσθω.

XXXVI. Ἢν παραλοξαίνωνται αἱ μῆτραι, καὶ δοχμοὶ ἔωσι, καὶ τὸ στόμα αὐτέων, 2 τὰ ἐπιμήνια αὐτῇ τὰ μὲν κρύπτεται, τὰ δὲ προφανέντα οἴχονται, καὶ οὐχ ὅμοια γίνονται, ἀλλὰ πονηρότερα καὶ ἐλάσσονα ἢ πρὸ τοῦ. 3 καὶ ἡ γονὴ οὐκ ἐγγίνεται τούτου τοῦ χρόνου, 4 καὶ ὀδύνη ἴσχει τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας, καὶ τὸ ἰσχίον, καὶ ἐφέλκεται αὐτό. 5 ὅταν οὕτως ἔχῃ, φάρμακον χρὴ πίνειν, καὶ λούειν θερμῷ, καὶ πυριῆν. 6 ὁκόταν δὲ νεοπυρίητος ἢ καὶ νεόλουτος, τῷ δακτύλῳ παραφάσσουσα ἀπορθούτω καὶ παραιθυνέτω τὸ στόμα τῶν μητρέων. 7 καὶ ὑποθυμιήσθω τὰ εὐώδεα. 8 καὶ τῶν ποτημάτων διδοῦ, ὅ, τι ἂν μάλιστα προσδέξηται πειρώμενος. 9 σιτίοισι δὲ χρήσθω μαλθακοῖσι. 10 καὶ σκόροδα ἐσθιέτω, καὶ ὠμὰ καὶ ἑφθά. 11 καὶ τῷ ἀνδρὶ ξυνευδέτω. 12 καὶ ἐπὶ τὸ ὑγιὲς ἰσχίον κατακείσθω· 13 ἐπὶ θάτερον καὶ πυριήσθω. 14 ἡ δὲ νοῦσος δυσαπάλλακτος.

XXXVII. Ἢν δὲ ἀγχοτάτω ἔωσιν, ἐμέειν θαμινά. 2 τὰς δὲ ὑστέρας πυριῆσαι τοῖσι δυσώδεσι, μέχρις ἂν ἐς χώρην ἱδρυνθῶσιν. 3 διαίτῃσι δὲ χρήσθω μὴ λαπακτικῇσιν.

4 Ἢν αἱ μῆτραι προέωσιν ἐξωτέρω τῆς φύσιος, 5 πυρετὸς ἴσχει τὸ αἰδοῖον καὶ τὴν νειαίρην γαστέρα. 6 καὶ τὸ οὖρον στάζει θαμινὰ καὶ κατ' ὀλίγον, καὶ δάκνει σφοδρῶς τὸ αἰδοῖον. 7 πάσχει δὲ, ἢν ἐκ τόκου ἐοῦσα τῷ ἀνδρὶ ξυνευνάζηται. 8 ὅταν δὲ οὕτως ἔχῃ, μύρ-

partem. 17 Hæc mixta & olei hemina dimidia subacta in olla nova, per dies quatuor suffito. 18 Nocte vero lac bubulum, & mel, & aquam bibat: 19 & calida lavetur.

XXXVI. Si uteri transversim situm habeant, & obliqui fuerint, itemque os ipsorum, 2 menses ipsi partim occultantur, partim prius conspicui evanescunt: & non similes fiunt, sed deteriores & pauciores quam antea: 3 & genitura non fit hoc tempore: 4 & dolor habet imum ventrem, & lumbos, & coxam, & ipsa attrahitur. 5 Quum sic habuerit, pharmacum infra purgans bibendum dare oportet: & calida lavare, ac fovere. 6 Ubi vero recens fota & lota fuerit, digito immisso os uterorum corrigat ac dirigat: 7 & odoratorum suffitum admittat: 8 & ex potibus dato juxta experimentum, quem libenter susceperit. 9 Cibis autem utatur mollibus, 10 & allia edat cruda ac cocta: 11 & cum viro dormiat: 12 & in sanam coxam decumbat. 13 Alteri vero fomentum adhibeat. 14 Morbus autem hic ægre cedit.

XXXVII. Si vero propinquissimi fuerint uteri, frequenter vomat. 2 Uteros autem graveolentibus suffiat, donec in locum suum firmati fuerint. 3 Diæta vero ventrem non emolliente utatur.

4 Si uteri extra naturam progressi fuerint, 5 febrilis calor habet pudendum & imum ventrem: 6 & urina frequenter ac paulatim destillat: & pudendum vehementer mordetur. 7 Patitur autem hæc, si recens ex partu viro condormierit. 8 Quum igitur sic habuerit, myrti bac-

 cas,

μύρξα καὶ λωτοῦ ξύσματα ἑψῆσαι ἐν ὕδατι, καὶ θεῖναι τὸ ὕδωρ ἐς τὴν αἰθρίην. [9] προσσημαίνειν δὲ ὧδε, ὡς ψυχρότατον ᾖ, [10] τὸ λοιπὸν δὲ τρίβων λείως προσπλάσσειν. [11] ἔπειτα πίνουσα ὕδωρ φακῶν ξὺν μέλιτι καὶ ὄξει, ἐμείτω ἐς τ' ἂν αἱ ὑστέραι ἀνελκυσθῶσι. [12] καὶ τὴν κλισίην ἀνακῶς χρὴ ποιέειν τὰ ἀπὸ τῶν ποδῶν. [13] καὶ τὸ αἰδοῖον ὑποθυμιῆν τὰ κακώδεα, τὰς δέ γε ῥῖνας τὰ εὐώδεα. [14] σιτίοισι δὲ χρήσθω ὡς μαλθακωτάτοισι καὶ ψυχροῖσι. [15] καὶ τὸν οἶνον ὑδαρέα λευκὸν πινέτω. [16] καὶ μὴ λουέσθω, μηδὲ τῷ ἀνδρὶ ξυνερχέσθω.

XXXVIII. Ἢν παντάπασιν ἐκ τοῦ αἰδοίου ἐκπίπτωσιν αἱ μῆτραι, [2] ἐκκρέμανται οἷον ὄσχη. [3] καὶ ὀδύνη λάζεται ἐς τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας, καὶ τοὺς βουβῶνας. [4] καὶ ὁκόταν ἐπιγένηται χρόνος, οὐκ ἐθέλουσιν ἐς τὴν ἑωυτῶν χώρην ἰέναι. [5] ἡ δὲ νοῦσος λαμβάνει, ὁκόταν ἐκ τόκου ἐοῦσα πονήσῃ, [6] ἢ ταλαιπωρήσῃ, ὥστε ψαύειν τὰς ὑστέρας, [7] ἢ τῷ ἀνδρὶ ξυνίῃ ἐν τῇ λοχίῃ καθάρσει. [8] ὅταν ὧδε ἔχῃ, ψύγματα χρὴ προστιθέναι παρηγορικὰ πρὸς τὸ αἰδοῖον. [9] καὶ τὸ ἔξω ἐὸν ἀποκαθήρας, σιδίῳ ἐν οἴνῳ μέλανι ἑψήσας, τούτῳ περιπλύνειν, καὶ ἔσω ἀπωθέειν. [10] ἔπειτα καὶ μέλι καὶ ῥητίνην ξυντῆξαι ἴσον ἑκατέρου, καὶ ἐγχέειν ἐς τὸ αἰδοῖον. [11] καὶ κατακείσθω ὑπτίη, ἄνω τοὺς πόδας ἔχουσα ἐκτεταμένους. [12] καὶ ἔπειτα σπόγγους προσθεῖσα ἀναδῆσαι ἐκ τῶν ἰξύων. [13] ἐς τ' ἂν δ' οὕτως ἔχῃ, σιτίων μὲν ἀπεχέσθω, ποτῷ δὲ ὡς ἐλαχίστῳ χρήσθω, μέχρις ἂν ἑπτὰ ἡμέραι παρέλθωσι. [14] καὶ, ἢν μὲν οὕτως ἐθέλωσιν ἐνακούειν καὶ ἀπιέναι, ἅλις ἔστω. [15] ἢν δὲ μὴ, περιξέσας τὰ λέγνα τῆς ὑστέρης, καὶ ἀμφιπλύνας, χρίσαι

cas, & loti ramenta in aqua coquito, & aquam per noctem sub dio exponito, [9] atque sic frigidissimam pudendo affundito, [10] & leviter trita hæc apponito. [11] Postea aquam lentium cum melle & aceto bibens vomat, donec uteri fuerint retracti. [12] Sed & lectum à pedibus altiorem facere oportet: [13] & pudendum graveolentibus suffire, nares autem odoratis. [14] Cibis vero utatur mollissimis ac frigidis: [15] & vinum aquosum album bibat: [16] & ne lavetur, neque cum viro coeat.

XXXVII. Si penitus ex pudendo exciderint uteri, [2] dependent velut scrotum: [3] & dolor corripit imum ventrem, & lumbos, & inguina: [4] & quum tempus processerit, non volunt in suum locum redire. [5] Morbus autem hic corripit, quum recens ex partu laborarit, [6] aut fatigata fuerit, ut uteros contactu læserit, [7] aut cum viro coiverit in puerperiorum purgatione. [8] Quum sic habuerit, frigefactoria mitigantia apponere oportet ad pudendum: [9] & quod extra propendet depurgatum, malo punico in vino nigro cocto abluere, & intro protrudere: [10] deinde mel & resinam pari utriusque portione colliquare, & in pudendum infundere. [11] Et decumbat super pedes sursum extentos habens. [12] Postea spongias apponat, & ad lumbos deliget. [13] Quandiu vero sic habuerit, à cibis quidem abstineat, potu vero parcissime utatur, donec septem præterierint dies: [14] & siquidem sic obedire voluerint & redire, satis fit. [15] Sin minus, summas uteri oras derasas & ablutas,

χρίσαι τῇ πισσηρῇ. [16] ἔπειτα πρὸς κλίμακα δῆσαι τοὺς πόδας, τὴν δὲ κεφαλὴν κάτω ἔχειν, καὶ τῇ χειρὶ ἔσω ἀπωθέειν. [17] ἔπειτα λούειν, καὶ ξυνδῆσαι αὐτῆς τὰ σκέλεα ἐναλλὰξ, καὶ ἐᾶν νύκτα καὶ ἡμέρην οὕτως. [18] καὶ διδόναι ὀλίγον χυλὸν πτισάνης ψυχρόν· ἄλλο δὲ μηδέν. [19] τῇ δὲ δ' ὑστεραίῃ κατακλίνας ἐπὶ τὸ ἰσχίον, σικύην προσβάλλειν ὡς μεγίστην, καὶ ἐᾶν ἕλκειν πουλὺν χρόνον. [20] καὶ ἐπὴν ' ἀφέλῃς, '' μὴ ἀποσχάσῃς, ἀλλὰ κατακλίνας ἔα. [21] καὶ μὴ προσφέρε μηδὲν, ἀλλ' ἢ τὸν χυλὸν, ἕως ἂν ἑπτὰ ἡμέραι παρέλθωσιν. [22] ἢν δὲ δίψα ἔχῃ, ὕδωρ ἐλάχιστον πινέτω. [23] ἐπὴν δὲ αἱ ἑπτὰ ἡμέραι παρέλθωσι, σιτίοισιν ὡς μαλθακωτάτοισι καὶ ἐλαχίστοισι χρεέσθω. [24] ὁκόταν δὲ ἀποπατῆσαι θέλῃ, ἀνακειμένη ἀποπατείτω, ἕως ἂν τεσσαρεσκαίδεκα ἡμέραι γένωνται. [25] ἔπειτα κλυζέσθω χλιηροῖσι πυρίῃσιν· ἄμεινον δὲ θερμῷ, ὡς ἐξ ἡλίου. [26] καὶ περιπατείτω ὡς ἐλάχιστα, καὶ μὴ λουέσθω. [27] ' κοιλίην δὲ μὴ λύσῃς. [28] σιτίοισι δὲ ὀλιγίστοισι χρεέσθω, μήτε δριμέσι, μήτε ἁλμυροῖσι. [29] καὶ θυμιήσθω τὸ αἰδοῖον τοῖσι κακώδεσι. [30] καὶ ἐπειδὰν ἄρξηται περιπατεῖν, '' τὴν σφενδόνην φορείτω.

XXXIX. Ἢν δὲ ἔξω τοῦ αἰδοίου τὸ στόμα τῶν μητρέων ἐκπέσῃ, [2] εἶχ' τοῦ αὐχένος τῶν μητρέων πλησίον τοῦ αἰδοίου κειμένου καὶ εὐρέος ἐόντος. [3] γίνεται δὲ τοῦτο μᾶλλον τῇσιν ἀτόκοισι. [4] μάλιστα δὲ γίνεται ἐκ ταλαιπωρίης. [5] ἐπὴν ταλαιπωρήσῃ ἡ γυνὴ, καὶ αἱ μῆτραι θερμανθῶσι, ' καὶ ἱδρώσωσιν· [6] ἐκτρέπεται τὸ στόμα αὐτέων διὰ τοῦ αὐχένος, ἅτε ἐν τῷ ὑγροτέρῳ καὶ ὀλισθηροτέρῳ καὶ θερμοτέρῳ χωρίῳ γενόμενον, ἢ ἐν τῷ πρὶν χρόνῳ. [7] καὶ

lutas, picato cerato illinito. [16] Deinde pedes ad scalam deligato, ut caput deorsum pendeat, & manu intro detrudito. [17] Postea lavato, & crura ipsius vicissim ' colligato, atque sic per noctem ac diem sinito: [18] & modicum ptisanæ succum frigidum dato, aliud autem nihil. [19] Postera vero die reclinato, & cucurbitam quam maximam ad coxam affigito, & multo tempore trahere sinito: [20] & ubi ipsam detraxeris ne scarificato. sed reclinatam sinito, [21] & nihil præter succum ptisanæ exhibeto, donec septem præterierint dies. [22] Si vero sitis vexet, modicum aquæ bibat. [23] Quum ' autem septem transierint dies, cibis mollissimis ac paucissimis utatur. [24] Ubi vero ventrem exonerare voluerit, decumbens id faciat, donec quatuordecim prætereant dies: [25] deinde tepidis fomentis colluatur: melius autem est calida velut ex sole: [26] & quam parcissime deambulet, & ne lavetur. [27] Ventrem autem ne solveris. [28] Cibis vero paucissimis utatur, neque acribus, neque salsis: [29] & pudendum graveolentibus suffiatur: [30] & ' postquam obambulare inceperit, subligar gestet.

XXXIX. Si vero extra pudendum os uterorum exciderit, [2] utpote cervice uterorum prope pudendum sita, & ampla existente: ([3] fit autem hoc magis sterilibus, [4] contingitque maxime ex fatigatione, [5] quum mulier laborarit, & uteri calefacti fuerint ac exudarint:) [6] tunc evertitur os ipsorum per cervicem, ut quod in humidiore ac lubriciore & calidiore sit loco, quam in priori tempore: [7] ' & ubi

καὶ, ἐπὴν τοῦτο γένηται, ἰθύνουσιν ἔξω πρὸς τὸ ψῦχος, καὶ σφέων τὸ στόμα ἔρχεται ἐκτραπέν. 8 ἢν μὲν ἐν τάχει θεραπευθῇ, ὑγιὴς γίνεται· 9 ἄφορος δὲ πάντως καταλιμπάνεται. 10 ἢν δὲ μὴ ἐν τάχει, ἔξω αἰεὶ ἔσται σκληρὸν τὸ στόμα, 11 καὶ ῥεύσεται αὐτόθεν ἰχὼρ ἄλλοτε καὶ ἄλλοτε γλίσχρος καὶ 30 κάκοδμος. 12 καὶ, ἢν τὰ ἐπιμήνια χωρήσῃ, ἢν ἔτι ἐν τῇ ἡλικίῃ ᾖ, ἐν εὐνῇ εἶναι. 13 χρόνου δὲ γενομένου, ἡ τοιήδε νοῦσος ἀνίητος γίνεται, 14 καὶ ξυγκαταγηράσκουσιν ἔξω τὰς μήτρας ἔχουσαι.

XL. Ἢν δὲ αἱ μῆτραι ἐξίσχωσι, 150 2 περινίψας αὐτὰς ὕδατι χλιερῷ, καὶ ἀλείψας ἐλαίῳ καὶ οἴνῳ, πάλιν ἐνθεῖναι καὶ ἀναδῆσαι 3 καὶ ὑποθυμιῆν τὰ κακώδεα, ὑπὸ δὲ τὰς ῥῖνας τὰ εὐώδεα. 4 ἢν δὲ πλείονα χρόνον αἱ ὑστέραι ἐξίσχωσι καὶ περιψύχωνται ναρκωδέως, καταχέειν ὕδωρ θερμὸν πο- 35 λὺ, 151 ὅκως διαπυρωθῶσιν. 5 ἢν 152 δὲ ἤδη φυσέωνται, καὶ ὄξος μίσγοντες ξὺν ὕδατι πυριῆν, ἢ δάφνης, ἢ μυρσίνης, 6 καὶ ἠρέμα προωθεῖν, καὶ κηρωτῇ [ἢ] μύρῳ χρίειν, ἢν ἐσαχθῇ· 7 ἢν δὲ μὴ, περικλύσαι τῷ ὕδατι, καὶ ὄξος ὀλίγον χλιήνας καταχέαι, 153 εἶτα ἀλεῖψαι. 8 ὁπόταν δὲ ξυγκαθέζωσι, περινίψας, ὡς λέλεκται, ἐνθεῖναι, καὶ τἄλλα ποιέειν τὰ προειρημένα. 9 ἔλαιον δὲ μὴ προσφέρειν, μηδ' ἄλλό τι πῖον, μηδὲ λίπος ἔχον.

10 154 Ἢν ὑποπτυχθῇ τι τῶν στομάτων τῆς ὑστέρης, 11 τὰ ἐπιμήνια 40 οὐ γίνονται, ἢ ὀλίγα καὶ πονηρὰ καὶ ἀλγεινά. 12 καὶ, ὁκόταν τῷ ἀνδρὶ ξυνεύδῃ, ἀλγέει. 13 καὶ, ὅ, τι ἂν ὁ ἀνὴρ μεθίῃ ἐκ συνουσίης, ἔξεισι, καὶ οὐ θέλει ψαύεσθαι, οὐδ' ἑλκύει τὴν γονήν. 14 καὶ ὀδύνην ἴσχει τὴν κατα-

ρὴν

ubi hoc contigerit, procedunt uteri foras ad frigus, & osculum ipsorum eversum prodit. 8 Et siquidem brevi curata fuerit, sana fit: 9 verum sterilis penitus relinquitur. 10 Si vero non brevi, osculum durum semper ipsi extra erit, 11 & fluet illic alias atque alias saniosus humor viscosus ac graveolens. 12 Et si menses prodierint, si adhuc ejus ætatis fuerit, in lecto decumbet. 13 Temporis autem progressu hujusmodi ' morbus incurabilis fit, 155 14 & consenescunt uteros foris habentes.

XL. Si vero uteri extra prominuerint, 2 ablutos ipsos aqua tepida, oleoque ac vino illitos rursus indito ac deligato, 3 & graveolentia subter suffito: sub nares autem odorata. 4 Si vero multo tempore uteri promineant, & stupide perfrigerentur, multam calidam aquam affundito, quo refocillentur. 5 Si vero jam inflentur, etiam aceto ad aquam ' ammixto foveto. Sit- 160 que hæc aqua aut lauri aut myrti decoctum, 6 & leniter protrudito, & cerato unguento illinito: & si paruerint, satis est. 7 Si minus, cum aqua abluito, & aceto modico tepefacto perfundito: deinde illinito. 8 Ubi vero consederint, ablutos velut dictum est indito, & alia prædicta facito. 9 Oleum vero ne adhibeto, neque aliud pingue, aut pinguetudinem habens.

10 Si quid ex ' osculis uteri 165 complicatum fuerit, 11 menses non fiunt, aut pauci aut pravi ac dolorifici: 12 & quum viro condormierit, dolet: 13 & quicquid vir immiserit ex coitu exit, & contingi non vult, neque attrahit genituram. 14 Et dolor habet

τὴν γαστέρα, καὶ τὰς ἰξύας. [15] καὶ τὸ στόμα τῶν ὑστερέων οὐ δῆλον ψηλαφῶσι. [16] ὅταν τοίνυν ὧδε ἔχῃ, πυριῆσαι οὔρῳ παλαιῷ. [17] ἔπειτα ἐμεσάτω τῷ φακίῳ, ξυμμίξασα μέλι καὶ ὄξος. [18] ἔπειτα λουέσθω ὕδατι θερμῷ. [19] ἔπειτα ἐγχέασα ἐς φιάλην ἀργυρέην ἢ χαλκείην ἔλαιον λευκὸν αἰγύπτιον καὶ ἅλας, [20] καλυψαμένην δὲ καθίζεσθαι ἀμφὶ τὴν φιάλην. [21] καὶ ἢν μὲν ἡ ὀδμὴ αὐτῇ διὰ τοῦ στόματος ἔλθῃ, φάναι αὐτὴν τέξεσθαι, καὶ τῇ ὑστεραίῃ ὑγιῆ γενέσθαι. [22] ἢν δὲ [μὴ] ἴῃ ὀδμὴ, θαρσύνειν. [23] καὶ ἐπὴν μέλλῃ εὕδειν, προστιθέσθω τὸ αἰγύπτιον ἔλαιον ἐν εἰρίῳ. [24] τῇ δὲ ὑστεραίῃ σκεψάσθω, ἢν τι μᾶλλον καὶ ἰθὺ εἴη τὸ στόμα τῶν ὑστερέων, [25] καὶ ἢν φῇ εἶναι, πυριῆσαι εὐώδεσιν ἡμέρας τρεῖς, καὶ προστιθέναι προσθέτα ὁποῖα μὴ ἀναδήξηται. [26] καθαίρειν δὲ καὶ μετακλύζειν εὐώδεσι καὶ μαλθακοῖσιν, ἴσας ἡμέρας τῇσι πρόσθεν. [27] ἐπὴν δὲ τὰ ἐπιμήνια γένηται, νηστεύουσα, [28] καὶ ἀλουτήσουσα παρὰ τὸν ἄνδρα ἴτω, θυμιησαμένη τοῖσιν ἀρώμασιν. [29] ἄτοκοι δὲ πολλαὶ καὶ ἐκ ταύτης τῆς νούσου γίνονται, ἢν μὴ μελεδανθῇ.

XLI. Ἢν ἑλκωθῶσιν αἱ μῆτραι καὶ πρόσω χωρήσωσιν, [2] ἔξω πίτω ἐλαίῳ χερσὶν λίπα τὰς χεῖρας ἐντιθέναι. [3] καὶ δίδου καταπότια σμύρνης ἀκρήτου τρεῖς καταπιεῖν [οἷον] πυρῆνας. [4] καὶ πινέτω δάφνην χλωρὴν τετριμμένην, οἴνῳ διείς. [5] καὶ ὑγιὴς οὕτω γίνεται.

[6] Ἢν ἔξυρα ᾖ τὰ αἰδοῖα, προσθετὸν τιθέ. ἀννήσου καρπὸν καὶ σελίνου τρίψας λεῖα, πρόσθες πρὸς τὰ αἰδοῖα.

[7] Ἢν μὴ κατὰ χώρην μένωσιν, ἀλλ' ὁτὲ μὲν ἔνθα, ὁτὲ δὲ ἔνθα ἴωσιν,

bet imum ventrem ac lumbos, [15] & os uterorum ad contactum non comparet. [16] Quum igitur sic habuerit, urina uteri foveto: [17] deinde vomat à lentis decocto, melle & aceto ammixto. [18] Postea aqua calida lavetur. [19] Deinde oleo albo ægyptio in phialam argenteam aut æneam infuso, & sale addito [20] contecta phialæ insideat. [21] Et siquidem odor olei per os ipsi penetrarit, ipsam parituram esse, & postera die sanam fore pronuncia, [22] ac confidere jube: [23] & ubi dormire volet, oleum ægyptium in lana apponat. [24] Postridie vero consideret an os uterorum magis sit directum: [25] & si esse dixerit, per triduum odoratis foveto, & subdititia quæ non mordeant apponito, [26] purgatoque, & cum odoratis ac mollibus postea colluito, totidem diebus velut prius. [27] Quum autem menses prodierint, jejuna, [28] & illota, aromatis suffita, ad virum accedat. [29] Pleræque vero ex hoc morbo steriles fiunt, si non curatus fuerit.

XLI. Si ulcerati fuerint uteri, & extreme foras processerint, [2] oleo illitis manibus indito: [3] & myrrhæ puræ pilulas tres devorandas præbe: [4] & laurum viridem tritam bibat vino dilutam: [5] & sic sana fiet.

[6] Si in arctum contracta fuerint pudenda, subdititium apponito. Anisi videlicet semen & apii tritum pudendis subdito.

[7] Si uteri non in loco manserint, sed modo huc, modo illuc transie-

ὡς ὀδύνας παρέχειν· αἱ δ' ἀφανέες γίνονται. 8 ποτὲ δὲ ἐξίασιν ὡς ἕδρη, καὶ ὁκόταν μὲν ὑπτίη ᾖ, κατὰ χώρην μένουσιν, 9 ὁκόταν δὲ ἀναστῇ, ἢ ἐξ ὕπνου ἐγέρηται, ἢ ἐπικύψῃ, ἢ ἄλλο τι ποιήσῃ κίνημα, ἐξέρχονται· 10 πολλάκις δὲ καὶ ἡσυχίαν ἐχούσῃ. 11 ταύτην χρὴ ὡς μάλιστα ἠρεμέειν τε καὶ ἀτρεμέειν, καὶ μὴ κινέεσθαι, 12 καὶ τὸν κλισμὸν κεῖσθαι πρὸς ποδῶν ὑψηλότερον· 13 καὶ τοῖσιν ἐμέτοισι χρέεσθαι. 14 χρὴ γὰρ ἀνελκύσαι ἄνω αὐτάς. 15 καὶ τοῖσι δὲ στρυφνοῖσιν ἀποκλύζειν, 16 καὶ ὑποθυμιῆν τὰ κακώδεα, ὑπὸ δὲ τὰς ῥῖνας τὰ εὐώδεα. 17 καὶ τῶν ῥοιῶν διὰ τοῦ ὀμφαλοῦ τετρήσαντα μέσου, ἐν οἴνῳ χλιήναντα, ἥτις ἂν ἁρμόζῃ μάλιστα, ἢν μή τι κωλύῃ, προσθεῖναι ὡς ἐσωτάτω. 18 εἶτ' ἀναδῆσαι ταινίην πλατείην καὶ ἀναλαβεῖν, ὡς μὴ ὀλισθάνοι, ἀλλὰ μένοι· 19 καὶ ποιέειν τὸ δέον. 20 καὶ τοῦ πεπλίου ξὺν τυρῷ καὶ τοῖσιν ἀλφίτοισι πιπίσκειν, καθάπερ ἐν τῇ προπτώσει γέγραπται. 21 καὶ τῶν πομάτων πειρώμενος, ὅ,τι ἂν μάλιστα προσδέχηται, πιπίσκειν. 22 σιτίοισι δὲ ὡς μαλθακωτάτοισι χρήσθω. 23 καὶ μετὰ τοῦ ἀνδρὸς μὴ ξυνευδέτω, ἄχρις οὗ κατὰ χώρην οἱ εἴη.

XLII. Ἢν αἱ μῆτραι ἐκπέσωσι, 2 κισσὸν ὡς ξηρότατον τρίψας λεῖον, ἐνδήσας τε ἐς ὀθόνιον, προστιθέναι. 3 καὶ λιπαρὸν προσφέρειν μηδέν. 4 πιεῖν διδόναι πυροὺς προσφάτους, καὶ μήκωνα λευκὴν, καὶ ἐλελίσφακον, καὶ κύπειρον, καὶ ἄννησον· 5 ταῦτα τρίψας λεῖα, διεὶς οἴνῳ, καὶ τῶν κυρηβίων τῶν ἀπὸ τῶν κριθέων, διδόναι δὶς τῆς ἡμέρης, ἐφ' ἑκάτερον ἡμικοτύλιον.

6 Ἢν ἐς τὰ σκέλεα καὶ τοὺς πόδας τράπωνται, γνώσῃ ὧδε. 7 οἱ μεγάλοι

transierint, ut dolores exhibeant, & nunc inconspicui fiant, 8 nunc exeant velut sedes: & quum quidem supina fuerit, in loco maneant, 9 quum vero surrexerit, aut ex somno expergiscatur, aut se inclinaverit, aut alium quendam motum fecerit, exeunt: 10 sæpe vero etiam dum quiescit. 11 Hanc quam maxime quiescere, & non moveri oportet: 12 & lectum à pedibus sternere altiorem, 13 & vomitibus uti. 14 Oportet enim ipsos sursum revellere, 15 & acerbis perfundere, 16 & graveolentia subter suffire: sub nares autem odorata. 17 Et ex malis punicis quodcunque maxime convenerit & nihil impedierit, in medio per umbilicum perforatum, in vino tepefactum quam penitissime subdito: 18 deinde lata fascia deligato ac circumdato, ut ne elabatur, sed maneat, 19 & quod opus est faciat: 20 & de peplo, cum caseo & polenta bibendum dato, quemadmodum supra in allapsu scriptum est: 21 & de potionibus experimento facto, quancunque maxime admiserit, bibendam præbeto. 22 Cibis autem mollissimis utatur, 23 & cum viro ne dormiat, donec ad locum suum redierint.

XLII. Si uteri exciderint, 2 hederam siccissimam tritam, ac linteo illigatum apponito: 3 & nihil pingue adhibeto. 4 In potu autem exhibeto triticum recens, & peplum album, & salviam, & cyperum, & anisum. 5 Hæc trita vino diluta, cum furfuribus hordei bis in die dato, pro vice heminam dimidiam.

6 Si ad crura & pedes uteri convertantur, cognosces sic. 7 Magni pedum digiti convelluntur

χλοι δάκτυλοι τοῖν ποδοῖν αὐτῶν) ὑπὸ τοὺς ὄνυχας. 8 καὶ ὀδύνη ἔχει τὰ 25 σκέλεα καὶ τοὺς μηρούς. 9 καὶ ἔγκειται καὶ θλίβει τὰ ἀμφὶ τὸν μηρὸν νεῦρα. 10 ὅταν οὕτως ἔχῃ, λούειν χρὴ πολλῷ καὶ θερμῷ θαμινά, καὶ πυριῆν, ἢν δύνηται, καὶ ὑποθυμιῆν τὰ κακώδεα. 11 καὶ τοὺς μηροὺς τῷ ῥοδίνῳ ἀλείφεσθαι 167 λίπει. 12 ἢν δὲ ἄναυδος γένηται ἐξαπίνης, τὰ σκέλεα ψυχρὰ εὕροις ἂν, καὶ τὰ γούνατα, καὶ τὰς χεῖρας. 13 καὶ ἢν ψαύσῃς τῆς ὑστέρης, οὐκ ἐν κόσμῳ ἐστί. 14 καὶ ἡ καρδίη πάλλεται, καὶ βρύχει, καὶ ἱδρὼς πουλύς. 15 καὶ τἄλλα, ὅσα ὑπὸ ἱρῆς νούσου ἐπίληπτοι, πάσχει, 16 καὶ ὅσα ἀπ' οὔατος, 168 30 ἱδρῶσι. 17 ταύτῃ καταχέειν ὕδωρ ψυχρὸν χρὴ πουλὺ κατὰ τοῖν σκελοῖν, 18 καὶ τἄλλα ποιέειν, καθὰ πρόσθεν εἴρηται.

XLIII. Ἢν κινηθεῖσαι πως 169 προσπίσωσιν [αἱ μῆτραι] καὶ ὀδύνην παρέχωσιν, 2 ἐλαίης ψώρην, καὶ δάφνης καὶ κυπαρίσσου πρίσματα ἑψήσας ἐν ὕδατι, ἐς εἴριον ἐμβαλὼν προσθεῖναι.

3 Ὁκόταν δὲ γυνὴ ἐκ τόκου ἐοῦσα φορτίον αἴρηται μεῖζον ἢ κατὰ φύσιν, 4 ἢ πτήξῃ, ἢ κεάσῃ ξύλα, 170 ἢ δράμῃ, ἢ ἄλλα τινὰ τοιάδε δράσῃ, 5 αἱ ὑστέραι ἐκπίπτουσι πρὸς ταῦτα μάλιστα. 6 ἐνίοτε δὲ πρὸς 35 πταρμόν. 7 οὐ γὰρ βιᾶται, ἢν μὴ βίῃ πταρνυμένη ἐπιλάβηται τῆς ῥινός. 8 προσκλύζειν χρὴ τὰς ὑστέρας ὕδατι χλιαρῷ, ἔπειτα τεύτλου χυλῷ ἀποζέσαντα ὁμοίως· εἶτα ἀκρήτῳ οἴνῳ μέλανι. 9 ἢν δὲ μὴ ἐσίῃ, μαλθακτήρια ποιέειν χρή. 10 πρότερον ἢ ψυχθῆναι. 11 καὶ ἐνθεῖναι εἴσω παρηγορικῶς. 12 εἶτα ἐκτείνειν τὰ σκέλεα, καὶ ἐπαλλάξαι, καὶ ὑπὸ τὰ αὐτὰ ὑποθεῖναί τι μαλθακόν. 13 πο- 171 τοῦ

tur sub ungues, 8 & dolor habet crura ac femora, 9 & incumbit ac premit nervos circa femur. 10 Quum sic habuerit, multa calida frequenter lavare oportet, & fomentum adhibere si ferre poterit, & graveolentia subter suffire. 11 Et femora rosaceo oleo inungat. 12 Si vero loqui non poterit, crura derepente frigida repereris, & genua, & manus: 13 & si uterum contigeris, non in suo mundo est: 14 & cor vibratur, & dentibus frendit, & sudor est 205 multus, 15 & alia quæ à sacro morbo correpti patiuntur, 16 & quæ ab aure exsudant. 17 His frigidam aquam multam affundere oportet super crura & manus, 18 & alia facere velut prius dictum est.

XLIII. Si commoti uteri aliquo allapsi fuerint, & dolorem exhibuerint, 2 oleæ scabiem, & lauri ac cupressi ramenta in aqua cocta, lana excepta subdito.

3 Quum mulier recens enixa, onus majus quam pro natura levarit, 4 aut timuerit, aut ligna 210 secuerit, aut cucurrerit, aut alia quædam hujusmodi fecerit, 5 uteri excidunt ob hæc maxime: 6 aliquando vero ad sternutationem. 7 Non enim violatur, si per vim sternutans, non apprehenderit nares. 8 Proluere itaque aqua tepida uteros oportet: deinde betæ succo fervefacto similiter: postea vino nigro meraco. 9 Si vero non obediat, mollitoria facere oportet. 10 Verum hæc facere oportet priusquam 215 perfrigerentur, 11 & leniter intro indere: 12 deinde crura extendere, ac subalternatim ponere, & molle quiddam ipsis supponere: 13 à potu vero coerceri

τοῦ δὲ εἴργεσθαι χρή. [14] τὰς τοιαύτας ὡς μάλιστα καὶ τὴν κοιλίην χρὴ φυλάσσειν, ὅκως μὴ ἐκταραχθῇ. [15] πρὸς δὲ τὴν ῥῖνα τῶν εὐωδέων διδόναι. [16] τὰς τοιαύτας χρὴ ἐξ ὑστέρου, ἢν μὴ ἀτρεμίζωσιν, ἀλλὰ κινέωνται, ἐλλεβορίζειν. [17] ἢν δὲ μὴ ἐξαρκέωσι, καὶ ἐμέτους ποιέειν, καὶ ἀλουτέειν, σιγᾷν τε καὶ ἠρεμέειν.

XLIV. [1] Ἢν πρησθῶσιν αἱ 172 μῆτραι, [2] ἡ γαστὴρ αἴρεται, καὶ φυσᾶται, καὶ σμαραγεῖ. [3] καὶ οἱ πόδες οἰδέουσι, καὶ τὰ κοῖλα τοῦ προσώπου. [4] καὶ ἡ χροιὴ ἀειδὴς γίνεται. 173 [5] καὶ τὰ ἐπιμήνια κρύπτεται. [6] καὶ ἡ γονὴ οὐκ ἐγγίνεται ἐν τούτῳ τῷ χρόνῳ. [7] καὶ ἀσθμαίνει, ἀφρίζει τε, 45 καὶ ἀλύει. [8] καὶ, ὅταν ἐγείρηται ἐξ ὕπνου, ὀρθοπνοίη μιν ἔχει. [9] καὶ, ὅ, τι ἂν φάγῃ ἢ πίῃ, λυπέει αὐτήν, καὶ στένει, καὶ ἀθυμέει μᾶλλον ἢ πρὶν 174 φαγεῖν, καὶ πνίγεται, καὶ τὰ νεῦρα ἕλκεται. [10] καὶ αἱ μῆτραι καὶ αἱ κύστιες ἀλγέουσι. [11] καὶ οὐκ ἔστι ψαῦσαι τῇ χειρί. [12] οὐδὲ τὸ οὖρον προΐενται, οὐδὲ τὴν γονὴν δέχονται. [13] ὅταν οὕτως ἔχῃ, φάρμακον χρὴ πίσαι κάτω, θερμῷ [τε] λούειν, καὶ καθίζειν δὲ θαμινὰ ὅλον τὸ σῶμα. [14] 179 ἔστι δ' ὅτε καὶ ἄχρις ὀμφαλοῦ πυριῆν. [15] διαλιπὼν δὲ προστιθέναι τὰ ὑφ' ὧν καθαρθήσεται, καὶ μὴ δαχθήσεται. [16] ὑποθυμιήσθω δὲ τὰ εὐώδεα ὑπὸ τὰ αἰδοῖα, ὑπὸ δὲ τὰς ῥῖνας τὰ κάκοδμα. [17] καὶ πομάτων διδοῦ, ἃ καθαίρουσιν ὑστέρας, καὶ ἐλαύνουσιν ἐς χώρην. [18] καὶ τὴν λινόζωστιν ἐσθιέτω, καὶ τὸ γάλα μετεπινέτω, ὡς ἐπὶ τοῦ πλευροῦ 175 γέγραπται. [19] ἡ δὲ νοῦσος οὐ χρονίη.

XLV. [1] Ἢν σκιρρωθῶσιν αἱ μῆ- 176 τραι, [2] τό, τε στόμα τρηχὺ ἔσται, καὶ τὰ

ceri oportet [14] tales quam maxime, & ventrem custodire, ut ne exturbetur. [15] Naribus autem odorata adhibere. [16] Hujusmodi vero postea si non quieverint, sed moveantur, veratro purgare oportet. [17] Et si non satis fuerit, etiam vomitus facere, & non lavari, tacereque ac quiescere. 220

XLIV. Si inflati fuerint uteri, [2] venter attollitur, & inflatur, ac sonitum edit: [3] & pedes & cavæ faciei partes intumescunt, [4] & color deformis fit. [5] Et menses occultantur: [6] & genitura hoc tempore non manet intus: [7] & anhelat, spumatque, ac anxia est: [8] & quum expergiscitur è somno, recta cervice spiratio ipsam corripit: [9] & quicquid ederit aut biberit, ipsam molestat, & suspirat, ac tristatur magis quam priusquam edit: & suffocatur, 225 & nervi contrahuntur. [10] Et uteri ac vesicæ dolent, [11] & manus contactum non admittunt: [12] neque lotium emittunt, neque genituram suscipiunt. [13] Quum sic habuerit, pharmacum deorsum purgans bibendum dato: & calida lavet, ac frequenter insideat toto corpore. [14] Quandoque etiam usque ad umbilicum fomentum adhibeto: [15] & interposito tempore ea apponito à quibus purgetur, & non mordeatur. [16] Suffumiget autem 230 odorata subter pudenda: sub nares vero graveolentia. [17] Et potiones dato quæ uteros purgant, & ad locum impellunt. [18] Et mercurialem edat, & postea lac bibat, velut de latere scriptum est. [19] Morbus autem hic non est diuturnus.

XLV. Si velut in callum indurati fuerint uteri, [2] & osculum exaspe-

τὰ ἐπιμήνια κρύπτεται. 3 ὁκόταν δὲ ἴῃ, ὡς ψάμμος φαίνεται τρηχέα. 4 ἢν δὲ καὶ καθάψηται τῷ δακτύλῳ, τρηχὺ τὸ στόμα εὑρήσει τῆς μήτρης [καὶ] ὡς πῶρος προσφύεται αἰεί. 6 ὅταν ὧδε ἔχῃ, τῆς κυκλαμίνου χρὴ τρίψαντα, καὶ ἅλας, καὶ σῦκον ὁμοῦ μίσγειν καὶ ἀναποιέειν μέλιτι βαλανίδας. 7 καὶ πυριήσαντα κλύσαι τοῖσι καθαίρουσιν. 8 ἐσθιέτω δὲ τὴν λινόζωστιν, καὶ κράμβην ἑφθήν. 9 καὶ τὸν χυλὸν ῥοφεέτω, καὶ πράσον. 10 καὶ θερμῷ λουέσθω.

11 Ἢν αἱ μῆτραι σκιρρωθῶσι, 12 τά τε ἐπιμήνια ἐπιλυγίζονται, 13 καὶ τὸ στόμα αὐτέων ξυμμύει, καὶ οὐ κυΐσκεται, 14 καὶ ὡς ἕτερόν ἐστι, καὶ, ἢν ψαύσῃς, ὡς λίθος δοκέει κεῖθι εἶναι, 15 καὶ τὸ στόμα τρηχὺ καὶ πολύρριζον, καὶ οὐ λεῖον ἰδεῖν. 16 καὶ τὸν δάκτυλον οὐκ ἐσίησιν, ὅς μιν καθορῇ. 16 καὶ πῦρ λαμβάνει περιψυχρόν, καὶ βρυγμός. 18 καὶ τὰς μήτρας ὀδύνη ἔχει, καὶ τὴν νειαίρην γαστέρα, καὶ τοὺς κενεῶνας, καὶ τὰς ἰξύας. 19 πάσχει δὲ ταῦτα, ἢν οἱ διαφθαρέντα τὰ ἐπιμήνια σαπῇ. 20 ἔστι δ' ὅτε καὶ ἐκ τόκου, καὶ ψύχεος, ἢ πονηρῆς διαίτης, καὶ ἄλλως. 21 φάρμακον οὖν χρὴ πιπίσκειν, καὶ λούειν θερμῷ πολλῷ δὲ ὕδατι καὶ ἐλαίῳ χρίειν καὶ πυριῆν. 22 ὁκόταν δὲ νεόλουτος ἢ νεοπυρίητος ᾖ, τὴν μήλην καθεὶς, ἀναστομοῦν καὶ ἀνευρύνειν τὸ στόμα αὐτέων, καὶ τῷ δακτύλῳ ὁμοίως. 23 καὶ προστιθέναι μαλθακτήρια, ὡς εἴρηται. 24 καὶ τῶν πομάτων ὡσαύτως πιπίσκειν, καὶ θεραπεύειν.

XLVI. Ἢν δὲ σκληρυνθῶσιν αἱ μῆτραι,

exasperatur, & menses occultantur. 3 Quum autem prodierint, asperi apparent velut arena. 4 Si vero etiam digito contigerit, os uteri asperum comperiet, 5 & semper velut callus accrescit. 6 Quum sic habuerit, cyclaminum terere oportet, & salem ac ficum simul miscere; & cum melle glandulam efformare ac subdere: 7 & fomento adhibito, purgantibus eluere. 8 Edat autem mercurialem ac brassicam coctam, 9 & succum sorbeat: itemque porrum: 10 & calida lavetur.

11 Si vero velut in callum indurati fuerint, 12 & menses obtorquentur, 13 & osculum ipsorum clauditur, & non concipit, 14 & velut aliud quid est: & si contigeris, velut lapis illic esse videtur: 15 & est os asperum ac multis radicibus præditum, & non læve aspectu: 16 & qui ipsum considerat, digitum intromittere non potest: 17 & febris circumfrigerans corripit, & fremitus: 18 & dolor uteros habet, & imum ventrem, & laterum mollitudinem, ac lumbos. 19 Patitur autem hæc, si ipsi corrupti menses computruerint. 20 Quandoque vero etiam ex partu, & frigore, aut mala diæta, & aliter. 21 Medicamentum igitur bibendum dare oportet, & multa calida aqua lavare. Oleo item utere, & fomentum adhibe. 22 Quum autem recens lota aut fota fuerit, specillo immisso aperito, & os ipsorum dilatato, idemque cum digito similiter efficito: 23 & mollitoria velut dictum est apponito: 24 & potiones similiter bibendas dato, & eodem modo curato.

XLVI. Si vero obduruerint uteri,

μήτρῃσι, [2] τὸ στόμα σκληρὸν γίνεται τῶν ὑστερέων, καὶ ξυμμέμυκε. [3] καὶ τὰ ἐπιμήνια οὐ γίνεται, ἀλλ' ἐλάσσω καὶ κακίω. [4] καὶ ὀδύνη ἐμπίπτει. [5] καὶ πῦρ καὶ ῥῖγος λαμβάνει ἀμφὶ τὴν νειαίρην γαστέρα, καὶ τὴν ὀσφὺν, καὶ τοὺς κενεῶνας. [6] ὅταν δὲ ὧδε ἔχῃ, λούειν πολλῷ καὶ θερμῷ. [7] καὶ χλιάσματα προστιθέναι, ἢν ὀδύνη ἔχῃ. [8] καὶ πυριῇν τὰς ὑστέρας βληχρῶς πουλὺν χρόνον τῷ ἀπὸ τοῦ σικύου τοῦ ἀγρίου ὕδατι. [9] ἔπειτα προστιθέσθω μαλθακτήρια. [10] τρεῖς ἡμέρας ταῦτα ποιέειν. [11] καὶ ἢν ψαυούσῃ αὐτῇ μαλθακὸν τὸ στόμα τῶν ὑστερέων φαίνηται, [12] μετὰ τρία ὠμολίνῳ καθετήρια τοὺς ἐμμότους τρεῖς. [13] τὸν μὲν πρῶτον λεπτὸν, τὸν δὲ δεύτερον ὀλίγον παχύτερον. [14] ὁ δὲ παχύτατος ἔστω τοῦ μεγέθεος, ὅσον ὁ σμικρὸς δάκτυλος, μῆκος δὲ πέντε δακτύλων. [15] χρίων χηνείῳ ἀλείφατι. [16] προστιθέναι δὲ, προπυριήσας τοῖσιν εὐώδεσι, καὶ βάλανον μαλθακτικὴν ἢ νίτρον ἐπαλείφοντα, [17] ὡς μὴ τρώσῃ· οὐ γὰρ κεντεῖν δεῖ· καὶ προσκείσθω δύο ἡμέρας. [18] ἀφίσταται δὲ οἷον λοπὸς καὶ δέρμα παχύ. [19] διαλιπὼν δὲ τρεῖς ἡμέρας, τὸ κυκλάμινον ξὺν τῷ ναρκισσίνῳ. [20] ἢν δὲ ταῦτα μὴ καθήρῃ, κατὰ νόον πουλὺν προστιθέναι δεόντως τὸ ξὺν τῷ βουπρήστει. [21] προσκείσθω δὲ τὴν ἡμέρην. [22] καὶ, ἐπὴν δάκνῃ ἰσχυρῶς, ἑλκέτω τὴν βάλανον, καὶ διανιζέσθω τὸ αἰδοῖον ὕδατι θερμῷ, καὶ ἐν ἐλαίῳ ἰζέσθω. [23] τῇ δὲ ὑστεραίῃ λουσαμένη ἐλάφου στέαρ, τήξασα καὶ ἐς εἴριον μαλθακὸν ἀναφυρήσασα, προστιθέσθω. [24] καὶ, ἢν σοι δοκέῃ ἔτι καθάρσιος δεῖσθαι, διαλιπὼν τρεῖς ἡμέρας, προστιθέναι τὸ ξὺν τῷ ναρκισσίνῳ· τῇ δὲ ὑστεραίῃ

τὸ

uteri,[2] osculum ipsorum durum fit, & clauditur, [3] & menses non prodeunt, sed pauciores & deteriores: [4] & dolor incidit, [5] & febris & rigor corripit circa imum ventrem, & lumbos, & laterum mollitudinem. [6] Quum sic habuerit, multa calida lavato, [7] & tepefactoria adhibeto, si dolor habuerit: [8] & uteros multo tempore cum aqua decocti cucumeris sylvestris foveto: [9] deinde mollitoria apponito. [10] Atque hæc per triduum facito. [11] Et si ex contactu osculum uterorum molle apparuerit, [12] ex crudo lino tres penicillos suppuratorios indito, [13] primum tenuem, secundum paulo crassiorem. [14] Crassissimus autem sit magnitudine digiti parvi, longitudine vero quinque digitorum, [15] ita ut hos adipe anserino illitos subdas. [16] Sed & ubi fomentum adhibueris ex odoratis, glandem mollitoriam apponito: aut nitrum tali magnitudine illitum, [17] ut ne sauciet. Non enim pungere oportet: & appositum sit ad duos dies. [18] Decedit autem velut cortex & pellicula crassa. [19] Intermissis vero tribus diebus, cyclaminum cum narcissino subdito. [20] Si vero hæc non purgarint, cum multa consideratione apponito, id quod cum bupresti paratur, [21] & appositum maneat per diem: [22] & ubi fortiter momorderit, glandem extrahat, & pudendum colluat cum aqua calida, & in oleo insideat. [23] Postridie vero lota, cervinum adipem liquatum, & molli lana exceptum apponat: [24] & si tibi adhuc purgatione opus habere videatur, tribus interpositis diebus, id quod cum narcissino paratur subdito, po-

stridie

τὸ νίτρωπον. [25] ἔπειτα πάλιν διαλιπὼν τρεῖς ἡμέρας, κλύσαι τὰς ὑστέρας εὐώδεσι καὶ λιπαροῖσι. [26] τῇ δὲ ὑστεραίῃ τὴν γλήχωνα προστιθέναι μίαν ἡμέρην. [27] τῇ δὲ ἑπομένῃ πυριῆν τοῖσιν ἀρώμασι. [28] σιτίοισι δὲ δριμέσι χρήσθω, καὶ τοῖσι θαλασσίοισιν, ἢ κρέασιν. [29] ἐν δὲ τοῖσιν ἐπιμηνίοισι πινέτω τὸ καστόρεον, καὶ ἀσιτίῃσιν ἀλειφέσθω. [30] θυμιωμένη [δὲ] καὶ τὸν κυκεῶνα πίνουσα, παρὰ τὸν ἄνδρα ἰέτω.

XLVII. Ἢν δὲ μὴ ἐνδέχηται τὸ 40 στόμα τῶν ὑστερέων τὴν γονὴν, ἀλλὰ 185 σκληρῶδές ἐστι, καὶ συμμεμυκὸς, [2] προστιθέσθω μολύβδιον, ὡς εἴρηται, τρεῖς ἡμέρας λουομένη θερμῷ, [3] καὶ μαλθακτηρίοισι χρήσθω, [4] καὶ ἀνακείσθω ὑπτίη. [5] καὶ ἐφ' ὕδωρ θερμὸν 186 ἱζέσθω, καὶ εἴριον ἐς μύρον ἀποβάπτουσα προστιθέσθω. [6] καὶ τὴν νύκτα προστιθέναι δεῖ μᾶλλον. [7] παρατιθέναι δὲ πρὸς τὰ ἰσχία εἵματα ἐρινέα ἢ μαλθακὰ λίνεα, ὡς μὴ περιρρέπῃ- 187 δὲς ἢ τὸ σῶμα. [8] προσθέτοισι [δὲ χρήσθω] μαλθακοῖσι, [μίξας] σμύρναν ποτάτην, καὶ πίσσαν, καὶ κηρὸν, καὶ στέαρ χηνός. [9] ἔστω δὲ τῆς 45 σμύρνης μὲν τὸ ἥμισυ, τῶν δ' ἄλλων διπλάσιον. [10] ἐν εἰρίῳ δὲ προστιθέσθω. ἔστω δὲ δύο. [11] προσκείσθω δὲ λουομένη, τὴν ἡμέρην τὸ ἓν, τὸ δὲ ἕτερον ἐς 188 τὴν νύκτα, ἕως τ' ἂν ἢ μαλθακόν. [12] καὶ ἐπειδὰν τοῦτο ἀφέλῃ, τῷ εὐώδει ὕδατι περικλυζέσθω. [13] ἢ ἐκλέψας κόκκους πεντεκαίδεκα. [14] ἔστω [δὲ] καὶ ἰνδικοῦ ποσὸν, ἢν δοκέῃ. [15] διέναι ἐν γάλακτι γυναικὸς κουροτρόφου, καὶ τρίψαι. [16] παραμίσγειν δὲ καὶ ἐλάφου μυελὸν, καὶ τὰ ἄλλα ὁκόσα εἴρηται, καὶ μέλιτι ὀλίγῳ μίσγειν. [17] τὸ δὲ εἴριον 280 μαλθακὸν καὶ καθαρὸν ἔστω, καὶ πρὸς τὴν ἡμέρην προστιθέσθω. [18] ἢν δὲ βούλῃ ἰσχυρό-

ſtridie autem neropum : [25] deinde rurſus tribus diebus interpoſitis, uteros odoratis & pinguibus colluito. [26] Poſtridie vero pulegium per unum diem apponito : [27] & ſequenti die cum aromatis ſuffito ac foveto. [28] Utatur autem cibis acribus, 270 marinis, aut carnibus. [29] In menſibus vero caſtorium bibat : & jejuna illita, [30] ſuffita, & cyceonem bibens ad virum accedat.

XLVII. *Si* vero os uterorum non ſuſcipiat genituram, ſed durum fuerit ac concluſum, [2] plumbeum penicillum apponat (velut dictum eſt) per triduum, ubi calida lota eſt : [3] & mollitoriis utatur, [4] & ſupina decumbat : [5] & in aquam calidam inſideat, & lanam unguento imbutam apponat. [6] Verum noctu magis apponere oportet. 275 [7] Juxta coxas vero veſtes laneas aut lineas molles ſupponat, ut ne corpus in alterutram partem dilabatur. [8] Utatur & ſubdititiis mollibus, ex myrrha pinguiſſima, pice, cera, & adipe anſerino. [9] Sit autem myrrhæ dimidium, reliquorum vero duplum, [10] & in lana ſubdat. Duo vero ſint ſubdititia, [11] quorum alterum lota per diem ſubdet, alterum per noctem, donec molle factum fuerit : [12] & ubi hoc detraxerit, aqua odorata colluatur. 280 [13] Aut grana cnidia decorticata quindecim, [14] & Indici medicamenti aliquantulum, ſi ita viſum fuerit, [15] in lacte mulieris maſculum lactantis terito, [16] & cervi medullam, & alia quæ dicta ſunt, ac modicum mellis ammiſceto. [17] Sit autem lana qua hæc excipiuntur, mollis & pura, & ad diem ſubdat. [18] Si vero fortius facere voles :

ἰσχυρότερον ποιέειν, σμύρνης σμικρόν τι παραμίσγειν. 19 ἄριστον δὲ, ᾠοῦ τὸ λευκὸν, καὶ αἰγὸς στέαρ, καὶ μέλι, καὶ ἔλαιον ῥόδινον· τουτέοισιν ἀναφυρῆν. 20 ἔλαιον δὲ παραχλιαίνειν παρὰ τὸ πῦρ, καὶ τὸ ἀποστάζον εἰρίῳ ξυλλέγειν, καὶ προστιθέναι. 21 ἢ στέαρ ἐρυθρὸν χηνὸς τὸ ἡδὺ, καὶ μύρον ῥόδινον, ταῦτα ξυμμίσγειν, καὶ προστιθέναι ἐς εἴριον ἀναδεύσασα. 22 ἄμεινον δὲ χηνὸς ἔλαιον, οἰὸς στέαρ, κηρὸς λευκὸς, ῥητίνη, νέτωπον, ἔλαιον ῥόδινον, ταῦτα ὁμοῦ τῆξαι καὶ μίξαι. 23 λουσαμένη δὲ προστιθέσθω χλιαρὰ εἴσω πρὸς τὸ στόμα τῶν ὑστερέων. 24 ἢ ἐλάφου μυελὸν καὶ στέαρ χηνὸς τήξας ῥοδίνῳ ἢ ἰρίνῳ ἐλαίῳ ἀναφυρῆν, εἴριον δὲ μαλθακὸν ἄγαν προστιθέναι.

XLVIII. Γυναικὶ ὁκόταν αἱ ὑστέραι σκληραὶ γένωνται, καὶ ἐς τὰ αἰδοῖα ἐξίωσι, 2 καὶ οἱ βουβῶνες σκληροὶ γίνονται, 3 καὶ καῦμα ἐν τοῖσιν αἰδοίοισιν ἐνῇ, 4 καὶ ἑλκοῦται πάντα. 5 ὅταν οὖν ὧδε ἔχῃ, σικύου χρὴ τὸ ἔνδον τρίψαι, καὶ κηρὸν, ὕδατος κοτύλην ἐπιχέαντα, ἐνεῖναι ἐς τὴν ἕδρην· καὶ καθαίρεται.

6 Ἢν τὸ στόμα τῶν ὑστερέων σκληρὸν γένηται ὑπὸ ξηρασίης, καὶ ὁ αὐχὴν, ἢ ἐν σχήματι ἡ νοῦσος ᾖ, τῷ δακτύλῳ γνώσῃ περιψαύσας. 7 καὶ, ἢν ἐς τὸ ἰσχίον εἰληθῶσι, μὴ προσφέρειν δριμὺ μηδέν. 8 ἢν γὰρ ἑλκωθῇ ἢ φλεγμήνῃ, κίνδυνος τὸ πάμπαν ἄτοκον γενέσθαι. 9 προστιθέσθω δὲ, ἅσσα μὴ ὀδάξεται, ὑφ' ὧν [δὲ] καθαίρεται. 10 ὅταν δὲ σκληραὶ ἔωσιν αἱ ὕστεραι, καὶ τῇδε ἀλγέωσι, προσθέτοισι προστιθέναι, οἷον ἐλάφου μυελὸν, ἢ χήνειον στέαρ, ἢ ὕειον, καὶ ἴρινον μύρον ξὺν μέλιτι, 11 καὶ μαλθακτήριον ᾠοῦ τὸ πυῤῥὸν καὶ κηροῦ λευκοῦ ὡς ἐπίπλασμα.

myrrhæ parum quid ammiſceto. 19 Optimum autem eſt ovi candidum, & adeps caprinus, & mel, & oleum roſaceum. His ammiſcere farinam, 20 & tepefacere ad ignem oportet, & quod deſtillat, lana colligere ac apponere. 21 Aut adipem rubrum anſeris aromatibus conditum, & unguentum roſaceum, permixta, & lana excepta apponito. 22 Præſtat autem anſeris adipem, & adipem ovillum, ceram albam, reſinam, netopum, oleum roſaceum, hæc ſimul liquare ac miſcere. 23 Ubi vero lota eſt, hæc tepida intro ad uterorum oſculum apponat. 24 Aut cervi medullam, & anſeris adipem liquato, & roſaceo aut iriño oleo ammixto, in valde molli lana apponito.

XLVIII. Quum mulieri uteri duri facti fuerint, & ad pudenda exierint, 2 dura fiunt inguina, 3 & ardor in inguinibus eſt, 4 & omnia cancerantur. 5 Quum igitur ſic habuerit, cucumeris ſylveſtris internam partem, & favum terito, & aquæ hemina affuſa in ſedem infundito, & purgatur.

6 Si os uterorum durum fiat, & cervix, præ ſiccitate, & morbus leviter hæſerit, ex digiti contactu cognoſces: 7 & ſi ad coxam devolvantur, nihil acre adhibeto. 8 Si enim exulceretur aut inflammetur, periculum eſt ne penitus ſterilis fiat. 9 Verum apponito ea quæ non mordent, à quibus purgetur. 10 Quum vero duri fuerint uteri, & ſic doluerint, ſubdititia apponito, velut eſt cervi medulla, aut anſerinus vel ſuillus adeps: & unguentum irinum cum melle: 11 & ovi luteum, ac ceram albam, velut cataplaſma emolli-

σμα. [12] καὶ κρίθινον ἢ πύρινον ἄλητον ξὺν ὕδατι καὶ πηγάνῳ ἑψεῖν.

XLIX. Ἢν αἱ μῆτραι ξυμμύσωσι, [2] τὰ στόματα σκληρὰ γίνονται σφέων, [3] καὶ τὴν γονὴν οὐκ ἐπιδέχονται, ἀλλ' αὐτόθεν, ἐπὴν ξυνευνηθῇ τῷ ἀνδρὶ κινεύσα τὰ σκέλεα, χωρέει. [4] καὶ ὀδύναι τὴν νειαίρην γαστέρα καὶ τὰς ἰξύας καὶ τοὺς βουβῶνας ἔχουσι. [5] καὶ τὰ ἐπιμήνια παντάπασιν οὐ χωρέει. [6] ἢν δὲ χωρέῃ, ὀλίγα καὶ πονηρὰ καὶ ἄχροα. [7] ὅταν ὧδε ἔχῃ, λούειν πολλῷ θερμῷ. [8] μετὰ δὲ τὸ λουτρὸν διδόναι τοῦ καστορίου ξὺν τῇ γλυκυσίδῃ τῆς ῥίζης. [9] ξυμμίσγειν χρὴ ἐν οἴνῳ μέλανι εὐώδει. [10] σιτίοισι δὲ διαιτάσθω, ὡς ἡ λεχώ. [11] καὶ ἢν δῆλα ᾖ τὰ ἐπιμήνια, ἐπισχεῖν μίαν ἡμέρην, καὶ πυριῆν ὅλην, καὶ φάρμακον διδόναι ποτόν. [12] ἢν δὲ ἐθάδες ἔωσιν, ἄνω, ἢν δοκῇ δεῖσθαι, ἢ κάτω. [13] γάλα οὖν ὄνου ἢ ὀῤῥὸν προσφέρειν. [14] καὶ πυριῆσθαι βληχρῶς, καὶ μαλθακτήρια [τῇ] ὑστέρῃ προσφέρειν, καὶ κυκλάμινον, καὶ ναρκίσσινον. [15] σικύων δὲ τῶν σμικρῶν λαβοῦσα τὴν ἐντεριώνην, καὶ καταχνήσας ἐξελὼν τὸ σπέρμα, παραστάζων γάλα γυναικὸς κουροτρόφου, τρίβειν, [16] παραμιγνύων σμύρνην ἄκρητον, καὶ μέλι ὡς κάλλιστον, καὶ ἔλαιον λευκὸν αἰγύπτιον, [17] καὶ ποιεῖν μὴ ὑγρὸν, ἀλλὰ ξηρόν. [18] τοῦτ' ἐμπλάσσειν ἐς εἴριον μαλθακὸν καθαρὸν, [19] καὶ ἐμβάψασα ἐν λευκῷ ἐλαίῳ αἰγυπτίῳ, καὶ λουσαμένη προστιθέσθω. [20] ὑποδείσθω δὲ καὶ ἐν σκέπῃ ἔστω, ὅταν καθαίρηται. [21] ἐπὴν δέ σοι δοκέῃ ἀρκεόντως ἔχειν, παυέσθω· ἢν δὲ μὴ, αὖθις τιθέναι ἕτερον. [22] μετὰ δὲ τοῦτο ἀμφιελίξασα ἐς εἴριον μαλθακὸν, στρογγύλον δὲ ποιεῖν καὶ νέτω-

πον

to, [12] & hordeaceam aut triticeam farinam, cum aqua & ruta coquito.

XLIX. Si uteri conclusi fuerint, [2] oscula ipsorum dura fiunt, [3] & genituram non amplius suscipiunt, sed statim ubi cum viro condormierit, dum crura movet, exit: [4] & dolores imum ventrem, & lumbos, ' & inguina occupant: [5] & menses omnino non prodeunt. [6] Si vero eant, pauci & pravi ac decolores prodeunt. [7] Quum sic habuerit, multa calida lavato. [8] Post balneum vero castorium cum pæoniæ radice, [9] in vino nigro odorato permixta bibenda dato. [10] Cibis autem velut puerpera utatur: [11] & si manifesti fuerint menses, diem unam intermittito, & totam foveto, & pharmacum potandum dato, [12] si adsuetæ fuerint, ' sursum purgans, aut si egere visa fuerit, deorsum. [13] Lac itaque asininum, aut serum exhibeto: [14] & leniter foveto, & mollitoria utero apponito, & cyclaminum, & narcissinum. [15] Cucumerum vero parvorum sylvestrium internam partem sumito, & ex divulsis semen eximito, ac lacte mulieris masculum lactantis affuso terito, [16] myrrha pura & melle optimo ammixtis, oleoque ægyptio albo: [17] & ne liquidum facito ' medicamentum, sed siccum: [18] atque hoc in lanam mollem puram infarciat, [19] & in oleo ægyptio albo tingat, & lota apponat. [20] Subligetur autem & sub tecto maneat quum purgatur. [21] Postquam autem sufficienter habere tibi visa fuerit, quiescat: sin minus, rursus aliud apponat. [22] Postea vero obvolutam lanam mollem, rotundam faciat, & netopum

immit-

που ἐμβάλλειν, καὶ προστιθέναι ἡμέρην μίαν. 23 τῇ δ' ὑστεραίῃ ἔλαιον ῥόδινον ἐν εἰρίῳ. 24 εἶτα πάλιν ἐλάφου στέαρ τήξας καὶ αὐτὸ ἐν εἰρίῳ. 25 λουέσθω δὲ ἐν θερμῷ ὕδατι αἰεὶ πρὸ τῶν προσθέτων. 26 καὶ πυριήσθω εὐώδμοισι βληχροῖς πλεῖστον χρόνον. 27 μετὰ δὲ, μίαν διαλιπὼν ἡμέρην, κλύσαι, ἢν μὲν φλεγματώδης, τῷ ξὺν τῷ κόκκῳ, ἢν δὲ χολώδης, τῷ ἀπὸ τῆς σκαμμωνίης. 28 μετακλύζειν δὲ, καὶ ἐπὶ τούτοισιν ἀμφοτέροισι τῇ ὑστεραίῃ, τῷ ναρκισσίνῳ ξὺν οἴνῳ γλυκεῖ. 29 ἢν δὲ μὴ εἴη ναρκίσσινον, ἀνθίνῳ ἢ ἰρίνῳ ὡς καλλίστῳ. 30 ἔστω δὲ τοῦ ἐλαίου τρίτη μοῖρα τοῦ οἴνου. 31 ἔπειτα διαλιποῦσα δύο ἡμέρας, προσθέσθω τὸ ξὺν τῇ γλήχωνι ἡμέρην μίαν. 32 ἢν δὲ γένηται τὰ ἐπιμήνια, πινέτω νῆστις τοῦ καστορίου τρεῖς ἡμέρας, ξὺν οἴνῳ εὐώδει λευκῷ. 33 ἐπὴν δὲ ἀπολήγῃ τὰ ἐπιμήνια καὶ [illegible] μόνιμα ᾖ, λουέσθω· 34 καὶ διανιζομένη ὕδατι ψυχρῷ κυκεῶνα πινέτω ἄναλον, σιτίων δὲ μὴ ἁπτέσθω. 35 ξυνευδέτω δὲ τῷ ἀνδρὶ, δύο ἡμέρας ἢ τρεῖς. 36 ὁκόσον δ' ἂν χρόνον καθαίρηται, τὴν λινόζωστιν ἑψῆσαι ἐν ὕδατι καὶ, ἐπὴν ἑφθὴ γένηται, ἐκθλίψαι· 37 ὑποτρίβειν δὲ σκόροδα καὶ κύμινον καὶ ἅλας, καὶ ἔλαιον ἀνακυκᾷν. 38 ἐν τούτοισιν ὀλίγον ἐπιχέαντα τοῦ χυλοῦ, ἀναζέσαι, καὶ τοῦτο πρὸ τῶν σιτίων ἐσθίειν. 39 σκόροδα δὲ ἑφθὰ καὶ ὀπτὰ λαμβάνειν ὡς πλεῖστα. 40 ἢν δὲ ἡ λινόζωστις μὴ ἁπαλὴ ᾖ, λείην ξυνεψεῖν χρὴ κράμβῃ, καὶ ἡδύνειν, καὶ προσηνέα εἶναι. 41 καὶ, ἢν ἐν γαστρὶ λάβῃ, ὑγιὴς γίνεται. 42 καὶ πάντα οἱ κατὰ κόσμον ἴη.

L. Ἢν δὲ τὸ στόμα τῶν μητρέων ξυμ-

immittat, & diem unam subdat. 23 Postridie vero oleum rosaceum itidem in lana: 24 deinde rursus cervi adipem, etiam ipsum liquatum in lana. 25 Lavetur autem calida aqua semper ante subdititiorum appositionem. 26 Et odoratis leniter foveatur multo tempore. 27 Postea vero una interposita die, colluito: siquidem pituitosa fuerit, eo quod cum grano cnidio paratur; si vero biliosa, eo quod cum scammonia. 28 Post hæc ambo, postridie etiam narcissino cum vino dulci colluito. 29 Si vero narcissinum non fuerit, cum anthino aut irino quam optimo. 30 Sit autem olei tertia vini pars: 31 deinde interpositis duobus diebus, id quod cum pulegio præparatur unum diem apponat. 32 Si vero prodierint menses, jejuna per triduum bibat castorium, cum vino odorato albo; 33 ubi vero desiverint menses, & stabiles fuerint, lavetur: 34 & aqua frigida perluta, cyceonem bibat non salsum. Cibum autem ne contingat: 35 & cum viro dormiat duobus aut tribus diebus. 36 Quanto vero tempore purgatur, mercurialem in aqua coquens, ubi cocta fuerit exprimat, 37 & allium ac cuminum, & salem subterat, & oleum his ammisceat, 38 & modico succo affuso fervefaciat. Atque hoc edulium ante cibos edat. 39 Allium item coctum ac assatum quam plurimum accipiat. 40 Si vero mercurialis non fuerit tenera, tritam cum brassica coquere oportet, & condire, & lenis erit: 41 & si in ventre conceperit, sana evadet; 42 & omnia ipsi juxta ornatum procedent.

L. Si os uterorum conclusum fuerit,

ξυμμύσῃ, ² γίνεται ἰσχυρὸν ὡς ἐρινεόν. ³ κἢν ἐπαφήσῃ τῷ δακτύλῳ, ὄψει σκληρόν τε καὶ ξυνειλεόμενον, καὶ τὸν δάκτυλον οὐκ ἐσίησι. ⁴ καὶ τὰ ἐπιμήνια κεκρύφαται, ⁵ καὶ τὴν γονὴν οὐ δέχεται τοῦτον τὸν χρόνον. ⁶ καὶ ὀδύνη ἴσχει τὴν νειαίρην γαστέρα, καὶ τὴν ὀσφῦν, καὶ τοὺς κενεῶνας. ⁷ ἔστι δ' ὅτε καὶ ἄνω προσίσταται, καὶ πνίγει. ⁸ ὅταν οὕτως ἔχῃ, φάρμακον χρὴ πίσαι κάτω, καὶ λούειν πολλῷ θερμῷ, καὶ προστιθέναι ὅσα μαλθάσσει τὸ στόμα. ⁹ καὶ ὑπάλειπτρον καθιέναι καὶ ἀναστομοῦν, καὶ τῷ γε δακτύλῳ ὡσαύτως λεαίνειν. ¹⁰ ὅταν δὲ μαλθακὸν ᾖ, προστιθέναι ὅσα καθαίρει αἷμα. ¹¹ καὶ τῶν ποτημάτων διδόναι, καὶ πειρηθῆναι παρέχειν ὅ, τι ἂν ἄλλο προσδέχηται. ¹² τὴν κράμβην δὲ ἐσθιέτω, καὶ τὸν χυλὸν ῥοφείτω.

¹³ Ἢν αἱ μῆτραι ξυμμύσωσι, καὶ τὰ ἐπιμήνια μὴ φαίνηται, ¹⁴ κολοκυνθίδα ἀγρίην, καὶ κύμινον αἰθιοπικὸν, καὶ νίτρον, καὶ ἅλας θηβαϊκὸν, καὶ νεφρίδιον, καὶ ἄλευρον, καὶ σμύρναν, καὶ ῥητίνην, ¹⁵ ζέσας πάντα ὁμοῦ καὶ μίξας λεῖα, καὶ ποιήσας βάλανον, προστιθέναι.

LI. Ἢν θρομβωθέωσιν αἱ μῆτραι, ² τὸ στόμα αὐτέων γίνεται οἷον ὀρόβων μεστὸν καὶ, ἢν ἐπαφήσῃ, ὄψει οὕτως ἔχον. ³ καὶ τὰ ἐπιμήνια οὐ γίνονται, οὐδὲ ἡ γονὴ ἐμμένει. ⁴ ἕως ἂν ὧδε ἔχῃ, τῆς κυκλαμίνου τὸν φλοιὸν περιλέψας, καὶ σκόροδα, καὶ ἅλας, καὶ σῦκον, καὶ μέλι ὀλίγον. ⁵ ταῦτα τρίψαι καὶ συμμίξαι καὶ ποιῆσαι βάλανον, καὶ προσθεῖναι πρὸς τὸ στόμα τῶν μητρέων. ⁶ καὶ τῶν ἄλλων προσθέτων ὅσα δριμέα τέ ἐστι καὶ καταδάκνει, καὶ ὑφ' ὧν καθαίρεται αἷμα. ⁷ καὶ τῶν πομάτων ὅσα ὑστέρας καθαίρει.

fuerit; ² fit spissum velut grossus: ³ & si digito contigeris, deprehendes durum ac convolutum, & digitum non admittit: ⁴ & menses occultantur, & genituram non suscipit hoc tempore: ⁶ & dolor habet imum ventrem & lumbos ac laterum mollitudinem. ⁷ Quandoque vero etiam sursum ascendit & suffocat. ⁸ Quum sic habuerit, pharmacum deorsum purgans bibendum dare oportet, & multa calida lavare, & apponere ea quæ os molliunt: ⁹ & spicillum immittere ac aperire, itemque digitum, & similiter lævigare. ¹⁰ Quum autem molle fuerit, apponere ea quæ sanguinem purgant: ¹¹ & potiones exhibere, & experiri ut præbeas quodcunque aliud libenter susceperit. ¹² Brassicam autem edat, & succum sorbeat.

¹³ Si uteri conclusi fuerint, & menses non apparuerint, ¹⁴ colocynthidem sylvestrem, & silphii semen, & cuminum æthiopicum, & nitrum, & salem thebaicum, & adipem renalem, & farinam, & myrrham, & resinam, ¹⁵ omnia simul fervefacito, & trita mixta, & in glandem efformata apponito.

LI. Si grumosi facti fuerint uteri, ² os ipsorum velut ervo plenum fit: & si contigeris, videbis ita habere: ³ & menses non fiunt, neque genitura intus manet. ⁴ Quandiu sic habuerit, cyclaminum cortice detracto, & allium, & salem, & ficum, ac modicum mellis, ⁵ terito, misceto, ac glandem formato, & ad os uterorum apponito. ⁶ Itemque alia subdititia, quæ acria sunt ac corrodunt, & à quibus sanguis purgatur: ⁷ & de potionibus dato eas quæ uteros purgant.

[8] Ἢν παρὰ φύσιν αἱ μῆτραι χάσκωσι, [9] τὰ ἐπιμήνια χωρέει πλείονα, καὶ γλίσχρα, καὶ θαμινά· [10] καὶ ἡ γονὴ οὐκ ἐμμένει· [11] καὶ τὸ στόμα κεχηνός ἐστι, καὶ οὐχ οἷόν τε εἰρύσασθαι τὴν γονήν. [12] καὶ πῦρ καὶ ῥῖγος λαμβάνει τὴν κάτω κοιλίην καὶ τὰς ἰξύας. [13] ἡ δὲ νοῦσος λάζεται 204 ἐκ ῥόου αἱματώδεος. [14] γίνεται δὲ καὶ, ὁκόταν τὰ ἐπιμήνια ἐξαπίνης ἰσχόμενα ῥαγῇ. [15] ἡ δίαιτα γοῦν πρόσθεν εἴρηται. [16] χρὴ δὲ προσθέτοισι θεραπεύειν· ἐν ἀρχῇ μὲν καθαρτηρίοισιν ἅμα καὶ μαλθακοῖσιν, 20 ἔπειτα ἠρέμα στύφουσι. [17] καὶ σπογγίζειν τὰ κάτω τοῦ ὀμφαλοῦ πυριῶν μυρσίνης ὕδατι, ἢ βάτου, ἢ ἐλαίης φύλλοις ἐναφεψῶν, ἢ ῥόδων, ἢ οἰνάνθης, ἢ ἀμπέλου.

LII. [1] Ἢν τὸ στόμα τῶν μητρέων 205 ἀναχάνῃ μᾶλλον ἢ ὡς πέφυκεν ἐν τοῖς ἐπιμηνίοις, [2] οὕτω γίνεται τὰ 206 ἐπιμήνια πλέω καὶ κακίω πάντα, καὶ ὑγρότερα, καὶ διὰ πλείονος χρόνου. [3] καὶ ἡ γονὴ οὐχ ἅπτεται, οὐδὲ μένει, ἀλλὰ πάλιν ἔξεισιν· [4] καὶ, ἢν ἐπιμείνῃ, τὸ στόμα εὑρήσεις διαπε- 207 πληγός. [5] καὶ ἀδυναμίη ἴσχει ὑπὸ τῶν 35 ἐμμηνίων. [6] καὶ κούφη ἐστὶ καὶ ἄτονος, καὶ προσωτέρω χωρέει. [7] τὰ δὲ κρέα χαλᾶται. [8] καὶ πῦρ βληχρὸν, καὶ ῥῖγος. [9] καὶ ὀδύνη ἔχει τὴν νειαίρην γαστέρα, καὶ τοὺς κενεῶνας, καὶ τὰς ἰξύας. [10] πάσχει δὲ ταῦτα μάλιστα, ἤν τι ἐν αὐτῇ διαφθαρὲν σαπῇ καὶ παγῇ. [11] πάσχουσι δὲ καὶ ἐκ τόκων ἔνιαι· αἱ δὲ καὶ ἄλλως. [12] ὅταν οὖν ὧδε ἔχῃ, φάρμακον χρὴ πιπίσκειν, καὶ κρισιμωτέρη ἔσται. [13] κἢν ὀδύνη ἔχῃ, τῶν χλιασμάτων προστιθέναι. [14] καὶ τῷ θερ- 208 μῷ λούειν, καὶ διαλείποντα κλύζειν. [15] καὶ τῶν ποτημάτων διδόναι

[8] Si uteri præter naturam hiarint, [9] menses plures prodeunt & viscosi, & frequenter: 315 [10] & genitura intus non manet, [11] & osculum hians est: & fieri non potest ut genituram attrahat: [12] & febris ac rigor corripit infernum ventrem, & lumbos. [13] Morbus autem corripit ex fluxu sanguineo, [14] fit & quum menses suppressi derepente eruperint. [15] Diætæ itaque ratio prius relata est. [16] Oportet autem subdititiis curare, in principio quidem purgatoriis simulque mollibus: deinde leniter adstringentibus: [17] & partes 360 infra umbilicum per spongias fovere, cum myrti aut rubi aqua, aut ex oleæ aut rosarum, aut œnanthes, aut vitis foliorum decocto.

LII. Si os uterorum hiarit amplius quam in mensibus solet, [2] menses ita fiunt plures & deteriores omnes, & liquidiores, & per longius tempus: [3] & genitura non attingit, neque manet, sed rursus exit: [4] & si permanserit, osculum comperies disparatum, [5] & impotentia præ mensibus obtinet: [6] & levis est ac 365 debilis uterus, & ulterius procedit: [7] & vires laxantur: [8] & febris debilis, ac rigor, [9] & dolor habet imum ventrem, & laterum mollitudinem ac lumbos: [10] patitur autem hæc maxime, si quid in ipsa corruptum computruerit ac compactum fuerit. [11] Quædam vero etiam ex partu patiuntur: aliæ etiam aliter. [12] Quum itaque sic habuerit, pharmacum bibendum dare oportet, & facilius judicabitur: [13] & si dolor 370 habuerit, tepefactoria adhibeto: [14] & frigida lavato, ac intermissione facta colluito: [15] & ex potionibus

δῶναι ὕδωρ, ὅ τι ἂν μάλιστα προσδέχηται. [16] καὶ ὑποθυμιῆν ὁκόσα ξηραίνει. [17] καὶ πολύποδας ἐσθιέτω, καὶ τὴν λινόζωστιν.

LIII. Ἢν δὲ μὴ μεμύκωσιν αἱ μῆτραι, ὡς χρή, [2] καθιζάνειν ἐν ὕδατι, μυρσίνης ἐναφεψημένης, ἢ σχίνου, ἢ ἀμπέλου, ἢ ἐλαίης φύλλοισιν, ἢ ῥόδων. [3] Δίαιτα δὲ, ἡ λέλεκται ἐπὶ τοῦ ἐρυθροῦ ῥόου, [4] ἄριστον δὲ οἱ βοήθημα, δίψα, ἔμετοι θαμέες, καὶ λουτρῶν εἴρξις.

[5] Ὁκόταν [δὲ] ἀνεστομωμέναι μᾶλλον τοῦ δέοντος αἱ μῆτραι, καὶ μὴ μεμύκωσι, [6] καὶ καθάρσιος δέονται, καὶ κλυσμῶν, καὶ θυμιαμάτων.

[7] Ἢν δὲ ἐξανθήσωσι [αἱ μῆτραι,] τὰ ἐπιμήνια πλείω γίνεται καὶ κακίω καὶ ὑγρότερα καὶ πυκνά. [9] καὶ ἡ γονὴ οὐκ ἐμμένει, ἀλλ᾽, ἡνίκα ἐξίῃ, οἴχεται. [10] καὶ τὸ στόμα ἐπαφώμενος τῷ δακτύλῳ ὄψει λεῖον. [11] καὶ ἀδυναμίη αὐτὴν λαμβάνει ὑπὸ τῶν ἐμμηνίων. [12] καὶ πυρετὸς καὶ ῥῖγος ἴσχει, [13] ὀδύνη τε ἐς τὴν νειαιρὴν γαστέρα, καὶ τὰς ἰξύας, καὶ τοὺς κενεῶνας· [14] μάλιστα δὲ, ἤν τι ἐν ἑωυτῇ διαφθαρὲν σαπῇ, καὶ ἐκ τόκου, καὶ ἄλλως. [15] ὅταν οὖν οὕτως ἔχῃ, θεραπεύειν χρή, ὅκου ἂν ἡ ὀδύνη ἔχῃ, ὡς ἐπὶ τῶν πρόσθεν γέγραπται.

LIV. Ἢν αἱ μῆτραι φλεγμήνωσι, [2] τὰ ἐπιμήνια ἐπιλυγίζονται, [3] καὶ ὁ τράχηλος ξυναρθμεῦται. [4] καὶ πυρετὸς ὀξὺς καὶ γνώμης ἁπτόμενος. [5] καὶ πονηρὰ καὶ ὀλίγα οἱ ἐπιφαίνεται. [6] καὶ, ὁκόταν νῆστις ᾖ, ἔμετός τις αὐτῇ ἐπέρχεται. [7] ὁκόταν δέ τι φάγῃ, τοῦτο ἐμέει· [8] καὶ ὀδύνη τὴν νειαιρὴν

tionibus dato quamcunque maxime libenter admiserit: [16] & suffito ea quæ resiccant, [17] & polypos edat ac mercurialem.

LIII. Si vero non conclusi fuerint uteri velut oportet, [2] in aqua desideat in qua cocta sit myrtus, aut lentiscus, aut vitis aut oleæ folia, aut rosarum. [3] Diæta vero sit quæ relata est in rubro fluxu. [4] Optimum vero ipsi auxilium est sitis, frequentes vomitus, & prohibitiones balneorum.

[5] Quum uteri magis quam convenit fuerint aperti, & non conclusi, [6] & purgatione opus habent, & collutionibus, & suffimentis.

[7] Si vero menses effloruerint, [8] plures fiunt & deteriores, & liquidiores, & frequentes. [9] Et genitura non manet intus, sed quando illi prodierint, perit. [10] Et si os contingas digito, comperies ipsum leve. [11] Et impotentia ipsam præ mensibus corripit. [12] Et febris ac rigor obtinet: [13] & dolor imum ventrem, & lumbos, & laterum mollitudinem corripit, [14] maxime si quid in ipsa corruptum computruerit, itemque ex partu, & aliter. [15] Quum igitur sic habuerit, curare oportet, ubicunque tandem dolor fuerit, velut in superioribus scriptum est.

LIV. Si uteri inflammati fuerint, [2] menses obtorquentur, [3] & cervix multis tenuibus venulis, ad telarum araneæ similitudinem variegatur. [4] Et febris est acuta, & mentem percellens, [5] & menses pravi ac pauci ipsi comparent. [6] Et quum jejuna fuerit, vomitus quidam ipsi supervenit: [7] quum vero quid comederit, revomit. [8] Et dolor oc-

νειαιρὴν γαστέρα ἴσχει, καὶ τὰς ἰξύας· 9 καὶ ἀποψυχεῖ, καὶ περίψυξις δι' ὅλου τοῦ σώματος. 10 ἡ δὲ γαστὴρ, τοτὲ μὲν σκληρὴ, τοτὲ δὲ μαλθακή, καὶ ἐμπίπραται καὶ αἴρεται, καὶ δοκεῖ ἐν γαστρὶ ἔχειν. 11 ἔστι δ' ὅτε κενεὸν φαίνεται τὸ πλήρωμα τῆς γαστρός. 12 καὶ ἐμπίπλαται ἡ κοιλίη ὕδατος, καὶ ὁ ὀμφαλὸς ἐξίσχει. 13 καὶ τὸ στόμα ἰσχνόν, 14 καὶ ἐξαπίνης ἐφάνη τὰ ἐπιμήνια στρίζοντα, καὶ ὀλίγα καὶ πονηρά. 15 καὶ λεπτύνεται τὰς κληῖδας καὶ τὴν δέρην. 16 καὶ οἱ πόδες οἰδίσκονται, καὶ αἱ πέζαι μάλιστα. 17 ὅταν ὧδε ἔχῃ, φάρμακον πίσαι κάτω. 18 προσθέτοισι πυριῆν τὰς ὑστέρας ὡς εὐώδεσι· τὰς ἡμέρας τοῖσι μολυβδίοισι. 19 καὶ λοῦσαι θερμῷ ὕδατι πρὸ τῆς προσθέσιος μὴ δάκνοντι. 20 καὶ μετὰ τὴν πρόσθεσιν κλύζειν, δύο πόσιας κνήστρου ἑψῆσαι κοτύλῃ ὕδατος, καὶ ἀποχέαντα τὸ ὕδωρ κλύσαι κοτύλην ὕδατος, ξυμμίξαντα καὶ ἐλαίου ναρκισσίνου ἢ ἀνθινοῦ. 21 μετὰ δὲ ταῦτα διαλιπεῖν ἡμέρας τρεῖς· εἶτα κλύσαι τῷ ξὺν τῷ ὄξει. 22 καὶ πρὸ τοῦ σίτου τὴν λινόζωστιν ἑψοῦσα ξὺν οἴνῳ ποσῷ ἐσθιέτω ὡς κράμβην, τὸν χυλὸν ῥοφείτω. 23 ἢν δὲ ἐπιμώροι, φάρμακα πιπίσκειν, ὑφ' ὧν ὕδωρ καθαίρεται τὰς ὑστέρας. 24 σιτίοισι δὲ χρεέσθω ἄρτοισι καὶ λαχάνοισιν ἑφθοῖσι μαλακοῖσι· 25 θαλασσίοισί τε μᾶλλον ἢ κρέασι, ἢ ἀκροκωλίοισιν ἑφθοῖσι μαλακοῖσι. 26 καὶ ταλαιπωρέειν ὡς πλεῖστα, καὶ πρὸ τοῦ σίτου καὶ μετὰ τὸν σῖτον. 27 καὶ λουέσθω ὡς ἐλάχιστα ψυχρῷ. 28 καὶ γλυκέων καὶ λιπαρῶν παντοίων εἰργέσθω. 29 τὰς δὲ διὰ μέσου τῶν καθάρσεων, ἀδίαντον πινέτω ἐν ὄξει κεκρη-

cupat imum ventrem & lumbos: 9 & animo linquitur: & per totum corpus perfrigeratur. 10 Venter autem nunc durus, nunc mollis est, & incenditur & attollitur: & putat se in ventre habere. 11 Quandoque vero ventris moles vacua apparet, 12 & alvus aqua impletur, & umbilicus prominet, 13 & osculum gracile fit: 14 & derepente apparent menses stridentes, & pauci ac pravi: 15 & attenuatur circa claviculas & collum: 16 & pedes intumescunt, & præsertim pedum extremitates. 17 Quum sic habuerit, pharmacum infra purgans bibendum dato: 18 & subdititiis utatur, & fomentis uteri foveantur odoratis. Per diem vero plumbeis penicillis utatur: 19 & ante appositionem, aqua calida non mordenti colluito, 20 & post appositionem hoc infuso colluito. Cnestri duas potiones in aquæ hemina coquito, & aquam excolato ac infundito, oleo narcissino aut anthino ammixto. 21 Post hæc tres dies intermittito: deinde cum eo quod cum aceto paratur colluito: 22 & ante cibum, mercurialem cum aliquantulo vino coquens edat velut brassicam: & succum sorbeat. 23 Si vero permanserit, pharmaca bibenda dato à quibus aqua de uteris purgatur. 24 Cibis autem utatur panibus, & oleribus coctis, flaccidis: 25 Marinis autem potius quam carnibus: aut extremis partibus coctis flaccidis. 26 Et laboret quam plurimum & ante & post cibum: 27 & quam minimum lavetur frigida: 28 & à dulcibus ac pinguibus omnis generis arceatur. 29 Diebus autem purgationum intermediis, adiantum bibat jo-

juna

κεκρημένῳ νῆστις. 30 ἡ δὲ νοῦσος θανατώδης. ἐκφυγεῖν δὲ ὀλίγαι δύνανται, 31 ἢν μὴ ἐν γαστρὶ ἔχωσι.

LV. [Ὑπὸ δὲ] φλεγμασίης [τῶν] μητρέων τὰ ἐπιμήνια ἐπιηλυγίζονται, 2 καὶ ὁκόταν ἄσιτος ᾖ, ἐμέει. 3 ὁκόταν δὲ βεβρώκῃ, ὀδύνη ἔχει τὴν νειαίρην γαστέρα καὶ τὰς ἰξύας. 4 καὶ ὅλη ἡ κοιλίη, ὁτὲ μὲν σκληροτέρη, ὁτὲ δὲ μαλθακὴ γίνεται. 5 καθίζεται δὲ οὐ πάνυ. 6 καὶ κοιλίη μεγάλη γίνεται, καὶ οὐ καθαίρεται. 7 καὶ οἱ δοκέει κύειν. 8 καὶ πάσχει ὁκόσα περ καὶ αἱ ἐγκύμονες. 9 καὶ ἢν διψαύσῃς τῆς κοιλίης, κοῦφον τὸ οἴδημα γνοίης ὡς ἀσκοῦ. 10 καί, ὁκόταν δοκέῃ τόκου ὥρη εἶναι, αἱ μῆτραι ξυμπίπτουσι, καὶ τὰ ἐπιμήνια ὀλίγα [γίνεται] καὶ κακίονα. 11 ταύτην φάρμακον χρὴ πιπίσκειν κάτω, καὶ προστιθέναι τῶν καθαρτικῶν. 12 καθαρθεῖσα δὲ ὑγιὴς γίνεται.

LVI. Ἢν φλεγμαίνηται ἡ μήτρη, ψαύεται. 2 ἢν δέ τι σφακελίζῃ καὶ παλιγκοτέῃ, πῦρ ἔχει καὶ ὀξὺ καὶ μέγα, καὶ φρίκη σκληρή. 3 τὰ ἀμφὶ τὰ αἰδοῖα ἐκπάγλως τι αἴθεται καὶ δάκνεται καὶ ὀρμᾷ. 4 καί, ἤν τις ἐπαφήσῃ τῷ δακτύλῳ, καὶ αὖθις κάκιον ἴσχει, καὶ ἀδάξεται. 5 καὶ τὴν κεφαλὴν ἀλγέει, καὶ τὸ βρέγμα. 6 καὶ ἀχλύς, καὶ ἱδρὼς μετωπίδιος. 7 τὰ ἄκρεα ψύχονται καὶ περιμαίνουσι. 8 καὶ κῶμα ἔχει ἄλλοτε. 9 καὶ ἀκούειν οὐκ ἐθέλει. 10 οὐδὲ ἡ ὑστέρη ἐνεργεῖ. 11 ἀπιτίη πολλή, καὶ [ὁ] στόμαχος οὐ πάμπαν εἰρύεται τὴν τροφήν, καὶ ἡ κοιλίη. 12 καὶ βοᾷ, καὶ ἀναΐσσει, 13 καὶ ὀδυνᾶται τό τε ἦτρον καὶ τοὺς βουβῶνας, καὶ τὰς ἰξύας, καὶ [τὰς] παραφύσιας. 14 καὶ ταχὺ θνήσκουσιν. 15 ἢν δὲ αἱ ὀδύναι

καθα-

juna in vino diluto. 30 At morbus hic lethalis est, & paucæ effugere possunt, si non in ventre conceperint.

LV. In uterorum inflammatione menses obtorquentur, 2 & quum jejuna est vomit. 3 Ubi vero comedit, dolor habet imum ventrem & lumbos. 4 Et totus venter modo durior modo mollis fit, 5 & non valde considet. 6 Alvus magna fit, & non purgatur: 7 & sibi prægnans esse videtur, 8 & patitur quæcunque prægnantes perpeti solent. 9 Et si ventrem contigeris, levem comperies tumorem velut in utre: 10 & quum partus tempus esse visum fuerit, uteri concidunt, & menses pauci ac deteriores fiunt. 11 Huic pharmacum deorsum purgans bibendum dare oportet: & purgatoria apponere. 12 Purgata vero sana evadit.

LVI. Si inflammatus fuerit uterus, vellicatur. 2 Si vero quid corruptum fuerit, ac vitiatum recruduerit, febris corripit, acuta & magna, & horror durus, 3 partes circa pudenda: & horribiliter afficitur, & mordetur, & concitatur: 4 & si quis digito contingat, rursus pejus habet: & pungitur, 5 & caput dolet ac sinciput: 6 & caligo adest & sudor frontis. 7 Extremæ partes perfrigerantur ac tremunt: 8 & sopor profundus aliquando occupat, 9 & audire non potest: 10 neque reliquus sensus operatur. 11 Fastidium cibi est multum, & stomachus & venter omnino non continent cibum: 12 & vociferatur, & exilit, 13 & pectinem dolet, & inguina, & lumbos, & occultos pudendi locos, 14 & cito moriuntur. 15 Si vero dolo-

res

καταγυιῶσι, σπόγγοισιν ὡς θερμοῖσιν ἐξ ὕδατος καὶ ἐλαίου ἐκπεπιεσμένοισι πυριῆσαι, [16] καὶ προσθέτοισι μαλθακοῖσι, μυελὸν ἐλάφου, καὶ χηνὸς ἄλειφα, καὶ κηρὸν λευκὸν, καὶ ὠοῦ τὸ πυῤῥόν. [17] ἢ κηρωτὴν πισσηρὴν προστιθέναι ξὺν ῥητίνῃ. [18] καθαίρειν δὲ οἴνῳ, ἢ γάλακτι αἰγείῳ, ἢ ζωμῷ ὄρνιθος. [19] οἶνον δὲ μὴ πίνειν. [20] καὶ πτισάνης χυλὸν ῥοφείτω.

LVII. Μητρέων ὀδύνης ἔγχυτον. [2] Ἢν ὀδύνη μοῦνον ᾖ ἀπερχὴς καὶ βίαιος, ἀχλὺς ἐν τῇσι μήτρῃσιν ἔνι, [3] καὶ οὐκ ἔξεισι τὸ πνεῦμα, ἀλλ' αὐτόθι μίμνει κακόν, [4] δεῖ οὖν οὕτως θεραπεύειν. [5] ἀνδράφαξιος ἀγρίης καρπὸν καὶ τεῦτλα τρίψας ὁμοῦ λεῖα, χλιήνας τε ἔγχεον ἐς τὰς μήτρας. [6] Ὑστερέων ὀδύνας παῦον. [7] οἶνον ὡς ἥδιστον ἴσον ἴσῳ κεράσας τρία ἡμιχόεα Ἀττικὰ, μαράθρου ῥίζας καὶ τοῦ καρποῦ τεταρτημόριον, καὶ ῥοδίνου ἐλαίου ἡμικοτύλιον. [8] ταῦτα ἐμβαλεῖν ἐς ἐχῖνον καινὸν, καὶ οἶνον ἐπιχέαι, εἶτα πυριῆσαι. [9] προστιθέναι δὲ καὶ σκίλλαν, ἕως τ' ἂν τὸ στόμα μαλθακὸν ᾖ, καὶ φοργανῶδες. [10] καὶ, ὅταν ἐν καθάρσει φλύκταιναι ἀνὰ τὸ στόμα τῆς ὑστέρης φύσωσιν, οὕτω θεραπεύειν. [11] σάρκα βοὸς πικερίῳ ἢ χηνείῳ στέατι καὶ ἀννήσῳ, τρίψας λείως τὴν σάρκα καὶ χρίσας, ἐς τὸ αἰδοῖον ἐντιθέναι.

LVIII. Ἢν ἐρυσίπελας ἔχῃ τὰς μήτρας, [2] οἰδέει τοὺς πόδας καὶ τοὺς μαζοὺς καὶ τὸ σῶμα. [3] καὶ πόνος αὐτὴν κατέχει, καὶ ὀρθόπνοια γίνεται. [4] καὶ ἀλγέει τοὺς κενεῶνας, καὶ τὸ ὑπογάστριον, καὶ τὰ στέρνα, καὶ τὴν κεφαλήν. [5] τρόμος τε ἔχει, καὶ τὰς χεῖρας

res ad extremam debilitatem deduxerint, spongiis calidis ex aqua & oleo expressis foveto: [16] & subdititia mollia apponito, medullam cervi, adipem anserinum, & ceram albam, & ovi luteum. [17] Aut ceratum picatum cum resina subdito. [18] Vino vero aut lacte caprino purgato, aut volucris jusculo. [19] Vinum autem ne bibat, [20] & ptisanæ succum sorbeat.

LVII. Ad dolorem uterorum medicamentum infusile. [2] Si dolor solum fuerit vehemens & violentus, caligo in uteris inest, [3] & flatus non exit, sed isthic manet malum. [4] Oportet igitur sic curare. [5] Atriplicis sylvestris semen, & betas simul trita ac tepefacta, in uteros infundito. [6] Aliud dolores uterorum sedans. [7] Vini suavissimi pari aqua temperati tres semicongios Atticos sumito, & fœniculi radices ac seminis ejusdem trientem, & olei rosacei heminam dimidiam. [8] Hæc in ollam novam immittito, & vinum superfundito: deinde foveto. [9] Apponito autem & scillam, donec osculum molle factum fuerit & ad lationem idoneum ac apertum. [10] Et quum in purgatione pustulæ circa osculum uteri exortæ fuerint, sic curato. [11] Carnem bubulam, cum butyro aut adipe anserino & aniso tritis illine, & ipsam carnem in pudendum inde.

LVIII. Si ignis sacer habuerit uteros, [2] intumescunt pedes, & mammæ, & corpus: [3] & dolor ipsam corripit: & recta cervice spiratio fit, [4] & dolet laterum mollitudinem, & partes sub ventre, & pectora, & caput: [5] & tremor occupat, & torpor manus,

χεῖρας νάρκη, καὶ τοὺς βουβῶνας καὶ τὰς ἰγνύας τρέμει. 16 ἐνίοτε δὲ καὶ ἐν τῇσιν ἰγνύῃσι καὶ πελιδναὶ γίνονται, 40 καὶ κουφίζει ὀλίγον χρόνον. 17 καὶ ἡ χροιὴ, μάλιστα δὲ καὶ οἱ μαζοὶ ἀείρονται κατὰ τὴν ὁμαιθρίην· τὰ ἄλλα γὰρ οὐ πάνυ τι ἀλγέει. 18 καὶ πῦρ καὶ ῥίγος λαμβάνει. 19 καὶ ἐρυθρὸν τὸ πρόσωπον γίνεται. 10 καὶ δίψα ἰσχυρή. 11 καὶ τὸ ἧπαρ ξηραίνεται. 12 ταῦτα ἢν 233 ἐγκύμονι προσπίπτῃ, θνήσκει, καὶ οὐκ ἂν δυνήσεται διαφυγεῖν.

13 Ἢν ἐρυσίπελας ἐν τῇσι μήτρῃσι γένηται, 14 οἰδήματα γίνεται πελιδνότατα ἀπὸ τῶν ποδῶν ἀρξάμενα, καὶ ἐς τὰ σκέλεα πάντα, καὶ ἐς τὴν ὀσφύν. 15 ὅσῳ δ' ἂν ὁ χρόνος πλείων γένηται, καὶ ὁ θώρηξ ἐπιλαμβάνεται, 16 45 καὶ οἰδίσκεται καὶ περιψύχεται πᾶσα. 17 καὶ πῦρ ἔχει μέγα, καὶ ῥίγος ἐπιλαμβάνει. 18 καὶ πνεῦμα πυκνόν. 19 καὶ λειποθυμίη, καὶ ἀσθενείη καὶ ὀδύνη παντὸς τοῦ σώματος. 20 δυσθυμέει τε καὶ αἰολᾶται τῇ γνώμῃ. 21 καὶ τὸ πάθος 234 ἀνέρχεται ἐκ τῆς κάτω κοιλίης ἐς τὰς ἰξύας, καὶ ἐς τὰ νῶτα, καὶ τὰ ὑποχόνδρια, καὶ τὰ στέρνα καὶ τὸν τράχηλον, καὶ τὴν κεφαλὴν, καὶ τὸν στόμαχον. 22 καὶ δοκέει θανεῖσθαι, 23 ὁκόταν δὲ λύηται ἡ ὀδύνη, νάρκη ἔχει τὰς ἰξύας, καὶ 235 283 τοὺς βουβῶνας, καὶ τὰ σκέλεα. 24 καὶ ἐν τῇσιν ἰγνύῃσι πελιὰ γίνεται, 25 καὶ ὀλίγον χρόνον δοκέει ῥάων εἶναι, ἔπειτα αὖθις πονέει. 26 καὶ ὁ χρὼς φλυκταινῶν καταπίμπλαται. 27 καὶ τὸ πρόσωπον ἐρυθήματα λάζεται προφανέα καὶ δηλούμενα. 28 καὶ ὁ φάρυγξ αὖος. [καὶ] ἡ γλῶσσα τρηχείη. 29 αὕτη ἡ νοῦσος, ἐς ἐγκύμονα χωρέῃ, κτείνει. 30 ἢν δὲ μὴ, ἰητρεύειν χρὴ 236 προσφέρειν. 31 ὄνου γάλα πιπίσκειν καὶ 5 καθαίρειν. 32 ἢν δ' ἐπὶ μὴ λύηται οὕτω, ψύχειν τὴν κοιλίην ἐν μαλθακοῖσι ψύγμασι,

nus, & inguina, & poplites tremunt. 6 Quandoque vero & in poplitibus lividæ fiunt, & modico tempore melius habent 7 ex hoc 'colore. Maxime vero mammæ attolluntur juxta gentilitatis cognationem. 5 Attamen non valde dolet: 8 & febris ac rigor corripit, 9 & facies rubicunda fit, 10 & sitis fortis est, 11 & hepar resiccatur. 12 Hæc si prægnanti acciderint, moritur, & non poterit effugere.

13 Si ignis sacer in uteris fiat, 14 tumores fiunt lividissimi, à pedibus exorsi usque ad crura tota, & ad lumbos. 15 Quanto vero tempus amplius progressum fuerit, 'etiam pectus percipit, 16 10 & intumescit, & tota perfrigeratur, 17 & febris habet magna, & rigor supervenit, 18 & spiritus densus, 19 & animi deliquium, & debilitas, & dolor totius corporis, 20 & tristatur, & mente variatur. 21 Et affectio ascendit ex inferno ventre ad lumbos, & ad dorsum, & præcordia, & pectora, & collum, & caput, & stomachum, 22 & mortua esse videtur. 23 Quum autem dolor solutus fuerit, 'torpor habet lumbos, & inguina, & crura: 24 & 15 in poplitibus livores fiunt, 25 & modico tempore melius habere sibi videtur: deinde rursus affligitur: 26 & corpus pustulis completur, 27 & rubores conspicui ac manifesti faciem occupant: 28 & guttur siccum est, & lingua aspera. 29 Hic morbus si prægnantem invaserit, occidit. 30 Sin minus, medelam adhibere oportet, 31 & lac asininum bibendum dare ac purgare. 32 Si vero sic 'non solvatur, ventrem 20 mollibus frigefactoriis perfrigerare,

ψύγμασι, [33] καὶ προσθέτοισι μὴ προσκελέσι. [34] καὶ καθῆραι κούφοις, ἐκ τοῦ κατ' ὀλίγον. [35] καὶ ἐμέειν. ἀγαθὸν δὲ ἀκτῆς φύλλα λαμβάνειν ἑφθὰ ξὺν ὀριγάνῳ ἢ θύμῳ ἢ πηγάνῳ. [36] ἢν δὲ τὸ πῦρ μεθίηται, καὶ οἶνον καὶ σιτία διδόναι γλυκέα. ἀλλὰ παῦραι θεραπεύονται.

LIX. Ἢν δὲ ὕδρωψ γένηται ἐν τῇσι μήτρῃσι. [2] τὰ ἐπιμήνια χωρέει ἀσώδεα καὶ ὑδατώδεα, καὶ οὐ πάνυ αἱματώδεα. [3] οἰδέει καὶ ἡ ὑστέρη, καὶ φλέβες, καὶ ὅσα ἄγχιστα. [4] καὶ κυΐσκεται· ἔπειτα πνίγεται. [5] καὶ οἱ μαζοὶ ῥέουσι. [6] καὶ ἡ νειαιρὴ γαστὴρ σκληρή ἐστι καὶ οἰδέει, καὶ πᾶς ὁ ἀμφὶ πέριξ χῶρος, [7] καὶ ἀλγέει, ἤν τις αὐτὴν ψαύσῃ. [8] πυρετός τε καὶ βρυγμὸς ἴσχει, [9] καὶ ὀδύνη απερχνη ἐς τοὺς κενεῶνας καὶ ἐς τὰς ἰξύας. [10] καὶ ἐξονειροῖ, καὶ κάκιον ἴσχει. [11] ταύτην λούειν δεῖ θερμῷ, καὶ χλιαίνειν. [12] φάρμακον δὲ πιπίσκειν καὶ πυρίην βληχροῖσι. [13] καὶ κυκλάμινον τριώβολον ἐν ὀθονίῳ προσθέσθω ἀποδήσασα. [14] καὶ κυπαρίσσου χυλὸν βρέχειν ἐν ὕδατι, καὶ κανθαρίδας τρίψασα, προσθέσθω ὀλίγον χρόνον, καὶ διὰ πλείονος ἐνεργεῖ. [15] Πρόσθετον ἄλλο ἐς ὕδρωπα· κύμινον, ἀσταφὶς λευκή, κνίδης καρπός, ἄρου ῥίζα. τουτέων ὃ βούλει ἐπιεικέως προσθεῖναι. [16] ἐπειδὰν ἐκκαθαίρῃς, κλυζέσθω καὶ ἀφαιρέειν καὶ ἐγκλύζειν τὰ αἰδοῖα. [17] καὶ ξυγκοιμάσθω ἅμα. [18] καί, ἢν διενέγκῃ τὸ ἔμβρυον, ἐκκαθαίρεται πᾶσα, καὶ ὑγιὴς γίνεται.

LX. Ἄλλος ὕδρωψ μητρέων. [2] ὕφαιμόν τι ῥέει ἰχωροειδές, καὶ καθαίρεται, [3] καὶ δάκνει σφόδρα, καὶ ἑλκοῖ, ὥσπερ ἅλμη

rare, [33] & subditiitiis non molestis [34] & levibus paulatim purgare, [35] itemque vomere. Ad hoc commodum est sambuci folia sumere cocta, cum origano, aut thymo, aut ruta. [36] Si vero febris dimiserit, etiam vinum ac cibos dulces dato. Veruntamen paucæ curantur.

LIX. Aqua intercus si in uteris fiat, [2] menses prodeunt arenosi & aquosi, & non valde cruenti. [3] Intumescit & uterus, & venæ, & propinquissimæ partes: [4] & prægnans fit: deinde suffocatur, [5] & mammæ fluunt, [6] & imus venter durus est ac intumescit, & omnis circumcirca locus, [7] & dolet si quis ipsum attingat. [8] Et febris ac stridor dentium corripit, [9] & dolor vehemens laterum mollitudinem ac lumbos: [10] & semen in somnis effundit, & pejus habet. [11] Hanc calida lavare oportet ac tepefacere: [12] pharmacum autem bibendum dare, & cum debilibus fovere: [13] & cyclamini obolos tres in linteo deliget ac apponat, [14] & cupressi succum in aqua madefaciat, ac cantharidas eadem terat, & modico tempore, & per multum temporis intervallum. Efficax est. [15] Subdititium. Cuminum chemæ mensura, uva passa alba. Aliud: Urticæ semen, ari radix. Horum quodcunque voles leniter apponito: ubi vero expurgaveris colluatur, ita ut detrahas & cum infuso pudenda colluas: [17] & simul cum viro dormiat: [18] & si fœtum ad partus tempus gestarit, tota expurgatur, & sana fit.

LX. Alia aqua intercus uterorum. [2] Subcruentum quiddam fluit saniosum, & purgatur, [3] & mordet valde, & ulcerat pudenda

ἅλμη, τὰ αἰδοῖα καὶ τὰ πέριξ, καὶ ὅκου ἂν ἐπιστάξῃ, ἑλκοῖ. 4 καὶ ἡ χροιὴ ἰκτεροειδής. 5 τὰ δὲ ἄλλα καθαίρεται πλῆθος, ὥσπερ ἐν τοῖσιν ἄλλοισι ῥόοισιν. 6 ἡ δὲ νοῦσος βληχροτέρη τε καὶ ἄλλως θανατώδης γίνεται.

7 Ἢν ἐξελκωθέωσιν αἱ μῆτραι, ταύτην θεραπεύειν ὡς τὴν ὑπὸ λευκοῦ ῥόου ἐχομένην. 8 καὶ γάλα ὄνειον πιπίσκειν. 9 καὶ ἰσχναίνειν, 10 καὶ ὑπὸ φαρμάκοισι τοῖσι προειρημένοισιν. 11 Ὑδέρου ἐκλεικτόν. 12 ἢν ὕδωρ ἐκ τῶν μητρέων ῥέῃ, θεῖον, χηνὸς ἄλειφα λείχειν.

LXI. Ἢν ἄνεμος ἐν τῇσι μήτρῃσιν ἐνῇ, 2 φῦσαι ἔξεισι καὶ τρύζει. 3 καὶ οἰδέει πᾶσα. 4 καὶ πῦρ ἔχει καὶ καῦμα. 5 πρὸς τοῖσδε ἀίσσει σφόδρα ὑπὸ τῆς ὀδύνης. 6 καὶ τὸν ἄνδρα οὐ προσίεται, καὶ σφόδρα ἄχθεται τὴν συνουσίην. 7 καὶ ὀρθοῦσθαι ἀδυνατεῖ. 8 καὶ ὡς βαρέα μιν κέεται ἐν τῇσι μήτρῃσι. 9 καὶ κεφαλὴν ἀλγέει. 10 καὶ ἀλύει. 11 καὶ ἄναυδός ἐστιν. 12 ἢν δὲ ἡ ὀδύνη προσῇ, βοᾷ τε καὶ ἀλγέει πάντα, καὶ ἰξύας, καὶ ἐπίσειον, καὶ τὴν ἕδρην. 13 καὶ τὸ οὖρον εἴργεται. 14 καὶ ἡ κοιλίη πνίγεται, καὶ θανεῖν ἐρᾶται, καὶ ὑποχόνδριον αἴρεται. 15 καὶ στόμαχος δάκνεται. 16 καὶ τὸ στόμα πικρόν. 17 καὶ ἐμέει ὀξέα καὶ ἄκρητα, καὶ ἐρεύγεται θαμινά, καὶ ῥαΐζει. 18 ἢν δὲ μή, ἀνοιδίσκεται. 19 καὶ ἢν ἐπαφήσῃ, καὶ ἀντιτυπέει, καὶ ἀλγέει. 20 κλύζειν οὖν χρὴ τὴν μήτρην μελικρήτῳ καὶ ὀξυμέλιτι καὶ ἐλαίῳ, κύμινόν τε τρίβοντα ἢ ἄννησον καὶ λίνου πέταλα τρίβειν. 21 καὶ ὄρνιθος ἀπὸ πιμελὴν ξὺν ὠοῖς καὶ ἐν ὕδατι ἐγχέειν. 22 προσθέτοισι δὲ οἷσιν ἂν ἐγὼ γράψω, καὶ πόμασι χρῆσθαι. 23 καθιζάνειν δὲ ἐν ἐλαίῳ θερμῷ, καὶ ἀρώματα ἐμβάλλειν. 24 σχοίνου ἀν-

θος

da velut muria, & circumsitas partes, & quodcunque destillarit ulcerat, 4 & color est morbi arcuati. 5 De cætero vero purgatur copia velut in aliis fluxionibus. 6 Morbus autem hic & debilior est, & aliquando lethalis fit.

7 Si uteri egressi fuerint. Hanc curato velut eam quæ à fluxu albo vexatur: 8 & lac asininum bibendum dato, 9 & extenuato, 10 & prædictis pharmacis curato: 11 Eclegma, quod delingitur ad aquam intercutem. 12 Si aqua ex uteris fluat, sulphur, & anseris adipem delingat.

LXI. Si ventus in uteris fuerit, 2 flatus exit, & strident, 3 & tota intumescit: 4 & febris habet & ardor: 5 & ad hæc valde exilit præ dolore: 6 & virum non admittit, & valde ægre fert coitum, 7 & erigi non potest, 8 & velut onus grave ipsi in uteris jacet, 9 & caput dolet, 10 & anxia est, 11 & loqui non potest. 12 Si vero dolor accesserit, clamat, & dolet omnia, & lumbos, & pubem, & sedem: 13 & urina supprimitur, 14 & venter suffocatur, & mori cupit: & præcordia distenduntur: & stomachus mordetur: 16 & os amarum est: 17 & vomit acida & pura ac meraca: & frequenter ructat, & melius habet: 18 Sin minus, intumescit: & si attigeris, renititur & dolet. 20 Proinde uterum cum aqua mulsa, & aceto mulso ac oleo colluere oportet: Et cuminum aut anisum tritum, sumere, & lini folia terere, 21 & gallinaceum adipem cum ovis in aqua infundere. 22 Subdititiis vero ac potionibus utere, quæ ego describam. 23 Desideat autem in oleo calido, & aromata in ipsum immittito, 24 junci odora-

θος ἢ ἐν ὕδατι δάφνης ἢ θαλάσσης. 25 ἄριστον δὲ καθαίρειν κλυσμοῖσι μαλθακοῖσι τὴν κοιλίην· 26 ἢ βάλανον προστιθέναι, ὡς ἠπίως 252 ἡ κοιλίη λύηται, εἴριον ἄπλυτον ξὺν μέλιτι. 27 ἢν δὲ γεραίτερον εἴη, κρόμμυον 253 ἐς ἔλαιον ἢ ἐς μέλι, καὶ προστιθέναι. 28 ἢ ταύρου χολὴν, ἢ νίτρον ξὺν μέλιτι. 29 ἢ ῥοιῆς ὀξείης 254 πυρῆνα ξὺν μέλιτι καὶ ἀλήτου κριθίνου.

LXII. Εἰ δὲ μύλη ἐμφύηται 255 ὑπὸ πάχεος γονῆς ἐνεχομένης, 40 2 θύμβρην λείας ἐν ὄξει καὶ ὕδατι, τοῦτο δίδου πίνειν ἔνυγρον, 3 ἢ ὑοσκυάμου τὸν καρπὸν λεῖον, 4 καὶ κλύζειν ἅλμῃ καὶ ὀπῷ καὶ ὄξει, ἢν δέῃ, 5 κάλλιστον, μελίκρητον ἐνιέναι ξὺν ὕδατι φακῶν, ἢ ὀρόβων, ἢ ἴου ἄνθεος. 6 ἢν δὲ καθαρθῇ οἷα τὰ πυρίφλεκτα, μυρσίνην ἑψεῖν, καὶ διανίζεσθαι, σμύρναν [τε] καὶ νέτωπον ξὺν εἰρίῳ προστιθέσθαι.

7 Ἢν ἄνεμος ἐνῇ ἐν τῇσι μήτρῃσι, καὶ δάκνῃ, 8 καὶ τῇ διεξιὼν πῦρ ποιέῃ, καὶ οἰδέῃ καύματι. 9 καὶ ὀδυνᾷ καὶ τὸν ἄνδρα 45 ἀπαναίνεται, καὶ ἄχθεται σφόδρα τῇ συνουσίῃ. 10 καὶ τείνεται καὶ οἰδέει τὸ ἦτρον. 11 καὶ οὐ δύναται ὀρθοῦσθαι ἢ ἰθύνεσθαι. 12 ὅταν οὕτως εὕρῃς, γνῶθι, ὅτι ἄνεμος καὶ γονὴ ἐστὶν ἐν τῇσι μήτρῃσι. 13 καὶ ἡ γυνὴ διὰ τοῦτο νῦν κάμνει 256 14 λαβὼν μέλι, κηρὸν, καὶ λίνου πέταλα τρίψας λεῖα, ὄρνιθος στέαρ οἴνῳ εὐώδει χλιήνας, ἔγχεον ἐς τὰς μήτρας κλυστῆρι. 15 κινέτω δὲ λίνου πέταλα, ἢ 257 τὸν καρπὸν τρίψαι, καὶ ἐς εἴριον ἐνειλίξας πρὸς τὸ στόμα τῆς μήτρης προστιθέσθω. 16 εἰ δὲ μὴ 258 ἰσχ-

ti florem. Aut in aqua lauri, aut marina desideat. 25 Optimum autem est mollibus infusis ventrem purgare, 26 aut glandem apponere quemadmodum puero venter solvitur, lanam illotam cum melle. 27 Si vero antiquior fuerit, cepam in oleum aut mel tinctam apponito. 28 Aut taurinum fel, aut nitrum cum melle. 29 Aut mali punici acidi nucleum, cum melle & ordeacea 60 farina.

LXII. Si mola ipsa indasceitur, à crassa genitura intus retenta, 2 thymbram tritam in aceto & aqua, liquidam bibendam præbeto. 3 Aut hyoscyami semen tritum: 4 & cum murina ac silphii succo & aceto colluito. Aut si opus fuerit cum aqua. 5 Optimum vero est aquam mulsam infundere, cum aqua lentium, aut ervi, aut floris violæ. 6 Si vero purgata fuerit à talibus quæ sunt velut igne ambusta, myr- 65 tum coquito ac perluito, & myrrham ac netopum cum lana apponito.

7 Si ventus in uteris fuerit, ac momorderit, 8 [illegible] quà transit calorem facit, & præ ardore intumescit, 9 & dolet, & virum aversatur, & coitum valde ægre fert: 10 & tenditur ac intumescit pecten, 11 & erigi non potest, nec dirigi. 12 Quum sic inveneris, scito quod ventus & genitura in uteris est, 13 & propterea nunc ægrotet. 14 Accipe itaque mel, ceram, lini fo- 70 lia trita, & adipem gallinaceum, & hæc in vino odorato tepefacta per clysterem in uteros infunde. 15 Apponat autem folia lini. Aut semen lini terito, & in lanam involvito, & ad os uteri apponito. 16 Sin minus, efficaciore utere.

ἀναμίσγων, χολὴν ἔλαιον ἢ κρόκον, 17 καὶ λίνε πέταλα, ὄρνιθος στέαρ τρίψας λεῖα, διεὶς τε γάλακτι γυναικείῳ, ἀποσπογγίσιος ἄχνῃ ἀπὸ ὀθονίων λεπτῶν ἀναδήσας. 18 προστιθέσθω δὲ πρὸς τὸ στόμα τῆς ὑστέρης.

19 Ἢν δὲ πιμελὴ ἐπὶ σαρκωδεστέρη ἐμφύηται, ὅ τι ἐκτήξει ἐντιθέναι, καὶ λεπτύνειν μετρίως. 20 αἱ γὰρ λίην λεπτυνόμεναι ἀραιαί εἰσι καὶ ἐκτιτρώσκουσι.

LXIII. Εἰ δὲ μὴ δέχηται ἡ ὑστέρη, ἀλλ' ἀφίησι, καὶ θερμὸν οὐκ ἔχει ἐν ἑωυτῇ, 2 ὄργανον χρὴ μηχανοποιέεσθαι, ἐφ' ὃ ἐζομένη εἰσέλθῃ ἀτμὸς ἐς τὰς μήτρας. 3 ἀμφὶ δὲ τὰ ἱμάτια κυκλόσε τιθέναι. 4 θυμιῆν δὲ κασίην, κιννάμωμον, σμύρναν, ἴσον ἑκάστου, ἐν οἴνῳ τε [illegible] φυράσας, [illegible] καὶ ἐπιβάλλειν. 5 ὀλίγα λούεσθαι, [καὶ] ὀλίγα σιτεῖσθαι. 6 ὠφελεῖ δὲ καὶ πρόσθετον [illegible] σμύρναν [illegible] ξὺν μέλιτι μίξας. 7 ἔστω δὲ προμήκης ὡς βάλανος. 8 καὶ ταῦτα πολλάκις ποιέειν, πρὸς τὴν δύναμιν ὁρῶν. 9 καὶ οἱ ἐν σίτῳ πελεκῖνοι τριφθέντες ξὺν σμύρνῃ ὠφελέουσιν. 10 ἑψεῖν δὲ μέλι, ξὺν τῇσι δᾳσὶν ἀνακυκᾷν, καὶ ὅσον αἰγύπτιον κύαμον προστιθέναι. 11 καὶ ταύρου χολὴν, καὶ ῥοῦ ἐρυθροῦ ἴσον κεράσας ποιέειν. 12 ὅμοιον δὲ ἐπὶ σελίνῳ οὔλῳ φύεται δὲ ἄγχιστα θαλάσσης ἐν χωρίοισι ψαμμώδεσιν, ὀσμὴ δὲ τούτου δύσοιστος. 13 τοῦτο ξὺν μέλιτι καὶ οἴνῳ προσθεῖς. 14 ἢ τὸ βόλβιον, ἐν πυροῖς δὲ θεωρέεται, αἰγυπτίοισι μάλιστα, δριμὺ, ὅμοιον κυμίνῳ αἰθιοπικῷ. 15 τοῦτο σκόροδον, νίτρον ἐν τῷ αὐτῷ προστιθέναι. 16 προλουέσθω δέ.

LXIV. Ὅταν γυνὴ τὴν κεφαλὴν

utere. Irinum & crocum, 17 & lini folia, & adipem gallinaceum terito, & lacte muliebri diluta, rasura de tenuibus linteolis derasa excipito ac illigato, 18 & ad uteri osculum appo- nito.

19 Et si pinguitudo carnosior enascatur, quod consumat indito, & mediocriter attenuato. 20 Quæ enim valde attenuantur, raræ fiunt & abortiunt.

LXIII. Si vero genituram non suscipit uterus, sed dimittit, & calorem in seipso non habet, 2 instrumentum parare oportet, cui insidens vaporem intra uterum recipiat, 3 ita ut vestes circumcirca ponantur. 4 Suffire autem oportet casiam, cinamomum, myrrham; singulis pari portione vino siræo sive sapa subactis, & super prunas conjectis. 5 Modice vero lavetur, & modice cibum sumat. 6 Opitulatur & subdititium hujusmodi. Myrrham mollem cum melle efformato. 7 Sit autem oblonga velut glans: 8 & sæpe hæc facito virium respectu habito. 9 Prosunt & pelecini in frumento nascentes, cum myrrha triti. 10 Mel quoque coquito, & cum tædis agitatum permisceto, & fabæ ægyptiæ magnitudinem apponito: 11 fel item taurinum, & rhoem rubrum pari portione. 12 Conyza herba est similis apio crispo, nascitur autem prope mare in locis arenosis, odor vero ejus ægre tolerari potest. 13 Hanc cum melle & vino apponito. 14 Aut bulbion (conspicitur autem in tritico, maxime ægyptio) acre, simile cumino æthiopico: 15 hoc & allium & nitrum simul apponito. 16 Verum antea lavetur.

LXIV. Quum mulier caput dolet,

λῶ ἀλγέῃ, τὸ βρέγμα τε καὶ τὸν
15 τράχηλον, καὶ ἰλιγγιᾷ περὶ τῶν
ὀμμάτων, καὶ φοβέεται καὶ συγγνώμη
ἐστι, καὶ οὖρα μέλανα, καὶ δι' ὑστέ-
ρης ὅμοια, καὶ ἄσην ἔχῃ, καὶ δυσθυ-
μίη· μέλαινα χολὴ ἐν τῇσι μή-
τρῃσιν ἔνι. θεραπεύειν δὲ, σι-
κύου ἀγρίου πέπονος ἐντεριώνην,
ταύρου χολὴν, ἄνθος χαλκοῦ τρίβειν
ξὺν βάκχαρι, καὶ προσθετὸν ποιέειν,
καὶ φάρμακον πιπίσκειν καὶ λούειν.

Ὁκόταν δὲ δάκνωνται τὰς μή-
τρας γυνὴ, καὶ ἀλγέῃ, καὶ ἀδά-
ξηται, καὶ χολὴν οὐρέῃ ξανθὴν,
καὶ ἡ μήτρη χαίνῃ, οἷα, καὶ οἱ ὀφ-
20 θαλμοὶ ἰκτερώδεις· ἴσθι ὅτι χο-
λὴ ἐν τῇσι μήτρῃσιν ἔνι. ἄριστον
γοῦν ἐκκαθαίρειν, τό, τε πᾶν σῶ-
μα, καὶ αὐτὰς, προσθέτοισιν, ἃ
χολὴν ἄγει.

Ὁκόταν δὲ ψυχθῶσιν αἱ
ὑστέραι, καὶ βάρος δοκέῃ ἐγκέε-
σθαι, καὶ τὸ χρῶμα οὐ λαμπρὸν,
καὶ πεπήγῃ ἡ ὑστέρη, ὅταν οὕ-
τως ἔχῃ, καθαίρειν δ', ὃ φλέγμα
ἄγει, καὶ λεπτύνειν χρὴ, καὶ
πυκινὰ ἐμέειν.

LXV. Ὅταν γυναικὶ ὄζῃ κα-
κὸν ἐκ τοῦ στόματος, καὶ τὰ οὖλα μέ-
λανα ᾖ καὶ πονηρὰ, κεφαλὴν
λαγωοῦ καὶ μύας τρεῖς κατακαῦσαι
χωρίς· καὶ τῶν δύο μυῶν ἐξελεῖν
25 τὴν κοιλίην, ἧπαρ δὲ καὶ νεφροὺς,
μή· καὶ ἐν θυίῃ λιθίνῃ τρίβειν
μάρμαρον ἢ λίθον λευκὴν, καὶ διασή-
θειν. εἶτα μίσγειν ἴσον ἑκάστου,
καὶ τοὺς ὀδόντας τρίβειν, χρὴ δὲ καὶ
τὰ ἐν τῷ στόματι, καὶ μετέπειτα ἐρί-
ῳ πινοεστάτῳ τρίβειν, καὶ διακλύζε-
σθαι ὕδατι. βάπτουσα δὲ τὸ
πινῶδες εἴριον ἐν μέλιτι, ἀνατρι-
βέτω τοὺς ὀδόντας καὶ τὰ οὖλα, καὶ τὰ
ἔνδον καὶ τὰ ἔξω. τρίβειν τε ἄννη-
σον

dolet, & sinciput ac collum, & 95
vertigo præ oculis observatur, & timet, & tristis fuerit, & urinæ nigræ, & similia etiam per uterum prodeunt, & anxietas ac mœror ipsam tenuerit: atra bilis in uteris inest. Curetur autem sic. Cucumeris sylvestris anniculi internam partem, fel tauri, florem æris, cum baccharе terito, & subdititia formato: & pharmacum bibendum dato, ac lavato.

Quum vero mulier uteros mordetur, & dolet, lancinaturque, & bilem flavam mingit, & uterus hiarit, & oculi fuerint velut morbo regio affectorum: scito quod bilis in uteris est. Quapropter optimum est expurgare totum corpus & ipsos uteros subdititiis, quæ bilem educunt.

Quum vero perfrigeratur uterus, & onus infitum esse videtur, & color non est clarus, & compactus est uterus: Quum sic habuerit, purgare oportet cum eo quod pituitam ducit, & attenuare, ac fre- 100
quenter vomere.

LXV. Quum mulieri male oluerit ex ore, & gingivæ nigræ fuerint ac pravæ, caput leporis, & mures tres seorsim exure, & ex duobus muribus ventrem exime, hepar autem & renes non: & in pila lapidea marmor, aut lapidem album tere ac cribra: deinde singulorum pares portiones miscere, ac dentes confricare oportet & locos in ore: & postea lana succidissi- 105
ma fricet, & cum aqua colluat. Tingat autem lanam succidam in melle, & confricet dentes ac gingivas, & internas ac externas partes. Terat item anisum, &

anethi

σιν καὶ ἀνήθου καρπὸν, καὶ σμύρνης ὁλκῆς ὀβολοὺς δύο, διιέναι οἴνῳ λευκῷ ἀκρήτῳ ἡμικοτυλίῳ· 9 ἐν τούτῳ διακλυζέσθω, καὶ ἐν τῷ στόματι πουλὺν κατεχέτω χρόνον. 10 θαμινὰ δὲ τοῦτο δρᾷν, καὶ ἀναγαργαρίζειν νῆστιν, καὶ μετὰ τὴν προσφορήν. 11 ἄριστον δὲ ὀλιγοσιτίη. 12 κράτιστα χρὴ προσφέρεσθαι. 13 τοῦτο τὸ φάρμακον ὀδόντας καθαίρει, καὶ εὐώδεας ποιεῖ. 14 καλεῖται δὲ ἰνδικὸν φάρμακον.

LXVI. Ὁκόταν γυναικὶ ὁ [262] μαζὸς τρηχιάσηται, 2 σιδῆς καρπὸν [263] ἢ βάτου ἑψεῖν ξὺν ὕδατι καὶ ἐλαίῳ, 3 καὶ τοὺς μαζοὺς καταπλάσσειν, 4 καὶ τεύτλου φύλλα [264] ἐπιτιθέναι. 5 ἔπειτα ῥάψαι ἐς ῥάκος, ὡς κυρβασίην, 6 τεκμαιρόμενος [265] ὅσον τὸν μαζὸν ἐγχωρήσει, καὶ οὕτως ἐντιθέναι τὸν τιτθόν. 7 ἢν δὲ διαπύῃ, τάμνειν, καὶ εἰρίῳ ῥυπαρῷ μοτοῦσαι, καὶ ἐπιβάλλειν ταὐτά. 8 μετέπειτα φακῷ ἑφθῷ ξὺν ἀλφίτῳ μίξαι, καὶ καταπλάσσειν.

9 Ἐπὴν γυναικὸς ἐν τῷ αἰδοίῳ, ἢ ἐν τῷ ἀρχῷ ἀσκαρίδες γίνωνται, 10 λύγου καρπὸς μίσγεται ἢ φύλλα, καὶ βοὸς χολὴ παραμίσγεται ὅσον ὀβολός· 11 κεδρίνῳ δὲ ἐλαίῳ φυρῶν, καὶ εἰρίῳ πιοέντι [266] ἁβροτάτῳ ἀναλαβεῖν. 12 ἐντιθέσθω δὲ διὰ τρίτης, νύκτα καὶ ἡμέρην. 13 τῇ δὲ ὑστεραίῃ ἀφελομένη λουέσθω θερμῷ, 14 καὶ σκόροδα ἑφθὰ καὶ ὠμὰ ἐσθιέτω. 15 καὶ αἱ ἀσκαρίδες ἐξίασι, καὶ θνήσκουσιν. 16 ἅλμῃ δὲ κλύζειν χρή.

LXVII. Πρόσωπον ἀγλαΐζει. [267] ἧπαρ ταύρου τρίβειν ξὺν ἐλαίῳ, ἀλείφειν δὲ ξὺν ἀκρήτῳ οἴνῳ. 2 χολὴ [268] δὲ χλωρὴ φθείρει. 3 ἀλλὰ καὶ

ὁ χυ-

anethi semen, & myrrham pondere duorum obolorum, atque hæc in vini albi meraci hemina dimidia diluat, 9 & cum his os colluat, & multo tempore in ore contineat. 10 Hoc autem frequenter faciat, & jejuna gargarisset, & post cibum. 11 Optimum vero est modico cibo uti, 12 & optima quæque ingerere oportet. 13 Hoc pharmacum dentes purgat, & bene olentes facit. 14 Vocatur autem Indicum medicamentum.

LXVI. Quum mulieri mamma aspera facta fuerit, 2 stœbes aut rubi fructum, cum aqua & oleo coquito, 3 & cataplasmate facto mammas integito, 4 & betæ folia superponito: 5 deinde ex linteo velut pileum consuito, 6 & magnitudine ut mammam capiat, atque sic mammam indito. 7 Si vero suppuretur, secato, & ex lana succida linamentum sive penicillum immittito, & eadem superponito. 8 Postea vero ex lenticula cocta cum polenta permixta, cataplasma adhibeto.

9 Si in pudendo mulieris, aut intestino recto ascarides nascantur, 10 viticis semen aut folia, cum fellis bubuli obolo permiscentur, 11 & oleo cedrino subiguntur, & lana succida mollissima excipiuntur. 12 Induntur autem tertio quoque die, per noctem ac diem. 13 Postridie vero ubi amovit, calida lavetur: 14 & allium coctum ac crudum edat: 15 & ascarides exeunt ac moriuntur. 16 Muria vero etiam colluere oportet.

LXVII. Ad faciem ornandam. Hepar tauri terito cum oleo: illinito autem cum vino meraco. 2 Fel autem furfures exterit. 3

ὁ χυλὸς τῆς πτισάνης ὁμοίως λαμπρύνει. 4 καὶ ὠῶν τὸ λευκὸν, καὶ ἄλευρον θέρμων, καὶ ὀρόβων, καὶ σύκων, καταπλαττόμενα. 5 καὶ κράμβης ῥίζα καὶ σπέρμα. 6 ταῦτα καὶ φακοὺς αἴρει. καὶ ἀλκυόνιον. 7 καὶ κονιορτὸς ἢν λυπῇ τὸ πρόσωπον, κηρωτῇ ὑγρῇ διὰ ῥοδίνου ἐπιχρίειν, καὶ ὕδωρ ψυχρὸν περιχέειν.

8 Καὶ ῥυτίδας ἐκλεαίνει. ἐν θυίῃ λιθίνῃ μολύβδαιναν τρίβειν, [καὶ] μηνιαῖον ὕδωρ παραχέοντα πλάσσειν κυκλίσκους. 9 καὶ ἐπειδὰν ξηρανθῶσιν, ἐλαίῳ διεὶς χρίειν τὸ τὰς ῥυτίδας φέρον πρόσωπον.

10 Ἢν δὲ ῥέωσιν αἱ τρίχες, λάδανον μετὰ ῥοδίνου ἢ ἀνθίνου μύρου τρίβε, καὶ μετ' οἴνου ἐγχρίεσθω. 11 ἢ τὴν σμηκτρίδα γῆν ξὺν οἴνῳ, ἢ ῥοδίνῳ, ἢ ὀμφακίνῳ, ἢ ἀκακίῃ. 12 καὶ ἢν μαδήσῃ, κύμινον ἐμπλάσσε, ἢ πελειάδων κόπρον, ἢ ῥάφανον τρίψας, καὶ κρομμύῳ τριβέτω, ἢ τεύτλῳ, ἢ κνίδῃ.

LXVIII. Τὰς δ' ἐφηλίδας λεγομένας αἴρει ὀρόβιον τεύτλου τὸ χυλὸς, ὠῶν τὸ λευκὸν, πτισάνη, 2 ἢ σικύου ἀγρίου ῥίζη ξηρὴ μετ' οἴνου τρυγὸς τριφθεῖσα ἐπαλειφομένη. 3 ἢ συκῆς φύλλα προστιθέμενα. 4 σησάμῳ τριπτῷ σμήχειν, ἢ ἀμυγδάλαις πικραῖς. 5 κνίδης τὸ σπέρμα, σκορόδου κέλυφος, ἐπιδεόμενον λεπίδιον.

6 Λειχῆνας ἐξάγει πάντας. ὄξος, μάννα, κισσηρὶς, θεῖον μετ' ὄξεος, κάρδαμον ἄγριον καὲν καὶ σποδωθὲν, ἐχίδνης λεβηρὶς, καὶ λαπάθου ἀγρίου ῥίζα. τρίβειν δὲ μετ' ὄξεος οἰνώδεος. 7 Ἢν δὲ φλυκταινῶται, καὶ λιθαργύρου χρέο.

LXIX. Ῥόου ἐρυθροῦ ποτὸν ἀγαθόν.

Sed & ptisanæ succus similiter illustrat, 4 & ovorum candidum: & farina lupinorum, & ervi, cum ficis in cataplasmate adhibita. 5 Et brassicæ radix ac semen. 6 Hæc etiam lentigines tollunt. Itemque alcyonium. 7 Et si pulvis faciem læserit, ceratum liquidum ex rosaceo præparatum sublinito, & aquam frigidam affundito.

8 Et rugas lævigat hoc. In pila lapidea plumbaginem terito, & menstrua ex situ aqua affusa pastillos formato, 9 qui ubi resiccati fuerint, oleo dilutos rugosæ faciei illinito.

10 At si capilli defluant, ladanum cum rosaceo aut anthino unguento terito, & cum vino illinat. 11 Aut terram cimoliam cum vino, aut rosaceo, aut omphacino, aut acacia. 12 Si vero calva facta fuerit, cuminum impone, aut stercus columbinum, aut raphanum tritum. Aut cum cepa confricet, aut cum beta, aut cum urtica.

LXVIII. Cæterum solares appellatas maculas tollit, ervi decoctum, betæ succus, ovorum candidum, ptisana, 2 cucumeris sylvestris radix sicca, cum vini fece trita, ac illita. 3 Aut fici folia adhibita. 4 Item sesamo trito fricari, aut amygdalis amaris: 5 & urticæ semen, & allii cortex superligatus, & lepidium.

6 Impetigines omnes extrahit. Acetum, manna thuris, pumex, sulphur cum aceto, nasturtium sylvestre ustum & in cinerem redactum, viperæ exuvium, rumicis sylvestris radix. Teratur autem cum aceto vinoso. 7 Si vero pustulæ emergant, etiam spuma argenti utere.

LXIX. Potio ad fluxum rubrum

θόν. ἐλάφου κέρας καταχαύσας ὠμηλύσει κριθῶν ξυμμίξαι διπλασίην, ἐπὶ οἶνον πράμνιον ἐπιπάσσουσα πινέτω, καὶ ἵσταται. [2] Ἕτερον ὁμοίως ποτόν. ἀδιάντου ῥίζαν τρίψας, καὶ ἐρεβίνθους φώξας, καὶ 274 λέκιθον, πινέτω ἐν μέλιτι ὡς ποτὸν διδόναι. [3] ἢ ἀλήτου σητανίου ὀξύβαφον, κόμμεος λευκοῦ ἥμισυ, μάννης τρίτον μέρος, καὶ σχοίνου ὀλίγον. [4] ἢ πίτυος, ἢ κυπαρίσσου διεὶς ὕδατι, δίδου πιεῖν. πινέτω δὲ τῆς ἡμέρης. [5] ἢ ἐλάφου κέρας καταχαύσας, τρίψας τε ξὺν ὠμηλύσει καὶ κεδρίσι πέντε· οἶνος ξὺν τῇσι δαισὶν αὐστηρὸς μέλας μίγνυται. [6] ἢ ῥοιῆς γλυκείης, ὀπτήσας τὸν χυλὸν, ξὺν οἴνῳ μέλανι πινέτω. [7] ἢ κυπαρίσσου καρπὸν ὅσον τρία ἢ τέσσαρα, καὶ μύρτα μέλανα, καὶ ὁμοῦ καὶ 15 αὐτὰ καθ᾽ ἑαυτὰ, πρὸς ἰσχὺν τοῦ σώματος ὁρέων τῆς γυναικός. ξὺν οἴνῳ δὲ ἡ πόσις γινέσθω. [8] ἢ καστορίου ὀβολὸν ἐν οἴνῳ τρίψαι αὐστηρῷ μέλανι, καὶ πιπίσκειν.

LXX. Ῥόου δὲ πάσης νούσου ποτὸν, ὅσαι ἀπὸ τῶν ὑστερέων γίνονται. [2] γλυκυσίδης καρπὸν, καὶ τὰς ῥόου 275 τὰς ῥίζας, κύμινον αἰθιοπικὸν, καὶ μελάνθιον ἐν οἴνῳ λευκῷ διδόναι. [3] ἢ νάρθηκος ξύσας ὅσον ὀξύβαφον, καὶ πράσου χυλὸν ἐν οἴνῳ λευκῷ 276 κεκρημένῳ. [4] τοῦτο δὲ ἐκ ῥινῶν αἱμοῤῥέον παύει. [5] ἢ σίδην ἑψῆσαι ἐν 20 οἴνῳ μέλανι, καὶ περιλέψαι, δὲ τὰ ἔνδον τρίβειν ἐν οἴνῳ μέλανι, ξὺν πάλῃ ἀλφίτου πιεῖν. [6] ἢ λίνου, ἢ ἐρυσίμου φῶξαι, καὶ ἐλαίης φύλλα χλωρῆς, καὶ μέλαιναν ῥίζαν, [δὲ] 277 μήκωνα ἁδρήν. [7] ταῦτα τρίψας, ἐν τῷ αὐτῷ οἴνῳ κεκρημένῳ δίδου πίνειν. [8] ἢ πυτίην ὄνου, καὶ σίδης γλυκείης ῥίζαν, καὶ κνίδην, 278 ἐξ

brum commoda. Cornu cervi ustum, ad duplum crudæ ordeaceæ farinæ ammisceto, atque hæc in vinum pramnium inspersa bibat, & sistitur. [2] Alia. Adianti radicem tritam, & cicer torrefactum, & lentium farinam ex melle bibat, aut velut potum exhibeto. [3] Aut farinæ tritici recentis acetabulum, gummi 145 albi dimidiam, mannæ thuris tertiam partem, & junci odorati parum. [4] Aut de pinu, vel cupresso aqua dilue, & bibendum præbe. Bibat autem in die. [5] Aut cornu cervi comburito ac terito, & crudam ordeaceam farinam cum cedri baccis quinque, & vinum austerum nigrum cum tædis ammisceto. [6] Aut mali punici dulcis assati succum, cum vino nigro bibat. [7] Aut cupressi baccas tres aut quatuor: 150 & myrti baccas nigras, & simul, & ipsas per seipsas, ad robur corporis mulieris respectu habito. Cum vino vero potio fiat. [8] Aut castorii obolum in vino nigro austero terat ac bibat.

LXX. Potio ad fluxum, & omnes morbos qui ab uteris fiunt. [2] Pæoniæ semen & radices, cuminum æthiopicum, & melanthium in vino albo exhibeto. [3] Aut ferulæ rasæ acetabulum, & porri succum, in vino albo di- 155 luto. [4] Hoc etiam ex naribus manantem sanguinem sistit. [5] Aut malum punicum in vino nigro coquito, ac decorticato, & interna in vino terito, & cum polentæ farina exhibeto. [6] Aut linum, vel erysimum tostum, & oleæ folia viridis, & radicem nigram aspalathi, & peplum plenum, [7] hæc trita in eodem vino diluto bibenda dato. [8] Aut coagulum asininum & mali punici dul-

ἐξ ἴσου πάντα, καὶ ῥοιῆς γλυκείης χυλὸν ξὺν οἴνῳ πίνειν. 9 ἢ λαπάθου καρπὸν ξὺν τῇ κηκῖδι ἔξω περιεξυσμένῃ· ταῦτα τρίβειν ἅμα, καὶ μετέπειτα κυκεῶνα. 10 Ἢν αἷμα ῥέῃ λαῦρον ἐξ ὑστερέων, ἄγνου φύλλα ξὺν οἴνῳ μέλανι. 11 τὰ στρυφνὰ ῥόον ἵστησιν, οἴνῳ μέλανι μιγνύμενα.

LXXI. Περὶ ῥόου καὶ ὀδύνης. κάγχρυος ῥίζαν ἐν οἴνῳ μέλανι δίδου πιεῖν. 2 ἢν δὲ πλεῖον ᾖ, τερμίνθου καρπὸς τριβόμενος· χρὴ δὲ οἴνῳ καὶ ὕδατι διιέναι, καὶ πίνειν. 3 Ἢν ῥόος γίνηται, καρκίνους ποταμίους ἀποπνίξας ἐν οἴνῳ πίνειν διδόναι [ἐκ] τοῦ τοιούτου οἴνου μεθ' ὕδατος. 4 ἢν δὲ ἔτι φέρηται ὁ ῥόος, πρόμαλον φώξας καὶ τρίψας ἐν οἴνῳ δίδου, ἢ πρασίων χυλόν. 5 Ἢν δὲ πουλὺς κατέρχηται ὁ ῥόος, ἡμιόνου ὀνίδας κατακαίειν καὶ λεαίνειν, καὶ ξὺν οἴνῳ διδόναι. 6 Ἢν δὲ πολυχρόνιος ὁ ῥόος γένηται, σπόγγος κατακαεὶς ὀνήσει· τρίβειν δὲ λεῖον τὸν σπόγγον, καὶ ξὺν οἴνῳ διδόναι εὐώδει. 7 Κατάπλασμα ῥόων. σκόροδα, καὶ ἀνδράχνην, καὶ σέλινον, καὶ λωτοῦ πρίσματα, καὶ κέδρου λεῖα ὁμοῦ μίξαι· διεὶς δὲ ἐν μελικρήτῳ κατάπλασμα ποιέειν. 8 ἢ βάτου φύλλα καὶ ῥάμνου καὶ ἐλαίης, ὁμοῦ λεῖα μίξαι, καὶ διιέναι ἐν μελικρήτῳ, καὶ ξὺν ἀλφίτοισι καταπλάσσειν. 9 ἢ ἀκτῆς καὶ μυρσίνης φύλλα καταπλάσσειν. 10 ἢ λωτοῦ πρίσματα, καὶ συκαμίνου φύλλα, καὶ ῥόδου ξὺν ἀσταφίδι.

LXXII. Πυριήσιες ῥόων. 2 αἴρων ἄλευρον πεφωσμένον ἕψε ἐν ὀξυκρήτῳ ἀκρητεστέρῳ, καὶ ἐς ὀθόνιον ἐγχέας πυρία.

3 ἢ

dulcis radicem, & gallam, omnia æquis portionibus, & mali punici dulcis succum, cum vino bibat. 9 Aut rumicis semen, cum gallæ parte externa circumrasa. Hæc simul terito, & postea cyceonem facito, ac exhibeto. 10 Si sanguis largus ex uteris fluat, viticis folia cum vino nigro dato. 11 Acerba item omnia fluxum sistunt, vino nigro ammixto.

LXXI. Ad fluxum & dolorem. Canchryos radicem in vino nigro bibat. 2 Si vero amplior fuerit, terebinthi fructus tritus prodest. Oportet autem vino & aqua diluere ac bibere. 3 Si fluxus fiat, cancros fluviatiles in vino suffocato, & de tali vino cum aqua bibendum dato. 4 Si vero adhuc feratur fluxus, promalon sive myricam torreto, & tritam in vino dato: aut porri succum. 5 Si vero multus defertur fluxus, muli stercus comburito, terito, & cum vino dato. 6 Si autem diuturnus fiat fluxus, spongia combusta auxiliatur. Terenda est autem spongia, & cum vino odorato bibat. 7 Cataplasma ad fluxus. Allium, & portulacam, & apium, & loti ac cedri ramenta trita simul misceto: & cum aqua mulsa diluito, & cataplasma facito. 8 Aut rubi, & rhamni, & oleæ folia trita simul misceto, & in aqua mulsa diluito, & cum polenta in cataplasmate adhibeto. 9 Aut sambuci & myrti folia in cataplasmate adhibeto. 10 Aut loti ramenta, & mori folia, ac rosæ folia, cum uva passa ad cataplasma redigito.

LXXII. Fomenta ad fluxus. 2 Loliaceam farinam torrefactam in posca meraciore coquito, & linteo illitam pro fomento adhibeto.

3 ἢ φακοὺς φώξας καὶ περιπτίσας, ποιέειν ἄλευρα χονδρότερα, καὶ ἐν ὕδατι ἑψεῖν, καὶ ὁμοίως καταπλάσσειν. 4 ἢ ὀρόβους ὡσαύτως. 5 ἀγαθὸν δὲ καὶ ἐλελίσφακον, ἢ ἄχυρα κριθῶν ἐν ἀφεψήματι ἐλελισφάκου καὶ ὑπερικοῦ ἑψεῖν, καὶ ′ καταπλάσσειν. 6 [ἢ] λωτοῦ πρίσματα καὶ κυπαρίσσου ἐναφεψῶν ἐν ἀσταφίδος ἀποβρέγματι, ἐς ὀθόνιον ἐπιχέων πυριῆν. 7 ἐλαίης φύλλα, ἢ κισσοῦ, ἢ μυρσίνης ἐν ἀφεψήματι, καὶ μετὰ τούτων, κριθῶν ἄχυρα ἑψεῖν. 8 ἢ ἀρωμάτων ὕδατι συναφεψεῖν πίτυρα πύρινα. 9 ἢ ἀσταφίδος ἀποβρέγματι πίτυρα πυρῶν ἑψεῖν. 10 ἢ λευκοΐου καρπὸν ἢ τὰς ῥίζας ἀφεψεῖν, ″ καὶ τῷ ὕδατι ξὺν πιτύροισι πυρίνοισιν ἐπιρρίπτειν. 11 ἢ τῷ ἀφεψήματι πίτυρα πυρῶν, ἄρτον ποιήσασα, ′ θερμῷ ἐνειλιξαμένη εἰρίῳ, πυριήσθω. 12 ἢ τῷ τῆς ἑρπύλλου ἑψήματι καὶ πίτυρα τὸν αὐτὸν τρόπον. 13 πυριῆν δὲ καὶ σπόγγοισι θερμοῖσι, καὶ εἰρίοισι μαλθακοῖσιν, ἢν περιωδυνέῃ· 14 καὶ τοῖσιν ὀστρακίνοισιν ἀγγείοισιν, ὕδατος ἐγχέων, 15 ἢ ἐν κύστεσιν ἐλαίου θερμοῦ.

LXXIII. Κλυσμοὶ ῥόων. 2 μυρσίνης φύλλα καὶ δάφνης καὶ κισσοῦ ἐν ὕδατι ἀφεψεῖν. τούτῳ κλύζειν χλιηρῷ. 3 ἀκτῆς φύλλα ″ καὶ σχίνου ἀφεψεῖν ἐν ὕδατι ἀποχέας ἀκροχλιηρῷ κλύζειν. 4 ἢ οἰνάνθην καὶ κύπερον καὶ ′ ἀσταφίδα ἀφεψεῖν ἐν μελικρήτῳ καὶ κλύζειν. 5 ἢ τήλιος ὕδατι, ἢ βάτου ἀφέψημα, ἢ ἐλαίης χλωρῆς, ἢ κυπαρίσσου, ἢ ἑρπύλλου, ἢ ῥοιῆς, ἢ λευκοΐου ῥίζης, ἢ σχίνου ἀκροχλίαρον. 6 ἢ τὸ διὰ βουτύρου

beto. 3 Aut lentes torrefactas ac decorticatas in crassiorem instar alicæ farinam redigito, & in aqua coquito, ac similiter adhibeto. 4 Aut ervum eodem modo. 5 Commoda est & salvia. Aut paleas hordei in salviæ & ′ hyperici decocto coquito, & imponito. 6 Aut loti ramenta, & cupressi in uvæ passæ cremore cocta, linteo inducito, ac pro fomento adhibeto. 7 Aut oleæ folia, aut hederæ, aut myrti, in aqua coquito, & cum his etiam hordei paleas coquito. Aut furfures triticeos 8 in aromatum aqua coquito. 9 Aut furfures triticeos in uvæ passæ cremore coquito. 10 Aut violæ albæ semen, vel radices coquito, & ad aquam decocti ′ furfures triticeos injicito, ac foveto. 11 Aut cum eo decocto furfures triticeos subigat, & panem faciat, eoque calido lanæ involuto foveatur. 12 Aut in serpilli decoctum furfures triticeos injicito, & eodem modo foveto. 13 Sed & fomentum adhibendum est cum spongiis calidis, & cum mollibus lanis, si dolore vexetur: 14 & cum vasis testaceis aqua infusa, 15 & cum vesicis oleo calido plenis.

LXXIII. Collutiones ad fluxus. 2 ′ Myrti folia, & lauri, & hederæ in aqua coquito, & cum hac tepida colluito. 3 Sambuci & lentisci folia in aqua coquito, & cum excolata leviter tepida colluito. 4 Aut œnanthen, & cyperum, & uvas passas in aqua mulsa coquito, ac colluito. 5 Aut cum fœnograeci aqua, aut rubi decocto, aut oleæ viridis, aut cupressi, aut serpilli, aut mali punicæ, aut radicis violæ albæ, aut lentisci decocto leniter ′ tepido colluito. 6 Aut medicamentum

τύρου καὶ ῥητίνης καὶ χηνέου ἐλαίου. ⁷ ἢ τὸ διὰ μυελοῦ καὶ στέατος ὑείου.

LXXIV. ¹ Ὑποθυμιήσιες ῥόου. ² κριθὰς πεφωσμένας ἐς ἄνθρακας ὑποθυμιῆν. ³ ἢ ἐλάφου κέρας ξὺν ἐλαίῃσιν ὀμφακίτῃσιν. ⁴ ἢ ῥοῦν τὴν ἐρυθρὴν, καὶ ἄλφιτα πεφωσμένα ξὺν ἐλαίῳ καὶ οἴνῳ διπλασίῳ. ⁵ ἢ ἄχυρα κριθῶν, καὶ βολβίτων ὁμοίως. ⁶ ἢ λωτοῦ πρίσματα, ἢ ῥοῦν, ἢ κυπάρισσον, ξὺν οἴνῳ μέλανι αὐστηρῷ, ξηρὴν ὑποθυμιῆν. ⁸ ἢ χαλβάνην, ἢ μάνναν, ἢ ῥητίνην, οἴνῳ δεύσας. ⁹ ἢ αἰγὸς κέρας, ἢ κηκίδα. ¹⁰ καὶ ὁ ῥόος ἵσταται.

¹¹ Ἑτέρη θυμιατή. ὀρύξαι χρὴ βόθρον, καὶ φῶξαι ὅσον δύο χοίνικας ἀττικὰς γιγάρτων τῆς σποδιῆς, ἐπιβαλὼν ἐπὶ τὸν βόθρον, οἴνῳ τε ἐπιψεκάσαι εὐώδει· ¹² καὶ ἀμφικαθεζομένη, καὶ περιελίξασα ἑωυτὴν, θυμιήσθω. ¹³ ἢ τὸ λεγόμενον οἴσυπη αἰγὸς ξηρὰ κόψαι καὶ φῶξαι ξὺν κριθέων ἐρίγμασι, ἐλαίῳ φυρήσασα θυμιῆν. ¹⁴ ἢ ἐς ἄνθρακας πάλιν κριθέων ἢ ἄχυρα ὑποβάλλων, ἢ πρίσματα κυπαρίσσου, μύρῳ δεύων, θυμίη. ¹⁵ ἢ μηκώνιον, ἢ σμύρναν, ἢ λιβανωτὸν τὸ μύρον περιχέων, θυμίη. ¹⁶ ἢ ἄσφαλτον καὶ κριθῶν ἄχυρα ὁμοίως. ¹⁷ ἢ κυπαρίσσου ῥίζαν ἐν ἀλείφατι ῥοδίνῳ περιχέας, θυμίη. ¹⁸ ἢ καλάμῳ, σχοίνῳ, κυπείρῳ, σελίνου σπέρματι, ἀννήσῳ, ῥόδινον ἔλαιον περιχέας, θυμίη. ¹⁹ ὁμοίως δὲ καὶ ῥητίνην ὑποβάλλειν, καὶ κιννάμωμον, καὶ σμύρναν, ξὺν βάτων φύλλοις, ἢ ῥόδων φύλλοις ἢ ἡδυόσμοις,

ex butyro, & resina, & adipe anserino infundito. ⁷ Aut id quod ex medulla & adipe suillo præparatur.

LXXIV. Suffitus ad fluxus. ² Hordeum tostum prunis inspersum suffito. ³ Aut cervi cornu cum olivis immaturis. ⁴ Aut rhoem rubrum, & polentam torrefactam, cum oleo & vino duplo. ⁵ Aut paleas ordei, & stercus bubulum similiter. ⁶ Aut loti ramenta, aut rhoem, aut cupressum siccam, cum vino nigro austero suffito. ⁸ Aut galbanum, aut mannam thuris, aut resinam vino subactam. ⁹ Aut capræ cornu, & gallam: ¹⁰ & sistetur fluxus.

¹¹ Alius suffitus. Effodere oportet scrobem, & vinaceorum uvæ duarum chœnicum atticarum mensuram torrefacere, & de cinere in scrobem mittere, & vinum odoratum irrorare. ¹² Mulier autem circuminsidens, ac seipsam contegens ac convolvens suffitum admittit. ¹³ Aut sordes pilorum circa sedem capræ siccas tundito, & torreto, atque cum hordeo fracto, & oleo subacta suffito prunis inspersas. ¹⁴ Aut hordei paleas iisdem prunis injicito. Aut cupressi ramenta unguento subacta suffito. ¹⁵ Aut cicutam, aut myrrham, aut thus, unguento affuso suffito. ¹⁶ Aut bitumen & hordei paleas similiter. ¹⁷ Aut cupressi radicem rosaceo oleo perfusam suffito. ¹⁸ Aut ad calamum, juncum odoratum, cyperum, apii semen, anisum, oleo rosaceo affuso suffito. ¹⁹ Similiter autem & resinam prunis injicito. Et cinamomum, & myrrham, cum rubi foliis, aut rosarum foliis, aut menta, addito modico

μγις, ξὺν ποσῷ κρόκῳ καὶ στύρακι. 20 ταῦτα πάντα ἐν τῷ αὐτῷ τρίβειν, καὶ θυμιᾷν, ὀβολῷ ἀττικῷ σταθμῷ, 21 ἐπὶ σποδιῇ οἰναρέων, ἢ ἐπὶ βολβίτου πλάσσων ὡς ἐμβάφιον. 22 τὸ δὲ πῦρ κληματίνον ἔστω. 23 ἐπιτιθέναι δὲ ἤδη πρότερον ὡς μὴ ὀδμὴ ᾖ. 24 ἐπεὶ, εἰ ὀδμὴ ἔσται, ἄμεινον μὴ θυμιᾷν.

LXXV. Ῥόου ἐρυθροῦ προσθετά. 2 σμύρνα καὶ βολβίον ξὺν μέλιτι τριφθὲν, προσθετὸν ἄριστον. 3 ἢ ῥόδα ἑψητὰ ἐν ὕδατι· ἅπερ δὴ καὶ τρίψας λεῖα ἐν μύρῳ ῥοδίνῳ, ἐν εἰρίῳ ἑλίξας προστιθέναι. 4 ἢ τοῦ λωτοῦ τὸ ἄνθος ἑψῆσαι ἐν ὕδατι, κἄπειτα τρίβειν ἐν ῥοδίνῳ μύρῳ, καὶ ἐν εἰρίῳ πρὸς τὸ στόμα τῆς ὑστέρης προστιθέναι. 5 ἢ κύπειρον, καὶ ἶριν, καὶ ἄννησον, ἴσον ἑκάστου ἐν μύρῳ ῥοδίνῳ λεῖον βαλεῖν ἐς τὸ στόμα εἴσω. 6 ἢ μυρσίνης φύλλα μελαίνης ἐν οἴνῳ λευκῷ, πίτυος φλοιὸν παραμίσγειν, καὶ ὁμοίως ποιεῖν. 7 ἢ κυπαρίσσου καρπὸν καὶ λιβανωτὸν, ἴσον ἑκατέρου τρίβειν ὁμοῦ ἐν μύρῳ, καὶ προστιθέναι.

8 Ἢν ξηρῆναι δέῃ ῥόον, 9 καλαμίνθην ἐν οἴνῳ μέλανι ἑψεῖν, καὶ ἐς ὀθόνιον δήσαντα, ἐπιτιθέναι. 10 ἢ ὑοσκυάμου τῶν φύλλων, καὶ κώνειον ἅμα ἑψεῖν. 11 ὡσαύτως πράσα, καὶ μαλάχην, καὶ κηρὸν, καὶ χηνὸς ἄλειφα μίξαι, εἶτα χλιηρὸν προστιθέναι πρὸς τὰ αἰδοῖα. 12 ἢ οἶνον ἄκρητον ξὺν ῥητίνῃ καὶ σιδίῳ ἑφθῷ τρίβειν, καὶ προστιθέναι ὁμοίως. 13 ἢ κνίκον ξὺν οἴνῳ τρίβων προστιθέναι. 14 ἢ λωτοῦ τὸ πρίσμα ὁμοίως. 15 ἢ σχίνου φύλλα ἢ ῥόον, μέλιτι καθεφθῷ μίξας, προσθετός. 16 ἢν δὲ μὴ λήγῃ, σούσινον, ἢ ὀνίβλιτον τὴν βοτα-

modico croco & styrace. 20 Hæc omnia simul terito ac suffito, oboli attici pondere, 21 in cinere sarmentorum vitis, aut in stercore bubulo instar acetabuli formato. 22 Sit autem ignis ex sarmentis vitis. 23 Mulierem vero imponito prius, ut ne odorem percipiat. 24 Nam si odorem senserit, melius est non suffire.

LXXV. Subdititia ad rubrum fluxum. 2 Myrrha & bulbion cum melle tritum, optimum præstant subdititium. 3 Aut rosæ in aqua coctæ, quas sane cum rosaceo unguento tritas, ac lanæ involutas apponito. 4 Aut loti florem in aqua coquito, & deinde cum rosaceo unguento terito, & in lana ad uteri os adhibeto. 5 Aut cyperum, & irim, & anisum, singula pari portione, cum rosaceo unguento trita, intro in uteri osculum detrudito. 6 Aut myrti nigræ folia, in vino albo terito, & pini corticem ammisceto, & similiter facito. 7 Aut cupressi fructum, & thus, pari portione simul ambo in unguento terito, & apponito.

8 Si resiccare fluxum opus fuerit, 9 calamintham in vino nigro coquito, & linteo involutam apponito. 10 Aut hyoscyami folia, & cicutam simul coquito. 11 Similiter porrum, & malvam: & ceram ac anseris adipem ammisceto: deinde tepida ad pudenda subdito. 12 Aut vinum meracum, cum resina & malicorio cocto terito, ac similiter apponito. 13 Aut cnicum cum vino tritum subdito. 14 Aut loti ramenta similiter. 15 Aut lentisci folia. Aut rhoem melle cocto ammixto apponito. 16 Si vero non cesset, Susinum, aut blitum herbam, quæ velut lin-

βοτάνην ὡς γλῶσσαν ὕσσων ἐν εἰρίῳ ποιέειν πρόσθετον.

LXXVI. Ῥόου ὑδατώδεος πρόσθετον καὶ ἔγχυτον. 2 Ἢν γυναικὶ ὕδωρ ῥέῃ ἐκ τῶν αἰδοίων, λαβὼν ῥητίνην ξηρὴν καὶ μυρίκης πέταλα, καὶ λίνου καρπὸν, τρίψαι ἐν οἴνῳ, καὶ μίξαι ἐν ὄρνιθος στέατι, καὶ ἐγχέαι ἐς τὰ αἰδοῖα κλυστῆρι. 3 Ἄλλο ἔγχυτον ὁμοίως. ἀλεύρου χηραμίδα ὡς καθαρωτάτου, ἢ ἀμύλιον οἴνῳ καὶ ῥοδίνῳ δεύων, ἐν εἰρίῳ προστιθέσθω πρὸς τὸν στόμαχον. 4 ὁκόταν ὕδωρ ἐκ τῶν αἰδοίων ῥέῃ. μυρίκης πέταλα, καὶ λιβανωτοῦ καρπὸν ἐν χηνὸς στέατι τρίψας καὶ ῥητίνην, ἐς τὰ αἰδοῖα κλυστῆρι ἐγχέαι.

5 Ἢν ὑπὸ ῥόου ὑδατώδεος τὸ ἦτρον ἀλγέῃ. ἄγνου καρπὸν τρίψαι ἐν μέλιτι, καὶ καταπλάττειν τὸ ἦτρον καλῶς.

6 Ἢν ῥόος αἱματώδης [ᾖ,] ἢ λευκὸς, ἢ ὁποῖος. θεῖον καὶ μανδραγόραν ἐν ἀκρήτῳ τρίβειν καὶ ἀναλαβόντα εἰρίῳ προσθεῖναι· 7 καὶ ὑπτίη εὑδέτω, καὶ ἀκίνητος μενέτω. 8 ἢ σίδια ξηρὰ τρίβειν ἐν οἴνῳ πραμνίῳ, καὶ διδόναι πίνειν.

LXXVII. Ῥόου λευκοῦ ποτόν. κισσοῦ λευκοῦ τὸ σπέρμα καὶ πίτυος φλοιὸν ἐν οἴνῳ αὐστηρῷ παρέχειν. 2 ἢ ἐλάφου κέρως κατακαῦσαι μοῖραν, ἀμηλύπιος δὲ δύο μοίρας, καὶ κεδρίδας πέντε, τρίβειν ὕδατι, καὶ πίνειν.

3 Ὅταν πνίγηται ὑπὸ ὑστέρων, καστόριον καὶ κόνυζαν ἐν οἴνῳ χωρὶς καὶ ἐν ταυτῷ πινέτω ἑκάτερον. 4 ἀσφάλτου ὅσον τριώβολον. 5 ἢ φώκης στέαρ ὅσον δὶς τοῖν δακτύλοιν λαβεῖν. 6 [ἢ] ῥίζης γλυκυσίδης ὅσον ἥμισυ πόσιος ἐν οἴνῳ εὐώδει διδόναι πίνειν.

7 Ὅταν δὲ πνίγωσι καὶ ὁμοῦ

βήσσῃ

gua est, in lana ad subdititium efformato.

LXXVI. Ad fluxum aquæ, subdititium & infusile. 2 Si mulieri aqua fluat ex pudendis, resinam siccam, & myricæ folia, & lini semen, in vino terito, & gallinaceum adipem ammisceto, & per clysterem in pudenda infundito. 3 Aut farinæ purissimæ chemam, sive conchæ testam caviorem, aut amylum in lana ad uteri stomachum apponat. Aliud similiter infusile. 4 Quum aqua ex pudendo fluxerit, myricæ folia, & thus, & resinam, cum anserino adipe terito, & per clysterem in pudenda infundito.

5 Si pecten præ fluxu aquoso doleat, viticis semen cum melle terito, & in cataplasmate pectini probe adhibeto.

6 Si fluxus sanguinolentus, aut albus, aut qualiscunque fuerit, Sulphur & mandragoram in vino meraco terito, & lana excepta apponito. 7 Et supina dormiat, ' & immota maneat. 8 Aut malicorium siccum in vino pramnio terito, ac bibendum dato.

LXXVII. Ad fluxum album potus. Hederæ albæ semen, & pini corticem, in vino austero exhibeto. 2 Aut cornu cervi usti partem unam, crudæ hordeaceæ farinæ partes duas, & cedri baccas quinque, aqua terat & bibat.

3 Quum ab uteris strangulatur, castorium & conyzam in vino, & seorsim, & simul utraque bibat. 4 Aut ' bituminis obolos tres. 5 Aut phocæ adipis quantum duobus digitis apprehendi potest. 6 Aut radicis pæoniæ dimidiam potionem, in vino odorato bibendam dato.

7 Quum vero uteri 'suffoca-

rint,

45 βήσσῃ, συνδιαρράξῃς ὅσον ὀβολὸν, καὶ θείου ἀπύρου ἴσον, καὶ ἀμύγδαλα πικρὰ καθήραντα συμμίσγειν τρία ἢ τέσσαρα, καὶ διδόναι ἐν οἴνῳ εὐώδει.

8 Ἢν δέ γε προσίσχωσιν αἱ ὑστέραι, κριθὰς τρίψας λεῖα ξὺν τοῖσιν ἀχύροισι, καὶ κέρας ἐλάφου, ἐλαίῳ δεύσας ὑποθυμιῆσθαι. 302

9 Ὅταν δὲ ἄνω ᾖ, καὶ θλίβηται καρδία, καὶ στόμαχος, καὶ ὑπομένωσι, σμύρνην, ἢ ῥητίνην, ἢ νέτωπον, ἢ κάστορα, ἢ ὀπὸν σιλφίου ξὺν οἴνῳ πίσαι. 303

LXXVIII. Ὅταν ὑστέρα πνίγῃ, [2] πνεῦμα δὲ σεύηται ἀλὲς ἄνω, [3] καὶ βάρος ἔχῃ, 287 [4] καὶ γνώμη καταπλὴξ, [5] ἀναυδίη, [6] περίψυξις, [7] πνεῦμα προσαΐσσον, [8] [καὶ] ὄμματα ἀμαλδύνηται, [9] τὴν κεφαλὴν ξυρεῖν ὅτι τάχιστα καὶ ταινίην ἀποδιωθεῖν ὑπὲρ ὀμφαλὸν, εἰ δέῃ. [10] διδόναι δὲ καστόριον, καὶ κόνυζαν, καὶ πηγάνου ὕδωρ, κύμινον αἰθιοπικὸν, ῥαφάνου σπέρμα, θεῖον, σμύρνην. [11] πρὸς δὲ τὰς ῥῖνας τὰ κάκοδμα, εὔοδμα δὲ ἐς τὰς ὑστέρας. [12] ἢν δὲ ἀνέχηται, καὶ κόκκου τὸ ἔνδον τὸ λευκὸν μέλιτι δεύσας καὶ μίξας, ἀλείφειν τὴν ῥῖνα. [13] ἢ σχῖνον λεπτὴν, ἣν δάκνῃ. [14] ὅταν δὲ ὀδύνη ἔχῃ καὶ πνίγηται, μαλάχης ῥίζαν, ἢ ὀξύμελι, ἢ φλοιὸν μαράθρου, καὶ κρηθμὸν ἐν ὕδατι δοῦναι πίνειν. [15] ἄριστον δὲ ἐρυγγάνειν, καὶ διακαθίζειν, [16] ἢ ἐλλέβορον προσίσχειν πρὸς τὰς ῥῖνας, καὶ πταρμὸν ποιεῖν. 304 305 5 306 307

LXXIX. Ἢν δὲ ὑπὸ τὰς φρένας δοκέω-

rint, & simul tussierint, sandaraches obolum, & sulphuris vivi tantundem, & amygdalas amaras depurgatas tres aut quatuor, misceto, & in vino odorato exhibeto.

8 Si vero adhæserint uteri, ordeum terito, & una cum pa- 250 leis, & cornu cervi, oleo subigito & suffito.

9 Quum autem sursum ascenderint, & cor ac stomachus prematur, & substiterint, myrrham aut resinam, aut netopum, aut castorium, aut silphii succum bibendum dato.

LXXVIII. Quum uterus strangularit, [2] spiritus autem acervatim sursus commotus fuerit, [3] & gravitas incubuerit, [4] & mens perculsa fuerit, [5] & loqui non potuerit, [6] & perfrigeratio adest, [7] ac spiritus offendens, [8] & oculi obscurantur: [9] caput quam ci- 255 tissime radito, & per fasciam supra umbilicum, si opus fuerit, deligatam detrudito. [10] Dato autem castorium, & conyzam, & rutæ aquam, cuminum æthiopicum, raphani semen, sulphur, myrrham. [11] Ad nares graveolentia, ad uteros bene olentia adhibeto. [12] Si vero sustinuerit, etiam grani cnidii internam partem, albam illam, melle subactam ac mixtam, naribus illinito. [13] Aut scinum tenuem scillæ speciem quæ mordeat. [14] Quum 260 autem dolor habuerit ac suffocatur, malvæ radicem, aut acetum mulsum, aut fœniculi corticem, aut crethmum in aqua bibendum dato. [15] Optimum vero est eructare, & sedentem collocare, & sternutationem facere, [16] aut veratrum naribus admovere.

LXXIX. Si vero sub septo transverso ac præcordiis uteri sedere

δοκέωσιν ἵζεσθαι, ² ἐξαπίνης ἄφωνος γίνεται, ὑποχόνδρια σκληρὰ, καὶ πνίγεται, καὶ τοὺς ὀδόντας συνερείδει, καὶ οὐκ ὑπακούει καλεομένη. ³ δεῖ οὖν ὑποθυμιῆν ὑπὸ τὰς ῥῖνας ἔριον κατακαίων, ⁴ καὶ ἄσφαλτον ἐς πῦρ ἐμβάλλων, ⁵ καὶ καστόριον, καὶ θεῖον, καὶ πίσσαν. ⁶ βουβῶνας δὲ καὶ μηροὺς μύρῳ ἔνδοθεν εὐωδεστάτῳ χρίειν. ⁷ ἢ ἀστέρας τοὺς θαλαττίους τοὺς μέλανας καὶ κράμβην μίξας εὐώδει οἴνῳ, πινέτω. ⁸ ἢ σμύρνης τριώβολον, κορίαννον ὀλίγον, ῥητίνην, γλυκυσίδης ῥίζαν, κύμινον αἰθιοπικόν. ⁹ ταῦτα τρίψας ἐν οἴνῳ λευκῷ, καὶ ὕδατι, ἢ μελικρήτῳ διέντα, πίνειν ἀκροχλίαρον. ¹⁰ βοηθεῖ δὲ καὶ τὸ πευκέδανον, ἀριστολοχία, κρομμύου δάκρυον, πάνακες ἐν οἴνῳ ἢ ὕδατι ἀκροχλίαρον διδόμενον. ¹¹ ὑστέρας ἐς χώρην ἄγει κρότωνος ῥίζα πινομένη, ἢ κύμινον αἰθιοπικὸν, ἢ σέλινον, ἢ μαράθρου σπέρμα καὶ ἀννήσου, πέπερι, ἢ σμύρνα. ¹² καὶ ὀπὸς μήκωνος πινόμενος.

LXXX. Ἢν ἡ καρδίη πνίγηται ὑπὸ ὑστέρης, ² καὶ θλίβεται, καὶ πνεῦμα ἔχει, καὶ ἆσθμα. ³ δεῖ τὸν καρπὸν τῆς ἄγνου καὶ γλυκυσίδης ἐν οἴνῳ πίνειν, ⁴ ἢ ἀβρότονον, καὶ πάνακες, καὶ ἀμμωνιακὸν, ⁵ ἢ πήγανον, ἢ ὑπνωτικὸν μηκώνιον. ⁶ πάλιν οὖν, εἰ ὁμοίως ἔχει, μελάνθιον τρίβειν λεῖον, καὶ μέλιτι δεύειν, καὶ ποιεῖν οἷον βάλανον, καὶ αὐτὸς τῷ πτερῷ περιτιθέναι. ⁷ ἢ φιλίστιον ὁμοίως προστιθέναι. ⁸ ἢ τηλέφιον, ἢ ἀνεμώνης φύλλα τρίψας ἔνθες ἐς τρυχίον, καὶ σμύρναν μικρὴν ξυμμίσγειν. ⁹ ἢν ἐς τὴν ὀσφὺν αἱ ὑστέραι κατασκήψωσι, μὴ ψαύη δὲ τῆς κεφαλῆς ἡ πνίξ, ¹⁰ ἐσθιέτω πολύποδας ἑφθοὺς, καὶ οἶνον πινέτω

sedere videantur, ² derepente voce destituitur, & præcordia dura fiunt, & strangulatur, & dentes conserit, & vocata non audit. ³ Oportet igitur sub nares suffiri lanam accensam, ⁴ bitumen in ignem conjectum, ⁵ & castorium, & sulphur, & picem: ⁶ Inguina vero & femora unguento odoratissimo intus inungere. ⁷ Aut stellas marinas nigras, & brassicam vino odorato misceat ac bibat. ⁸ Aut myrrhæ obolos tres, coriandri parum, resinam, pæoniæ radicem, cuminum æthiopicum, ⁹ hæc in vino albo & aqua trita, aut cum aqua mulsa diluta, leniter tepida bibat. ¹⁰ Auxiliatur & peucedanum, aristolochia, cepæ lachryma, panaces in vino aut aqua leviter tepida datum. ¹¹ Uteros ad locum suum reducit, crotonis radix pota, aut cuminum æthiopicum, aut apium, aut fœniculi & anisi semen, aut piper, aut myrrha, ¹² & papaveris succus.

LXXX. Si cor strangulatur, ab utero ² reprimitur, & spiritus habet, & anhelatio. ³ Viticis, & pæoniæ semen in vino bibere oportet: ⁴ Aut abrotonum, & panaces, & ammoniacum. ⁵ Aut rutam, aut somnificum papaveris succum. ⁶ Rursus igitur si similiter habet, melanthium terito, & melle subigito, & velut glandulam efformato, & pennæ circundato, & apponito. ⁷ Aut philistion similiter subdito. ⁸ Aut telephium, aut anemones folia trita, in linteum indito, & modica myrrha ammixta apponito. ⁹ Si in lumbos uteri incubuerint, suffocatio vero caput non contigerit, ¹⁰ polypos coctos edat, & vinum nigrum odoratum

πινέτω μέλανα εὐώδεα ἄκρητον ὡς πλεῖστον. ¹¹ ὅταν δὲ ὡς πρὸς τὰ σπλάγχνα τραπεῖσαι πνίγωσιν, οἶνον κέδρινον" καὶ κύμινον αἰθιοπικὸν πινέτω, ¹² καὶ θερμῷ λουέσθω, καὶ πυριήσθω τὰ εὐώδεα.

LXXXI. Ἢν ἀνεμωθῶσιν αἱ ὑστέραι, ² " ἡδύσματα πάντα ἐς τὸ μύρον ἐμβάλλεται), ³ καὶ δάφνη, καὶ μυρσίνη, καὶ ἐλελίσφακος, κέδρου ἢ πρίσματα καὶ κυπαρίσσου. ⁴ ταῦτα κόψαι καὶ καταστῆσαι λεῖα, καὶ ἐπ' οἶνον εὐώδεα ἐπιπάσσειν καὶ ἐπιχέαι ῥόδινον ἔλαιον. ⁵ ὅταν δὲ μετακινηθεῖσαι θλίβωσιν αἱ ὑστέραι, κριθὰς ξὺν τοῖς κυρηβίοισι," καὶ προσβάλλε ἐλάφου κέρας, οἴνῳ δεύσας, ὑποθυμιῆν. ⁶" ὅταν [δὲ] προσιστάμεναι πνίγωσιν, ἐλλύχνιον ἀνάψαι καὶ ἀποσβέσαι ὑπὸ τὰς ῥῖνας, [ὡς] λιγνὺς καὶ αἰθαλὸς εἰσίῃ. ⁷ καὶ πίσσαν, καὶ καστόρειον, καὶ πευκέδανον, καὶ σμύρναν δεύσας μύρῳ," ἰρίνῳ ἀναδεύσασα προστιθέσθω. ⁸ πίνειν δὲ ῥητίνην ἐλαίῳ δεύσας. ⁹ Ἢν πνίγωσι λίην, διδόναι ποτὸν τῆς χελώνης παραθαλασσίης ὅσον τριώβολον τρίψας ἐν οἴνῳ λευκῷ κοτύλην ἢ κυάθους τρεῖς πίνειν. ¹⁰ " ἢ κέδρον εἰς λύχνον ἐπιχέας ἅψαι τὸν λύχνον. ¹¹ καὶ, ἐὰν ἀποσβεσθῇ πρὸς τὰς ῥῖνας, προσίσχειν ἢ βόρβορον ὡς δυσωδέστατον ὁμοίως. ¹² ἢ εἴριον κατακαύσας ὑπὸ τὰς ῥῖνας ' ὑποθυμιῆν. ¹³ ἢ ἄσφαλτον ὀλίγον τρίψας ἐν οἴνῳ λευκῷ πινέτω. ¹⁴ ἢ ἐρυσίμου κόγχην καὶ καστορίου ἐν οἴνῳ λευκῷ δὸς πιεῖν, καὶ λοῦσον. ¹⁵ " ἢν δὲ μὴ βήσσῃ, σανδαράχης ὀβολὸν, θείου δύο ὀβολοὺς ἀπύρου, ἀμύγδαλα πικρὰ ἀποκαθήρας, καὶ καστορίου ὀβολὸν μίσγειν ξὺν οἴνῳ εὐώδει, καὶ πίνειν δίδου.

LXXXII. Ἢν

ratum meracum quam plurimum bibat. ¹¹ Quum vero velut ad viſcera converſi ſtrangularint, vinum cedrinum, & vinum æthiopicum bibat: ¹² & calida lavetur: & odoratis fomentis utatur.

LXXXI. Si vento inflati fuerint uteri, ² aromata omnia in unguentum immittuntur, ³ & laurus, & myrtus, & ſalvia, & cedri ac cupreſſi ramenta.⁴ ' Hæc contundito, & trita cribrato, & in vinum odoratum inſpergito, & oleum roſaceum ſuperfundito. ⁵ Quum vero tranſmoti uteri preſſerint, hordeum una cum paleis, & myricam, & cervi cornu, vino ſubigito, ac ſuffito. ⁶ Quum aſſiſtentes ſtrangularint, funiculum lucernarium accendito, & præ naribus extinguito, quo fuligo & nidor ipſas ingrediantur: ⁷ & picem, & caſtorium, & peucedanum, & myrrham, ' unguento irino diluito, & ſubacta apponat. ⁸ Bibat autem reſinam oleo dilutam. ⁹ Si valde ſtrangularint. Aut teſtudinis juxta mare natæ obolos tres, in vini albi hemina, vel cyathis tribus tritos, bibendos dato. ¹⁰ Aut cedro in lucernam infuſo, lucernam accendito, ¹¹ & ubi extincta fuerit, ad nares exhibeto: Aut cœnum fœtidiſſimum ſimiliter. ¹² Aut lanam incenſam ſub nares mulieris ſuffito. ¹³ ' Aut bituminis parum tritum in vino albo bibat. ¹⁴ Aut eryſimi conchæ teſtam, & caſtorium in vino albo bibenda dato, & lavato.¹⁵ Si vero etiam tuſſiat, ſandarachæ obolum, ſulphuris vivi obolos duos, amygdalas amaras depurgatas tres aut quatuor, & caſtorii obolum, cum vino odorato miſceto, & bibenda dato.

LXXXII. Si

LXXXIII. Ἢν δὲ πνίξωσιν αἱ ὑστέραι, καὶ τῆς καρδίας ψαύσῃ τὸ πνῖγμα, καὶ μεμύκῃ τὸ στόμα, [2] ὄξος θερμὸν δίδου ῥοφεῖν, πασσαλίσκῳ ἢ κερκίδι ἀνοίγων [τὸ στόμα] 40 καὶ οἶνον ὁμοίως ἄνοδμον, καὶ ξὺν ὀξυμέλιτι. [3] Ἢν δὲ λίην πνίξωσι, καὶ ἄφωνος ᾖ, κρόμμυον ἐν οἴνῳ χλιηρῷ τρίψας, ἐνστάζειν ἐς τὰς ῥῖνας, καὶ ἀνεγείρειν. [4] Ἢν δὲ ἄχρις ἥπατος ἀνίωσι, καὶ πνίγηται, ἄφωνος γίνεται, καὶ οὐδὲν ὁρᾷ, καὶ τοὺς ὀδόντας συνερείδει, καὶ σκληρὴ γίνεται, καὶ οὐδὲν φρονέει, καὶ ἀναπνέει πυκνὰ, καὶ οὐχ ὑπακούει. [5] ταύτην ὑπὸ τὰ ὑποχόνδρια λαβὼν τῇ σῇ χειρὶ, χρίειν θαμινάκις, [6] καὶ τοὺς ὀδόντας διαχαλῶν πασσάλῳ, 45 οἶνον ἄκρητον χλιηρὸν ἐγχέειν, ἢν μή τι κωλύῃ, καὶ αὐτίκα ῥαΐζει ὡς τὰ πολλά. [7] ἐὰν ἐγχέωνται ἐς τοὺς βουβῶνας, καὶ ἐρείδωσιν, αἰγὸς σπυράθους καὶ λαγωοῦ τρίχας ἐλαίῳ φώκης δεύσας ὑποθυμία. [8] ἢ τοῦ κισσοῦ 318 τὸν καρπὸν, ἢ τὰ φύλλα αὐαίνειν, ἢ τὸν φλοιὸν, καὶ δρυὸς φύλλα, καὶ ῥητίνην μίξας, ἐλαίῳ δεύειν καὶ ὑποθυμιῆν. [9] Φώκης τῆς πιτύης τὸ δέρμα 319 κόψας λεῖον, καὶ σπόγγον καὶ βρύα λεῖα μίσγειν τῷ ἐλαίῳ τῆς φώκης, καὶ ὑποθυμιῆν. [10] ἢ αἰγὸς τοὺς σπυράθους, καὶ φώκης πνεύμονα, καὶ κέδρου πρίσματα [ὑποθυμιῆν.] [11] ὑποθυμιῆν δὲ καὶ βόλβιτον, 288 ἢ κεράτων ξύσματα βοὸς, καὶ ἄσφαλτον. [12] ἢ ἀκάνθης αἰγυπτίης καρπὸν καὶ κέδρου πρίσματα, καὶ μυρσίνης φύλλα ξηρὰ, μύρῳ μαλθακῷ ταῦτα δεύσας ὑποθυμιῆν. [13] ἀρώματα δὲ συχνὰ ἐς τὸ μύρον ἐμβάλλειν. [14] ἢ γίγαρτα κόψας λεῖα, καὶ 320 κεδρίδας καὶ ῥητίνην πιτυΐνην ὁμοῦ μίξας γλυκεῖ ἑφθῷ δεύσας ὑποθυμιῆν.

LXXXIIII. Πυριήσιες, ὡς 321 ἀπίω-

LXXXII. Si vero strangularint uteri, & strangulatio cor contigerit, & os conclusum fuerit, [2] acetum calidum sorbendum 300 dato, & os paxillo aut radio aperito, & vinum inodorum similiter exhibeto; & cum aceto mulso. [3] Si vero valde strangularint, & voce destituta fuerit, cepam in vino tepido tritam, in nares instillato & excitato. [4] Si vero usque ad hepar ascenderint, & suffocatur, voce destituitur, & nihil videt, & dentes conserit, & dura fit, & nihil sentit, & frequenter respirat, & non audit. [5] Hanc sub præcordiis manibus 305 comprehensam frequenter inungito. [6] Et dentibus cum paxillo diductis, vinum meracum tepidum infundito, si nihil prohibuerit. Et plerunque statim melius habet. [7] Si ad inguina incumbant ac innitantur, caprini stercoris pilulas, & leporis pilos, phocæ adipe subigito ac suffito. [8] Aut hederæ fructum, aut folia, aut corticem siccato, & quercus folia ac resinam ammisceto, oleoque subigito ac suffito. [9] Aut 310 coaguli phocæ pellem conterito, & spongiam ac muscum, cum phocæ adipe ammisceto ac suffito. [10] Aut stercoris caprini pilulas, & phocæ pulmonem, ac cedri ramenta suffito. [11] Sed & bubulum stercus suffito. Aut cornuum bovis ramenta, & bitumen. [12] Aut spinæ ægyptiæ fructum, & cedri ramenta, & myrti folia sicca. Hæc molli unguento subacta suffito. [13] Multa vero aromata in unguentum injici- 315 to. [14] Aut vinacea tusa trita, & cedri baccas, & resinam pineam, simul mixta & passo cocto subacta suffito.

LXXXIII. Fomenta à quibus disce-

5 ἐπίνοσα. ² βόλβιτα κεκαυμένα 332 καὶ ὄξεος ἥμισυ, καὶ ὀρόβου θαλάσσης ἢ ὕδατος, ὁμοίως πυρίας. ³ πυελοῦ δὲ βληχρῶς. ⁴ καὶ φακῶν πιεῖν ἀπεμέειν δὲ. ⁵ καὶ ῥοφεῖν διδόναι ἄλητον, καὶ ἐπὶ τὸν οἶνον. ⁶ τῇ δ' ὑστεραίῃ κόκκον δοῦναι κνίδιον. 333 ⁷ καὶ οὐρητικὸν δέ· ἐρεβίνθους δύο τρίψας, 334 σταφίδος τῆς ἀρίστης ἐπιχέας χόα ἕψε· ἔπειτα ἀποχέας πρὸς τὴν αἰθρίην θεῖναι, καὶ τῇ ὑστεραίῃ πίνειν. ⁸ καὶ τὸ λοιπὸν ἐλελίσφακον, καὶ λίνου σπέρμα, καὶ ἄλφιτον διδόναι δὶς τῆς ἡμέρης ἐν οἴνου κεκρημένου, κοτύλας τέσσαρας. ⁹ ἐλαίου 335 10 ἡμικοτύλιον, ἀκτῆς φύλλα χειρὸς πλέην, ταῦτα ἕψειν, καὶ πυελοῦ θερμῷ, ἢ ὀστράκοισι θερμοῖσιν· ἐπὶ δίφρου καθίζειν, ἀμφικαλύψας εἵμασιν. ¹⁰ ἢ τῆς ἀκτῆς τὰ φύλλα ξὺν 336 μυρσίνῃ ἕψειν. ¹¹ καὶ κελύφων ἀχύρου ἕψειν καὶ, ἢν οἵα τε ἔῃ ὑποφέρειν, ὄξος, ἔλαιον, μέλι, ὕδωρ. ¹² ταῦτα περίσσως καὶ ἀναμίξας, ἀναζέσας σφόδρα, ἐς κύστιν ἐγχέαι. ¹³ καὶ τῆς πίτυος φλοιὸν καὶ ῥοιῆς τὰ φύλλα 337 λαμβάνειν ἐς ὕδωρ, ἀφεψεῖν δὲ ἰσχυρῶς. ¹⁴ καὶ ἐμβάλλειν ἐς τὸ ὕδωρ κελύφων ἀχύρου, καὶ ἕψειν, 15 ἔλαιον ἐπιχέαντα. ¹⁵ ἢ λωτοῦ πρίσματα, καὶ κυπαρίσσου, ὕδωρ ἐπιχέας καὶ ἔλαιον, ἕψε εὖ μάλα καὶ πυρία. ¹⁶ ξὺν ἀρώμασι μύρον ἐγχέειν, καὶ κηκίδα ἐμβάλλειν, καὶ ῥάμνου φλοιὸν, καὶ πύελον ἄλφιτα ξὺν ὕδατι.

17 Ἢν δὲ προίσχωσιν ἔξω αἱ μῆτραι, καὶ τὰ κρεμάμενα ὄσχεα 338 χαλᾶν,

discedunt. ² Stercus bubulum contusum, aceti dimidia mensura, & decocti ervi ex aqua marina aut dulci similiter dimidia adjecta, pro fomento adhibeto: ³ foveto autem leviter, ⁴ & lenticulæ decoctum bibendum dato, ac revomendum. ⁵ Et farinam sorbendam, & insuper vinum. 320 ⁶ Postridie vero granum cnidium dato. ⁷ Sed & quod urinam ciet. Ciceris partes duas tritas, uvæ passæ optimæ tertiam partem, affuso aquæ congio coquito: deinde excolatam aquam per noctem sub dio exponito, & postridie bibendam dato: ⁸ & de cætero salviam, & lini semen, & polentam; bis per diem in vini diluti heminis quatuor dato. ⁹ Aut olei heminas dimidias tres, foliorum sambuci manus plenæ mensuram, hæc coquito, & 325 cum calidis foveto: aut testis calidis immissis fomentum facito, muliere in sella collocata, & vestimentis cooperta. ¹⁰ Aut sambuci folia cum myrto coquito, ¹¹ & in excolata aqua paleas ordei coquito, & fomentum facito, si calorem sufferre poterit. Aut acetum, oleum, mel, aquam: ¹² Hæc permixta ac valde fervefacta, in vesicam infundito. ¹³ Aut pini corticem, & rhois folia in aquam injicito, & fortiter coquito, 330 ¹⁴ & in excolatam aquam etiam ordei paleas immittito ac coquito, & affuso oleo foveto. ¹⁵ Aut loti & cupressi ramenta, aqua & oleo affuso, probe coquito, ac foveto. ¹⁶ Aut cum aromatis unguentum infundito, & gallam injicito, & rhamni corticem, & polentam triticeam cum aqua.

17 Si vero uteri extra prominuerint, & dependeant velut scrotum:

χαλᾶται, [18] μύρτα, λωτοῦ πρίσματα, βάτου, καὶ ἐλαίης φύλλα ἅμα ἑψεῖν, καὶ πυριῆν ἀκροχλιαρῶς. [19] ἢ οἴνῳ μετὰ τουτέων καὶ κακωδέων ὁμοίως. [20] περιχρίειν δὲ τοῦ λευκοῦ τοῦ ὠοῦ τὰ ἔξω. [21] ὅταν δὲ ψύχηται, καὶ πελιδνὰ ἔωσιν, ὕδατι πολλῷ.

LXXXIV. [1] Μαλθακτήρια ὑστέρης. [2] οἴος στέαρ, ὠῶν λέκιθος, μέλι, ἔλαιον ῥόδινον. τουτέοις ἀναφυρήσας ἄλητον, παραχλιαίνειν ἐν πυρὶ μαλθακῷ, τὸ ἀποσταζόμενον ἐς εἴριον ἀναμαλάσσειν, καὶ προστιθέναι. [3] ἢ στέαρ οἴος ἡδὺ, νίτρον ἐρυθρὸν, ἢ χηνὸς ἄλειφα, ῥόδινον ἔλαιον ξυντήξας καὶ ἐς εἴριον ἀναφυρήσας, προσθεῖναι. [4] χηνὸς ἄλειφα, ἢ μήλειον στέαρ, κηρὸν λευκὸν, νέτωπον, ῥόδινον ἔλαιον, ὡς ἄριστα ταῦτα ἀναμίξας ποιέειν, καὶ ῥάκεα ἐγκατειλεῖν λεπτὰ, καὶ αὐτίκα λουσαμένη προστιθέσθω χλιαρὰ πρὸς τὸ στόμα. [5] ἢ ἐλάφου μυελὸν καὶ στέαρ τῆξαι ἐν ῥοδίνῳ ἐλαίῳ ἀναφορύξασα εἴριον μαλθακὸν προστιθέσθω.

[6] Μαλθακὰ πρόσθετα, [ἃ] ὕδωρ ἄγει, καὶ μύξας, καὶ δέρματα, καὶ οὐχ ἑλκοῖ. [7] σμύρναν ὡς ἀρίστην, καὶ ἁλὸς χόνδρον, καὶ πίσσαν ἡδυντὴν, τρίβειν λεῖα, καὶ προστιθέναι. [8] Ἕτερον πρόσθετον. ἐκλέψας κόκκους τριήκοντα τοῦ ἰνδικοῦ, ὃ καλέουσιν οἱ πέρσαι πέπερι, καὶ ἐν τουτέῳ ἔνι στρογγύλον, ὃ καλέουσι μυρτίδανον, [9] ξὺν γάλακτι γυναικείῳ ὁμοῦ τρίβειν, καὶ μέλιτι διεῖναι, ἔπειτα εἴριον μαλθακὸν καὶ καθαρὸν ἀναφυρήσας, περὶ πτερὸν περιελίξας, προσθεῖναι, καὶ τὴν ἡμέρην ἐᾶν. [10] ἢν δὲ ἰσχυρότερον βούλῃ ποιῆσαι, σμύρνης ὀλίγην παραμίσγειν ὅσον τριτημόριον,

tum: [18] myrti baccas, loti ramenta, rubi & oleæ folia simul coquito, & leviter tepide foveto. [19] Aut cum vino una cum illis & cum graveolentibus similiter. [20] Externas autem partes cum ovi candido oblinito. [21] Quum vero perfrigerantur, & lividæ factæ fuerint, cum aqua calida.

LXXXIV. Mollitoria uteri. [2] Adipem ovillum, ovorum vitellum, mel, oleum rosaceum sumito, & cum his farinam subigito, & ad lentum ignem tepefacito, & quod destillat lana exceptum emollito ac apponito. [3] Aut adipem ovillum aromatis conditum, & nitrum rubrum, anseris adipem, & oleum rosaceum colliquata & lana excepta apponat. [4] Aut anseris adipem, ovillum adipem, ceram albam, netopum, rosaceum oleum: hæc quam optime permisceto, & tenuibus linteis excipito, & statim ubi lota est, apponat tepida osculo uterorum. [5] Aut cervi medullam, & anseris adipem, in rosaceo oleo liquefaciat, & molli lana excepta subdat.

[6] Mollia subditia, quæ aquam ducunt, & mucos, & pelliculas, & non exulcerant. [7] Myrrham quam optimam & salis granum, & picem aromatis imbutam, terito & apponito. [8] Aliud. Grana cnidia decorticata triginta, Indicum (quod Persæ piper vocant, & in hoc inest rotundum, quod appellant myrtidanum) [9] cum lacte muliebri simul terito, & melle diluito: deinde lana molli ac pura excepta, & pennæ obvoluta subdito, & per diem sinito. [10] Si vero fortius facere voles, modicum myrrhæ ammisceto, tertiam videlicet partem, sive trientem,

τημόρεον, καὶ εἴριον μαλθακὸν καθαρὸν ἢ ἡμίρυπον. 333

LXXXV. Ἀλλ' ἐξ ὑστερέων καὶ τὸ στόμα μαλθάσσει. [2] νάρκισσος, κύμινον, σμύρνα, λιβανωτὸς, ἀψίνθιον, κύπειρος. ταῦτα καθ' ἑωυτὰ καὶ ξὺν ῥοδίνῳ ἐλαίῳ ἢ λευκῷ ἢ αἰγυπτίῳ. προσθέσθω δὲ λουσαμένη. [3] Ἰχῶρα ὕφαιμον δυνάμενον ἄγειν. [4] ξὺν τοῖς δᾳσὶ μίσγειν σμύρναν, ἅλας, κύμινον, χολὴν ταυρείην, μέλι· ἐν εἰρίῳ προστιθέναι. [5] καὶ κυμίνου φύλλα ὡσαύτως λελεισμένα ἐν οἴνῳ, [6] ἢ ὀπὸν σιλφίου σύκῳ μίσγειν, καὶ βάλανον ποιήσαντα προσθεῖναι. [7] τὸ δ' αὐτὸ ποιεῖ καὶ συκῆς ῥίζα ξὺν μέλιτι, καὶ μετέπειτα χρίειν ῥοδίνῳ. [8] ἐνεργεῖ δὲ καὶ σκορόδου μώλυζα, νίτρου ἐρυθροῦ, σύκου πίονος, ἴσον. [9] μίσγειν δὲ καὶ κηκίδα μικρὴν, καὶ βάλανον ποιέειν, καὶ ἐμβάπτειν ἐς τι τῶν ὑγρῶν, καὶ προστιθέναι. [10] κἄπειτα λουσαμένη ἐλάφου στέαρ ἐν εἰρίῳ ἐχέτω. [11] Αἱματώδεα πάντα μᾶλλον τῶν πρόσθεν ἄγειν δύναται, καὶ μαλθάσσειν. [12] πέπερι, ἐλατήριον, ξυμμίσγειν δὲ καὶ γυναικὸς γάλα, καὶ τρίβειν ξὺν τοῖσδε καὶ μέλι καὶ ἄλειφα λευκὸν, ἐλάφου τε στέαρ. [13] τρυχινωμένη. σφόδρα δὲ ἄγει παντοῖα. [14] σύκου τὸ πῖαρ, ἐλατηρίου δύο πόσιας, νίτρου ἐρυθροῦ ὅσον τὸ ἐλατήριον, μέλι ὀλίγον ἐν ῥάκει ἢ ἐν εἰρίῳ, βάλανον ποιέειν. [15] Ἕτερον αἱμαγωγόν. νέτωπον, χολὴν ταύρου, νίτρον, κυκλάμινον, κηκίδα, τρίβειν ξὺν μέλιτι. [16] μετέπειτα δὲ καὶ λουσαμένη ἐλάφου στέαρ ἐχέτω, ἢ γλήχωνα, καὶ χολὴν ταύρου τρίψασα περιπλάσσειν πτερῷ, καὶ ἐς ἄλειφα ἐμβάψας αἰγύπτιον προστιθέναι. [17] ἢ κυκλάμινον ὅσον ἀστράγαλον ξὺν χαλκοῦ ἄνθει. [18] ἢ ἀνεμώνης κε-

tem, & lanam mollem puram semisuccidam.

LXXXV. Ex uteris educunt, & osculum molliunt, [2] narcissus, cuminum, myrrha, thus, absinthium, cyperus: hæc ipsa per seipsa, & cum oleo rosaceo, aut albo, aut ægyptio. Apponantur autem ubi lota est. [3] Aliud, quod saniem cruentam educere potest. [4] Cum tædis misceto myrrham, salem, fel taurinum, cuminum, 355 mel, & in lana subdito. [5] Aut cumini folia similiter in vino trita. [6] Aut silphii succum ad ficum ammisceto, & glandulam inde factam subdito. [7] Idem facit & mori radix cum melle, & postea rosaceo illinito. [8] Efficax est & allii caput integrum, & nitrum rubrum, & ficus pinguis, pari portione: [9] misceto autem & gallam parvam, & glandem facito, eamque liquore aliquo tinctam subdito. [10] Et postea lota cervi adipem in lana sub- 360 ditum habeat. [11] Aliud, quod cruentam omnia magis prioribus ducere potest, & mollire. [12] Piper, elaterium, & lac muliebre misceto, & cum his terito etiam mel, & oleum album, & cervi adipem, & linteo excepta subdat. [13] Vehementer vero ducit omnigena hoc. [14] Fici pingue, elaterii potiones duas, nitrum rubrum quantum elaterii, mellis parum, cum linteo aut cum lana glandem facito. [15] Aliud. Ne- 365 topum, fel tauri, nitrum, cyclaminum, gallam, cum melle terat. [16] Postea vero lota adipem cervi subditum habeat. Aut pulegium & fel tauri tritum pennæ obducat, & in oleum ægyptium tinctum subdat. [17] Aut cyclaminum magnitudine tali cum æris flore. [18] Aut anemones caput

φαλὴν τρίψας ξὺν ἀλήτῳ, πτερῷ περιπλάσσειν, ″ ἐς λευκὸν αἰγύπτιον ἐμβάπτειν. [19] [Ἕτερον] αἱμαγωγόν. σικύου ἐντεριώνης τῆς μακρῆς ἑλὼν τὸ σπέρμα ξὺν γάλακτι, καὶ σμύρναν ' ξὺν αὐτοῖσιν ἄκρην, ″ καὶ μέλι ὀλίγον ἐς αἰγύπτιον ἔλαιον εἰρίῳ μαλθακῷ ἀναφορύξαι. [20] ἢ τὴν ἐντεριώνην τῆς σικύης ξηραίνειν, καὶ μέλι περιχέαι, καὶ τρίβειν, καὶ βάλανον ποιεῖν· ἐπὴν δὲ λούσηται, στέαρ προστιθέσθω. [21] ″ ἢ ἐλατηρίου τρεῖς πόσιας ἐν ὕδατι.

LXXXVI. Μαλθακτήρια. ὠοῦ τὸ λευκὸν, ἄλητον, ″ μέλι, κηρὸν λευκόν. ταῦτα ὁμοῦ χλιαίνειν, καὶ τὸ ἀποστάζον, εἰρίῳ ἀναπορίσας, ' προσθεῖς. [2] ἢ χηνὸς ἄλειφα, κηρὸν λευκὸν, ῥητίνην, μύρον ῥόδινον, μυελὸν ἐλάφου τήκειν, ἢ στέαρ οἰὸς ἢ αἰγὸς, ὠοῦ τὸ λευκὸν, ῥόδινον μύρον, ἢ βάλανον ποιεῖν, ἢ εἰρίῳ ἀναλαμβάνειν.

[3] Πυρίαι, δι' ὧν ὑστέραι καθαίρονται, ἢν σκληραὶ ἔωσιν. [4] ″ οἶνον χρὴ ὡς ἥδιστον ἴσον ἴσῳ κεράσαι ὡς τρία ἡμιχόεα ἀττικὰ, καὶ μαράθου ῥίζαν καὶ τοῦ καρποῦ τεταρτημόριον, καὶ ῥοδίνου ἀλείφατος ἡμικοτύλιον, [5] ἐς ἐχῖνον ἐᾶσαι, οὗ τὸ ἐπίθεμα ὀπὴν ἔχει, καὶ ἐπιχέαι τὸν οἶνον, καὶ ἐνθέντα κάλαμον πυριῆσαι, καὶ μετέπειτα τὴν σκίλλαν προσθεῖναι.

LXXXVII. ″ Ἢν ὀδύναι καταΐζωσιν ἐξαπιναῖοι, καὶ ἀψυχίαι ἔωσι, [2] ῥόδων φύλλα, κιννάμωμον, σμύρναν καθαρὴν, νέτωπον, ὀπὸν μήκωνος. [3] τούτων φθοΐσκους ποιήσας ὅσον δραχμιαίους ″ ἐπιθεὶς ἐπὶ τρύφος ἀμφορέως διαφανὲς, ἢ χρῶ ὑποθυμιήματι. [4] ἢ στύρακος ″ ὅσον ἐμβαλὼν ἐς τοὔλαιον, ὡς ἐπὶ τῷ προτέ-

cum farina tritum pennæ obducito, & in oleo albo tingito. [19] Aliud quod omnia ducit. Cucumeris sylvestris ' oblongi internam partem, exempto semine, cum lacte terito, & myrrham puram una cum ipsis, adjectoque modico melle, & oleo ægyptio, molli lana excipito. [20] Aut cucumeris sylvestris internam partem siccato, & melle affuso terito, ac glandem formato. Postquam autem lota fuerit, adipem subdat. [21] Aut elaterii potiones tres cum aqua.

LXXXVI. Mollitoria. Ovi candidum, farinam, mel, ceram albā. Hæc simul tepefacito, & 'quod destillat lana exceptum apponito. [2] Aut adipem anseris, ceram albam, resinam, unguentum rosaceum, cervi medullam liquefacito. Aut ovillum vel caprinum adipem, ovi candidum, unguentum rosaceum. Ex his aut glandem facito, aut lana excipito.

[3] Fomenta per quæ uteri purgantur, si duri fuerint. [4] Vinum suavissimum pari aqua temperare oportet, trium semicongiorum atticorum mensura, & fœniculi radices ac ' seminis ejusdem quadrantem, & olei rosacei heminam dimidiam, [5] in ollam mittere, cujus operculum foramen habet, & vinum superfundere, & arundine indita fomentum facere, & postea scillam apponere.

LXXXVII. Si dolores repentini irruerint, & animi deliquia affuerint, [2] rosarum folia, cinamomum, myrrham puram, netopum, papaveris succum. [3] Hęc in pastillos drachmales efformato, & super frusto amphoræ candenti ponito, & pro ' suffimento utitor. [4] Aut styracis modicum in oleum mittito, ac utitor velut priore.

προτέρης χρήσιος.[5] ἅπαντα, ὁκόσα ἐς τὰ μύρα ἐμβάλλεται, κόψαι καὶ κηλασῆσαι. [6] ἐπιβάλλειν δὲ ἐπὶ τὸν βόλιτον τὸν βόειον, καὶ στύρακα, καὶ πηκτὸν νετώπιον. [7] ῥόδινον ἔλαιον ὡς ἄριστον, καὶ αἰγύπτιον λευκὸν, θυμιᾶν τοῦτο μετὰ τὰς καθάρσιας. [8] ἢ δάφνης καὶ μυρσίνης φύλλα κόψαι, καὶ κυπαρίσσου καρπὸν, ἐργάσασθαι αἰγυπτίῳ λευκῷ μύρῳ καὶ νετώπῳ, καὶ ἐπὶ βολίτου θυμιᾶν. [9] ἀρήγει δὲ καὶ μάννα, κυπαρίσσου πρίσματα, καὶ κυπέρου ῥίζα κοπεῖσα. [10] σῆσαι δὲ σχοῖνον καὶ τὸν εὔοσμον ἡδύοσμον, καὶ κάρδαμον, καὶ ἶριν. ταῦτα πάντα μίσγειν· προχέαι δὲ αὐτοῖς ῥόδινον ἔλαιον καὶ νέτωπον, καὶ χρέεσθαι ἐν κριμνοῖσι πυρίνοισιν. [11] ἢ ῥητίνην ἐπὶ νεοπήκτου κεραμίδος θυμιᾶν, ἐπιβαλὼν καστόριον, ἢ τι τῶν ἀρωμάτων. [12] τὴν δὲ κεφαλὴν τέγγειν ἐλαίῳ ῥοδίνῳ, ἐς δὲ τὰ ὦτα μύρσινον ἢ μήλινον. [13] ἢ λευκοὺς ἐρεβίνθους καὶ ἀσταφίδας ἑψήσας δίδου πίνειν, καὶ ἐν ὕδατι θερμῷ καθέζεσθαι. [14] ἢ ἐλαίας λευκὰς, πρὶν αὖ ἔλαιον ἀνεῖναι, καταχνίσαι καὶ αὐῆναι, καὶ ἐς οἶνον τρίβειν εὐώδεα, καὶ ἐμβάφιον ἀττικὸν διδόναι. [15] ἢ κανθαρίδων τὰς γαστέρας, [16] ἢ ἀδίαντον καὶ νίτρον ἐρυθρὸν αἰγύπτιον, ῥίζαν νάρθηκος, καὶ σελίνου σπέρμα λεῖον. [17] ταῦτα διδόναι.

LXXXVIII. Ἢν δὲ ἐπιλάβῃ στραγγουρίη, ἐν ὕδατι καθιζέσθω, καὶ γλυκὺν πινέτω. [2] ἢν μάλιστα πνίγηται ἐν ὀδύνῃ ὑστερέων, οἶνόν τε ὡς ἥδιστον ἴσον ἴσῳ κεράσας ὡς τρία ἡμιχόεα ἀττικὰ καὶ μαράθρου ῥίζας καὶ τοῦ καρποῦ τριτημόριον, καὶ ῥοδίνου

priore. [5] Omnia quæ in unguenta injiciuntur tundito ac cribrato, [6] & super stercus bubulum mittito, itemque styracem, & netopum, [7] rosaceum oleum quam optimum, & ægyptium album affundito, & post purgationes suffito. [8] Aut lauri & myrti folia tundito, & cyperi fructum, cum unguento albo ægyptio subigito, addito etiam netopo, & super stercore bubulo suffito. [9] Auxiliatur & manna thuris, & cupressi ramenta, & cyperi radix tusa. [10] Sed & juncum odoratum aromaticum, & cardamomum, & iridem tundito ac cribrato, atque hæc omnia misceto, & rosaceum oleum ac netopum ipsis affundito, & utitor in crassiore tritici farina. [11] Aut resinam in recens formato fictili, castorio, aut aliquo ex aromatis adjecto. [12] Caput vero oleo rosaceo tingito, in aures autem myrteum, aut melinum oleum infundito. [13] Et cicer album, & uvas passas coquito, ac decoctum bibendum dato, & in aqua calida desideat. [14] Et olivas albas priusquam oleum remittunt lancinato ac siccato, & in vino odorato terito, & acetabulum atticum præbeto. [15] Aut cantharidum ventres, [16] aut adiantum, & nitrum rubrum ægyptium, & ferulæ radicem, & apii semen tritum, [17] hæc exhibeto.

LXXXVIII. Si vero urinæ stillicidium corripiat, in aqua desideat, & vinum dulce bibat. [2] Si maxime strangulatur in uterorum dolore, vinum suavissimum pari aqua temperatum, trium semicongiorum atticorum mensura, & fœniculi radices, & seminis ejusdem trientem, & olei ro-

νου ἐλαίου ἡμικοτύλιον. 3 ταῦτα ἐμβάλλειν ἐς ἐχῖνον καινὸν, καὶ τὸν οἶνον ἐπιχέαντα πυριᾷν. 4 καὶ τὴν σκίλλαν προστιθέναι, ἔς τ' ἂν φῇ τὸ στόμα μαλθακὸν εἶναι καὶ εὐρύ. 5 καὶ, ἢν ἑλκωθῇ καὶ φλυκτίδες πανταχοῦ αὐτῶν ἔωσιν, ἄμεινον στέατι χηνείῳ ἀλείφειν ξὺν λιβανωτῷ θεραπεύειν.

6 Ὑπὲρ ὑστερέων ὀδύνης. πευκέδανον, ἀριστολοχίαν, πάνακες, ταῦτα ὁμοῦ μίξαι ἐν γλυκεῖ οἴνῳ, καὶ χλιήναντα πίσαι, καὶ μήκωνος λευκῆς ῥοφέειν, καὶ κνίδης σπέρμα. 7 Ἄλλη πυρίη θυμίη. ἢν ὀδύνη ἔχῃ. σίδια ῥοιῆς γλυκείης, λωτοῦ πρίσματα, ἐλαίης φύλλα ξηρὰ κεκομμένα, ταῦτα ἐλαίῳ ἐργάσασθαι χρὴ, καὶ ἐπὶ βόλιτον πεπυρωμένον ἐπιρρίπτειν. 8 ἢ χαλβάνην, σμύρναν, λιβανωτὸν, ἔλαιον λευκὸν αἰγύπτιον ἐπὶ οἰναρίδων. 9 Ἑτέρη πυρίη, διὰ τοῦ ἀσπαλάθου στερεωτέρα. ἀσπαλάθου ῥίζαν, κόνυζαν, λαγωοῦ τρίχας, πήγανον, κορίανον ξηρὸν, ταῦτα τρίψας πάντα, φθοΐδας πλασσάμενον, θυμιᾷν. 10 ἢ ἐπὶ πίσσης σανδαράκην κόψας λείην, μίξαι πρίσματα κυπαρίσσου, καὶ μύρον ἐπιχέας, φθοΐδας ποιεῖν, καὶ ἐπὶ πῦρ θυμιᾷν. 11 ἢ αἰγὸς κέρας καταπρίσας ἐλαίῳ ἀνακυκᾷν, [καὶ] ἐπὶ πῦρ θυμιᾷν. 12 ἢ ὀρύξας βόθρον, γίγαρτα φρύγειν, καὶ τὴν σποδιὴν ἐμβάλλειν ἐς τὸν βόθρον, καὶ οἴνῳ εὐώδει νοτίσας τὰ γίγαρτα, περικαθεζομένην πυριῆσαι. 13 ἔστωσαν δὲ τῶν γιγάρτων δύο μοῖραι, καὶ αὐτὰ δὲ αὖαι ὡς τὰ μάλιστα.

LXXXIX. Ἢν δὲ ὑστέρη ἀλγέῃ ἄχρι κύστιος, πράσου καρπὸν ξὺν ὕδατι τρίψαντα πίνειν. 2 ἢ κυκλαμί-

ſacei heminam dimidiam. 3 Hæc in novam ollam mittito, & vino ſuperfuſo foveto. 4 Et ſcillam apponat, donec oſculum molle & amplum eſſe dixerit: 5 & ſi exulceratum fuerit, ac puſtulæ ubique in ipſis fuerint, præſtat adipe anſerino cum thure curare.

6 Ad uterorum dolorem. Peucedanum, ariſtolochiam, panaces, hæc ſimul in vino dulci miſceto: & tepefacta bibenda dato. Et peplum album ſorbeat, & urticæ ſemen. 7 Aliud fomentum ſive ſuffimentum. Si dolor habuerit, malicorium punici dulcis, loti ramenta, oleæ folia ſicca tuſa. Hæc cum oleo ſubigere oportet, & ſuper ignitum ſtercus bubulum mittere. 8 Aut galbanum, myrrham, thus, oleum album ægyptium, ſuper vitis ſarmenta. 9 Aliud fomentum fortius ex bitumine. Bitumen, radicem xanthii, pilos leporis, rutam, coriandrum ſiccum, hæc omnia terito, & formatas inde placentulas ſive paſtillos ſuffito. 10 Aut ad picem, & ſandaracham tuſam tritam, cupreſſi ramenta ammiſceto, & unguento affuſo placentulas formato, & in ignem miſſas ſuffito. 11 Aut cornu capræ in ramenta confectum oleo ſubigito, & in ignem miſſum ſuffito. 12 Aut effoſſa ſcrobe, vinacea uvæ torreto, & cinerem in ſcrobem mittito, & vino odorato inſperſo, mulieri circuminſidenti fomentum facito. 13 Sint autem vinaceorum chœnices duæ, atque hæc ipſa quam maxime ſicca.

LXXXIX. Si vero uterus doleat uſque ad veſicam, porri ſemen cum aqua tritum bibat. 2 Aut cyclamini radicem, in vino

τὴν ῥίζαν ἐν οἴνῳ λευκῷ πιπίσκειν νῆστιν, καὶ θερμῷ λουέσθω. καὶ ἀπόθερμον πινέτω νῆστις, καὶ χλιάσματα προστιθέναι. 3 ἢ σκορόδου μώλυζαν, καὶ νίτρον ὀπτὸν, καὶ κύμινον, λεῖα ποιήσας μέλιτι δεύων προστιθέναι, καὶ ἐν θερμῷ λουέσθω, καὶ ἀπόθερμον πινέτω.

4 Ὑστερέων πάσης νούσου θεραπευτικόν. λίνου τοῦ σχιστοῦ αὐτῇ τῇ καλάμῃ ὅσον δραχμὴν κόψας λεπτὸν, καταβρέξαι ἐν οἴνῳ λευκῷ ὡς ἡδίστῳ τὴν νύκτα. 5 ἔπειτα ἀπηθήσας διαχλιήνας τι, ἐν εἰρίῳ ὡς μαλθακωτάτῳ ἐμβάπτειν, 6 καὶ τὸ μὲν προστιθέναι, τὸ δὲ ἀφαιρέειν. 7 βοηθεῖ δὲ καὶ κρόκος, ἔτι τὸ σμύρνα, κάρυα ποντικὰ, εἴριον λευκόν τι καὶ καθαρὸν ἐν χηνὸς στέατι καὶ μύρῳ ἰρίνῳ προστιθέναι.

8 Ἢν περιωδυνίῃ ἔχῃ ἐκ προσθέτων καθαιρομένην. σμύρνης ἐμβάφιον, λιβανωτὸν ἴσον, μελάνθιον, κύπειρον, σέσελι, ἄννησον, λίνον, νίτωπον, μέλι, ῥητίνην, χηνὸς στέαρ, ὄξος, λευκὸν τὸ μύρον αἰγύπτιον, ἴσον ἑκάστου τρίβειν ἐν οἴνῳ λευκῷ γλυκεῖ δύο κοτύλῃσι, καὶ κλύζειν χλιεροῖσι κλυσμοῖσιν. 9 Ἢν ὀδύνη ἔχῃ σφοδρή. κανθαρίδες, κύπειρος, κάλαμος, σχοῖνος. καὶ ἶρις. ταῦτα ἐν οἴνῳ μέλανι ἑψῶν χρέο.

XC. Ἕτερος κλυσμὸς, ἢν περιωδυνίῃ καὶ στραγγουρίῃ ἔχῃ. 2 πράσου χυλὸν, ἀκτῆς καρπὸν, σέσελι, ἄννησον, λιβανωτὸν, σμύρναν. οἶνον χύλωσον καὶ μῖξον, καὶ κλύσαι. 3 ἢ σμύρνης ὀξύβαφον, λιβανωτοῦ ἴσον, μελανθίου καὶ κυπείρου ἴσον, σέσελι, ἄννησον, σελίνου σπέρμα, νίτωπον, μέλι, ῥητίνην, χηνὸς στέαρ, ὄξος, λευκὸν τὸ μύρον αἰγύπτιον.

albo jejunæ bibendam dato, & calida lavetur, & apothermon jejuna bibat, & tepefactoria apponat. 3 Aut allii caput integrum, & nitrum tostum, & cuminum, trita ac melle subacta apponito: & calida lavetur, & apothermon bibat.

4 Ad omnem uterorum morbum curandum. Lini scissi una cum stipula pugillum tenuiter tusum, in vino albo quam suavissimo per noctem madefacito: 5 deinde excolatum in ollula tepefacito, & in eo lanam mollissimam tinctam 6 apponito, & vicissim priore detracta aliam subdito. 7 Opitulatur autem & crocus, & myrrha, & Ponticæ nuces, alba & pura lana excepta, & cum adipe anserino ac unguento irino apposita.

8 Si dolor vexarit ex subditiis purgatam, myrrhæ acetabulum, thuris tantundem, melanthium, cyperum, seseli, anisum, apii semen, netopum, mel, resinam, adipem anserinum, ovi candidum, unguentum ægyptium, singula paribus portionibus in vino albo dulci, duarum heminarum mensura terito, & tepidis infusis colluito. 9 Si dolor vehemens habuerit, cantharides, cyperus, calamus, juncus odoratus, & iris prosunt. Hæc in vino nigro coquito, ac utitor.

XC. Alia collutio. Si dolor & urinæ stillicidium vexarit, 2 porri succum, sambuci fructum, seseli, anisum, thus, myrrham, vinum, in succum redigito, misceto, ac infundito. 3 Aut myrrhæ acetabulum, thuris tantundem, melanthii & cyperi tantundem, seseli, anisum, apii semen, netopum, mel, resinam, anseris adipem, ovi candidum,

πλίον. τούτων ἴσον ἑκάστου διεῖναι οἴνῳ λευκῷ γλυκεῖ, καὶ κλύζειν. 4 ἢ λινοζώστιος ὕδωρ ἀφεψήσας ξὺν μυρσίνῃ, λιβανωτῷ, νετώπῳ. 5 ἢ ἐλελίσφακον καὶ ὑπερικὸν ἑψεῖν ἐν ὕδατι, καὶ κλύζειν. 6 ἢ σελίνου καρπὸν, ἄννησον, μελάνθιον, σέσελι, σμύρναν, κασίης καρπὸν, ἐν οἴνῳ ἑψεῖν, καὶ κλύζειν. 7 Ἕτερος κλυσμός, ἢν ὀδύνην ἔχῃ σφοδρὴν μετὰ τὴν κάθαρσιν. 8 ἀκτῆς καρπὸν καὶ δαφνίδας ἑψεῖν ἐν οἴνῳ μέλανι, καὶ κλύσαι. 9 ἢ ἀκτὴν ἑψήσας ἐν ὕδατι, ἀποχέειν τὸ ὕδωρ, οἶνον δὲ γλυκὺν παραχέας, κλύσαι. 10 ἢν μετὰ κλυσμὸν ὀδύνη ἐγγένηται, ἑψεῖν τὰ θυώματα, [ἃ] ἐς τὸ μύρον ἐμβάλλεται, καὶ ἀποχέαι τοῦ ὕδατος δύο κοτύλας, μίξαι δὲ ἔλαιον χηνὸς, καὶ ῥόδινον, καὶ κλύζειν χλιαρῷ. 11 [οὐ] πλεῖον δὲ κλύσμα δύο κοτύλαι μηδενὶ ὡς ἔπος εἰπεῖν. 12 ἢ λινοζώστιν ἑψεῖν ὕδατι, καὶ μίξαι χυλὸν μυρσίνης. 13 ἢ λιβανωτὸν [καὶ] νέτωπον ἴσον, καὶ κλύσαι χλιαρῷ. 14 Ἢν δὲ ἀλγέῃ τὰς ὑστέρας, κυκλαμίνου ῥίζαν ἐν οἴνῳ λευκῷ πιπίσκειν νῆστιν, καὶ τῷ θερμῷ λούεσθαι, καὶ ἀπόθερμον πινέτω.

XCI. Ἢν ἀφθῇ τὰ αἰδοῖα, μύρτοισι θερμὸν ξὺν οἴνῳ κλύζεσθαι, καὶ μελίλωτον προστιθέναι. 2 καὶ γλυκυσίδης ἐν οἴνῳ ἑψημένης τελπῖς προστιθέσθω. 3 καὶ σμύρναν ῥητίνην ὁμοῦ μίξας, καὶ διεὶς ἐν οἴνῳ, ὀθόνιον ἐμβάπτων προστιθέναι. 4 καὶ, στραγγουρίην ἢν λάβῃ, πυριῆν, καὶ χρίειν τὸ ἦτρον. 5 ἐγκαθίζεσθαι δὲ ἐν ῥόδων ἀφεψήματι, ἢ βάτου ἢ μυρσίνης,

unguentum ægyptium, singula paribus portionibus in vino albo dulci diluito, ac infundito. 4 Aut mercurialis aquam decoctam cum myrrha, thure, netopo. 5 Aut salviam, & hypericum, in aqua coquito ac infundito. 6 Aut apii semen, anisum, melanthium, seseli, myrrham, casiæ fructum, in vino coquito ac colluito. 7 Alia collutio. Si dolor fuerit vehemens post purgationem. 8 Sambuci fructum, & lauri baccas, in vino nigro coquito ac colluito. 9 Aut sambucum in aqua coquito, & aquam excolato, & vino dulci affuso colluito. 10 Si post collutionem infusam dolor oboriatur, aromata quæ in unguenta injiciuntur coquito, & de aqua duas heminas excolato: misceto autem adipem anseris, & oleum rosaceum, & tepida infundito. 11 Amplius autem infusum nulli, ut semel dicam, competit quam duarum heminarum. 12 Aut mercurialem in aqua coquito, & ad succum, myrrham ammisceto, 13 aut thus, & netopum pari mensura, & tepidum infundito. 14 Si verò uteros doleat, cyclamini radicem in vino albo jejunæ bibendam dato. Et calida lavetur, & apothermon bibat.

XCI. Si ex fervido & superficiario ulcere pudenda fuerint exulcerata, myrti baccis in vino coctis colluat, & melilotum apponat. 2 Et mali punici dulcis putamina in vino coquito, 3 & myrrham ac resinam simul mixta vino diluito, & intinctum in his linteum subdito. 4 Et si urinæ stillicidium corripiat, fomentum adhibeto, & pectinem illinito. 5 Desideat autem in decocto rosarum, aut rubi, aut myrti,

σίνης, ἢ ἐλαίης, ἢ ἑλίκων ἀμπέλου, ἢ ἀρκευθίδων, ἢ ἐλελισφάκου.

6 Ἢν δὲ ἄνεμος ἐσέλθῃ 380 ἐν τῇ μήτρῃ, πόνος τε ἴσχῃ ἰσχυρὸς, καὶ φῦσα οὐκ ἐξίῃ, κύμινον προστιθέσθω. 7 ἐλελίσφακον [δὲ] καὶ κύπερον κόψας, καὶ τέγξας, τὴν νύκτα ὅλην, 15 ἕωθεν ἀπηθήσας, τὸ διαυγὲς τε ἐς ἄγγος ἐγχέαι. κρίμνα πύρινα ἐν οἴνῳ λευκῷ φορύξαι, καὶ ὀπὸν σιλφίου ὡς κύαμον 381 κρῖμμα ἑψεῖν, καὶ ὠμότερον διδοῦ ῥοφέειν.

XCII. Ἢν κίων ἐν τοῖσιν 382 αἰδοίοισιν ἐσέλθῃ, ὀδύνη ἴσχει. 2 καὶ τῆς μὲν ὀδύνης σελίνου καρπὸς ἀλέξημα. 3 καὶ κισσὸς, καὶ βάτος, καὶ ῥοιῆς γλυκείης τρίψας ἐν οἴνῳ παλαιῷ τῇ ποταίνῃ σαρκὶ προστίθεσθαι καὶ ἐπιπλάσαι τὰ φύλλα. 4 τὴν δὲ νύκτα ὅλην ἐχέτω κείμενα. 5 καὶ ἔπειτα ἀφελομένη, ἐν οἴνῳ διακλύζεσθαι.

ti, aut oleæ; aut pampinorum vitis, aut juniperorum baccarum, aut salviæ.

6 Si ventus in utero obortus fuerit, & dolor vehemens, & flatus non exit, cuminum apponat. 7 Et salviam ac cyperum tusa madefacito per noctem, & mane excolato, & lucidum ac clarum cremorem in vas infundito, & crassiorem tritici farinam cum 455 vino albo ammisceto, & silpii succum magnitudine fabæ, cum farina coquito, & crudius sorbenda dato.

XCII. Si columella in pudendis nascatur, dolor obtinet. 2 Et doloris quidem medela est apii semen. Columellam vero rescare oportet. Si ulcera in pudendis oboriantur, & pruritus corripiat, oleæ folia, 3 & hederæ, & rubi, & mali punici dulcis trita, & vino veteri diluta, cum recenti carne apponito, ita ut folia 460 carni oblinas. 4 Et habeat subditam per totam noctem. 5 Mane vero eximens, & myrtum in vino coquens, cum vino pudenda colluat.

ΙΠΠΟΚΡΑΤΟΥΣ περὶ ΑΦΟΡΩΝ.

HIPPOCRATIS DE STERILIBVS.

Basil. græc. Foesius sect. v. 242. 675. Basil. lat.

pag 290 ΠΕΡΙ μὲν γινομένων τῇσι γυναιξὶν ἐφ' ἑκάστοισι τῶν παθημάτων πρότερον εἴρηται. 2 νυνὶ δὲ ἀποφανέω, δι' ἃς αἰτίας ἄφοροι γυναῖκες τὸ παράπαν, 3 καὶ διό, οὐ τίκτουσι πρὶν ἰηθῶσι. 4 φημὶ δὲ τοῦτο αἴτιον εἶναι. 5 ἢν στραφῇ τὸ στό-

DE his quidem quæ 111 accidunt mulieribus 318 in singulis affectionibus, prius dictum est. pag 386

2 Nunc autem ostendam ob quas causas mulieres omnino steriles fiunt, 3 & cur non pariunt antequam sanentur. 4 Causam vero hanc esse dico. 5 Si os uterorum

μα τῶν μητρέων πάμπαν ἀπὸ τοῦ αἰδοίου, οὐ κυΐσκονται. [6] οὐ γὰρ δέχονται αἱ μῆτραι τὴν γονὴν, ἀλλ' ἔξω αὐτίκα ἔρχεται. [7] γίνεται δὲ τοῦτο, ἢν καὶ ὀλίγον παρεστραφῇ τὸ στόμα τῶν ὑστερέων ἀπὸ τοῦ αἰδοίου παρὰ φύσιν. [8] καὶ, ἢν μεμύκῃ τὸ στόμα τῶν μητρέων πάμπαν, οὐδ' ὅλως δέχονται. [9] οὐδ', ἢν ἀρμοῖ μεμύκῃ μᾶλλον ἢ δεῖ. [10] δῆλον δὲ τουτέων ἕκαστόν ἐστι τῶν εἰρημένων. [11] ἢν μὲν γὰρ ἀπεστραμμένον ᾖ πάμπαν, ἢ μεμυκὸς, τὰ καταμήνια οὐκ ἔρχεται τὸ παράπαν, [12] ἢ ἔρχεται βιαίως ξὺν νούσῳ, ἢν βιάσηται τὸ αἷμα τὰς μήτρας στραφῆναι κατ' ἦθεα. [13] καὶ, ἢν ἀποκαθαρθῇ ἡ γυνὴ, ἔστιν ὅτε αὐτῆς ἀποστρέφεται τὸ στόμα τῶν μητρέων ἀπὸ τοῦ αἰδοίου. [14] ἢν δὲ ὀλίγον παρακεκλιμένον ᾖ, ἢ ἀρμοῖ μεμύκῃ, χωρέει μὲν τὰ καταμήνια, χωρέει δὲ βιαίως, καὶ κατ' ὀλίγον ἐπὶ πολλὰς ἡμέρας. [15] ταῦτα δὲ πάντα δῆλα γίνεται, εἰ οὕτως ἔχει, ψηλαφώσῃ γυναικί. [16] καὶ, ἢν τούτων τι ᾖ, μελεδανθεῖσα ἡ γυνὴ, φορὸς γίνεται. [17] ἔστι δὲ καὶ ὅτε αὐτομάτη. [18] τούτων δὲ ἕκαστον διό, τι γίνεται, εἰρήσεται. εἴρηται δὲ ἐν τοῖσι γυναικείοισι νουσήμασιν.

11. Ἢν δὲ λεῖαι ἔωσιν αἱ μῆτραι. [2] γίνεται δὲ τοῦτο καὶ φύσει ἐνίῃσι, καὶ ἢν ἕλκεα ἐξελθόμενα μεγάλας οὐλὰς ἐγκαταλίπῃ. [3] οὐ λαμβάνει ἡ γυνὴ ἐν γαστρί. [4] τὴν γὰρ γονὴν δέχονται μὲν αἱ μῆτραι, ἢν μή τι αὐταῖς ἄλλο ᾖ, ξυλλαμβάνουσι δ' οὔ· [5] ἀλλὰ τὸν σπόρον ἔξω χαλῶσι. [6] δῆλον δὲ μάλιστά ἐστι ψηλαφώσῃ, καὶ ἐρεομένῃ, εἴ ποτε ἐν τῇσι μήτρῃσιν ἕλκεά οἱ ἐγένοντο. [7] τὰ δὲ

omnino aversum fuerit à pudendo, non concipiunt. [6] Non enim suscipiunt uteri genituram, sed statim foras exit. [7] Contingit autem hoc etiam si parum distortum fuerit os uterorum præter naturam à pudendo. [8] Et si omnino conclusum fuerit os uterorum, neque sic suscipiunt. [9] Neque si recens conclusum fuerit magis quam oportet. [10] Singula vero relata manifesta sunt. [11] Etenim si omnino aversum fuerit, aut conclusum, menses non prodeunt omnino, [12] aut prodeunt violenter cum morbo, si sanguis coëgerit uteros pro more converti. [13] Et si purgata fuerit mulier, aliquando os uterorum ipsi à pudendo avertitur. [14] Si vero parum distortum, aut recens conclusum fuerit, prodeunt quidem menses, prodeunt autem violenter, & paulatim per multos dies. [15] Hæc autem omnia manifesta fiunt, si sic habent, contingenti mulieri: [16] & si horum aliquid fuerit, curata mulier fœcunda fit. [17] Quandoque vero etiam sua sponte. [18] Hæc autem singula cur fiant, dicetur. Dictum autem est & in Muliebribus morbis.

11. Si leves fuerint uteri: [2] contingit autem hoc & ex natura quibusdam, & si ulcera innata magnas cicatrices reliquerint. Si leves igitur uteri fuerint, [3] mulier in ventre non concipit. [4] Nam genituram suscipiunt quidem uteri, si non alia aliqua causa obstiterit: non autem concipiunt, [5] sed semen foras emittunt. [6] Hoc autem maxime clarum fit contingenti, & si interrogetur an aliquando ulcera in uteris ipsi oborta fuerint. [7] Menses

δὲ καταμήνια ὑγιηρῶς μὲν ἐν τῷ τρόπῳ τοῦ νοσήματος χωρέει. ⁸ ἀνίητος δὲ γίνεται ὡς ἐπὶ [τὸ] πλέον ἡ τοιαύτη. ⁹ γίνεται δὲ καὶ τοῦτο αἴτιον τοῦ μὴ ξυλλαμβάνειν ἐν γαστρί. ἢν ἕλκος γένηται ἐν τῇσι μήτρῃσιν ὑπὸ παθήματος τούτων τῶν εἰρημένων, καὶ μὴ ταχὺ ἰηθῇ, ἀλλὰ μολυνθῇ. ¹⁰ παραμένει γὰρ τὸ ἕλκος ἐπὶ πουλὺν χρόνον, ὥσπερ καὶ τὸ ἐν ὠτὶ ἐόν, καὶ ὄζει πονηρὸν ἡ γυνή. ¹¹ καὶ ἔστιν ὅτε ἰχὼρ ῥέει αὐτῇ ἐκ τῶν αἰδοίων κάκοδμος. ¹² καὶ μέχρις ἂν ἔχῃ τὸ ἕλκος, οὐ λαμβάνει ἐν γαστρί. ¹³ οὐ γὰρ ξυλλαμβάνουσιν αἱ μῆτραι τὴν γονήν. ¹⁴ ταύτῃ δὲ τὰ καταμήνια χωρέει ὑγιηρῶς. ¹⁵ ἐν ψηλαφήσει δὲ μάλιστα γίνεται δῆλον, καὶ ἐρωτήσει περὶ τῶν εἰρημένων. ¹⁶ μελεδανθεῖσα δὲ φορὸς γίνεται. ¹⁷ ὀλίγαι δὲ ἐλπίδες εἰσίν.

III. Ἢν δὲ τῶν καταμηνίων ἐγκαταληφθὲν ἐν τῇσι μήτρῃσιν ἔκρηξιν ἔχῃ, θερμανθὲν δὲ καὶ αὖθις ψυχωθὲν περὶ τὸ στόμα ἢ ὀλίγον ἐνδοτέρω, οὐδὲ οὕτω λαμβάνει ἐν γαστρί. ² ἔργμα γὰρ τοῦτο ἐπικείμενον οὐ παρίησι τὴν γονὴν ἰέναι, ὅκου δεῖ. ³ καὶ ἢν μὲν ἐν ἀρχῇ μελεδαίνηται, ὑγιαίνει καὶ φορὸς γίνεται. ⁴ ἢν δὲ χρόνος ἐγγένηται, ἄφορος μένει. ⁵ δῆλον δὲ τὸ πάθημα ἐν ψηλαφήσει μάλιστά ἐστι· ⁶ σκληρὸν γάρ τι ἔσω γίνεται. ⁷ καὶ ἢν χαίνωσι μᾶλλον τοῦ καιροῦ αἱ μῆτραι, οὐδὲ οὕτω κυΐσκεται. ⁸ οὐ γὰρ ξυλλαμβάνουσιν αἱ μῆτραι τὴν γονήν. ⁹ δῆλον δὲ ἔσται καὶ τοῦτο ἐν ψηλαφήσει. ¹⁰ καὶ τὰ καταμήνια ἔρχεται ἀλέα, καὶ ἐπ' ὀλίγας ἡμέρας. ¹¹ γίνεται δὲ καὶ φύσει τὸ πάθημα τοῦτο, καὶ ὑπὸ νοσημάτων τῶν εἰρημένων. ¹² καὶ ἢν μὲν φύσει ᾖ, ἀνίητος ἡ νοῦσος· ἢν δὲ μή, οὔ. ¹³ [Ἢν] οὐχ ὑγιηρὰ χωρέῃ τὰ κατα-

ses vero sano quidem modo prodeunt in hoc morbo. ⁸ Verum talis plerunque incurabilis est. ⁹ & hæc causa est, ut in ventre ne concipiat. ¹⁰ Si ulcus in uteris factum fuerit ab affectione quadam ex relatis, & non statim sanatum, sed impurum factum fuerit, permanet ulcus ad multum tempus, quemadmodum & id, quod in aure existit: & male olet mulier: ¹¹ & quandoque sanies male olens ipsi ex pudendo fluit: ¹² & quandiu sane ulcus habuerit, in ventre non concipit. ¹³ Non enim concipiunt uteri genituram. ¹⁴ Huic autem menses sano modo procedunt. ¹⁵ Verum ex contactu, & interrogatione, maxime clarum fit de relatis. ¹⁶ Curata vero fœcunda fit, exigua tamen spes est.

III. Si quid ex mensibus in uteris remanens scissuram ac segmentum habeat, quod circa osculum aut paulo penitius calescat, & rursus frigescat, neque sic in ventre concipit. ² Impedimentum enim hoc incumbens, genituram quo oportet transire non permittit. ³ Et si quidem in principio curetur, sanescit, & fœcunda fit. ⁴ Si vero tempus accesserit, sterilis manet. ⁵ Manifesta est autem affectio maxime ad contactum. ⁶ Durum enim quiddam intus est. ⁷ Et si magis quam convenit uteri hiarint, neque sic prægnans fit. ⁸ Non enim concipiunt uteri semen genitale. ⁹ Sed & hoc ad contactum clarum fiet, ¹⁰ & menses acervatim prodeunt, & per paucos dies. ¹¹ Fit autem & natura hæc affectio, & a relatis morbis. ¹² Et si quidem a natura fuerit, incurabilis est morbus. ¹³ Sin minus, non sani prodeunt men-

καταμήνια, οἷα τῆς γυναικὸς μὴ ὑγιηρῆς ἐούσης, οὐδὲ οὕτω κυΐσκεται. [14] οὐ γὰρ πήγνυται ὑπὸ τοῦ αἵματος, νοσεροῦ ἐόντος, ἀλλὰ διυγραίνει τὴν γονὴν τὸ αἷμα τὸ κατιὸν ἀπὸ τοῦ σώματος, νοσερὸν ἐόν. [15] διυγρανθεῖσα δὲ ἡ γονὴ ἐξέρχεται ἔξω τῷ χρόνῳ, ἢ ὀλίγῳ ἢ πολλῷ, ξὺν ἰχῶρι. [16] δῆλον δέ ἐστι τῷ σώματι τῆς γυναικὸς, καὶ τοῖσι καταμηνίοισι. [17] χωρήσεται γὰρ τὰ καταμήνια αὐτῇ, οἷα εἴρηται, ἤν τε χολώδης, ἤν τε φλεγματώδης, ἤν τε ὑδρωποειδὴς εἴη. [18] ἐν τάχει δὲ μελεδανθεῖσα, εὔφορος γίνεται· ἢν δὲ μὴ, οὔ.

IV. Ἢν δὲ γυναικὶ μὴ χωρέῃ τὰ καταμήνια πάμπαν, ἢ ὑπὸ παθημάτων τῶν εἰρημένων, καὶ οὕτως οὐ ξυλλαμβάνει. [2] αἱ γὰρ φλέβες τοῦ αἵματος πλήρεες ἐοῦσαι τὴν γονὴν οὐ δέχονται. [3] καὶ ἐν τῇσι μήτρῃσιν αἵματος ἐνεῖναί τι χρονίου πᾶσα μηχανὴ, ὅ, τι ἀποκωλύει τὴν γονὴν τρέφεσθαι. [4] Ἢν δὲ ἐλάσσω τὰ καταμήνια χωρέῃ τῶν δεόντων, οὐδὲ οὕτω κυΐσκεται. [5] αἴτια δὲ τὰ ἐν τῇ προτέρῃ νούσῳ προειρημένα. [6] δῆλον δὲ καὶ τοῦτο ἐν τῇ ἐρωτήσει. [7] καὶ ἢν μὲν φύσει ὀλίγα χωρέῃ τὰ καταμήνια, ἀνίητος γίνεται. [8] ἢν δὲ ὑπὸ παθήματος τουτέων τινὸς τῶν εἰρημένων, μελεδανθεῖσα ἐν τάχει, φορὸς ἔσται. [9] καὶ ἢν πλείονα τῶν δεόντων χωρέῃ τῇ γυναικὶ τὰ καταμήνια, οὐδ' οὕτως ἐν γαστρὶ λαμβάνει. [10] αἱ γὰρ μῆτραι, κεκενωμένου τοῦ αἵματος, οὐ ξυλλαμβάνουσι τὴν γονὴν ὑπὸ ἀσθενείης. [11] ἢν δὲ ἄρα καὶ ξυλλάβωσι, κατελθὸν τὸ αἷμα πολλὸν ἐξαπίνης ἐπὶ τὰς μήτρας τῆς γυναικὸς, ἀποπνίγει τὴν γονήν. [12] δῆλον δὲ καὶ τόδε τοῖσιν ἐπιμηνίοισιν, ὁκόσα πολλὰ χωρήσει. [13] καὶ ἢν μὲν φύσει ἡ γυνὴ πολλὰ χαλᾷ τὰ καταμήνια, ἄφορος γίνεται. [14] ἢν δὲ μὴ φύσει, ἀλλ'

ses, utpote muliere non existente sana: neque sic prægnans fit. [14] Non enim compingitur semen à sanguine morboso. Sed sanguis qui à corpore morbosus descendit, genituram serosam facit. [15] Serosa vero facta genitura tempore modico aut multo, foras progreditur una cum sanie. [16] Atque hoc ex corpore mulieris, & ex mensibus manifestum fit. [17] Prodibunt enim ipsi menses velut dictum est, sive biliosa, sive pituitosa, sive aquosa fuerit. [18] At brevi curata fœcunda fit: sin minus, non.

IV. Si vero mulieri menses non prodeant omnino, aut ab omnibus relatis, etiam sic non concipit. [2] Venæ enim sanguine plenæ, genituram non suscipiunt: [3] & in uteris aliquid inveterati sanguinis inesse necesse est, quod genituram nutriri prohibet. [4] Si vero pauciores quam debeant menses prodeant, neque sic prægnans fit: [5] causæ vero in priore morbo relatæ sunt. [6] Fit autem hoc manifestum ex interrogatione: [7] & si quidem à natura pauci menses prodeunt, incurabilis est. [8] Si vero ab affectione aliqua ex relatis, brevi curata, fœcunda erit. [9] Et si plures quam debent menses mulieri prodeant, neque sic in ventre concipit. [10] Uteri enim sanguine evacuato, genituram non concipiunt, præ debilitate. [11] Si vero etiam conceperint, sanguis multus derepente in uteros mulieris descendens, genituram suffocat. [12] Manifestum autem & hoc est ex mensibus qui multi prodibunt. [13] Et si quidem natura mulier multos menses demittit, sterilis fit. [14] Si vero non natura, sed ab aliqua ex relatis affe-

ἀλλ' ὑπὸ παθήματός τινος τῶν εἰρημένων, μαλθαχθεῖσα ἐν τάχει, φορὸς ἔσται.

v. Καὶ ἢν τὸ στόμα τῶν μητρέων ἐκπίπτῃ ἐκ τοῦ αἰδοίου, οὐδὲ οὕτω λαμβάνει ἐν γαστρί. [2] τό, τε γὰρ στόμα σκληρὸν γίνεται, καὶ οὐ δέχεται τὴν γονὴν, καὶ οἰδεῖ. [3] καὶ ταύτῃ ἄφορος γίνεται τὸ πάμπαν. [4] δῆλον δὲ τὸ πάθημα τοῦτο, δι' ὅ, ἢν γίνηται. [5] καὶ ἢν μὴ χωρέῃ τὰ καταμήνια κατὰ τὸ προσῆκον, ἀλλὰ κάτω ὁρμῇ ἐς τὴν ἕδρην, οὐδὲ οὕτω λαμβάνει ἐν γαστρί. [6] δῆλον γὰρ, ὅτι τὸ στόμα τῶν μητρέων ἐκπέτραπται ἀπὸ τοῦ αἰδοίου, ἢ μέμυκε. [7] καὶ, ἢν μὲν κατὰ τὴν ἕδρην ᾖ ἐστραμμένον τὸ στόμα ἢ μέμυκε, μαλθαχθεῖσα φορὸς γίνεται. [8] δῆλον δὲ ἑκάτερόν ἐστι τῇ ἐρωτήσει καὶ ἀποκρίσει. [9] ἢν γὰρ τὰ καταμήνια ἑκάστοτε ὧδε ἴῃ, ἡ νοῦσος ταύτῃ δῆλον, ὅτι αἰτίη ἐστί. [10] τοσαῦτα δὲ τὰ τοιαῦτα τῇσι γυναιξίν ἐστι, δι' ἃ οὐ τίκτουσι, πρὶν ἂν ἰηθῶσι, [11] καὶ δι' ὅσα ἄφοροι γίνονται τὸ πάμπαν. [12] ὥστε θαυμάζειν τὰς γυναῖκας οὐ χρὴ, ὅτι εἰσὶ μὲν [φοροὶ], οὐ τίκτουσι δὲ πολλάκις.

vi. Πειρητήρια, δι' ὧν δηλοῦται ἡ γυνὴ ἐς κύησιν. [2] γυναῖκα ἢν θέλῃς γνῶναι εἰ κυήσει, πυρίην ποιῆσαι, ἢ βούτυρον καὶ γάλα γυναικὸς κουροτρόφου διδόναι πίνειν, καὶ, ἢν ἐρεύγηται, κυήσει, εἰ δὲ μὴ, οὔ. [3] Ἄλλο. νέτωπον ὀλίγον προστιθέσθαι ἐν εἰρίῳ ἐνελίξασα, κἄπειτα ἕωθεν σκέψασθαι, ἢν ὄζῃ διὰ τοῦ στόματος τὸ ἐπιτεθέν. καὶ ἢν μὲν ὄζῃ, κυήσει· ἢν δὲ μὴ, οὔ. [4] Ἕτερον πειρητήριον ἐπὶ τοῦ αὐτοῦ. Ἢν ἂν γυναικὶ ἀπὸ τῶν προσθέτων μὴ λίην ἰσχυρῶν ἐόντων, ἢν ὀδύναι ἐς τὰ ἄρθρα ἀφίκωνται, καὶ βρυγ-

μὸς

affectione, brevi curata fœcunda erit.

v. Et si os uterorum ex pudendo exciderit, neque sic concipit. [2] Nam os durum fit, & genituram non suscipit, & intumescit, [3] & propterea in totum infœcunda fit. [4] Manifesta est autem hæc affectio, ex eo quod contingit. [5] Et si non prodeant menses velut debent, sed deorsum processerint in sedem, neque sic in ventre concipit. [6] Manifestum est enim, quod os uterorum à pudendo aversum est, aut conclusum: [7] & si quidem ad sedem aversum fuerit osculum, aut conclusum, curata fœcunda fit. [8] Utrunque vero ex interrogatione ac responsione manifestum fit. [9] Si enim menses semper sic prodierint, clarum est quod his morbus causa est. [10] Atque tot ac talia mulieribus contingunt, propter quæ non pariunt antequam curentur, [11] & propter quæ omnino steriles fiunt. [12] Quare mirari mulieres non oportet, quando coeunt quidem, non autem sæpe pariunt.

vi. Experimenta per quæ indicatur an prægnans fiet mulier. [2] Si cognoscere voles an mulier prægnans fiet: Butyrum & lac mulieris masculum alentis bibendum dato: & si eructaverit, concipiet. Sin minus, non. [3] Aliud. Netopum modicum lana exceptum subdat, & postea mane, an quod subditum est per os oleat, consideret: & si quidem oleat, concipiet; sin minus, non. [4] Aliud. Cuicunque mulieri à subdititiis non valde fortibus, dolores ad articulos processerint, & stridor dentium ipsam habuerit, & vertigine affecta fuerit,

rit,

μὸς ἔχῃ, καὶ σκορδινῆται, καὶ χασμῆται), ἐλπὶς αὐτὴ κυῆσαι μᾶλλον, ἢ ἥτις τούτων μηδὲν πάσχει. [5] Ἄλλο. μώλυζαν σκορόδου περικαθήραντα, τὴν κεφαλὴν ἀποκνίσαντα προσθεῖναι πρὸς τὴν ὑστέρην, καὶ ὁρῆν τῇ ὑστεραίῃ, ἢν ὄζῃ διὰ στόματος· καὶ, ἢν ὄζῃ, κυήσει· ἢν δὲ μὴ, οὔ. [6] Ἢν θέλῃ γνῶναι ἡ γυνὴ, εἰ κυήσει, πινέτω ἄννησον τετριμμένον ἐν ὕδατι ὡς λεπτότατον, καὶ εὑδέτω. καὶ ἢν μὲν κνησμὸς αὐτὴν λαμβάνῃ περὶ τὸν ὀμφαλὸν, κυήσει· ἢν δὲ μὴ, οὔ. [7] Κύουσαν γυναῖκα ἢν μὴ ἄλλο γινώσκῃς, ἐν τούτῳ γνώσει. [8] ὁρῶνται οἱ ὀφθαλμοὶ εἰλκυσμένοι καὶ κοιλότεροι, καὶ τὰ λευκὰ τῶν ὀφθαλμῶν οὐκ ἔχει τὴν φύσιν τῆς λευκότητος, ἀλλὰ πελιώτερα φαίνονται. [9] Ὁκόσαι ἐν γαστρὶ ἔχουσιν, ἔφηλιν ἐπὶ τοῦ προσώπου ἴσχουσι. [10] καὶ ἀρχόμεναι συλλαμβάνειν, μίσοινοι γίνονται, καὶ κακόσιτοι, καὶ καρδιωγμοῦ μεσταὶ, καὶ πτυαλίζουσιν. [11] Ἄλλο. μέλι καὶ ἄννησον τρίψαι ὡς λεπτότατα, εἶτα ἐν ὕδατι διεῖναι καὶ δοῦναι, καὶ ἐᾶσαι ὑπνῶσαι. καὶ ἢν μὲν στρόφος γίνηταί οἱ περὶ τὸν ὀμφαλὸν, κύει· ἢν δὲ μὴ γίνηται, οὐ κύει. [12] πάντων δὲ τουτέων ὕστερον πινέτω ἄλητον καὶ μέλι καὶ ὀρίγανον ἐν οἴνῳ καὶ ἐλαίῳ.

VII. Ὁκόσαι ἐν γαστρὶ ἔχουσαι ἔφηλιν ἐπὶ τοῦ προσώπου ἴσχουσι, θῆλυ κύουσι. ὅσαι δὲ εὐχροοῦσαι διαμένουσι, ἄρρεν ὡς ἐπιτοπολὺ κύουσιν. [2] Ἢν αἱ θηλαὶ ἄνω ἔωσιν ἐστραμμέναι, ἄρσεν κύει· ἢν δὲ κάτω, θῆλυ. [3] Ἄλλο. λαβὼν τοῦ γάλακτος φυρῆσαι ἄλητον, καὶ ποιῆσαι ἀρτίσκον, καὶ ὀπτῆσαι ἐπὶ πυρὸς μαλθακοῦ. καὶ ἢν μὲν κατακαυθῇ, ἄρρεν κύει· ἢν δὲ διαχυθῇ, θῆλυ. [4] τὸ αὐ-

rit, & oscitarit. Huic major spes est ut prægnans fiat, quam ei quæ nihil horum patitur. [5] Aliud. Caput allii integrum depurgatum ac derasum, ad uterum apponat, & postridie videat an per os oleat: & si oluerit, concipiet. Sin minus, non. [6] Aliud. Si cognoscere voles an mulier concipiet, anisum in aqua tenuissime tritum bibat, ac dormiat: & si quidem pruritus ipsam circa umbilicum corripuerit, concipiet. Sin minus, non. [7] Prægnantem mulierem si non ex alio cognoscas, ex hoc cognosces. [8] Oculi videntur distracti ac caviores: & candidum in oculis, albedinis naturam non habet, sed lividius apparet. [9] Quæ in ventre habent, maculam solarem in facie habent: [10] & postquam conceperunt, vinum odio habent, & cibos aversantur, & oris ventris morsu, ac saliva plenæ fiunt. [11] Mel & anisum tenuissime terito: deinde in aqua diluito, ac exhibeto, & dormire sinito: & si quidem tormen ipsi fiat circa umbilicum, prægnans est: sin minus, non est. [12] Post hæc autem omnia, farinam bibat, & mel, & origanum, in vino & oleo.

VII. Quæcunque in utero habentes, maculam solarem in facie habent, fœmellam gestant. Quæ vero bene coloratæ permanent, masculum plerunque gestant. [2] Si papillæ sursum conversæ fuerint, masculum gestat. Si deorsum, fœmellam. [3] Accipe de lacte, & farinam misce, & pastillum forma, & ad lentum ignem assa. Et si quidem comburatur, marem gestat. Si vero hiet ac diffundatur, fœmellam. [4] Aut idem hoc lac super folia emul-

τὸ τοῦτο ἐπιπολάξας ἐν φύλλοισιν ὀπτᾶν. καὶ ἢν μὲν πήγνυται, ἄρρεν κύει· ἢν δὲ διαχυθῇ, θῆλυ.

VIII. Θεραπεῖαι κυήσιος πειρητήριοι, καὶ παιδογονίης, ἥτις δεῖται, καὶ ἄτεκνος ἐοῦσα, καὶ ἤδη κύουσα, [1] ἐοῦσα δὲ ἀτεκνοῦσα, [2] ἐπὴν ὁ στόμαχος σκληρὸς ᾖ, ὅλος ἢ ἄκρος, καὶ ξυμμεμύκῃ, [3] καὶ μὴ ὀρθὸς ᾖ, ἀλλὰ πρὸς τὸ ἰσχίον ἀπεστραμμένος τὸ ἕτερον, [4] ἢ ἐς τὸν ἀρχὸν κεκύφῃ, [5] ἢ ἀνεσπάκῃ ἑωυτὸν, [6] ἢ τὸ χεῖλος ἐπιβάλλῃ τοῦ στομάχου ἐφ᾽ ἑωυτό. [7] ὁπόθεν οὖν ἢ τρηχὺς ᾖ, ἢ πεπωρωμένος. [8] σκληρὸς δὲ γίνεται καὶ ἀπὸ ξυμμύσιος, καὶ ἀπὸ πωρώσιος. [9] ταύτῃσι τὰ ἐπιμήνια οὐ φαίνεται, ἢ φαίνεται πολλῷ ἐλάσσονα ἢ κακίονα τοῦ δέοντος, καὶ διὰ πλείονος χρόνου ἐπιφαίνεται. [10] τὰ μὲν ἐπιμήνια καθ᾽ ὑγείην τοῦ σώματος καὶ τῶν μητρέων τὴν ἔξοδον εὑρίσκεται, καθά τε τὸ σύμφυτον καὶ τὸ δίκαιον, [11] καὶ ἀπὸ θέρμης καὶ ὑγρότητος τῶν ἐπιμηνίων, καὶ τοῦ στομάχου οὐ κάρτα βεβλαμμένου. [12] τὴν γονὴν πάλιν οὐ δέχεται διὰ τὴν βλάβην, ἥτις αὖ κωλύῃ ἀπὸ τοῦ στομάχου μὴ καλῶς ἔχοντος τοῦ δέχεσθαι. [13] ταύτην χρὴ πυριήσαντα τὸ σῶμα ὅλον, πιεῖν δοῦναι φάρμακον, [14] καὶ κάθαρσιν ποιήσασθαι τοῦ σώματος πρῶτον, ἤν τε ἄνω καὶ κάτω, ἤν τε κάτω μοῦνον. [15] καὶ ἢν μὲν ἄνω διδοῖς τὸ φάρμακον, μὴ πυριῆν πρότερον τῆς καθάρσιος, ἀλλ᾽ ὕστερον. [16] πυριήσας δὲ μεταπίσαι κάτω. [17] ἢν δὲ μὴ δοκέῃ δεῖσθαι ἀνωπερικοῦ,

emulctum contemplare. Et si quidem condensatur, masculum gestat. Si vero diffusum fuerit, fœmellam.

VIII. Curationes ad conceptionem experimento cognitæ. Si qua liberorum generationem expetat, quæ sine liberis sit, & si qua jam antea prægnans fuerit, nunc autem non pariat. [2] Quum stomachus uteri durus fuerit totus, aut summa parte, & conclusus [3] ac non rectus fuerit, sed ad alteram coxam aversus, [4] aut ad intestinum rectum inclinatus, [5] aut in seipsum contractus, [6] aut labium stomachi sibiipsi incubuerit. [7] Undecunque igitur aut asper fuerit, aut callosus [8] (Fit autem durus & à conclusione, & à callositate.) His menses non apparent, aut multo pauciores aut pejores quam oportet apparent, & per longius tempus. [10] Et menses quidem juxta sanitatem corporis & uterorum, exitum inveniunt. Itemque juxta naturalem ac justum modum, [11] & à calore & humiditate mensium, & stomacho non valde læso. [12] At genituram rursus non suscipit, propter læsionem, quæcunque tandem impedierit susceptionem à stomacho non bene habente. [13] Huic post fomentum toto corpori adhibitum, pharmacum bibendum dare oportet, [14] & corporis purgationem primum facere, sive sursum & deorsum, sive deorsum solum. [15] Et si quidem sursum purgans pharmacum dederis, ante purgationem fomentum ne adhibeto, sed postea. [16] At fomento prius facto, pharmacum deorsum purgans bibendum dato. [17] Si vero sursum purgante non opus habere videatur, præmisso fomento, deor-

κάτω, ὑποπυριήσας καὶ τὸ πίσαι. [18] ὅταν δὲ δοκέῃ καλῶς ἔχειν τὸ σῶμα, μετὰ τοῦτο πυριῆν ἐγκαθίζων τὰς μήτρας αὐτὰς πυκνὰ, ἐν ὅτῳ ἂν δοκέῃ ξυμφέρειν. [19] ἐπιβάλλειν δὲ ἐς τὰ πυριήματα κυπαρίσσου πρίσματα [καὶ] δάφνης φύλλα κεκομμένα. [20] καὶ λούειν πολλῷ καὶ θερμῷ πολλάκις. [21] ὁκόταν δὲ νεόλουτος καὶ νεοπυρίητος ᾖ, ἀναδιρωύειν τὸ στόμα τῆς μήτρης μήλῃ κασσιτερίνῃ, καὶ ἀνορθοῦν ὁμοῦ, ἐὰν δέῃ, [22] ἢ μολυβδίνῃ, ἀρξαμένης ἐκ λεπτῆς, εἶτα παχυτέρῃ, ἢν παραδέχηται, ἕως ἂν δοκέῃ καλῶς ἔχειν. [23] βάπτειν δὲ τὴν μήλην ἐν τῷ μαλθακτηρίῳ διειμένῳ, ὅ, τι δοκέει ξυνοίσειν, ὑγρὸν ποιήσας. [24] τὰς δὲ μήλας ποιέειν ὄπισθεν πλατείας. [25] εἶτα περὶ ξύλον ἐρείσει μακροῖσι περιαρμόσαι, καὶ οὕτως χρῆσθαι. [26] τὸν δὲ χρόνον τοῦτον ἑψοῦσα ἐν οἴνῳ λευκῷ ὡς ἡδίστῳ γλυκεῖ δᾷδα πινέτω ὡς πιοτάτην κατασχίσασα λεπτὰ, καὶ σελίνου καρπὸν κόψασα, καὶ κυμίνου αἰθιοπικοῦ καρπὸν, καὶ λιβανωτὸν ὡς κάλλιστον. [27] τούτου πινέτω νῆστις ὁκόσον δοκέῃ μέτριον εἶναι πλῆθος, ἡμέρας ὁκόσας ἂν δοκέῃ καλῶς ἔχειν. [28] καὶ ἐσθιέτω σκυλάκια σιαλώδεα διεφθά. [29] καὶ πολύποδα ἐν οἴνῳ ἑφθὸν γλυκυτάτῳ, καὶ τοῦ ζωμοῦ πινέτω. [30] καὶ κράμβην ἑφθὴν, καὶ οἶνον λευκὸν ἐπιπινέτω. [31] καὶ μὴ δειπνείτω. [32] καὶ λουέσθω δὶς τῆς ἡμέρης. [33] σιτίων δὲ ἀπεχέσθω τοῦτον τὸν χρόνον. [34] μετὰ δὲ, ἢν μὲν προχωρήσῃ κατὰ τὸν στόμαχον, καὶ φαίνηται τινὰ κάθαρσιν ἔξω, [35] πίνειν τι ἐκ τοῦ πόματος ἡμέρην μίην ἢ δύο. [36] καὶ τῇσι μήλῃσι παύσασθαι χρεομένην, [37] καὶ πειρᾶσθαι καθαίρειν τὰς μήτρας προσθέτοισι καὶ φαρμάκοισιν.

deorsum purgans bibendum dato. [18] Quum autem corpus probe habere visum fuerit, postea fomentum adhibeto, ita ut uteros frequenter insidere facias, in fomento, quod maxime conferre visum fuerit. [19] Injicito autem in fomenta, cupressi ramenta, & lauri folia contusa: [20] & multa calida sæpe lavato. [21] Quum vero recens lota & fota fuerit, uteri osculum dilatato, simulque dirigito si opus fuerit, cum specillo stanneo [22] aut plumbeo, à tenui auspicatus: deinde cum crassiore si admiserit, donec probe habere videtur. [23] Tingito autem specillum in mollitorio diluto; quodcunque liquidum factum conferre videbitur. [24] Specilla vero retro lata facito: [25] deinde lignis longis adaptato, ac sic utitor. [26] At vero hoc tempore, in vino albo dulci quam suavissimo, tædam pinguissimam in tenuia frusta concisam coquens bibat, & apii semen contusum, & cumini æthiopici semen, & thus quam optimum. [27] De hoc jejuna bibat moderata copia, per quot dies bene habere visa fuerit: [28] & edat catulos pingues percoctos, [29] & polypum in vino dulcissimo coctum, & de jusculo bibat: [30] & brassicam coctam, & vinum album insuper bibat: [31] & ne cœnet: [32] & bis in die lavetur. [33] A cibis vero hoc tempore abstineat. [34] Postea vero si processerit secundum stomachum, & purgationem aliquam foras ostenderit, [35] de potione aliquid bibat, per unum atque alterum diem, [36] & à specillorum usu cesset: [37] & conetur uteros purgare subdititiis, & medicamentis.

IX. [1] Ἣ τινι δὲ, τοῦ στομάχου ὀρθοῦ καὶ μαλθακοῦ καὶ ὑγιέος καὶ καλῶς ἔχοντος καὶ ἐν τῷ δέοντι κειμένου, τὰ ἐπιμήνια μὴ φαίνηται παράπαν, ἢ ἐλάσσονα καὶ διὰ πλείονος χρόνου, καὶ μὴ ὑγιηρὰ, [2] τὴν νοῦσον ἀνευρὼν, ἥν τινα ἔχουσιν αἱ μῆτραι, [3] ἤν τε καὶ τὸ σῶμα ξυμβάλληταί τι, [4] ἐξευρήσεις τὸ αἴτιον ἀπὸ ὅτου οὐ κυΐσκεται. [5] ὅτε μὲν οὕτως ἔχῃ, τὴν ἴησιν ποιέεσθαι προσφέρων τὸ δέον, ἢν μὲν ἔχηται τὴν ἴησιν, [6] ἀρχόμενος ἐξ ἰσχυρῶν, ὅκως ἂν δοκέῃ καιρὸς εἶναι, [7] τελευτῶν δὲ μαλθακώτερα, ὡς ἂν δοκέῃ καλῶς ἔχειν καθάρσιος ἡ μήτρα, [8] καὶ ὁ στόμαχος καθεστάναι ὀρθῶς ἔχων ἐν τῷ ἐξαρκέοντι κείμενος.

X. [1] Ἢν δὲ ἀπὸ φαρμάκου καὶ ἀπὸ τοῦ ποτοῦ μὴ προχωρήσῃ, μηδὲ πινούσης χρόνου τὸ μέτριον, τούτου μὲν παύσασθαι τοῦ πόματος. [2] ὅταν δὲ καλῶς ἔχῃ τοῦ ἀπὸ τῶν μηλέων ἔργου, μαλθάξαι τὸ στόμα τοῦ στομάχου, [3] καὶ ποιῆσαι ὅκως ἀναχάνῃ ἐς ὁδὸν τῷ προσθέτῳ, ἀπό τε τῶν θυμιητῶν φαρμάκων καὶ μαλθακτηρίων. [4] ὁκόταν δὲ δοκέῃ καλῶς ἔχειν μαλθάξιος καὶ θυμιήσιος, προστιθεὶς φάρμακα, κάθαρσιν ποιέεσθαι τῆς μήτρης, ἕως ἂν δοκέῃ καλῶς ἔχειν, [5] ἀρχόμενος ἐκ μαλθακῶν ἐς ἰσχυρότερον, τελευτῶν δὲ αὖθις ἐς μαλθακὰ εὐώδεα. [6] τὰ γὰρ ἰσχυρῶν φαρμάκων τὰ πλεῖστα ἑλκοῖ τὸν στόμαχον, καὶ εἴργει τοῦ καθεστάναι ὀρθὸν, καὶ καλῶς ἔχοντα πρὸς τὴν γονῆς τὴν ὑποδοχὴν, καὶ τὴν μήτρην ξηρὴν ποιέει. [7] Ἢν δέ τις γυνὴ δοκέῃ τὰς μήτρας ὑπὸ πιμελῆς βεβλάφθαι ἐς τὴν κύησιν, [8] λεπτύνειν ὡς μάλιστα, καὶ ἰσχναίνειν πρὸς τοῖσιν ἄλλοισιν.

XI. Ὥρη δὲ καιρίη ἀρίστη κυήσιος.

IX. Cuicunque vero, stomacho recto, & molli & sano, & probe habente, & in debito loco sito, menses omnino non apparuerint, aut pauciores, & per amplius tempus, & non sani: [2] morbum perscrutatus quem uteri habent, [3] & an corpus etiam aliquid conferat, [4] comperies causam à qua prægnans non fit. [5] Et quum quidem sic habet, curationem facito adhibens id quod convenit, si admiserit, [6] curationem incipiens à fortibus, prout tempestivum esse videbitur: [7] desinens autem in molliora, donec uterus probe purgatus esse visus fuerit, [8] & stomachus consistere recte habens in sufficiente loco situs.

X. Si vero à pharmaco & à potione non processerit, neque ubi ipsum bibit moderato tempore, à potione quidem hac cesset. [2] Quum vero probe habuerit, per usum specillorum os stomachi mollito, [3] & ut hiet facito, ad viam subdititio præstandam, tum à medicamentis suffumigabilibus, tum à mollitoriis. [4] Postquam autem probe mollitum ac suffitum esse videbitur, appositis pharmacis uteri purgationem facito, donec probe habere visum fuerit, [5] incipiens à mollibus ad fortiora, desinens autem rursus in mollia odorata. [6] Pleraque vero ex fortibus medicamentis stomachum exulcerant, & prohibent ne rectus consistat, & probe habeat ad geniturae susceptionem: & uterum siccum faciunt. [7] Si vero mulier à pinguedine uteros sibi læsos esse putet ad conceptionem, [8] attenuato ipsam quam maxime, & ad reliqua gracilem facito.

XI. Verum autem tempus opti-

στος. 2 ὁ δὲ ἀνὴρ μὴ μεθυσκέσθω, μηδὲ οἶνον λευκὸν πινέτω, ἀλλ' ὡς ἰσχυρότερον καὶ ἀκρητέστερον, καὶ σιτία σιτείσθω ἰσχυρότατα. 3 καὶ μὴ θερμολουτείτω, καὶ ἰσχυέτω καὶ ὑγιαινέτω, 4 καὶ σιτίων ἀπεχέσθω τῶν μὴ ξυμφερόντων τῷ πρήγματι. 5 ὅταν δὲ δοκέῃ ἡ γυνὴ ἐκκεκαθάρθαι, καὶ τὸ στόμαχον καλῶς ἔχειν τῆς μήτρης, λουέσθω καὶ σμηχέσθω τὴν κεφαλὴν, καὶ μὴ ἀλειψάσθω μηδενί. 6 ἔπειτα ὀθόνιον ἄοδμον περιθεῖσα περὶ τὰς τρίχας πεπλυμένον κεκρυφάλῳ πεπλυμένῳ καὶ μηδενὸς ὄζοντι καταδησάτω, τὸ ὀθόνιον ὑποθεῖσα πρῶτον. 7 ἔπειτα ἀναπαυέσθω προθερμήνασα χαλβάνην πρὸς τὸν στόμαχον, θερμήνασα πρὸς πῦρ ἢ ἥλιον, καὶ μαλθάξασα εὖ. 8 ἔπειτα πρωῒ ἀπολύσασα τὸν κεκρύφαλον καὶ τὰ ὀθόνια, ὀσφραινέσθω παρεχέτω τινὶ ἑωυτῶν τὴν κεφαλήν. 9 καὶ ὄζει, ἢν καλῶς ἔχῃ τῆς καθάρσιος· εἰ δὲ μὴ, οὐκ ὄζει. 10 ἄσιτος δὲ ταῦτα ποιείτω. 11 ἢν δὲ μὴ τεκνούσῃ προσθῇς, οὐδέποτε ὄζει, οὔτε καθαιρομένη, οὔτε ἄλλως. 12 οὐδ', ἢν κυούσῃ προσθῇς, οὐδ' οὕτως ὀζέσει. 13 ἥτις δὲ κυΐσκεται πολλὰ, καὶ γόνιμός ἐστι, καὶ ὑγιαίνει, ἢν προσθῇς μηδὲ καθήρας, ὀζέσει αὐτῇ ἡ κορυφή· ἄλλῃ δὲ οὔ. 14 ὅταν δὲ γνῷς καλῶς ἔχειν, παρὰ τὸν ἄνδρα κέλευε ἰέναι. 15 καὶ ἡ μὲν γυνὴ ἄσιτος ἔστω· 16 ὁ δ' ἀνὴρ ἀθώρηκτος, ψυχρῷ δὲ λελουμένος, καὶ σιτεόμενος σιτία ὀλίγα ξύμφορα. 17 καὶ ἡ γυνὴ, ἢν γνῷ ξυλλαβοῦσα τὴν γονὴν, μὴ ἔλθῃ παρὰ τὸν ἄνδρα τὸν πρῶτον χρόνον, ἀλλ' ἡσυχαζέτω. 18 γνώσεται δὲ, ἢν μὲν ὁ ἀνὴρ φῇ ἀφιέναι· 19 ἡ δὲ γυνὴ ἀγνοεῖ ὑπὸ ξηρότητος. 20 ἢν δὲ ἀποδῷ πάλιν ἡ μήτρη τὴν γονὴν τῇ αὐτῇ ἡμέρῃ, ἔσται ὑγρή. 21 καὶ ἢν

36 optimum est ad conceptum. 2 At vir non sit ebrius, neque vinum album bibat, sed fortius ac meracius, & cibos edat fortissimos: 3 & calida ne lavetur: & robustus sit ac sanus: 4 & à cibis abstineat qui ad rem non conducunt. 37 5 Quum autem mulier purgata visa fuerit, & stomachus uteri recte habere, lavetur, & caput fricetur, & nihil omnino illinatur. 6 Postea linteo inodoro loto, capillis circundato, reticulo loto nihil olente deliget, 38 linteo primum supposito: 7 deinde ubi galbanum ad ignem aut solem calefectum, ac probe mollitum subdidit, quiescat. 8 Postea mane exoluto reticulo ac linteo, caput suum alicui olfaciendum 39 exhibeat: 9 & si probe fuerit purgata, olet. Sin minus, non olet. 10 Verum hæc à cibis abstinens faciat. 11 Si vero non fœcundæ apposueris, nunquam olet, neque purgata, neque alias: 12 & si prægnanti apposueris, neque sic olebit. 13 Quæ vero sæpe concipit, & fœcunda est ac sana, ei si apposueris, etiamsi non purgaris, olebit ipsius vertex, alibi vero non. 14 Quum vero cognoveris ipsam recte habere, ad vi- 40 rum accedere jubeto: 15 & mulier quidem à cibis abstineat. 16 Vir autem non sit ebrius: verum 41 frigida lotus, & cibis paucis conducentibus pastus. 17 Et si mulier genituram se concepisse cognoverit, primo tempore non amplius ad virum accedat, sed quiescat. 18 Cognoscet autem, si quidem vir dixerit se emisisse. 42 19 Mulier autem præ siccitate ignorat. 20 Si vero uterus rursus reddiderit genituram eadem die, humidus erit: 21 & si humidus

καὶ, ἣν ξηρὴ γένηται ὑγρὴ, αὖθις μιγνύσθω τῷ ἀνδρὶ, μέχρις ἂν ξυλλάβῃ.

22 Ἄλλη θεραπείη. πυριήσας τὸ σῶμα ὅλον, πίσαι, καθῆραι ἄνω καὶ κάτω. 23 εἶτα ὄνειον γάλα μεταπίσαντα πυριῆν τὰς μήτρας δι' αὐλοῦ δύο ἡμέρας οὔρῳ γυναι-
25 κείῳ σαπρῷ, καὶ λίτρον ἐμβάλλειν. 24 τῇ δὲ τρίτῃ, βοείῳ οὔρῳ. 25 τῇ δὲ τετάρτῃ καὶ πέμπτῃ, τρίψας μαράθου σπέρμα, καὶ ἀκτῆς φύλλα, καὶ δάφνην, καὶ κυπαρίσσου πρίσματα, ταῦτα ἑψῆσαι ὕδωρ ἐπιχέαντα. 26 δεῖ δὲ μετὰ τὴν πυρίησιν λελουμένην πολλῷ θερμῷ προστιθέναι στέαρ ἡδυντὸν ἐκ τῆς πυριῆς εὐθὺς καὶ ἐς νύκτα. 27 μετὰ δὲ σκευάζειν, ξυμμιγνὺς σμύρναν στακτὴν, καὶ βούτυρον, καὶ χηνὸς ἄλειφα, καὶ ἐλάφου μυελὸν, καὶ ῥητίνην, καὶ νέτωπον. 28 τού-
30 των ἴσον ἑκάστου ξυμμίξαντα, διατήξαντα προστιθέναι ἐν εἰρίῳ μιλησίῳ μαλθακῷ ὡς εὐθε-ροτάτῳ. 29 μετὰ δὲ ἀναστομοῦν τὴν μήτρην μολιβδίοις ἐληλασμένοις ὀκτωδακτύλοισι πέντε. 30 τὸ πρῶτον ἔστω λεπτόν· τὸ δὲ δεύτερον, παχύτερον· καὶ τἄλλα θάτερον θατέρου παχύτερον. 31 ἀναστομοῦνται δὲ πέντε ἡμέρας. 32 αἰεὶ δὲ λελουμένη προστιθέσθω, καὶ ἀναδείσθω ἐκ τῆς ὀσφύος, ὡς μὴ πίπτῃ. 33 καὶ ὠθείτω τὰ μολίβδια αἰεὶ ἀνωτέρω· τὸ δὲ τελευταῖον ὡς ἀνωτάτω. 34 ἐπὴν δὲ ἀναστομώσῃ,
35 προσθεῖναι καθαρτικόν. 35 τρίψας κανθαρίδας πέντε, καὶ σικυώνης μακρῆς σπόγγον, καὶ σμύρναν. 36 ταῦτα μέλιτι ἑφθῷ φορύξαντα καὶ φυρήσαντα βαλάνιον, εἰρίῳ κατειλίξαι, πλὴν τοῦ ἄκρου. ἔπειτα ἐς ἄλειφα βάψαντα

midus factus fuerit, rursus cum viro misceatur, donec concipiat.

22 Alia curatio. Ubi fomentum toti corpori adhibueris, medicamentum bibendum dato sursum ac deorsum purgans: 23 deinde lacte asinino postea in potu exhibito, uteros per fistulam duobus diebus fovero, cum urina muliebri putrida, nitro injecto. 24 Tertia vero die, cum urina bubula. 25 Quarta autem & quinta, fœniculi semen tritum, & sambuci folia ac lauri, & cupressi ramenta. Hæc coquito aqua affusa. 26 Oportet autem post fomentum, multa calida lotam, apponere adipem aromatis imbutum, statim à fomento, & ad noctem. 27 Postea vero hoc præparato: Myrrham, stacten, butyrum, adipem anserinum, medullam cervi, resinam, & netopum. 28 Horum singulorum æquales portiones permixtas ac liquefactas apponat in lana Milesia molli quam optima: 29 deinde plumbeis penicillis quinque, ad octo digitorum longitudinem fabricatis, uterum aperito. 30 Primus ex his sit tenuis, alter crassior: & reliqui alius alio crassior sit. 31 Aperiuntur autem per dies quinque: 32 & semper lota apponat, & ex lumbis deliget, ut ne excidant, 33 & semper ulterius intrudat: postremum vero quam penitissime. 34 Postquam autem aperueris, purgatorium appone, 35 cantharidas tritas quinque, & colocynthidis longe internam spongiosam partem, & myrrham. 36 Hæc melle cocto subacta, & in glandem efformata, lana involvito, excepta summa parte: deinde in oleum suavissimum tingito ac

ὡς ἥδιστον προσθεῖναι. 37 χρῆσθαι δὲ καθαρτικῷ καὶ τούτῳ. τῇ χολῇ τοῦ ταύρου, καὶ ἄνθει ὀπτῷ καὶ λίτρῳ καὶ σμύρνῃ, μέλιτι ὀλίγῳ δεύσαντα, ὀθόνιον λεπτὸν ἀποδήσαντα, καὶ αὖ τὸ ὀθόνιον περιελίξαντα τοῦ φαρμάκου, προστιθέναι. 38 χρῆσθαι δὲ καὶ βουπρήστει ξὺν τῇ σμύρνῃ· 39 καὶ ἐλατηρίῳ ξὺν τῷ μέλιτι ἑφθῷ· 40 καὶ τῇσι κανθαρίσι ξὺν τῷ ἐλατηρίῳ τε καὶ τῇ σμύρνῃ. 41 ἐπὴν δὲ καθαρθῇ, τῇ ὑστεραίῃ λούσαντα κλύσαι τὰς μήτρας. 42 κύμινον αἰθιοπικὸν τρίψας καὶ μελάνθιον, καὶ ῥητίνην καὶ ἄλειφα, καὶ μέλι καὶ οἶνον γλυκύν· ταῦτα μίξας καὶ ἀναχλιήνας κλύσαι. 43 ἐπὴν δὲ κλύσῃς, ἀναστήσας περιιέναι κελεύειν, ὅκως τὸ κλύσμα διασείηται. 44 προσθεῖναι δὲ κρόκον καὶ σμύρναν καὶ λιβανωτὸν ἐν ῥάκει λινέῳ ἀποδέοντα ξηρὸν ἴσον ἑκάστου, ξυμμίσγοντα χηνός τε ἄλειφα, περιχρίοντα τὸ ῥάκος. 45 τοῦτο δὲ προστιθέναι ἑπτὰ ἡμέρας. 46 τῇ δὲ ὀγδόῃ θυμιῆσαι σμύρνῃ καὶ ἀσφάλτῳ καὶ κριθῇ, εὐώδεϊ ἀλείφατι πεφυρημένα, ἐπὶ μαλθακὸν ἐπιβαλὼν πῦρ, θυμιῆν δι' αὐλοῦ. 47 ἐπὴν δὲ θυμιήσῃς, τῇ ὑστεραίῃ τρίψαι κάστορος ὄρχιν, οἶνον λευκὸν παραχέων, καὶ αὐτὸν μέλι ἀμφιπλάσας καὶ εἰρίῳ καταπλίξας προσθεῖναι ἐς νύκτα. 48 ὄρθρου δὲ ἀφελομένη καὶ διαμαλαξαμένη ἴτω παρὰ τὸν ἄνδρα, καὶ ξυγκοιμηθεῖσα ἀτρεμείτω. 49 καὶ ἢν μὴ ἐπὶ τοῦ πρώτου κυήσῃ, αὖθις προσθεμένη αὐτὸ, παρὰ τὸν ἄνδρα ἐλθέτω. 50 ἄρχεσθαι δὲ χρὴ φαρμακεύοντα, ἐπὴν ἔλθῃ τὰ καταμήνια. 51 ληγόντων δὲ χρὴ, τὸ κυητήριον προσθεμένην, ξυγκοιμᾶσθαι. 52 τοῦ δὲ πρόσθεν χρόνου μήτε ἡ γυνὴ ἴτω ἆσσον τοῦ ἀνδρὸς, μήθ' ὁ ἀνὴρ παρὰ τὴν γυναῖκα.

XII. Ὅταν

apponito. 37 Utere autem & hoc purgatorio, felle tauri, & flore æris assato, & nitro, & myrrha modico melle dilutis, ac linteo tenui deligatis: & linteo superne pharmaco obducto apponito. 38 Utere & bupresti cum myrrha: 39 & elaterio cum melle cocto: 40 & cantharidibus cum elaterio & myrrha. 41 Postquam autem purgata fuerit, postridie ubi lavit uterum colluito. 42 Cuminum æthiopicum tritum, & melantium, & resinam, & oleum, & mel, ac vinum dulce. Hæc mixta & tepefacta infundito. 43 Postquam vero infuderis, erectam obambulare jubeto, quo collutio infusa concutiatur. 44 Subdito autem crocum & myrrham, & thus, singula paribus portionibus sicca linteo illigata, ita ut anserinum adipem ammisceas ac linteo oblinas. 45 Atque hæc apponito per dies septem. 46 Octavo vero suffitum facito, cum myrrha, bitumine, & ordeo, oleo odorato subactis, his lento igni injectis, ac suffitu per fistulam facto. 47 Postquam autem suffitum feceris, postridie castoris testem terito, vino albo affuso: & ipsum melle oblitum, & lanæ involutum, apponat in noctem. 48 Mane vero eo sublato ac emollito, ad virum accedat, & ubi condormiit quiescat: 49 & si non prima vice conceperit, eodem rursus apposito, virum adeat. 50 Cæterum hunc medicationis ductum incipere oportet ubi menses prodierint. 51 Desinentibus autem mensibus, conceptorio medicamento apposito condormire. 52 Priore vero tempore, neque mulier ad virum accedat, neque vir ad mulierem.

XII. Quum

XII. Ὅταν δὲ ἡ γυνὴ μὴ κυΐσκηται, εἰωθυῖα πρότερον κυΐσκεσθαι, τοῦ ἀνδρὸς δὲ τὴν γονὴν ἐσδέχονται αἱ μῆτραι ἐς ἑωυτάς, ἀνάγκη πάγχυ ὑρέειν τῇ γυναικὶ ταύτην. [2] ἐνίοτε μὲν γὰρ ἐν τῇσι μήτρῃσι τὸ πύον ἐγγίνεται. [3] τὸ δὲ πύον τὸ ἐν τῇσι μήτρῃσιν ὑπὸ φυμάτων γίνεται. [4] διὰ δὴ τοῦτο ἡ γονὴ τοῦ ἀνδρὸς, ὅταν μίσγηται, οὐχ ἅπτεται τῆς μήτρης, ἵνα δὴ πήγνυσθαι τὴν γονὴν τοῦ ἀνδρός. [5] τὸ γὰρ πύον ἀμαυροῖ, ὥστε μὴ προσφέρεσθαι. [6] σήπει γὰρ τὸ πύον, καὶ σήπει τὴν γονήν. [7] δεῖ δὴ τό, τε πύον ἐκκαθῆραι τῶν μητρέων, [8] καὶ τὸ φῦμα τὸ ἐν τῇ δελφύϊ καταστῆσαι, ὅκως τὸ λοιπὸν μὴ κωλύῃ τὴν γονὴν πήγνυσθαι, καὶ προσφέρεσθαι. [9] ταχυνέειν δὲ δεῖ ἐκκαθαίροντα, πρὶν ἢ πωρωθῆναι τὸ πύον ἐν τῇσι μήτρῃσι. [10] κλύσαι δὲ χρὴ τὰς μήτρας ὧδε· ἵππειον γάλα ἑψήσας, διεὶς διὰ κνησέρης ὡς λεπτότατον καὶ καθαρώτατον, τούτῳ κλύζειν, κλυστῆρα ἐπιτήδειον ποιησάμενος. [11] τὸ μὲν ἄκρον τοῦ κλυστῆρος λεῖον ἔστω, οἷον τῆς μήλης ἀργύρεον, καὶ παρ' αὐτὰ τετρυπήσθω τοῦ κλυστῆρος ἀπολείπων ὀλίγον τὸ τρῆμα. [12] εἶναι δὲ καὶ τὰς ἄλλας ἐντρήσιας· διαλειπέτω δὲ ἴσον ἑκάστη ἔνθεν καὶ ἔνθεν ἐκ τοῦ πλαγίου τοῦ κλυστῆρος ἑκάστης ἴσον, καὶ μὴ μεγάλα, ἀλλὰ στενά. [13] τοῦ μὲν κλυστῆρος ἡ κορυφὴ στερεὴ ἔστω, τὸ δὲ ἄλλο πᾶν κοῖλον ἔστω ὡς αὐλίσκος. [14] δῆσαι δὲ χρὴ κύστιν συὸς θηλέης· ταύτην δὲ ἑψήσας εὖ μάλα. [15] ἐπὴν δὲ προσδήσῃς, ἐγχέας τὸ γάλα ἐς τὴν κύστιν, ἐς τὰς μήτρας ἐνθεὶς ῥάκος λεπτῆς ὀθόνης, ὅκως μὴ τὸ γάλα ῥέῃ. [16] ἐπειδὰν δὲ κλύσῃς τὴν κύστιν, ἀποδῆσαι καὶ δοῦναι τῇ γυναικὶ αὐτῇ, ἣν μέλλεις κλύζειν. [17] κείνη δὲ ἐξι-

XII. Quum autem mulier non conceperit, prius concipere solita, uteri vero viri genituram in seipsos suscipiunt: penitus necesse est mulierem, serosam hanc facere. [2] Quandoque enim in uteris pus innascitur. [3] Pus autem in uteris à tuberculis fit. [4] Et sane ob hoc genitura viri, quando cum viro coit, uteros non contingit, quo videlicet ipsa viri genitura compingatur. [5] Nam pus ipsam dissipat, ut ne afferatur: [6] mortificat enim pus, & putrefacit genituram. [7] Proinde & pus ex uteris expurgare oportet: [8] & tuberculum in utero sedare, quo de cætero ne impediat genituram compingi ac afferri. [9] Festinare itaque oportet ad expurgandum, priusquam pus in uteris in callum concrescat: [10] & uteros colluere hoc modo. Lac equinum coctum exacte colato, ut tenuissimum & purissimum evadat: & hoc infundito, clysteris instrumento idoneo facto. [11] Et summa quidem clysteris pars levis sit, argentea velut specilli, & statim modico intercedente spacio foramen perforetur. [12] Sint autem & alia foramina, non magna, sed angusta, hinc atque hinc, ex transverso clysteris æquali interstitio distantia: [13] & clysteris quidem apex solidus sit: reliquum vero totum cavum sit, velut fistula. [14] Alligare autem oportet vesicam suis fœminæ, atque hanc probe radere ac confricare. [15] Postquam autem alligaris, lac in vesicam infundito, foramina vero tenui linteo obstruito, ne lac affluat. [16] Ubi vero obturaveris, vesicam deligato, & ipsi mulieri dato, cui collutionem infundere paras. [17] Il-

"ἐξελοῦσα τὸ κλεῖσμα, ἐς τὴν 55 μήτρην ἐνθέτω, " αὐτὴ δὲ εἰδή- 56 σει ὅκου δεῖ. [18] ἔπειτα σὺ πιέζειν τῇ χειρὶ τὴν κύστιν, ἐς τ' ἂν τὸ πύον " ἐκρυῇ ἔξω. [19] δῆλον δὲ τοῦτο 57 ἔσται, ἐπὴν μηκέτι ἐξίῃ τὸ πύον ἅμα τῷ γάλακτι· [20] δῆλον γὰρ ὅτι οὐκέτι ἔνεστι· [21] τότε χρὴ παύεσθαι. [22] καὶ μετὰ τοῦτο " ἐπὴν ἀναψυχθῇ 58 ὀλίγον χρόνον, σικύης ξηρῆς πεφυκυίας τὸν πυθμένα ἀποτρήσας, [23] καὶ τῆς κορυφῆς τὸ ἄκρον ὡς ἂν τετρημένον ᾖ, " τοῦτο ὅμοιον ποιή- 59 σας τῷ ἄλλῳ πλὴν τὸ ἄκρον, κα- 25 θάπερ τὸν κλυστῆρα τὸν αὐτὸν τρόπον. [24] πάχος δὲ λεπτότερον ὀλίγον ὡς ἀνδρὸς αἰδοῖόν ἐστιν. [25] " τοῦτο περιθεῖναι ἐς τεῦχος, οἴ- 60 νου ἐμπλήσας τὸ τεῦχος. [26] " ὁ δὲ 61 οἶνος ἔστω ἀνθοσμίας ὡς εὐωδέστατος, καὶ ξηρότατος, καὶ παλαιότατος. [27] " ἔπειτα λίθον μέλανα 62 διαφανῆ ἐμβάλλειν ἐς τὸν οἶνον. [28] ἔπειτα περιθεῖναι σικύην ποιήσας χαλκοῦ λευκοῦ. [29] καὶ ἡ γυνὴ ἀμφικαθεζέσθω " περὶ τὴν βάλανον 63 τῆς σικύης, τὸ αἰδοῖον ποιήσασα ὁκοῖον δεῖ. [30] ὅκως δὲ ὑπερέξει τὴν χαλκῆν, καὶ ἔξωθεν σικυώνην, 30 δύο ' δακτύλοιν ἔσω.

XIII. " Ὅταν δὲ μὴ δύνηται 64 ἡ γυνὴ γονὴν δέχεσθαι, πᾶσα ἀνάγκη μήνιγγα ἐπιπεφυκέναι ἐν τῷ στόματι τῶν μητρέων. [2] δεῖ δὲ ἰὸν χαλκοῦ, " καὶ χολὴν ταύρου, καὶ ὄφιος 65 στέαρ, ταῦτα ξυμμίξαι ὁμοῦ. [3] εἶτα εἴριον λαβὼν ἀναδεῦσαι τῷ φαρμάκῳ, καὶ ἐνελίξαι ἐς ὀθόνιον βύσσινον, μέλιτι ὑποχρίσας τὸ ὀθόνιον, καὶ ποιῆσαι πρόσθετον ὅσον ἐλαίην τῶν μεγίστων. [4] εἶτα προστιθέναι πρὸς τὸ αἰδοῖον νύκτα ὅλην. [5] ὑπτίη δὲ κείσθω. [6] τὴν δὲ ἡμέρην ἀφαι-

la vero exemptis obturamentis, in uterum indat. Ipsa enim sciet ubi indere oportet. [18] Postea autem tu vesicam manu premito, quandiu pus foras effluxerit. [19] Manifestum autem hoc erit, ubi non amplius pus simul cum lacte exierit. [20] Palam enim clarum est, quod non amplius inest. [21] Atque tunc cessare oportet: [22] & post hoc ubi paululum recreata fuerit, ad modicum tempus, cucurbitæ siccæ fundum resecato, [23] itemque apicis summam partem, quo ' perforata sit, ita ut si- 228 milem efficias in reliquis, excepto apice, velut clysterem: [24] crassitudine vero paulo tenuior sit quam virile pudendum. [25] Hanc cucurbitam sic formatam vasi circumponito, vase vino impleto. [26] Sit autem vinum odorum fragrantissimum, & siccissimum ac vetustissimum: [27] deinde lapidem nigrum pellucidum in vinum injicito: [28] deinde cucurbitam ex ære albo factam circumponito, [29] & mulier circuminsideat, pudendum circum ' cu- 229 curbitæ glandem adhibens qualiter oportet, [30] quo cucurbita vera super æream emineat, duorum digitorum intra pudendum mensura.

XIII. Quum mulier genituram suscipere non poterit, necesse est membranam superexcrevisse in osculo uterorum. [2] Oportet igitur æruginem æris, & fel tauri, & serpentis adipem, simul miscere: [3] deinde pharmaco hoc lanam imbuere, & in byssinum linteum involvere, linteo melle sublito, & ' facere subdititium magnitudine maximæ olivæ, [4] & apponere ad pudendum per totam noctem. [5] Supina autem jaceat: [6] & in die auferat, & calida

35 ἀφαιρέσθω, καὶ λουέσθω 'θερμῷ ὕδατι, ἀπὸ μυρσίνης ὡς πλείστῳ. "7 ἔπειτα δι' ἡμέρης προστιθέσθω ἐν ἑκάστῃ νυκτί. [8] μετὰ δὲ συνεύστω. 66

9 "Ἄλλη θεραπείη. πρασίου τῶν φύλλων λαβόντα πλῆθος ὥστε τὴν χεῖρα δὶ ἐμπλῆσαι, ἐμβαλεῖν ἐς ἀγγεῖον ἀττικὸν, [10] καὶ ἐπιχέαι ὕδατος ποτοῦ "κοτύλας ἀττικὰς τέσσαρας, 67 καὶ προβρέξαντα ἐννέα ἡμέρας, [11] πινέτω ἑτέρας ἐννέα ἡμέρας νῆστιν λουσαμένη δύο κυάθους τῆς ἡμέρης, ἀπὸ τοῦ πρασίου γλυκέος λευκοῦ ἴσον μίσ-
40 γουσα. [12] ὅταν δὲ ἔσται τριταίη 'πίνουσα, πυριήσθω κωνείου φύλλοισιν ἐπὶ πῦρ ἐπιβάλλων ἐννέα ἡμέρας. καὶ μετὰ τὴν πυρίην λούεσθαι, καὶ οὕτω πίνειν αὖθις τούτων. [13] ὅταν δὲ τὰς τρεῖς πυριημένη ᾖ, προστιθέσθαι τοῦ πρασίου αὐτοῦ τετριμμένου λείου δι' ἡμέρης, ἐπὶ τρεῖς ἡμέρας, λινοζώστιν λείην τετριμμένην ἐν μέλιτι ἀττικῷ δὶς τῆς ἡμέρης. [14] προβρεχέσθω δὲ " ἐν οἴνου λευκοῦ τρυχοῖ, καὶ ἱπ- 68 πομαράθρου καὶ μαράθρου ῥίζα, καὶ δᾳδὸς ὡς πιοτάτης ὄζοι, καὶ ἐρυθε-
45 δανοῦ 'τεταρτημόριον, καὶ μαράθρου σπέρμα, καὶ περιστερεῶνος ῥίζαι πολλαί. [15] προβρεχέσθω δὲ ἡμέρας μὴ ἐλάσσω τῶν ἐννέα. [16] πινέτω δὲ μετὰ ταῦτα, λουσαμένη κατὰ κεφαλῆς, κοτύλην τῆς ἡμέρης "ἀκρήτου τοῦ βρεχο- 69 μένου, ἐν τῷ λουτρῷ ἐοῦσα. [17] καὶ μετὰ ταῦτα κατακλιθεῖσα ἐκθερμαινέτω ἑωυτὴν καὶ προστιθέσθω. [18] ἐνταῦθα διὰ τρίτης μετὰ τὸ ποτὸν τὸ ἐκ τῆς χολῆς δι' ἡμέρης ἐπὶ ἡμέρας ἕξ. [19] "ὅταν δὲ μέλλῃ ἤδη προσιέναι καλῶς 70 καθάρσιος ἔχουσα, ὑοσκυάμου
295 φύλλα καὶ ῥίζας ἀναζέσας 'ἐν ὕδατι, πυριήσθω τούτοισιν ὡς θερμοτάτοισιν ἐπὶ τρεῖς ἡμέρας ἐς νύκτας. [20] καὶ λουσαμένη παρὰ τὸν ἄνδρα ἴτω. [21] μετὰ

calida aqua lavetur quam plurima ex myrti decocto. 7 Apponat autem & postea singulis noctibus: [8] & deinde cum viro coeat.

9 Alia curatio. Marrubii foliorum manus plenæ mensuram, in vas atticum injicito, [10] & aquæ potabilis heminas atticas quatuor affundito: & ubi per novem ' dies præmaceravit, [11] 235 per alios novem dies jejuna, lota, duos cyathos de hoc bibat, pari mensura passi albi ammixta. [12] Quum autem tertiam diem potando transegerit, fomentum adhibeatur, cicutæ foliis in ignem missis, per novem dies: & post fomentum lavetur. Atque sic rursus de hoc bibat. [13] Quum vero per triduum fomentum adhibuerit, marrubium ipsum tritum in die apponat per triduum: & mercurialem tritam in melle 'attico bis in die: [14] præma- 240 ceretur autem in vini albi congio hippomarathri & fœniculi radix, & tædæ pinguissimæ ramuli, & rubiæ quarta pars, & fœniculi semen, & verbenacæ radices multæ. [15] Præmacerenturque diebus non minusquam novem: & postea loto capite in balneo, [16] heminam per diem de meri cremore bibat: [17] & postea reclinata seipsam concalefaciat. [18] Atque hinc post potum, alternis diebus id quod ex 'felle paratur, 245 per diem ad dies sex apponat. [19] Quum autem jam virum accedere vult probe purgata, hyoscyami folia ac radices in aqua fervefaciat, & ex his quam calidissimis per triduum ad noctem fomentum adhibeat, [20] & lota virum accedat. [21] Post hoc vero fo-

μετὰ δὲ ταύτην τῇ πυριήσει καὶ ἐλάφου αἰδοῖα αὖα ὑποθυμιῆσαι. [22] καὶ, ὅθεν ἴδης ἔχειν αὐὸν, τούτου ἐπ' οἶνον λευκὸν κεκρημένον, ἐπιξύων ἐπὶ τρεῖς ἡμέρας, διδόναι πίνειν. [23] καὶ, ὅταν ὠδῖνας ἔχῃ, διδόναι πίνειν. [24] καὶ γὰρ ὠκυτόκιόν ἐστι τοῦτο.

[25] Ἄλλη θεραπείη. χολὴν ταύρου ἀναζέσαι, καὶ στυπτηρίην μηλίην, ἐλάφου δὲ κέρας κατακαύσας τρῖψαι λεῖον, καὶ ξυμμίξας βαλανίοις χρῆσθαι. [26] Ἕτερον θεραπευτικόν. κύμινον ἐν οἴνῳ μέλανι ἑψήσας, τρίψας λεῖον, βάλανον ποιῆσαι, καὶ ἐς νύκτα προσθεῖναι. [27] μετὰ δὲ ταῦτα, κατακαύσας τρύγα οἴνου λευκοῦ· τὸ λεπτότατον δηλονότι τῆς τρυγός· [28] ἐπὴν δὲ κατακαύσῃς, ἀφαιρέειν τοῦτο ἐν πτερῷ, ἔπειτα ἐς ὀθόνιον ἀποδήσας, προσθεῖναι ἐς νύκτα. [29] καὶ πράσα ἑφθὰ ἐσθιέτω. [30] μετὰ δὲ τοῦτο τράγιον τρίβων, καὶ μέλιτι διεὶς προσθεῖναι ἐς νύκτα. [31] μετὰ δὲ, τραγίου καρπὸν λεῖον τρίψας ἐν οἴνῳ λευκῷ, διεὶς δᾷδα ἐπιξύων διδόναι πίνειν. [32] μετὰ δὲ ὀρίγανον διὰ δευτέρης ὑποθυμιῆν. [33] καὶ οὕτω πρὸς τὸν ἄνδρα ἴτω.

XIV. Ἄλλη θεραπείη ἐπὶ γυναῖκα μὴ δυναμένην τεκεῖν. [2] Ἢν γυναῖκα μὴ δυναμένην τεκεῖν, τοκήεσσαν ἐθέλῃς ποιῆσαι, [3] σκέψασθαι χρὴ ἐν τοῖσιν ἐπιμηνίοισιν, εἴτε χολώδης, εἴτε φλεγματώδης εἴη. [4] γνώσῃ δὲ τῶνδε ὁπότερον μᾶλλον, ψάμμον ὑποβαλὼν λεπτὴν καὶ ξηρὴν, ὅταν τὰ ἐπιμήνια γίνηται, [5] ἐν τῷ ἡλίῳ ἐπιχέαι ἀπὸ τοῦ αἵματος, [6] καὶ ἢν μὲν χολώδης ᾖ, ἐπὶ τῇ ψάμμῳ ξηραινόμενον τὸ αἷμα χλωρὸν γίνεται· [7] ἢν δὲ φλεγματώδης ᾖ, οἷον μύξαι. [8] τούτων ὁπότερον ἂν ᾖ, καθήρας τὴν κοιλίην, ἤν τε ἄνω, ἤν τε κάτω δοκέῃ σοι δεῖν εἶναι. [9] ἔπειτα δια-

fomentum, etiam cervi pudendum siccum suffito: [22] & de hoc in vinum album dilutum deradens, per triduum bibendum, [23] & quum partus dolor institerit, bibendum dato. [24] Nam hoc partum accelerat.

[25] Alia curatio. Fel tauri fervefacito, & alumen melium, & cornu cervi ustum terito, & permixtis ac in glandulas effformatis utitor. [26] Aliud curativum. Cuminum in vino nigro coctum tritum, in glandem efformato, & ad noctem apponito: [27] post hæc vero fecem vini albi, tenuissimam videlicet fecis partem, comburito, [28] & combustam in penna auferas, linteoque illigatam, ad noctem subdas: [29] & porrum coctum edat. [30] Post hoc tragium terat, & melle dilutum in noctem apponat: [31] & deinde tragii fructum tritum, in vino albo dilutum, tædæ ramentis adjectis bibendum dato: [32] & postea origanum alternis suffito: [33] & sic ad virum accedat.

XIV. Alia curatio ad mulierem parere nequeuntem. [2] Si mulierem parere nequeuntem, puerperam facere velis, [3] in mensibus considerare oportet, an biliosa sit, sive pituitosa. [4] Cognosces autem utrum horum magis sit, si ubi menses prodeunt, arenam tenuem & siccam [5] in sole substraxeris, & de sanguine infuderis, [6] & si quidem biliosa fuerit, sanguis in arena siccatus, luteus fit: [7] Si vero pituitosa, velut mucus. [8] Utrum igitur horum fuerit, ventrem purgabis, sive sursum sive deorsum opus habere videtur: [9] deinde intermissis

διαλιπὼν ἡμέρας τινὰς, τὰς ὑστέρας καθαίρειν. [10] Καὶ ἢν ὑγρότερον τὸ στόμα τῶν ὑστερέων ᾖ, προστιθέναι τὰ δριμέα, ὅκως δηχθῇ, καὶ φλεγμῆναν τὸ στόμα τῶν ὑστερέων σκληρὸν γένηται.

[11] Ἢν δὲ γυνὴ μὴ πυρέσσῃ τὰ ἔνδοθεν, μηδὲ κυΐσκηται ὑπὸ τῶν ὑστερέων, μηδὲ ἀνδρὶ μίσγεσθαι δύνηται, ἀλλ' ὑπνώσσῃ τε καὶ ἀσιτέῃ, [12] μέλιτι μίξας οἶνον ἐγχείσθω ἐς τὰ αἰδοῖα, καὶ σμύρναν ὑποθυμιήσθω. [13] Ἐς δὲ τὴν ἕδρην βαλάνους προστιθέσθω, μίσγουσα χηνὸς ἄλειφα. [14] Καὶ οἶνον εἴσω ἐγχεῖν ἐς τὸ αἰδοῖον. [15] Εἶτα καὶ κλύζειν ἔλαιον ἐν μέλιτι ἴσον μίξας.

XV. Ἢν αἱ μῆτραι γυναικὶ ἰσχνωθῶσι, καὶ τρηχυνθῇ τὸ στόμα αὐτέων, καὶ ξυμμεμύκῃ, καὶ τὰ ἐπιμήνια αὐτῇ μὴ φαίνηται, μηδὲ κυΐσκηται, [2] καὶ πυρετὸς λαμβάνει μαλθακὸς, καὶ ὀδύναι αὐτὴν ἐμπίπτουσιν ἐς τὰς ἰξύας καὶ τὴν νειαίρην γαστέρα. [3] Ἡ δὲ νοῦσος αὕτη γίνεται μάλιστα, ὅταν τι τῶν ἐν αὐτῇ διαφθείρῃ. [4] Γίνεται δὲ καὶ ἐκ τόκου. [5] Ταύτην χρὴ λούειν θερμῷ, καὶ πυριῆν. [6] Ὅταν δὲ λελουμένη καὶ πεπυριημένη ᾖ, τῇ μήλῃ ἀνευρύνειν τὸ στόμα τῶν μητρέων. [7] Καὶ προστιθέσθω σμύρναν τρίψασα, καὶ νέτωπον τὸ ἴσον, ἢ μύρον ἢ ῥόδινον ἐν ῥάκει, [8] καὶ μόλυβδον προστιθέσθω ποιήσαντα ὡς βάλανον καταξύοντα καὶ καταλείφειν βοὸς χολῇ. [9] Καὶ γνώσεαι ἐν τέσσαρσιν ἡμέραις τὰς ἀγόνους. [10] Καὶ πυριῆν καὶ φαρμακεύειν. [11] Ἢν δὲ παχυνθῇ παρὰ φύσιν, οὐκ ἴσχει ἐν γαστρί. [12] Τὸ γὰρ ἐπίπλοον ἐπικείμενον παχὺ καὶ πουλὺ ἀποπιέζει τὸ στόμα τῶν μητρέων, καὶ τὴν γονὴν οὐ δέχονται. Ταύτην χρὴ λεπτύνειν, καὶ φάρμακον πίσαι κάτω, καὶ προσ-

τὰς

missis tribus diebus, uteros purgato: [10] & si humidius uterorum osculum fuerit, acria apponito, quo commorsum & inflammatum os uterorum durum evadat.

[11] Si vero mulier internis partibus non febriat, neque præ uteris concipiat, neque viro misceri queat, sed dormiat, & cibum aversetur, [12] vinum melle ammixto pudendis infundatur: & myrrham suffito. [13] In sedem vero glandes indat: [14] & vinum adipe anserino ammixto, in pudendum infundat: [15] deinde etiam oleum pari melle mixtum infundat.

XV. Si mulieri uteri gracilescant, & osculum ipsorum exasperetur, & concludatur, & menses ipsi non appareant, neque concipiat. [2] (Sed febris corripit lenta, & dolores incidunt ei in lumbos, & imum ventrem. [3] Morbus autem hic maxime fit, quum quid in ipsa fuerit corruptum. [4] Fit autem & ex partu.) [5] Hanc calida lavare oportet, & fovere. [6] Quum autem lota ac fota fuerit, os uterorum dilatare cum specillo: [7] & myrrham tritam cum pari netopo apponat. Aut unguentum, aut oleum rosaceum in linteo: [8] & plumbum instar glandis formatum apponat, felle bubulo illitum. [9] (Et in quatuor diebus infœcundas cognosces:) [10] & fomentum adhibeto, & pharmacum bibendum dato. [11] Si vero præter naturam mulier fuerit crassefacta, in ventre non concipit. [12] Nam omentum crassum ac multum incumbens, os uterorum deprimit, & geniturum non suscipiunt. [13] Hanc attenuare oportet, & pharmacum deorsum purgans bi-

 bendum

τὰς ὑστέρας προσθεῖναι, ὃ καθαίρει τε καὶ φύσαν ἐμποιέει. 14 Ἢν τὸ στόμα τῶν μητρέων σκληρὸν γένηται, ἢ ὁ αὐχὴν, τῷ δακτύλῳ γνώσεται ψαύουσα. 15 κἢν πρὸς τὸ ἰσχίον ἀπεστραμμέναι ἔωσιν, ὅταν οὕτως ἔχῃ, μὴ προσφέρειν μηδὲν δριμύ. 16 ἢν γὰρ ἑλκώσῃς τὸ στόμα τῶν ὑστερέων, ὅταν φλεγμαίνῃ, τὸ πάμπαν κίνδυνος ἄτοκον γενέσθαι. 17 ἀλλὰ προστιθέναι, ἃ μὴ δάκνει, ὑφ' ὧν φλέγμα καθαίρεται.

XVI. 1 Ὅταν γυναικὶ τὰ καταμήνια γένηται καὶ παρέλθῃ, 2 πρῶτα μὲν χρὴ κεφαλὴν καθῆραι, ἔπειτα ἐλλεβορίσαι, ἤν τε ἅπαξ, ἤν τε δὶς δέῃ. 3 μετὰ δὲ πυριῆσαι, πυριητήριον κατασκευάσας τὸ ἐκ τῆς σικύης. 4 οὕτω δὲ πεποιημένον· ἐγχέας ἐς ἄγγος θαλάσσης, καὶ προσέτι ἐμβαλὼν, ἐπιθεῖναι τὸν αὐλὸν τῆς σικύης καὶ περιαλεῖψαι πηλῷ ὡς βέλτιστα, ὅκως μὴ διαπνέῃ. 5 εἶτα διὰ χοινοτρίου δίφρου τετραγώνου διαγαγεῖν τὸν αὐλὸν, ὅκως ὑπερέχῃ δύο δακτύλους τῆς τομῆς. 6 εἶτα ὑποκαίειν ἄνθρακι, καὶ τὰς καθέδρας φυλάσσειν, ὅταν τε καθίζηται καὶ ὁκόταν ἀνίστηται, ὅκως μὴ κατακαυθῇ. 7 ἀλλὰ καθίζειν ἔτι ψυχροῦ ἐόντος τοῦ πυριητηρίου, καὶ ἀνίστασθαι ὡς ἂν καταψυχθῶσι τὸν αὐλόν. 8 ἐπὶ δὲ τῇ πυρίῃ τῇ διατελέειν ἐπὶ πλεῖστον τῆς ἡμέρης μέρος ποιεῖσθαι. 9 καὶ τῇ μὲν τοιαύτῃ πυρίῃ ἐπὶ πέντε ἡμέρας χρῆσθαι. 10 δέκα δὲ, ἀντὶ τῶν προσέτι, τῶν σκορόδων τὴν πυρίην. καὶ ταύτην τὴν δέσμην κατακόψας ἐς τὴν θάλασσαν ἐμβαλεῖν. μετὰ δὲ, τὰς λοιπὰς τῶν ἡμερέων αὐτῇ τῇ θαλάσσῃ μούνῃ πυριάσθω, ὅκως πρόσω μὴ προχωρέῃ πάσῃ τῇ θεραπείῃ.

bendum dare: & ad uteros apponere quod purgat, ac flatum inducit. 14 Si os uterorum durum fiat, aut cervix, ex digiti contactu cognoscet. 15 Itemque si ad coxam aversi uteri fuerint. Quum sic habuerit, nihil acre adhibeto. 16 Si enim os uterorum exulceraveris, quum inflammatum fuerit, omnino periculum est ne sterilis fiat. 17 Verum apponito quæ non mordent, à quibus pituita purgatur.

XVI. Quum 1 menses mulieri prodierint, & præterierint, 2 primum quidem caput purgare oportet: deinde veratrum exhibere, sive semel sive bis opus fuerit. 3 Postea vero fomentum adhibere, fomentatorio ex cucurbita constructo; 4 sic autem facto. Aquam marinam in vas infundito, & porro immisso, fistulam cucurbitæ imponito, & cum luto quam optimo illinito, ut ne transpiret: 5 deinde per sellam erectam quadrangularem, transmittito ipsam fistulam, quo duorum digitorum mensura emineat ultra sectionem: 6 deinde prunas subaccendito: & in desessu caveat, & quum desidet, & quum surgit, ut ne comburatur. 7 Sed desideat dum adhuc frigidum est fomentatorium, & surgat dum fistula est perfrigerata. 8 In hoc vero fomento plurimam diei partem consumat, 9 & in hujusmodi fomenti usu ad quinque dies perseveret. 10 Per decem vero dies pro porro, allium in fomentum immittito: & hujus fasciculum contusum in aquam marinam injicito. Postea vero reliquis diebus, ipsa sola aqua marina foveatur, ut ultra ne procedat per totam curationem.

XVII. Τὴν

XVII. Cæ-

XVII. Τὴν δὲ πανυστάτην πυρίην, ὅταν μέλλῃς ἀφιέναι τῆς θεραπείης. [2] σκυλάκιον ὅτι νεώτατον ἀναταμὼν, ἀρωμάτων παντοδαπῶν εἴδη ὅτι εὐωδεστάτων καὶ ξηροτάτων κόψας, τὰ ἔντοσθεν διαξελὼν τοῦ σκυλακίου, ἐμπλῆσαι καὶ σάξαι ὅτι μάλιστα τῶν ἀρωμάτων, [3] ξυλήφια δὲ ὑποθεὶς ἐς τὸ ἴχνιον ἐνθεὶς τὸ σκυλάκιον, οἶνον ὡς εὐωδέστατον ἐπιχέαι, καὶ πυριῆν διὰ τοῦ αὐλοῦ καὶ, ὅκως κατὰ δύναμιν εἶναι, ὅλην τὴν ἡμέρην ἐπὶ ταύτης τῆς πυρίης πυριῆσαί τι, [4] καὶ ἐρωτᾷν αὐτὴν, ἢν ἡ ὀδμὴ διὰ τοῦ στόματος δοκέῃ ὄζειν τῶν ἀρωμάτων. [5] σημεῖον γὰρ οὐ μικρὸν ἐς ξύλληψιν τῇ θεραπευομένῃ. [6] προσθέτοισι δὲ χρέο, κρόκου ὅσον ἂν βούλῃ, καὶ σμύρνης ὅσον δύο κυάμους, καὶ ἅλας συχνὸν παραμίσγειν πρὸς ταῦτα τεκμαιρόμενος, καὶ ταυρείης χολῆς ὅσον δύο κυάμους. [7] ἢν δὲ πρηϋτέρην βούλῃ χρῆσθαι, ἔλασσον μίσγειν τῆς χολῆς· ἢν δὲ ἰσχυροτέρην, πλεῖον. [8] ταῦτα τρίψας λεῖα καὶ μέλιτος παρασταλάξας τρίβε, ἄχρις ἂν σοι τριβόμενον γένηται ὥστε δακτύλῳ ἐκμάξαι. [9] ὅσῳ δ᾽ ἂν πλεῖστα χρόνον τρίβῃς, τοσούτῳ ξηρότερον καὶ γλισχρότερον καὶ βέλτιον ἔσται. [10] ποιήσεις δὲ παχύτερον ἢ βάλανον, καὶ τὸ ἄκρον ὀξὺ, ἐκ τοῦ μέσου παχύτερον. [11] ἔπειτα δὲ ἀγόμενον ὅκως πρὸς τὸ ὑστέρης προσθεθῇ, ἐς τοῦτο ἔμπηξον ξυλήφια ὀριγάνου δύο ποιήσας λεῖα. [12] ἔστω δὲ ἑξαδάκτυλα. [13] ἔπειτα κατείλιξον τὰ ξυλήφια εἰρίῳ ὡς μαλθακωτάτῳ. [14] ἔπειτα ἄνωθεν ῥάμματι κατείλιξον λεπτῷ. καὶ ὑπερεχέτω τὸ ῥάμμα, ὅσον τέσσαρας δακτύλους τῶν ξυληφίων. [15] περιχεαμένη δὲ, καὶ καθαρὴν ἑαυτὴν ποιήσασα ὅτι μάλιστα προσ-

XVII. Cæterum postremum fomentum, quum a curatione desistere voles, sic facito. [2] Catulum recentissimum resecato, & aromatum omnis generis odoratissimorum ac siccissimorum species contundito, & interaneis catuli exemptis, aromata indito ac expleto. [3] Subjectis autem lignis, & catulo in vas misso, vinum odoratissimum affundito, & fomentum per fistulam facito: & si vires permittunt, totam diem cum hoc fomento ipsam foveto. [4] ac interrogato, an odor aromatum per os olere videatur: [5] non enim exiguum hoc signum est ei quæ curatur, ad conceptionem. [6] Subdititiis vero utere, Croci quantum voles, & myrrhæ magnitudinem fabarum duarum, & salem sufficientem permisce illorum respectu, & fellis taurini fabarum duarum magnitudinem. [7] Si vero mitiore uti voles, minus fellis ammisce. Si fortiore, plus. [8] Hæc trita melle instillato tere, donec id quod teritur fiat tale, ut digito efformare possis. [9] Quanto autem magis triveris, tanto siccius, & viscosius, ac melius erit. [10] Ubi autem efformaris crassius quam glandem, & summam partem acutam, & medium crassius, [11] & deinde consequenter, quo ad uterum apponatur, in hoc ipsum surculos origani duos levigatos infigito. [12] sint autem longitudinis sex digitorum: [13] deinde lana mollissima surculos involvito, [14] & filo tenui superne deligato, & præmineat filum quatuor digitorum longitudine præ surculis infixis. [15] Postquam autem perfudit & puram seipsam fecit, ipsum ad uteri os apponat,

lin-

προστιθέσθω αὐτὸ πρὸς τὸ στόμα, ῥάκος ὑποβαλλομένη ὑπὸ τὰ ἰσχία· καὶ τὴν νύκτα προστιθέσθω. [16] ἔσται δὲ αὐτῇ ἡ κάθαρσις ὑδατώδης. [17] τῇ δὲ ὑστεραίῃ ἀναστᾶσα λουέσθω, καὶ ἐπὶ τὴν πυρίην μὴ καθίσῃ ταύτῃ τῇ ἡμέρῃ. [18] ὅταν δὲ πυριῆται καὶ ἀναστῇ ἀπὸ τῆς πυρίης, κηρωτὴ ἔστω τι πεποιημένη ἀπὸ τῆς πρώτης ἡμέρης, ὡς καλλίστη, καὶ ξυμμίξαι μάλιστα μὲν ἐλάφου μυελόν· εἰ δὲ μή, χηνὸς στέαρ. [19] καὶ, ὅταν ἀναστῇ ἀπὸ τῆς πυρίης, ἑκάστης ἡμέρης προσχεαμένη καὶ καθαρὴν ἑωυτὴν ποιήσασα ἐς τὴν κοιλίην τῇ κηρωτῇ ἀλειφέτω τὰς ὑστέρας, ἑκάστης ἡμέρης. [20] τὰ μὲν ἄλλα ταυτὰ πάντα ξύμμισγε τοῖσιν ἔμπροσθεν, ἐκτὸς τῆς χολῆς. [21] ὀρίγανον δὲ τρίψας ὡς λειοτάτην ξύμμισγε ἐς τὴν βάλανον, καὶ προστιθέσθω. [22] Ἄλλο. τὰ μὲν ἄλλα ταυτὰ καὶ τὸν αὐτὸν τρόπον πεποιημένα. ἀντὶ δὲ τῆς ὀριγάνου ἀψίνθιον συμμίξας, καὶ κατὰ τὸν αὐτὸν τρόπον ποιήσας, προστιθέσθω. [23] Ἄλλο. ἐκ τῶν πυρῶν ἐκλέξας τὸ μελάνθιον, τρίψας τε λεῖον ἰσχυρῶς καὶ μέλι παραμίξας, καὶ σφαιροειδὲς ποιήσας, προστιθέσθω. [24] πλὴν πυρετοὺς ἐμποιέει, καὶ τὸ ἄρθρον οἰδέει, καὶ δηκτικὸν ἰσχυρῶς ἐστι τοῦτο. [25] Ἄλλο. μέλι ἑψήσας καὶ ἐλλεβόρου κόψας τοῦ μέλανος τὸ λεπτόν, μὴ πλέον, ἰσχυρῶς δηκτικὸν ἔσται. [26] ἔστι δὲ πυρετῶδες καὶ τοῦτο. [27] Ἄλλο. τὸν αὐτὸν τρόπον τοῦτον ἑψήσας μέλι ξυμμίξας τε ἐλατηρίου ὅσον πόσιν, ἑψεῖν, καὶ ποιήσας βαλάνιον τὸν αὐτὸν τρόπον διδόναι προστίθεσθαι. [28] καὶ τοῦτο πυρετῶδες. ἄγει δὲ καὶ αἷμα. ἔνια δὲ τούτων καὶ δέρματα. [29] ἢν δὲ βούλῃ, καὶ τὸ δρακόντιον ξύσον (ἔστι δὲ πρηΰ) ἐν μέλιτι ἑφθῷ ἢ ὠμῷ, καὶ τοῦτο σφαιροειδὲς ποιέειν, ὅσον κηκίδα μεγάλην.

linteum sub coxas subjiciens, & per noctem appositum sinat. [16] Erit autem ipsi purgatio aquosa. [17] Postridie ubi surrexit, lavetur, & ea die super fomentum ne insideat. [18] Quum autem fomentum adhibuerit, & de fomento surrexerit, ceratum sit quam optimum prima illa die factum, & in ipsum cervi maxime medullam commisceto. Sin minus, adipem anserinum: [19] & quum a fomento surrexerit, quotidie ubi se perfudit, & puram circa ventrem fecit, cerato uterum inungat. [20] Aut reliqua quidem omnia superioribus ammisceto, excepto felle: [21] origanum vero levissime tritum in glandem permisce, & apponat. [22] Aliud. Reliqua quidem omnia ad eundem modum facta, verum pro origano absinthium ammisceto, & eodem modo efformata apponat. [23] Aliud. Ex tritico melanthium deligito, & probe terito, melleque ammixto in pilæ formam redactum apponat. [24] Verum febres inducit, & articulum tumefacit, & vehementer mordax hoc est. [25] Aliud: Mel, & veratrum nigrum tenue non multum, coquito. Vehementer enim mordax evadet. [26] Sed & hoc febrificum est. [27] Eodem modo mel coctum, & elaterii potionem coquito, & factam inde glandem subdendam dato: [28] & hoc febrificum est. Ducit autem & sanguinem. Quædam vero ex his etiam pelliculas. [29] Si vero voles, etiam dracontium derade (est autem lene) & hoc cum melle cocto aut crudo, in pilæ figuram velut magnam gallam efforma.

XVIII. Πειρῶ δὲ φυσικὸς εἶναι, πρὸς τὴν τοῦ ἀνθρώπου τὴν ἕξιν καὶ τὴν ἰσχὺν ὁρῶν. [2] τούτων γὰρ οὐδεὶς σταθμός ἐστιν, [3] ἀλλ' ἐξ αὐτέων τεκμαιρόμενος πειρῶ ὅλου τοῦ σώματος, [4] κεφαλῆς καθάρσεσι, φαρμακείῃσι, καὶ πυρίῃσι τῆς ὑστέρης, καὶ προσθέτοισι χρῆσθαι. [5] στοιχεῖα δέ σοι ταῦτά ἐστιν. [6] ἡ δὲ θεραπείη τουτέων ἐστὶν ἐν μέρει ἑκάστῳ. [7] καὶ, ὅτι ἂν μὴ ποιῇς τούτων, αἰεὶ ἐπὶ τῆς πυρίης διατελεέτω. [8] αὕτη γάρ ἐστιν ἡ μαλθάσσουσα καὶ ἄγουσα τοὺς ἰχῶρας. [9] ὅταν δὲ καταπαύσῃ τῆς θεραπείης, ληγόντων τῶν κατὰ φύσιν, χρὴ αἷμα ἀφαιρέειν ἀπὸ τῆς χειρός· [10] ἢν μὲν ἰσχύῃ, ἀπ' ἀμφοτέρων τῶν βραχιόνων· [11] ἢν δὲ ἀσθενεστέρη ᾖ, ἀπὸ τοῦ ἑτέρου, ἀπόχρη. [12] δίαιτα δὲ οἵῃ χρῆσθαι δεῖ ἐν τῇσι θεραπείῃσι ταύτῃσιν, ἑτέρωθί μοι δεδήλωται. [13] ὑποθυμιῆν, ἢν βούλῃ, τὰς αἴρας ἐκ τῶν πυρῶν ἐκλέξας, ἀλέσας λεπτὰς, καὶ κληματίνον πῦρ ποιήσας ὅτι μαλθακώτατον, [14] ἔπειτα ἐμβαλὼν ἐς τρυβλίον ἔνθες ἐς ἡμίεκτον, καὶ ῥάκεα περιθεὶς, ἵνα μαλθακῶς κάθηται, [15] καθίζεσθαι αὐτὴν κέλευε ἐπὶ τοῦ ἡμιέκτου, ὅτι μάλιστα διαγαγοῦσαν τὰ σκέλεα. [16] ἡ δὲ θεραπείη, ἢν μὲν ἱκανή σοι γένηται ἐν τετραμήνῳ· εἰ δὲ μὴ, πρὸς ταῦτα σκέπτου. [17] καὶ ὅκως πρὸς ἄνδρα μὴ προσφοιτῇ, ἐν ᾧ θεραπεύεται χρόνῳ. [18] ἐν δὲ τῇσι θεραπείῃσι διδόναι δᾷδα ἐν ὕδατι καταβρέχων νήστει ὅσον κύαθον, καὶ τὴν κασσιτερίνην ξυνεχῶς ἔχειν. [19] διδόναι δὲ κοτυληδόνας ἐν ὕδατι ἑψῶν, ἅλας [καὶ] κύμινον συνεψῶν, καὶ χλιηρὸν ῥοφεῖν. [20] αἱ πλατεῖαι θηλύγονοι δοκέουσιν εἶναι· αἱ δὲ σμικραὶ

XVIII. Cæterum conare ut physicus sis, ad hominis habitum ac robur respiciens. [2] Ex his enim nullus est qui non omnia ad amussim faciat. [3] Proinde ex his ipsis conjecturam faciens, totius corporis, [4] & capitis purgationibus, medicamentis, & uteri fomentis, ac apposititiis uti conare. [5] Hæc autem elementa tibi sunt. [6] Verum medela horum unicuique particularis est. [7] Et ubi horum quid non feceris, semper in fomento perseveret. [8] Hoc enim est quod mollit, & ducit serosos ac saniosos humores. [9] Postquam vero ab hac curatione desiveris, his quæ secundum naturam fiunt desinentibus, sanguinem de manu detrahere oportet: [10] si quidem fortis fuerit, de ambobus brachiis: [11] si vero debilior, de altero sufficit. [12] At vero diæta, qua in his curationibus uti oportet, alibi à me indicata est. [13] Si vero suffire voles, lolium ex tritico deligito, & molito: factoque igne sarmenticio lentissimo, [14] in catinum mittito, & mulierem super sellam impositam, mollibus linteis instratam, [15] sedere jubeto, cruribus quam maxime diductis. [16] Atque hæc curatio si quidem sufficiens tibi fiat in quatuor mensibus, bene est. Sin minus, ad hæc præcipe etiam [17] ut ad virum ne accedat, eo tempore quo curatur. [18] Inter curandum autem, tædam in aqua maceratam, & jejunæ cyathum bibendum dato: & penicillum stanneum assidue subditum habeat: [19] & cotyledonas sive umbilicos Veneris, una cum sale & cumino, in aqua coquito, & tepidam sorbendam exhibeto. [20] Et latæ quidem cotyledones fœmel-

κρεαὶ καὶ συμμεμυκυῖαι, ἀρσενογόνοι.

XIX. Ἐγκυητήριον ἄκρον. μελάνθιον γυναικὶ διδόναι ἐν οἴνῳ μέλανι στρυφνῷ. 2 γυναικὶ, νέᾳ οὔσῃ, ῥόος ἐρυθρὸς ὀχλεῖ. 3 καὶ φαρμακευομένῃ, κεφαλὴν καθαιρομένῃ, φλεβοτομευμένῃ οὐδὲν ὠφελεῖ. 4 δοκεῖ δὲ τοῦτό οἱ αἴτιον εἶναι, ὥστε μὴ ξυλλαμβάνειν. 5 ἐδίδουν δὲ αὐτῇ ἀσπαλάθου τῶν ῥιζῶν, ἐν οἴνῳ λευκῷ ἀποζεόμενον, πρωῒ καὶ πρὸς δεῖπνον. 6 ὅ, τε ῥόος ἐπαύσατο, καὶ οὐ βραδέως ἐκύησεν, ἔτεκεν ἄρσεν. 7 τὸ σῶμα λευκόχροος, εὔσαρκος.

XX. Περὶ μύλης. περὶ δὲ μύλης κυήσιος τόδε αἴτιον. 2 ἐπὴν πολλὰ τὰ ἐπιμήνια ἐόντα γονὴν ὀλίγην καὶ νοσώδεα ξυλλάβωσιν, οὔτε κύημα ἰθυγενὲς γίνεται, ἥ τε γαστὴρ πλήρης ὥσπερ κυούσης. 3 κινέεται δ' οὐδὲν ἐν τῇ γαστρὶ, 4 οὐδὲ γάλα ἐν τοῖσι τιτθοῖσιν ἐγγίνεται. 5 σφριγᾷ δὲ τὸ στῆθος αὐτῇ. 6 καὶ δύο ἔτεα, πολλάκις δὲ καὶ τρία οὕτως ἔχει. 7 καὶ, ἢν μὲν μία σὰρξ γένηται, ἡ γυνὴ ἀπόλλυται. 8 οὐ γὰρ οἷόν τέ ἐστι περιγενέσθαι. 9 ἢν δὲ πολλαὶ, ῥήγνυται αὐτῇ κατὰ τὸ αἰδοῖον αἷμά τε πολὺ καὶ σαρκῶδες. 10 καὶ, ἢν μὲν μετριάσῃ, σώζεται. 11 ἢν δὲ μὴ, ὑπὸ ῥόου ἁλοῦσα ἀπόλλυται. 12 τὸ μὲν νόσημα τοιοῦτόν ἐστι. 13 κρίνειν δὲ χρὴ τοῦ πληρώματος, καὶ ὅτι οὐ κινέεται ἐν τῇ γαστρί. 14 τὸ μὲν γὰρ ἄρσεν, τρίμηνον· τὸ δέ γε θῆλυ, τετράμηνον τὴν κίνησιν ἔχει. 15 ἐπὴν οὖν τοῦ χρόνου παρελθόντος μὴ κινέηται, δῆλον, ὅτι τοῦτό ἐστι. 16 τὸ δὲ καὶ τεκμήριον μέγα, ἐν τοῖσι τιτθοῖσι γάλα οὐκ ἐγγίνεται. 17 ταύτην μάλιστα μὲν μὴ ἰᾶσθαι· εἰ δὲ

foemellas gignere videntur: parvæ vero & conclusæ, masculos.

XIX. Conceptorium summum. Melanthium mulieri in vino nigro acerbo bibendum dato. 2 Mulierem juvenculam fluxus ruber infestabat, & medicamentis datis, 3 & capite purgato ac vena secta, nihil melius habebat. 4 Videbatur autem hæc causa ipsi esse, ut ne conciperet. 5 Dabam itaque ipsi vinum album, in quo aspalathi radices efferbuerant, mane & ante cœnam: 6 & fluxus sedatus est, & non longe post concepit, & peperit masculum. Erat autem corpore coloris candicantis, & probe carnosa.

XX. De mola. Molæ porro conceptus causa hæc est, 2 Quum multi menses, modicum & morbosum semen conceperint, neque foetus rectus fit, & venter plenus est velut prægnantis. 3 Nihil autem in ventre movetur, 4 neque lac in mammis generatur. 5 Mammæ autem turgidæ sunt. 6 Hæc itaque & ad duos annos, sæpe etiam tres sic habet. 7 Et si quidem una caro fiat, mulier perit. (8 Neque enim fieri potest ut superstes maneat.) 9 Si vero plures, erumpit ipsi per pudendum sanguis multus ac carnosus. 10 Et si hoc moderate fiat, servatur. 11 Sin minus, à fluxu correpta perit. 12 Et morbus quidem talis est. 13 Judicare vero oportet ex plenitudinis mole, & quod in ventre non movetur. 14 Nam mas trimestris, fœmina quadrimestris motum habet. 15 Postquam igitur tempore hoc prætergresso, non movetur, nimirum hic morbus est. 16 Est autem hoc magnum signum, quod lac in mammis non generatur. 17 Hanc igitur maxime quidem ne curato,

εἰ δὲ μὴ, περὶ πούτου εἰπεῖν. [18] καὶ πρῶτα μὲν πυριῆσαι τῆς γυναικὸς ὅλον τὸ σῶμα. [19] ἔπειτα κατὰ τὴν ἕδρην κλύσαι, ὅπως διαχωρηθῇ. [20] πολλάκις γὰρ ἴσως ἂν κλύσας κινήσειε τὸ ἔμβρυον τὸ δοκέον εἶναι τὸ ξυνεστηκὸς, διαθερμανθείσης τῆς γυναικὸς ὑπὸ τοῦ φαρμάκου. [21] κλύζειν δὲ καὶ κατὰ τὰς μήτρας, ὅκως αἷμα ἀγάγῃς. [22] ἢν δὲ μὴ, προσθέτοισι χρῆσθαι, τοῖσιν ἀπὸ τῆς βουπρήστιος ὡς ἰσχυροτάτοισι. [23] καὶ πιπισκέτω τὸ δίκταμνον τὸ κρητικὸν ἐν οἴνῳ. [24] εἰ δὲ μὴ, καὶ τὸ καστόρειον ὄρχιν. [25] καὶ ὄπισθεν αὐτῆς σικύην προσβάλλειν πρὸς τοὺς κενεῶνας, καὶ ἀφαιρέειν ὅτι πλεῖστον.

XXI. Πρόσβαλλε δὲ ὅτι μάλιστα, καθάρσιος τεκμαιρόμενος πρὸς τὰς μήτρας. [2] ὅταν γὰρ μὴ γίνηται, ἤν τε ἐκ τόκου, ἤν τε καὶ ἄλλως, δᾳδὸς ὡς πιοτάτην κόψαντα λεπτὴν ἑψεῖν ἐν οἴνῳ λευκῷ, καὶ ἀποχρῆσθαι ὡς τρισὶ κυάθοισι, [3] [ἢ] γλυκυσίδης κόκκοι τέσσαρες, κυμίνου αἰθιοπικοῦ σμικρὸν, καὶ σεσέλιος πλεῖον. ἢ κεδρίδας. [4] ἢν δὲ πνιγμοὶ ἔωσι, καστόρεος σμικρόν. [5] ἢν δὲ ἐκ τόκου καθάρσιος γενομένης μετρίης ἡ γαστὴρ μένῃ, ἢ καὶ φύσα ἀποκεκλεισμένη, καὶ ὀδυνώδης γίνηται, ἤν τε ξὺν πυρετῷ, ἤν τε ἄνευ πυρετοῦ, [6] ὀποῦ σκαμμωνίης πέμπτον μέρος πόσιος, ἢ σεσέλιος, ἢ ἄλλο τι τῶν εὐωδέων, καὶ πήγανον ἐν οἴνῳ λευκῷ. [7] ἢν δὲ μὴ βούληται πιεῖν, πρὸς τὴν ἕδρην ἄλειμμα ποιέειν οἷον ἐκ χολῆς ταυρείης, καὶ μέλιτος, καὶ λίτρου.

XXII. Ἢν δὲ ἐκ διαφθορῆς καθάρσιος ὀδυνώδης ᾖ, καὶ τῶν εὐωδέων διδομένων μηδὲν ὑπακούῃ, καὶ πυρετοῦ ἐόντος, [2] γάλακτος αἰγείου δύο κοτύλας ἀφεψεῖν, εἶτα ψυχθέντος τὸ χρηνοῦ ἀφελεῖν, καὶ διηθήσας

curato, aut certe cum prædictione. [18] Et primum quidem totum corpus foveto: [19] deinde per sedem clysterem adhibeto, quo sanguis multus erumpat. [20] Fortassis enim quod compactum est commoveris (id quod fœtus esse putatur,) muliere à pharmaco concalefacta. [21] Sed & uteros colluito, quo sanguinem educas. [22] Sin minus, subdititiis utatur è buprestі: [23] & dictamnum creticum in vino bibat. [24] Sin minus, castoris testem: [25] & retro cucurbitam ipsi ad laterum mollitudinem affigito, & plurimum sanguinem detrahito, atque hoc maxime conjectura virium ipsius facta.

XXI. Ad uteri purgationes, [2] quum non fiunt, sive ex partu, sive etiam alias. Tædam pinguissimam contusam in vino albo coquito, & trium cyathorum mensura utatur. [3] Aut pæoniæ grana quatuor, cumini æthiopici parum, & seselis paulo plus. Aut cedri baccas. [4] Si vero suffocationes affuerint, castorii parum. [5] Si vero purgatione moderata ex partu facta, venter maneat, aut etiam flatus conclusus, & dolore vexetur, sive cum febre, sive citra febrem, [6] Succi scammoniæ quintam potionis partem, aut seseli, aut aliud quoddam ex odoratis, & rutam in vino albo bibendam dato. [7] Si autem bibere nolit, illinitionem ad sedem facito, velut verbi causa, ex felle taurino, & melle, ac nitro.

XXII. Si vero ex purgationis corruptione dolore vexetur, & odoratis exhibitis nihil cedat, & febris adsit, [2] lactis caprini heminas duas decoquito: deinde eo perfrigerato pinguedinem detrahito,

30 σας μελικρήτου ὅσον τρίτον μέρος μῖξαι, ὅκως γλυκύτερον ἔσται. πιεῖν δὲ τρὶς νῆστιν. ³ ἢν δὲ μὴ πραΰνηται ἡ ὀδύνη, μηδὲ ἡ κοιλίη ὑποχωρήσῃ, ἐς τὴν δείλην ἐν σκάφῃ ἐς θερμὸν ὕδωρ ἐγκαθιζέτω. ⁴ ὅταν δὲ διαπυρηθῇ, ἐξαναστήσαντα κλύζειν, ἐν οἴνῳ αὐστηρῷ μέλανι δεὶς καὶ ὕδατι ἅπαξ ἐλαίου ἥμισυ, τὸ ὕδωρ χλιηρῶς κλύζειν καὶ ἐπικοιμηθήτω.

⁵ Πρόσθετον ὑστερέων, ἢν ξυμμεμύκῃ, ἢ σκληρὸν ᾖ τὸ στόμα. ⁶ σῦκον λευκὸν ἐκκαθήρας, καὶ λίτρον αἰγύπτιον τὸ καθαρώτατον μῖξας 35 λεῖον τετριμμένον, ' πρόσθετον ποιῆσαι ὅσον κηκῖδα μεγάλην, ἐν εἰρίῳ μαλθακῷ, ἐς ἴρινον μύρον βάψασα προσθέτω, ἢν τε τρεῖς, ἢν τε πλείους ἡμέρας δοκέῃ. ⁷ πυρίησις μετὰ τοῦτο ξυμφέρει ἐν εὐώδει. ⁸ μετὰ δὲ μαλθακόν τι δεῖ πρόσθετον, ὅ, τι ἰχωροειδέα ἄξει μάλιστα. ⁹ μετὰ δὲ, λινόζωστις. ἢν ᾖ ἁπαλὴ μύρῳ ῥοδίνῳ χρῆσθαι ἐν ὀθονίῳ ἐς ἡμέρην καὶ νύκτα. ¹⁰ Ἐπὶ τοῦ αὐτοῦ. χολὴν ταύρου καὶ ἅλας ἀναζέσαι, καὶ θεῖον παραμίσγειν, ποιῆσαι " πρὸς 102 μακρὸν μῆκος μέγα σπείρην ψιλὴν, [ἐς] ' προσθεῖναι ἐπὶ δύο ἡμέρας καὶ νύκτας πρὸς αὐτὰς τὰς ὑστέρας. ¹¹ πάλιν λινοζῶστιν. ¹² μετὰ τοῦτο ἐπιπάσσειν σμύρναν, ἄκρητον μῖξας διεῖναι, " ῥοδίνῳ ἄκρῳ καὶ 103 μύρῳ ἰρίνῳ διαχρίεσθαι τὸ στόμα ὡς ἐσωτάτω. ¹³ Θεραπεία ἐπὶ τὸ αὐτὸ νόσημα. ἶριν εὐώδεα κόψας, καὶ διασήσας χωρὶς, κυπέρου ἶσον, " καὶ ἔκμαγμα ὅσον 104 μαγίδα οἴνῳ ἀνθοσμίῃ διεῖναι. ¹⁴ εἶτα ἀλειμματῶδες ποιέειν, καὶ ἐς σπλῆνας ἀλείψας μῆκος σπιθα-

trahito, excolatoque, ' & aquæ 385 mulsæ tertiam partem ammisceto, quo dulcius fiat. Bibat autem hoc ter jejuna. ³ Si vero dolor non quiescat, neque venter subeat, ad vesperam in calidam aquam in solio insideat. ⁴ Quum autem persota fuerit, ubi inde surrexit, cum vino nigro austero aqua diluto olei dimidia parte addita, tepide colluito: & inde dormiat.

⁵ Subdititium uterorum. Si conclusum fuerit, aut durum osculum ' uterorum. ⁶ Ficum 390 albam expurgato, & nitrum ægyptium purissimum tritum ammisceto, & subdititium facito magnitudine gallæ non magnæ, quod in lana molli in unguentum irinum tinctum apponat, per tres aut quatuor dies, prout visum fuerit. ⁷ Post hoc conducit fomentum odoratum. ⁸ Postea vero molli quodam opus est subdititio, quod saniosa maxime ducat: ⁹ deinde mercurialem si tenera fuerit, ' cum unguento 395 rosaceo, in linteo ad diem ac noctem subdat. ¹⁰ Ad idem. Fel taurinum & salem fervefacito, & sulphure trito ammixto, in oblongam spiram ac tractum efformato, & ad duos dies ac noctes nudam, ad ipsos uteros apponito. ¹¹ Et deinde rursus mercurialem. ¹² Post hoc myrrham puram inspergito: & rosaceo ac irino unguento ammixto diluito, indeque uteri osculum quam penitissime illinat. ¹³ ' Ad idem. 400 Iridem odoratam contusam ac cribratam seorsim, & cyperi tantundem, & crocomagma magnitudine massæ manum implentis, vino odorato diluito, ¹⁴ & ad unguenti formam redigito, & spleniis palmi longitudine inducta

ποιησαμένης, [15] ἐς σμικρὴν σικυ- διακείσθω οὐδεὶς ὅκως μὴ διαπνέῃ, προστιθέσθω. [16] ἢν δὲ ἑλκωθῶσιν αἱ μῆτραι, ἢ τρηχυνθῇ τὸ στόμα, ἢ ὑπὸ προσθέτου τινὸς δηχθῶσιν, [17] ἐν ἐρίῳ χήνειον στέαρ, καὶ ῥόδινον ἀλεῖψαι, καὶ κηροῦ μικρόν.

XXIII. Ὅταν ἰσχνῶσιν ἐν γαστρὶ διαφθείρῃ, τὸ δὲ ἔμβρυον μηνιαῖον, καὶ ἐκφέρειν ἐς τέλος μὴ δύνηται, καὶ λεπτὴ παρὰ φύσιν γένηται, [2] ταύτην χρὴ καθῆραι τὰς ὑστέρας, καὶ αὐτὴν φαρμακεύειν, καὶ παχύνειν. [3] οὐ γὰρ δύναται ἐκφέρειν ἐς τέλος, ἔστ' ἂν ἑωυτήν τε ἀναλάβῃ καὶ αἱ ὑστέραι ἰσχύσωσιν. [4] ἢν δὲ κυΐσκηται μὲν, διαφθείρῃ δὲ διμηνιαῖα παιδία, ἐς ἀκριβῶς τὸν αὐτὸν χρόνον, καὶ μήτε πρότερον, μήθ' ὕστερον, [5] καὶ τοῦτο πάθῃ δὶς ἢ τρὶς κατὰ ταυτὰ, ἢ καὶ πλείονα χρόνον γεγονότα [6] κατὰ τὸν αὐτὸν τρόπον τοῦτον διαφθείρει. [7] ταύτης αἱ μῆτραι οὐκ ἐπιδιδοῦσιν ἐπὶ τὸ μεῖζον, τοῦ παιδίου ἐν αὐτῇσιν αὐξανομένου, καὶ ὑπερβάλλοντος ἐκ τοῦ διμήνου ἢ τριμήνου ἐς τὸ πλεῖον. [8] ἀλλὰ τὸ μὲν αὔξεται, αἱ δὲ μῆτραι οὐδὲν ἐπιδιδοῦσι. [9] διὰ δὴ τοῦτο διαφθείρουσιν αἱ πολλαὶ ἐς τὸν αὐτὸν χρόνον. [10] ταύτην χρὴ κλύσαι τὰς μήτρας, διαφυσῆσαι ὡς μάλιστα προσθέτοισιν, ἢ φαρμάκοισι τοῖσδε. [11] τῆς σικύης τῆς ἀγρίας τὴν ἐντεριώνην κόψαντα διασῆσαι. καὶ σίλφιον ὀλίγον παραμίξαι ὀλίγῳ ἐν πλέονι, καὶ καθεφθοτέρῳ τῷ μέλιτι. [12] τοῦτο περιπλάσαι περὶ μήλην, ποιέοντα τὸ πάχος ὅσον μέλλει παραδέξασθαι ὁ στόμαχος πρὸς τὸ στόμα τῆς μήτρης, [13] καὶ ὦσαι πόῤῥω ἕως ἂν περήσῃ ἐς τὸ ἔξω τῆς μήτρης. [14] ὅταν δὲ ἀποτακῇ τὸ φάρμακον, ἐξελεῖν τὴν μήλην, [15] καὶ πάλιν,

cta ac illita, [15] in parvam pyxidem reconde, ut ne transpirent, & apponat. [16] Si vero ulcerati fuerint uteri, aut osculum exasperatum fuerit, aut ab aliquo subdititio commorsi fuerint, [17] adipem in lana illinito: & rosaceum ac ceræ parum inungito.

XXIII. Quum prægnans corruperit fœtum menstruum, & finem perferre non poterit, & tenuis præter naturam fiat, [2] hujus uteros purgare oportet, & ipsam medicamentis curare, & crassefacere. [3] Non enim ad perfectionem gestare poterit, donec seipsam refecerit, & uteri robusti facti fuerint. [4] Si vero concipiat quidem, corrumpat autem fœtus bimestres, exacte eodem tempore, & neque prius neque posterius: [5] & hoc perpessa fuerit bis aut ter eodem modo: aut etiam ad amplius tempus progressum [6] corrumpat eodem modo. [7] Hujus uteri non amplius extenduntur, fœtu in ipsis augescente, & ex bimestri aut trimestri, ad ampliorem modum excedente. [8] Verum fœtus quidem augescit: uteri vero non crescunt, [9] & propterea multæ eodem tempore corrumpunt. [10] Hujus uterum colluere oportet, & subdititiis quam maxime inflare, aut hisce medicamentis. [11] Colocynthidis internam partem tusam cribrato, & silphii parum, cum paulo ampliore melle cocto ammisceto: [12] & hæc circum specillum obducito, ea crassitudine quantam stomachus ad uteri os suscipere potest, & semper ultra protrudito, [13] donec ad internam uteri partem penetrarit. [14] Quum autem pharmacum colliquerit, specillum eximito, [15] & rursus eodem modo paratum

λιν, οὕτω τὸ ἐλατήριον καὶ τῆς κολοκυνθίδος τῆς ἀγρίης ποιέων, ὡσαύτως τῷ προτέρῳ προσθεῖναι. [16] ἐσθιέτω δὲ τοῦτον τὸν χρόνον σκόροδα ὡς πλεῖστα, καὶ καυλὸν σιλφίου. [17] καὶ τῇ ἄλλῃ διαίτῃ χρήσθω, ὁκοίη ἂν μάλιστα φῦσαν ἐμποιήσειε μάλιστα ἐν τῇ κοιλίῃ. [18] προστιθέσθω δὲ τὸ πρόσθετον διὰ τρίτης ἡμέρης ἕως ἂν δοκέῃ καλῶς ἔχειν. [19] ἐνίοτε δὲ 15 καὶ διὰ πλείονος· τὸ δὲ ὅλον, ὅκως ἂν προσίηται. [20] τὰς δὲ μεταξὺ ἡμέρας μαλθακοῖσι χρήσθω. [21] ὅταν δὲ καταστήσῃ τοῖσι μαλθακτηρίοισι τὸ στόμα τῆς μήτρης, καὶ φαίνηται τὰ ἐπιμήνια ἐπιμείνασα, ὅταν ξηρὴ ἤδη ᾖ, μιγνύσθω τῷ ἀνδρί.

XXIV. Ποιέειν δὲ φῦσαν ἐν τῇ μήτρῃ ὅταν βούλῃ, [2] σκορόδου μώλυζαν καὶ ὀπὸν σιλφίου παραμιγνύναι πρὸς τὰ πρόσθετα. [3] καὶ ἤν τις αὖ μὴ δύνηται διατελεῖν τοὺς δέκα μῆνας κύουσα, ἀλλὰ διαφθείρῃ, καὶ τοῦτο πάσχῃ πλεονάκις, [4] ταύτης τὴν μήτρην καθαίρειν ὕδωρ, καὶ 20 αὐτὴν φαρμακεύειν ὅκως ὕδωρ καθαίρηται. [5] ἢν δὲ κατέχουσα τὴν γονὴν μὴ κυΐσκηται· [6] συμβαίνει δὲ τοῦτο πλείστοισι, τοῦ στομάχου χαίνοντος τῆς μήτρης παρὰ φύσιν· [7] τὰ ἐπιμήνια πλείω γίνεται τοῦ προσήκοντος καὶ ὑγρότερα, [8] ὥστε τὸ ἀπὸ τῆς γυναικὸς μὴ ξυλλαμβάνεσθαι πρὸς τὴν τέκνωσιν, τήν τε τοῦ ἀνδρὸς γονὴν ἐπιοῦσαν διαφθείρεσθαι. [9] γίνεται δὲ ταῦτα, τοῦ τε σώματος καὶ τῶν μητρέων νοσεόντων. [10] ἀλλὰ δεῖ ταύτῃ κατωτερικὰ διδόναι δια-25 λείποντα. [11] καὶ πυριῆν ὅλον τὸ σῶμα, καὶ τὰς μήτρας ὄξει καὶ θαλάσσῃ, μήλας διαπύρους ἐμβάλλοντα. [12] ἐμβάλλειν δὲ ἐς τὸ πυρίημα κυπαρίσσου πρίσματα, καὶ

tum elaterium, & colocynthidem sylvestrem, similiter velut prius medicamentum apponito. [16] Edat autem hoc tempore allium multum, & silphii caulem, [17] & reliqua diæta utatur, quæ flatum maxime in ventre inducere potest. [18] Apponat autem subdititium tertio quoque die, donec bene habere visa fuerit. [19] Quandoque vero pluribus diebus interpositis: & in summa, prout libenter admiserit. [20] Interjectis autem diebus, utatur mollibus. [21] Postquam vero per emollitoria osculum uteri præparaverit, & menses apparuerint, paulum remorata, ubi jam sicca fuerit, cum viro coeat.

XXIV. Quum autem flatum 110 in uterum inducere voles, [2] allii caput integrum, & silphii succum, ad subdititia ammisceto. [3] Quod si qua prægnans decem menses perficere non possit, sed corrumpit, & hoc sæpe patitur, 430 [4] ex hujus utero aquam purgato, & ipsam medicamentis curato, quo aqua purgetur. [5] Si vero genituram continens, non prægnans fiat, [6] id quod multis contingit: stomacho uteri præter naturam hiante: [7] menses plures quam convenit, & humidiores prodeunt, [8] ut & id quod à fœmina prodit semen, ad fœtificationem non concipiatur, & viri genitura insuper accedens corrumpatur. [9] Contingunt 431 autem hæc, & corpore, & uteris ægrotantibus. [10] Verum oportet huic medicamenta deorsum purgantia dare, & interposito aliquo tempore, [11] totum corpus fovere, & uteros cum aceto & aqua 111 marina, specillis ac ferramentis ignitis immissis. [12] Conjiciantur autem in fomentum cupressi ramenta

καὶ δάφνης φύλλα κόψας χλωρῆς, καὶ πολυκνήμου αὐτοῦ φύλλα. [13] πυριῆν δὲ, ὁκοῖον ἂν δοκέῃ καιρὸς εἶναι χρόνου. [14] μετὰ δὲ τοῦτον, λουέσθω. [15] καὶ ὄξει ἐνεψεῖν λωτοῦ τορνεύματα, καὶ 112 ῥόδινον, καὶ πολυκνήμου αὐτοῦ τὰ φύλλα. [16] ἐπὶ τελευτῆς δὲ θυμιῆν, φλόμου φύλλα κόψας, καὶ λωτοῦ τορ- 30 νεύματα. [17] ἔμπροσθεν δὲ, πρὶν ἐκλούσασθαι, θυμιήσασθαι σμύρνῃ καὶ λιβανωτῷ, τρίψας ἴσον ἑκατέρου, καὶ μυρσίνης καὶ δάφνης φύλλα. [18] ταῦτα ἀναμίξας, καὶ ἐπιβαλὼν ἐπὶ μαλθακὸν πῦρ, θυμιῆν νεοπυριημένην ἐοῦσαν δὶς τῆς ἡμέρης, πυριῆν νεόλουτον ἐοῦσαν, [19] καὶ τῆς θυμιήσιος ὕστερον λουέσθω. [20] καὶ τὸν στόμαχον καθιστάναι ἐς τὴν ἀρχαίην φύσιν. [21] καὶ, ἢν ἐξαρκέουσα ᾖ, πρόσθεν δὲ τούτων πάντων, τάμνειν τὴν ἐν τῇ χειρὶ φλέβα τῇ ἀριστερῇ. [22] καὶ οὕτω τὰ ἄλλα ποιέειν. [23] Ἢν δὲ ὁ στόμαχος οὕτως 35 ἔχῃ, τὰ δ' ἐπιμήνια μὴ ἴῃ ἢ 113 φλαύρως, ἢ ἐπὶ τὸ ἔλαττον, [24] πρὸς πλείονα κάθαρσιν τρέπεσθαι τοῖσιν ἄλλοισιν ἅπασι, καὶ οὕτως θεραπεύειν, [25] καὶ προστιθέναι, ἢν δέῃ, ἐκ τῶν πρόσθεν, [26] καὶ λούειν, καὶ θυμιῆν, καὶ ξηραίνειν.

XXV. Ἢν δὲ γυνὴ ἐκτιτρώσκῃ ἀέκουσα καὶ μὴ θέλῃ ἐκβάλλειν, [2] πυροὺς πεφρυγμένους, καὶ καταληλασμένους, καὶ σταφίδα κεκομμένην λευκὴν, μελικρήτῳ γλυκερῷ ταῦτα διεὶς, ἐλαίου σμικρὸν παραχέων, νήστει πίνειν διδόναι. [3] μετὰ δὲ, ῥαφάνου σπέρμα 40 τρίψας καὶ ὄξος καὶ χηνὸς στέαρ, ταῦτα μίξας ἐσθιέτω, [4] καὶ προστιθέσθω 114 δάφνης φύλλα τρίβουσα. [5] μετὰ δὲ, πινέτω ὀρίγανον καὶ γλήχωνα καὶ ἄλφιτον ἐν ὕδατι ἐπιπάσσουσα δάφνης φύλλα κεκομμένα [τε] καὶ τετριμμένα λεῖα, κόμμι παραμί-

menta, & lauri viridis folia contusa & polycnemi folia: [13] faciendum est hoc fomentum tempore opportuno. [14] Post 440 hoc vero lavetur, [15] & fomentum adhibeatur ex loti ramentis, & rosis, ac polycnemi foliis aceto incoctis. [16] Ad finem autem suffitus fiat, ex verbasci foliis contusis ac loti ramentis. [17] Verum ante lotionem suffito myrrham & thus, utraque æquis partibus trita, & myrti ac lauri folia. [18] His permixtis & in lentum ignem conjectis, recens adhibito fomento suffito, bis in die, fomentum autem adhibeatur recens lotæ. [19] Sed 445 & post suffitum lavet, [20] & uteri stomachum ad pristinam naturam reducat. [21] Et si vires sufficiant, ante hæc omnia venam in manu sinistra secato, [22] atque ita reliqua facito. [23] Si vero stomachus sic habeat, menses autem non prodeant, aut vitiose, aut minus, [24] ad reliqua omnia ampliorem purgationem adhibeto, & sic curato, [25] subdititiis etiam utens si opus habeat, & ex prioribus 25 lavans, & suffitum faciens, ac 450 siccans.

XXV. Si mulier invita abortum faciat, nec ita ejicere velit, [2] triticum torrefactum & molitum, & uvam passam albam contusam, aqua mulsa dulci diluta, modico oleo affuso, jejunæ bibenda dato. [3] Postea raphani semen tritum, & acetum ac adipem anserinum, permixta bibat, [4] & lauri folia trita apponat: [5] deinde bibat origanum, & pulegium, & polentam ex aqua, ita ut lauri folia tusa ac trita am- 455 mixto gummi, aquæ inspergat,

ξας, καὶ διεὶς ὕδατι, πίνειν διδόναι. ⁶ Ἄλλο. οἴος στέαρ καὶ χηνὸς ἄλειφα, καὶ μέλι, ἐς τὸ αὐτὸ μίξας καὶ τρίψας, ἐκλεικτὸν διδόναι. ⁷ σταφυλῖνον τρίβων ὡς λεπτότατον, καὶ γάλακτος ὑπόστασιν ἐν τούτῳ μίξας, 45 καὶ χηνὸς στέαρ τήξας, ταῦτα ἀναψήσας, διδόναι ῥοφεῖν. ⁸ ὀριγάνου τρίψας φύλλα ὡς λεπτότατα, ἢν μὲν ἔχῃ χλωρῆς, εἰ δὲ μὴ, ξηρῆς διεὶς ἐν ὕδατι πίνειν διδόναι. ⁹ δάφνης καρπὸν τρίψας ὡς λεπτότατον, καὶ ὑὸς θηλείης στέαρ τήξας καὶ μέλιτι, ταῦτα ὁμοῦ πάντα μίξας καὶ τρίψας, ἐκλεικτὸν διδόναι. ¹⁰ σταφυλῖνον τρίβων ὡς λεπτότατον ἐν οἴνῳ διεὶς κεκρημένῳ, πίνειν διδόναι.

XXVI. Ἢν αἱ μῆτραι μὴ κατέχωσι τὴν γονὴν, ² μόλιβδον καὶ λίθον, ἥτις τὸν σίδηρον ἁρπάζει, ταῦτα τρίψας λεῖα, ἐς ῥάκος ἀπόδησον, καὶ ἐς γάλα γυναικὸς ἐμβάψας, προσθέτῳ χρήσθω. ³ χαλκοῦ ἄνθος τρίψας, μέλιτι διεῖναι καὶ προστιθέναι τοῦτο.

⁴ Ὅταν αἱ μῆτραι τοῦ ἀνδρὸς τὴν γονὴν ἐξερεύγωνται τρίτῃ ἡμέρῃ, πᾶσα ἀνάγκη τῆς γυναικὸς, ἢν ταῦτα πάσχῃ, πώρου πεπληρωμένας εἶναι τὰς μήτρας. ⁵ καὶ οὐ δύναται τοῦ ἀνδρὸς ἡ γονὴ ἐμμένειν ἐν τῇσι μήτρῃσιν, ἀλλὰ ἀποκλείεται. ⁶ καὶ 5 διὰ τοῦτον οὐ δύναται κυῆσαι, ἕως ἂν ὁ πῶρος ἐνῇ ἐν τῇσι μήτρῃσι. ⁷ τοῦ δὲ πώρου ἥδε ἡ ἐξέλασις. ⁸ πτερὰ λαβὼν ὡς ἐλάχιστα καὶ μαλθακώτατα ξυνδήσας ὁμοῦ, τούτοισιν ἐπαλείφειν τὰς μήτρας, ὡς τοὺς ὀφθαλμοὺς ἐπαλείφουσιν, ⁹ ὁμαλιῶσας τὰ πτερὰ ἅμμασιν ὡς λεπτοτάτοις, καταδήσας τὰ ἄκρα, ¹⁰ εἶτα ῥοδίνῳ πολλῷ χρίσας αὐτὰ, ὑπτίην ἀνακλίνας, ὑπὸ τὴν ὀσφὺν μέσην ὑποθεῖναι προσκεφάλαιον, ὑποθεῖναι

diluat, ac bibat. ⁶ Aut adipem ovillum, & anserinum, & mel simul mixta ac trita delingenda præbeto. ⁷ Aut pastinacæ semen levissime terito: & lacti superstantem concretionem ammisceto, & adipem anserinum eliquatum. Hæc fervefacta sorbenda dato. ⁸ Aut origani folia viridia, si haberi possunt: sin minus, sicca levissima trita, ex aqua bibenda dato. ⁹ Aut lauri baccas levissime terito, & suis fœminæ adipem liquatum, & mel ammisceto, & simul omnia trita delingenda præbeto. ¹⁰ Aut pastinacæ semen levissime tritum ex vino diluto bibendum dato.

XXVI. Si uteri genituram non contineant, ² plumbum, & lapidem qui ferrum ad se rapit, leviter terito, & linteo illigato, quo in muliebri lacte tincto, subdititio utatur. ³ Aut æris florem tritum ac melle dilutum subdat.

⁴ Quum uteri genituram viri eructant tertia die, necesse est mulieris, quæ hæc patitur, uteros callo repletos esse, ⁵ & non potest viri genitura intus in utero manere, sed excluditur, ⁶ & propterea concipere non potest, quandiu callus in utero fuerit. ⁷ At calli expulsio sic fit. ⁸ Pennas sumito minutissimas ac mollissimas, hisque simul colligatis uteros illinito, quemadmodum oculos illinere solent, ⁹ ita ut pennas exæques, ipsarumque summas partes tenuissimo filo deliges, ¹⁰ & multo rosaceo illinas. Sic autem facito. Supinam reclinato, & sub medios lumbos pulvinar subjicito, & specillum im-

κατὰ τὸ μῆλον, [11] τὰ σκέλεα τείνουσα τῆς γυναικὸς, καὶ διαστήσας τὸ μὲν ἔνθεν, τὸ δ' ἔνθεν, ἀναστρέφειν αὖ ἄνω καὶ κάτω τὴν μήλην, ἕως ἂν προκύψῃ. [12] ἐπὴν δὲ ἴδῃς ἐν τῷ στόματι τῆς μήτρης, ἢν μὲν μὴ προσίσχηται ἐν τῷ ἰξίᾳ, καὶ ἐθέλῃ ἐπακολουθῆσαι, πάντων ἄριστον τοῦτο. [13] ἢν δὲ ἐνίσχηται ἐν τῷ στόματι τῆς μήτρης, λαβίδι ὡς λεπτοτάτῃ προμηθεόμενος ἐξελκύσαι ἡσυχῇ καὶ μὴ βιαίως. [14] καὶ μετὰ ταῦτα ξυγκοιμάσθω τῷ ἀνδρί.

XXVII. Ἢν κυούσῃ ἐπιφαίνηται, ὀνίδα ξηρὴν, μίλτον, ὄστρακον σηπίης τρίψας λεῖα, ἐς ῥάκος ἀποδήσας προστιθέναι. [2] γλυκυσίδης τοὺς μέλανας κόκκους τρίβων ἐν οἴνῳ διδόναι πιεῖν κεκρημένῳ. [3] Ἢν δὲ συνεῦσα ἀλγέῃ τὴν νειαιρὴν γαστέρα, καὶ αἷμά οἱ φανῇ νεαρὸν, [4] λίνον κόψας, καὶ βρύον ἁπαλὸν, καὶ χηνὸς ἔλαιον, ταῦτα μίξας, οἴνῳ λευκῷ ὑδαρεῖ, δὶς διδόναι πίνειν. [5] Ἢν αἱ μῆτραι περιέλθωσιν ἔξω τῆς φύσιος, [6] πῦρ ἔχει, μάλιστα μὲν τὰ αἰδοῖα καὶ τὴν ἕδρην, [7] καὶ τὸ οὖρον στάζει κατ' ὀλίγον, καὶ δάκνεται τὰ αἰδοῖα. [8] ταῦτα πάσχει, ἢν δὲ ἐκ τόκου ἐοῦσα τῷ ἀνδρὶ μὴ παρακοιμᾶται. [9] ὅταν οὕτως ἔχῃ, μύρτα καὶ λωτοῦ πρίσματα ἑψήσας ἐν ὕδατι, καὶ θεὶς τὸ ὕδωρ ἐς τὴν αἰθρίην, προσχέεσθω ὡς ψυχρότατον ἐς τὰ αἰδοῖα, [10] καὶ τρίβων λεῖα προσπλάσσειν. [11] ἔπειτα ὕδωρ πινέτω φακῶν, μέλι καὶ ὄξος ξυμμίσγουσα, ἐμέτω, ἕως ἂν αἱ μῆτραι ἀνασπασθῶσιν. [12] καὶ τὴν κλίνην ὑψηλοτέρην πρὸς ποδῶν κεῖσθαι. [13] ὑποθυμιῆν δὲ, ὑπὸ [μὲν] τὰ αἰδοῖα, κακώδεα, ὑπὸ δὲ τὰς ῥῖνας, εὐώδεα. [14] σιτίοισι δὲ χρῆσθαι ὡς μαλθακωτάτοισι καὶ ψυχροῖσι. [15] καὶ οἶνον ὑδαρέα λευκὸν πινέτω. [16] καὶ

immittito, ita [11] ut cruribus mulieris extentis, & hinc atque illinc diductis, specillum sursum ac deorsum vertas donec promineat. [12] Postquam autem videris in osculo uteri callum, optimum quidem hoc fuerit, si non adhæreat in coxa, sed ultro sequatur. [13] Si ita in osculo uteri inhæret, volsella tenuissima aprehensum extrahere conare, providus ut placide hoc fiat, & non violenter. [14] Et postea viro condormiet.

XXVII. Si prægnanti menses compareant, stercus asininum siccum, & rubricam, & sepiæ testam terito, & linteo illigata apponito. [2] Aut pæoniæ semina nigra, in vino diluto trita bibenda dato. [3] Si vero à coitu imum ventrem dolet, & sanguis recens ipsi appareat, [4] lini semen tusum, & muscum mollem, & adipem anserinum, mixta ac molli lana excepta imponito. [5] Si uteri extra naturam progressi fuerint, [6] calor habet maxime pudenda, & sedem: & urina paulatim destillat & pudendum mordet: [7] patitur autem hæc, si recens ex partu viro condormierit. [8] Quum sic habuerit, myrti baccas & loti ramenta in aqua coquito, [9] & aquam per noctem sub dio exponito, atque sic frigidissimam pudendis affundito, [10] & trita hæc apponito. [11] Postea aquam lentium bibens, melle & aceto ammixtis, vomat donec uteri fuerint retracti: [12] & lectus à pedibus altior sit: [13] & graveolentia sub pudenda suffito, odorata vero sub nares. [14] Cibis utatur quam mollissimis ac frigidis: [15] & vinum aquosum album bibat, [16] & non lavetur,

[16] καὶ μὴ λούεσθαι, μηδὲ τῷ ἀνδρὶ ξυγκοιμάσθω.

XXVIII. Ἢν δὲ παντάπασιν ἐκ τῶν αἰδοίων ἐκπίπτωσιν, [2] ἐκκρέμανται οἷον περὶ ὄσχη, καὶ ὀδύνη λαμβάνει. [3] τοῦτο δὲ, ὅταν ἐκ τόκου ταλαιπωρήσῃ, ὥστε σεῖσαι τὰς ὑστέρας, καὶ τῷ ἀνδρὶ ξυγκοιμᾶται ἐν τῇ λοχείῃ. [4] ὅταν οὕτως ἔχῃ, ψύγματα προστιθέναι πρὸς τὰ αἰδοῖα, καὶ τὰ ἔξωθεν ἀποκαθαίρειν, [5] σίδιον ἐν οἴνῳ μέλανι οἰνώδει ἑψήσας, οὕτω περιπλύνας εἴσω ἀπωθέειν. [6] ἔπειτα μέλι καὶ ῥητίνην συντήξας, ἴσον ἑκατέρου, ἐγχεῖν ἐς τὰ αἰδοῖα. [7] καὶ κεῖσθαι ὑπτίην, ἄνω τὰ σκέλη ἔχουσαν ἐκτεταμένην. [8] κἄπειτα σπόγγους προσθεὶς ἀναδῆσαι ἐκ τῶν ἰξύων. [9] ἕως τ' ἂν δὲ οὕτως ἔχῃ, σιτίων δέον ἀπέχεσθαι, ποτῷ δὲ ὡς ἐλαχίστῳ χρῆσθαι, μέχρις ἂν ἑπτὰ ἡμέραι παρέλθωσι. [10] καὶ ἢν μὲν οὕτως ἐθέλωσιν ἐσιέναι· [11] εἰ δὲ μὴ, ἄκρας περιξῦσαι τὰς μήτρας, καὶ ἀποκλύσαι τῇ πιτύῃ ἐφθῇ. [12] ἔπειτα πρὸς κλίμακα δήσας τοὺς πόδας, κρούειν κατὰ τὴν κεφαλὴν, καὶ τῇ χειρὶ ἐσωθέειν. [13] ἔπειτα ξυνδήσας τὰ σκέλεα ἐπαλλὰξ, ἐᾶν ἡμέρην καὶ νύκτα ἀτρέμα. [14] διδόναι δὲ ὀλίγον χυλὸν πτισάνης. [15] ψυχρὸν δὲ διδόναι μηδέν. [16] τῇ δὲ ὑστεραίῃ ἐγκατακλίνας ἐπὶ τὸ ἰσχίον, σικύην προσβάλλειν ὡς μεγίστην, καὶ ἀνέλκειν πουλὺν χρόνον. [17] καὶ ὅταν ἀφέλῃς, κατακλίνας ἐγκεῖσθαι καὶ προσφέρειν ἄλλο μηδὲν, ἢ τὸν χυλὸν, ἕως τ' ἂν ἑπτὰ ἡμέραι παρέλθωσι. [18] σιτίοισι δὲ ὡς μαλθακωτάτοισι καὶ ἐλαχίστοισι χρῆσθαι. [19] ἢν δὲ ἀποπατεῖν ἐθέλῃ, ἀποπατεέτω ἀνακεκλιμένη, ἕως ἂν τεσσαρεσκαίδεκα ἡμέραι παρέλθωσιν. [20] ἔπειτα ἀνίστασθαι καὶ περιέρχεσθαι

tur, neque cum viro dormiat.

XXVIII. Si vero omnino ex pudendis exciderint, [2] dependent velut scrotum, & dolor corripit. [3] Hoc autem contingit quum ex partu laborarit, & uteros concusserit, & cum viro dormierit in puerperii purgatione. [4] Quum sic habuerit, frigefactoria apponat, & quod foris est depurgatum, [5] ac cum vino nigro vinoso, in quo malum punicum coctum est ablutum, intro detrudat: [6] deinde mel & resina, pari mensura eliquata, in pudenda infundantur: [7] & decumbat supina pedes sursum extentos habens. [8] Postea spongias apponat, & ad lumbos deliget. [9] Quandiu vero sic habuerit, à cibis abstinere oportet: potu vero quam paucissimo uti, donec septem dies prætereant. [10] Et si quidem sic redire voluerint, bene est: [11] sin minus, summas uteri partes deradito, lavato, & cerato picato illinito: [12] deinde pedes ad scalam deligato, scalamque juxta caput pulsato, & cum manu intrudito. [13] Postea crura ipsius alternatim colligato, & diem ac noctem finito in quiete, [14] & modicum ptisanæ succum [15] frigidum dato, aliud autem nihil. [16] Postera die ipsam reclinato, & cucurbitam quam maximam ad coxam affigito, & multo tempore trahere finito: [17] & quum detraxeris, reclinatam jacere finito, & nihil aliud præter ptisanæ succum exhibeto, donec septem præterierint dies. [18] Cibis autem tunc mollissimis ac paucissimis utatur. [19] Si vero ventrem exonerare voluerit, decumbens id faciat, donec quatuordecim dies prætereant. [20] Postea surgat, & quam parcissime deambulet:

χυλὸν ὡς ἐλάχιστον.[21] καὶ μὴ λουέσθω.[22] σιτίοισι ὀλίγοισι χρήσθω.[23] τὰ αἰδοῖα τοῖσι κακώδεσι θυμιήσθω.[24] καὶ, ἐπὴν ἄρχηται περιχωρέειν, τὴν 139 σφενδόνην φορέετω. ἐξαίρεσις τοῦ ἐμβρύου. Ἢν δὲ ἔμβρυον ἐναποθάνῃ ἐν τῇσι γονῇσιν ἐς πλεονα χρόνον χρῆσθαι καὶ ὀλίγον τὸ φαινόμενον κατὰ λόγον θραύοντα. τὸ δέρειον καὶ καταλιπόντα περιελεῖν τῷ σιδήρῳ.

let:[21] & ne lavetur,[22] & cibis modicis utatur: [23] sub pudenda vero suffitus per graveolentia fiat. [24] Et postquam obambulare inceperit, subligar gestet. 110

ΙΠΠΟΚΡΑΤΟΥΣ περὶ ΕΠΙΚΥΗΣΙΟΣ.

HIPPOCRATIS DE SUPERFOETATIONE.

Basil. græc. Foesius sect. III. 41. 260. Basil. lat.

pag 48 Ὁκόταν ἐπικυΐσκηται γυνὴ,[2] ἢν μὲν ἐν τῷ μέσῳ τῆς μήτρης τὸ πρότερον ἔχῃ παιδίον,[3] καὶ τὸ ἐπικύημα περιαπίπτει ὑπὸ τοῦ ἀρχαίου ἐξωθούμενον.[4] ἢν δὲ ἐν τῷ κέρατι τῷ ἑτέρῳ τὸ ἐπικύημα ἔχῃ,[5] ἐκτίκτει ὕστερον οὐ γόνιμον,[6] ἐπὴν χαλάσῃ ἡ μήτρη καὶ ὑγρανθῇ, τοῦ γονίμου ἀπολυθέντος.[7] ἢν δὲ μὴ αὐτίκα ἀποχωρέῃ τὸ ἐπικύημα,[8] ὀδύνας τε παρέχει,[9] καὶ ῥεῦμα δυσῶδες,[10] καὶ πυρετὸν[11] καὶ οἰδεῖ τὸ πρόσωπον,[12] καὶ τὰς κνήμας, καὶ τοὺς πόδας.[13] καὶ ἢν διαφθαρῇ,[14] ἀσιτέει ἕως ἂν ἐκπέσῃ.

II. Ἐπικυΐσκονται δὲ τῶν γυναικῶν, ὧν ἂν ὁ στόμαχος μετὰ τὸ πρότερον κύημα ξυμμεμύκῃ,[2] κάρτα ἐπιφαινομένων τῶν σημείων.[3] συμμεμύκει δὲ μετὰ τὰ ἐπικυήματα τὰ ἐπιτικτόμενα ὕστερον,[4] ἢν μήπω διάκρισιν ἔχῃ,[5] ἀλλὰ σὰρξ ᾖ.[6] οἰδέει μὲν οὔ,[7] ἀλλὰ καταση̃πεται μέχρις ἂν ἐξέλθῃ τῆς μήτρης.[8] ἢν τινι ἂν ἐκδύῃ τὸ χορίον τοῦ παιδίου ἐν τῇσι μήτρῃσι,[9] πρὶν ἔξω ἀρχε-

Quum superfœtarit[1] mulier,[2] si primum puerum in medio uteri habuerit,[3] superfœtatio elabitur, à primo ac veteri expulsa.[4] Si vero in altero cornu superfœtationem habuerit,[5] posterius ipsam insuper parit non vitalem,[6] nimirum vitalitate, ubi uterus laxatus & humectus fuerit, exsoluta.[7] Si vero non statim secedat superfœtatio,[8] dolores exhibet,[9] & fluxum fœtidum,[10] ac febrem:[11] & facies intumescit,[12] tibiæque ac pedes:[13] & si pereat,[14] cibum aversatur donec exciderit. 111 333 pag 66

II. Superfœtant autem mulieres, quarum stomachus id est uteri os, post primum conceptum non clauditur[2] ita valde, idque apparentibus signis constat,[3] clauditur autem post superfœtationes, quæ posterius insuper pariuntur.[4] Si superfœtatio nondum partium discriminationem habeat,[5] sed caro sit,[6] non quidem intumescit,[7] sed putrescit donec ex utero exeat.[8] Si cui exeat secunda pueri in utero,[9] prius-

ἀρχὴν χωρέει τὸ παιδίον, [10] δυστοκεῖ, [11] καὶ μᾶλλον ἐπικινδύνως, ἢν μὴ ἡ κεφαλὴ ἡγῆται. [12] ἢν δὲ ἐς τὸ ἔξω ξὺν τῷ χορίῳ τὸ παιδίον, [13] καὶ προχωρήσῃ πρὸς τὸν στόμαχον [14] ἐκδύῃ τοῦ χορίου ῥαγέντος, [15] εὐτοκεῖ μᾶλλον. [16] ἢν τε καὶ τὸ μὲν παιδίον θύραζε χωρέῃ, [17] τὸ δὲ χορίον ἴσχηται, [18] καὶ ἀνασπᾷ ἑωυτὸ, [19] καὶ μένῃ αὐτοῦ. [20] ὁκόταν οὐ γόνιμον γένηται τὸ παιδίον, [21] τούτου ἡ σὰρξ ὑπερέχει τῶν ὀνύχων, [22] οἱ δὲ ὄνυχες ἐλλείπουσι τῶν χειρῶν καὶ τῶν ποδῶν.

III. Ὁκόταν γονίμου γινομένου τοῦ παιδίου χεὶρ ὑπερέχῃ, [2] πρῶτον ἀνωθέειν ὀπίσω, μέχρις ἂν ἀπώσῃς. [3] καὶ ἢν ἀμφοτέρας, ἀμφοτέρας ἀνῶσαι. [4] καὶ ἢν τὸ σκέλος ὑπερέχῃ, ἀνωθέειν καὶ τοῦτο. [5] ὁκόταν δὲ ἀμφότερα τὰ σκέλεα προφανέντα μένῃ, [6] καὶ μηδ' ἑτέρωσε προχωρέῃ, [7] πυριήματι δέον χρῆσθαι, ἀφ' ὅτου ὑγροτάτη ἔσται ἡ ὑστέρη. [8] ὀδμὴν δὲ ἐχέτω τὸ πυρίημα. [9] καὶ ὁκόταν ἡ μὲν κεφαλὴ προφανῇ, τὸ δ' ἄλλο σῶμα ἐνῇ, καὶ ὧδε πυριῆν. [10] καὶ ὁκόταν τὸ μὲν ἐν τῇσι μήτρῃσι τοῦ σώματος, τὸ δὲ ἐν τοῖσιν αἰδοίοισιν, τὸ δὲ ἔξω τῶν αἰδοίων οἰδέῃ καὶ μένῃ, καὶ οὕτως πυριῆν. καὶ ἢν μὲν ἀπὸ τῆς πυριήσιος ἀποχωρήσῃ. [11] εἰ δὲ μὴ, περιαλεῖψαι τὸ στόμα τῆς μήτρης ἐλατηρίῳ παχεῖ, διεὶς ὕδατι, ὅπως ὠδῖνα ἐμποιήσῃ. [12] καὶ ἀπὸ τῶν ποτῶν καὶ ἐδεσμάτων, ὠδῖνα ἐμποιέειν. [13] καὶ τὰ αἰδοῖα αὐτὰ ἀλείφειν κηρωτῇ, ἢν σοι δοκέῃ ξηρότερα εἶναι τοῦ καιροῦ.

IV. Ὁκόταν τοῦ παιδίου τῆς κεφαλῆς προφανείσης ἐκ τοῦ στομάχου, μηκέτι ἐθέλῃ τὸ ἄλλο σῶμα προ-

priusquam puer foras procedere incipit, [10] ægre parit: [11] & magis adhuc periculose, si caput non præcedat. [12] Si vero alicui una cum secunda puer foras exierit, [13] & ad os uteri progressus, [14] rupta secunda emerserit, [15] magis facile parit. [16] Itemque si puer quidem foras prodit, [17] secunda vero adhærescit, [18] & seipsam retrahit, [19] atque isthic manet. [20] Quum puer non vitalis futurus nascitur, [21] caro ipsius ungues supereminet, [22] ungues vero tum in manibus, tum in pedibus deficiunt.

III. Quum vitali puero nascente manus præminuerit, [2] primum retro retrudenda est, donec retruseris: [3] & si ambæ præminuerint, ambas retrudes. [4] Et si crus præminuerit, etiam hoc repelles. [5] Ubi vero ambo crura in propatulo manserint, [6] neque alio processerint, [7] fomento uti opus est, à quo humectissimus uterus reddatur: [8] habeat autem odorem ipsum fomentum. [9] Et quum caput in propatulo fuerit, reliquum vero corpus intus erit, etiam sic fomento uteris. [10] Et quum pars corporis in utero, pars in pudendis, pars extra pudenda intumescit ac manet, etiam sic fomentum adhibebis. Et si quidem à fomento processerit, satis est: [11] sin minus, os uteri elaterio crassa aqua diluto oblines, quo partum producat. [12] Sed & à potibus ac cibis partus promovendus est, [13] & pudenda ipsa cerato illinenda, si ficciora quam ex re est, esse tibi videbuntur.

IV. Quum pueri capite ex stomacho apparente, reliquum corpus procedere non vult, puer autem mortuus est, digitos aqua made-

προχωρέειν, τὸ δὲ παιδίον τεθνήκῃ, τοὺς δακτύλους βρέξας ὕδατι μεταξὺ τοῦ στομάχου καὶ τῆς κεφαλῆς παραβύσας τὸν δάκτυλον, ἐν κύκλῳ περιαγάγειν, εἶθ' ὑποβάλλων τὸν δάκτυλον ὑπὸ τὸ γένειον, διαβύσας ἐς τὸ στόμα ἔξω ἑλκέειν. [2] ὁκόταν δὲ τὸ μὲν ἄλλο σῶμα θύρηφι ᾖ τοῦ αἰδοίου, ἡ δὲ κεφαλὴ εἴσω ἐπὶ πόδας φερομένου τοῦ ἐμβρύου, ἐπὴν περιαγάγῃς τὸν δάκτυλον ἐν κύκλῳ ἀμφοτέρας τὰς χεῖρας παρεὶς μεταξὺ τοῦ στομάχου καὶ τῆς κεφαλῆς, βρέξας ὕδατι ἐξελκύσαι. [3] ἢν δὲ τοῦ στομάχου ἔξω ᾖ, τοῦ δ' αἰδοίου εἴσω, παρεὶς τὰς χεῖρας περιλαβὼν τὴν κεφαλὴν ἐξελκέειν. [4] ἢν δὲ τὸ ἔμβρυον ἔνδον μένῃ τεθνηκὸς, καὶ μὴ δύνηται μήτε διὰ φαρμάκων ἐκπεσεῖν, κατὰ φύσιν, χρίσας τὴν χεῖρα κηρωτῇ, ἥτις ὀλισθηρὴ μάλιστα, ἔπειτα ἐνείρξας ἐς τὴν μήτρην, διαλύειν τοὺς ὤμους ἀπὸ τοῦ τραχήλου ἐπερείσαντα τῷ μεγάλῳ δακτύλῳ.

V. Ἔχειν δὲ χρὴ πρὸς τὰ τοιαῦτα καὶ ὄνυχα ἐπὶ τῷ δακτύλῳ τῷ μεγάλῳ. [2] καὶ διελόντα ἐξενεγκεῖν τὰς χεῖρας. [3] ἔπειτα πάλιν ἐνείρξαντα τὴν κοιλίην ἀναχίσαι. [4] καὶ ἀναχίσαντα, ἡσυχῇ ἐξελεῖν τὰ ἐντόσθια. [5] ἔπειτα ἐξελόντα συντρῖψαι τὰ πλευρὰ, ὅκως συμπεσὸν τὸ σωμάτιον, (εὐσταλέστερον γένηται), καὶ ῥᾷον ἐξίῃ, μὴ ὀγκῶδες ἐόν. [6] τὸ δὲ χορίον ἢν μὴ ῥηϊδίως ἐκπίπτῃ, μάλιστα μὲν ἐᾶν πρὸς τὸ ἔμβρυον προσκρεμάμενον. [7] Ἐπὶ δὲ λεχὼ προκαθῆσθαι ὥσπερ ἐπὶ λασάνου. ἔστω δὲ κατεσκευασμένον ὑψηλόν τι, ἵνα τὸ ἔμβρυον ἐκκρεμάμενον συνεπισπᾶται τῷ βάρει ἔξω. [8] ἡσυχῇ δὲ τοῦτο ποιέειν, μὴ πρὸς βίην, ὅκως μὴ ἀποσπασθὲν παρὰ φύσιν φλεγμονὴν

madefactos inter ſtomachum ac caput immittito, & in orbem circumducito, deinde ſubditum ſub mentum digitum in os intrudito, ac foras trahito.[2] Quum vero reliquum corpus extra pudenda fuerit, caput autem intus, in pedes videlicet prodeunte fœtu, poſtquam digitos in orbem circumduxeris, ambas manus inter ſtomachum ac caput aqua præmadefactas immittito ac extrahito. [3] Si vero extra ſtomachum fuerit, verum intra pudenda, immiſſis manibus apprehenſum capite educito. [4] Si porro fœtus intus maneat mortuus, & non poſſit neque ſponte, neque per medicamenta juxta naturam excidere, manu cerato maxime lubrificante uncta, deinde in uterum intruſa, humeros à collo magni digiti conamine deducito.

V. Oportet autem ad hujuſmodi etiam unguem inſtrumentum in magno digito habere, [2] & diſtractione facta manus educere, [3] deinde rurſus immiſſa manu, ventrem diffindere, [4] & ex diffiſſo inteſtina ſenſim eximere: [5] deinde his exemptis latera confringere, quo conſidens corpuſculum levius ac expeditius fiat, & facilius exeat non tumidum exiſtens. [6] Cæterum ſi ſecunda non facile excidat, maxime quidem ad fœtum appendere ſinenda eſt, & puerpera velut ſuper ſella ventri exonerando deſtinata, laſanum Græci vocant, locanda. [7] Sit autem in altum extructa ſella, vel ſimile quiddam, quo fœtus dependens gravitate ſua ſecundam ſimul extrahat. [8] Senſim autem hoc faciendum eſt, non violenter, ne præter naturam divulſa, inflam-

μοτὴν ἐμποιήσῃ. ⁹ ὑποκεῖσθαι δὲ χρὴ τῷ ἐμβρύῳ εἴρια, ὡς ὀγκωδέστατα νεόξαντα, ἵνα κατὰ μικρὸν ἐνδιδῷ. ἢ ἀσκία δύο ἐζευγμένα ὕδατος μεστά. ἐπάνω δὲ τῶν ἀσκίων εἴρια· ἐπάνω δὲ τούτων τὸ ἔμβρυον. ἔπειτα τρυπῆσαι ἑκάτερον τῶν ἀσκίων γραφίῳ, ὅκως ῥυῇ κατὰ μικρὸν τὸ ὕδωρ. ἐκρέοντος δὲ τοῦ ὕδατος, ἐνδιδῶσιν οἱ ἀσκοί. ἐνδιδόντων δὲ, ἐπισπᾶται τὸ ἔμβρυον τὸν ὀμφαλόν. ὁ δὲ ὀμφαλὸς ἐφέλκει τὸ χορίον. ¹⁰ ἢν δὲ μὴ δύνηται καθῆσθαι ἐπὶ τοῦ λασάνου, ἐπ' ἀνακλίτου δίφρου τετρυπημένου καθήσθω. ¹¹ ἢν δὲ ἀσθενέῃ τὸ σύνολον καθῆσθαι, τὴν κλίνην ὡς ὀρθοτάτην ἀπὸ τῶν πρὸς τῆς κεφαλῆς μερῶν ἄρσαντες, ἵνα κάτω ῥέπῃ ὡς μάλιστα καὶ ξυνεπισπᾶται τὸ κάτω βάρος. ¹² ὑπὸ δὲ τὰς μασχάλας δῆσαι τὴν λεχὼ, ἔξωθεν τῶν ἱματίων, πρὸς τῇ κλίνῃ ταινίῃ, ἢ ἱμάντι πλατεῖ, καὶ μαλθακῷ· ὅκως μὴ, ὀρθῆς ἐούσης τῆς κλίνης, κάτω τὸ σῶμα φέρηται. ¹³ τὸν αὐτὸν δὲ τρόπον, ἢν ἀπορραγῇ ὁ ὀμφαλὸς, ἢν ἀποτέμῃ τις πρὸ τοῦ καιροῦ, βάρεα σύμμετρα ἐκκρεμαννύντα, τὴν ἐξαγωγὴν τοῦ χορίου ποιέεσθαι. βελτίστη γὰρ αὕτη θεραπείη τῶν τοιῶνδε γίνεται, καὶ ἥκιστα βλάπτει.

VI. ¹ Ἢν δέ τινι ἐναποθάνῃ τὸ παιδίον ἐν τῇ μήτρῃ καὶ μὴ ἐξέλθῃ, ὑγρῆς ἐούσης τῆς μήτρης, καὶ μὴ ἐχούσης ἔτι τὸ ὑγρὸν, ἀλλὰ ξηρανθῇ ἡ μήτρη, πρῶτον μὲν οἰδίσκεται αὐτό· ἔπειτα τήκεται καὶ σήπεται τὰς σάρκας, καὶ ῥεῖ θύρηθι. ὕστατα δὲ τὰ ὀστέα χωρέει. ² καὶ ῥόος ἐνίοτε λαμβάνει· ἢν

μὴ

mationem inducat. ⁹ Substernere igitur lanas molles quam maxime recens carminatas fœtui oportet, quo paulatim remittant ac considant. Aut utres duos copulatos aqua plenos supponere, & supra utres lanas insternere, & supra has puerum: deinde utrumque utrem stilo perforare; quo paulatim aqua effluat. effluente autem aqua, utres remittunt ac considunt: considentibus autem utribus, fœtus umbilicum attrahit, umbilicus vero attrahit secundam. ¹⁰ Si vero supra lasanum, vel simile quiddam, puerpera sedere nequeat, super reclinatam sellam perforatam collocetur. ¹¹ Si vero adeo debilis est, ut omnino sedere non possit, lectum quam erectissimum à capitis partibus struemus, ut deorsum declinet ac repat, & sic fœtus gravitas quam maxime simul secundam trahat. ¹² Verum puerperam sub alis, foris ad lectum fascia, aut loro lato ac molli, alligare oportet, ut ne quum erectus sit lectus, corpus ipsius deorsum feratur. ¹³ Juxta eundem autem modum etiam si umbilicus abruptus sit, aut etiam ante tempus recisus, moderate gravibus ponderibus appensis, secundæ eductionem facere oportet. Optima enim hæc curatio in talibus existit, & minime lædit.

VI. Si cui puer in utero immoriatur, & non egrediatur humido utero existente; & quum jam non habeat amplius humiditatem, sed siccatus fuerit uterus, primum quidem intumescit puer, deinde colliquescunt ac putrescunt carnes, foraſque effluunt, postremum autem ossa procedunt: ² & fluxus aliquando

ἢν μὴ πρότερον ἀποθάνῃ. [3] ὁκόταν τὸ παιδίον ἐπιτεθνήκῃ, καὶ τοῖς ἄλλοις ἐστὶ τεκμήρασθαι σημείοις, καὶ κελεύειν, τοτὲ μὲν ἐπὶ δεξιὰ κεῖσθαι, τοτὲ δὲ ἐπ' ἀριστερὰ μεταβάλλειν. μεταπίπτει γὰρ ἐν τῇ μήτρῃ τὸ παιδίον, ὁποτέρωθι ἂν καὶ ἡ γυνὴ, ὥσπερ λίθος ἢ ἄλλο τι, ἢν τεθνήκῃ· καὶ τὸ ἦτρον ψυχρὸν ἔχει. [4] ἢν δὲ ζώῃ, τό τε ἦτρον θερμὸν ἔχει, καὶ ἡ μὲν γαστὴρ ὅλη μεταπίπτει περιφερομένη μετὰ τοῦ ἄλλου σώματος· ἐν αὐτῇ δ' οὐδὲν μεταπίπτει χωρὶς τοῦ ἄλλου σώματος.

VII. Ἤν τινι ἂν ὠδινούσῃ πρὸ τοῦ παιδίου ῥόος πολλὸς αἱματώδης ἔλθῃ ἀνώδυνος, κίνδυνος τὸ παιδίον τεθνηκὸς ἀπολυθῆναι, ἢ μὴ βιώσιμον γενέσθαι. [2] κυουσέων τῶν γυναικῶν, ὁ στόμαχος τῶν πλείστων ἰσχνὸς τυγχάνει ἐὼν, πρὸ τοῦ τόκου. [3] κύουσα ἡ γυνὴ, ἢν μὴ λαγνεύηται, ῥηΐτερον ἀπολυθήσεται τοῦ τόκου. [4] ἣ τὰ δίδυμα κύουσα τίκτει τῇ αὐτῇ, ὥσπερ συνέλαβεν· ἔχει δὲ ἐν χορίῳ τὰ παιδία ἀμφότερα. [5] γυναικὶ δυστοκεούσῃ, ἢν τὸ παιδίον ἐν τῇσι γονῇσιν ἔχηται καὶ μὴ εὐπόρως ἐξέλθῃ, ἀλλὰ σὺν πόνῳ καὶ μηχανῇσιν ἰητροῦ, τοιαῦτα τὰ παιδία ἀρτίζωα. τούτων οὐ χρὴ ὀμφαλὸν ἀποτέμνειν πρὶν ἂν οὐρήσῃ, ἢ πτάρῃ, ἢ φωνήσῃ, ἀλλὰ ἐᾶν. παραχωρῆσαι δὲ τὴν γυναῖκα ὡς ἐγγυτάτω τοῦ παιδίου. καὶ ἢν διψῇ, πινέτω μελίκρητον. [6] καὶ ἢν ὁ ὀμφαλὸς ἐμφυσῆται ὥσπερ στόμαχος, καὶ κινῆται, ἢ πταρῆται τὸ παιδίον, ἢ φωνὴν ῥήξῃ, καὶ τότε ἀποτάμνειν ἀναπνέοντος τοῦ παιδίου. [7] ἢν δὲ μὴ φυσῆται ὁ ὀμφαλὸς, μηδὲ κινῆται, χρόνου ἐγγινομένου, βιώσεται.

do corripit, si non prius moriatur. [3] Quum puer immortuus fuerit, tum aliis signis conjectare id licet, tum jubere, ut aliquando in dextro latere jaceat, aliquando in sinistrum transmutet. Translabitur enim in utero puer eo quo mulier se vertit, velut lapis, aut aliud quiddam, si mortuus fuerit, & pectinem frigidum mulier habet. [4] Si vero vivat, & pecten calidus est, & venter totus translabitur una cum reliquo corpore extentus, & in ipso nihil translabitur absque reliquo corpore.

VII. Si cui ex partu laboranti fluxus multus sanguinolentus citra dolorem, ante puerum prodeat, periculum est puerum mortuum exolvendum esse, & non vitalem processurum. [2] Prægnantibus mulieribus plerisque stomachus uteri prope extat ante partum. [3] Mulier prægnans si non coitu utatur, facilius à partu liberabitur. [4] Quæ gemellos gestat, eadem die parit velut concepit, habet autem utrosque pueros in una secunda. [5] Muliere ægre pariente, si puer in genitalibus locis hæreat, & non facile exeat, sed cum labore ac medici machinamentis, tales pueri modicæ vitæ sunt. horum umbilicum secare non oportet, priusquam mingant, aut sternutent, aut vociferentur, sed sinendi sunt; & mulier proxime apud puerum permaneat: & si sitierit, aquam mulsam bibat: [6] si umbilicus infletur velut stomachus, & moveatur, aut puer sternutet, aut vocem rumpat, tunc sane secetur dum puer respirat. [7] si vero non infletur umbilicus, neque moveatur, tempore accedente vivet.

ΙΙΧ. Κυΐσκειν γυναῖκα ἢν μὴ ἄλλως γινώσκῃς, ἀλλ' οἱ ὀφθαλμοὶ ἑλκυσμένοι καὶ κοιλότεροι γίνονται, καὶ τὰ λευκὰ τῶν ὀφθαλμῶν οὐκ ἔχει τὴν φύσιν τῆς λευκότητος, ἀλλὰ πελιδνότερα. ² Ἤν τις ἐπίτοκος ἐοῦσα, κοίλη ᾖ τοὺς ὀφθαλμοὺς, καὶ ὑποιδέῃ τὸ πρόσωπον, καὶ ὅλη αὐτὴ καὶ οἱ πόδες οἰδέουσιν, ὥσπερ ὑπὸ φλέγματος λευκοῦ ἐχομένη φαίνεται. καὶ τὰ ὦτα λευκὰ, καὶ τὴν ῥῖνα ἄκρην λευκὴν, καὶ τὰ χείλεα πελιδνὰ, αὕτη τεθνηκότα φέρει ἃ τίκτει ἢ ζῶντα, πονηρὰ καὶ οὐ βιώσιμα καὶ ἄναιμα ὡς νοσηλεύοντα. ἢ προτίκτει οὐ γόνιμα. ³ Ταύτῃ τὸ αἷμα ἐξυδάτωται. δεῖ οὖν τῇ τοιαύτῃ μετὰ τὸν τόκον, τὰ εὐώδεα προστιθέναι καὶ ἐσθίειν καὶ πίνειν εὐώδεα. Καὶ πρῶτον τοῦ προσώπου ἡ ῥὶς, ἐπίσημος γίνεται ἄκρη καὶ χρῶμα λαμβάνει. ⁴ Ἤν τινι κυϊσκούσῃ γῆν ἐπιθυμῇ ἐσθίειν ἢ ἄνθρακας, καὶ ἐσθίονται, ἐπὶ τῆς κεφαλῆς τοῦ παιδίου φαίνεται, ὁκόταν τεχθῇ, σημεῖον ἀπὸ τῶν τοιούτων.

ΙΧ. Γυναικὶ χρὴ εἰδέναι τὸν μαζὸν ὁκότερός ἐστιν αὐτῇ μέζων. ἐκεῖθεν γὰρ τὸ ἔμβρυον. ² Ὁμοίως δὲ καὶ τὸν ὀφθαλμόν. ἔσται γὰρ μέζων καὶ λαμπρότερος τὸ πᾶν εἴσω τῶν βλεφάρων, ὁκότερος ἂν ὁ μαζὸς μέζων. ³ Ἤν τινι καὶ ἀπὸ προσθέτων μὴ πάνυ ἰσχυρῶν ὀδύναι ἐς τὰ ἄρθρα ἀφικνῶνται καὶ βρυγμὸς ἔχει καὶ σκορδινᾶται καὶ χασμᾶται, ἐλπὶς ταύτην κυῆσαι μᾶλλον, ἢ ἥτις αὖ τουτέων μηδὲν πάσχῃ. ⁴ Γυνὴ ἥτις παχεῖα παρὰ φύσιν ἐοῦσα καὶ πίειρα, καὶ φλέγματος ἐπλήσθη, οὐ κυΐσκεται τοῦτον τὸν χρόνον. ⁵ Ἥτις δὲ φύσει τοιαύτη ἐστὶ κυΐσκεται τουτέων εἵνεκεν, ἢν μή τι

IIX. Prægnantem mulierem si aliter non cognoscas, oculi tracti & caviores fiunt, & candidum oculorum albedinis naturam non habet, sed lividius existit. ² Si qua partui vicina sit, & oculos cavos habeat, & facies intumescat, & ipsa tota itemque pedes tument, ut velut pituita alba apprehensa appareat, & habeat aures albas, & summum nasum album, & labia livida, ea ipsa mortuos gestat quos pariet, aut vivos prave, & non vitales, & exangues, utpote morbosos, aut prius peperit non vitales. ³ Huic sanguis in aquositatem conversus est. Oportet igitur tali post partum odorata in vulvam apponere, & comedere ipsam ac bibere odorata. & primum in facie nasus summus insignis evadit, ac colorem recipit. ⁴ Si qua prægnans terram edere concupiscat, aut carbones, eaque edit, in capite pueri ubi natus fuerit, signum à talibus apparet.

IX. Mulierem id nosse expedit, utra mamma ipsi major est, illic enim fœtus existit. ² Similiter autem & oculum considerabit. Major enim & splendidior omnino erit intra palpebram, etiam ejus partis, cujus mamma major existit. ³ Si cui ab appositis in vulvam non valde fortibus, dolores in articulos perveniant, & stridor dentium corripiat, & membris tendatur, ac oscitat, hanc magis concepisse spes est, quam eam quæ nihil tale patiatur. ⁴ Mulier quæ præter naturam crassa est, ac pinguis, & pituita repleta, non concipit hoc tempore. ⁵ Quæ vero ex natura talis est, horum gratia concipit, si non aliud quiddam

μήτι ἄλλο κωλύῃ αὐτήν. ⁶ τῶν γυναικῶν τῇσι πλείστῃσιν ὅταν τὰ ἐπιμήνια μέλλῃ φαίνεσθαι, ὁ στόμαχος αὐτῆς ἑωυτὸν ἀνέσπακε μᾶλλον ἢ ἄλλοτε.

X. Γυνὴ ἥτις ἀρικύμων ἐοῦσα παύεται κυϊσκομένη, φλεβοτομείσθω δὶς τοῦ ἐνιαυτοῦ ἀπὸ τῶν χειρῶν καὶ σκελέων. ² ἢν τινι ὀδύναι ἐν τῷ ἰσχίῳ, ἢ ἐν τῇ κεφαλῇ, ἢ ἐν χερσὶν, ἢ ἄλλοθί που τοῦ σώματος, ὅταν δὲ κύῃ ἐκλείπωσιν, ὁκόταν δ' ἀπολυθῇ ἀπὸ τῶν μητρέων, ἐνέωσι· ξυμφέρει τὰ εὐώδεα καὶ πίνειν καὶ προστίθεσθαι πρὸς τὸ στόμα τῆς μήτρης. ³ ὅταν τινὰ ἰητρεύῃς γυναῖκα κυήσιος εἵνεκεν, ὁκόταν δοκέῃ κεκαθάρθαι, καὶ τὸ στόμα καλῶς ἔχῃ τῆς μήτρης, ⁴ λουέσθω καὶ σμηχέσθω τὴν κεφαλήν. ⁵ μὴ ἀλειφέσθω δὲ μηδενί. ⁶ ἔπειτα ὀθόνιον ἀνόδμον περιθεῖσα περὶ αὐτὰς τὰς τρίχας πεπλυμένον, κεκρυφάλῳ πεπλυμένῳ, ἢ μηδενὸς ὄζοντι, καταδησάσθω, τὸ ὀθόνιον ἐπιθεῖσα πρῶτον. ⁷ ἔπειτα ἀναπαυέσθω προσθεμένη χαλβάνην πρὸς τὸν στόμαχον, ἑψήσασα καὶ μαλθάξασα ἐς πῦρ, καὶ μὴ εἰς τὸν ἥλιον. ⁸ ἔπειτα πρωῒ ἀποδυσαμένη τὸν κεκρύφαλον μετὰ τοῦ ὀθονίου, ὀσφρανθῆναι παρεχέτω τινὶ τὴν αὐτῆς κορυφήν. καὶ ἢν μὲν ὄζῃ, καλῶς ἔχει τῆς καθάρσιος. ἢν δὲ μὴ, κακῶς. ⁹ ἄσιτος δὲ ταῦτα ποιείτω. καὶ ἢν μὴ τίκτουσα ᾖ, οὐδέποτε ὄζει, οὔτε καθαιρομένη, οὔτ' ἄλλως. ¹⁰ οὐδ' ἢν κυεύσῃ προσθῇ, οὐδ' οὕτως καλῶς ὄζει. ¹¹ ἥτις δὲ κυΐσκεται θαμινῶς καὶ ἀρικύμων ἐστὶ καὶ ὑγιαίνει, ἢν μὴ προσθῇς μηδὲ καθήρῃς, ὄζει αὐτῆς ἡ κορυφὴ, ἄλλο δὲ οὐδέν.

dam ipsam impediat. ⁶ Mulieribus plerisque quum menses appariturі sunt, stomachus uteri in seipsum contrahitur, magis quam alias.

X. Mulier quæ facile concipiebat, si prægnans esse desiit, bis per annum à manibus ac cruribus venam secari sinat. ² Si cui dolores in coxendice, aut in capite, aut manibus, aut aliqua alia corporis parte fuerint: quum vero prægnans est desinunt, conceptu autem ab utero exoluto rursus insunt: odorata & bibere, & ad uteri os apponere conducit. ³ Quum mulieri alicui conceptus gratia medeberis, ubi purgata esse videbitur, & os uteri recte habuerit, ⁴ lavetur, & caput confricetur, ⁵ nullo autem unguine illinatur. ⁶ deinde linteum inodorum lotum circum capillos ipsos circumdatum, reticulo loto aut nihil olenti obliget, ita ut primum linteum ipsum capiti imponatur, ⁷ postea quiescat galbano ad uteri stomachum apposito, quod coctum ac mollitum sit ad ignem, & non ad solem. ⁸ Deinde mane deposito reticulo cum linteo, verticem suum alicui olfaciendum exhibeat: & si quidem oluerit, probe purgata est, sin minus, male. ⁹ Hæc autem jejuna faciat. & si non fœcunda fuerit, nunquam olebit, neque purgata, neque alias: ¹⁰ & si prægnanti idem medicamentum apponatur, neque sic probe olebit. ¹¹ Quæ vero prægnans futura est frequenter, & facile concipit, ac sana existit, etiam si non apposueris neque purgaveris, vertex ipsius olebit, aliud vero nihil.

XI. Ὅταν δὲ δοκέῃ καλῶς ἔχειν πάντα, καὶ δέῃ παρὰ τὸν ἄνδρα ἐλθεῖν, ἡ μὲν γυνὴ, ἄσιτος ἔστω· ὁ δὲ ἀνὴρ, ἀθώρηκτος ψυχρῷ λελουμένος, καὶ σιτηθεὶς τὰ ξύμφορα. [2] καὶ ἢν γνῷ ξυλλαβοῦσα τὴν γονὴν, μὴ ἔλθῃ τοῦ χρόνου πρὸς τὸν ἄνδρα, ἀλλ' ἡσυχαζέτω. γνώσεται δὲ, ἢν μὲν ὁ ἀνὴρ φῇ ἀφιέναι, ἡ δὲ γυνὴ ἀγνοεῖ ὑπὸ ξηρότητος. [3] ἢν δὲ ἀποδιδοῖ πάλιν ἡ μήτρη τὴν γονὴν ἐς τὰ αἰδοῖα, καὶ γίνηται ὑγρὴ, πάλιν ξυμμίσγεσθαι, μέχρις ἂν συλλάβῃ.

XII. Γυνὴ ἥτις κυΐσκεται μὲν, διαφθείρει δὲ δίμηνα τὰ παιδία, ἀκριβῶς ἐς τὸν αὐτὸν χρόνον, καὶ μήτε πρότερον, μήθ' ὕστερον, καὶ τοῦτο πάθῃ δὶς ἢ τρίς· ἀλλὰ καὶ ἢν τρίμηνα ἢ τετράμηνα, ἢν τι πλείονα χρόνον γεγονότα, διαφθείρῃ, κατὰ τὸν αὐτὸν τοῦτον τρόπον· ταύτῃσιν αἱ μῆτραι οὐκ ἔτι διδόασιν ἐπὶ μεῖζον τοῦ παιδίου αὐξανομένου, καὶ ὑπερβάλλοντος τοῦ ἐκ τοῦ διμήνου, ἢ τριμήνου, ἢ ὁπηλίκου. [2] ἢν ποτε οὖν ἄλλοτε μὲν αὐξάνηται· αἱ δὲ μῆτραι οὐκέτι εἰσὶν ἱκαναὶ, ἀλλὰ κατὰ τοῦτο διαφθείρεται ἐς τὸν αὐτὸν χρόνον. [3] ταύτῃ χρὴ σικύην ἐμποιῆσαι ἐς τὰς μήτρας. δεῖ οὖν ἀποποιῆσαι καὶ φυσῆσαι ὡς μάλιστα προσθέτοισι φαρμάκοισι τοῖσδε. [4] τῆς σικύης τῆς ἀγρίας τὴν ἐντεριώνην κόψαντα διασῆσαι. ἔπειτα ἐν μέλιτι ἑφθῷ μίξαι ὀλίγην πλείονι ὄντι τῷ μέλιτι, καὶ σιλφίου ὀλίγον. τὸ δὲ μέλι καθέφθον ἔστω. τοῦτο περιπλάσαι περὶ μήλην, τὸ πάχος ποιέοντα ὁκόσον παραδέχεται ὁ στόμαχος. προστιθέναι δὲ καὶ πρὸς τὸ στόμα τῆς μήτρης καὶ ὦσαι ὅκως ἂν περήσῃ ἐς τὸ εἴσω τῆς

XI. Ubi autem omnia probe videbuntur, & ad virum accedere oportuerit, mulier ipsa jejuna sit: Vir autem non ebrius, frigida lotus, & commodo alimento nutritus. [2] Et si cognoverit mulier genituram se concepisse, eo tempore virum non accedat, sed quiescat. Cognoscet autem, si quidem vir se emisisse dixerit, ipsa vero præ siccitate ignoraverit. [3] Si vero uterus rursus in pudenda genituram reddat, ipsaque humecta fiant, rursus cum viro coeat, donec concipiat.

XII. Mulier quæ concipit quidem, perdit autem fœtus bimestres, exacte in eodem tempore, & neque prius, neque posterius, atque hoc iterum atque iterum perpessa fuerit, imo si etiam trimestres aut quadrimestres, sive vetustiores perdiderit juxta eundem modum: talibus uteri (puero augescente, & bimestre aut trimestre, aut quantumcunque tempus transgrediente, [2] si quando etiam alias augescit,) in majorem amplitudinem non porriguntur, ita ut non amplius sufficiant capiendo fœtui, sed propterea perditur eodem tempore. [3] Huic cucumerarium medicamentum in uterum dare oportet, ipsumque distendere ac inflare pharmacis appositiis hisce. [4] Cucumeris sylvestris medulla contundatur ac cribretur, deinde modicum de ipsa melle cocto copiosiori misceatur, addito silphio modico: sit autem velut dixi, mel coctum. hoc circum specillum oblinatur; crassitudine formata quantam uteri stomachus suscipere potest: apponatur autem ad os uteri, & impellatur quo in internam

τῆς μήτρης. 5 ὅταν δὲ ἀποτήκῃ τὸ φάρμακον, ἐξελεῖν τὴν μήλην. 6 καὶ τὸ ἐλατήριον ὧδε ποιέων προστιθέναι, καὶ τῆς κολοκυνθίδος τῆς ἀγρίης ὡσαύτως. 7 καὶ ἐσθιέτω τοῦτον τὸν χρόνον σκόροδα ὡς πλεῖστα· καὶ καυλὸν σιλφίου· καὶ ὅ, τι φῦσαν ἐμποιέει ἐν τῇ κοιλίῃ. 8 προστιθέσθω δὲ τὸ πρόσθετον διὰ τρίτης τῆς ἡμέρης, ἕως ἂν δοκέῃ καλῶς ἔχειν, καὶ πλῆθος ὁκόσον προσίηται. 9 τὰς δὲ μεταξὺ μαλθακτηρίοισι χρῆσθαι. 10 ἐπὴν δὲ κατασχῇ τοῖσι μαλθακτηρίοισι τὸ στόμα τῆς μήτρης μετὰ τὸ ἐπιφανῆναι ἐπιμήνια, ὁκόταν δὲ ξηρὴ ᾖ, μίγνυσθαι.

XIII. Ἢν δὲ ἡ μήτρη ἔμπυος γένηται, ἢ μετὰ τόκον ἢ ἐκ διαφθορῆς, ἢ ἄλλως πως, καὶ μὴ ἐν τεύχει ἑτέρῳ καὶ χιτῶνι τὸ πύον ὥσπερ ἐπὶ φύματος ᾖ, ξυμφέρει ταύτῃ μήλην ὑπαλειπτρίδα καθιέναι ἐς τὸ στόμα τῆς μήτρης. 2 ἧσσον γὰρ δεήσεται καύσιος, ἐὰν χωρήσῃ πρὸς τὴν μήλην. 3 ἔπειτα κάμπας τὰς ἀπὸ τῆς τιθυμαλίδος ξυλλέξας, ὥσπερ δὲ κέντρα ἔχουσιν, αὐτὰς ἀποτέμνειν ἡσυχῇ ὅκως ἂν ἡ φορβὴ μὴ ἐκρυῇ. 4 ἔπειτα ξηραίνειν αὐτὰς ἐν ἡλίῳ καὶ τρίβειν. 5 καὶ τοὺς σκώληκας δὲ τοὺς κοπρίους ὡσαύτως ξηραίνειν ἐν τῷ ἡλίῳ, ἔπειτα τρίβειν. καὶ τῆς μὲν κάμπης, δύο ὀβολοὺς σταθμῷ αἰγιναίους· τῶν δὲ σκωλήκων διπλάσιον 6 ἢ ἀννήσου ὀλίγον παραμίξαι, ἢ τῶν τοιουτοτρόπων τινός. κακώδης γὰρ γίνεται. 7 ταῦτα δὲ τρίψας λεῖα, διεὶς οἴνῳ λευκῷ εὐώδει. 8 ἐπὴν πίῃ, βάρος ἐπιγίνεται, καὶ νάρκη ἐμπίπτει ἐν τῇ γαστρί. 9 ἢν οὖν ἐπιγένηται, μελίκρητον.

ternam uteri partem perferret. 5 Quum vero colliquiverit medicamentum, ſpecillum extrahatur. 6 Sed & elaterium hoc modo præparatum apponere potes, ſimiliterque colocynthidem ſylveſtrem. 7 Per hoc autem tempus edat allia quam plurima, & ſilphii caulem, & quicquid flatum in ventre inducit. 8 Hoc appoſititium pharmacum per tertiam diem apponatur, donec probe habere viſa fuerit, copia quantam uterus admittit. 9 Interjectis diebus, mollientibus utendum eſt: 10 poſtquam autem ex mollientibus præparatum fuerit os uteri, poſt menſium apparitionem ubi ſicca fuerit, cum viro commiſceatur.

XIII. Si cui uterus ſuppuratus fiat, aut poſt partum, aut ex abortu, aut quomodocunque alias, & non in vaſe alio ac tunica, velut in tuberculo ſolet, pus fuerit: huic conducit ſpecillum unctorium in uteri os demittere. 2 Minus enim opus fuerit uſtura, ſi ad ſpecillum proceſſerit. 3 deinde erucas à tithymalide colliges: habent autem velut aculeos quoſdam, quos leniter reſcindes, ne pabulum internum ex ipſis elabatur: 4 deinde ſiccabis ipſas in ſole, ac teres. 5 Vermes quoque ſtercorarios ſimiliter in ſole ſiccabis ac teres, & erucæ quidem pondus duorum obolorum Æginæorum, vermium vero dupium miſcebis, 6 modico aniſo addito, aut aliquo ejus generis. Nam mali odoris medicamentum evadit. 7 Hæc autem levia facta ac contrita vino albo odorato diluito. 8 Et poſtquam biberit, gravitas accedit, & torpor in ventrem irruit. 9 Si itaque accedit, aquam mulſam

ἐπιπινέτω ὀλίγον. 10 ἢν κυήσιος δὲ καὶ παιδοποιίης ἥτις δεῖται, καὶ ἄτεκνος ἔωσι, καὶ ἤδη κυήσασα, ἔωσα δὲ τίκτουσα, ἢ ὅταν ὁ στόμαχος ξηρὸς ἢ ἀκρόπαθος, ἢ ξυμμεμύκῃ, καὶ μὴ ὀρθὸς ᾖ, ἀλλὰ πρὸς τὸ ἰσχίον ἀπεστραμμένος τὸ ἕτερον, ἢ ἐς τὸν ἀρχὸν κεκρύφῃ, ἢ ἀνεσπάσθῃ ἑωυτὸν, ἢ τὸ χεῖλος ἐπιβάλλῃ τοῦ στομάχου. 11 ὁκόθεν ἂν ἐφ' ἑωυτὸν, ἢ τρηχὺς καὶ πεπωρωμένος ᾖ· σκληρὸς δὲ γίνεται καὶ ἀπὸ συμμύσιος καὶ ἀπὸ πωρώσιος· ταύτῃσι τὰ ἐπιμήνια οὐ φαίνεται, ἢ ἐλάσσονα τοῦ δέοντος καὶ διὰ πλείονος χρόνου ἐπιφαίνεται.

XIV. Ἔστι δὲ ἐν ᾗσι τὰ ἐπιμήνια καὶ κατὰ ὑγιείην τοῦ σώματος καὶ τῶν μητρέων τὴν ἔξοδον εὑρίσκεται· 2 καὶ κατά γε τὸ ξύμφυτον καὶ δίκαιον καὶ ὑπὸ θερμότητος καὶ ὑγρότητος τῶν ἐπιμηνίων, καὶ τοῦ στομάχου μὴ πάρτα βεβλαμμένου. 3 τὴν δὲ γονὴν διὰ τοῦτο οὐ δέχεται, καὶ τὴν βλάβην, ἥτις αὖ κωλύῃ ἀπὸ τοῦ στομάχου μὴ καλῶς ἔχοντος τοῦ δέχεσθαι. 4 ταύτην χρὴ πυριήσαντα τὸ σῶμα ὅλον, δοῦναι πιεῖν φάρμακον, καὶ καθαρὴν ποιήσασθαι τοῦ σώματος πρῶτον, ἤν τε ἄνω καὶ κάτω δέηται, ἤν τε ἄνω μοῦνον. 5 καὶ ἢν τε ἄνω διδῷς τὸ φάρμακον, μὴ πυριῆν [πρὸ] τῆς καθάρσιος. 6 πυριήσας δὲ, μεταπίσαι κάτω. 7 ἢν δὲ μὴ δοκέῃ δεῖσθαι ἀνακαθαρτικοῦ, προπυριήσας, κάτω πίσαι.

XV. Ὅταν δὲ δοκέῃ καλῶς

mulsam modicam insuper bibat. 10 Si qua liberis carens, impraegnatione ac puerorum generatione indigeat, atque ea jam praegnans fuit ac peperit, & hoc ipsi contingat, aut quum stomachus uteri siccus, aut summa parte affectus, aut conclusus fuerit, aut non recte habuerit, sed ad coxendicem alterum distortus, aut ad rectum intestinum occultatus, aut in seipsum contractus fuerit, aut labium stomachi sibiipsi utcunque incubuerit, 11 aut stomachus uteri asper & callosus fuerit: (durus autem fit, & à conclusione, & à callositate:) his menses non apparent aut pauciores quam oportet, & per longius tempus apparent.

XIV. Sunt autem in quibus etiam menses juxta corporis sanitatem, & uterorum exitum reperiuntur, 2 immo consueto & justo modo, & stomacho uteri prae caliditate ac humiditate mensium non valde laeso. 3 Verum genituram non suscipit propter hanc laesionem, quae impedit susceptionem, stomacho non recte habente. 4 Huic per totum corpus fomentum adhibere oportet, & pharmacum bibendum dare, ac corpore primum purgatam ac mundam reddere, sive superne & inferne opus habuerit, sive superne solum. 5 Et si quidem superne purgans medicamentum dederis, fomentum ante purgationem non praemittes: 6 verum fomentum adhibebis inferne purgaturus. 7 Si vero superne purgante medicamento non egere videbitur, praemisso fomento, inferne purgans bibendum dato.

XV. Quum autem probe purgatum

λῶς ἔχειν καθαρὸν ἐὸν τὸ σῶμα, μετὰ τοῦτο πυριῆν τὰς μήτρας, ἐγκαθίζοντα αὐτὰς πυκνά, ἢν δοκέῃ ξυμφέρειν. [2] ἐπιβάλλειν δὲ ἐς τὸ πυρίημα κυπαρίσσου ῥινήματα καὶ δάφνης φύλλα κόψας. [3] καὶ λούειν πολλῷ καὶ θερμῷ. [4] ὅταν δὲ νεόλουτος ᾖ καὶ νεοπυρίητος, ἀναδιευρύνειν τὸ στόμα τῆς μήτρης τῇ μήλῃ τῇ κασσιτερίνῃ, καὶ ἀνορθοῦν ὅπη ἂν δέηται. ἢ μολυβδαίνῃ, ἀρξάμενος ἐκ λεπτῆς. εἶτα παχυτέρης ἢν παραδέχηται, ἕως ἂν δοκέῃ καλῶς ἔχειν. [5] βάπτειν δὲ τὰς μήλας ἐν ἑνί τινι τῶν μαλθακτηρίων διειμένῳ. [6] ὅταν δὲ δοκέῃ ξυμφέρειν, ὑγρὸν ποιήσας. [7] τὰς δὲ μήλας ποιέειν ὄπισθεν κοίλας. [8] εἶτα περὶ ξύλοισι μακροτέροισιν ἁρμόσαι, καὶ οὕτως χρῆσθαι. [9] τὸν δὲ χρόνον τοῦτον πινέτω καθεψοῦσα ἐν οἴνῳ εὐώδει λευκῷ καὶ ὡς ἡδίστῳ γλυκεῖ, δᾷδα ὡς πιοτάτην καταχίσασα λεπτά, καὶ σελίνου καρπὸν κόψασα, καὶ κυμίνου αἰθιοπικοῦ καρπόν, καὶ λιβανωτὸν ὡς κάλλιστον. [10] τούτου πινέτω νῆστις ὁκόσον ἂν δοκέῃ μέτριον εἶναι πλῆθος, ἡμέρας ὁκόσας ἂν δοκέῃ ἅλις ἔχειν.

XVI. Καὶ ἐσθιέτω σκυλάκια ἑφθά, καὶ πολύποδα ἐν οἴνῳ ἑφθὸν γλυκεῖ. [2] καὶ τὸν ζωμὸν πινέτω, καὶ κράμβην ἑφθήν. καὶ οἶνον λευκὸν ἐπιπινέτω, καὶ μὴ διψήτω. [3] καὶ λουέσθω θερμῷ δὶς τῆς ἡμέρης. [4] σιτίων δὲ ἀπεχέσθω τοῦτον τὸν χρόνον. [5] μετὰ δὲ τοῦτον, ἢν μὲν χωρέῃ κατὰ τὸν στόμαχον καὶ φαίνηταί τι ἔξω καθάρσιος, πίνειν τι ἔτι τοῦ πόματος ἡμέρην μίαν, καὶ δύο. [6] καὶ τῇσι μήλῃσι παύεσθαι χρεομένους. [7] καὶ πειρῆσθαι καθαίρειν τὰς μήτρας

gatum esse corpus videbitur, postea utero fomentum adhibeto, frequentes insessus ipsis adornans, si ita conferre videbitur. [2] Immittes autem in fomentum, cupressi ramenta, & lauri folia contusa, [3] lavabisque multa & calida aqua. [4] Ubi vero recens lota fuerit, & fomentum admiserit, uteri os dilatabis specillo stanneo, corrigesque ubi opus fuerit: potes & plumbeo uti, initio per parvum facto, deinde crassiore adhibito si suscipere potest, donec recte habere videbitur. [5] Intinges autem specilla in mollitorio quopiam diluto, [6] aut etiam liquido reddito, si conferre videbitur. [7] Specilla ipsa retro cava facienda sunt, [8] deinde circum ligna longiora adaptanda, sicque ipsis utendum. [9] Cæterum hoc tempore bibat in vino albo odorato dulci & quam suavissimo decoctam tædam quam pinguissimam, in tenuia segmenta concisam, & apii semen contusum, & cumini æthiopici semen, & thus quam optimum. [10] ex hoc bibat jejuna copia quanta moderata esse videbitur, tot diebus quot satis habere videbitur.

XVI. Et edat catulos coctos, & polypum in vino dulci coctum, [2] jusculumque ipsum bibat, & brassicam coctam, Vinum autem album insuper bibat, & ne sitiat, [3] & calida bis per diem lavet. [4] A cibis autem hoc tempore abstineat. [5] Ab eo vero tempore si quidem processerit per stomachum, & quid purgationis foris apparuerit, adhuc de potione bibendum est unum atque alterum diem, [6] & a specillorum usu desistendum, [7] ac conandum ut uteri apposititiis

τρας προσθέτοισι φαρμάκοισι.

XVII. Ἢν τινι δὲ τοῦ στομάχου ὀρθοῦ καὶ μεγάλου καὶ ὑγιέος ἐόντος 62 καὶ καλῶς ἔχοντος, καὶ ἐν τῷ δέοντι κειμένου, τὰ ἐπιμήνια μὴ φαίνηται πάμπαν ἢ ἐλάσσονα, καὶ διὰ [1] πλείονος χρόνου, καὶ μὴ ὑγιέα, [2] τὴν νοῦσον ἀνευρὼν, ἥν τινα ἔχουσιν αἱ μῆτραι· [3] ἤν τε καὶ τὸ σῶμα ξυμβάλληταί τι, ἐξευρὼν τὸ αἴτιον, ἀφ' ὅτου οὐ κυΐσκεται, καὶ ταῦτα οὕτως ἔχῃ· [4] τὴν ἴησιν ποιέεσθαι 15 'προσφέρων" ἢν δέχηται θεραπείην, 63 [5] ἀρχόμενος ἐξ ἰσχυρῶν, ὅπως ἂν δοκέῃ καιρὸς εἶναι. [6] τελευτᾶν δὲ ἐς μαλθακώτερα, ἕως ἂν δοκέῃ καλῶς ἔχειν καθαρθεῖσα ἡ μήτρη, καὶ ὁ στόμαχος καθεστηκέναι ὀρθῶς ἔχων, καὶ ἐν τῷ ἐξαρκέοντι κείμενος. [7] ἢν δὲ ἀπὸ τοῦ ποτοῦ καὶ τοῦ φαρμάκου μὴ προχωρήσῃ, μὴ δὲ πινούσῃ χρόνον τὸν μέτριον, τουτέστι δὲ οὐ παυστέον τοῦ πόματος. [8] ὅταν δὲ καλῶς ἔχῃ τὸ ἀπὸ τῶν μηλέων ἔργον, μαλθάξαι τὸ στόμα τοῦ στομάχου καὶ ποιῆσαι ὅπως ἀναχάνηται 20 ἐς ὁδὸν 'τῷ προσθέτῳ, ἀπό τε θυμιημάτων καὶ φαρμάκων καὶ μαλθακτηρίων. [9] ὅταν δὲ δοκέῃ καλῶς ἔχειν μαλθάξιος καὶ θυμιήσιος, προσθεὶς φάρμακον, κάθαρσιν ποιέεσθαι τῆς μήτρης ὡς ἂν δοκέῃ καλῶς ἔχειν, [10] ἀρχόμενος ἐκ μαλθακῶν ἐπὶ ἰσχυρότερα. τελευτῶν δὲ αὖθις, ἐς μαλθακὰ καὶ εὐώδεα. [11] τῶν γὰρ ἰσχυρῶν φαρμάκων τὰ πλεῖστα ἑλκοῖ τὸν στόμαχον καὶ δάκνει. [12] ἔπειτα τόν τε στόμαχον καθιστᾶν ἐς ὀρθὸν καὶ ὑγιέα, καὶ καλῶς ἔχοντα πρὸς τὴν 25 δέξιν τῆς γονῆς· [13] καὶ τὴν μήτρην ξηρὴν ποιέειν, " καὶ φῦσαν 64 ἐμποιέειν.

suffititiis medicamentis purgentur. 190

XVII. Cuicunque autem, (stomacho recto, ac magno & sano existente, ac probe habente, & in loco ubi convenit & oportet sito) menses non apparuerint ex toto, aut pauciores, & per [1] longius tempus, & non sani, [2] morbum ipsum investigabis quemcunque tandem uteri habent, [3] & si corpus quoque aliquid conferat, causam perscrutaberis ob quam non concipit, & hæc sic habeant: [4] & curationem facies si 'medelam suscipere volet, 195 [5] initio à fortioribus facto prout opportunum visum fuerit, [6] ita ut desinas in molliorum usu, donec uterus visus tibi fuerit probe esse purgatus, & stomachus recto statu esse constitutus, & rite situs. [7] Si vero à potu ac medicamento menses non processerint, etiam si moderato tempore id biberit, nequaquam à potu cessandum est: [8] ubi vero probe habuerit, specillorum usu os 'stomachi molliendum est, 200 & faciendum ut hiet, ac viam præbeat appositítio medicamento, idque pharmacis suffitui aptis ac mollientibus perficies. [9] Quum autem satis suffitum ac mollitum esse videbitur, apposito medicamento subdititio uteri purgationem facies, donec rite habere videbitur, [10] à mollibus ad fortiora progressu facto, ita ut rursus in mollibus ac odoratis desinas. [11] Nam pleraque ex fortibus 'medicamentis stomachum exulcerant ac corro- 205 dunt. [12] Deinde vero tum stomachum ad rectum statum ac sanitatem redigito, quo aptus sit ad suscipiendam geniturum, [13] tum uterum siccum reddito, & flatum immittito.

XIIX. Ἢν γυνὴ δοκέῃ ὑπὸ πιμελῆς τὰς μήτρας βεβλάφθαι ἐς τὴν κύησιν, λεπτύνειν ὡς μάλιστα καὶ ἰσχναίνειν πρὸς τοῖσιν ἄλλοισιν. ² ὥρη δὲ ἐαρινὴ ἀρίστη κυήσιος. ³ ὁ δὲ ἀνὴρ μὴ μεθυσκέσθω. ⁴ μηδὲ οἶνον λευκὸν πινέτω· ἀλλ' ὅστις ἰσχυρότατος καὶ ἀκρητέστατος. ⁵ καὶ σιτία ὡς ἰσχυρότατα. ⁶ καὶ μὴ θερμολουτέτω. ⁷ ἰσχυέτω δὲ καὶ ὑγιαινέτω. ⁸ καὶ σιτίων ἀπεχέσθω τῶν μὴ ξυμφερόντων τῷ πρήγματι. ⁹ ὅταν βούληται ἄρσεν φυτεύειν, τῶν ἐπιμηνίων ἀποληγόντων, ἢ ἐκλελοιπότων μίγνυσθαι· καὶ ὠθέειν ὡς μάλιστα, ἕως ἂν ἐκμαίνηται. ¹⁰ ὅταν δὲ θῆλυ βούληται γενέσθαι, ὅταν πλεῖστα ἐπιμήνια εἴη τῇ γυναικὶ καὶ ἔτι ἰόντων. ¹¹ τὸν δὲ ὄρχιν τὸν δεξιὸν ἀποδῆσαι, ὡς ἂν μάλιστα καὶ ἀνέχεσθαι δύνηται. ¹² ἐπὴν δὲ ἄρσεν βούληται φυτεύειν, τὸν ἀριστερὸν ἀποδῆσαι.

XIIX. Si mulier præ pinguitudine uterum ad concipiendum læsum habere videatur, attenuatio quam maxime, & gracilitas inducatur, supra reliquam curam. ² Tempus porro vernum aptissimum est ad concipiendum. ³ Vir autem non sit ebrius, ⁴ neque vinum album bibat, sed quod fortissimum est ac meracissimum, ⁵ itemque edulia fortissima, ⁶ & calida non lavet: ⁷ robustus autem sit, & sanus, ⁸ & à cibis abstineat ad rem non conferentibus. ⁹ Et ubi marem generare voluerit, mensibus desinentibus aut defectis misceatur, & quam penitissime intrudat donec desæviat. ¹⁰ Ubi vero fœmellam generare volet, quum plurimi menses prodierint mulieri, & dum adhuc eunt, coëat, ¹¹ ac dextrum testem obliget, quantum id tolerare poterit: ¹² sed si marem generare expetat, sinister testis obligandus erit.

XIX. Στόμαχος μήτρης ἀπὸ μὲν θυμιημάτων ξυμμεμυκὼς ἀναχάσκει· ἀπὸ δὲ τῶν μαλθακτηρίων μαλθάσσεται. ² θυμιῆν δὲ λωτοῦ φλοιὸν, σπέρμα δάφνης, καὶ φύλλα τῆς αὐτῆς χλωρὰ κεκομμένα· λιβανωτὸν, σμύρναν, ἀρτεμισίης καρπὸν, ἢ φύλλα· καὶ ἄννησον κόψας, ἢ στέαρ καὶ κηρὸν, καὶ θεῖον, καὶ κυπαρίσσου σπέρμα. πευκεδάνου ῥίζαν, μυρσίνης φύλλα χλωρὰ κεκομμένα, κάστορος ὄρχιν, ὀνίδας ἄρσενος ὄνου, σκόροδα, στύρακα, ὑὸς στέαρ. ³ καὶ ἀπεστραμμένον ἦ τὸ στόμα, τουτέοισι θυμιῆν. ἀναχάσκει μὲν οὖν οὕτως καὶ στρέφεται. ⁴ μαλθάσσειν δὲ ἀπὸ τουτέων τὸ στόμα τῆς μήτρης. σανδαράκην· στέαρ αἰγὸς· ὀπὸν συκῆς, ὀπὸν σιλφίου· κυκλαμίνου χυλὸν θάψίην· ὀπὸν τὸ

XIX. Stomachus uteri à suffimentis quidem, ubi conclusus fuerit, hians redditur, ab emollientibus vero mollescit. ² Suffire autem oportet, loti corticem, lauri baccas, & folia ejusdem viridia contusa, thus, myrrham, artemisiæ semen aut folia: item anisum & adipem aut ceram simul contusa, sulphur, cupressi semen, peucedani radicem, myrti folia viridia contusa, fibri testem, asini masculi stercus, allia, styracem, adipem suillum. ³ sed & si distortum os uteri fuerit, his suffiendum est. Sic quidem igitur hians redditur ac convertitur. ⁴ Mollire autem per hæc uteri os oportet, sandaracham videlicet, adipem caprinum, fici succum, silphii succum, cy-

τιθυμάλλου. καρδαμώμου καρπὸν· πέπλιον ἣ καλεῖται πέπλος· κάστορος ὄρχιν· λίνου καρπόν· λίτρον· ἄρου ῥίζαν, σταφίδα ἀγρίην· καλαμίνθης φύλλα χλωρά· στρουθίου καρπόν· σκίλλης τὸ ἐν τῷ μέσῳ.

XX. Φάρμακα μαλθακτήρια· καὶ πρὸς τὸ ἰσχυρὴν κάθαρσιν γενέσθαι ἀνακινῆσαι· θαψίης ῥίζαν· μυελὸν βοός· χηνὸς στέαρ· ῥόδινον. ² ταῦτα τρίψασα καὶ ἀναζέσασα προστιθέσθω ἡμέρας τέσσαρας. ³ καὶ πινέτω πράσου χυλόν· καὶ οἶνον γλυκὺν λευκόν· καὶ ῥητίνην· καὶ ἔλαιον χλιαρόν· καὶ κύμινον· λίτρον· ῥητίνην· ⁴ μέλι ἐν ῥυπαρῷ ἐρίῳ χρήσθω ἡμέρας τέσσαρας, ⁵ πινέτω σελίνου καρπόν· καὶ λιβανωτοῦ πυρῆνας πέντε· καὶ κύμινον αἰθιοπικὸν ἐν οἴνῳ λευκῷ ἀκρήτῳ γλυκεῖ. ⁶ καὶ λουέσθω δὶς τῆς ἡμέρης· ⁷ σμύρναν· λίβανον· βοὸς χολή· ῥητίνην τερεβινθίνην, ἢ νέτωπον. ⁸ τουτέων ἴσον ἑκάστου μίξασα, προστιθέσθω ἐν ἐρίῳ καθαρῷ, ἢ ῥάκει λεπτῷ. ⁹ βάψασα δὲ τὸ ῥάκος ἐν μύρῳ λευκῷ αἰγυπτίῳ εὐώδει, καὶ ἀποδήσασα λίνῳ λουσαμένη προστιθέσθω. ¹⁰ καὶ πολύπον φλάσασα ἐσθιέτω, ¹¹ καὶ πινέτω σελίνου καρπὸν, καὶ ἀσπαράγου. ¹² καὶ οἶνον λευκὸν τρὶς τῆς ἡμέρης νῆστις ἐοῦσα· ¹³ σμύρναν· κασίην· λιβανωτὸς· κιννάμωμον· νέτωπον. τουτέων ἑκάστου τὸ ἴσον ἐν ἐρίῳ ἢ βαλάνους ποιέουσα προστιθέσθω. ¹⁴ κολοκύνθης ἀγρίης, κύμινον πεφρυγμένον· ἀνήθου καρπόν· κυπαρίσσου ῥίζαν· ¹⁵ ταῦτα τρίψας λεῖα, μέλιτι ἑφθῷ φυρήσας βαλάνους ποιέων δίδου προστιθέναι· ¹⁶ καὶ πινέτω γλυκυσίδης ῥίζαν· σελι-

clamini succum, thapsiam, succum tithymalli, cardamomi semen, herbam quæ peplos appellatur, fibri testem, lini semen, nitrum, ari radicem, staphidem sylvestrem, calaminthæ folia viridia, herbæ lanariæ sive struthii semen, scillæ internam partem.

XX. Medicamenta emollientia, & ad ciendum idonea, quo fortis purgatio fiat. Thapsiæ radicem, medullam bovis, adipem anserinum, rosaceum, ² hæc trita ac fervefacta per quatriduum apponat, ³ & bibat porri succum, ac vinum dulce album. Item resinam, & oleum tepidum, cuminum, nitrum, ⁴ mel, sordida lana excipiat, & per quatriduum utatur; ⁵ bibatque apii semen, & thuris nucleos quinque, & cuminum æthiopicum in vino albo meraco dulci, ⁶ lavetque bis per diem. ⁷ Item myrrham, thus, fel bovis, resinam terebinthinam, aut netopon sive metopium unguentum, ⁸ horum singulorum æqualem mensuram misceat, & in lana pura, aut linteo tenui apponat. ⁹ Intingat autem linteum in unguento albo ægyptio odorato, & filo obligatum, à balneo subdet, ¹⁰ & polypum plagis mollitum edat, ¹¹ & apii ac asparagi semen ¹² ac vinum album bibat, ter in die jejuna existens. ¹³ Aut myrrham, casiam, thus, cinamomum, netopum, singulorum æquas portiones lana exceptas, aut in glandes redactas apponat. ¹⁴ Aut cucurbitæ sylvestris interiora, cuminum tostum, anethi semen, cupressi radicem, ¹⁵ trita ac melle cocto subacta in glandes cogito, easque subdendas exhibeto, ¹⁶ & bibat pæoniæ radicem, apii

νυ καρπὸν σιλφίου χυλὸν σὺν οἴνῳ. 17 ἀλλὰ τὸ βόλβιον καὶ αὐτὸ καθαίρει προστιθέμενον. 18 καὶ σμύρναν πρώτην· ἄνθος ὀλίγον ἐν οἴνῳ λευκῷ εὐώδει προστιθεί.

XXI. Φάρμακα πρόσθετα ἐς τὸ μήτρην καθῆραι ἐπιτηδειότατα. 1 λαβὼν ἄνθος χαλκοῦ καὶ νίτρου τρίτον μέρος, μέλιτι ἑφθῷ φυρήσας, βαλάνους ποιῆσαι, ὁκόσαι ἂν δοκέωσι μέτριαι εἶναι μήκεός τε καὶ πάχεος, 3 οὕτως προστιθέναι πρὸς τὸ στόμα τῆς μήτρης. 4 ἢν δὲ βούλῃ ἰσχυρότερον εἶναι, ἐλατήριον παραμίξαι· καὶ τὸ ἄνθος μοῦνον. καὶ οὕτως ποιέων, δίδου προστίθεσθαι. 5 καὶ κράδης παραμιγνύναι φλοιὸν ξύσας, καὶ τρίψας λεῖον, ὅταν τὸ στόμα δοκέῃ ξηρότερον εἶναι τῆς μήτρης τὸ ἥμισυ ὡσαύτως. 6 Ἄλλο· Τρίψας ἐλατήριον καὶ ἄνθος χαλκοῦ λεῖα, δύο μοίρας ἄνθεος, ἐλατηρίου δὲ μίαν, ταῦτα διεῖσθαι· 7 κυκλάμινον τρίψας, ταύτῃ ἀναμίξαι, ὅκως ἂν δοκέῃ καιρὸς εἶναι. 8 καὶ ποιησάμενον πρόσθετα, προστίθεσθαι ἐν εἰρίῳ.

XXII. Πρόσθετα λευκὰ καθαρόν· ἀρτεμισίην τὴν ποίην· λίτρον, κυκλάμινον ἡμίξηρον· κύμινον. 2 Ἕτερον· Ἀρτεμισίην ποίην χλωρὴν τρίψας· καὶ σμύρνης τρίτον μέρος οἴνῳ ἀναμίξας, εὐώδει εἰρίῳ λευκῷ περιελίξας αὐτό, ἐν οἴνῳ τε βρέξας, δὸς προστίθεσθαι. 3 ὅταν δὲ χαλῶσιν αἱ μῆτραι, λίτρον, σικύης ἐντεριώνην, κυκλάμινον ἡμίξηρον ἐν εἰρίῳ προστιθεί.

XXIII. Πρόσθετα παντοῖα καθαίρειν δυνάμενα. 2 Σταφίδα ἀγρίην τρίψας χλωρὴν περιπλάσας, ἀρτεμισίης ποίης τρίψας τὰ φύλλα, φλειᾶ τε πλάσας καὶ

ξηράνας

semen, ac silphii succum, cum vino. 17 Sed & bulbium ipsum subditum purgat. 18 Item myrrham primariam, & florem æris modicum in vino albo odorato subdat.

XXI. Medicamenta subdititia, ad uterum purgandum convenientissima. 2 Accipe æris florem ac nitri tertiam partem, melleque cocto subacta in glandulas justæ magnitudinis ac crassitudinis redige, 3 atque sic ad uteri osculum appone: 4 si vero fortius facere velis, elaterium ammisce, ad florem solum, & hoc modo coactas glandulas subdendas præbe. 5 Potes & ramulorum fici corticem derasum ac tenuiter tritum ammiscere, quum os uteri siccius esse videbitur, dimidia portione eodem modo. 6 Aliud. Elaterium & æris florem trita, duabus floris partibus, una elaterii acceptis, dilue, 7 & cyclaminum tritum prout opportunum videbitur ammisce, 8 & in lana simul coacta subde.

XXII. 1 Glandulæ album fluxum purgantes. 2 Artemisiam herbam, nitrum, cyclaminum semiaridum, cuminum, subde. Alia. Artemisiam herbam viridem tritam, & myrrhæ tertiam partem, ammixto vino odorato, in lana alba obvolve, eamque vino tinctam apponendam præbe. 3 Ubi vero hiaverit uterus, nitrum, cucumeris sylvestris medullam, 1 cyclaminum semiaridum, in lana appone.

XXIII. Subdititia omnis generis purgare potentia. 2 Staphidem sylvestrem viridem tritam, artemisiæ herbæ folia trita, melle cocto excipe, & in umbra siccata in glandulas coge, ac subdendas

ξηρανάσας ἐν σκιῇ, ἀπὸ τουτέου ποιέε πεσσοὺς, καὶ δίδου τῇ γυναικὶ προσθέσθαι. 3 Ἄλλο. Ἄνθος μιγνὺς χαλκοῦ, ἢ στυπτηρίην αἰγυπτίην διεὶς τῇ κυκλαμίνῳ, ὥσπερ τὰ πρότερα ἐν ἑφθῷ μέλιτι πλάσας, ἢ ἐν ἰσχάδι ποιήσας καὶ σμύρνην ὀλίγην. 4 Ἄλλο. Τὴν κυκλάμινον τρίψας ἐν λευκῷ οἴνῳ εὐώδει παραμίξας, ἐν ῥάκει δήσας ὡς λεπτοτάτῳ λίνῳ καθαρῷ δίδου προσθέσθαι. 5 Ἄλλο. Κυκλάμινον ἡμίξηρον· λίτρον· κανθαρίδας· στέαρ· σανδαράκην.

XXIV. Περὶ παρθένου. Παρθένῳ ὁκόταν τὰ ἀραῖα μὴ χωρῇ, πολλὰ καὶ πυρεταίνει καὶ ὀδυνᾶται· διψῇ, καὶ πεινῇ· καὶ ἐξεμέει, καὶ μαίνεται, καὶ πάλιν σωφρονέει· 2 κινέονται αἱ μῆτραι. καὶ, ὁκόταν πρὸς τὰ σπλάγχνα τρέπωνται, ἐξεμέειν καὶ πυρέσσειν, καὶ παραφρονέειν αὐτὴ ἔρχεται. 3 ὅταν δὲ ἀπολίπωσιν, πεινῇ καὶ διψῇ, καὶ ἠπίαλος πυρετὸς ἔχει. 4 χρὴ ταύτῃ γε ἀρνακίδας προσθεῖναι θερμὰς πρὸς γαστέρα· καὶ ὑποκαπνίζειν ἐς αὐτὰ τὰ αἰδοῖα ὅτι μάλιστα ἐπ' ἀμφορέως αὐχένι καθίσας. 5 σμύρνης ὅσον κύαμον λιβανωτόν τε δὶς ὅσον, τοῦτο μίξας καὶ ζέσας, ἐρηριγμένας ὁμοῦ ζυμίτῃ, καὶ ἐπὶ τὸ πῦρ ἐπιβάλλων, 6 νῆστις ὡς μάλιστα, 7 καὶ λοῦσθαι πολλῷ θερμῷ.

8 Πρόσθετον. Αἰγυπτίην στυπτηρίην μαλθακὴν, εἰρίῳ περιελίξασα προστιθέσθω. 9 Ἄλλο. Ἀρτεμισίην τρίψας, ἐν οἴνῳ τε λευκῷ δεύσας, δίδου προσθέσθαι.

XXV. Νεοτόκῳ γυναικί. Ῥόδινον, σμύρναν, κηρὸν μίξας ἐν ἐρίῳ δοῦναι προστίθεσθαι. 2 ὅταν δὲ οἱ προπέσωσιν αἱ μῆτραι, τὰ ξηρὰ καὶ στρυφνὰ προσφέρειν, καὶ πίνειν, καὶ προσίσχειν. 3 Σῦκον μέλαν· σκόροδον·

dendas exhibe. 3 Aliud. Florem æris, & alumen ægyptium cum cyclamino dilue, & velut priora melle cocto excipe, aut in caricam inde, cum modica myrrha. 4 Aliud. Cyclaminam tritam vino albo odorato ammixto, in linteo tenuissimo puro obliga, & subdendam præbe. 5 Aliud. Cyclaminum semiaridum, nitrum, cantharidas, adipem, sandarachen, subde.

XXIV. De virgine. Si virgini menses maturi non prodeant, multum & febricitat, & dolet, & sitit, & esurit, & vomit, & furit, & rursus resipiscit: 2 uterus movetur: & quum ad viscera vertitur, vomitus ac febris, & delirium accedit. 3 ubi vero sedatur uterus, & hæc quiescunt, esurit, ac sitit, & febris lenis, epialon Græci dicunt, tenet. 4 Huic pelles agninas calidas ad ventrem apponere oportet, & suffitum facere in ipsa pudenda quam penitissime, ita ut super amphoræ collo desideat, & fumum admittat. 5 Fiat autem suffitus ex myrrha magnitudine fabæ, & thuris dupla portione, ammixta etiam zea fresa. hæc simul suffire debet, & in ignem immittere, 6 maxime dum jejuna est, 7 & multa calida lavare.

8 Medicamentum subdititium. Alumen Ægyptium emollitum lana involutum subdat. 9 Aliud. Artemisiam tritam, & vino albo subactam, apponendam præbe.

XXV. Puerperæ recens enixæ. Rosaceum, myrrham, ceram, mixta in lana apponenda præbe. 2 Ubi autem uterus ipsi prociderit, acida & acerba offerenda sunt, tum potanda, tum foris adhibenda. 3 Item ficum nigram, allium,

ῥοδον· λίτρον· κύμινον· ταῦτα πάντα τρίψας λεῖα, ἐν εἰρίῳ δοῦναι προστίθεσθαι. [4] Ἕτερον· σηπίης ὄστρακον κόψας λεῖον ἐς οἶνόν τε δεύσας σὺν λαγωοῦ θριξὶ καὶ εἰρίῳ προστίθεσθαι. [5] Ἢν δὲ μετὰ τόκον τὰς ὑστέρας ἀλγέῃ, πτισάνην καὶ 40 [1] πράσον καὶ στέαρ αἴγειον ἑψήσασα, ῥοφείτω τούτου ὡς ὀλίγιστον.

[6] Πρόσθετον· λίτρον· κύμινον· σῦκον τὸ ἴσον.

XXVI. Καθαρτήριον πρόσθετον καὶ μαλθακτήριον. Νέτωπον, ῥόδινον μύρον, χηνὸς ἄλειφαρ, ἐς ὀθόνια λεπτά. 89 [2] Ἢν τὰ ἐπιμήνια πολλὰ γίνηται, 90 γλυκυσίδης κόκκους τοὺς μέλανας δὶς ἑπτὰ πίνειν ἐν οἴνῳ δυσὶ κυάθοις. [3] Ἢν δὲ ἐξέρχωνται αἱ μῆτραι πυκνά, βρέξας ὕδατι χλιαρῷ τὰς μήτρας ὑπτίην ἀνακλίνας, μίξας σίδιον, κηκίδα, ῥοῦν 45 τὴν ἐρυθρὴν, ἐν [1] οἴνῳ λευκῷ διατρίψας, τούτῳ χρίσας ἐντιθέναι. [4] Ἔπειτα πίσαι δάφνης φύλλα ἐν οἴνῳ αὐστηρῷ.

XXVII. Ὅταν γυνὴ κύουσα προσρέηται, ὄνιδα ξηρὴν, καὶ μίλτον, καὶ ὄστρακον σηπίης, ταῦτα τρίψασα λεῖα, ἐν ῥάκει ἀποδήσασα προστιθέναι. [2] Ἢν δὲ μὴ καθαρθῇ τὸ ὕστερον, 91 λεάνας ἐν οἴνῳ λευκῷ, ὅσον κυάθου, καὶ τρίψας ὀβολὸν ἀττικὸν διδόναι πίνειν καὶ καθαίρεται.

allium, nitrum, cuminum, hæc omnia [1] tenuiter trita, in lana 285 apponenda dato. [4] Aliud. Sepiæ testam tusam, & vino imbutam, cum leporinis pilis, lana excipe, & apponendam præbe. [5] Si vero post partum uterus doleat, ptisanam, & porrum, ac adipem caprinum coquat, indeque modicum sorbeat.

[6] Subdititium medicamentum. Nitrum, cuminum, ficum, omnium æquas portiones subde.

XXVI. [1] Subdititium purgans 290 & molliens. Netopum, rosaceum unguentum, adipem anserinum, linteis tenuibus excipe. [2] Si menses multi prodeunt, pæoniæ grana nigra bis septem numero, in vini cyathis duobus bibenda præbe. [3] Si vero uteri frequenter prolabantur, uteros aqua tepida madefacies, ipsam vero mulierem supinam reclinabis, miscebisque [1] malicorium, gallam, 291 & rhoem rubram, hisque in vino albo tritis uteros illines, ac immittes. [4] Postea lauri folia in vino austero bibenda dabis.

XXVII. Quum autem mulier prægnans menses profluos habet, stercus asini siccum, & rubricam, ac sepiæ testam, trita simulque linteo illigata apponat. [2] Si vero secunda non purgetur, elaterii oboli Attici pondus in vini albi cyathi mensura tritum bibendum præbe, & purgabitur.

ΙΠΠΟΚΡΑΤΟΥΣ περὶ ΕΓΚΑΤΑΤΟΜΗΣ ΕΜΒΡΥΟΥ.

HIPPOCRATIS DE EXSECTIONE FOETVS.

Basil. græc. Foesius sect. VI. 193. 914. Basil. lat.

pag 53 ΠΕΡΙ δὲ τῶν μὴ κατὰ τρόπον κυϊσκομένων, ἀλλ' ἐγκατατεμνομένων, ὧδε ἔχει. πρῶτον μὲν ἐπὶ τὴν γυναῖκα σινδόνα ἐπιβαλὼν, καταζῶσον ἀνωτέρω τῶν μαζῶν. [2] καὶ τὴν κεφαλὴν κατακαλύψαι χρὴ τῇ σινδόνι, ὅκως μὴ ὁρῶσα φοβῆται, ὅ, τι ἂν ποιήσῃς. [3] ἢν μὲν οὖν ἐξίῃ ἡ χεὶρ τὸ ἔμβρυον, παραπλάγιον παραπεσὸν, καὶ τῆς χειρὸς ἐπιλαβόμενος, προσάγειν ἔξω ἐπιχείρει ὡς μάλιστα. [4] περιδεῖραι δὲ καὶ τὸν βραχίονα, καὶ ἀποψιλώσας αὐτοῦ τὸ ὀστέον, ἰχθύην περίδησον περὶ τοὺς δακτύλους τῆς χειρὸς τοὺς δύο, ὅκως μὴ ἀπολισθάνοι ἡ σάρξ. [5] μετὰ δὲ ταῦτα τὸν ὦμον περιεσάρκισον. καὶ ἄφελε κατὰ τὸ ἄρθρον. [6] ἔπειτα τὴν κεφαλὴν κατὰ φύσιν πειρώμενος, ὑπάγειν ἔξω τὴν κεφαλὴν τοῦ ἐμβρύου. [7] τῷ δὲ δακτύλῳ τὸ ἔμβρυον εἴσω ἀπῶσαι, ἢ μαχαιρίῳ διὰ τῶν πλευρέων ἢ διὰ τῆς κληῖδος, ὅκως τὴν φῦσαν ἀφῇ, καὶ ξυμπέσῃ τὸ ἔμβρυον, καὶ ἡ ἔξοδος αὐτέῳ εὐπετεστέρη ᾖ.

II. Τὴν δὲ κεφαλὴν, ἢν μὲν δύνασαι κατὰ φύσιν ἔξω ὦσαι· [2] ἢν δὲ μὴ, ξυμφλάσαι. καὶ οὕτως ὑπεξαγαγεῖν ἔξω τὸ ἔμβρυον. [3] ἔπειτα τῷ θερμῷ πολλῷ καταχέας, καὶ ἀλείψας ἐλαίῳ, κατακεῖσθαι κελεύειν ἐπαλλὰξ τοῖν ποδοῖν. [4] καὶ μεταπίσαι οἶνον γλυκὺν κεράσας, ζωρότερον, καὶ λευκόν. [5] ἀλλὰ

De his, qui non juxta naturalem modum pariuntur, sed exscinduntur, hoc modo se res habet. Primum quidem sindone supra mulierem injecta, eam supra mammas circumdato, [2] & caput obvelato, ne videns quod facturus es timeat ac exhorrescat. [3] Si itaque foetus oblique prolapsus manum protensam habuerit, manu apprehensa foras producere quam maxime conare, [4] & brachium ipsum excoriato: atque ubi os brachii denudaveris, squatinæ pellem circum duos manus digitos obligato, ne caro lubricitate sua elabatur. [5] Deinde vero carnem circa humerum rescinde, ipsumque juxta juncturam exime, [6] postea caput juxta naturam protrusum foras producere tenta. [7] fœtum vero ipsum intro protrudito, ferramento per latus & costas, aut per claviculam adacto, quo flatum emittat fœtus, & considat ac contrahatur, atque ipsi facilior exitus pateat.

II. Cæterum caput si fieri potest juxta naturam extrahe, [2] sin minus, confringe: atque sic fœtum una subextrahe. [3] Postea calida large perfusam, & oleo illitam decumbere jubeto, pedum situ alternatim variato. [4] Bibat autem vinum dulce, album, meracius temperatum. [5] Sed

[5] ἀλλὰ μέλι καὶ ῥητίνην, μέλιτι διαλεῖψαι, μίξας τῷ οἴνῳ, διδόναι πιεῖν. [6] τὰ δ' ἄλλα θεραπεύειν ὥσπερ λέγω, κατὰ τὰ εἰρημένα. [7] ὅταν δὲ τῇ τικτούσῃ γυναικὶ πλάγιον παραπίπτῃ τὸ ἔμβρυον· γίνεται δὲ, ὁκόταν στρέφηται τὸ τοιόνδε, καὶ ὁ ὀμφαλὸς περὶ τὸν τράχηλον περιειλίσσηται, καὶ ἐπίσχῃ τὴν ἔξοδον τοῦ ἐμβρύου, καὶ ἐς τὸ ἰσχίον ἐπεμβάλλῃ τὴν κεφαλὴν, καὶ ἡ χεὶρ ὡς ἐπὶ τὸ πολὺ ἔξω γίνεται. [8] ἢν μὲν οὖν ἤδη τεθνηκὸς ἔξω γένηται, τοῦτο προσημαίνεται. [9] ᾗσι δὲ μὴ ἔξω ἡ χεὶρ τοῦ ἐμβρύου, ὡς ἐπὶ τὸ πολὺ ζῇ τὸ ἔμβρυον. [10] κίνδυνος δὲ καὶ οὕτως. [11] ἔνιαι δὲ καὶ τὰ λόχια πρὸ τοῦ ἐμβρύου ἀφιᾶσιν. [11] ἀναγκαῖον δὲ γινώσκειν εἶναι τὴν ὠδῖνα ξηρὴν καὶ ἐπίπονον. [12] ὅσαι δὲ τὰ λόχια μὴ προκαθαίρονται, ῥᾷον ἀπαλλάττουσιν ἐν τῷ τόκῳ.

III. Ἀνασείειν δὲ δεῖ ὧδε. σινδόνα ὑποστορέσαντας, ἀνακλῖναι τὴν γυναῖκα. [2] καὶ ἑτέρην ἐπιβαλεῖν, ὅκως αὖ αὐτῆς τὸ αἰδοῖον κεκρυμμένον ᾖ. [3] καὶ περικαλύψαι περὶ ἑκάτερον τὸ σκέλος τὴν σινδόνα, καὶ περὶ ἑκάτερον τὸ γυῖον. [4] γυναῖκας δὲ δύο λαβέσθαι τοῦ σκέλεος ἑκατέρου, καὶ τῆς χειρὸς ἑκατέρης, ἑτέρας γυναῖκας δύο. [5] ἔπειτα διασείειν λαβούσας ἐγκρατέως, μὴ ἔλασσον ἢ δεκάκις. [6] ἔπειτα δὲ ἐς κλίνην ἀνακλῖναι τὴν γυναῖκα ἐπὶ κεφαλήν. [7] τὰ δὲ σκέλεα ἄνω ἔχειν. [8] καὶ τὰς γυναῖκας πάσας λαβέσθαι τοῖν σκελέοιν, ἀφείσας τὰς χεῖρας. [9] ἔπειτα σείειν πολλάκις ποιεῖν τὰς γυναῖκας ἐπὶ τοὺς ὤμους, καὶ ποιεῖν ἀναβολὰς ἐπὶ τὴν κλίνην, ὅκως ἐς τὴν εὐρυχωρίην ἐπαναωσθὲν τὸ ἔμβρυον στραφῇ, καὶ δύνηται ἐπὶ φύσιν ἰέναι. [10] καὶ ἢν ἔχῃς δίκταμνον Κρητικόν,

[5] Sed & resina melle trita ac vino ammixta, in potu præbeatur. [6] De cætero vero curanda est, velut dixi, juxta ea quæ relata sunt. [7] Quum vero parienti mulieri fœtus oblique prolapsus fuerit (id quod contingit dum vertitur puer) & umbilicus circum collum obvolvitur, & exitum fœtus impedit, & caput in coxendicem incumbit, & manus ut plurimum foras prominet, [8] quod ipsum mortui fœtus signum est. [9] Quibus autem manus non exerta est, ut plurimum vivunt fœtus: [10] periculum autem etiam hoc modo est. Aliquæ enim purgamenta ante partum mittunt, [11] & necesse est cognoscere ex eo partum siccum, & cum dolore laboriosum esse. [12] Quibus autem purgamenta ante partum non prodeunt, hæ in pariendo facilius liberantur.

III. Concutere porro oportet hoc modo. Sindone substrata mulierem reclinabis,[2] & aliam superinjicies, quo pudendum ipsius sit obvelatum, [3] obvolvesque sindonem circum utrunque crus & circum utranque manum. [4] Mulieres autem duæ utrunque crus apprehendant, & aliæ duæ utranque manum, [5] deinde concutiant valide ipsam tenentes non minus quam decies. [6] Postea in lectum reclinetur mulier in caput, [7] ita ut crura sursum vergant, [8] & mulieres omnes ipsam pedibus corripiant, manibus dimissis, [9] sæpeque concutiant, ac rejectionem in humeros faciant in lecto, quo fœtus in spaciosiorem locum retrusus vertatur, & naturaliter prodire possit. [10] Et si dictamnum Creticum habueris,

κὸν, μεταπίσαι δός. εἰ δὲ μὴ, κάστορας ἐνψῆσαι τῷ οἴνῳ χίῳ.

IV. Ἢν δὲ αἱ ὑστέραι ἔξω χωρέωσι, κἤν τι ἐκ πόνου, κἤν τι ἐκ τόκου. [2] ἢν μὲν οὖν παραλάβῃς νέας, ἄξιον ἐπιχειρεῖν. [3] εἰ δὲ μὴ, ἐᾶν. [4] ἐπιχειρεῖν δὲ χρὴ ὧδε. ἐπιτεμὼν τὸν ὑμένα τῆς ὑστέρης, κατὰ φύσιν, καὶ κατὰ πλάγιον, τρίψαι ὀθονίῳ ὡς φλεγμήνη, [5] καὶ καταλείψας φώκης ἐλαίῳ, ἢ πίσσῃ καταπλάσας, ἢ κυτίνοισι, καὶ μαλθακοὺς σπόγγους ἐν οἴνῳ ῥάνας προσθεὶς [6] ἀναδῆσαι ἐκ τῶν ὤμων· καὶ ἀνακείσθω ὡς ἀνωτάτω τὰ σκέλεα ἔχουσα. [7] ἐσθιέτω δὲ σιτία μέτρια.

ipsum bibendum dabis: sin minus, fibri testem in vinum Chium derades.

IV. Si vero uteri foras prodierint, sive ex dolore, [2] sive ex partu, si quidem juvenculæ fuerint, aggressionem facito: [3] sin minus, finito. [4] Aggressio autem hoc modo fiat: Pelliculam uteri juxta naturalem modum & oblique incisam, linteo confricato donec inflammetur, [5] & illinito phocæ oleo sive adipe, aut pice, aut mali punici flore integito, & molles spongias vino respersas apponito, [6] & ex humeris ipsas alligato. Mulier vero decumbat cruribus quam maxime sursum versus porrectis. [7] Moderatis autem eduliis vescatur.

ΙΠΠΟΚΡΑΤΟΥΣ περὶ ΕΛΚΩΝ.

HIPPOCRATIS DE VLCERIBUS.

Basil. græc. — Foesius sect. VI: 145. 869. — Basil. lat.

pag 512

ΕΛΚΕΑ ξύμπαντα οὐ χρὴ τέγγειν, πλὴν οἴνῳ. ἢν μὴ ἐν ἄρθρῳ ἔῃ τὸ ἕλκος. [2] τὸ γὰρ ξηρὸν τοῦ ὑγιέος ἐγγυτέρω ἐστὶ, καὶ τὸ ὑγρὸν τοῦ μὴ ὑγιέος. [3] τὸ γὰρ ἕλκος ὑγρόν ἐστι. [4] τὸ δὲ ὑγιὲς ξηρόν. [5] ἀνεπίδετον δὲ ἐᾶν ἄμεινόν ἐστιν, ὅτι γε μὴ καταπλάσσεται. [6] οὐδὲ καταπλάσσειν ἐνδεχόμενόν ἐστιν ἔνια τῶν ἑλκέων. [7] μᾶλλον δὲ τὰ νεότρωτα τῶν παλαιοτέρων, καὶ τὰ ἐν τοῖσιν ἄρθροισιν. [8] ὀλιγοσιτίη τε ὡς μάλιστα καὶ ὕδωρ, ξυμφέρει πᾶσι τοῖσι ἕλκεσι. [9] μᾶλλον δὲ τοῖσι νεωτέ-

VLCERA universa, nisi vino, humectare non oportet, si non in articulo fuerit ulcus. [2] Nam siccum sano propius est, & humidum non sano. [3] Est enim ulcus, humidum: [4] quod vero sanum est, siccum. [5] Præstat autem absque deligatione sinere, præterquam quod cataplasma imponitur: [6] quanquam aliqua ulcera neque cataplasma ferre possint, [7] magis autem recentia quam vetustiora, & quæ sunt in articulis. [8] Modicus cibus, & aqua, quam maxime omnibus ulceribus conducunt, [9] & magis recentioribus quam vetu-

γεραιτέροισι τῶν παλαιοτέρων. [10] καὶ εἴ τι ἄλλο φλεγμαῖνον ἕλκος, ἢ μέλλει. καὶ ὅ, τι σφακελίσαι κίνδυνος. καὶ τοῖσιν ἕλκεσι καὶ φλεγμασίῃσι τοῖσιν ἐν τοῖσιν ἄρθροισι. [11] καὶ ὅκου σπασμὸς γενέσθαι κίνδυνος. καὶ τοῖσιν ἐν κοιλίῃ τρώμασι. [12] πάντων δὲ μάλιστα τοῖσιν ἐν κεφαλῇ καὶ μηρῷ κατεαγεῖσι, καὶ ἄλλῳ αἱ κατήξιες γένωνται.

II. Ἑστάναι δὲ ἐν τῷ ἕλκεϊ ἥκιστα ξυμφέρει. [2] καὶ μᾶλλον ἢν ἐν τῷ σκέλεϊ ἔχῃ τὸ ἕλκος. [3] ἀλλ' οὐδὲ καθῆσθαι οὐδὲ περιβαδίζειν. ἡσυχίη δὲ καὶ ἀτρεμίη ξυμφέρει μάλιστα. [4] τὰ δὲ νεότρωτα ἕλκεα πάντα ἥκιστα ἂν φλεγμαίνοιεν, αὐτά τε καὶ τὰ περιέχοντα, εἴ τις διαπυήσει ὡς τάχιστα. [5] καὶ τὸ πῦον μὴ ἀπολαμβανόμενον ἀπὸ τοῦ ἕλκεος τοῦ στόματος ἴσχοιτο. [6] ἢ εἴ τις ἀποτρέποι ὅκως μηδὲ μέλλοι διαπυῆσαι, πλὴν τοῦ ἀναγκαίου πύου ὀλιγίστου. [7] ἀλλὰ ξηρὸν εἶναι ὡς μάλιστα, φαρμάκῳ μὴ περιοσκελεῖ. [8] πυρώδεες γὰρ γίνεται ἐπὴν φρίκη ἐγγένηται, καὶ σφυγμός. [9] φλεγμαίνει γὰρ τὰ ἕλκεα τότε, ὁκόταν διαπυῆσαι μέλλῃ. [10] διαπυεῖ δὲ ἀλλοιουμένου τοῦ αἵματος καὶ θερμανθέντος, ἕως σαπὲν πῦον γένηται τῶν τοιούτων ἑλκέων. [11] ὅταν [δὲ] δοκέῃς δεῖσθαι καταπλάσματος, οὐ χρὴ αὐτὸ τὸ ἕλκος καταπλάσσειν, ἀλλὰ τὰ περιέχοντα. [12] ὅκως τὸ πῦον ἀποχωρέῃ, καὶ τὰ σκληρυνόμενα μαλαχθῇ. [13] τῶν δὲ ἑλκέων, ὁπόσα μὲν ἂν ὀξέϊ βέλεϊ διατμηθῇ ἢ διακοπῇ, ἐνδέχεται ἔναιμον φάρμακον. [14] καὶ τὸ κωλῦον διαπυεῖν, ἀναξηραῖνόν τε.

III. Ἤν τις δὲ ὑπὸ τοῦ βέλεος ἐφλάσθη

vetustioribus, [10] & si quod aliud ulcus inflammatum est, aut inflammationem minatur, & si periculum est corruptionis: & ulceribus ac inflammationibus in articulis: [11] & ubi convulsionem fieri periculum est: & vulneribus in ventre. [12] Maxime vero omnium, fracturis in capite ac femore, & si cui alii parti fractura contigerit.

II. Stare autem ulceri minime conducit, [2] præsertim si quis in crure ulcus habeat: [3] imo neque sedere, neque ambulare. Verum ocium & quies maxime conferunt. [4] At vero recentia ulcera omnia, tum ipsa, tum circumsitæ partes, minime inflammationem incurrent, si quis quam citissime suppuret, [5] & pus ab osculo ulceris non interceptum supprimatur: [6] aut si quis avertat, ut omnino non suppurentur, præterquam necessario, eoque paucissimo pure, [7] & sicca sunt quam maxime ex medicamento non molesto. [8] Igneum enim fervorem hoc inducit, ubi horror & pulsatio accesserit. [9] Inflammantur enim ulcera tunc quum ad suppurationem tendunt. [10] Suppurantur autem alterato sanguine ac calefacto, donec putrefactus talium ulcerum pus fiat. [11] Quum vero cataplasmate opus esse visum fuerit, non ipsum ulcus cataplasmate integere oportet, sed circumsitas partes, [12] quo pus decedat, & quæ indurata sunt mollescant. [13] Cæterum ex ulceribus si quod acuto specillo incisum aut dissectum fuerit, cruentis vulneribus aptum medicamentum suscipit, [14] & resiccatorium quoddam, quod prohibet suppurationem.

III. Si qua caro ex telo con-

φλασθῇ καὶ κοπῇ ἡ σὰρξ, ταύτην ἰητρεύειν, ὅκως διάπυος ὡς τάχιστα γένηται. 2 ἧσσόν τε γὰρ φλεγμαίνει, καὶ ἀνάγκη τὰς σάρκας τὰς φλασθείσας καὶ κοπείσας, καὶ σαπείσας, καὶ πῦον γενομένας, ἐκτακῆναι. 3 ἔπειτα βλαστάνειν νέας σάρκας. 4 Ἕλκεϊ νεοτρώτῳ παντὶ, 14 πλὴν ἐν κοιλίῃ, ξυμφέρει, αἷμα ποιέειν ἀποῤῥέειν πυκνὰ, ὅκως ἂν 5 δοκέῃ καιρὸς εἶναι. 5 καὶ ἀπ' αὐτῶν τῶν ἑλκέων, [καὶ] τῶν περιεχόντων τὸ ἕλκος. 6 ἄλλως τε καὶ ἢν ἐν κνήμῃ ἔῃ τὸ ἕλκος, ἢ ἐν δακτύλῳ ποδὸς, ἢ χειρός. μᾶλλον ἢ που ἄλλοθι τοῦ σώματος. 7 γίνεται γὰρ, ἀποῤῥέοντος τοῦ αἵματος, ξηρότερα καὶ μείονα ἰσχναινόμενα. 8 κωλύει μὲν 15 γὰρ μάλιστα τὰ τοιαῦτα ἕλκεα ὑγραίνεσθαι. 9 ἔπειτα δὲ καὶ τὰ σύμπαντα αἵματος σηπεδὼν, καὶ ὅ,τι ἐξ αἵματος μεταστάσιος γίνεται. 10 ξυμφέρει δὲ μετὰ τὴν τοῦ αἵματος ἀπόῤ- 16 ῥοιαν, ἐπὶ τῶν τοιούτων ἑλκέων καὶ 10 σπόγγον ἐπιδεῖν, πυκνὸν καὶ μαλθακὸν τετμημένον, ξηρότερον ἢ ὑγρότερον. 11 ἢ ἐπὶ τῷ σπόγγῳ ἄνωθεν φύλλα ἰσχνὰ τίθεσθαι.

IV. 1 Ἔλαιον δὲ καὶ ὅσα μαλθα- 17 κώδεα, ἢ ἐλαιώδεά ἐστι φάρμακα, οὐ ξυμφέρει τοῖσι τοιούτοισιν ἕλκεσιν, 2 ἢν μὴ πάνυ ἤδη πρὸς ὑγιείην τείνῃ. 3 οὐδὲ τοῖσι νεοτρώτοισιν ἕλκεσι ξυμφέρει ἔλαιον, οὐδὲ μαλθακώδεα, οὐδὲ στεατώδεα φάρμακα. 4 ἄλλως τε καὶ ὅτι αὖ δέεται ἕλκος πλείονος καθάρσιος. 5 τὸ δὲ ξύμπαν εἰπεῖν, ἐλαίῳ τὴν χρίσιν ποιέε- 15 σθαι, καὶ ἐν θέρει καὶ ἐν χειμῶνι, πρὸς ἃ τῶν τοιούτων φαρμάκων δεόμεθα. 6 Ὑποκάθαρσις τῆς κάτω κοιλίης 2 ξυμφέρει τοῖσι πλείστοισι τῶν ἑλκέων καὶ ἐν τρώμασιν ἐν κεφαλῇ ἐοῦσι, καὶ ἐν

tusa & dissecta est, eam curare oportet, quo quam celerrime suppuretur. 2 Nam & minus inflammatur, & necesse est carnes contusas ac dissectas, putrescere ac pus fieri, & eliquari ac consumi: 3 & postea novas carnes nasci. 4 Omni recenti ulceri, præterquam in ventre, conducit frequenter sanguinem defluere facere, prout oportunum esse visum fuerit, 5 & ab ipsis partibus ulcus complectentibus, 6 tum alias, tum si in tibia ulcus fuerit, aut in digito pedis aut manus, magis quam si alicubi in alia corporis parte. 7 Sanguine enim defluente gracilescentia, ficciora fiunt ac minora. 8 Prohibet enim hoc maxime talia ulcera humectari. 9 Deinde vero in omnibus, putredo sanguinis ex sanguinis transmutatione fit. 10 Confert autem post sanguinis defluxionem in talibus ulceribus, etiam spongiam deligare densam, mollem, concisam, ficciorem quam humidiorem: 11 aut super spongiam superne folia multa ponere.

IV. At oleum, & quæcunque mollia, aut oleosa sunt medicamenta, talibus ulceribus non conducunt, 2 si non valde jam ad sanitatem tendant. 3 Neque ulceribus ex recenti vulnere oleum conducit, neque mollientia, neque adiposa medicamenta, 4 tum alias, tum quod ulcus ampliore purgatione opus habet. 5 Ut autem in summa dicam, oleo illitio facienda est; & in æstate, & hyeme, in his ad quæ talibus medicamentis opus habemus. 6 Depurgatio ventris deorsum plurimis ulceribus confert, & in vulneribus quæ sunt in capite,

&

ἐν κοιλίῃ, καὶ ἐν ἄρθροισι, [7] καὶ ὅσα σφακελίσαι κίνδυνος. καὶ ὅσα ῥαπτὰ, καὶ τοῖσιν ἐσθιομένοισι καὶ ἑρπυστικοῖσι. [8] καὶ τοῖσιν ἄλλως πεπαλαιωμένοισιν ἕλκεσι. [9] Ὅπη δ' ἂν μέλλῃς ἐπιδεῖν, [10] οὐ χρὴ [δὲ] οὐδ' ἐμπλάσσειν τὰ φάρμακα, πρὶν ἂν πάνυ ξηρὸν ποιήσῃς τὸ ἕλκος. [11] τότε δὲ δεῖ προστιθέναι. [12] ἀναποσπογγίζειν δὲ τὸ ἕλκος πολλάκις σπόγγῳ, καὶ αὖθις ὀθόνιον ξηρὸν καὶ καθαρὸν προσίσχειν πολλάκις. [13] οὕτω δὲ ἐπιθεὶς τὸ φάρμακον τὸ δοκέον ξυμφέρειν, ἐπιδεῖν, ἢ μὴ ἐπιδεῖν.

& in ventre, & in articulis, [7] & in quibus corruptionis periculum est, & in his quæ consuta sunt, & in exedentibus ac serpentibus, [8] & alias inveteratis ulceribus. [9] At ubi deligare voles, [10] pharmaca non prius imponere oportet, quam ubi valde siccum feceris ulcus. [11] Tunc vero apponere oportet, [12] ulcus autem sæpe spongia detergere: & rursus linteum siccum ac purum sæpe adhibere, [13] atque sic imposito medicamento quod conferre videtur, deligare, aut non deligare.

V. Ἕλκεσι τοῖσι πλείστοισιν ὥρη ἡ θερμοτέρη ξυμφορωτέρη τοῦ χειμῶνος, πλὴν τοῖσιν ἐν κεφαλῇ καὶ κοιλίῃ. [2] μᾶλλον δὲ ἡ ἰσημερινή. [3] τὰ ἕλκεα, ὁκόσα ἂν καθαρθέντα, καλῶς τε καὶ ἐς τὸ δέον αἰεὶ, ἐπὶ τὸ ξηρότερον ποιῆται τὴν βλάστησιν· ταῦτα δὲ οὐχ ὑπερσαρκέει ὡς ἐπὶ τὸ πολύ. [4] ἢν ὁκόθεν οὖν ὀστέον ἀφιστῆται, ἢ καυθὲν, ἢ πρισθὲν, ἢ ἄλλῳ τῳ τρόπῳ, τῶν ἑλκέων τούτων αἱ οὐλαὶ κοιλότεραι γίνονται. [5] ἕλκεα οὐ κεκαθαρμένα, οὐκ ἐθέλει ξυνιέναι, ξυναγόμενα, οὐδ' αὐτόματα ξυνέρχεται. [6] ὧν τὰ περιέχοντα φλεγμαίνει τοῦ ἕλκεος, ἕως ἂν μὴ παύσηται τῆς φλεγμασίης, οὐκ ἐθέλει ξυνιέναι. [7] οὐδὲ ὧν τὰ περιέχοντα τοῦ ἕλκεος μελανθῇ, καὶ αἵματος σηπεδόνι, ἢ καὶ κιρσοῦ παρέχοντος τὴν ἐπιρροὴν τοῦ αἵματος. οὐδὲ ταῦτα ἐθέλει ξυνιέναι, [8] ἢν μὴ τὰ περιέχοντα τοῦ ἕλκεος ὑγιέα ποιήσῃς. [9] Τῶν ἑλκέων τὰ κυκλοτερέα, ἢν ὑπόκοιλα ᾖ, ἐν κύκλῳ πάντῃ ἐπιτάμνειν χρὴ, τὰ ἀφεστῶτα, ἢ πάντα, ἢ [10] τὰ ἡμίσεα τοῦ κύκλου, κατὰ μῆκος τῆς φύσιος τοῦ ἀνθρώπου.

V. Plerisque ulceribus tempus calidius commodius est hyeme, exceptis his quæ in capite sunt ac ventre: [2] magis vero æquinoctii tempus. [3] Ulcera quæcunque probe & prout oportet purgata sunt, semper ad sicciorem modum germinationem faciunt. Hæc autem plerunque carne non superexcrescunt. [4] Si undecunque tandem os discesserit, aut ustum, aut sectum, aut alio modo, horum ulcerum cicatrices caviores fiunt. [5] Ulcera non purgata, non committi solent etiamsi adducantur, neque sua sponte coeunt. [6] Ubi circumsitæ ulceris partes inflammatæ sunt, quandiu durat inflammatio, ulcera coire non solent: [7] Sed & ubi circumsitæ partes denigratæ fuerint, & sanguinis putredine, aut etiam varice, influxionem sanguinis exhibente: neque hæc coire solent, [8] si non circumsitas ulceris partes sanas feceris. [9] Ex ulceribus rotunda si subcava fuerint, excidere oportet undiquaque in orbem ea quæ discesserunt, aut omnia, [10] aut ex dimidio circuli, secundum longitudinem naturæ hominis.

VI. Ἐπὶ

VI. In

VI. Ἐπὶ παντὶ ἕλκει ἐρυσιπέλατος ἐπιγινομένου, κάθαρσιν δεῖ ποιέεσθαι τοῦ σώματος, [2] ἐφ' ὁκότερα ἂν ξυμφέρῃ τῷ ἕλκει, εἴτε ἄνω, εἴτε κάτω. [3] Ὅτῳ ἂν οἴδημα γένηται περὶ τὸ ἕλκος, ἀφλεγμάντου ἐόντος τοῦ ἕλκεος, χρόνῳ ὕστερον, πύου ὑπόστασιν ἴσχει τὸ οἴδημα. [4] Ὅ, τι ἂν τῇ φλεγμονῇ οἴδησιν μὴ καθίστηται, τῶν ἄλλων καθισταμένων, ὅσα ἅμα ἤρξατο φλεγμαίνειν καὶ οἰδίσκεσθαι, καὶ τοῦτο κίνδυνος, μηδ' ἅμα ξυνιέναι. [5] Ὅσα δὲ πιπτόντων, ἢ ἄλλῳ τῳ τρόπῳ διακόπτεται καὶ θλᾶται, καὶ ἀνοιδίσκεται, τὰ περιέχοντα τὸ ἕλκος, καὶ διαπυήσαντα πῦον ἀπὸ τῶν οἰδημάτων, ἀποχωρέει κατὰ τὸ ἕλκος. [6] Τῶν τοιούτων ὅ, τι ἂν δοκέῃ δεῖσθαι καταπλάσιος, οὐ χρὴ αὐτὸ τὸ ἕλκος καταπλάσσειν, [7] ἀλλὰ τὰ περιέχοντα· ὅκως τὸ πῦον ἀποχωρέῃ, καὶ τὰ σκληρυνόμενα λαπαχθῇ. [8] Ἐπὴν δὲ λαπαχθῇ, καὶ ἡ φλεγμονὴ παύσηται, ἔπειτα ἀφεστηκότα σπόγγους ἐπιδέων προσστέλλειν, ἀρχόμενος ἀπὸ τοῦ ὑγιέος ὀλίγον προσχωρέων. [9] Ἐπὶ δὲ τοῦ σπόγγου ἄνωθεν φύλλα ἐπιδεῖν συχνά. Ὅ, τι δ' ἂν μὴ δύνηται προσστῆναι, ἡ σὰρξ ὑγρὴ ἐοῦσα αἰτίη ἐστὶ ταύτην ἐκβάλλειν.

VII. Ἢν ὑπὸ βαθείῃ σαρκὶ τὸ ἕλκος ᾖ κατ' ἄμφω, καὶ ἐκ τῆς ἐπιδέσιος, καὶ ἐκ τοῦ προσπιέζοντος ὑποκυρτοῦται. [2] Τὸ δὴ τοιοῦτον, ἄν τις τάμνῃ πρὸς μήλην ἢν ἐνδέχηται εὔροον, ἀπὸ τοῦ στόματος τὸ ἕλκος ἀνατέμνειν, [3] ὅπῃ ἂν δοκέῃ καιρὸς εἶναι. [4] Καὶ οὕτως ἰητρείην προσφέρειν, ὁκοίης δ' ἂν δοκέῃ προσδέεσθαι. [5] Ὡς δὲ τὰ πολλὰ

VI. In omni ulcere, igne sacro accedente, corporis purgationem facere oportet, [2] in utram partem ulceri contulerit, sive sursum, sive deorsum. [3] Cui tumor obortus fuerit circa ulcus, ulcere non inflammato, huic postea temporis progressu tumor puris subsidentiam habet. [4] Quodcunque ulcus ex inflammatione tumidum non sedatur, dum alia quæ simul inflammari ac tumescere cœperunt sedantur, etiam hoc non coalescere periculum est. [5] Quæcunque vero ex casu, aut alio quopiam modo dissecantur, & contunduntur, & intumescunt, ita ut vicinæ circumcirca partes suppuratæ, pus de tumoribus per ulcus egerant: [6] in talibus quicquid cataplasmate opus habere visum fuerit, non super ipsum ulcus cataplasma ponere oportet, [7] sed super circumsitas partes, quo pus decedat, & indurata molliantur. [8] Postquam autem mollita fuerint, & inflammatio sedata, spongiis super ea quæ abscesserunt deligatis compescito, initio à sana parte facto, atque ita procedendo. [9] Superne vero super spongiam folia sint multa. Quum vero compesci non poterit caro, quæ humida existit, in causa est ut hanc ejicias.

VII. Si sub profunda carne ulcus fuerit, ex utrisque, & ex deligatione, & ex eo quod insuper compressit, hoc sane incurvum subattollitur: [2] & si quis id secet specillo, si fieri poterit, ad fluxionem accommodatum ab ore ulcus resecare oportet, [3] ubi commodum tempus esse visum fuerit, [4] atque ita curationem adhibere, qualicunque tandem indigere videbitur. [5] Plerunque

πολλὰ ἐπὶ παντὶ ἕλκεϊ ὅ, τι ἂν κοιλίην ἔχῃ ἐς τὸ ἰθὺ καταφανέα ἰδεῖν, οἰδήματος μὴ προσεόντος. [6] ἢν μὲν ἐν αὐτῷ σηπεδὼν, ἢ ἡ σὰρξ ὑπῇ μυδῶσα καὶ σαπρὴ ἔσται τοῦτο τὸ ἕλκος καὶ τὰ περιέχοντα τὸ ἕλκος ἰδεῖν μέλανα ὑποπέλια. [7] καὶ τῶν ἐσθιομένων ἑλκέων, ὅπη ἂν φαγέδαινα ἐνῇ, ἰσχυρότατα νέμεται καὶ ἐσθίει. [8] καὶ ταύτη τοῦ ἕλκεος τὸ περιέχον, χροιὴν ἕξει μέλαιναν ὑποπέλιον. [9] Καταπλάσματα οἰδημάτων καὶ φλεγμασίης τῆς ἐν τοῖσι περιέχουσιν, ἡ ἑφθὴ φλόμος· καὶ τῆς τριφύλλου τὰ φύλλα ὠμά. καὶ τῆς ἐπιπλέου τὰ φύλλα ἑφθά· καὶ τὸ πόλιον. [10] ἢν δὲ καὶ καθαίρεσθαι δέῃ τὸ ἕλκος, πάντα μὲν καὶ ταῦτα καθαίρει. [11] ἀτὰρ καὶ τῆς συκῆς τὰ φύλλα καὶ τῆς ἐλαίης, καὶ τὸ πράσιον. [12] ἕψειν δὲ ταῦτα πάντα, μάλιστα δὲ τούτων ἕψειν τὴν ἄγνον, καὶ τὴν συκῆν, καὶ τὴν ἐλαίην, καὶ τῆς σίδης τὰ φύλλα ὡσαύτως ἕψειν. [13] ὠμοῖσι δὲ τοῖσι δεῖ χρῆσθαι· τῆς μαλάχης τὰ φύλλα. τρίβων ξὺν οἴνῳ. καὶ τοῦ πηγάνου τὰ φύλλα. καὶ τοῦ ὀριγάνου χλωρῆς. [14] πᾶσι τούτοισι χρὴ τοῦ λίνου τὸν καρπὸν φρύξαντα καὶ κόψαντα ὡς λειότατον, μιγνύειν. [15] ὅκου δὲ ἐρυσιπέλας κίνδυνος ἐφ' ἕλκεσιν γενέσθαι, τῆς ἰσάτιδος τὰ φύλλα τρίβοντα, ὠμὰ καταπλάσσειν σὺν τῷ λίνῳ, ἢ τὸ λίνον δεύων στρύχνου χυλῷ, ἢ ἰσάτιδος, καταπλάσσειν.

VIII. Ὅταν δὲ τὸ ἕλκος καθαρὸν μὲν ἐῃ, φλεγμαίνῃ δὲ τό, τε ἕλκος καὶ τὰ περιέχοντα τοῦ ἕλκεος, [2] φακὸν ἐν οἴνῳ ἑψήσας καὶ τρίψας λεῖον, ἐλαίῳ ὀλίγῳ φυρήσας καταπλάσσειν ἐπιδεῖν. καὶ τῆς κυνοσβάτου ἑψήσας τὰ φύλλα ἐν ὕδατι τρί-

runque vero in omni ulcere quod ventrem habet, in directum ad visum conspicua sunt omnia, tumore non præsente. [6] Et si quidem in ipso fuerit putredo, aut caro suberit humida ac putrida, hoc ulcus & complectentes ulcus partes, aspectu nigra sublivida erunt. [7] Et in exedentibus, qua parte phagedæna affuerit, vehementissimeque depascitur ac edit, [8] ea parte circumsita ulceris pars colorem habebit nigrum, sublividum. [9] Cataplasmata tumorum & inflammationis in circumsitis partibus sunt, verbascum coctum, & trifolii folia cruda, & ligustri folia cocta, & polium. [10] Si vero etiam purgari opus habuerit ulcus, omnia quidem etiam hæc purgant. [11] Sed & fici & oleæ folia, & marrubium. [12] Coquere autem oportet hæc omnia, & maxime viticem, & fici ac oleæ folia: & mali punicæ folia similiter coquere oportet. [13] Crudis vero his utendum est. Malvæ folia terito cum vino, & rutæ folia, & origani viridis. [14] Omnibus his lini semen torrefactum ac tusum quam levissime, ammiscere oportet. [15] Ubi vero periculum est ignem sacrum in ulceribus oboriturum esse, isatidis folia trita cruda cum lini semine imponito: aut lini semen solani aut isatidis succo subactum imponito.

VIII. Quum autem ulcus purum quidem fuerit, verum inflammatum est & ulcus, & circumsitæ itidem inflammatæ partes, [2] lentem vino coctam, ac leviter tritam, oleo modico subactam imponito, ac deligato: & rubi canini folia in aqua cocta, leviter trita imponito, linteo tenui

τρίψας λεῖα καταπλάσσειν. ὀθόνιον ὑποτείνας λεπτὸν καθαρὸν, οἴνῳ καὶ ἐλαίῳ τέγξας. 3 Καὶ ὅταν ξυνάγειν βούλῃ, τοῦ κυνοσβάτου τὰ φύλλα, ὥσπερ τὴν φακῆν, σκευάζειν. 4 Σαυρίδιον, οἶνος καὶ λίνου καρπὸς παραμίγνυνται λεπτὸς, καὶ τόδε, ὁ τοῦ λίνου καρπὸς, καὶ ἄγνος ὠμὸς, καὶ μηλεία στυπτηρίη, ὄξει ταῦτα δεδεύσθω. 5 Ὄμφακα λευκὴν ἐς χαλκεῖον θλίψας ἐρυθρὸν, δι' ἠθμοῦ πρὸς ἥλιον τιθέναι τὰς ἡμέρας, τὰς δὲ νύκτας αἴρειν, ὅκως μὴ δροσίζηται. 6 ἀνατρέπειν δὲ τῆς ἡμέρης ἀπαύστως, ὡς ὁμαλῶς ξηραίνηται, καὶ ἀπὸ τοῦ χαλκείου ὡς ὅτι πλεῖστον ἀναλαμβάνειν. 7 τιθέναι δὲ ἐς τὸν ἥλιον τοσοῦτον χρόνον, ἐς ἂν παχὺ γένηται, ὥσπερ μέλι. 8 ἔπειτα ἐς χύτρην χαλκῆν ἐγχέας, καὶ μέλι ὡς κάλλιστον, καὶ οἶνον γλυκὺν, ἐναφεψήσας πρότερον ῥητίνην τερμινθίνην (ἕψειν δὲ τὴν ῥητίνην ἐν τῷ οἴνῳ) ἕως ἂν σκληρὴ γένηται ὥσπερ μέλι ἑφθόν. 9 ἔπειτα τὴν μὲν ῥητίνην ἐξελεῖν, τὸν δὲ οἶνον ξυγχέαι. 10 ἔστω δὲ πλεῖστος μὲν ὁ χυλὸς τῆς ὄμφακος, δεύτερος δὲ ὁ οἶνος, τρίτον δὲ τὸ μέλι. καὶ σμύρναν τὴν στακτὴν, καὶ ἄλλως ὡς βελτίστην τρίψας λείην, καὶ διεὶς τῷ οἴνῳ τῷ αὐτῷ παραχέοντα κατ' ὀλίγον. ἔπειτα ἕψειν αὖ τὴν ἐφ' ἑωυτῆς τὴν σμύρναν ξὺν τῷ οἴνῳ ἀνακινέοντα. 11 ὅταν δὲ δοκέῃ ἤδη καλῶς ἔχειν τὸ πάχος, ξυγχέαι ἐς τὸν χυλὸν τῆς ὄμφακος, καὶ νίτρον ὡς ἄριστον φρύξας, ἡσύχως μιγνύναι ἐς τὸ φάρμακον, καὶ ἄνθος χαλκοῦ ἔλασσον τοῦ νίτρου. 12 ταῦτα δὲ ἐπειδὰν μίξῃς, ἕψειν, μὴ ἔλασσον τριῶν ἡμερέων, ξύλοισι συκίνοισιν ὡς ὀλίγον ὑποκαίοντα, ἢ ἀνθρακιῇ, ὡς μὴ φρύγηται. 13 καὶ ἐμβαλλόμενα

tenui subextento, puro, vinoque ac oleo madefacto.3 Et ubi committere ac coalescere ulcus voles, rubi canini folia velut lentem præparato. 4 Nasturtium item, sauridion à lacerti similitudine appellatum, vinum, & lini semen tenuiter tritum commiscentur. Et hæc, lini semen, & vitex crudus, & alumen Melium: hæc aceto subacta.5 Uvam albam immaturam per colum in vas æris rubri expressam, per dies ad solem exponito, noctu autem tollito, ut ne irroretur. 6 Per dies vero indesinenter terito, ut æqualiter siccetur, & de æneo vase quam plurimum assumat. 7 Tanto autem tempore ad solem exponere oportet, donec ad mellis crassitudinem devenerit. 8 Postea & hunc succum, & mel quam optimum, & vinum dulce, in æneam ollam infundito, ita tamen ut prius resinam terebinthinam in vino coquas, donec dura fiat instar mellis cocti,9 & postea resinam eximas, & vinum affundas. 10 Sit autem plurimus uvæ immaturæ succus: secundo loco vinum: tertio mel. Myrrham etiam stacten quam optimam leviter tritam, eodem vino paulatim affuso diluito, & postea ipsam per seipsam cum vino sæpe agitando coquito: 11 & ubi ad bonam crassitudinem devenisse videbitur, ad uvæ immaturæ succum affundito: & nitrum optimum torrefactum sensim ad pharmacum ammisceto, & floris æris minus quam nitri. 12 Hæc postquam miscueris, coquito non minus tribus diebus, lignis ficulneis non multis succensis, aut prunis, ut ne torreatur: & ubi hoc pharmacum illinitur, 13 omnia quæ imponuntur

βαλλόμενα. πάντα δ' ἄνυδρα ἔστω, καὶ τὰ ἕλκεα μὴ τέγγεσθαι, ὅπη ἂν ἐπαλείφηται τοῦτο τὸ φάρμακον.

IX. Χρῆσθαι δὲ τούτῳ τῷ φαρμάκῳ πρὸς τὰ πεπαλαιωμένα ἕλκεα, καὶ πρὸς τὰ νεότερα, καὶ ἐς τὸ αἰδοῖον, καὶ ἐς κεφαλῆς ἕλκεα καὶ ὠτός. Φάρμακον ἕτερον τῶν αὐτέων ἑλκέων. χολὴ βοὸς ξηρή. μέλι ὡς κάλλιστον. οἶνος λευκός. ἐναφεψῆσαι δὲ ἐν αὐτῷ λωτοῦ τορνεύματα. λιβανωτός. σμύρνη, ἴση. κρόκος ἴσος. ἄνθος τὸ χαλκοῦ. ὁμοίως δὲ ὑγρῶν. [2] οἶνος πλεῖστος, μέλι δεύτερον, ὀλίγιστον ἡ χολή. [3] Ἕτερον. Οἶνος. μέλι κέδρινον, ὀλίγον. τὰ δὲ ξηρά. ἄνθος χαλκοῦ. σμύρνα. σίδιον αὖον. [4] Ἕτερον. ἄνθος χαλκοῦ ὀπτὸν ἡμιμοίριον. σμύρνης δύο ἡμιμοίρια. κρόκου τρεῖς μοῖραι. μέλι ὀλίγον σὺν οἴνῳ ὀπτώμενα. [5] Ἕτερον. Λιβανωτοῦ μοῖρα. κηκῖδος μοῖρα. κρόκου τρεῖς. τούτων ἕκαστον ξηρὸν τρίψαι ὡς λειότατον. ἔπειτα μίξας, τρίβειν ἐφ' ἡλίῳ ὡς θερμοτάτῳ, παραχέων χυλὸν ὄμφακος, ἕως ἂν ἰξῶδες γένηται, ἐπὶ τρεῖς ἡμέρας. ἔπειτα ἐν οἴνῳ αὐστηρῷ μέλανι εὐώδει παραχέειν κατ' ὀλίγον διέντα. [6] Ἕτερον. Ἐν οἴνῳ γλυκεῖ ἕψειν λευκῷ πρίνου ῥίζας. ἐπειδὰν δὲ δοκέῃ καλῶς ἔχειν, ἀποχέας τοῦ οἴνου δύο μοίρας, ποιῆσαι τῇδε. καὶ ἀμόργης ἐλαίου ὡς ἀνυδροτάτου μοῖραν μίαν. ἔπειτα ἕψειν ἀνακινέων, ὡς μὴ φρυγῇ, μαλθακῷ πυρί, ἕως ἂν δοκέῃ τὸ πάχος καλῶς ἔχειν. [7] Ἕτερον. τὰ μὲν ἄλλα τὰ αὐτά. ἀντὶ δὲ τοῦ οἴνου ὄξος ὀξύτατον ἔστω λευκόν. ἐμβάψαι δὲ ἐς αὐτὸ εἴρια ὡς οἰσυπώδεα. κἄπειτα διεῖσα τῇ ἀμόργῃ ἕψειν. καὶ ὀπὸν ἐρινεοῦ ξυγχέαι. [8] καὶ στυπτηρίην μηλείην. καὶ νίτρον. καὶ ἄνθος χαλκοῦ, μῖξαι ὀπτὰ ἀμφό-

nuntur ſicca ſint, & ulcera non humectentur.

IX. Urendum autem eſt hoc pharmaco ad ulcera invete rata ac recentia: & ad pudendi, & capitis ac aurium ulcera. Aliud ad eadem ulcera. Fel bubulum ſiccum, mel quam optimum, vinum album in quo cocta ſint loti ramenta, thus, myrrha æqualis, crocus æqualis, flos æris ſimiliter. [2] Ex liquidis autem vinum ſit plurimum, deinde mel, pauciſſimum vero fel. [3] Aliud. Vinum, mel, oleum cedrinum: Sicca vero ſint, flos æris, myrrha, malicorium ſiccum. [4] Aliud. Flos æris toſtus dimidia parte, myrrhæ duæ partes dimidiæ, croci partes tres, mel modicum, cum vino hæc torrentur. [5] Aliud. Thuris pars, gallæ pars, croci tres. Hæc ſingula ſicca quam leviſſime terito: deinde mixta ad ſolem calidiſſimum, affuſo uvæ immaturæ ſucco, donec viſcoſa fiat, per tres dies terito: poſtea vino auſtero, nigro, odorato, paulatim affuſo diluito. [6] Aliud. In vino dulci albo ilicis radices coquito, & ubi probe habere viſum fuerit, de vino defuſo duas partes ſumito, & amurcæ olei quam ſicciſſimæ partem unam. Poſtea agitando coquito, ut ne torrefiant, lento igne, donec ad bonam craſſitudinem deveniant. Aliud. [7] Reliqua quidem eadem ſint. Verum pro vino, acetum ſit album acerrimum, in quo tinctæ ſint ſuccidæ lanæ. Poſtea ammixta amurca coquito, & ſuccum caprifici affundito, [8] & alumen Melium, & nitrum ac æris florem, utraque toſta ammiſceto. Hoc magis priore

ἀμφότερα· τοῦτο μᾶλλον τοῦ προτέρου καθαίρει τὰ ἕλκεα· ξηραίνει δὲ τὸ πρότερον οὐχ ἧσσον. [9] Ἕτερον. Τὰ ἔρια βάψαι ὡς ἐν ὀλιγίστῳ ὕδατι. ἔπειτα οἴνου ξυγχέας μέρος τρίτον, ἕψειν ἕως ἂν καλῶς ἔχῃ τὸ πάχος. [10] ἀπὸ τῶνδε διαπυΐσκεσθαι ἐξέστι τὰ νεότρωτα τάχιστα. [11] Ἄλλο. Ἄρον ξηρὸν ἐπιπάσσειν, καὶ κράδης ἐν ὀπῷ φλοιὸν χλωρὸν τρίβων ἐν οἴνῳ ἐνστάζειν, καὶ ἄνευ οἴνου αὐτὸν, καὶ ξὺν μέλιτι. [12] Ἕτερον. Ὄξος ἀφεψῶν, λωτοῦ τορνεύματα, ἔστω δὲ λευκὸν τὸ ὄξος. κἄπειτα μίξαι ἀμόργην ἐλαιῶν, καὶ ὀῤῥὸν πίσσης ὠμόν. καὶ ἐπαλείφειν καὶ καταστάζειν. καὶ ἐπιδεσμεῖν. [13] ξηρὰ ἀποτρέπει τὰ νεότρωτα διαπυΐσκεσθαι. ἢ ὄξει ἀπονίψας, οἴνῳ ἀποσπογγίσαις.

X. Ἄλλο. Τὸν μόλιβδον τὸν λεῖον ξὺν τῇ σποδῷ τῇ κυπρίῃ λελειασμένον ἐπιπάσσειν. καὶ τοῦ λωτοῦ τὰ ἰχθυήματα ἐπιπάσσειν. καὶ τὴν λεπίδα τοῦ χαλκοῦ. καὶ τὴν στυπτηρίην, καὶ τὴν χαλκῖτιν μετὰ τοῦ χαλκοῦ. καὶ μούνην. καὶ μετὰ τῶν τοῦ λωτοῦ ἰχθυημάτων. [2] Καὶ ἄλλως, ὅταν δέηται ξηροῖσι τοῖσι τοιούτοισι χρῆσθαι. καὶ τῇ σποδῷ τῇ ἰλλυριώτιδι λείῃ μετὰ τῶν ἰχθυημάτων. καὶ αὐτοῖσι μούνοισι ἰχθυήμασι. καὶ ἄνθει ἀργύρου μούνῃ, ὡς λειοτάτῃ. καὶ τὴν ἀριστολοχίην, ξύων τε καὶ τρίβων λείην ἐπιπάσσειν. [3] Ἕτερον ἔναιμον. Σμύρνα. λιβανωτὸς. κηκίς. ἰός. ἄνθος χαλκοῦ ὀπτόν. στυπτηρίη αἰγυπτίη ὀπτή. οἰνάνθη. οἰσυπίδες. μολύβδαινα. τούτων ἴσον ἑκάστου ἡ δίεσις σὺν οἴνῳ, ὥσπερ τὸ πρότερον. [4] καὶ ἄλλη ἐργασίη κατὰ τὰ αὐτά. Ὄξος ὡς ὀξύτατον λευκόν. μέλι. στυπτηρίην αἰγυπτίην. νίτρον ὡς ἄριστον, ἡσύχως φρύξας. χολῆς ὀλίγον. συνέψειν. τοῦτο τὰ ὑπερσαρκέοντα

priore ulcera purgat. Verum prius non minus resiccat. [9] Aliud. Lanas succidas paucissima aqua tingito, deinde vini tertiam partem ad aquam misceto, ac coquito donec bona provenerit crassitudo. [10] Ex his recentia vulnera quam citissime suppurari possunt. [11] Aliud. Aron siccum inspergito ac adaptato. Aliud. Fici dum succulenta est corticem viridem, in vino tritum immittito: & sine vino, ipsum etiam cum melle. [12] Aliud. Ad acetum in quo cocta sunt loti ramenta (sit autem acetum album) amurcam olivarum, & picis serum crudum ammisceto, & illinito, & instillato, & deligato sicca. [13] (Hoc recentia vulnera avertit ne suppurentur:) aut aceto abluito, & vino imbuta spongia extergito.

X. Aliud. Plumbum tritum cum spodio Cyprio levigatum inspergito. Et loti ramenta inspergito: & squamam æris, & chalcitidem cum ære, & solam per se, & cum loti ramentis. [2] Et alias ubi siccis opus fuerit, talibus utendum est, & spodio Illyrico trito cum ramentis, & ipsis solis ramentis, & flore argenti solo quam levissime trito: & aristolochiam rasam ac tritam leviter, inspergito. [3] Aliud, ad cruenta vulnera. Myrrha, thus, galla, ærugo, flos æris tostus, alumen Ægyptium tostum, œnanthe, lanarum sordes, plumbago: Horum singulorum æquale pondus diluitur cum vino velut superius, & reliqua præparatio fit eodem modo. [4] Aliud. Acetum quam acerrimum album, mel, alumen Ægyptium, nitrum optimum leviter tostum, fellis parum, simul coquito. Hoc carnem

κέοντα καθαρὰ καὶ κοιλαίνει, καὶ οὐ δάκνει. 5 ἄλλο. Ποίη ἡ μικρόφυλλος, ἡ ὄνομα παρθένιον τὸ μικρόφυλλον (ἣ τὰ θύμια 6 τὰ ἀπὸ τοῦ ποσθίου ἀφαιρεῖ) καὶ στυπτηρίη, καὶ χαλκῖτις, καὶ μηλιάδος ὠμῆς, ἐλατήριον λεπτὸν ξηρὸν προσπίλαι, καὶ τὸ σίδιον λεπτὸν ξηρὸν ὡσαύτως.

XI. Πληροῖ δὲ μάλιστα τὰ κοῖλα τὰ καθαρά, ποίη, ἡ λαγώπυρος ὄνομα (ἔστι 2 δὲ πιτύροισιν ὁμοίη ὅταν αὐαίνηται, μικρὸν τὸ φύλλον, ὥσπερ τὸ τῆς ἐλαίης, καὶ μακρότερον) καὶ πρασίου τὸ φύλλον, σὺν ἐλαίῃ. 3 Ἕτερον. Ἰσχάδος τὸ ἔσω, τὸ πῖαρ, τὸ μελιτῶδες, ὡς ξηροτάτης, ὕδατος δύο μοίρας, καὶ λίνου καρπὸν φρύξας μὴ σφόδρα, ὡς λεπτοτάτου, μοῖραν μίαν. 4 ἄλλο. τῆς ἰσχάδος, καὶ ἄνθος χαλκοῦ ὀλίγον λεπτόν. καὶ συκῆς ὀπόν. τὸ δ' ἐκ τῆς ἰσχάδος [ἔσω] χαμαιλέων μέλας, χολὴ βοὸς ξηρή. τὰ μὲν ἄλλα τὰ αὐτά, τὰ δὲ ξηρά, καρδάμου λεπτόν, ὠμόν. ἐρύσιμον. ἑκατέρου ἴσον. τῆς δὲ ἰσχάδος δύο μέρη, λίνου καρποῦ, δύο μοίρας. ὀπὸν συκῆς. 5 ὅταν τούτων τινὶ χρέῃ τῶν φαρμάκων σπλήνας ἄνωθεν ὀξηρὰς ἐπιθείς, σπόγγον ἄνωθεν τῶν σπληνῶν ἐπιθείς, καὶ ἐπιδεῖν, καὶ προσπιέσαι ὀλίγῳ μᾶλλον. 6 τὰ δὲ περιέχοντα ἢν φλεγμαίνῃ, ὅ, τι ἂν δοκέῃ ξυμφέρειν, περιπλάσσειν. 7 Ἢν βούλῃ ὑγρῷ χρῆσθαι, καὶ τὸ ἰσχαδικὸν φάρμακον ἐπαλείφειν. ἐπιδεῖν δὲ ὥσπερ τὰ πρότερα γέγραπται, κατὰ τὸν αὐτὸν λόγον. 8 ἔστι δὲ ἐκ τῶνδε τὸ φάρμακον ποιεύμενον. ἐλλεβόρου μέλανος. σανδαράχης. λεπίδος. μολίβδου πεπλυμένου, σὺν πολλῷ θείῳ, ἀρρενικοῦ,

nem superexcrescentem consumit, & cavat, & non mordet. 5 Aliud. Herba est parvis foliis prædita, cui nomen est Parthenium microphyllum. Hæc verrucas 6 de pudendo aufert: & chalcitis ex insula Melo cruda, & elaterium tenue siccum adaptato: & malicorium tenue siccum eodem modo.

XI. Maxime autem replet cava, pura, herba Lagopyrus nomine: 2 est autem tritico similis ubi arescit, folio parvo velut olea, sed longiore: & marrubii folium cum oleæ foliis. 3 Aliud. Caricæ siccissimæ internam partem pinguem, mellis speciem referentem duabus portionibus cum seminis lini tosti non admodum, ac triti quam tenuissime parte una. 4 Aliud. Caricæ partem internam, & florem æris tenuem modicum, & fici succum. Aliud. Caricæ partem internam, chamæleonem nigrum, bubulum fel siccum. Aliud. Reliqua quidem eadem sint. Verum sicca, nasturtium tenue crudum, irio, utrunque pari pondere: caricæ vero partes duæ sint, & seminis lini partes duæ, cum fici succo. 5 Quum autem aliquo horum pharmacorum uteris, splenia aceto imbuta superne imponito, & spongia super splenia imposita deligato, & paulo magis apprimito. 6 Si vero circumsitæ partes inflammatæ fuerint, quicquid conferre visum fuerit circumponito. 7 Si liquido uti voles, etiam caricum pharmacum illinito, & velut supra scriptum est deligato eodem modo. 8 Est autem ex his pharmacum factum, veratro nigro, sandaracha, squama æris, plumbo usto, cum multo sulphure,

30 κῷ, κανθαρίδος. τούτων ὁποῖα δοκέῃ συντιθέντι χρῆσθαι. 9 ἢ δὲ διεὶς, κεδρίνῳ ἐλαίῳ. ἐπὴν δὲ ἅλις ἔχῃ ἐπαλειφόμενον, ἐκβάλλειν τὸ φάρμακον. ἐπιπλάσσειν ἄρον ἑφθὸν. λεῖον. ἢ τρίβων ξηρὸν, τῷ ἐλαίῳ δεύων. καὶ, ἢν ξηρῷ χρῇ τῷ κρα-κῷ, τούτων χρὴ ἀφαιρέειν, τὸ φάρμακον ἐπιπλάσσειν. 10 ποιέει δὲ τὸ ξηρὸν ἀπὸ τοῦ ἐλλεβόρου μόνου καὶ τῆς σανδαράχης. 11 Ἕτερον ὑγρόν. Ποίη, ἧς τὸ φύλλον ὅμοιον ἄρῳ τὴν φύσιν (12 λευκὸν δὲ, χνοῶδες κατὰ κισσοῦ φύλλον τὸ μέγεθος) αὕτη ἡ ποίη σὺν οἴνῳ ἐπιπλάσσεται. ἢ τοῦ πρίνου τὸ περὶ τὸ στέλεχος τρίψας σὺν οἴνῳ, ἐπιπλάσσειν. 13 Ἕτερον. Ὀμφακοῦ χυλός. ὄξος ὡς ὀξύτατον. ἄνθος χαλκοῦ. νίτρον. ὀπὸς ἐρινεοῦ. ἐς ὄμφακος χυλὸν στυπτηρίην ἐμβάλλειν ὡς λεοτάτην, καὶ θεῖναι ἐν χαλκῷ ἐρυθρῷ ἐς ἥλιον, καὶ ἀνακινέειν. καὶ ἀνελεῖν, ὅταν δοκέῃ καλῶς ἔχειν τὸ πάχος.

XII. Ἔναιμα ξηρὰ τάδε. Ἐλλέβορος μέλας ὡς λεότατος ἐπιπάσσεται, ἕως ἄν τι τοῦ ὑγροῦ ἐνῇ, καὶ 40 νεμομένου. ἐπίδεσις δὲ ἡ αὐτὴ, ἥπερ ἐπὶ τοῖσιν ἐμπλάστροισιν. 2 Ἕτερον ὁμοίως. Ἅλας χόνδρους ὡς ξηροτάτους, ἐς χυτρίδιον χάλκιον ἢ κεραμεοῦν καινὸν ἐμβάλλειν, ἴσους ὡς μάλιστα τὸ μέγεθος, μὴ ἁδρούς. καὶ μέλι ὡς κάλλιστον διπλάσιον τῶν ἁλῶν εἰκάσας ἐπιχέαι ἐπὶ τοὺς ἅλας. ἔπειτα ἐπιθεῖναι ἐπὶ τοὺς ἄνθρακας τὸ χυτρίδιον, καὶ ἐᾶν, ἕως ἂν κατακαυθῇ πᾶν. 3 ἔπειτα ἀναποσπογγίσας τὸ ἕλκος καὶ ἐκκαθήρας, ἐπιδῆσαι ὥσπερ τὸ πρότερον, καὶ πιέσαι ὀλίγῳ μᾶλλον. 4 τῇ δ' ὑστεραίῃ, ὅπῃ ἂν μὴ λάβηται τὸ φάρ-

auripigmento, cantharide. Ex his prout visum fuerit componito, ac utitor.[9] Diluuntur oleo cedrino. Postquam vero satis fuerit illitum, pharmacum ejicito, & aron coctum, tritum imponito: aut siccum, tritum, oleo subactum. Et si sicco carico uti voles, liquida removere oportet, & pharmacum inspergere. [10] Facit autem siccum ex veratro solo constans ac sandaracha. [11] Aliud liquidum. Herba est cujus folium simile est aro natura, [12] (verum album, lanuginosum, ad hederæ folii magnitudinem.) Hæc herba cum vino imponitur. Aut ilicis partem eam quæ est circum truncum, cum vino tritam imponito. [13] Aliud. Uvæ immaturæ succus, acetum acerrimum, flos æris, nitrum, succus caprifici. Ad uvæ immaturæ succum alumen injicito tenuissime tritum, & in vas æris rubri immissum ad solem exponito ac agitato, & ubi ad bonam spissitudinem devenerit tollito.

XII. Sicca ad cruenta vulnera hæc faciunt. Veratrum nigrum tenuissime tritum inspergitur, quandiu aliquid humoris inerit ac depascentis. Deligatio vero eadem est quæ in emplastris. [2] Aliud. Salis grana siccissima in æneam ollam, aut fictilem novam immittito, magnitudine maxime æqualia, non magna: & mel optimum dupla salis mensura, pro conjectura facta, ad salem affundito: deinde ollam prunis imponito, & dum totum combustum fuerit, sinito. [3] Postea extersо ac expurgato per spongiam ulcere inspergito, & velut prius deligato, & paulo magis comprimito. [4] Postridie vero qua parte non adhæserit pharmacum

φάρμακον ἐπιπάσσειν, περισπλίζειν καὶ ἐπιδεῖν. [5] ὅταν δὲ βούλῃ ἀφιστάναι τὸ φάρμακον, ὄξος θερμὸν ἐπιχέειν, ἕως ἂν ἀποστῇ. καὶ αὖθις τὰ αὐτὰ ποιέειν, ἢν δέηται ἀναποσπογγίσιος. [6] ἄλλο ξηρὸν δακνηρόν. Μίσυος ὡς λεπτότατα ἐπιπάσσειν, ἐπὶ τὰ ὑγρὰ καὶ σαπρά. καὶ ἄνθος χαλκοῦ λεπτὸν, μὴ παντελῶς λεῖον. [7] ἄλλο ξηρὸν ὁμοίως δακνηρόν. ἀναποσπογγίσας, ὡς οἰσυπωδέστατα εἴρια, ἐπ' ὀστράκου κατακαῦσαι, διαμπερὲς προσίσχων, ἕως ἂν πάντα κατακαύσῃς. [8] τοῦτο λεῖον τρίβων καὶ ἐπιπάσσων, τὴν αὐτὴν ἐπίδεσιν ἐπιδεῖν. [9] Ἕτερον ξηρὸν ἐπὶ τῶν αὐτῶν ἑλκέων. χαμαιλέων μέλας. στυπτηρίη, ἡ τῷ ὀπῷ τῆς συκῆς δεδευμένη, δεύειν δὲ ὀπτὴν, καὶ ἄγχουσαν μισγειν. [10] ἀναγαλλὶς καὶ στυπτηρίη αἰγυπτίη ὀπτὴ, ἐπίπαστον ὀρχομένιον ἐπιπάσσειν. [11] πρὸς δὲ τὰς νομάς. στυπτηρίη, ἥ τε αἰγυπτίη ὀπτὴ, καὶ ἡ μηλιάς. [12] πρότερον δὲ ἀπονιτρῶσαι ὀπτῷ καὶ ἀναποσπογγίσαι. καὶ ἡ χαλκῖτις στυπτηρίη ὀπτή. ὀπτᾶν δὲ ἕως ἂν φλογοειδὴς γένηται. [13] Τῶν παλαιῶν ἑλκέων τῶν ἐν τοῖσιν ἀντικνημίοισι γινομένων· αἱματώδεα δὲ ταῦτα γίνεται καὶ μέλανα. [14] Μελιλώτου ἄνθος τρίψας, μέλιτι φυρῶν, ἐπιπλάσσειν χρή. ἐπὶ νεῦρα δὲ διατετμημένα, ἐπιδεῖν μυρσίνης ἀγρίης ῥίζας κόψας καὶ διαττήσας, καὶ φυρήσας ἐλαίῳ. [15] καὶ τὴν ποίην τὴν πεντάφυλλον (λευκὴ δέ ἐστι καὶ χνοώδης, καὶ ὑψηλοτέρα ἀπὸ τῆς γῆς ἢ τὸ μέλαν πεντάφυλλον) ταύτην τρίψας ἐν ἐλαίῳ ἐπιδεῖν. ἀπολύειν δὲ τριταῖον. [16] Μαλθακώδεα. τοῖσιδε χρὴ τοῖσι φαρμάκοισι χρῆσθαι, ἐν χειμῶ-

cum inspergito, comprimito ac deligato. [5] Ubi vero pharmacum discedere voles, acetum calidum affundito, donec discedat: & rursus eadem facito, si opus fuerit extersione per spongiam facta. [6] Aliud siccum mordax. Misy quam levissime tritum inspergito in ea quæ humida sunt ac putrida: & florem æris tenuem non penitus leviter tritum. [7] Aliud siccum similiter mordax. Ubi spongia extersisti, lanas quam maxime succidas in testa exurito, face admota donec totas combusseris: [8] hoc pharmacum leviter tritum inspergito, & eandem deligationem adhibeto. [9] Aliud siccum ad eadem ulcera. Chamæleo niger, alumen fici succo subactum: subigito autem tostum, & anchusam misceto. [10] Aliud. Anagallis & alumen Ægyptium tostum. Aliud. Pulvillum inspersilem Orchomenium inspergito. [11] Cæterum ad nomas proserpendo depascentes, alumen Ægyptium tostum, itemque Melium facit. [12] Verum nitro tosto insperso prius præparare ac spongia extergere oportet. Facit & chalcitis tosta. Torrere autem oportet, donec flammæ speciem induat. [13] Ad vetera ulcera in tibiis oborientia: (fiunt autem sanguinolenta & nigra) [14] meliloti florem tritum, melle subactum, cataplasmatis modo utere. At vero supra nervos dissectos, myrti sylvestris radices contusas ac cribratas, & oleo subactas deligato. [15] Et herbam quinquefolium (est autem alba & laruginosa, & altior à terra, quam nigrum quinquefolium) in oleo tritum deligato, & tertia die exolvito. [16] His autem medicamentis

χειμῶνι μᾶλλον, ἢ ἐν θέρει.

XIII. Φάρμακα μαλθακώδεα, ἃ οὐλὰς καλὰς ποιεῖ. [2] Σκίλλης τὸ εἴσω τὸ μυξῶδες τρίψας, ἢ πεύκην σὺν συείῳ στέατι νέῳ, ὀλίγον ἔλαιον καὶ ῥητίνης ὀλίγον, καὶ ψιμύθιον. καὶ στέαρ χηνὸς, καὶ συὸς νέον, καὶ σκίλλαν, καὶ ἔλαιον ὀλίγον. κηρὸς ὡς λευκότατος, στέαρ πρόσφατον καθαρόν. [3] ἢ σκίλλαν καὶ ἔλαιον λευκὸν, ῥητίνης ὀλίγον. κηρὸν, στέαρ συὸς παλαιὸν καὶ νέον, καὶ ἔλαιον, καὶ ἰὸς καὶ σκίλλα, καὶ ῥητίνη. [4] ἔστω δὲ δύο μοῖραι τοῦ παλαιοῦ στέατος πρὸς τὸ νέον. τῶν δὲ ἄλλων ὁκόσον δοκέῃ καιρὸς εἶναι. στέαρ συντήξας πρόσφατον ἀποχέας εἰς ἕτερον χυτρίδιον, καὶ τῆς μολυβδαίνης τρίψας ὡς λεπτότατον διαττήσας, συμμίξας ἕψειν, καὶ κυκᾷν τὸ πρότερον. [5] ἕψειν δὲ, ἕως ἂν ἐπιστιχθὲν ἐπὶ γῆς πήγνυται. ἔπειτα καθελὼν ἀποχέειν τὸ ἄλλο, πλὴν τοῦ λίθου τοῦ ὑποστάσης. καὶ ἐμβάλλειν ῥητίνην καὶ ἀνακινέειν. καὶ κέδρινον ἔλαιον ὀλίγον ξυμμίξας τὸ ἀφῃρημένον. [6] πάντη δὲ τοῖσι μαλθακοῖσιν, ὅκου ἂν ῥητίνην ξυμμιγνύῃς, ἐπειδὰν ἀφέλῃς ἀπὸ τοῦ πυρὸς τὸ φάρμακον, ἐς θερμὸν ἔτι ἐὸν καθεὶς τὴν ῥητίνην κυκᾷν. [7] Ἕτερον. στέαρ συὸς παλαιὸν, καὶ κηρὸς, καὶ ἔλαιον. τὰ δὲ ξηρὰ ἰχθυήματα τοῦ λωτοῦ. λιβανωτός. μολύβδαινα. ἤγουν τοῦ μὲν μοῖρα, καὶ τῆς δὲ μοῖρα, καὶ τοῦ ἰχθυήματος μοῖρα. ἔστω δὲ τοῦ παλαιοῦ στέατος, δύο μοῖραι. κηροῦ δὲ μία, καὶ νέου στέατος μία. [8] Ἕτερον. ἢ στέαρ μόνον παλαιὸν ὕειον. ξὺν τῷδε, στέαρ αἰγὸς πρόσφατον. ὡς ἥκιστα ξὺν τῷ ὑμένι καθαρθὲν, μικρὰ, τρίψας. ἢ καταχόψας λεῖα, ἔλαιον παραχέειν, καὶ

mentis in hyeme potius quam æstate utendum est.

XIII. Medicamenta mollientia, quæ etiam cicatrices, pulchras faciunt. [2] Scillæ internam partem mucosam terito, & resinam de picea, cum recenti adipe suillo, & oleo modico, resinaque ac cerusa modica. Et adipem anserinum, ac suillum recentem purum, & oleum modicum, & scillam, & ceram albissimam. [3] Aut scillam, oleum album, resinæ parum, ceram, adipem suillum veterem ac recentem. Facit & oleum, & ærugo, & scilla, & resina. [4] Sint autem duæ partes veteris adipis ad recentem: de reliquis autem quantum oportunum esse visum fuerit. Adipem recentem liquefactum in aliam ollam defundito, & plumbaginem levissime tritam ac cribratam commisceto ac coquito, & primum agitato. [5] Coquito autem donec destillatum in terram congeletur: deinde tollito, ac reliquum diffundito, præter lapidem subsidentem: & resinam injicito ac agitato, & modicum oleum cedrinum, & quod prius diffusum ac ablatum fuit ammisceto. [6] Porro in omnibus mollibus in quibus resinam ammisces, ubi pharmacum ab igne abstuleris, in calidam adhuc resinam immittito ac agitato. [7] Aliud. Adeps suillus vetus & novus, & cera & oleum. Sicca vero, loti ramenta, thus, plumbago: thuris videlicet, pars una, plumbaginis una, & ramentorum loti una. [8] Aut adipem solum veterem suillum, & cum ipso adipem caprinum recentem, quam minime cum membrana, sed purgatum, parum terito aut contundito,

καὶ περιπάσσειν τῇ μολίβδῳ, ἔχον τῇ σποδῷ, καὶ λωτοῦ ἰχθυημάτων τὸ ἥμισυ. [9] Ἕτερον. Στέαρ αἰγὸς. σποδὸς. χαλκῖτις. κυανέη. ἔλαιον.

XIV. Περὶ πυρικαύστων. [2] Ἕψειν χρὴ πρίνου ῥίζας ἁπαλὰς (ὧν [3] ὁ φλοιός ἐστι παχύτατος καὶ χλωρότατος) κατατεταμὼν μικρὰ, οἶνον λευκὸν ἐπιχέας, μαλθακῷ πυρὶ καθεψεῖν, ἕως ἂν δοκέῃ καλῶς ἔχειν τὸ πάχος, ὡς ὑπαλείφειν, καὶ ἐν ὕδατι τὸν αὐτὸν τρόπον. [4] Ἕτερον μὴ δάκνον. ὑὸς στέαρ μοῦνον παλαιὸν ὑπαλείφειν, τήξας αὐτό. ἄνωθεν διὰ τῆς σκίλλης, τὴν ῥίζαν διαιρῶν καὶ προστιθεὶς καταδεῖν. [5] τῇ δὲ ἑξῆς ἐπαιονᾷν τήξας, στέαρ τε ὑὸς παλαιὸν, καὶ κηρὸν, καὶ ἔλαιον συμμίξας, καὶ λιβανωτὸν, καὶ λωτοῦ ἰχθυήματα, καὶ μίλτον τούτῳ ὑπαλείψας. [6] ἄρου φύλλα ἐν οἴνῳ καὶ ἐλαίῳ ἑψήσας, προστιθεὶς καταδεῖν. [7] Ἕτερον, ἐπειδὰν τῷ συείῳ στέατι ὑπαλείψῃς τῷ παλαιῷ, καταλείφειν ἀσφοδέλου ῥίζας ἐν οἴνῳ τρίψας καὶ λείας. [8] Ἕτερον. τήξας στέαρ συὸς παλαιὸν, συμμίξας ῥητίνῃ καὶ ἀσφάλτῳ, καὶ αὐτὸ ἐπαλείψας ἐς ὀθόνιον, θερμήνας πρὸς πῦρ, ἐπιθεὶς ἐπιδεῖν. [9] ὅταν ἐν τῷ νώτῳ ὑπὸ πληγέων, ἢ ἄλλως ἕλκος γένηται, τῇ σκίλλῃ ἑφθῇ, τρίψας ἐπ' ὀθόνιον ἀλείψας ἐπιδεῖν. [10] ὕστερον δὲ στέαρ αἰγὸς, καὶ συὸς νέον, καὶ σποδὸν, καὶ ἔλαιον, καὶ λιβανωτὸν ἐπαλείφειν.

XV. Οἰδήματα ἐν τοῖσι ποσὶ γινόμενα, αὐτόματα καὶ μὴ αὐτόματα, οὐδὲν ὑπὸ τῶν καταπλασμάτων καθιστάμενα, τά τε οἰδήματα, καὶ ἡ φλεγμασίη. καὶ ἢν σπόγγους ἐπιδῇ τις ἢ εἴρια, ἢ τι ἄλλο.

dito, & oleum affundito, & plumbum cum spodio inspergito, & ramentorum loti dimidium. [9] Aliud. Adeps caprinus, spodium, chalcitis cærulea, oleum.

XIV. De Ambustis. [2] Ilicis radices coquere oportet teneras. [3] Quarum si cortex crassissimus est ac viridissimus; confectum in tenues partes, vino albo affuso, lento igne coquito, donec ad bonam crassitudinem deveniat, ut illini possit. Potest & in aqua coqui eodem modo. [4] Aliud non mordax. Suillum adipem solum veterem liquefactum illinito. Superne vero scillæ radicem dissectam imponito ac deligato. [5] Postridie vero foveto ac perfundito, & adipem suillum veterem liquato, & ceram ac oleum ammisceto, thus item, & loti ramenta, ac minium: hoc ubi illeveris, [6] ari folia in vino ac oleo cocta apponito ac deligato. [7] Aliud. Postquam suillo adipe illeveris vetusto, hastulæ regiæ radices in vino coctas ac tritas superillinito. [8] Aliud. Adipem suillum veterem liquato, & resinam ac bitumen ammisceto, & hæc linteo illita, ad ignem calefacta, imponito ac deligato. [9] Quum in dorso ex plagis, aut alias ulcus factum fuerit, scilla cocta, trita, ac linteo illita deligato. [10] Postea vero adipem caprinum, & recentem suillum, & spodium, & oleum, & thus illinito.

XV. Tumores in pedibus oborti, & sponte, & non sua sponte, in quibus neque tumores, neque inflammatio à cataplasmatis sedatur, & si quis spongias deliget, aut lanas, aut aliud quid super sanam partem, postea intume-

ἐπὶ τὸ ὑγιὲς, ὅπου ἀνοιδίσκηται αὐτόματον καὶ ἀναφλεγμαίνη. ² κατὰ φλέβας ἐπίρρυσις αἴτιόν ἐστιν αἵματος, ᾧ τινι μὴ φλάσμα αἴτιόν ἐστι. ³ καὶ, ἢν που ἄλλοθι τοῦ σώματος τοιοῦτόν τι γένηται, ὁ αὐτὸς λόγος. ⁴ ἀλλὰ τοῦ αἵματος χρὴ ἀφιέναι, μάλιστα μὲν κατὰ φλέβας τὰς ἐπιρρεούσας, ἢν καταφανέες ἔωσιν. ἢν δὲ μὴ, καταχρίειν τὰ οἰδήματα βαθύτερα καὶ πυκνότερα. καὶ ἄλλο τι ὅ, τι ἂν καταχρίῃς, οὕτω χρὴ ποιέειν καὶ ὡς ὀξυτάτοισι σιδηρίοισι καὶ λεπτοτάτοισι. ⁵ καὶ ὅταν ἀφαιρέῃς τὸ αἷμα τῇ μήλῃ, μὴ κάρτα πιέζειν, ὡς μὴ φλάσις προσγένηται. ⁶ ὄξει δὲ καταντλεῖν, καὶ θρόμβον αἵματος ἐν τοῖσι χάσμασι μὴ ἐᾶν ἐγκαταλείπεσθαι, καταχρίσας τῷ ἐναίμῳ φαρμάκῳ, εἴρια οἰσυπηρὰ, κατεξασμένα, μαλθακὰ ἐπιδῆσαι, ῥαίνων οἴνῳ καὶ ἐλαίῳ. ⁷ καὶ ἐχέτω τὸ χαραχθὲν ὅκως ἀνάρρους εἴη τοῦ αἵματος, καὶ μὴ κατάρρους καὶ μὴ τεγγέτω ὅλως. καὶ ὀλιγοσιτείτω. καὶ πινέτω ὕδωρ. ⁸ ἢν δὲ ἀπολύων εὑρίσκῃς τὰ χάσματα φλεγμαίνοντα, καταπλάσσειν τῷ ἐκ τοῦ ἄγνου καὶ λίνου καρποῦ καταπλάσματι. ⁹ ἢν δὲ ἑλκωθῇ τὰ χάσματα καὶ συρραγῇ, πρὸς σχῆμα ὁρέων, ἐπ' ὅτι προσφέρων, ὃ ἂν δέῃ, τὰ λοιπὰ ἰητρεύειν.

XVI. Ὅκου δὲ κιρσὸς ἔνεστιν ἐν τῷ ἀντικνημίῳ, ἢ περιφανὴς, ἢ κατὰ τῆς σαρκὸς, καὶ ἐστι μέλαν τὸ ἀντικνήμιον, καὶ δοκέει δεῖσθαι αἵματος ἀπ' αὐτοῦ ἀπορρυέντος, οὐ χρὴ τὰ τοιαῦτα καταχρίειν οὐδαμῶς. ὡς γὰρ ἐπὶ τὸ πολὺ ἕλκεα μεγάλα γίνεται ἐκ τῶν χασμάτων διὰ τοῦ κιρσοῦ τὴν ἐπιρροίην. ² ἀλλὰ χρὴ αὐτὸν τὸν κιρσὸν ἀποκεντέειν ἄλλοθι καὶ ἄλλοθι, ὅπῃ ἂν δοκέῃ καιρὸς εἶναι. ³ Ὅταν δὲ φλέβα

scunt sua sponte, ac inflammantur; ² influxio sanguinis per venas in causa est, si cui non contusio causa est. ³ Et si alicubi alia in corporis parte tale quid fiat, eadem ratio est. ⁴ Verum sanguinem detrahere oportet, de venis præsertim influentibus, si conspicuæ fuerint: Sin minus, pertundere tumores oportet, profundioribus ac frequentioribus vulnusculis impactis. Sed & in aliis omnibus quæ pertundis, sic facere oportet, atque hoc acutissimis ac tenuissimis ferramentis. ⁵ Quum vero sanguinem detrahis, spicillo ne valde premas, ut ne contusio accedat. ⁶ Aceto autem perluito, & grumum sanguinis in hiatibus ne relinquito: & illito cruentis vulneribus destinato medicamento, lanas succidas, carminatas, molles deligato, vino & oleo respersas. ⁷ Et pertusam partem æger ita habeat, ut refluxus sit sanguinis, non defluxus: & omnino non humectet: & parum cibi capiat, & aquam bibat. ⁸ Si vero ubi solveris, fissuras reperreris imflammatas, cataplasma ex vitice ac lini semine imponito. ⁹ Si vero ulceratæ fuerint fissuræ ac eruperint, ad rem respicies, & quod opus fuerit adhibens, de cætero curato.

XVI. At ubi varix inest in tibia, aut conspicuus, aut in carne, & tibia est nigra, & videtur opus habere sanguine ab ipsa defluente: talia nequaquam pertundere oportet. Plerunque enim magna ulcera ex fissuris fiunt, propter varicis influxum. ² Verum varicem ipsum alias atque alias compungere oportet, ubi oportunum esse visum fuerit. ³ Cæterum quum venam secueris, post-

φλέβα τάμνῃς, ἐπειδὰν τοῦ αἵματος
ἀφῇς καὶ λύσῃς τὴν ταινίην, καὶ μὴ ἵστη-
ται, τὰ ἀντία ὅκως σοι ὁ ῥοῦς γίνηται,
καὶ τοῦ αἵματος ἐχέτω, ἤν τε χεὶρ, ἤν
τε σκέλος ᾖ, [3] ὥστε χωρέοντος τοῦ
αἵματος ὀπίσω. [4] καὶ οὕτως ὑπομεί-
νας χρόνον πλείω ἢ ἐλάσσω κατα-
κείμενος, [5] ἔπειτα ἐπιδῆσαι αὐτὸν
οὕτως ἔχοντα μὴ ἐνεόντος τινὸς θρόμ-
βου ἐν τῇ τομῇ· ἔπειτα σπλήνιον δι-
πλόον προσθεὶς, τέγξας οἴνῳ καὶ
ἄνωθεν εἴριον ἐλαιώσας καθαρόν.
[6] καὶ ἢν γὰρ ἐπίῤῥυσις τοῦ αἵματος ᾖ
βιαίη, σχέσις γίνεται ἐπιῤῥέοντος. [7]
καὶ ἢν θρόμβου ἐπὶ τῇ τομῇ γενο-
μένου οὕτω φλεγμήνῃ, διαπυΐ-
σκεται. [8] ἠριστηκότα δὲ χρὴ πλέον ἢ
ἔλασσον καὶ πεπωκότα φλεβοτο-
μέειν, καὶ ὑποτεθερμασμένον καὶ
ἡμέρης θερμοτέρης ἢ ψυχροτέρης.

XVII. [1] Σικύην δὲ προσβάλλον-
τα χρὴ, ἢν ἐπιῤῥέῃ τὸ αἷμα ἀφῃρη-
μένης τῆς σικύης, καὶ ἢν πολὺ ῥέῃ, ἢ
ἰχὼρ ᾖ, αὖθις ταχέως πρὶν ἢ
πλησθῆναι, αὖθις προσβάλλειν, ἐπε-
ξέλκειν τὸ λειπόμενον. [2] ἢν δὲ μὴ,
θρόμβοι ἐνεχόμενοι ἐν τοῖσι χά-
σμασιν, ἔπειτα ἀναφλεγμαίνοντα
ἕλκεα γίνεται ἐξ αὐτῶν. [3] ὄξει δὲ χρὴ
πάντα τὰ τοιαῦτα καταιονίζειν, καὶ
ὕστερον μὴ τέγγειν, μηδὲ κατακεῖσθαι
ἐπὶ τὰ χάσματα. [4] τῷ δὲ ἐναίμων
τινὶ φαρμάκων καταχρίειν τὰ
χάσματα. [5] καὶ, ὅταν κάτωθεν τοῦ
γούνατος δέῃ προσβάλλειν ἢ πρὸς τὸ
γόνυ, ἑστηκότι ὀρθῷ, ἢν δύνηται, ἱστά-
ναι.

postquam sanguinem dimiseris, & fasciam solveris, & non sistatur, in contrariam partem habeat, quo refluxus sanguinis fiat, sive manus fuerit, sive crus, utpote sanguine retro fluente: [4] atque ita tempus longius aut brevius decumbens expectet. [5] Postea ipsum sic habentem deligato, nullo grumo existente in fissura: deinde splenium duplum vino imbutum apponito, & super ipsum lanam puram oleo imbutam. [6] Nam etiamsi influxus sanguinis fuerit violentus, suppressio fit influentis. [7] Et si grumo in fissura manente sic inflammetur, suppuratur. [8] Pransum autem & potum plus aut minus venam secare sinere oportet, & aliquantum calefactum: & die calidiore quam frigidiore.

XVII. Si vero influat sanguis, cucurbitam affigere oportet: & si ablata cucurbita, multum sanguinis, aut serosus sanguis fluat, cito priusquam repleatur rursus affigere, & quod restat extrahere. [2] Sin minus, grumi in fissuris inhærent, & deinde ex ipsis inflammata ulcera fiunt. [3] Aceto autem omnia talia perluere oportet, & postea non humectare, neque in fissuras decumbere: [4] Verum aliquo medicamento cruentis vulneribus destinato fissuras illinere. [5] Et quum infra genu, aut ad genu affigere cucurbitas oportuerit, stanti erecto, si stare potuerit, affigantur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΣΥΡΙΓΓΩΝ.

HIPPOCRATIS DE FISTVLIS.

Basil. græc. Foesius sect. VI. 159. 883. Basil. lat.

Σύριγγες γίνονται μὲν ὑπὸ φλασμάτων καὶ φυμάτων, γίνονται δὲ καὶ ὑπὸ ἐρέσιος καὶ ἱππασίης, ὅταν ἀθροισθῇ ἐν τοῖσι γλουτοῖσιν αἷμα πλησίον τῆς ἕδρης. [1] σηπόμενον γὰρ νέμεται ἐς τὰ μαλθακά, ἅτε ὑγροῦ ἐόντος τοῦ ἀρχοῦ, καὶ τῆς σαρκὸς μαλθακῆς ἐν ᾗ νέμεται, ἕως ἂν τὸ φῦμα ῥαγῇ, καὶ κάτω ἐς τὸν ἀρχὸν διασαπῇ. [3] ἐπὴν δὲ τοῦτο γένηται, συριγγοῦται καὶ ἰχωρροεῖ, καὶ κόπρος ἐξ αὐτῆς καὶ φῦσα καὶ βδελυγμίη πολλή. [4] ὑπὸ μὲν οὖν τῶν φλασμάτων γίνεται, ἐπὴν ἢ τοῦ ἀρχοῦ ἐγγὺς χωρίον φλασθῇ ὑπὸ πληγῆς, ἢ ὑπὸ πτώματος, ἢ ὑπὸ τρώματος, ἢ ἐρέσιος, ἢ ἱππασίης, ἢ ὅσα τοιουτότροπά ἐστι. [5] συνίσταται γὰρ αἷμα, σηπόμενον δὲ ἐκπυΐσκεται, ὑπὸ δὲ ἐκπυϊσκομένου πάσχει ἅπερ ἐπὶ τῶν φυμάτων εἴρηται. [6] Πρῶτον μὲν οὖν ὅταν ἢ τοιοῦτον αἴσθῃ φυόμενον φῦμα, τάμνειν ὡς τάχιστα ὠμὸν πρὶν ἢ διαπυῆσαι ἐς τὸν ἀρχόν.

II. Ἢν δὲ ἰσαίσης ἤδη τὴν σύριγγα παραλάβῃς, λαβὼν σκορόδου φύσιγγα νεαρήν, ἀνακλίνας τὸν ἄνθρωπον ὕπτιον, τὰ σκέλεα διαγαγών, τὸ μὲν ἔνθα, τὸ δὲ ἔνθα, τὴν φύσιγγα καθιέναι ἐς ὃ ἂν προσκόψῃ, [2] μετρῆσαι τὸ βάθος τῆς σύριγγος τῇ φύσιγγι. [3] Σεσέλιος δὲ

Fistulæ fiunt quidem ex contusionibus & tuberculis; fiunt autem & ex remigatione ac equitatione, quum in natibus congregatus fuerit sanguis prope sedem. [2] Putrescens enim distribuitur ad molles partes, nimirum quum & intestinum rectum [c] sit humidum, & caro mollis, in quam distribuitur, donec tuberculum eruperit, & deorsum ad rectum intestinum computruerit. [3] Postquam autem hoc factum fuerit, in fistulam abit, ac sanie manat, & stercus per ipsam fluit, & flatus, & abominatio multa. [4] Ex contusionibus itaque fit fistula, ubi aliquis circa rectum intestinum locus contusus fuerit ex plaga, aut ex casu, aut vulnere, aut equitatione, aut remigatione, aut quæcunque talia sunt. [5] Congregatur enim sanguis, putrescens autem suppuratur, & suppurato vero ea quæ de tuberculis dicta sunt patitur. [6] Primum igitur quum tale quoddam tuberculum nascens senseris, crudum quam citissime secare oportet, priusquam suppuretur ad rectum intestinum.

II. Si vero jam ægrotantem ex fistula assumpseris, allii caulem recentem accipe, [1] & homine supino reclinato, diductis cruribus altero huc, altero illuc, caulem immitte donec offendas ac impingas: [2] & fistulæ profunditatem per caulem metire, [3] & seselis

δὲ ῥίζαν κόψας ὡς λεπτοτάτην, ὕδωρ ἐπιχέας, βρέχειν τέσσαρας ἡμέρας. καὶ ἐπὴν δίδως πίνειν, μέλι ἐπιδιαμίσγων τὸ ὕδωρ, κατὰ τρεῖς κυάθους. ἐν τούτῳ καὶ θηρίων ἀπαλλάσσει τὰς ἀσκαρίδας. ὁκόσοι δ' ἂν καταλειφθῶσιν ἀθεράπευτοι, θνήσκουσιν. Ἔπειτα ὀθόνιον βύσσινον ἀποβρέξας ὀπῷ τοῦ τιθυμάλλου τοῦ μεγάλου διδόναι, καταπάσσων αὐτὸ χαλκοῦ ἄνθει ὀπτοῦ τετριμμένου, στροβίλην ποιήσας, ἴσην τῇ σύριγγι τὸ μῆκος, ῥάμμα διεὶς δι' ἄκρας τῆς στροβίλης, καὶ αὖθις διὰ τῆς φυσητῆρος. ὕπτιον κατακλίνας τὸν ἄνθρωπον, κατοπτῆρι κατιδὼν τὸ διαβεβρωμένον τοῦ ἀρχοῦ, ταύτῃ τὴν φυσητῆρα διεῖναι. καὶ ὁκόταν παρακύψῃ ἐς τὸν ἀρχὸν, ἐπιλαμβανόμενος ἕλκειν, ἄχρις ἂν ἡ στροβίλη διωθῇ, καὶ ἰσωθῇ τῷ ἄνω, καὶ τῷ κάτω. ἐπὴν δὲ ἰσωθῇ, βάλανον ἐνθεὶς κεράτινον ἐς τὸν ἀρχὸν, γῇ διαχρίσας σμηκτρίδι τὸν ἀρχὸν ἐᾷν. ἐπὴν δὲ ἀποπατήσῃ, ἐξαιρέειν, καὶ αὖθις ἐντιθέναι, ἕως ἂν πεμπταῖος γένηται. ἕκτῃ δὲ ἡμέρῃ ἐξαιρέειν, ἕλκων τὴν στροβίλην ἔξω τῆς σαρκὸς. καὶ τρίψας στυπτηρίην πλήσας μετὰ ταῦτα τὴν βάλανον ἐς τὸν ἀρχὸν ἐμβαλὼν, ἐᾷν ἄχρις ἂν ἡ στυπτηρίη ὑγρὴ γένηται. τὸν δὲ ἀρχὸν σμύρνῃ ἀλείφειν, ἄχρις ἂν δοκέῃ συμπεφυκέναι. Ἑτέρη θεραπείη. ὠμόλινον λαβὼν ὡς λεπτότατον, συμβάλλειν ὅσον σπιθαμῆς μῆκος πενταπλοῦν, καὶ ξυμπεριελίσσειν ἱππείην τρίχα. ἔπειτα ποιησάμενος μήλην κασσιτερίνην ἐπ' ἄκρου τετρημένην, ἐνείρας ἐς τὴν μήλην τὴν ἀρχὴν τοῦ ὠμολίνου συμβεβλημένου, καθιέναι τὴν μήλην ἐς τὴν σύριγγα, καὶ ἅμα τῆς ἀριστερῆς χειρὸς τὸν δάκτυλον τὸν λιχανὸν καθι-

lis radicem tenuissime tritam; aqua affusa ad dies quatuor macerato, eamque aquam trium cyathorum mensura, melle ammixto æger bibat jejunus. [4] Cum hac etiam ascaridas purgato. [5] Quicunque vero relicti fuerint non curati, moriuntur. [6] Postea linteum byssinum tithymalli magni succo imbutum, flore æris tosto trito insperso, in penicilli figuram intorque longitudine fistulæ æqualem, filo per summum penicillum transmisso, [7] & rursus per summum caulem; & homine supino reclinato, adhibito catoptere instrumento sedem expandente, [8] corrosam recti intestini partem inspicito, & sic caulem immittito: [9] & ubi in intestinum inciderit, apprehensum retrahito, donec penicillus fuerit intrusus, & superiori ac inferiori parti adæquatus. [10] Postquam vero fuerit intrusus, glandem corneam in intestinum indito, & podice ex terra cimolia oblito finito. Ubi vero ventrem exonerat, eximito, & rursus indito, donec ad quintum pervenerit diem. [15] Sexta autem eximito, extrahens penicillum ex carne, & alumen terito, eoque glandem expleto, & in intestinum indito ac finito, donec alumen liquidum fiat. [12] Podicem vero myrrha illinito, donec coaluisse visus fuerit. [13] Alia curatio. Crudum linum tenuissimum accipito, & ad palmi longitudinem quincuplicato, & pilum equinum circumdato: [14] deinde facto spicillo stanneo, in summa parte perforato, & initio lini complicati in spicillum immisso, spicillum in fistulam demittito, & simul sinistræ manus digitum indicem in sedem indi-

καθεῖναι ἐς τὴν ἕδρην. [15] "ἐπὴν δὲ ψαύσῃ ἡ μήλη τοῦ δακτύλου, ἄγειν ἔξω τοῦ δακτύλου, ἀποκάμψας τῆς μήλης τὸ ἄκρον, καὶ τὴν ἀρχὴν τὴν ἐν τῇ μήλῃ. καὶ τὴν μὲν μήλην πάλιν ἐξαιρέειν," τοῦ δὲ ὠμολίνου τὰς ἀρχὰς ἀφάψαι δὶς ἢ τρίς. καὶ τὸ λοιπὸν τοῦ ὠμολίνου ἐπιστρέψας, ἐπιδῆσαι πρὸς τὸ ἅμμα. ἔπειτα κελεύειν ἀπελθόντα," διαπρήσσεσθαι τὰ ἑωυτοῦ. [16] "ἀλλὰ θεραπείη." ὁκόσον δ' ἂν σηπομένης τῆς σύριγγος χαλᾶται τοῦ ὠμολίνου, τοῦτο ἐπιτείνειν καὶ ἐπιστρέφειν αἰεὶ καθ' ἑκάστην ἡμέρην." ἢν δέ σοι τὸ ὠμόλινον διασαπῇ πρόσθεν, ἢ τὴν σύριγγα διαβρωθῆναι, πρὸς τὴν τρίχα προσάψας ἕτερον ὠμόλινον διεῖναι καὶ ἀφάψαι. [17] ἡ γὰρ θρὶξ διὰ τοῦτο παραβάλλεται τοῦ ὠμολίνου, ὅτι ἄσηπτός ἐστιν." ἐπὴν δὲ διασαπῇ ἡ σύριγξ, τέμνειν χρὴ σπόγγον μαλακὸν ὡς λεπτότατον προστιθέναι. ἔπειτα ἐς μὲν τὴν σύριγγα, ἄνθος χαλκοῦ ὀπτὸν συχνὸν τῇ μήλῃ ἐνθεῖναι. τὸν δὲ σπόγγον ἀλεῖψαι μέλιτι, καὶ ὑποβαλὼν μέσον τοῦ λιχανοῦ δακτύλου τῆς ἀριστερῆς χειρὸς, ὦσαι πρόσω, καὶ προσθεὶς ἕτερον σπόγγον, ἀναδῆσαι, τὸν αὐτὸν τρόπον, ὅν περ καὶ ἐπὶ τῇσιν αἱμορροΐσιν. [18] τῇ δὲ ὑστεραίῃ ἀπολύσας, περιθεῖναι ὕδατι θερμῷ. καὶ σπόγγῳ τοῦ δακτύλου τῆς ἀριστερῆς χειρὸς πειρᾶσθαι διακαθαίρειν τὴν σύριγγα" καὶ αὖθις πάλιν τὸ ἄνθος ἐπιδῆσαι ταῦτα ποιέειν ἑπτὰ ἡμέρας [19] (ἐν τοσούτῳ γὰρ μάλιστα "ὁ χιτὼν τῆς σύριγγος σήπεται)" τὸ δὲ λοιπὸν ἔστ' ἂν ὑγιὴς ἔῃ τῷ σπόγγῳ ἐπιδεῖν ([20] κατὰ γὰρ τοῦτον τὸν τρόπον, ὑπὸ τοῦ σπόγγου διαναγκαζομένη καὶ ἀναπτυσσομένη ἡ σύριγξ, οὔτε πάλιν ξυμπίπτοι ἄν, οὔτε τὸ μὲν αὐτῆς ὑγιανθείη ἄν, τὸ δὲ πάλιν ξυμπληρωθείη.

indito: [15] ubi vero spicillum contigerit digitum, inflexa summa spicilli parte, initium lini quod est in spicillo per digitum adducito: & spicillum quidem rursus extrahito, lini vero initia bis aut ter connectito, & reliquam lini partem intortam ad nexum deligato. Postea vero dimissum negocia sua obire jubeto. [16] Cæterum quantum putrescente fistula de lino laxatur, tantum intendere oportet, ac intorquere semper singulis diebus. Si vero linum crudum computrescat, priusquam fistula corrodatur, aliud linum ad pilum innecte, immitte ac connecte. [17] Pilus enim ea de causa ad crudum linum additur, quod non putrescit. Postquam vero fistula computruerit, spongiam mollem in tenuissima frusta concisam apponere oportet: deinde in fistulam quidem, florem æris tostum multum per spicillum immittere: Spongiam vero melle illinere, & subjecto digito indice sinistræ manus, ultra protrudere: & appositam alteram spongiam deligare (eodem modo velut in hæmorrhoidibus.) [18] Postridie vero exolvere, & aqua calida abluere, & cum spongia per sinistræ manus digitum fistulam purgare conari: & rursus æris florem immittere, ac spongiam deligare. Atque hæc facere oportet per dies septenos. [19] (In his enim maxime tunica fistulæ computrescit:) de cætero vero donec sanata fuerit spongiam deligare. [20] Nam dum per hunc modum fistula à spongia cogitur ac explicatur, neque rursus concidere poterit, neque alia ipsius pars sanabitur, alia vero rursus complebitur, sed in-

seipsa

θείη· ἀλλ' ἐν ἑωυτῇ πᾶσα ὑγιὴς ἔσται) ἐν τῇ θεραπείῃ δὲ προσκλύζειν ὕδατι πολλῷ θερμῷ, καὶ λιμοκτονέειν. [21] ἢν δὲ μὴ διαβεβρώκῃ ἡ σύριγξ, προμηλώσας μήλῃ, τέμνειν, ἕως ἂν διέλθῃ, καὶ ἐπίπασσε αὐτῇ ἄνθος χαλκοῦ. καὶ ἐᾶν ἐπὶ πέντε ἡμέρας. καταχεῖν δὲ ὕδωρ θερμόν. καὶ ἐπάνω ὕδατι φυρῶν, ἄλφιτον καταπάσσειν. καὶ φύλλα τεύτλων ἐπιδεῖν. [22] ἐπὴν δὲ ἐκπέσῃ τὸ ἄνθος τοῦ χαλκοῦ, καὶ καθαρὸν ᾖ τὸ ἕλκος τῆς σύριγγος, ἰῶ ὥσπερ τὴν ἔμπροσθεν. [23] ἢν δὲ ἐν χωρίῳ ᾖ, ὃ μὴ οἷόν τε, βαθείη δὲ καὶ ἡ σύριγξ, ἄνθει χαλκοῦ, καὶ σμύρνῃ, καὶ λίτρῳ οὔρῳ διεὶς, κλύζειν, καὶ ἐς τὸ στόμα τῆς σύριγγος μολύβδιον ἐνθεῖναι, ὅπως μὴ ξυμφύηται. κλύζειν δὲ πτεροῦ σύριγγα προσδήσας πρὸς κύστιν. καὶ καθεὶς ἐς τὴν σύριγγα, πρὸς τοῦτο διαγγεῖν κλύζων. [24] ὑγιὴς δὲ οὐ γίνεται, ἢν μὴ τμηθῇ.

III. Ἢν ὁ ἀρχὸς φλεγμήνῃ, καὶ ὀδύνην ἔχῃ καὶ πυρετὸς, καὶ ἐς ἄφοδον θαμινὰ καθίζῃ, καὶ μηδὲν ὑποχωρέῃ, καὶ ὑπὸ τοῦ φλεγμάτος δοκέῃ ἐξιέναι ἡ ἕδρη, καὶ ἐνίοτε στραγγουρίη ἐπιλαμβάνῃ. [2] τοῦτο τὸ νόσημα γίνεται, ὅταν φλέγμα ἐς τὸν ἀρχὸν κατασκήψῃ ἐκ τοῦ σώματος, ξυμφέρει δὲ τὰ θερμά. δύναται γὰρ ταῦτα προσφερόμενα λεπτύνειν καὶ ἐκτήκειν τὸ φλέγμα, καὶ ἅμα τῷ δριμεῖ, τὸ ἁλμυρὸν ἐξυδατοῦν. ὥστε μὴ εἶναι τὸ καῦμα, μηδὲ δῆξίν τινα ἐν τῷ ἀντέρῳ. [3] θεραπεύειν οὖν χρὴ ὧδε. καθίζειν ἐς ὕδωρ θερμόν. καὶ τρίψαντα τοῦ κόκκου τοῦ κνιδίου ἑξήκοντα κόκκους, διεῖναι ἐν οἴνου κοτύλῃ, καὶ ἐλαίου ἡμικοτυλίῳ χλιήνας, κλύσαι. ἄγει δὲ ταῦτα φλέγμα

seipsa tota sana erit. Verum in hac curatione multa aqua calida proluere oportet, & fame macerare. [21] Si vero non corrosa fuerit fistula, spicillo immisso secato, donec diduxeris, & æris florem inspergito, & ad dies quinque finito: deinde aquam calidam affundito, & polentam aqua subactam superimponito, & betarum folia deligato. [22] Ubi vero exciderit æris flos, & fistulæ ulcus purum fuerit, velut priorem curato. [23] Si vero in loco sit ubi fieri id non possit, & profunda etiam sit fistula, flore æris, & myrrha, & nitro in urina dilutis colluito: & in fistulæ osculum plumbeam glandem indito, ut ne coalescat. Collutio vero facienda est, pennæ fistula ad vesicam alligata, & fistula intro immissa, atque sic collutione infusa. [24] Verum sanus non fit, si non secetur.

III. Si intestinum rectum inflammatum fuerit, & dolor habeat & febris, & frequenter ad exonerandum alvum desideat, & nihil egerat, & præ inflammatione sedes exiisse videatur, & aliquando urinæ stillicidium corripiat: hic morbus fit, [2] quum pituita ex corpore ad intestinum rectum decubuerit. Conferunt autem calida. Quum enim hæc adhibentur, pituitam attenuare ac consumere possunt, & simul acrimonia sua salsam pituitam aquosam reddere, ut non sit ardor, neque morsus aliquis in intestino. [3] Curare itaque oportet hoc modo. Ægrum in calidam aquam collocato, & trita grani cnidii grana sexaginta in vini hemina, & olei hemina dimidia diluito, tepefacito, & infundito. Hæc & pituitam

μα educunt

μα καὶ κόπρον. ⁴ ὅταν δὲ μὴ ἐν τῷ ὕδατι καθίζῃ, ᾠὰ ἑψήσας ἐν οἴνῳ μέλανι εὐώδει, προστιθέναι πρὸς τὴν ἕδρην, ὑποτιθέντας τι κάτωθεν θερμόν, ἢ κύστιν ὕδατος θερμοῦ πλήσας. ἢ λίνου σπέρμα πεφωσμένον ἀλέσας, τρίψας καὶ μίξας ἴσον ἀλήτου ἐν οἴνῳ μέλανι καὶ εὐώδει, καὶ ἐλαίῳ, καταπλάσσειν ὡς θερμότατον. ⁵ ἢ κρόκον μίξας, ἢ στυπτηρίην αἰγυπτίην τετριμμένην, ἔπειτα πλάσαι βάλανον μακρήν. καὶ χλιήνας πρὸς πυρός, καταπλάσσειν τι καὶ πυρήν. καὶ τοῖσι δακτύλοισι περιπλάσσειν. ἔπειτα ἀκροχλίαρον ποιέων, ἐντιθέναι ἐς τὴν ἕδρην. τὰ ἔξωθεν δὲ κηρωτῇ περιαλεῖψαι. καὶ καταπλάσσειν σκορόδοισιν ἑφθοῖσιν, ἐν οἴνῳ μέλανι κεκρημένῳ. ⁶ ἐπὴν δὲ ἐξαιρέῃς, ἐς ὕδωρ θερμὸν ἱζέτω. καὶ συμμίξας χυλὸν στρύχνου, καὶ χηνὸς καὶ ὑὸς στέαρ, καὶ χρυσοκόλλαν, καὶ ῥητίνην, καὶ κηρὸν λευκόν. ἔπειτα διατήξας ἐν τῷ αὐτῷ, καὶ ξυμμίξας, τούτοισιν ἐγχρίειν. καὶ ἕως ἂν φλεγμαίνῃ, καταπλάσσειν τοῖσι σκορόδοισι θερμοῖσι. καὶ ἢν μὲν πρὸς ταῦτα ἀπαλλάσσηται τῆς ὀδύνης, ἀρκείτω. ⁷ ἢν δὲ μή, πίσαι τὸ μηκώνιον τὸ λευκόν. ἢν δὲ μή, ἄλλο, ὅ τι φλέγμα καθαίρει. διαιτᾶν δὲ ἕως ἂν φλεγμαίνῃ προσφήμασι κούφοισιν.

IV. Ἡ δὲ στραγγουρίη ἐπιπίπτει ἐκ τῶνδε. θερμαινομένη ἡ κύστις ἐκ τοῦ ἀρχοῦ, προσάγεται τῇ θερμότητι φλέγμα. ὑπὸ δὲ τοῦ φλέγματος, στραγγουρίη γίνεται. ² ἢν μὲν οὖν ἅμα τῇ νούσῳ παύηται· φιλεῖ γὰρ ὡς τὰ πολλὰ οὕτως γίνεσθαι· ἢν δὲ μή, διδόναι τῶν φαρμάκων τῶν στραγγουρικῶν. ³ ἢν δὲ ὁ ἀρχὸς ἐκπίπτῃ, ἀνάπτιε σπόγγῳ μαλθακῷ, καὶ κατα-

χείσας

educunt & stercus. ⁴ Si vero in aqua non sedet, ova cocta in vino nigro odorato, ad sedem apponito, calido quopiam inferne substrato, aut vesica aqua calida plena. Aut lini semen tostum, molitum, tritum, pari farina, in vino nigro odorato, & oleo ammixta, cataplasmatis modo calidissime imponito. ⁵ Aut crocum & alumen Ægyptium tritum misceto, & glandem oblongam efformato, & ad ignem tepefaciens digitis effingito, deinde summe tepidam effectam in sedem indito. Forinsecus autem cerato oblinito, & allium in vino nigro diluto coctum pro cataplasmate imponito. ⁶ Postquam vero exemeris, in aquam calidam collocato: & solani succum, & anserinum ac suillum adipem, & chrysocollam, & resinam, & ceram albam commisceto, simulque liquefacito, & cum his illinito: & quandiu inflammatio duraverit, allium coctum cataplasma adhibeto. Et si quidem ad hæc à dolore liberetur, satis sit: ⁷ Sin minus, bibat peplum, meconium album appellatum, aut aliud quoddam quod pituitam purgat. Et quandiu durat inflammatio, eduliis levibus nutriatur.

IV. Urinæ stillicidium ex his incidit. Vesica ex intestino recto calefcens, caliditate pituitam adducit: à pituita vero urinæ stillicidium fit. ² Si quidem igitur una cum morbo sedetur (solet enim plerunque ita fieri) satis est: Sin minus, medicamenta ad urinæ stillicidium destinata exhibeto. ³ Si vero sedes elabatur, fomento per mollem spongiam adhibito, & cochleæ muco illito, è manibus de-

ligatum

κρίσας κόγχλῃ, τῶν χειρῶν δήσας, ἐκκρέμασον ὀλίγον χρόνον, καὶ εἴσεισι. 4 Ἢν δὲ μεῖζον ἐκπίπτῃ καὶ μὴ μένῃ ἔνδον, διαζώσας ἐν τῇσι λαγόσι, καὶ ὑφεὶς ὄπισθεν ταινίην, ὅταν εἴσω τὸν ἀρχὸν, περιθεῖναι σπόγγον μαλθακὸν βρέξας ὕδατι θερμῷ, ἐν ᾧ ἑψήσας λωτοῦ πρίσματα. 5 καταχέειν δὲ καὶ κατὰ τοῦ ἀρχοῦ ἀπ' αὐτοῦ τοῦ ὕδατος, τὸν δὲ σπόγγον ἐκπιέσαι. ἔπειτα ὑποτείνας τὴν ταινίην διὰ μέσων τῶν σκελέων ἀναδῆσαι περὶ τὸν ὀμφαλόν. 6 ὅταν δὲ θέλῃ ἀφοδεύειν, ἐπὶ σανίσιν ὡς στενοτάτοισιν ἀφοδευέτω. ἢν δὲ παιδίον ᾖ, ἐπὶ γυναικὸς τῶν ποδῶν πρὸς τὰ γόνατα προσκλιθείς. 7 ὅταν δὲ ἀφοδεύῃ, τὰ σκέλεα ἐκτεινάτω. οὕτω γὰρ ἂν ἥκιστα ἐκπίπτοι ἡ ἕδρη.

v. Ἢν δὲ ὑγραίνηται ὁ ἀρχὸς, καὶ ἰχῶρ ἀπορρέῃ, περινίψαι τρυγὶ κεκαυμένῃ καὶ ὕδατι, ἀπὸ μυρσίνης. 2 καὶ ἀδίαντον ξηρὸν καὶ κόψας, διασήσας καταπάσσειν. 3 Ἢν δὲ αἱμορροῇ, περινίψας τοῖσιν αὐτοῖσι χαλκῖτιν καὶ πρίσματα κυπαρίσσου, ἢ κέδρου, ἢ πίτυος, ἢ τερμίνθου τρίψας, συμμίξας τῇ χαλκίτιδι ἴσον, καταπλάσσειν. 4 τὰ ἔξωθεν δὲ κηρωτῇ παχείῃ περιαλείφειν. 5 Ὁκόταν ἀρχὸς ἐκπίπτῃ, καὶ μὴ θέλῃ κατὰ χώρην μένειν, σίλφιον ὅτι ἄριστον καὶ πυκνότατον, ξύσας λεπτὸν καταπλάσσειν. 6 καὶ τὸ πταρμικὸν φάρμακον πρὸς τὴν ῥῖνα προσθεῖναι, καὶ παροξύνειν τὸν ἄνθρωπον. ἢ ὕδατι θερμῷ περικλύσας σίδια καὶ στυπτηρίην τρίψας ἐν οἴνῳ λευκῷ, καταχέειν τοῦ ἀρχοῦ. 7 ἔπειτα ῥάκεα ἐμβαλεῖν, καὶ τοὺς μηροὺς ξυνδῆσαι ἡμέρας τρεῖς. καὶ νηστευέτω. οἶνον δὲ πινέτω γλυκύν.

ligatum suspendito ad modicum tempus, & redibit. 4 Si vero amplius excidat, & non maneat intus, laterum mollitudines præcingito, & retrorsum fasciam ex cingulo submittito: & ubi sedem intro protrusisti, spongiam mollem aqua calida, in qua loti ramenta cocta sunt, imbutam imponito. 5 Sed & de aqua ipsa ad sedem affundito, spongiam vero exprimito: deinde fasciam per media crura subextentam, circa umbilicum deligato. 6 Ubi vero alvum exonerare volet, inter tabulas angustissimas insidens id faciat: Si vero puer fuerit, intra mulieris pedes ad genua acclinatus. 7 Dum autem ventrem exonerat, crura extendat. Sic enim minime sedes exciderit.

v. At si intestinum rectum humidum fiat, & sanies defluat, fece vini usta & aqua ex myrti decocto abluito, 2 & adiantum siccum, tusum, cribratum inspergito. 3 Si vero sanguis profluat, ablutione ex iisdem facta chalcitidem, & cupressi, aut cedri, aut pini, aut terebinthi ramenta inspergito, pari mensura de his ad chalcitidem ammixta. 4 Forinsecus autem ceratum crassum oblinito. 5 Quum sedes sive rectum intestinum exciderit, & in loco suo manere noluerit, silphium optimum ac densissimum derasum tenue inspergito: 6 & sternutatorium medicamentum ad nares apponito, & hominem ad iram exacerbato. Aut ubi aqua calida abluisti, malicorium, & alumen, in vino albo trita, ad sedem affundito: 7 deinde panniculos apponito, & femora per dies tres colligato, & jejunet. Vinum autem

κοιν. [8] ἢν δὲ μηδ' οὕτω διαχωρέῃ, μίλτον μίξας ὁμοῦ μέλιτι διαχριέτω.

VI. Ἀρχὸς ἢν ἐκπίπτῃ καὶ αἱμοῤῥοῇ, ἄρου ῥίζης περιελὼν τὸν φλοιὸν, ἑψεῖν ἐν ὕδατι. ἔπειτα τρίβειν ἀλήτων ξυμμίσγων, καὶ καταπλάσσειν θερμόν. [2] ἄλλο. τῆς ἀμπέλου τῆς ἀγρίης, ἣν ἔνιοι καλοῦσι ψιλώθριον, ταύτης τὰς ῥίζας τὰς ἁπαλωτάτας περιξέσαντα, ἑψῆσαι ἐν οἴνῳ μέλανι, ἀκρήτῳ, αὐστηρῷ. ἔπειτα τρίψαντα, καταπλάσσειν χλιηρόν. ξυμμίσγειν δὲ καὶ ἄλευρα, καὶ φυρῇν ἐν οἴνῳ λευκῷ, καὶ ἐλαίῳ χλιηρῷ. [3] ἄλλο. κωνείου καρπὸν τρίβοντα, παραστάζειν οἶνον λευκὸν εὐώδεα, ἔπειτα καταπλάσσειν χλιηρόν. [4] ἢν δὲ φλεγμαίνῃ, κισσοῦ ῥίζαν ἑψήσας ἐν ὕδατι τρίψας λεῖον, ἄλευρον ξυμμίσγειν ὡς κάλλιστον ἐν οἴνῳ λευκῷ φυρήσας, καταπλάσσειν, καὶ ἄλειφα πρὸς τούτοις ξυμμίξας. [5] ἄλλο. μανδραγόρου ῥίζαν μάλιστα μὲν χλωρήν. εἰ δὲ μὴ, ξηρήν· τὴν μὲν οὖν χλωρὴν ἀποπλύναντα καὶ ταμόντα, ἑψῆσαι ἐν οἴνῳ κεκρημένῳ, καὶ καταπλάσσειν. τὴν δέγε ξηρὴν τρίψαντα, καταπλάσσειν ὁμοίως. [6] ἄλλο. σικύου πέπονος τὸ ἔνδον τρίψας λεῖον καταπλάσσειν.

VII. Ἢν δὲ γίνηται ὀδύνη καὶ μὴ φλεγμαίνῃ, λίτρον ὀπτήσας ἐρυθρὸν, καὶ τρίψας λεῖον, καὶ στυπτηρίην, καὶ ἅλας φώξας, καὶ τρίψας λείους, συμμίξαι ἴσον ἑκάστου. εἶτα πίσσῃ συμμίξας ὡς βελτίστῃ ἐς ῥάκος ἐναλείψας, ἐντιθέναι καὶ καταδεῖν. [2] ἄλλο. καππάρεως φύλλα χλωρὰ τρίψας ἐς μαρσίππιον ἐμβαλὼν προσκαταδεῖν. καὶ ἐπὴν καίειν δοκέῃ, ἀφαιρέειν, καὶ αὖθις προστιθέναι. [3] ἢν δὲ μὴ ᾖ φύλλα καππάρεως, τὸν φλοιὸν

tem bibat dulce. [8] Si vero neque sic retro cedat, minium mixtum, cum melle illinat.

VI. Intestinum rectum si procidat, & sanguis profluat, de ari radice detractum corticem in aqua coquito, deinde tritum farina ammixta calidum imponito. [2] Aliud. Vitis sylvestris, quam aliqui psilothrion vocant, radices tenerrimas derasas in vino nigro meraco austero coquito, deinde tritas tepide imponito. Sed & farinam ammisceto, & in vino albo ac oleo subigito, & tepide imponito. [3] Aliud. Cicutæ semen vino albo odorato instillato terito, deinde tepide imponito. [4] Si vero inflammatum fuerit, hederæ radicem in aqua coctam, leviter tritam, ammixta farina optima, in vino albo subactam imponito, & oleum ad hæc ammisceto. [5] Aliud. Mandragoræ radicem maxime viridem: Sin minus, siccam: viridem itaque lotam ac concisam, in vino diluto coquito, ac imponito: siccam vero tritam similiter imponito. [6] Aliud. Cucumeris peponis internam partem leviter tritam imponito.

VII. Si vero dolor fiat, & inflammatum non sit, nitrum rubrum assato, ac leniter terito, & alumen ac salem torreto, ac leviter terito, & pari mensura singula misceto, deinde ad picem optimam ammisceto, & linteo illita apponito ac deligato. [2] Aliud. Capparis folia viridia trita, in marsupium conjecta adalligato: & ubi urere videberis auferto, ac rursus apponito. [3] Si vero folia non affuerint, corticem radicis capparis contusum,

φλοιὸν τῆς ῥίζης κόψας, φυρήσας ἐν οἴνῳ μέλανι, τὸν αὐτὸν τρόπον καταδεῖν. τοῦτο καὶ πρὸς σπληνῶν ὀδύνην ἀγαθόν. ⁴ τούτων δὲ καταπλασμάτων, τὰ μὲν ψύχοντα κωλύει ῥεῖν, τὰ δὲ μαλθάσσοντα καὶ θερμαίνοντα, διαχεῖν. τὰ δὲ εἰς ἑωυτὰ ἕλκοντα, ξηραίνειν καὶ ἰσχναίνειν. ⁵ τοῦτο δὲ τὸ νόσημα γίνεται, ὅταν χολὴ καὶ φλέγμα ἐς τοὺς τόπους κατασκήψῃ. ⁶ ἀρχοῦ δὲ φλεγμήναντος διαχρίειν τῷ φαρμάκῳ, ὅπη ἡ ῥητίνη καὶ τὸ ἔλαιον, καὶ ὁ κηρὸς, καὶ ἡ μολύβδαινα, καὶ τὸ στέαρ ὡς θερμότατον, διερρήθησαν καταπλάττειν.

sum, vino nigro subactum, eodem modo alligato. Hoc etiam ad splenis dolorem bonum est. [4] Ex his cataplasmatis, quæ quidem frigefaciunt, fluere prohibent: quæ vero molliunt ac calefaciunt, diffundunt: quæ in sese trahunt, siccant & attenuant. [5] Porro hic morbus fit, quum bilis & pituita ad hos locos decubuerit. [6] At recto intestino inflammato, medicamento in quod resina, & oleum, & cera, & plumbago, & adeps calidissimus commiscentur, illinere oportet.

ΙΠΠΟΚΡΑΤΟΥΣ περὶ ΤΩΝ ΕΝ ΚΕΦΑΛΗ ΤΡΩΜΑΤΩΝ.

HIPPOCRATIS DE CAPITIS VVLNERIBVS.

Basil. lat. pag 590

Nullum capitis vulnus leviter contemni debet. Sæpe enim cutis sola contusa ferro, aut alia aliqua re, si non diligenter, & cum quadam cautione curetur: veluti si sanguis concretus non expurgetur, aut aliud quiddam negligatur: ulcus incrudescens non parum molestiæ exhibet, & aliquando etiam febrem inducit: & medico quidem negotia, ægroto vero periculum non minus affert. Verum hoc multo magis contingit, si calvaria, & cerebri membranæ rumpuntur. Quare si non singula hæc diligenter medicus curaverit, sæpe mortis causa existit. Et de his quidem omnibus etiam alibi diximus, sed & nunc dicendum est. Primum igitur capite vulnerato interrogare oportet: per quid vulneratum sit: deinde quid homo fecerit, quum vulneratus fuit. Postea qua parte vulnus inflictum sit. Nam

Basil. græc. pag 44 — Foesius sect. VI. 172. 895. — Basil. lat. 242 pag 590

ΤΩΝ ἀνθρώπων αἱ κεφαλαὶ οὐδὲν ὁμοίως σφίσιν αὐτῆσιν, οὐδὲ αἱ ῥαφαὶ τῆς κεφαλῆς πάντων κατὰ ταὐτὰ πεφύκασιν. ² ἀλλ' ὅστις μὲν ἔχει ἐκ τοῦ ἔμπροσθεν τῆς

HOMINUM capita nihil inter se similiter habent, neque suturæ capitis in omnibus eodem loco consistunt. [2] Verum quisquis ex priore capitis

τῆς κεφαλῆς προβολήν. ἡ δὲ προβολή ἐστι τὸ τοῦ ὀστέου ἐξέχον στρογγύλον παρὰ τὸ ἄλλο. τούτου εἰσὶν αἱ ῥαφαὶ πεφυκυῖαι ἐν τῇ κεφαλῇ ὡς γράμμα τὸ ταῦ, Τ γράφεται. [3] τὴν μὲν γὰρ βραχυτέρην γραμμὴν ἔχει πρὸ τῆς προβολῆς ἐπικαρσίην πεφυκυῖαν. τὴν δ' ἑτέρην γραμμὴν ἔχει διὰ μέσης τῆς κεφαλῆς κατὰ μῆκος ἐς τὸν τράχηλον αἰεί. [4] ὅστις δ' ὄπισθεν τῆς κεφαλῆς τὴν προβολὴν ἔχει, αἱ ῥαφαὶ τούτου πεφύκασιν τἀναντία ἢ τῷ προτέρῳ. [5] ἡ μὲν γὰρ βραχυτέρη γραμμὴ πρὸ τῆς προβολῆς πέφυκεν ἐπικαρσίη. ἡ δὲ μακροτέρη διὰ μέσης τῆς κεφαλῆς πέφυκεν κατὰ μῆκος ἐς τὸ μέτωπον αἰεί. [6] ὅστις δὲ ἀμφοτέρωθεν τῆς κεφαλῆς προβολὴν ἔχει, ἔν τε τοῦ ἔμπροσθεν καὶ τοῦ ὄπισθεν, τούτου αἱ ῥαφαί εἰσιν ὁμοίως πεφυκυῖαι ὡς γράμμα τὸ ἦτα, Η γράφεται. [7] πεφύκασι δὲ τῶν γραμμῶν, αἱ μὲν μακραὶ, πρὸς τῆς προβολῆς ἑκατέρης ἐπικάρσιοι πεφυκυῖαι· ἡ δὲ βραχείη διὰ μέσης τῆς κεφαλῆς κατὰ μῆκος πρὸς ἑκατέρην τελευτῶσα τὴν μακρὴν γραμμήν. [8] ὅστις μηδ' ἑτέρωθι μηδεμίαν προβολὴν ἔχει, οὗτος ἔχει τὰς ῥαφὰς τῆς κεφαλῆς ὡς γράμμα τὸ χῖ, Χ γράφεται. [9] πεφύκασι δὲ αἱ γραμμαί, ἡ μὲν ἑτέρη, ἐπικαρσίη πρὸς τὸν κρόταφον ἀφικνεῦσα. ἡ δὲ ἑτέρη, κατὰ μῆκος διὰ μέσης τῆς κεφαλῆς.

II. Δίπλοον δ' ἐστὶ τὸ ὀστέον κατὰ μέσην τὴν κεφαλήν. σκληρότατον δὲ καὶ πυκνότατον αὐτοῦ πέφυκε τὸ ἀνώτατον, ἡ ὁμοχροίη τοῦ ὀστέου ὑπὸ τῇ σαρκί. καὶ τὸ κατώτατον τὸ πρὸς τῇ μήνιγγι, ἡ ὁμοχροίη τοῦ ὀστέου ἡ κάτω. [2] ἀποχωρέον δὲ ἀπὸ τοῦ ἀνωτάτου ὀστέου καὶ τοῦ κατωτάτου, ἀπὸ τῶν σκλη-

pitis parte prominentiam habet: (est autem prominentia, rotunda ossis pars eminens præ alia: hujus suturæ consistunt in capite, velut litera Græca tau T pingitur. [3] Breviorem enim lineam ad prominentiam transversam constitutam habet: alteram vero lineam per medium caput, sed secundum longitudinem ad collum semper habet. [4] Qui vero ex posteriore capitis parte prominentiam habet, hujus suturæ etiam contrario priori modo consistunt. [5] Brevior enim linea ad prominentiam transversa consistit: longior autem per medium caput, secundum longitudinem ad frontem semper constituta est. [6] Quisquis autem ex utraque capitis parte, & anteriore, & posteriore, prominentiam habet: huic suturæ sunt similiter constitutæ, velut litera Græca Η scribitur. [7] Consistunt autem longæ quidem lineæ ad utranque prominentiam transversæ: Brevis autem per medium caput, secundum longitudinem ad utranque longam lineam desinens. [8] At qui neutra parte ullam prominentiam habet, hic suturas habet velut litera Græca Χ pingitur. [9] Consistunt autem hæ lineæ, altera quidem transversa ad tempora pertingens, altera vero secundum longitudinem, per medium caput.

II. Duplex autem est os juxta medium caput: durissima vero ac densissima suprema ipsius pars existit, & infima quæ est ad membranam. Consimilis est color ossis sub carne: consimilis est color ossis inferne. [2] Secedit autem à supremo ac infimo osse, à durissimis ac densissimis, ad mollius.

25 σκληροτάτων καὶ πυκνοτάτων ἐπὶ τὸ μαλθακώτερον καὶ ἧσσον πυκνὸν καὶ ἐπὶ κοιλότερον ἐς τὴν διπλόην. [3] ἡ δὲ διπλόη κοιλότατόν τε καὶ μαλθακώτατον, καὶ μάλιστα σηραγγῶδές ἐστιν. ἔστι δὲ καὶ πᾶν τὸ ὀστέον τῆς κεφαλῆς, πλὴν κάρτα ὀλίγου τοῦ τε ἀνωτάτου καὶ κατωτάτου, σπόγγῳ ὅμοιον. καὶ ἔχει τὸ ὀστέον ἐν ἑωυτῷ ὅμοια [4] σαρκία πολλὰ καὶ ὑγρά, καὶ εἴ τις αὐτὰ διατρίβοι τοῖσι δακτύλοισιν, αἷμα ἂν διαγίνοιτο ἐξ αὐτῶν. ἔνι δ' ἐν τῷ ὀστέῳ καὶ φλεβία λεπτότερα καὶ κοι-
30 λότερα, αἵματος πλέα. [5] σκληρότητι μὲν οὖν καὶ μαλθακότητι καὶ κοιλότητι ὧδε ἔχει· παχύτητι δὲ καὶ λεπτότητι οὕτως.

III. Συμπάσης τῆς κεφαλῆς τὸ ὀστέον λεπτότατόν ἐστι καὶ ἀσθενέστατον τὸ κατὰ βρέγμα, καὶ σάρκα ὀλιγίστην καὶ λεπτοτάτην ἔχει ἐφ' ἑωυτῷ ταύτῃ τῆς κεφαλῆς τὸ ὀστέον. [2] καὶ ὁ ἐγκέφαλος κατὰ τοῦτο τῆς κεφαλῆς πλεῖστος ὕπεστι. [3] καὶ, διότι οὕτω ταῦτα ἔχει, τῶν τε τρωμάτων καὶ τῶν βελέων ἴσων ἐόντων κατὰ μέγεθος, καὶ ἐλασσόνων,
35 καὶ ὁμοίως τε τρωθεὶς καὶ ἧσσον, τὸ ὀστέον ταύτῃ τῆς κεφαλῆς φλᾶταί τε μᾶλλον καὶ ῥήγνυται, καὶ ἔσω ἐσφλᾶται, καὶ θανασιμώτερά ἐστι καὶ χαλεπώτερα ἰητρεύεσθαί τε καὶ ἐκφυγγάνειν τὸν θάνατον ταύτῃ, ἤ πῃ ἄλλοθι τῆς κεφαλῆς. [4] ἐξ ἴσου τε ἐόντων τῶν τρωμάτων, καὶ ὁμοίως τε τρωθεὶς καὶ ἧσσον, ἀποθνήσκει ὥνθρωπος, ὅταν καὶ ἄλλως μέλλῃ ἀποθανεῖσθαι ἐκ τοῦ τρώματος, ἐν ἐλάσσονι χρόνῳ ὁ ταύτῃ ἔχων τὸ τρῶμα τῆς κεφαλῆς, ἤ πῃ ἄλλοθι. [5] ὁ γὰρ ἐγκέφαλος τάχιστά
40 τε καὶ μάλιστα κατὰ τὸ βρέγμα αἰσθάνεται τῶν κακῶν τῶν γινομένων ἔν τε τῇ σαρκὶ καὶ τῷ ὀστέῳ. ὑπὸ λεπτοτάτῳ γὰρ ὀστέῳ ἐστὶ ταύτῃ ὁ ἐγκέφαλος καὶ ὀλίγῃ

mollius, ac minus densum, & communius, ad duplicatam laminam. [3] Est autem duplicata lamina cavissima, ac mollissima, & maxime antrosa. Est autem & totum os capitis, excepta valde modica suprema ac infima parte, spongiæ simile: [4] & habet os in seipso caruncculas similes multas humidas: & si quis ipsas digitis conterat, sanguis utique ex ipsis prodierit. Sunt etiam in osse venulæ teniores ac caviores, sanguine plenæ. [5] Quod igitur ad duriciam, & molliciem, & cavitatem attinet, sic habet: Quod vero ad crassitudinem ac tenuitatem, hoc modo. 35

III. Universi capitis os tenuissimum ac debilissimum, quod est circa sinciput: & carnem paucissimam ac tenuissimam hac parte os in seipso habet: [2] & cerebrum hac capitis parte plurimum subest. [3] Et quia hæc ita se habent, ut & vulnera, & tela æqualia sint magnitudine, & minora: & similiter vulneratus quis sit, & minus: os hac capitis parte & magis contunditur, & rumpitur, & magis intro contusum cedit: & lethaliora, ac ad curandum, & effugiendam mortem, difficiliora sunt vulnera hac parte, quam alibi in capite: [4] & ut sint æqualia vulnera, & similiter vulneratus quis sit, & minus: homo ubi etiam alias ex vulnere moriturus est, breviore tempore moritur, qui hac parte capitis vulnus habet, quam qui alia. [5] Cerebrum enim & citissime & maxime juxta sinciput sentit mala, quæ & in carne, & in osse fiunt. Sub tenuissimo enim osse, ac modica carne, cerebrum est hac parte: & plurimum cere- 40 45

ὀλίγῃ σαρκί. ὁ πλεῖστος ἐγκέφαλος ὑπὸ τῷ βρέγματι κεῖται. [6] τῶν δὲ ἄλλων τὸ κατὰ τοὺς κροτάφους ἀσθενέστατόν ἐστι. [7] συμβολή τε γὰρ τῆς κάτω γνάθου πρὸς τὸ κρανίον, καὶ κίνησίς ἐστιν ἐν τῷ κροτάφῳ ἄνω καὶ κάτω ὥσπερ ἄρθρου· καὶ ἡ ἀκοὴ πλησίον γίνεται αὐτέου. καὶ φλὲψ διὰ τοῦ κροτάφου τέταται κοίλη τε καὶ ἰσχυρή.

IV. Ἰσχυρότερον δέ ἐστι τῆς κεφαλῆς τοῦ ὀστέου παντὸς τὸ ὀστέον τῆς κορυφῆς καὶ τῶν ὤτων, ἢ πᾶν τὸ ἔμπροσθεν. καὶ σάρκα πλείονα καὶ βαθυτέρην ἐφ' ἑωυτῷ ἔχει τοῦτο τὸ ὀστέον. [2] καὶ δὴ τούτων οὕτως ἐχόντων, ὑπό τε τῶν τρωσίων καὶ τῶν βελέων ἴσων ἁπάντων καὶ ὁμοίων, καὶ μεζόνων καὶ μειόνων, ὁμοίως τιτρωσκόμενος καὶ μᾶλλον, ταύτῃ τῆς κεφαλῆς τὸ ὀστέον ἧσσον ῥήγνυται καὶ φλᾶται. [3] καὶ ἢν μέλλῃ ἄνθρωπος ἀποθνήσκειν καὶ ἄλλως ἐκ τοῦ τρώματος, ἐν τῷ ὄπισθεν τῆς κεφαλῆς ἔχων τὸ τρῶμα, ἐν πλείονι χρόνῳ ἀποθανεῖται. [4] ἐν πλείονι γὰρ χρόνῳ τὸ ὀστέον ἐμπυΐσκεταί τε καὶ διαπυΐσκεται κάτω ἐπὶ τὸν ἐγκέφαλον, διὰ τὴν παχύτητα τοῦ ὀστέου, [5] καὶ ἐλάσσων ταύτῃ τῆς κεφαλῆς ὁ ἐγκέφαλος ὕπεστι. καὶ πλείονες ἐκφυγγάνουσι τὸν θάνατον τῶν ὄπισθεν τιτρωσκομένων τῆς κεφαλῆς ὡς ἐπὶ τὸ πολύ, ἢ τῶν ἔμπροσθεν.

V. Καὶ ἐν χειμῶνι πλείονα χρόνον ζῇ ἄνθρωπος ἢ ἐν θέρει, εἴ τις καὶ ἄλλως μέλλει ἀποθανεῖσθαι ἐκ τοῦ τρώματος, ὁκοῖον τῆς κεφαλῆς ἔχων τὸ τρῶμα. [2] Αἱ δὲ ἕδραι τῶν βελέων τῶν ὀξέων καὶ κουφοτέρων, αὗται ἐπὶ σφῶν αὐτῶν γενόμεναι ἐν τῷ ὀστέῳ, ἄνευ ῥωγμῆς τε καὶ φλάσιος, ἢ ἔσω ἐσφλάσιος· [3] αὗται δὲ γίνονται ὁμοίως ἔν τε τῷ ἔμπροσθεν τῆς κεφαλῆς, καὶ ἐν τῷ ὄπι-

brum sub sincipite jacet. [6] Cæterum ex reliquis ossibus id quod circa tempora est, debilissimum est. [7] Commissura enim est infernæ maxillæ ad calvariam, & motus in temporibus sursum ac deorsum, velut articuli: & auditus prope ipsum est: & vena per tempora extenta est, cava ac fortis.

IV. Omni vero capitis osse robustius est os verticis: & quod est retro aures, robustius est quam totum quod in anteriore parte est: & carnem ampliorem ac profundiorem in seipso hoc os habet. [2] Et sane his ita se habentibus, si quis & vulneribus, & telis, omnibus æqualibus ac similibus, & majoribus ac minoribus, similiter sit vulneratus, & magis: hac capitis parte os minus rumpitur, & contunditur: [3] & si homo alias moriturus est ex vulnere, si in posteriore capitis parte vulnus habet, diutiore durans tempore morietur. [4] In longiore enim tempore os suppuratur, & deorsum ad cerebrum transpuratur, propter ossis crassitudinem: [5] & paucius etiam cerebrum hac parte subest: & plures mortem effugiunt plerunque ex his qui posteriore capitis parte vulnerati sunt, quam qui anteriore.

V. Sed & in hyeme diutiore tempore vivit homo quam in æstate, quisquis etiam alias moriturus est ex vulnere, quacunque capitis parte vulnus habeat. [2] At vero sedes telorum acutorum ac leviorum, ipsæ in seipsis contingentes in osse, & cum fissura, & contusione, ac introcessione: [3] (fiunt autem hæ similiter, & in anteriore & in posteriore capitis parte:) ex his mors

ὄπισθεν ἐκ τούτων θάνατος οὐ γίνεται καίτοι γε δίκην, ἐὰν ἐγγίνηται. [4] Ῥαφὴ δὲ ἐν ἕλκει φανεῖσα ὀστέου ψιλωθέντος, πανταχοῦ τῆς κεφαλῆς τοῦ ἕλκεος γενομένου, ἀσθενέστατον γίνεται τῇ τρώσει καὶ τῷ βέλει ἀντέχειν, εἰ τύχοι τὸ βέλος ἐς αὐτὴν τὴν ῥαφὴν στηριχθέν. πάντων δὲ μάλιστα, ἢν τὸ βέλος ἐν τῷ βρέγματι γενόμενον κατὰ τὸ ἀσθενέστατον τῆς κεφαλῆς, καὶ αἱ ῥαφαὶ εἰ τύχοιεν οὖσαι περὶ τὸ ἕλκος, καὶ τὸ βέλος αὐτέων τύχοι τῶν ῥαφῶν.

VI. Τιτρώσκεται δὲ ὀστέον τὸ ἐν κεφαλῇ τοσούσδε τρόπους. τῶν δὲ τρόπων ἑκάστου πλέονες ἰδέαι γίνονται τοῦ κατήγματος ἐν τῇ τρώσει. [2] ὀστέον ῥήγνυται τιτρωσκόμενον, καὶ τῷ περιέχοντι ὀστέῳ τὴν ῥωγμὴν ἀνάγκη φλάσιν προσγενέσθαι, ἤν περ ῥαγῇ. [3] ὅ τι γὰρ βέλος ὅ περ ῥήγνυσι τὸ ὀστέον, τὸ αὐτὸ τοῦτο καὶ φλᾷ τὸ ὀστέον, ἢ μᾶλλον ἢ ἧσσον, αὐτό τε ἐν ᾧ περ καὶ ῥήγνυσι τὴν ῥωγμήν. εἷς οὗτος τρόπος. [4] ἰδέαι δὲ ῥωγμέων παντοῖαι γίνονται. καὶ γὰρ λεπτότεραί τε καὶ λεπταὶ πάνυ ὥστε καταφανέες γίνονται. ἔστι δ' αἳ ποτε ῥωγμέων, οὔτε αὐτίκα μετὰ τὴν τρῶσιν, οὔτ' ἐν τῇσιν ἡμέρῃσιν, ἐν ᾗσιν αὖ καὶ πόνων αὖ ὄφελος γένοιτο τοῦ θανάτου τῷ ἀνθρώπῳ. [5] αἱ δ' αὖ παχύτεραί τε καὶ εὐρύτεραι γίνονται τῶν ῥωγμέων. ἔνιαι δὲ καὶ πάνυ εὐρέαι. καὶ αἱ μὲν ἐπὶ μακρότερον ῥήγνυνται, αἱ δὲ ἐπὶ βραχύτερον. καὶ αἱ μὲν ἰθύτεραι, αἱ δὲ ἰθεῖαί τε καὶ πάνυ. αἱ δὲ καμπυλώτεραί τε καὶ καμπύλαι, καὶ βαθύτεραι. αἱ δὲ ἐς τὸ κάτω, καὶ διὰ παντὸς τοῦ ὀστέου. [6] Φλασθείη δ' αὖ τὸ ὀστέον ἐν τῇ ἑωυτοῦ φύσει, καὶ ῥωγμὴ τῇ φλάσει οὐκ αὖ προσγένοιτο τῷ ὀστέῳ

mors non contingit secundum justitiam, etiamsi contingat. [4] Sutura vero in ulcere si compareat, osse denudato, quacunque capitis parte ulcere oborto, debilissimus æger est ad resistendum vulneri ac telo, si in ipsam suturam telum incubuerit: & maxime omnium si telum in sincipite, juxta debilissimam capitis partem incussum fuerit, & suturæ circa ulcus, si ita contingat, fuerint, & telum ipsas suturas contigerit.

VI. Vulneratur porro os in capite tot modis. Singulorum autem modorum plures species fracturæ in vulnere fiunt. [2] Os vulneratum rumpitur, & ossi fissuram continenti ac ambienti necesse est contusionem accedere, si ruptum fuerit. [3] Nam telum quod os rumpit, idem hoc etiam os, aut magis, aut minus contundit, id ipsum videlicet os, in quo fissuram rumpit. Atque hic unus modus est. [4] Species autem fissurarum omnigenæ fiunt. Nam & tenuiores, & valde tenues conspicuæ fiunt. Quædam vero neque statim post vulnerationem, neque in diebus, in quibus dolorum utilitas mors homini contingere potest. [5] Rursus autem aliquæ fissuræ crassiores ac ampliores fiunt: quædam vero etiam valde amplæ: Et aliæ quidem in longiorem modum rumpuntur, aliæ vero in breviorem: & aliæ rectiores sunt, aliæ etiam valde rectæ: aliæ vero curviores & curvæ ac profundiores: aliæ autem ad infernam partem, & per totum os. [6] Poterit autem & os in sua ipsius natura contundi, ita ut nulla fissura ad contusionem ossi accedat. At-

ὀστέω οὐδεμία. δεύτερος οὗτος.

VII. Ἰδέαι δὲ τῆς φλάσιος πλέονες γίνονται. καὶ γὰρ μᾶλλόν τε καὶ ἧσσον φλᾶται, καὶ ἐς βαθύτερόν τε καὶ διὰ παντὸς τοῦ ὀστέου. καὶ ἧσσον ἐς βάθος, καὶ διὰ παντὸς τοῦ ὀστέου. καὶ ἐπὶ πλέον τε καὶ ἔλασσον μήκεός τε καὶ πλάτυντος. ² ἀλλὰ τουτέων τῶν ἰδεῶν οὐδεμία ἐστὶν ἰδόντα τοῖσιν ὀφθαλμοῖσι γνῶναι, ὁποίη τίς ἐστι τὴν ἰδέην, καὶ ὁπόση τὸ μέγεθος. ³ οὐδὲ γὰρ εἰ πέφλασται, ἐόντων πεφλασμένων καὶ τοῦ κακοῦ γεγενημένου, γίνεται τοῖσιν ὀφθαλμοῖσι καταφανὲς ἰδεῖν αὐτίκα μετὰ τὴν τρῶσιν. ὥσπερ οὐδὲ τῶν ῥωγμέων ἔνιαι ἑκὰς ἐοῦσαι καὶ ἐρρωγότος τοῦ ὀστέου. ⁴ Ἐσφλᾶται τὸ ὀστέον ἐκ τῆς φύσιος τῆς ἑωυτοῦ ἔσω σὺν ῥωγμῇσιν. ἄλλως γὰρ οὐκ ἂν ἐσφλασθείη. ⁵ τὸ γὰρ ἐσφλώμενον ἀπορρηγνύμενόν τε καὶ καταγνύμενον ἐσφλᾶται ἔσω ἀπὸ τοῦ ἄλλου ὀστέου μένοντος ἐν τῇ φύσει τῇ ἑωυτοῦ. καὶ δὴ οὕτω ῥωγμὴ ἂν προσείη τῇ ἐσφλάσει. ⁶ τρίτος οὗτος τρόπος. ⁷ ἐσφλᾶται δὲ τὸ ὀστέον πολλὰς ἰδέας. καὶ γὰρ ἐπὶ πλέον τοῦ ὀστέου καὶ ἐπ' ἔλασσον. καὶ μᾶλλόν τε καὶ ἐς βαθύτερον κάτω. καὶ ἧσσόν τε καὶ ἐπιπολαιότερον.

VIII. Καὶ, ἕδρης γενομένης ἐν τῷ ὀστέῳ βέλεος, προσγένοιτο ἂν ῥωγμὴ τῇ ἕδρῃ, τῇ τε ῥωγμῇ καὶ φλάσιν προσγενέσθαι ἀναγκαῖόν ἐστιν, ἢ μᾶλλον, ἢ ἧσσον, ἤν περ καὶ ῥωγμὴ προσγένηται, ἐνθάπερ καὶ ἕδρη ἐγένετο. ² καὶ ἡ ῥωγμὴ ἐν τῷ ὀστέῳ τῷ περιέχοντι τήν τε ἕδρην καὶ τὴν φλάσιν. ³ τέταρτος οὗτος τρόπος. ⁴ καὶ ἕδρη δὲ τοῦ βέλεος γίνεται ἐν τῷ ὀστέῳ, ἕδρη δὲ καλέεται, ὅταν μένον τὸ ὀστέον ἐν τῇ ἑωυτοῦ φύσει τὸ βέλος στηρίξαν ἐς τὸ ὀστέον δῆλον ποιήσῃ, ὅπη ἐστήριξεν. ⁵ ἐν δὲ τῷ τρόπῳ ἑκάστῳ

que hic secundus modus est.

VI. Species autem contusionis plures sunt. Nam & magis, & minus contunditur, & altius ac per totum os, & minus in altum ac per totum os, & in ampliorem & minorem tum longitudinem, tum latitudinem.[2] Verum harum specierum nullam oculis intuenti cognoscere datur, qualisnam specie existat, & quanta magnitudine. [3] Neque enim etiamsi sint contusa, & malum factum sit, an contusa sint, oculis videre conspicuum fit, statim post vulnerationem: quemadmodum neque aliquæ fissuræ videri possunt, quæ rupto osse procul absunt. [4] Intro etiam cedit os ex natura sua, una cum fissuris: alias enim non intro cesserit. [5] Nam quod intro cedit, abrumpiturque ac frangitur, intro cedit ab alio osse, quod in sua ipsius natura manet, & sic sane fissura adest intro cessioni. [6] Atque hic tertius modus est. [7] Intro autem cedit os per multas species. Nam & major ossis pars, & minor intro cedit: & magis ac profundius deorsum, & minus ac magis in superficie.

VIII. Quin & sede teli in osse contingente, fissura utique ad sedem accesserit, & ad fissuram etiam contusionem magis aut minus accedere, necesse est, si quidem & fissura accedat ea parte qua & sedes facta est: [2] & fissura fit in osse continente & sedem, & contusionem. [3] Atque hic quartus modus est, in quo sedes teli fit in osse. [4] Sedes autem vocatur, quum manente osse in sua ipsius natura, telum quod in os incubuit, manifestum fecerit ubi incubuit. [5] Verum in singulis

ἑκάστῳ πλείονες ἰδέαι γίνονται. καὶ περὶ μὲν φλάσιος καὶ ῥωγμῆς, ἢν ἄμφω ταῦτα προσγένηται τῇ ἕδρῃ, καὶ ἢν φλάσις μούνη γένηται, ἤδη πέφρασται, ὅτι πολλαὶ ἰδέαι γίνονται καὶ τῆς φλάσιος καὶ τῆς ῥωγμῆς. ἡ δὲ ἕδρη αὐτὴ ἐφ' ἑωυτῆς γίνεται μακροτέρη καὶ βραχυτέρη ἐοῦσα, καὶ καμπυλωτέρη καὶ ἰθυτέρη, καὶ κυκλοτερής. καὶ πολλαὶ ἄλλαι ἰδέαι τοῦ τοιούτου τρόπου, ὁποῖον ἄν τι καὶ τὸ σχῆμα τοῦ βέλεος ᾖ. καὶ δ' αὐταὶ καὶ βαθύτεραί τε κάτω καὶ μᾶλλον καὶ ἧσσον, καὶ στενότεραι, καὶ εὐρύτεραι, καὶ πάνυ εὐρέαι. ἢ διακεκόφαται. [6] Διακοπὴ δ' ὁπόση τις ἂν γινομένη μήκεός τε καὶ εὐρύτητος ἐν τῷ ὀστέῳ ἕδρη ἐστίν. ἤν τ' ἄλλα ὀστέα, τὰ περιέχοντα τὴν διακοπὴν, μένῃ ἐν τῇ φύσει τῇ ἑωυτῶν, καὶ μὴ συνεσφλᾶται τῇ διακοπῇ ἔσω ἐκ τῆς φύσιος τῆς ἑωυτῶν. [7] οὕτω δ' ἂν ἔσφλασις αὖ εἴη καὶ οὐκ ἔτι ἕδρη.

IX. [1] Ὀστέον τιτρώσκεται ἄλλῃ τῆς κεφαλῆς, ἢ τὸ ἕλκος ἔχει ὤνθρωπος, καὶ τὸ ὀστέον ἐψιλώθη τῆς σαρκός. πέμπτος οὗτος τρόπος. καὶ [2] ταύτην τὴν ξυμφορὴν, ὅταν γένηται, οὐκ ἂν ἔχοις ὠφελῆσαι οὐδέν. [3] οὐδὲ γὰρ, εἰ πέπονθε τὸ κακὸν τοῦτο, οὐκ ἔστιν ὅπως χρὴ αὐτὸν ἐξελέγξαντα εἰδέναι, εἰ πέπονθεν τὸ κακὸν τοῦτο ὤνθρωπος, οὐδ' ὅπῃ τῆς κεφαλῆς. [4] Τούτων τῶν τρόπων τῆς κατήξιος ἐς πρίσιν ἀφήκει, ἥτε φλάσις ἡ ἀφανὴς ἰδεῖν, καὶ ἢν πως τύχῃ φανερὴ γενομένη. καὶ ῥωγμὴ ἢν ἀφανὴς ἰδεῖν, καὶ ἢν φανερὴ ᾖ. [5] ἢν, ἕδρης γενομένης τοῦ βέλεος ἐν τῷ ὀστέῳ, προσγένηται ῥωγμὴ καὶ φλάσις τῇ ἕδρῃ. καὶ ἢν φλάσις μοῦνον προσγένηται ἄνευ ῥωγμῆς τῇ ἕδρῃ, καὶ αὕτη ἐς πρίσιν ἀφήκει. τὸ [6] δ' ἔσω ἐσφλώμενον ὀστέον ἐκ τῆς φύσιος τῆς ἑωυτοῦ,

singulis modis plures species fiunt. Et de contusione quidem ac fissura, si ambo hæc ad sedem accedant, & si contusio sola fiat, jam dictum est, quod multæ species & contusionis, & fissuræ fiunt. Hæc autem sedes ipsa in seipsa, longior ac brevior fit, & curvior ac rectior, & orbiculatior: & multæ aliæ species talis modi sunt prout etiam figura teli fuerit, & cædem etiam profundiores deorsum, & magis & minus, & angustiores, & ampliores, & valde amplæ, si dissectione intercisa fuerit. [6] Quanta autem dissectio in longitudinem ac latitudinem fiat, in osse sedes est, si alia ossa dissectionem ambientia in sua ipsorum natura manserit, & non una cum dissectione intro cesserint ex sua natura. [7] Nam si ita contingat, intro cessio fuerit, & non amplius ossis sedes.

IX. Si vero alia capitis parte vulneratur, & ulcus habet homo, & os carne denudatum est, quintus hic modus est: [2] & hanc calamitatem ubi facta est, nulla re juvare queas. [3] Nam si passus est hoc malum, non est quod ex ipso exquirere possis, an passus sit hoc malum, neque qua capitis parte: [4] & ex his fracturæ modis ad perforationem devenit, tum si contusio ad visum inconspicua est, tum si aliquo modo manifesta fuerit: & fissura si inconspicua visui fuerit, & ad visum manifesta. [5] Sed & si sede teli in osse contingente, fissura ac contusio ad sedem accedat: & si contusio sola accedat ad sedem, absque fissura: hæc quoque ad perforationem devenit. At vero os [6] quod ex sua natura intro cessit, parum perfo-

 ratione

ἑωυτοῦ, ὀλίγα τῶν πολλῶν πρίσιος προσδεῖται, καὶ τὰ μάλιστα ἐσφλασθέντα ' καὶ μάλιστα καταῤῥαγέντα, ταῦτα πρίσιος ἥκιστα χρήζει. [7] οὐδὲ ἕδρη αὐτὴ ἐφ' ἑωυτῆς γενομένη ἄτερ ῥωγμῆς καὶ φλάσιος, οὐδὲ αὕτη πρίσιος δεῖται. οὐδ' ἢν ἡ διακοπὴ μεγάλη καὶ εὐρέη, οὐδ' αὕτη. [8] διακοπὴ γὰρ καὶ ἕδρη τωὐτό ἐστιν.

ratione opus habet: & quæ maxime intro cesserunt, & maxime fracta sunt, & perforatione minime opus habent. [7] Neque sedes ' ipsa in seipsa contingens, absque fissura ac contusione, perforatione indiget: Neque dissectio ipsa, si magna ac ampla fuerit. [8] Dissectio enim & sedes idem sunt.

X. [1] Πρῶτον δὲ χρὴ τὸν τετρωμένον σκοπεῖσθαι, ὅπη ἔχει τὸ τρῶμα τῆς κεφαλῆς, εἴτ' ἐν τοῖσιν ἀσθενεστέροισιν. καὶ τὰς τρίχας καταμανθάνειν τὰς περὶ τὸ ἕλκος, εἰ διακεκόφαται ὑπὸ τοῦ βέλεος, καὶ εἰ ἔσω εἴησαν ἐς τὸ τρῶμα, ' κινδυνεύει τὸ ὀστέον ψιλὸν εἶναι τῆς σαρκός. [2] καὶ ἢν τοῦτο ᾖ, φάναι ἔχειν τι σίνος τὸ ὀστέον ὑπὸ τοῦ βέλεος. ταῦτα μὲν οὖν χρὴ ἀπόπροσθεν σκεψάμενον λέξαι, μὴ ἁπτόμενον τοῦ ἀνθρώπου. [3] ἁπτόμενον δὲ ἤδη πειρᾶσθαι εἰδέναι σάφα, εἰ ἔστι ψιλὸν τὸ ὀστέον τῆς σαρκὸς ἢ οὔ. [4] καὶ ἢν μὲν καταφανὲς ᾖ τοῖσιν ὀφθαλμοῖσιν τὸ ὀστέον ψιλόν· εἰ δὲ μὴ, τῇ μήλῃ σκέπτεσθαι. καὶ ἢν μὲν εὕρῃς ψιλὸν ἐὸν τὸ ὀστέον τῆς σαρκὸς, καὶ μὴ ὑγιὲς ἀπὸ τοῦ τρώματος, [5] χρὴ τοῦ ἐν τῷ ὀστέῳ ἐόντος τὴν διάγνωσιν πρῶτα ποιέεσθαι, ὁρῶντα ὅσον τέ ἐστι τὸ κακὸν, καὶ τίνος δεῖται ἔργου. [6] χρὴ δὲ καὶ ἐρωτᾷν τὸν τετρωμένον, ὅπως ἔπαθε καὶ τίνα τρόπον.

X. Cæterum primum expectare oportet in vulnerato, qua capitis parte, & num in debilioribus, vulnus habeat: & capillos considerare circa ulcus, an dissecti sint à telo, & an intus sint in vulnere: quod si est, periculum est os carne nudum esse. [2] Itaque dicere ' oportet, os aliquam læsionem à telo habere. Atque hæc longe prius considerasse ac dixisse oportet, anteaquam hominem contingas. [3] Ubi vero jam contigeris, clare nosse conari, an nudum carne os sit, aut non, & si quidem oculis conspicuum fuerit os nudum, bene habet: [4] Sin minus, spicillo considerato: & si quidem inveneris os carne nudum esse, & non sanum à vulnere, [5] ejus quod in osse est ' dinotionem primum facere oportet, inspiciendo & quantum sit malum, & quo opere opus habeat. [6] Oportet etiam vulneratum interrogare ut passus sit, & quo modo.

XI. Ἢν δὲ μὴ καταφανὲς ᾖ τὸ ὀστέον, εἰ ἔχει τι κακὸν ἢ μὴ ἔχει, πολλῷ ἔτι χρὴ μᾶλλον τὴν ἐρώτησιν ποιέεσθαι, ψιλοῦ τε ἐόντος τοῦ ὀστέου τὸ τρῶμα ὅπως ἐγένετο, καὶ ὅντινα τρόπον. [2] τὰς γὰρ φλάσιας, καὶ τὰς ῥωγμὰς τὰς οὐ φαινομένας ἐν τῷ ὀστέῳ, ἐνεούσας δὲ, ἐκ τῆς ἀποκρίσιος τοῦ τετρωμένου πρῶτον διαγινώσκειν πειρᾶσθαι, εἴ τι πέπονθε τοῦτο τὸ ὀστέον

ἢ οὔ

XI. Si vero non conspicuum fuerit os, multo adhuc magis interrogationem facere oportet, an habeat quid mali, aut non habeat: & si nudum est os, ut factum sit, & juxta quem modum. [2] Nam contusiones, & fissuras in osse non apparentes, & tamen ' præsentes, ex vulnerati responsione cognoscere primum conari oportet, an tale quid passum sit

os,

ἢ οὐ πέπονθεν. ἔπειτα δὲ καὶ λόγῳ καὶ ἔργῳ ἐξελέγχοντα, πλὴν μηλώσιος. [3] μήλωσις γὰρ οὐκ ἐξελέγχει εἰ πέπονθε τοῦτο τῶν κακῶν τὸ ὀστέον, καὶ εἰ οὐκ ἔχει ἐν αὑτῷ, ἢ οὐ πέπονθεν, ἀλλ' ἕδρην τε τοῦ βέλεος ἐξελέγχει μήλωσις [4] καὶ ἢν ἐμφλασθῇ τὸ ὀστέον ἔσω ἐκ τῆς φύσιος τῆς ἑωυτοῦ. καὶ ἢν ἰσχυρῶς ῥαγῇ τὸ ὀστέον, ἅπερ καὶ τοῖσιν ὀφθαλμοῖσι καταφανέα ἐστὶν ὁρῶντα γινώσκειν.

XII. Ῥήγνυται δὲ τὸ ὀστέον τάς τε ἀφανέας ῥωγμὰς καὶ τὰς φανερὰς, καὶ φλᾶται τὰς ἀφανέας φλάσιας, καὶ ἐσφλᾶται ἔσω ἐκ τῆς φύσεως τῆς ἑωυτοῦ μάλιστα, ὅταν ἕτερος ὑφ' ἑτέρου τιτρωσκόμενος ἐπίτηδες τρῶσαι βουλόμενος. [2] ἢ ὅταν ἐξ ὑψηλοτέρης γένηται ἡ βολὴ ἢ ἡ πληγὴ, ὁποτέρη ἂν ᾖ μᾶλλον. ἢ ὅτ' ἂν ἐξ ἰσοπέδου τοῦ χωρίου. καὶ ἢν ἐπικρατέῃ τῇ χειρὶ τὸ βέλος· ἤν τε βάλλῃ, ἤν τε τύπτῃ· καὶ ἰσχυρότερος ἐὼν ἀσθενέστερον τιτρώσκῃ. [3] ὅσοι δὲ πίπτοντες τιτρώσκονται, πρός τε τὸ ὀστέον, καὶ αὐτὸ τὸ ὀστέον, ὁ ἀπὸ ὑψηλοτάτου πίπτων καὶ ἐπὶ σκληρότατον καὶ ἀμβλύτατον, τούτῳ κίνδυνος τὸ ὀστέον ῥαγῆναί τε καὶ φλασθῆναι, καὶ ἔσω ἐσφλασθῆναι ἐκ τῆς φύσιος τῆς ἑωυτοῦ. [4] τῷ δ' ἐξ ἰσοπέδου μᾶλλον χωρίου πίπτοντι καὶ ἐπὶ μαλθακώτερον, ἧσσον ταῦτα πάσχει τὸ ὀστέον, ἢ οὐκ ἂν πάθοι.

XIII. Ὅσα δὲ ἐσπίπτοντα ἐς τὴν κεφαλὴν βέλεα τιτρώσκει πρὸς τὸ ὀστέον, τὸ ἀπὸ ὑψηλοτάτου ἐμπεσὸν, καὶ ἥκιστα ἐξ ἰσοπέδου. καὶ σκληρότατόν τε καὶ ἀμβλύτατον, καὶ βαρύτατον, καὶ ἥκιστα κοῦφον, καὶ ἥκιστά τε καὶ ὀξὺ καὶ μαλθακόν. τοῦτο ἂν ῥήξειε τὸ ὀστέον καὶ φλάσειε. [2] καὶ μάλιστά γε ταῦτα πάσχειν τὸ ὀστέον κίνδυνος, ὅταν ταῦτα τε γίνηται, καὶ ἐς ἰθὺ τρωθῆναι κατ'

ἀντίον

os, aut non passum: deinde ratione &opere exquirere, citra specilli admotionem.[3] Spicilli enim admotio non indicat, an tale quid mali os passum sit, & an habeat quid in seipso, aut non passum sit. Sed sedem teli indicat spicillum, & an intro cesserit os ex natura sua.[4] & an vehementer fractum sit os: quæ etiam oculis conspicua videnti cognoscere datur.

XII. Rumpitur autem os & obscuris fissuris & manifestis: & contunditur obscuris contusionibus: & intro ex sua natura maxime cedit, quum alter ab altero sauciatur, de industria sauciare volens: [2] aut quum ex altiore loco fit jactus, aut plagæ ictus, uter tandem fuerit, magis quam ex plano loco: & si contineat manu telum, sive jaceat, sive percutiat: & si fortior debiliorem vulnerat. [3] Ex his vero qui cadentes vulnerantur ad os, aut in ipsum os, is qui ex altissimo loco cadit, & in durissimum ac obtusissimum: huic periculum est ut os & rumpatur, & contundatur, & intro cedat ex sua natura. [4] Ei vero qui ex plano magis loco cadit, & in molliorem, os minus hæc patitur, aut etiam non patitur.

XIII. Quæcunque vero illabentia in caput tela, ad os vulnerant, ex his id quod ex altissimo loco illapsum est, & minime ex plano, & quod durissimum ac obtusissimum, & gravissimum ac minime leve est, & quod minime acutum ac molle: hoc & ruperit os, & contuderit: [2] & maxime sane periculum est ut os hæc patiatur, quum & hæc fiant, & e directo adversus telum, os sauciari contingat, sive

ex

ἀντίον γένηται τὸ ὀστέον τοῦ βέλεος. ἤν τε πληγῇ ἐκ χειρός, ἤν τε βληθῇ, ἤν τέ τι ἐμπίπτῃ αὐτῷ, καὶ ἢν αὐτὸς καταπεσὼν τρωθῇ. καὶ ὅπως ἂν τρωθεὶς κατ' ἀντίον γένοιτο τοῦ ὀστέου τοῦ βέλεος.

XIV. Τὰ δὲ πλάγιον τοῦ ὀστέου παραφερόμενα βέλεα, ἧσσον καὶ ῥήγνυσι τὸ ὀστέον, καὶ φλᾷ εἴσω ἐς κεφαλήν, κἂν ψιλωθῇ τὸ ὀστέον τῆς σαρκός. [2] ἔνια γὰρ τῶν τρωμάτων τῶν οὕτω τρωθέντων οὐδὲ ψιλοῦται τὸ ὀστέον τῆς σαρκός. [3] Τῶν δὴ βελέων ῥήγνυσι μάλιστα τὸ ὀστέον, τάς τε φανερὰς ῥωγμὰς καὶ τὰς ἀφανέας, καὶ φλᾶται, καὶ ἐσφλᾶ ἔσω ἐκ τῆς φύσιος τῆς ἑωυτοῦ τὸ ὀστέον, τὰ στρογγύλα τε καὶ περιφερέα, καὶ ἀρτίστομα, ἀμβλέα τε ἐόντα καὶ βαρέα, καὶ σκληρά. [4] καὶ τὴν σάρκα ταῦτα φλᾶται, καὶ πέπειρον ποιεῖ, καὶ κόπτει. καὶ τὰ ἕλκεα γίνεται ὑπὸ τῶν τοιούτων βελέων ἐς τὸ πλάγιον. καὶ ἐν κύκλῳ ὑπόκοιλα καὶ διάπυά τε μᾶλλον γίνεται, καὶ ὑγρά ἐστι, καὶ ἐπὶ πλείονα χρόνον καθαίρεται. [5] ἀνάγκη γὰρ τὰς σάρκας τὰς φλασθείσας καὶ κοπείσας πῦον γενομένας ἐκτακῆναι. [6] τὰ δὲ βέλεα τὰ προμήκεα ἐπὶ πολὺ λεπτὰ ἐόντα καὶ ὀξέα καὶ κοῦφα, τήν τε σάρκα διατάμνει μᾶλλον ἢ φλᾷ καὶ ὀστέον ὡσαύτως, καὶ ἕδρην μὲν ἐμποιεῖ αὐτὸ καὶ διακόψαν. [7] διακοπὴ γὰρ καὶ ἕδρη ταυτόν ἐστι. φλᾷ δὲ οὐ μάλα τὸ ὀστέον τὰ τοιαῦτα βέλεα. οὐδὲ ῥήγνυσιν, οὐδ' ἐκ τῆς φύσιος ἔσω ἐσφλᾷ.

XV. Ἀλλὰ χρὴ πρὸς τῇ ὄψει τῇ ἑωυτοῦ, ὅ,τι ἄν σοι φαίνηται ἐν τῷ ὀστέῳ, καὶ ἐρώτησιν ποιέεσθαι πάντων τούτων. τοῦ γὰρ μᾶλλόν τε καὶ ἧσσον τρωθέντος ταῦτ' ἐστὶ σημεῖα. καὶ ἢν ὁ τρωθεὶς καρωθῇ, καὶ σκότος περιχυθῇ, καὶ δῖνος, ἢ καὶ πίπτῃ. [2] Ὅτ' ἂν δὲ

ex manu percutiatur, sive jactum suscipiat, sive quid ipsi incidat, sive ipse collapsus saucietur, ita ut quomodocunque sauciatus, osse adversus telum occurrat.

XIV. Quæ vero tela ex obliquo os sauciant, minus & os rumpunt, & intro ad caput contundunt, etiamsi carne fuerit os denudatum. [2] Nam quædam vulnera ita inflicta, neque denudant os carne. [3] Profecto ex telis maxime os rumpunt, & manifestis, & obscuris fissuris, & contundunt, & ex natura sua os intro cedere faciunt, quæ sunt rotunda, & orbiculata, & undiquaque plana, & obtusa, & gravia, & dura: [4] & carnem hæc contundunt, & maturam faciunt, ac concidunt: & ulcera fiunt à talibus telis in obliquum. Sed & in circulum, subcava, & suppurata magis fiunt, ac humida sunt, & diutiore tempore purgantur. [5] Necesse est enim carnes contusas ac concisas, pus fieri ac consumi. [6] At tela oblonga, multum tenuia, & acuta, & levia, carnem magis dissecant quam contundant, & os eodem modo. Et sedem quidem inducit id ipsum quod etiam dissecavit. [7] Dissectio enim & sedes idem sunt. Verum non valde os contundunt talia tela, neque rumpunt, neque ex natura sua intro cedere faciunt.

XV. Cæterum oportet supra conspectum tuum, quicquid tandem apparuerit in osse, etiam de omnibus his interrogationem facere. Nam magis & minus sauciati signa hæc sunt, si vulneratus soporem altiorem inciderit, & caligo offusa fuerit, & vertigo, & si ceciderit. [2] Quum autem

δὲ τύχῃ ψιλωθὲν τὸ ὀστέον τῆς σαρ-
10 κὸς ὑπὸ τοῦ βέλεος, καὶ τύχῃ κατ' αὐ-
τὰς τὰς ῥαφὰς γενόμενον τὸ ἕλκος,
χαλεπὸν γίνεται καὶ τὴν ἕδρην τοῦ βέλεος
φράσασθαι τὴν ἐν τῷ ἄλλῳ ὀστέῳ φα-
νερὴν γενομένην. εἴτ' ἔνεστιν ἐν τῷ
ὀστέῳ, εἴτε μὴ ἔνεστιν. ἤν τε τύχῃ γε-
νομένη ἡ ἕδρη ἐν αὐτῇσι τῇσι ῥα-
φῇσι. [3] συμβλέπει γὰρ αὐτὴ ἡ ῥαφὴ
τρηχυτέρη ἐοῦσα τοῦ ἄλλου ὀστέου. καὶ οὐ
διάδηλον, ὅ τι τε αὐτοῦ ῥαφή ἐστι, καὶ
ὅ τι τοῦ βέλεος ἕδρη, ἢν μὴ κάρτα με-
γάλη γένηται ἡ ἕδρη. [4] προσγίνεται δὲ
καὶ ῥῆξις τῇ ἕδρῃ ὡς ἐπὶ τὸ πολὺ αὐ-
15 τὴ ἐν τῇσι ῥαφῇσι γενομένη, καὶ γί-
νεται καὶ αὕτη ἡ ῥῆξις χαλεπωτέρη
φράσασθαι ἐρρωγότος τοῦ ὀστέου, διὰ
τοῦτο, ὅτι κατ' αὐτὴν τὴν ῥαφὴν ἡ ῥῆ-
ξις γίνεται. ἢν ῥηγνύηται ὡς ἐπὶ τὸ
πολύ. [5] ἑτοίμη γὰρ ταύτῃ ῥήγνυσθαι
τὸ ὀστέον, καὶ διαχαλᾶν διὰ τὴν ἀσθέ-
νειαν τῆς φύσιος τοῦ ὀστέου ταύτῃ καὶ ἀ-
ραιότητα, καὶ διὰ τὸ τὴν ῥαφὴν ἑτοίμην
ἐοῦσαν ῥήγνυσθαι, καὶ διαχαλᾶν. [6] τὰ δ'
ἄλλα τὰ ὀστέα τὰ περιέχοντα τὴν ῥα-
φὴν μένει ἀρραγέα, ὅτι ἰσχυρότερά
ἐστι τῆς ῥαφῆς.

XVI. Ἡ δὲ ῥῆξις ἡ κατὰ τὴν ῥαφὴν
γινομένη καὶ διαχάλασίς ἐστι τῆς
ῥαφῆς, καὶ φράσασθαι οὐκ εὐμαρής ἐστιν,
οὔτε ὑπὸ ἕδρης τοῦ βέλεος γενομένης
ἐν τῇ ῥαφῇ, ἐπὴν ῥαγῇ καὶ δια-
χαλάσῃ. ἀλλ' ἔστι χαλεπώτερον
φράσασθαι τὴν ἀπὸ τῆς φλάσιος ῥωγ-
μήν. [2] συνεξαπατῶσι γὰρ τὴν γνώμην
καὶ τὴν ὄψιν τοῦ ἰητροῦ αὗται αἱ ῥαφαὶ
ῥωγμοειδέες φαινόμεναι, καὶ τρηχύ-
τεραι ἐοῦσαι τοῦ ἄλλου ὀστέου, ὅ τι μὴ
ἰσχυρῶς διεκόπη, καὶ διεχάλασε. δια-
κοπὴ δὲ καὶ ἕδρη τωὐτόν ἐστιν. [3] ἀλλὰ
25 χρὴ, ἢν κατὰ τὰς ῥαφὰς τὸ τρῶμα
γένοιτο καὶ πρὸς τὸ ὀστέον ἐνεχθῇ
τὸ βέλος, προσέχοντα τὸν νόον ἀνευ-
ρίσκειν

tem os carne denudatum à telo fuerit, & circa ipsas suturas ulcus fieri contigerit, difficile est sedem teli deprehendere, quæ in alio osse manifesta est, an insit in osse, aut non insit, & an sedes facta sit in ipsis suturis. [3] Occultat enim ipsa sutura, asperior existens reliquo osse, & non satis clarum est ubi in ipso sutura est, & ubi ossis sedes, si non valde magna sedes fiat. [4] Accedit etiam ruptio ad sedem, plerunque & ipsa in suturis contingens, & fit etiam hæc ruptio rupto osse deprehensu difficilior, eo quod circa ipsam suturam ruptio fit, si rumpitur, utplurimum. [5] Proclive enim est hac parte os rumpi ac dissolvi, propter ossis hac parte debilitatem ac raritatem, & propterea quod parata sit sutura ut rumpatur ac dissolvatur. [6] Nam reliqua ossa suturam ambientia ruptionis exortia manere possunt, eo quod robustiora sunt quam sutura.

XVI. Verum ruptio circa suturam facta, etiam dissolutio suturæ est, & non facile est deprehendere, neque si à teli sede fiat in sutura, ubi rupta fuerit ac dissoluta. Verum difficilius est deprehendere fissuram ex contusione. [2] Fallunt enim & mentem, & visum medici hæ suturæ, fissuræ speciem referentes, & reliquo osse asperiores existentes, nisi vehementer dissectæ fuerint ac dissolutæ. Dissectio autem & sedes idem sunt: [3] Proinde si circa suturas vulnus factum fuerit, & ad os telum incubuerit, animadversionem habere [4] oportet, ac invenire quod os

 passum

ἐδέξατο ὅ, ἢ πέπονθε τὸ ὀστέον. 4 ἀπὸ γὰρ ἴσων βελέων τὸ μέγεθος καὶ ὁμοίων, καὶ πολλὸν τε ἐλασσόνων καὶ ὁμοίως τρωθεὶς καὶ πολὺ ἧσσον, πολλῷ μεῖζον ἐκτήσατο τὸ κακὸν ἐν τῷ ὀστέῳ ἐς τὰς ῥαφὰς δεξάμενος, ἢ ὁ μὴ ἐς τὰς ῥαφὰς δεξάμενος. καὶ τούτων τὰ πολλὰ πρίεσθαι δεῖ. 5 ἀλλ' οὐ χρὴ αὐτὰς τὰς ῥαφὰς πρίειν, ἀλλ' ἀποχωρήσαντα ἐν τῷ πλησίον ὀστέῳ τὴν πρίσιν ποιέεσθαι, ἢν πρίῃς.

XVII. Περὶ δὲ ἰήσιος τρωμάτων τῶν ἐν τῇ κεφαλῇ, καὶ ὡς χρὴ ἐξελέγχειν τὰ πάθεα τὰ ἐν τῷ ὀστέῳ γενόμενα τὰ μὴ φανερά, ὧδέ μοι δοκεῖ. 2 Ἕλκος ἐν τῇ κεφαλῇ οὐ χρὴ τέγγειν οὐδενί, οὐδὲ οἴνῳ, ἀλλ' ὡς ἥκιστα· οὐδὲ καταπλάσσειν, οὐδὲ μοτῷ τὴν ἴησιν ποιέεσθαι. 3 οὐδὲ ἐπιδεῖν χρὴ ἕλκος ἐν κεφαλῇ, ἢν μὴ ἐν τῷ μετώπῳ ᾖ τὸ ἕλκος, ἢ ἐν τῷ ψιλῷ τῶν τριχῶν, ἢ περὶ τὴν ὀφρὺν καὶ τὸν ὀφθαλμόν. 4 ἐνταῦθα δὲ γινόμενα τὰ ἕλκεα, καταπλάσιος καὶ ἐπιδέσιος μᾶλλον χρήζει ἢ τοῦ ἄλλοθι τῆς κεφαλῆς τῆς ἄλλης. περιέχει γὰρ ἡ κεφαλὴ ἡ ἄλλη τὸ μέτωπον πᾶν, ἐκ δὲ τῶν περιεχόντων τὰ ἕλκεα, καὶ ἐν τῷ ὅτῳ ἂν ᾖ τὰ ἕλκεα φλεγμαίνει τε καὶ ἐπανοιδίσκεται δι' αἵματος ἐπιρροήν. 5 χρὴ δὲ οὐδὲ τὰ ἐν τῷ μετώπῳ διὰ παντὸς τοῦ χρόνου καταπλάσσειν καὶ ἐπιδεῖν, ἀλλ' ἐπὴν παύσηται φλεγμαίνοντα, καὶ τὸ οἴδημα καταστῇ, παύσασθαι δὲ καταπλάσσοντα καὶ ἐπιδέοντα. 6 ἐν δὲ τῇ ἄλλῃ κεφαλῇ ἕλκος οὔτε μοτοῦν χρή, οὔτε καταπλάσσειν, οὔτ' ἐπιδεῖν, εἰ μὴ καὶ τομῆς δέοιτο.

XVIII. Τάμνειν δὲ χρὴ τῶν ἑλκέων τῶν ἐν τῇ κεφαλῇ γινομένων,

passum sit. 4 Nam ab æqualibus magnitudine telis, & similibus, ac multo minoribus, & similiter & multo minus vulneratus, longe magis malum accipit, qui in osse in suturas telum recepit, quam qui non in suturas id recepit. Et pleraque horum perforare oportet. 5 Verum ipsas suturas perforare non oportet, sed secedendo in propinquo osse perforationem facere, si perfores.

XVII. Porro de curatione vulnerum in capite, & quo modo deprehendere oportet affectiones in capite obortas non manifestas, ita mihi videtur. 2 Ulcus in capite nullo humore humectare convenit, ac ne vino quidem: neque cataplasmate integere, neque linamento curationem facere. 3 Neque vero comprimere oportet ulcus in capite, si non in fronte fuerit, aut in loco pilis nudato, aut circa supercilium & oculum. 4 Hic enim facta ulcera, cataplasmatis ac deligatione magis opus habent, quam in aliis capitis partibus. Continet ac ambit reliquum caput totam frontem: partes autem ulcus ambientes, in quacunque tandem parte ulcera fuerint, inflammantur ac intumescunt, propter sanguinis influxionem. 5 Oportet autem neque ea quæ in fronte sunt ulcera, per omne tempus cataplasmatis integere ac deligare, sed postquam inflammatio sedata est, & tumor sedatus, à cataplasmatis ac deligatione cessare. 6 At in reliquo capite ulcus, neque linamentis, neque cataplasmatis, neque deligatione curare oportet, si non & sectione opus habeat.

XVIII. Secare autem oportet ulceribus in capite ac fronte factis,

μένων, καὶ ἐν μετώπῳ, ὅπῃ ἂν τὸ μὲν ὀστέον ψιλὸν ᾖ τῆς σαρκός, καὶ δοκέῃ τι σίνος ἔχειν ὑπὸ τοῦ βέλεος. [2] τὰ δὲ ἕλκεα μὴ ἱκανὰ τὸ μέγεθος τοῦ μήκεος καὶ τῆς εὐρύτητος, ἐς τὴν σκέψιν τοῦ ὀστέου, εἴ τι πέπονθεν ὑπὸ τοῦ βέλεος κακόν, καὶ ὁποῖόν τι πέπονθεν, καὶ ὅσον ἥ τε σὰρξ πέφλασται, καὶ τὸ ὀστέον ἔχει 45 τι σίνος. καὶ δ' αὖ τι εἰ ἀσινές ἐστι τὸ ὀστέον ὑπὸ τοῦ βέλεος, καὶ μηδὲν πέπονθε κακόν. καὶ ἐς τὴν ἴησιν, οἵης δεῖταί τινος τό τε ἕλκος, ἥ τε σὰρξ, καὶ ἡ πάθη τοῦ ὀστέου. [3] τὰ δὴ τοιαῦτα τῶν ἑλκέων τομῆς δεῖται. αὖ καὶ τὸ μὲν ὀστέον ψιλωθῇ τῆς σαρκός, ὑπόκοιλα δὲ ᾖ ἐς πλάγιον, ἐπὶ πολὺ ἐπανατέμνειν τὸ κοῖλον, ὅκου μὴ εὐχερὲς τὸ φάρμακον ἀφικέσθαι, ὁκοίῳ ἄν τινι χρῇ. [4] καὶ τὰ κυκλοτερέα τῶν ἑλκέων, καὶ ὑπόκοιλα ἐπὶ πολὺ καὶ τὰ τοιαῦτα 449 ἐπανατέμνειν τὸν κύκλον διχῆ κατὰ μῆκος, ὡς πέφυκεν ἄνθρωπος, μακρὸν ποιέειν τὸ ἕλκος.

XIX. Τάμνοντι δὲ κεφαλήν, τὰ μὲν ἄλλα τῆς κεφαλῆς, ἀσφαλείην ἔχει τεμνόμενα. ὁ δὲ κρόταφος, καὶ ἄνωθεν ἔτι τοῦ κροτάφου, κατὰ τὴν φλέβα, τὴν διὰ τοῦ κροτάφου φερομένην· τοῦτο δὲ τὸ χωρίον μὴ τάμνειν. σπασμὸς γὰρ ἐπιλαμβάνει τὸν τμηθέντα. [2] καὶ, ἢν μὲν ἐπ' ἀριστερὰ τμηθῇ κροτάφου, τὰ ἐπὶ δεξιὰ ὁ σπα-5 σμὸς ἐπιλαμβάνει. ἢν δ' ἐπὶ τὰ δεξιὰ τμηθῇ κροτάφου, τὰ ἐπ' ἀριστερὰ ὁ σπασμὸς ἐπιλαμβάνει. [3] Ὅτ' αὖ οὖν τάμνῃς ἕλκος ἐν κεφαλῇ ὀστέων εἵνεκα τῆς σαρκὸς ἐψιλωμένων, θέλων εἰδέναι, εἴ τι ἔχει τὸ ὀστέον κακὸν ὑπὸ τοῦ βέλεος, ἢ καὶ οὐκ ἔχει, τάμνειν χρὴ τὸ μέγεθος τὴν ὠτειλήν, ὅσον ἂν δοκέῃ αὐτῷ χρῆναι. [4] τάμνοντα δὲ χρὴ ἀναστεῖλαι τὴν σάρκα ἀπὸ τοῦ ὀστέου, ἣ πρὸς τῇ

ctis, qua parte os carne nudum 205 fuerit, & læsionem aliquam ex telo habere visum fuerit. [2] Ulcera vero quæ non habent sufficientem magnitudinem longitudinis ac latitudinis, ad ossis inspectionem, an quid mali passum sit à telo, & quale id passum sit, & quantum caro contusa est, & quantam os læsionem habet: & rursus an illæsum sit os à telo, & nihil mali passum sit: & ad curationem, quali nam opus habet ulcus, & caro, & ossis affe- 210 ctio: [3] talia sane ulcera sectione opus habent. Si vero etiam os quidem carne fuerit denudatum, subcava vero fuerint ulcera in obliquum, cavitatem quamplurimum resecare oportet, ubi non facile est medicamento quocunque pervenire. [4] Sed & orbiculatiora ulcera, ac plurimum subcava, etiam ipsa resecare oportet, circulo divisim inciso secundum longitudinem pro hominis natura, ut longius fiat ulcus.

19 XIX. At vero in capitis se- 215 ctione, reliquæ quidem capitis partes securitatem habent dum secantur. Verum tempora, & adhuc supra tempora venam quæ per tempora fertur, secare non oportet. Convulsio enim corripit sectum. [2] Et si quidem sinistra tempora secta fuerint, dextera convulsio corripit. Si vero dextra secta fuerint, sinistra convulsio apprehendit. [3] Quum 20 igitur ulcus in capite secas, ossium gratia carne denudatorum, scire cupiens an habeat os 220 quid mali à telo, aut non habeat, secare oportet vulnus tanta magnitudine, quanta sursum opus habere visum fuerit. [4] Secantem vero carnem ab osse diducere oportet, quæ ad membranam, & ad

τῇ μήνιγγι καὶ πρὸς τῷ ὀστέῳ πέφυκεν. [5] ἔπειτα διαμοτῶσαι τὸ ἕλκος πᾶν μοτῷ, ὅστις εὐρύτατον τὸ ἕλκος παρέξει ἐς τὴν ὑστεραίην ξὺν ἐλαχίστῳ πόνῳ. [6] μετὰ τούτων δὲ καταπλάσματι χρῆσθαι ὅσον ἂν χρόνον καὶ τῷ μοτῷ, μάζαν ἐκ λεπτῶν ἀλφίτων, ἐν ὄξει διαμάσσειν ἢ ἕψειν καὶ γλίσχρην ποιέειν ὡς μάλιστα. [7] Τῇ δ' ὑστεραίῃ ἡμέρῃ, ἐπειδὰν ἐξέλῃς τὸν μοτόν, κατιδὼν τὸ ὀστέον ὅ, τι πέπονθεν, ἐὰν μή σοι καταφανὴς ᾖ ἡ τρῶσις, ὁποίη τίς ἐστιν ἐν τῷ ὀστέῳ, [8] μηδὲ διαγινώσκῃς, εἴ τι ἔχει τὸ ὀστέον κακὸν ἐν ἑωυτῷ, ἢ καὶ οὐκ ἔχει, τὸ δὲ βέλος δοκέῃ ἀφῖχθαι ἐς τὸ ὀστέον καὶ σινᾶσθαι, ἐπιξύειν χρὴ τῷ ξυστῆρι κατὰ βάθος καὶ κατὰ μῆκος τοῦ ἀνθρώπου, ὡς πέφυκεν· καὶ αὖθις, εἰ ᾖ κάρσιον τὸ ὀστέον, τῶν ῥήξεων εἵνεκα τῶν ἀφανέων ἰδεῖν, καὶ τῆς φλάσιος εἵνεκα τῆς ἀφανέος τῆς οὐκ ἐσφλασμένης εἴσω ἐκ τῆς φύσιος τῆς κεφαλῆς τοῦ ἄλλου ὀστέου.

XX. Ἐξελέγχει γὰρ ἡ ξύσις μᾶλλον, ἢν μὴ καὶ ἄλλως καταφανέες ἔωσιν αὗται αἱ πάθαι ἐοῦσαι ἐν τῷ ὀστέῳ τοῦ βέλεος. [2] καὶ ἢν ἕδρην ἴδῃς ἐν τῷ ὀστέῳ τοῦ βέλεος, ἐπιξύειν χρὴ αὐτήν τε τὴν ἕδρην τοῦ βέλεος, καὶ τὰ περιέχοντα αὐτὴν ὀστέα, μὴ πολλάκις τῇ ἕδρῃ προσγίνηται ῥῆξις, καὶ φλάσις, ἢ μούνη φλάσις, ἔπειτα λανθάνῃ οὐ καταφανέα ἐόντα. [3] Ἐπειδὰν δὲ ξύσῃς τὸ ὀστέον τῷ ξυστῆρι, ἢν μὲν δοκέῃ ἐς πρίσιν ἀφῖχθαι ἡ τρῶσις τοῦ ὀστέου, πρίειν χρὴ καὶ τὰς τρεῖς ἡμέρας μὴ ὑπερβάλλειν ἀπρίωτον, ἀλλ' ἐν ταύτῃσι πρίειν, ἄλλως τε καὶ τῆς θερμῆς ὥρης, ἢν ἐξ ἀρχῆς λαμβάνῃς τὸ ἴημα. [4] ἢν δὲ ὑποπτεύσῃς μὲν τὸ ὀστέον ἐρρωγέναι, ἢ πεφλάσθαι,

ad os exiſtit. [5] Deinde linamentum per totum ulcus adhibere oportet, quod ulcus quam ampliſſimum in poſterum diem faciat, cum minimo dolore: [6] ubi vero linamentum adhibuiſti, cataplaſmate utere, quanto tempore etiam linamento, ita ut mazam ex tenui polenta in aceto ſubigas, aut coquas, & quam maxime viſcoſam facias. [7] Poſtridie vero ubi linamentum exemeris, inſpecto oſſe quod paſſum eſt, ſi non conſpicua tibi ſit vulneratio, qualiſnam ſit in oſſe: [8] neque cognoſcas an os aliquid mali in ſe habeat, aut non habeat, telum autem ad os perveniſſe ac læſiſſe videatur, radere oportet ſpicillo raſorio, ſecundum longitudinem ac profunditatem pro hominis natura: & rurſus ſi etiam tranſverſum ſit os, ruptionum gratia ad viſum inconſpicuarum, & contuſionis obſcuræ gratia, quæ non intro ceſſit ex natura alterius oſſis capitis.

XX. Indicat enim ipſa raſio magis, ſi non etiam alias conſpicuæ fuerint hæ affectiones, ex telo in oſſe exiſtentes. [2] Et ſi ſedem teli in oſſe videris, tum ipſam teli ſedem radere oportet, tum ambientia ipſam oſſa, ne ſæpe ad ſedem ruptio accedat, & contuſio, aut ſola contuſio, & deinde lateant, quum non conſpicua exiſtant. [3] Poſtquam autem os ſcalpro raſeris, ſi quidem ad perforationem tendere oſſis ſauciatio videatur, perforare oportet, & citra perforationem triduum non excedere, ſed in hoc perforare, tum alias, tum tempore calido, ſi ab initio curationem ſuſceperis. [4] Si vero ſuſpiceris os ruptum, aut contuſum

25 φλάσαι, ἢ ἀμφότερα ταῦτα· τεκ-
μαιρόμενος ὅτι ἰσχυρῶς τέτρωται
ἐκ τῶν λόγων τοῦ τρωματίου. καὶ ὅτι
ὑπὸ ἰσχυροῦ τοῦ τρώσαντος, ἢν ἕτερος
ὑφ' ἑτέρου τρωθῇ· καὶ τὸ βέλος, ὅτῳ
ἐτρώθη, ὅτι τῶν κακούργων βελέων
ἦν. ἔπειτα τὸν ἄνθρωπον, ὅτι δῖνός τε
ἔλαβεν, καὶ σκότος, καὶ ἐκαρώθη καὶ
κατέπεσεν. [5] τούτων δὲ οὕτω γενο-
μένων, ἢν μὴ διαγινώσκῃς, εἰ ἔρ-
ρωγε τὸ ὀστέον, ἢ τέφλασται, ἢ καὶ
ἀμφότερα ταῦτα, μήτε ἄλλως
ὁρᾷν, δεῖ δὴ ἐπὶ τὸ ὀστέον τῆκειν τὸ
μελάντατον διαλύσαντα τῷ μέλανι
30 φαρμάκῳ τῷ τηκομένῳ· τό τε ἕλ-
κος ὑποτείνας ὀθόνιον ἐλαίῳ τέγ-
ξαι, [6] εἶτα καταπλάσας τῇ μά-
ζῃ ἐπιδῆσαι. τῇ δ' ὑστεραίῃ, ἀπο-
λύσας καὶ ἐκκαθήρας τὸ ἕλκος,
ἐπιξῦσαι.

XXI. Καὶ ἢν μὴ ᾖ ὑγιές, ἀλλ'
ἐῤῥώγῃ καὶ τεφλασμένον ᾖ, τὸ μὲν
ἄλλο ἔσται ὀστέον λευκὸν ξυόμενον. ἡ
δὲ ῥωγμὴ καὶ ἡ φλάσις, καταδεξαμένη
τοῦ φαρμάκου, δεξαμένη τὸ φάρμα-
κον ἐς ἑωυτὴν μέλαν ἐὸν, ἔσται μέ-
λαινα, ἐν λευκῷ τῷ ὀστέῳ τῷ ἄλ-
λῳ. [2] ἀλλὰ χρὴ αὖθις τὴν ῥωγμὴν
ταύτην φανεῖσαν ἐπιξύειν κατὰ βά-
35 θος. καὶ ἢν μὲν ἐπιξύων τὴν ῥωγμὴν
ταύτην φανεῖσαν μέλαιναν ἐξέλῃς
καὶ ἀφανέα ποιήσῃς, φλάσις μὲν γε-
γένηται τοῦ ὀστέου ἢ μᾶλλον ἢ ἧσσον,
ἥτις περιέῤῥηξε καὶ τὴν ῥωγμὴν τὴν
ἀφανισθεῖσαν ὑπὸ τοῦ ξυστῆρος. [3]
ἧσσον δὲ φοβερὸν καὶ ἧσσον αὖ πρῆ-
γμα ἀπ' αὐτῆς γίνεται ἀφανισθεί-
σης τῆς ῥωγμῆς. ἢν δὲ κατὰ βάθος ᾖ
καὶ μὴ ἐθέλῃ ἐξιέναι ἐπιξυομένη,
ἀφικνεῖται ἐς πρῖσιν ἡ τοιαύτη ξυμφο-
ρή. [4] ἀλλὰ χρὴ πρίσαντα τὰ λοι-
πὰ ἰητρεύειν τὸ ἕλκος. φυλάσσε-
40 σθαι δὲ χρὴ, ὅπως μή τι κακὸν

ἀπο-

sum esse, aut ambo hæc: conjectura facta quod vehementer sauciatus sit, ex vulnerati verbis: & quod à forti id contigit qui sauciavit, si alius ab alio vulneratus fuerit: & quod telum quo vulneratus est, ex maleficorum telorum ordine fuit: deinde quod vertigo & caligo ipsum corripuerit, & quod in soporem profundiorem inciderit, & quod ceciderit. [5] His ita contingentibus, si non cognoscas an os ruptum sit, aut contusum, aut ambo hæc, neque alias videas: super os aliquid maxime nigri coloris, nigro medicamento liquato subactum, imponere oportet: & subextento linteo oleo imbuto super ulcus, [6] & deinde mazæ cataplasmate apposito deligare: postridie vero exoluto ac expurgato ulcere deradere.

XXI. Et si sanum non fuerit, sed ruptum ac contusum, reliquum quidem os rasum album erit, fissura vero & contusio, quæ nigrum medicamentum eliquatum in seipsam suscepit, in reliquo osse albo nigra erit. [2] Cæterum hanc fissuram conspectam rursus secundum profunditatem radere oportet. Et si quidem radens fissuram hanc conspectam nigram exemeris, & deleveris è conspectu sublatam, contusio quidem ossis, aut magis aut minus facta fuit, quæ sane etiam fissuram à scalpro rasorio deletam rupit. [3] Verum minus horrenda hæc est, & minus negotii exhibuerit, fissura deleta. Si vero in profundo sit, & dum raditur deleri nolit; ad perforationem devenit hæc calamitas. [4] Sed perforare oportet, ac de cætero ulcus curare. Cavere autem convenit ut ne aliquid mali

os-

ἀπολαύσῃ τὸ ὀστέον ἀπὸ τῆς σαρκὸς, ἢν κακῶς ἰητρεύηται. [5] ὀστέῳ γὰρ καὶ τετρημένῳ, καὶ ἄλλως ἐψιλωμένῳ, ὑγιεῖ δὲ ἐόντι, καὶ ἔχοντί τι σίνος ὑπὸ τοῦ βέλεος, δοκέοντι δὲ ὑγιεῖ εἶναι, κίνδυνός ἐστι μᾶλλον ὑπόπυον γενέσθαι, ἢν καὶ ἄλλως μὴ μέλλῃ, ἢν καὶ ἡ σὰρξ ἡ περιέχουσα τὸ ὀστέον κακῶς θεραπεύηται, καὶ φλεγμαίνηται, καὶ περισφίγγηται.

XXII. Πυριτώδης γὰρ γίνεται, καὶ πολλοῦ φλογμοῦ πλέον. καὶ δὴ τὸ ὀστέον ἐκ τῶν περιεχουσῶν σαρκῶν ἐς ἑωυτὸ θέρμην τε καὶ φλογμὸν, καὶ ἄλγος ἐμποιέει καὶ σφυγμόν. καὶ ὅσα κακὰ ἡ σὰρξ ἔχει καὶ ἐν ἑωυτῇ, καὶ ἐκ τουτέων οὕτως ὑπόπυον γίνεται. [2] Κακὸν δὲ καὶ ὑγρήν τε εἶναι τὴν σάρκα ἐν τῷ ἕλκει, καὶ μυδῶσαν. καὶ ἐπὶ πολλὸν χρόνον καθαίρεσθαι. ἀλλὰ χρὴ διάπυον μὲν ποιῆσαι τὸ ἕλκος ὡς τάχιστα. [3] οὕτω γὰρ ἂν ἥκιστα φλεγμαίνοι τὰ περιέχοντα τὸ ἕλκος, καὶ τάχιστα καθαρὸν εἴη· ἀνάγκη γὰρ ἔχει τὰς σάρκας τὰς κοπείσας καὶ φλασθείσας ὑπὸ τοῦ βέλεος ὑποπύους γενομένας ἐκτακῆναι. [4] ἐπειδὰν δὲ καθαρθῇ, ξηρότερον χρὴ γενέσθαι τὸ ἕλκος. [5] οὕτω γὰρ ἂν τάχιστα ὑγιὲς γένοιτο, ξηρῆς σαρκὸς βλαστούσης καὶ μὴ ὑγρῆς. καὶ οὕτως οὐκ ἂν ὑπερσαρκήσῃ τὸ ἕλκος.

XXIII. Ὁ δ' αὐτὸς λόγος καὶ ὑπὲρ τῆς μήνιγγος τῆς περὶ τὸν ἐγκέφαλον. [2] ἢν γὰρ αὐτίκα ἐκπρίσας τὸ ὀστέον καὶ ἀφελὼν ἀπὸ τῆς μήνιγγος ψιλώσῃς, αὐτὴν καθαρὴν χρὴ ποιῆσαι ὡς τάχιστα καὶ ξηρὴν, ὡς μὴ ἐπὶ πουλὺν χρόνον ἐοῦσα μυδήσῃ τε καὶ ἐξαίρηται. [3] τούτων γὰρ οὕτω γινομένων, σαπῆναι αὐτὴν κίνδυνος. [4] Ὀστέον δὲ ὅ, τι δὴ ἀποστῆναι δεῖ. ὅτου ἄλλου ὀστέου ἕλκεος ἐν κεφα-

os contrahat ex carne, si male curetur. [5] Nam & perforato ossi, & alias denudato, sed sano: & si læsionem aliquam ex telo habeat, & tamen sanum esse putetur, periculum magis imminet ut suppuratum fiat, etiam si alias futurum non esset. Si & caro os ambiens male curetur, & inflammetur ac constringatur.

XXII. (Ignescit enim, & multa flamma impletur. Et sane os ex ambientibus carnibus in seipsum calorem & flammam, & quæcunque mala in seipsa habet caro, trahit, & ex his ita suppuratum fit. [2] Malum est etiam humidam esse carnem in ulcere, & putrescentem, & ad multum tempus purgari.) Quare suppuratum quidem quam celerrime ulcus facere oportet. [3] Sic enim ambientes ulcus partes quam minimum inflammabuntur, & ulcus citissime purum erit. Necesse est enim carnes concisas ac contusas à telo suppuratas fieri ac consumi. [4] Postquam autem purgatum fuerit, siccius fieri ulcus oportet. [5] Sic enim citissime sanum fiet, sicca carne germinante, & non humida. Et sic quoque ulceri caro non superincrescet.

XXIII. Eadem ratio membranæ circum cerebrum est. [2] Statim enim osse perforato & exsecto, ac de membrana detracto, ipsam denudatam membranam puram quam citissime ac siccam facere oportet, ut ne ubi ad multum tempus humida sit, computrescat ac in tumorem attollatur. [3] His enim ita contingentibus, periculum est ipsam putrefieri. [4] At vero os quod discedere à quovis alio osse oportet, ulcere in capite facto, & sedo

κεφαλῇ γινομένου, ἕδρης τε ἐούσης τοῦ βέλεος ἐν τῷ ὀστέῳ, ἢ ἄλλως ἐπὶ πολὺ ψιλωθέντος τοῦ ὀστέου, ἀφίσταται ἐπὶ πολὺ ἔξαιμον γενόμενον.[5] ἀναξηραίνεται γὰρ τὸ αἷμα ἐκ τοῦ 10 ὀστέου ὑπό τε τοῦ χρόνου καὶ ὑπὸ φαρμάκων τῶν πλείστων. τάχιστα δ' ἂν ἀποσταίη, εἴ τις τὸ ἕλκος ὡς τάχιστα καθήρας ξηραίνοι τὸ λοιπὸν τό, τε ἕλκος καὶ τὸ ὀστέον, καὶ τὸ μεῖζον καὶ τὸ ἧσσον.[6] τὸ γὰρ τάχιστα ἀποξηρανθὲν καὶ ἀποστρακωθὲν, ἐν τούτῳ 24 μάλιστα ἀφίεται ἀπὸ τοῦ ἄλλου ὀστέου τοῦ ἐναίμου τε καὶ ζῶντος αὐτοῦ, ἔξαιμόν τι γενόμενον καὶ ξηρὸν τοῦ ἐναίμου καὶ ζῶντος μάλα ἀφίσταται.

XXIV. Ὅσα δὲ τῶν ὀστέων ἐσ- 25 φλᾶται ἔσω ἐκ τῆς φύσιος τῆς ἑωυτῶν καταῤῥαγέντα ἢ καὶ διακεκομμένα πάνυ εὐρέα, ἀκινδυνότερα τὰ τοιαῦτα γίνεται, ἢν ἡ μῆνιγξ ὑγιὴς ᾖ. καὶ τὰ πλείοσι ῥωγμῇσιν ἐσκαταῤῥαγέντα καὶ εὐρυτέρῃσιν ἔτι ἀκινδυνότερα καὶ εὐμαρέστερα [illegible] τὴν ἀφαίρεσιν γίνεται. καὶ οὐ χρὴ πρίειν τῶν τοιούτων οὐδέν,[2] οὐδὲ κινδυνεύειν τὰ ὀστέα πειρώμενον ἀφαιρέειν, πρὶν ἢ αὐτόματα ἐπανίῃ, ᾗ εἰκὸς προτέρου χαλάσαντος. ἐπανέρχεται δὲ, τῆς σαρκὸς ὑποφυομένης.[3] ὑποφύεται δὲ ἐκ τῆς διπλόης τοῦ ὀστέου καὶ ἐκ τοῦ 20 ὑγιέος, ἢν ἡ ἄνωθεν μοῖρα τοῦ ὀστέου μούνη σφακελίσῃ.[4] οὕτω δ' ἂν τάχιστα ἥ τε σὰρξ ὑποφύοιτο καὶ βλαστάνοι, καὶ τὰ ὀστέα ἐπανίοι, εἴ τις τὸ ἕλκος ὡς τάχιστα διάπυον ποιήσας καθαρὸν ποιήσηται.[5] καὶ ἢν διὰ παντὸς τοῦ ὀστέου ἄμφω αἱ μοῖραι ἐσφλασθῶσιν ἔσω ἐς τὴν μήνιγγα, ἥ τε ἄνω μοίρη τοῦ ὀστέου καὶ ἡ κάτω, ἰητρεύοντι ὡσαύτως τὸ ἕλκος ὑγιὲς τάχιστα ἔσται. καὶ τὰ ὀστέα τάχιστα ἐπανίασιν τὰ ἐσφλασθέντα ἔσω.

XXV. Τῶν

de teli in osse existente, aut alias osse plurimum denudato : discedit, ubi plurimum exangue fa- 275 ctum est.[5] Resiccatur enim sanguis ex osse, & à tempore, & à plurimis medicamentis. Citissime enim discesserit, si quis ulcus quam citissime purgarit, & de cætero & ulcus, & os, tum majus, tum minus resiccaverit.[6] Quod enim citissime resiccatum ac testaceum factum fuerit, ex hoc facto maxime dimittitur ab alio osse, quod sanguinolentum ac vivum existit, & quum exangue ac siccum fiat, à sanguinolento ac vivo valde discedit. 280

XXIV. Quæcunque vero ossa intro contusa cedunt ex sua ipsorum natura, rupta aut etiam dissecta, valde ampla, talia minus periculosa sunt, ubi membrana sana fuerit : & quæ pluribus fissuris & amplioribus intro rupta sunt, adhuc minus periculosa sunt, & ad detractionem faciliora fiunt :[2] & nullum ex talibus perforare oportet, neque periclitari ossa auferre conando, priusquam sponte sua emergant, priore forma exoluta. Emer- 285 gunt autem carne subnascente.[3] Subnascitur autem ex duplicata ossis lamina, & ex sano osse, si superna ossis pars sola fuerit corrupta.[4] Sic vero quam citissime & caro subnasci ac germinare poterit, & ossa emerserint, si quis ulcus quam citissime suppuratum redditum, purum faciat.[5] Et si per totum os ambæ partes intro contusæ cesserint ad membranam, & superna ossis pars, & inferna, si quis similiter medeatur, 290 ulcus celerrime sanum erit, & ossa quæ intro cesserunt, celerrime emergunt ac revertuntur.

XXV. At

XXV. Τῶν δὲ παιδίων τὰ ὀστέα καὶ λεπτότερά ἐστι καὶ ' μαλθακώτερα διὰ τοῦτο, ὅτι ἐναιμότερά ἐστι καὶ κοῖλα, " καὶ οὔτε σηραγγώδεα, καὶ οὔτε πυκνά, οὔτε στερεά. καὶ ὑπὸ τῶν βελέων ἴσων τε ἐόντων καὶ ἀσθενεστέρων, καὶ τρωθέντων ὁμοίως τε καὶ ἧσσον, τὸ τοῦ νεωτέρου παιδίου καὶ μᾶλλον καὶ θᾶσσον ὑποπυΐσκεται), [2] ἢ τὸ τοῦ πρεσβυτέρου, καὶ ἐν ἐλάσσονι χρόνῳ, καὶ ὅσα αὖ ἄλλως μέλλῃ ἀποθανεῖσθαι ἐκ τοῦ τρώματος, ὁ νεώτερος τοῦ πρεσβυτέρου θᾶσσον ἀπόλλυται. [3] Ἀλλὰ χρή, ἢν ψιλωθῇ τῆς σαρκὸς τὸ ὀστέον, προσέχοντα τὸν νόον πειρᾶσθαι ' διαγινώσκειν, ὅτι μὴ ἔστι τοῖσιν ὀφθαλμοῖσιν ἰδεῖν καὶ γνῶναι, εἰ ἔρρωγε τὸ ὀστέον καὶ εἰ πέφλασται, ἢ μοῦνον πέφλασται. καὶ, εἰ ἕδρης γενομένης τοῦ βέλεος, πρόσεστι φλάσις ἢ ῥωγμή, ἢ ἄμφω ταῦτα. [4] καὶ, ἢν τι τούτων πεπόνθῃ τὸ ὀστέον, ἀφεῖναι τοῦ αἵματος τρυπῶντα τὸ ὀστέον σμικρῷ τρυπάνῳ " φυλασσόμενον ἐπ' ὀλίγον. λεπτότερον γὰρ τὸ ὀστέον, καὶ ἐπιπολαιότερον τῶν νέων ἢ τῶν πρεσβυτέρων. [5] Ὅστις δὲ μέλλει ἐκ τρωμάτων ἐν κεφαλῇ ἀποθνήσκειν, καὶ μὴ δυνατὸν αὐτὸν ὑγιέα γενέσθαι, μηδὲ σωθῆναι: ἐκ τῶνδε τῶν σημείων χρὴ τὴν διάγνωσιν ποιέεσθαι τοῦ μέλλοντος ἀποθνήσκειν, καὶ προλέγειν τὸ μέλλον ἔσεσθαι. [6] πάσχει γὰρ τάδε.

XXVI. Ὁκόταν τις ὀστέον κατεηγὸς, ἢ πεφλασμένον, ἢ οὕτω γοῦν πρόσωπον κατεηγὸς, ' ἐννοήσας ἁμάρτῃ, καὶ μήτε ξύσῃ, μήτε πρίσῃ, μήτε δεόμενον, μήτε δὲ ὡς ὑγιέος ὄντος τοῦ ὀστέου, " πρὸ τῶν τεσσαρεσκαίδεκα ἡμερέων πυρετὸς ἐπιλήψεται) ὡς ἐπιπολὺ ἐν χειμῶνι. ἐν δὲ τῷ θέρει μετὰ τὰς ἑπτὰ ἡμέρας ὁ πυρετὸς ἐπιλαμβάνει. [2] καὶ, ἐπειδὰν τοῦτο γένηται), " τὸ

ἕλκος

XXV. At vero puerorum ossa, & tenuiora & molliora sunt, ea de causa, quod sanguinolentiora sunt, & cava, & neque antrosa, neque densa, neque solida: & à telis æqualibus ac debilioribus, si similiter ac minus fuerint vulnerati, junioris pueri vulnus, & magis & citius suppuratur, & in breviori ' tempore [2] quam senioris: & si alias ex vulnere moriturus est, junior seniore citius perit. [3] Cæterum si os denudatum carne fuerit, animadversione habita cognoscere conari oportet, si oculis videre ac noscere non datur, an ruptum sit os, & an contusum, aut solum contusum: & an sede teli facta, adsit contusio, aut fissura, aut ambo hæc. [4] Et si quid horum os passum fuerit, detracto sanguine, parvo terebello modice & ' cum cautione, os terebrare oportet. Tenuius est enim os, & minus profundum juvenibus, quam senioribus. [5] Quicunque vero ex vulneribus in capite moriturus est, & fieri non potest ut sanus fiat ac servetur, ex his signis dinotionem morituri facere oportet, & quod futurum est prædicere. [6] Patitur enim hæc.

XXVI. Quum quis os fractum, aut ruptum, aut contusum, aut quocunque modo fractum intelligens, per ' errorem deliquerit, & neque raserit, neque perforaverit, veluti os non opus habeat, & velut os sanum existat: ante decimum quartum diem febris corripiet ut plurimum in hyeme. In æstate vero post septimum diem febris corripit. [2] & postquam hoc factum fuerit,

ulcus

ἕλκος ἄχροον γίνεται, καὶ ἐξ αὐτοῦ ἰχὼρ ῥέει σμικρός. καὶ φλεγμαῖνον ἐκτέθνηκεν ἐξ αὐτοῦ, καὶ γλισχρῶδες γίνεται, καὶ φαίνεται ὥσπερ τάριχος, χροιὴν πυῤῥὸν, ὑπόπελιον, καὶ τὸ ὀστέον σφακελίζειν τηνικαῦτα ἄρχεται. καὶ γίνεται περκνὸν, λεῖον 3 ἐὸν, τελευταῖον ὕπωχρον γενόμενον ἢ ἔκλευκον. ³ὅταν δ' ἤδη ὑπόπυον, ᾖ ἐπὶ τῇ γλώσσῃ φλυκταῖναι γίνωνται, καὶ παραφρονέων τελευτᾷ.
45 καὶ σπασμὸς ἐπιλαμβάνει τοὺς 4 πλείστους τὰ ἐπὶ θάτερα τοῦ σώματος. ⁴ἢν μὲν ἐν τοῖς ἐπ' ἀριστερὰ τῆς 5 κεφαλῆς ἔχῃ τὸ ἕλκος, τὰ ἐπὶ δεξιὰ τοῦ σώματος ὁ σπασμὸς λαμβάνει· ἢν δ' ἐν τοῖς ἐπὶ δεξιὰ τῆς κεφαλῆς ἔχῃ τὸ ἕλκος, τὰ ἐπ' ἀριστερὰ τοῦ σώματος ὁ σπασμὸς ἐπιλαμβάνει.

XXVII. Εἰσὶ δ' οἳ καὶ ἀπόπληκτοι γίνονται, καὶ οὕτως ἀπόλλυνται 6 πρὸ ἑπτὰ ἡμερέων ἐν θέρει, ἢ τεσσάρων
411 καὶ δέκα ἐν χειμῶνι. ²ὁμοίως δὲ καὶ σημεῖα ταῦτα σημαίνει, καὶ ἐν πρεσβυτέρῳ ἐόντι τῷ τρώματι, ἢ καὶ ἐν νεωτέρῳ. ἀλλὰ χρὴ, ἐς ἐννοίης τοῦ πυρετοῦ ἐπιλαμβάνοντα, καὶ τῶν ἄλλων τι σημείων τούτῳ προσγινόμενον, μὴ 7 διατρίβειν, ἀλλὰ πρίσαντα τὸ ὀστέον πρὸς τὴν μήνιγγα, ἢ καταξύσαντα τῷ ξυστῆρι (εὔπριστον δὲ γίνεται καὶ εὔξυστον) ³ἔπειτα τὰ λοιπὰ οὕτως
5 ἰητρεύειν, ὅπως ἂν δοκέῃ ξυμφέρειν πρὸς τὸ γινόμενον ὁρῶν. ⁴Ὅταν δ' ἐπὶ τρώματι ἐν κεφαλῇ ἀνθρώπου ἢ πεπρισμένου ἢ ἀπρίστου, ἐψιλωμένου δὲ τοῦ ὀστέου, οἴδημα ἐπιγένηται ἐρυθρὸν καὶ ἐρυσιπελατῶδες ἐν τῷ προσώπῳ, καὶ ἐν τοῖσιν ὀφθαλμοῖσιν ἀμφοτέροισιν, ἢ τῷ ἑτέρῳ· ⁵καὶ, εἴ τις ἅπτοιτο τοῦ οἰδήματος, ὀδυνῷτο· καὶ πυρετὸς ἐπιλαμβάνει, καὶ ῥῖγος· ⁶τὸ δὲ ἕλκος αὐτὸ τὸ ἀπὸ τῆς σαρκὸς καλῶς

ulcus colorem amittit, & ex ipso sanies pauca fluit: & quod inflammatum est ex ipso emoritur, & viscosum fit, & apparet velut salsamentum colore ful- 310 vum, sublividum: & os tunc corrumpi incipit, & fit valde nigrum, postremum pallidum aut valde album evadens. ³ Quum vero jam suppuratum fuerit, in lingua pustulæ oboriuntur, & desipiens æger moritur, & convulsio plerosque corripit in altera corporis parte. ⁴ Si quidem in sinistra parte capitis ulcus habeat, in dextra corporis parte convulsio corripit. Si vero in dextra capitis parte ulcus ha- 315 beat, in sinistra corporis parte convulsio corripit.

XXVII. Sunt autem & qui syderati fiunt, atque sic pereunt ante septimum diem in æstate, aut decimumquartum in hyeme. ²Similiter autem significant hæc signa & in seniore, & in juniore, si vulnus existat. Quapropter ubi intellexeris febrem invadere hominem, & ex aliis signis aliquod ipsi accedere, non cunctari oportet, sed os usque ad membranam perforare, aut scalpro 320 rasorio deradere. Est enim & ad perforationem, & ad rasionem, facile ac expeditum: ³ deinde reliqua sic curare, prout conducere visum fuerit, respectu ad id quod fit habito. ⁴ Quum vero in vulnere, in capite hominis terebello perforato, aut non perforato, osse autem denudato, tumor rubicundus, ignis sacri speciem referens, accesserit in facie, & in oculis utrisque, aut altero: ⁵ & si quis tumorem contingat, doleat: & febris corri- 325 piat ac rigor: ⁶ & ulcus ipsum tum quod ad carnem attinet, tum

λῶς ἔχοι ἰδέσθαι, καὶ τὸ ἀπὸ τοῦ ὀστέου, καὶ τὰ περιέχοντα τὸ ἕλκος ἔχῃ καλῶς, πλὴν τοῦ οἰδήματος τοῦ ἐν τῷ προσώπῳ· [7] καὶ ἄλλην ἁμαρτάδα μηδεμίαν ἔχοι τὸ οἴδημα τῆς ἄλλης διαίτης· τούτῳ χρὴ τὴν κάτω κοιλίην ὑποκαθῆραι φαρμάκῳ, ὅ, τι χολὴν ἄγει. [8] καὶ οὕτω καθαρθέντος, ὅ, τι πυρετὸς ἀφίησιν, καὶ τὸ οἴδημα καθίσταται, καὶ ὑγιὴς γίνεται. τὸ δὲ φάρμακον χρὴ διδόναι πρὸς τὴν δύναμιν τοῦ ἀνθρώπου ὁρῶν, ὡς ἂν ἔχῃ ἰσχύος.

XXVIII. Περὶ δὲ πρίσιος, ὅταν καταλάβῃ ἀνάγκη πρίσαι ἄνθρωπον, ὧδε γινώσκειν. ἢν ἐξ ἀρχῆς λαβὼν τὸ ἴημα πρίῃς, οὐ χρὴ ἐκπρίειν τὸ ὀστέον πρὸς τὴν μήνιγγα αὐτίκα. [2] οὐ γὰρ συμφέρει τὴν μήνιγγα ψιλὴν εἶναι τοῦ ὀστέου ἐπὶ πολὺν χρόνον κακοπαθοῦσαν, ἀλλὰ τελευταῖον σήπη καὶ διαμύδησεν. [3] ἔστι δὲ καὶ ἕτερος κίνδυνος, ἢν αὐτίκα ἀφαιρέῃς πρὸς τὴν μήνιγγα ἐκπρίσας τὸ ὀστέον, τρῶσαι ἐν τῷ ἔργῳ τῷ πρίονι τὴν μήνιγγα. [4] ἀλλὰ χρὴ πρίοντα, ἐπειδὰν ὀλίγου πάνυ δέῃ διαπεπρίσθαι, καὶ ἤδη κινέηται τὸ ὀστέον, παύσασθαι πρίοντα, καὶ ἐᾶν ἐπὶ τὸ αὐτόματον ἀποστῆναι τὸ ὀστέον. ἐν γὰρ τῷ διαπεπρισμένῳ ὀστέῳ καὶ ἐπιλελειμμένῳ τῆς πρίσιος, οὐκ ἂν ἐπιγένοιτο κακὸν οὐδέν. [5] λεπτὸν γὰρ τὸ λειπόμενον ἤδη γίνεται. τὰ δὲ λοιπὰ ἰᾶσθαι χρή, ὡς ἂν δοκέῃ ξυμφέρειν τῷ ἕλκει. [6] Πρίοντα δὲ χρὴ πυκνὰ ἐξαιρέειν τὸν πρίονα τῆς θερμασίης εἵνεκα τοῦ ὀστέου, καὶ ὕδατι ψυχρῷ ἐναποβάπτειν. [7] θερμαινόμενος γὰρ ὑπὸ τῆς

tum quod ad os, bene habeat ad aspectum: & ambientes ulcus partes bene habeant, excepto tumore qui in facie existit: [7] & aliud peccatum nullum tumor habeat, quod ad reliquam victus rationem attinet: Hujus infernam alvum deorsum purgare oportet medicamento, quod bilem ducit: [8] & ubi sic purgatus fuerit, & febris dimittit, & tumor sedatur, & sanus evadit. Medicamentum vero dare oportet, ad vires hominis respiciendo, prout robore validus fuerit.

XXVIII. Cæterum de perforationis ac terebrationis usu, ubi ea necessitas ingruat, ut necesse sit hominem perforare, sic statuendum est. Si ab initio assumptam curationem administras, non oportet statim os ad membranam perforare ac excindere. [2] Non enim conducit membranam osse denudatam esse ad multum tempus male afflictam: sed postremum ubi madore corrumpi ac putrescere ipsam periculum est. [3] Est & aliud periculum, si statim osse ad membranam perforato, ipsum auferas, ne in ipso opere membranam per terebellum vulneres. [4] Verum terebrantem oportet, ubi jam valde parum abest ut os sit perforatum, & os jam movetur, à terebratione desistere, & finere ut os sua sponte discedat. Nam in osse perforato, & à perforatione relicto, nihil mali accedere poterit. [5] Tenue enim jam id quod restat fit. Reliqua vero curare oportet, prout ulceri conducere visum fuerit. [6] Terebrantem autem frequenter eximere terebellum oportet, caliditatis ossis gratia, & in frigidam aquam immergere. [7] Calescens enim

τῆς περιόδου πρίων, καὶ τὸ ὀστέον
ἐκθερμαινῶν καὶ ἀναξηραίνων,
καταικαίει καὶ μεῖζον ποιεῖ ἀφί-
25 στασθαι τὸ ὀστέον τὸ περιέχον τὴν
πρίσιν, ἢ ὅσον μέλλει ἀφίστασθαι. καὶ
ἢν αὐτίκα βούλῃ ἐκπρίσαι τὸ
πρὸς τὴν μήνιγγα, ἔπειτα ἀφαι-
ρέειν τὸ ὀστέον, [8] ὡσαύτως χρὴ πυ-
κνά τε ἐξαιρέειν τὸν πρίονα καὶ
ἐναποβάπτειν τῷ ὕδατι τῷ ψυ-
χρῷ. ἢν δὲ μὴ ἐξ ἀρχῆς λαμβά-
νῃς τὸ ἴημα, ἀλλὰ παρ' ἄλλου πα-
ραδέχῃ ὑστερίζων τῆς ἰήσιος, [9]
" πρίονι χρὴ χαρακτῷ ἐμπρίειν 1
μὲν αὐτίκα τὸ ὀστέον πρὸς τὴν μή-
νιγγα·" θαμινὰ δὲ ἐξαιρεῦντα τὸν 2
πρίονα σκοπεῖσθαι καὶ ἄλλως καὶ τῇ
μήλῃ περιξ κατὰ τὴν ὁδὸν τοῦ πρίονος.

30 XXIX. Καὶ γὰρ πολὺ θᾶσσον
διαπρίεται τὸ ὀστέον, ἢν ὑπό-
πυόν τε ἐὸν ἤδη καὶ διάπυον
πρίῃς. " καὶ [2] πολλάκις τυγχάνει 3
ἐπιπόλαιον ἐὸν τὸ ὀστέον, ἄλλως τε
καὶ ἢν ταύτῃ τῆς κεφαλῆς ᾖ τὸ
τρῶμα, ᾗ τυγχάνει λεπτότερον ἐὸν
τὸ ὀστέον ἢ παχύτερον. [3] ἀλλὰ φυ-
λάσσεσθαι χρὴ, ὡς μὴ λάθῃς προσ-
βαλὼν τὸν πρίονα, ἀλλ' ὅπῃ
δοκέει παχύτατον εἶναι τὸ ὀστέον,
ἐς τοῦτο αἰεὶ ἐνστηρίζειν τὸν πρίο-
να, θαμινὰ σκοπεύμενος, " καὶ 4
πειρᾶσθαι ἀνακινέων τὸ ὀστέον ἀνα-
35 βάλλειν. [4] ἀφελὼν δὲ τὰ λοιπὰ,
ἰητρεύειν ὡς ἂν δοκέῃ ξυμφέρειν
τῷ ἕλκει. [5] " ἢν ἐξ ἀρχῆς λαβὼν 5
τὸ ἴημα αὐτίκα βούλῃ ἐκπρίσας
τὸ ὀστέον ἀφελεῖν ἀπὸ τῆς μήνιγ-
γος, ὡσαύτως χρὴ πυκνά τε
σκοπεῖσθαι τῇ μήλῃ καὶ περίο-
δον τοῦ πρίονος, καὶ ἐς τὸ παχύ-
τατον ἀεὶ τοῦ ὀστέου τὸν πρίονα ἐν-
στηρίζειν, καὶ ἀνακινέων βούλεσθαι
ἀφελεῖν τὸ ὀστέον. [6] " ἢν δὲ τρυ- 6
πάνῳ

enim ex circumductione terebellum, etiam os excalfaciens ac resiccans adurit, & majus os 345 perforationem ambiens, discedere facit, quam alias discessurum fuisset. Si vero etiam statim volueris usque ad membranam perforare, & postea os auferre, [8] eodem modo frequenter eximere terebellum oportet, & in frigidam aquam demergere. At si non ab initio curationem assumpseris, sed ex alio traditam susceperis, ita ut posterior tarde ad curationem devenias: [9] terebello exsculpto statim os ad membranam perforare ac ex- 350 cindere oportet, & exempto sæpe terebello speculari: tum alias, tum per admotum specillum, circumcirca ipsius terebelli viam.

XXIX. Nam multo citius perforatur os, si suppuratum jam ac transpuratum perforaveris. [2] & sæpe contingit ut non profundum os sit, tum alias, tum si ea capitis parte fuerit vulnus, qua tenuius magis quam crassum os ipsum existit. [3] Quare cavere oportet, ut in terebelli admotione ne fallaris, verum qua par- 355 te crassissimum os esse visum fuerit, in eam semper terebellum admotum adigito, itaut frequenter consideres, ac commoveas os, & ejicere coneris. [4] Postquam autem abstuleris, reliqua vero ulceri conferre visum fuerit curato. [5] At si per initia suscepta curatione, protinus os excisum à membrana auferre velis, eodem modo per specillum terebræ circuitus subinde considerandus, & in ossis partem crassissimam terebra semper adigendo, osque dimovendo educere tentandum. [6] Ubi terebræ usus inciderit,

πάνυ χρὴ, πρὸς δὲ τὴν μήνιγγα μὴ ἀφικνέεσθαι, ἢν ἐξ ἀρχῆς λαμβάνων τὸ ἴημα τρυπῆς, ἀλλ' ἐπιλιπεῖν τοῦ ὀστέου λεπτὸν, ὥσπερ καὶ ἐν τῇ πρίσει γέγραπται.

ciderit, si ab initio suscepta curatione os perforandum est, non est ad membranam perveniendum, sed tenuis ossis pars, velut in sectione scriptum est, relinquenda.

ΙΠΠΟΚΡΑΤΟΥΣ περὶ ΑΓΜΩΝ.

HIPPOCRATIS DE FRACTVRIS.

Basil. græc. Foesius sect. VI. 15. 750. Basil. lat.

pag 456 ΕΧΡΗΝ τὸν ἰητρὸν τῶν ἐκπτωσίων τε καὶ καταγμάτων ὡς ἰθυτάτας τὰς κατατάσιας 25 ποιέεσθαι. [2] αὐτὴ γὰρ ἡ δικαιοτάτη φύσις. [3] ἢν δέ τι ἐγκλίνῃ ἢ τῇ ἢ τῇ, ἐπὶ τὸ πρηνὲς ῥέπειν. ἐλάσσων γὰρ ἡ ἁμαρτὰς ἢ ἐπὶ τὸ ὕπτιον. [4] Οἱ μὲν οὖν μηδὲν προβουλεύσαντες οὐδὲν ἐξαμαρτάνουσιν ὡς ἐπὶ τὸ πολύ. αὐτὸς γὰρ ὁ ἐπιδεόμενος τὴν χεῖρα ἀπορέγει, οὕτως ὑπὸ τῆς δικαίης φύσεως ἀναγκαζόμενος. [5] οἱ δὲ ἰητροὶ σοφιζόμενοι δῆθεν εἰσιν οἱ ἁμαρτάνουσι. πρὸς δὴ μὲν οὖν οὐ πολλῆς χεῖρα κατεαγυῖαν 30 χρείσαι, καὶ παντὸς δὲ ἰητροῦ, ὡς ἔπος εἰπεῖν. [6] ἀναγκάζομαι δὲ πλείω γράφειν περὶ αὐτέου, ὅτι οἶδα ἰητροὺς σοφοὺς δόξαντας εἶναι ἀπὸ σχημάτων χειρὸς ἐν ἐπιδέσει, ἀφ' ὧν ἀμαθέας αὐτοὺς ἐχρῆν δοκέειν εἶναι. [7] ἀλλὰ γὰρ πολλὰ οὕτω ταύτης τῆς τέχνης κρίνεται. τὸ γὰρ ξενοπρεπὲς οὔπω ξυνιέντες εἰ χρηστὸν, μᾶλλον ἐπαινέουσιν, ἢ τὸ ξυνήθες, ὃ ἤδη οἴδασιν ὅτι χρηστὸν, καὶ τὸ ἀλλόκοτον, ἢ τὸ εὔδηλον.

OPORTET medicum & luxationum & fracturarum extensiones quam directissimas facere. [2] Hæc enim justissima natura est. [3] Si vero quid vel hac, vel illac inclinarit, ad pronam partem vergere convenit. Minus enim hoc peccatum est quam ad supinam. [4] Qui igitur nihil præmeditati sunt, plerunque nihil peccant. Ipse enim qui deligatur, manum porrigit, ut qui ita à justa natura cogatur. [5] Qui vero sapientes sibi videntur medici, hi sunt nimirum qui peccant. Studii igitur non multi est manum fractam trahere, & quilibet (ut ita dicam) medicus hoc potest. [6] Verum cogor plura de hoc scribere, quod sciam medicos esse, qui sibi sapientes esse videntur ex figuris manus in deligatione, ex quibus ipsos indoctos esse putare oportebat. [7] Sed enim multa in hac arte hoc modo judicantur. Quod enim peregrinum, quum nondum intellexerint an bonum sit, magis laudant quam familiare, quod jam bonum esse sciunt: & alienum magis laudant quam probe notum.

λον. [8] ῥητέον δὲ ὁκόσας ἐθέλω τῶν ἁμαρτάδων τῶν ἰητρῶν, τὰς μὲν ἀποδιδάξαι, τὰς δὲ διδάξαι περὶ τῆς φύσιος τῆς χειρός. καὶ γὰρ ἄλλων ὀστέων τῶν κατὰ τὸ σῶμα δίδαγμα ὅδε ὁ λόγος ἐστί. τὴν μὲν οὖν χεῖρα, περὶ ἧς ὁ λόγος, ἔδωκέ τις καταδῆσαι καταπρηνέα ποιήσας. [9] ὁ δ' ἠνάγκαζεν οὕτως ἔχειν, ὥσπερ οἱ τοξεύοντες, ἐπὴν τὸν ὦμον ἐμβάλλωσι, καὶ οὕτως ἔχουσαν ἐπίδει, νομίζων ἑωυτῷ εἶναι τοῦτο αὐτὴν τὸ κατὰ φύσιν. [10] καὶ μαρτύριον ἐπήγετο τά τε ὀστέα ἅπαντα τὰ ἐν τῷ πήχει, ὅτι ἰθυωρίην κατάλληλα εἶχε, τήν τε ὁμοχροίην, ὅτι αὐτὴ καθ' ἑωυτὴν τὴν ἰθυωρίην ἔχει. [11] οὕτω καὶ ἐκ τοῦ ἔξωθεν μέρεος καὶ ἐκ τοῦ ἔσωθεν. οὕτω δὲ ἔφη καὶ τὰς σάρκας καὶ τὰ νεῦρα πεφυκέναι. [12] καὶ τὴν τοξικὴν ἐπήγετο μαρτύριον. ταῦτα λέγων καὶ ταῦτα ποιέων σοφὸς ἐδόκεεν εἶναι.

II. Τῶν δὲ ἄλλων τεχνέων ἐπελελήθη, [2] καὶ ὁκόσα ἰσχύϊ ἐργάζονται, καὶ ὁκόσα τεχνήμασιν· οὐκ εἰδὼς, ὅτι ἄλλο ἐν ἄλλῳ τὸ κατὰ φύσιν σχῆμά ἐστιν, καὶ ἐν τῷ αὐτῷ ἔργῳ ἕτερα τῆς δεξιῆς χειρὸς σχήματα κατὰ φύσιν ἐστὶν, καὶ ἕτερα τῆς ἀριστερῆς, ἢν οὕτω τύχῃ. [3] ἄλλο μὲν γὰρ σχῆμα ἐν ἀκοντισμῷ κατὰ φύσιν, ἄλλο δὲ ἐν σφενδόνησιν, ἄλλο δὲ ἐν λιθοβολίησιν, ἄλλο ἐν πυγμῇ, ἄλλο ἐν τῷ ἐλινύειν. [4] ὁκόσας δ' ἄν τις τέχνας εὕροι, ἐν ᾗσιν οὐ τὸ αὐτὸ σχῆμα τῶν χειρέων κατὰ φύσιν ἐστὶν, [5] καὶ ἐν ἑκάστῃ τῶν τεχνέων, ἀλλὰ πρὸς τὸ ἄρμενον ὃ ἂν ἔχῃ ἕκαστος, καὶ πρὸς τὸ ἔργον, ὃ ἂν ἐπιτελέσασθαι θέλῃ, σχηματίζονται αἱ χεῖρες· [6] τοξικὴν δὲ ἀσκέοντι, εἰκὸς τοῦτο τὸ σχῆμα κράτιστον εἶναι τῆς ἑτέρης χειρός.

notum. [8] Dicendum igitur, quænam medicorum peccata de natura manus, tum dedocere, tum docere velim. Nam & aliorum corporis ossium doctrinam hic sermo affert. Manum itaque de qua nobis sermo est, quidam pronam deligandam dedit, [9] ille vero cogebat sic tenere velut sagittantes, quum humerum injiciunt, atque ita habentem deligabat: hoc ipsum illi secundum naturam esse existimans: [10] & in testimonium adducebat, tum omnia cubiti ossa, quod directionem inter se haberent: tum coloris concordiam, quod ipsa per seipsam rectitudinem haberet, [11] idque hoc modo & externa & interna parte. Hoc modo etiam dicebat & carnes, & nervos, à natura productos esse, [12] & artem sagittandi in testimonium citabat: & hæc dicens ac faciens, sapiens esse sibi videbatur.

II. Verum aliarum artium oblitus erat, [2] & eorum quæ robore, & eorum quæ artificiis operantur ac efficiunt: non animadvertens aliam in alio figuram secundum naturam esse, & in eodem opere alias dextræ manus figuras secundum naturam esse, alias sinistræ, si ita contingat. [3] Alia enim figura in jaculatione secundum naturam est, alia in jactu, alia in lapidis jactu, alia in pugilatu, alia in quiescendo. [4] Quot vero artes invenire quis possit, in quibus non eadem figura manuum naturalis est? [5] & in unaquaque arte, aliter ad instrumentum quod quisque habet, & ad opus quod perficere vult, manus figurantur. [6] Ei vero qui sagittandi artem exercet, hanc figuram alterius manus optimam esse, consentaneum est.

[7] τὸ γὰρ βραχίονος τὸ γιγγλυμοειδὲς ἐν τῇ τοῦ πήχεος βαθμίδι, ἐν τούτῳ τῷ σχήματι ἐρεῖδον, ἰθυωρίην ποιέει τοῖσιν ὀστέοισι τοῦ πήχεος, καὶ τοῦ βραχίονος, ὡς ἂν εἰ ἓν τὸ πᾶν. καὶ ἡ ἀνάκλασις τοῦ ἄρθρου κέκλασται ἐν τούτῳ τῷ σχήματι. [8] εἰκὸς μὲν οὖν οὕτως ἀκαμπτότατόν τε καὶ τετανώτατον εἶναι τὸ χωρίον, καὶ μὴ ἡσσᾶσθαι, μὴ δὲ ξυνδιδόναι ἑλκομένης τῆς νευρῆς ὑπὸ τῆς δεξιῆς χειρός. καὶ [9] οὕτως ἐπὶ πλεῖστον μὲν τὴν νευρὴν ἑλκύσει, ἀφήσει δὲ ἀπὸ στερεωτάτου, καὶ ἀθροωτάτου, [10] ἀπὸ τῶν τοιούτων γὰρ ἀφεσίων τῶν τοξευμάτων, ταχεῖαι καὶ αἱ ἰσχύες καὶ τὰ μήκεα γίνονται. [11] ἐπιδέσει δὲ καὶ τοξικῇ οὐδὲν κοινόν. τοῦτο μὲν γὰρ, εἰ ἐπιδήσας ἔχειν τὴν χεῖρα οὕτως ἔμελλεν, πόνους ἂν ἄλλους πολλοὺς προσετίθει μείζονας τοῦ τρώματος. [12] τοῦτο δ', εἰ συγκάμψαι ἐκέλευεν, οὔτε τὰ ὀστέα, οὔτε τὰ νεῦρα, οὔτε αἱ σάρκες ἔτι ἐν τῷ αὐτῷ ἐγίνοντο, ἀλλὰ ἄλλῃ μετεκοσμεῖτο, κρατέοντα τὴν ἐπίδεσιν. [13] καὶ τί ὄφελός ἐστι τοξικοῦ σχήματος; καὶ ταῦτα ἴσως οὐκ ἂν ἐξημάρτανε σοφιζόμενος, εἰ εἴα τὸν τετρωμένον αὐτὸν τὴν χεῖρα παρέχειν.

III. Ἄλλος δ' αὖ τις τῶν ἰητρῶν ὑπτίην τὴν χεῖρα δοὺς, οὕτω κατατείνειν ἐκέλευεν, καὶ οὕτως ἔχουσαν ἐπέδει, τοῦτο νομίζων τὸ κατὰ φύσιν εἶναι, τῷ τε χροῒ σημαινόμενος, καὶ τὰ ὀστέα νομίζων κατὰ φύσιν εἶναι οὕτως, [2] ὅτι φαίνεται τὸ ἐξέχον ὀστέον τὸ παρὰ τὸν καρπὸν, ᾗ ὁ σμικρὸς δάκτυλος, καὶ ἰθυωρίην εἶναι τοῦ ὀστέου, [3] ἀφ' ὁκοίου τι τὸν πῆχυν οἱ ἄνθρωποι μετρέουσι. ταῦτα τὰ μαρτύρια ἐπήγετο, ὅτι κατὰ φύσιν οὕτως ἔχει, καὶ ἐδόκεεν εὖ λέγειν. [4] ἀλλὰ τοῦτο μὲν, εἰ

[7] Cardinoformis enim brachii pars, in cubiti sede in hac figura innitens, ossibus cubiti & brachii rectitudinem facit, velut totum unum esset: & refractio articuli fracta est in hac figura. [8] Verisimile est igitur hoc modo minime flexibilem & rigidissimum esse hunc locum, & non superari, neque remittere, dum à dextra manu nervus trahitur: [9] & sic nervum quidem quam plurimum trahet, à firmissimo vero ac confertissimo emittet. [10] Ex talibus enim sagittarum emissionibus, celeres & vehementiæ & longinquitates fiunt. [11] Deligationi vero cum arte sagittandi nihil commune est. Nam & ubi deligavit, si manum ita habiturus esset, multos utique dolores majores vulnere adderet: [12] & si flectere juberet, neque ossa, neque nervi, neque carnes in eodem permanerent, sed superata deligatione alio transferrentur. [13] Et quæ tandem est figuræ sagittarii utilitas? Et in hac parte fortasse non peccaret is qui sibi sapiens esse videtur, si ipsum vulneratum sibi manum exhibere permitteret.

III. Alius porro medicus supinam manum præbens ita extendere jubebat, atque hoc modo habentem deligabat, hanc figuram naturalem esse putans, conjectura ex colore facta: & ossa hoc modo secundum naturam esse existimans, [2] eo quod os eminens circa manus juncturam, ubi parvus digitus est, è directo esse apparet ejus ossis, [3] ex quo ulnam homines metiuntur: & hæc testimonia adducebat, quod secundum naturam hoc modo figura se haberet, & recte dicere putabatur. [4] At vero

εἰ ὑπτίη ἡ χεὶρ κατατείνοιτο ἰσχυρῶς, πονοίη ἄν. [5] γνοίη δ' ἄν τις τὴν ἑωυτοῦ χεῖρα κατατείνας, ὡς ἐπώδυνον τὸ σχῆμα. [6] ἐπεὶ καὶ ἀνὴρ ἥσσων κρέσσονα διαλαβὼν οὕτως ἐν τῇσιν ἑωυτοῦ χερσὶν, ὡς κλᾶται ὁ ἀγκὼν ὕπτιος, ἄγοι ἂν ὅπη ἐθέλοι. [7] οὔτε γὰρ εἰ ξίφος ἐν ταύτῃ τῇ χειρὶ ἔχοι, ἔχοι ἂν ὅ,τι χρήσαιτο τῷ ξίφει, οὕτω βίαιον τοῦτο τὸ σχῆμά ἐστι. [8] τοῦτο δὲ, εἰ ἐπιδήσειέ τις ἐν τούτῳ τῷ σχήματι ἐὼν, [9] μέζων μὲν πόνος, εἰ περιίοι· μέγας δὲ καὶ, εἰ κατακέοιτο. [10] τοῦτο δὲ, εἰ συγκάμψαι τὴν χεῖρα, ἀνάγκη συνάγειν τοὺς μύας, καὶ τὰ ὀστέα ἄλλο σχῆμα ἔχειν. [11] ἠγνόει δὲ καὶ τάδε ἐν τῷ σχήματι χωρὶς τῆς ἄλλης λύμης. [12] τὸ γὰρ ὀστέον τὸ παρὰ τὸν καρπὸν ἐξέχον, τὸ κατὰ τὸν σμικρὸν δάκτυλον, τοῦτο μὲν τοῦ πήχεός ἐστι. [13] τὸ δ' ἐν τῇ συγκάμψει ἐὸν, ἀπὸ τοῦ τὸν πῆχυν οἱ ἄνθρωποι μετρέουσι, τοῦτο δὲ τοῦ βραχίονος ἡ κεφαλή ἐστιν. ὁ δὲ ᾤετο ταὐτὸ ὀστέον εἶναι τοῦτό τε κἀκεῖνο· [14] πολλοὶ δὲ καὶ ἄλλοι. ἔστι δ' ἐκείνῳ τῷ ὀστέῳ ταὐτὸ ὁ ἀγκὼν καλεόμενος, ὃν ποτιστηριζόμεθα. οὕτως οὖν ὑπτίην ἔχοντι τὴν χεῖρα, τοῦτο μὲν τὸ ὀστέον διεστραμμένον φαίνεται, [15] τοῦτο δὲ τὰ νεῦρα ἀπὸ τοῦ καρποῦ τείνοντα ἐκ τοῦ εἴσω μέρεος, καὶ ἀπὸ τῶν δακτύλων, ταῦτα ὑπτίην ἔχοντι τὴν χεῖρα διεστραμμένα γίνεται. [16] τείνει τε γὰρ ταῦτα τὰ νεῦρα πρὸς τὸ τοῦ βραχίονος ὀστέον, ὅθεν ὁ πῆχυς μετρεῖται. αὗται τοσαῦταί τε καὶ τοιαῦται αἱ ἁμαρτάδες καὶ ἄγνοιαι τῆς φύσιος τῆς χειρός.

IV. Εἰ δ', ὡς ἐγὼ κελεύω, χεῖρα κατεαγυῖαν κατατείνοι τις, ἐπιστρέψει μὲν τὸ ὀστέον ἐς ἰθὺ τὸ κατὰ τὸν σμικρὸν δάκτυλον τὸ ἐς τὸν ἀγκῶνα τεῖνον. [2] ἰθυ-

ro si quidem manus supina extendatur, vehementer utique doluerit. [5] Cognoscere autem poterit hoc quisque sua manu ita extenta, quod dolorosa est hæc figura. [6] Nam & debilior vir, fortiorem ita manibus suis comprehensum, ut cubiti flexura supina frangitur, quocunque voluerit duxerit. [7] Neque enim si gladium in hac manu habeat, eo uti poterit, adeo violenta hæc figura est: [8] deinde si ubi deligavit quis, in hac figura sinat, [9] major quidem dolor ubi obambularit, magnus autem etiam ubi decubuerit, sentietur. [10] Quin & flectere manum si opus fuerit, omnino necesse est & musculos & ossa aliam figuram habere. [11] Sed & citra reliquam perniciem, in hac figura hæc ignorabat. [12] Os enim circa juncturam manus eminens, juxta parvum digitum, hoc quidem cubiti est. [13] Quod vero in flexura est, à quo ulnam homines metiuntur, id brachii caput est. Ille vero idem os esse, & hoc & illud putabat: [14] itemque multi alii. Est autem idem cum illo, is qui cubitus sive cubiti gibbus vocatur, in quem innitimur. Si quis igitur ita supinam manum habeat, tunc & os distortum apparet, [15] & nervi à manus junctura tendentes, ex interna parte & de digitis, distorti fiunt. [16] Tendunt enim hi nervi ad os brachii, unde ulna mensuratur. Tanta sane ac talia sunt peccata, & ignorantiæ naturæ manus.

IV. Si vero velut ego jubeo, manum fractam quis extendat, os quidem quod est circa parvum digitum, ad cubiti flexuram tendens, in directum convertet, [2] rectitudinem vero ha-

ἰθυωρίην δὲ ἕξει τὰ νεῦρα τὰ ἀπὸ τοῦ καρποῦ πρὸς τοῦ βραχίονος τὰ ἄκρα τείνοντα. [3] ἀναλαμβανομένη δὲ ἡ χεὶρ ἐν παραπλησίῳ σχήματι ἔσται, ἐν ᾧπερ καὶ ἐπιδεομένη, ἄπονος μὲν ὁδοιπορέοντι, ἄπονος δὲ κατακειμένῳ καὶ ἀκάματος. [4] κατατείνειν δὲ χρὴ τὸν ἄνθρωπον οὕτως, ὅκως ἢ τὸ ἐξέχον τοῦ ὀστέου πρὸς τὴν λαμπροτάτην τῶν παρεουσέων αὐγέων, ὡς μὴ λάθῃ τὸν χειρίζοντα ἐν τῇ κατατάσει, εἰ ἱκανῶς ἐξιθύνθη. [5] τοῦ γε μὴν ἐμπείρου οὐδ᾽ ἂν τὴν χεῖρα λάθοι ἐπιψαυομένην τὸ ἐξέχον ψαυόμενον. [6] τῶν δὲ ὀστέων τοῦ πήχεος, ἂν μὴ ἀμφότερα κατεήγῃ, ῥάων ἡ ἴησις, ἢν τὸ ἄνω ὀστέον τετρωμένον εἴη, καίπερ παχύτερον ἐόν. [7] ἅμα μὲν, ὅτι τὸ ὑγιὲς ὑποτεταμένον γίνεται ἀντὶ θεμελίου· ἅμα δὲ, ὅτι εὐκρυπτότερον γίνεται, πλὴν εἰ τὸ ἐγγὺς τοῦ καρποῦ. [8] παχείη γὰρ ἡ τῆς σαρκὸς ἐπίφυσις ἡ ἐπὶ τὸ ἄνω. τὸ δὲ κάτω ὀστέον ἄσαρκον, καὶ οὐκ εὐξύγκρυπτον, καὶ κατατάσιος ἰσχυροτέρης δεῖται. [9] ἢν δὲ τοῦτο μὴ ξυναγῇ, ἀλλὰ τὸ ἕτερον, φαυλοτέρη ἡ κατάτασις ἀρκεῖ. ἢν δὲ ἀμφότερα κατεηγῇ, ἰσχυροτάτης κατατάσιος δεῖται. [10] παιδίου μὲν γὰρ ἤδη εἶδον κατατεθέντα μᾶλλον, ἢ ὡς ἔδει. οἱ δὲ πλεῖστοι ἧσσον τείνονται, ἢ ὡς δεῖ.

v. Χρὴ δὲ, ἐπὴν τείνωσι, τὰ θέναρα προσβάλλοντα διορθοῦν. ἔπειτα χρίσαντα κηρωτῇ μὴ πάνυ πολλῇ, ὡς μὴ περιῤῥέῃ τὰ ἐπιδέσματα, οὕτως ἐπιδεῖν, ὅπως μὴ κατωτέρω ἄκρην τὴν χεῖρα ἕξει τοῦ ἀγκῶνος, ἀλλὰ σμικρῷ καὶ ἀνωτέρω, [2] ὡς μὴ τὸ αἷμα ἐς ἄκρον ἐπιῤῥέῃ, ἀλλὰ ἀπολαμβάνηται. [3] ἔπειτα ἐπι-

bebunt nervi à manus junctura ad brachii summas partes tendentes: [3] & manus dum appensa excipitur, in consimili figura erit, quali etiam erat dum deligaretur, ita ut neque ambulanti, neque decumbenti, ullus dolor aut fatigatio accedat. [4] Desidere vero hominem ita oportet, ut ossis pars ad clarissimam praesentem lucem constituatur, ne is qui extensionem tractat, circa sufficientem directionem fallatur. [5] Nam periti artificis manum admotam, ne os quidem eminens in contactu latere poterit. [6] Porro ex cubiti ossibus ubi non ambo fracta sunt, facilior curatio est, si supernum os sauciatum est, etiamsi crassius id existat: [7] partim quod sanum subtentum fundamenti loco ipsi est, partim quod facilius occultari potest, nisi juxta manus juncturam sauciari contigerit. [8] Crassa enim est caro quae superne innascitur. Infernum vero os excarne est, & non facile occultari potest, & vehementiore extensione opus habet. [9] Si vero hoc contritum non fuerit, sed alterum illud, vilior extensio sufficit. At si ambo fracta fuerint, fortissima extensione opus habent. [10] In puero etenim vidi extenta magis quam oportebat. Verum plerique minus quam oportet extenduntur.

v. [1] Convenit autem facta extensione, volis admotis dirigere: deinde cerato illito non ita multo, ut ne deligamenta circum fluitent; ita deligare, ut summam manum non inferius cubiti flexura habeat, sed etiam paulo superius, [2] ne ad summam partem sanguis influat, sed intercipiatur. [3] Postea linteo deligare,

ἐπιδεῖν τῷ ὀθονίῳ τὴν ἀρχὴν βαλλόμενος κατὰ τὸ κάτηγμα. ἐρείδων μὲν οὖν, μὴ πιέζων δὲ κάρτα. 4 ἐπὴν δὲ περιβάλλῃ κατὰ τωὐτὸ δὶς ἢ τρὶς, ἐπὶ τὸ ἄνω νεμέσθω ἐπιδέων, ἵνα αἱ ἐπιῤῥοαὶ τοῦ αἵματος ἀπολαμβάνωνται, καὶ τελευτησάτω κεῖθι. 5 χρὴ δὲ μὴ μακρὰ εἶναι τὰ πρῶτα ὀθόνια. 6 τοῦ δὲ δευτέρου ὀθονίου τὴν μὲν ἀρχὴν βάλλειν ἐπὶ τὸ κάτηγμα· 7 περιβαλὼν δὲ ἅπαξ ἐς τὸ αὐτὸ, ἔπειτα νεμέσθω ἐς τὸ κάτω καὶ ἐπὶ ἧσσον πιέζων, καὶ ἐπὶ μεῖζον διαβιβάσκων, ὡς ἂν αὐτέῳ ἱκανὸν γένηται τὸ ὀθόνιον ἀνάπαλιν δραμῆσαι κεῖθι, ἵνα περ τὸ ἕτερον ἐτελεύτησεν. ἐνταῦθα μὲν οὖν τὰ ὀθόνια ἐπ᾽ ἀριστερὰ ἢ ἐπὶ δεξιὰ ἐπιδεδέσθω, ἢ ἐπὶ ὁκότερα ἂν ξυμφέρῃ πρὸς τὸ σχῆμα τοῦ κατήγματος, καὶ ἐφ᾽ ὁκότερα ἂν περιρρέπειν ξυμφέρῃ. 8 μετὰ δὲ ταῦτα σπλῆνας καταστείνειν χρὴ κεχρισμένους κηρωτῇ ὀλίγῃ, καὶ γὰρ προσηνέστερον καὶ εὐθετώτερον. 9 ἔπειτα οὕτως ἐπιδεῖν τοῖσιν ὀθονίοισιν ὡς ἐναλλὰξ, ὁτὲ μὲν ἐπὶ δεξιὰ, ὁτὲ δὲ ἐπ᾽ ἀριστερά. 10 καὶ τὰ μὲν πλείω κάτωθεν ἀρχόμενος ἐς τὸ ἄνω ἄγειν· ἔστι δ᾽ ὅτε καὶ ἄνωθεν ἐς τὸ κάτω. 11 τὰ δὲ ὑπόξηρα ἀκέεσθαι τοῖσι σπλήνεσι κυκλεῦντας. 12 τῷ δὲ πλήθει τῶν περιβολέων μὴ πᾶν ἀθρόον ξυνδιορθοῦντα, ἀλλὰ κατὰ μέρος. 13 προσπεριβάλλειν δὲ χρὴ χαλαρὰ καὶ περὶ τὸν καρπὸν τῆς χειρὸς, ἄλλοτε καὶ ἄλλοτε. 14 πλῆθος δὲ τῶν ὀθονίων ἱκανὸν τὸ πρῶτον, αἱ δύο μοῖραι. σημεῖα δὲ τοῦ καλῶς ἰητρευμένου ταῦτα, καὶ ὀρθῶς ἐπιδεομένου, εἰ ἐρωτῴης αὐτὸν, εἰ πεπίεσται, καὶ ἢν φαίη μὲν πεπιέχθαι, ἡσύχως δὲ, καὶ μάλιστα,

εἰ

gare, initio ejus supra fracturam injecto, ita ut firmet quidem, non tamen admodum premat. 4 Postquam autem circumdedit eodem loco bis 'aut ter, ad supernam partem deligans distribuat, quo sanguinis influxiones intercipiantur, & illic desinat. 5 Convenit autem prima lintea non esse longa. 6 Secundorum vero linteorum initium supra fracturam injicere, 7 ita ut semel circumdet eodem loco, deinde deorsum distribuat, & minus premens, & magis traducens, quo linteum ipsi sufficiens sit, ad recurrendum eo ubi alterum desivit. Hic igitur lintea ad sinistram, 'aut dextram deligentur, aut ad utram partem contulerit ad fracturæ figuram, & in utram declinare expedierit. 8 Postea vero splenia extendere oportet modico cerato illita: (nam sic & mitius & stabilius se habent:) 9 deinde sic linteis deligare alternatim, modo in dextram, modo in sinistram: 10 & plerunque inferne initio facto, sursum ducere: aliquando etiam superne deorsum. 11 Extremitates autem subaridas, & in acutum 'abeuntes, 12 spleniis obvolutis curare oportet, ita ut copia opertoriorum non totum acervatim, sed particulatim corrigat. 13 Insuper autem circa manus juncturam sive articulum laxe circumdare splenia oportet alias atque alias. 14 Copia vero linteorum sufficiens primum, duæ partes sunt. Signa autem bene curati, & terminus recte deligati, hæc sunt: si interrogaveris ipsum an compressus sit, & si compressum quidem se esse 'dixerit, sed leniter, & maxime circa ipsam fracturam. Hujusmodi

εἰ κατὰ τὸ κάτηγμα φαίη. τοιαῦτα τοίνυν φάναι χρὴ πεπιεγμένα διὰ τέλεος τὸν ὀρθῶς ἐπιδεόμενον.[15]
15 "σημεῖα δὲ ταῦτα' τῆς μετριότητος· τὴν μὲν ἡμέρην, ἣν ἂν ἐπιδεθῇ, καὶ τὴν νύκτα δοκέετω αὐτὸς ἑωυτῷ μὴ ἐπὶ ἧσσον πεπιέχθαι, ἀλλ' ἐπὶ μᾶλλον. [16] τῇ δ' ὑστεραίῃ οἰδημάτιον ἐλθεῖν ἐς χεῖρα ἄκρην μαλθακόν. μετριότητος γὰρ σημεῖον τῆς πιέξιος συ. τελευτώσης δὲ τῆς ἡμέρης, ἐπὶ ἧσσον δοκέετω πεπιέχθαι. [17] τῇ δὲ τρίτῃ χαλαρά σοι δοκέετω εἶναι τὰ ἐπιδέσματα. κ' ἢν μέν τι τούτων τῶν εἰρημένων ἐλλίπῃ, γινώσκειν χρὴ, ὅτι χαλαρωτέρη ἐστὶν ἐπίδεσις τοῦ μετρίου. ἢν δέ τι τῶν εἰρη-
20 μένων ' πλεονάζῃ, χρὴ γινώσκειν, ὅτι μᾶλλον ἐπιέχθη τοῦ μετρίου.[18] καὶ τουτέοισι σημαινόμενος τὸ ὕστερον ἐπιδέων, ἢ χαλᾷν μᾶλλον, ἢ πιέζειν. [19]"ἀπολύσαι δὲ χρὴ, τριταῖον ἐόντα, κατατεινάμενον καὶ διορθωσάμενον, κ' ἢν μετρίως τὸ πρῶτον κατατύχῃς ἐπιδήσας· ταύτην τὴν ἐπίδεσιν χρὴ ὀλίγῳ μᾶλλον ἢ ἐκείνην πιέσαι.[20] βάλλεσθαι δὲ χρὴ τὰς ἀρχὰς κατὰ τὸ κάτηγμα, ὥσπερ καὶ τὸ πρότερον. ἢν μὲν τοῦτο πρότερον ἐπιδέῃς, "ἐξαρύεται ἐκ τούτου οἱ ἰχῶρες
25 ἐς τὰς ἐσχατιὰς ἔνθα ' καὶ ἔνθα.[21] ἢν δέ τι ἄλλο πρότερον πιέξῃς, ἐς τοῦτο ἐξαρύεται ἐκ τοῦ πιεχθέντος.[22] ἐς πολλὰ δ' εὔχρηστον τὸ ξυνιέναι. οὕτως οὖν ἄρχεσθαι μὲν ἀεὶ χρὴ τὴν ἐπίδεσιν καὶ τὴν πίεξιν ἐκ τουτέου τοῦ χωρίου. [23] τὰ δ' ἄλλα κατὰ λόγον. ὡς ἂν προσωτέρω ἀπὸ τοῦ κατήγματος ἀγάγῃς, ἐπὶ ἧσσον τὴν πίεξιν ποιέεσθαι. χαλαρὰ δὲ παντάπασι μηδέ ποτε περιβάλλειν, ἀλλὰ προσπεπτωκότα.[24] "ἔπειτα δὲ πλείοσιν ὀθονίοισι χρὴ ἐπιδεῖν ἑκάστην

τῶν

modi ita facta esse perpetuo dicere oportet eum qui recte deligatur. [15] Signa vero mediocritatis hæc sunt. Ea die ac nocte qua deligatus est, ipse sibiipsi videatur non minus, sed magis compressus esse. [16] Postridie vero tumorem parvum, mollem, ad summam manum obortum esse. (Mediocritatis enim factæ à te compressionis signum hoc est.) Desinente autem die ' minus compressus esse videatur. [17] Tertia vero die deligamenta laxa esse ipsi videantur. Et si quid horum jam relatorum defecerit, noscere oportet deligationem moderata laxiorem esse. Si vero quid ex relatis abundaverit, nosse oportet ultra modum compressum esse. [18] Et ex his conjectura facta, postea deligans aut laxabis, aut comprimes magis. [19] Resolvere autem oportet tertia die, ubi extenderis, ac direxeris. Et si primum ' moderate deligasti, hanc deligationem paulo magis quam illam comprimere oportet, [20] & initia supra fracturam injicere, quemadmodum etiam antea. Si quidem enim hanc prius deligaveris, sanies ex hac ad extremitates hinc atque illinc exhauritur. [21] Si vero aliquam aliam partem prius compresseris, in illam ex compressa exhauritur. [22] Intelligentia autem ad multa utilis existit. Sic igitur semper incipere oportet & deligationem, & ' compressionem ex hoc loco. [23] Reliqua vero juxta rationem, ita ut quanto longius à fractura digressus fueris, minus comprimas, nunquam quidem laxa omnino circundando, sed adhærentia. [24] Postea vero pluribus linteis deligare oportet in singulis

deliga-

105 110 115

τῶν ἐπιδεσίων. [25] ἐρωτώμενος δὲ φάτω ὀλίγῳ μᾶλλόν οἱ πεπιέχθαι, ἢ τὸ πρότερον, καὶ μάλιστα φάτω κατὰ τὸ κάτηγμα, καὶ τὰ ἄλλα δὲ κατὰ λόγον, καὶ ἀμφὶ τοῦ οἰδήματος, καὶ ἀμφὶ τοῦ πόνου, καὶ ἀμφὶ τοῦ ῥηΐζειν, κατὰ λόγον τῆς προτέρης ἐπιδέσιος γινέσθω. [26] ἐπὴν δὲ τριταῖος ᾖ, χαλαρώτερά οἱ δοκέετω εἶναι τὰ ἐπιδέσματα. [27] ἔπειτα ἀπολύσαντα χρὴ αὖθις ἐπιδῆσαι ὀλίγῳ μᾶλλον πιέζοντα, καὶ ἐν πᾶσι τοῖσιν ὀθονίοισιν, ὅσοισπερ ἤμελλεν ἐπιδεῖσθαι. [28] καὶ ἔπειτα αὐτὸν πάντα ταῦτα καταλαβέτω, ἅπερ καὶ ἐν τῇσι προτέρῃσι περιόδοισι τῶν ἐπιδεσίων. ἐπὴν δὲ τριταῖος γένηται, ἑβδομαῖος δὲ ἀπὸ τῆς πρώτης ἐπιδέσιος, ἢν ὀρθῶς ἐπιδέηται, τὸ μὲν οἴδημα ἐν ἄκρῃ τῇ χειρὶ ἔσται, οὐδὲ τοῦτο λίην μέγα. [29] τὸ δ' ἐπιδεόμενον χωρίον ἐν πάσῃσι τῇσιν ἐπιδέσεσιν ἐπὶ τὸ λεπτότερον καὶ ἰσχνότερον εὑρεθήσεται. ἐν δὲ τῇ ἑβδόμῃ καὶ πάνυ λεπτόν, καὶ τὰ ὀστέα τὰ κατεηγότα ἐπὶ μᾶλλον κινεύμενα καὶ εὐπαράγωγα ἐς κατόρθωσιν. [30] καὶ ἢν ᾖ ταῦτα τοιαῦτα, κατορθωσάμενον χρὴ ἐπιδῆσαι ὡς ἐς νάρθηκας, ὀλίγῳ μᾶλλον πιέσαντα, ἢ τὸ πρότερον, ἢν μὴ πόνος τις πλείων ᾖ ἀπὸ τοῦ οἰδήματος τοῦ ἐν ἄκρῃ τῇ χειρί. [31] ἐπὴν δὲ ἐπιδήσῃς τοῖσιν ὀθονίοισι, τοὺς νάρθηκας περιθεῖναι χρὴ καὶ περιλαβεῖν ἐν τοῖσι δεσμοῖσιν, ὡς χαλαρωτάτοισιν ὁκόσον ἠρεμέειν, ὥστε μηδὲν ξυμβάλλεσθαι ἐς τὴν πίεξιν τῆς χειρὸς τὴν τῶν ναρθήκων πρόσθεσιν. [32] μετὰ δὲ ταῦτα ὅ, τε πόνος, αἵ τε ῥαστῶναι αἱ αὐταὶ γινέσθωσαν, αἵπερ καὶ ἐν τῇσι πρώτῃσι περιόδοισι τῶν ἐπιδεσίων.

VI. Ἐπὴν δὲ τριταῖος ἐὼν φῇ χαλαρὸν εἶναι, τότ' ἔπειτα χρὴ τοὺς νάρ-

deligationibus. [25] Et si interrogetur, dicat se paulo magis compressum esse quam prius, & præsertim circa fracturam. Sed & alia, & circa tumorem, & circa dolorem, & circa allevationem, pro prioris deligationis ratione fiant. [26] Postquam vero tertius jam aderit dies, laxiora esse ipsi videantur deligamenta: [27] deinde resolvere oportet, & rursus paulo magis comprimendo deligare, & hoc cum omnibus linteis quibus deligandus erat. [28] Et postea omnia ea ipsum apprehendunt, quæ etiam in primis deligationum circuitibus contigerant. Ubi vero tertius aderit dies, & septimus à prima deligatione, si quidem recte deligatus fuerit, tumor in summa manu, atque hic non valde magnus erit: [29] locus autem qui deligatur, in omnibus deligationibus tenuior ac gracilior comperietur: verum in septimo etiam valde tenuis: Et ossa fracta magis moventur, & facilius ad correctionem ducuntur. [30] Et si hæc hujusmodi fuerint, facta coaptatione velut ad ferulas adhibendas deligare oportet, paulo magis comprimendo quam antea, si non dolor aliquis major fuerit ex tumore qui est in summa manu. [31] Postquam autem linteis deligaveris, ferulas circumponere oportet, & vinculis quam laxissimis circumdare, quietis saltem gratia, ut ferularum appositio ad compressionem manus nihil faciat. [32] Postea vero & dolor, & allevatio, eodem modo fiant, velut in primis deligationum circuitibus.

VI. At vero ubi tertio die laxas esse dixerit, tunc postea ferulas firmare oportet, maxime quidem

νάρθηκας ἐρείσασθαι, μάλιστα μὲν κατὰ τὸ κάτηγμα, ἀτὰρ καὶ τἄλλα κατὰ λόγον, εἴπερ καὶ ἡ ἐπίδεσις ἐχάλα μᾶλλον ἢ ἐπίεζε. [2] Παχύτατον δὲ χρὴ εἶναι τὸν νάρθηκα, ᾗ ἐξέστη τὸ κάτηγμα· μὴ μὲν πολλῷ. [3] Ἐπιτηδεύειν δὲ χρὴ, μάλιστα μὲν κατ' ἰθυωρίην τοῦ μεγάλου δακτύλου ὡς μὴ κείσεται ὁ νάρθηξ, ἀλλὰ τῇ ἢ τῇ· μηδὲ κατὰ τὴν τοῦ σμικροῦ δακτύλου ἰθυωρίην, ᾗ τὸ ὀστέον ὑπερέχει ἐν τῷ καρπῷ, ἀλλὰ τῇ ἢ τῇ. [4] 459 Ἢν δ' ἄρα πρὸς τὸ κάτηγμα ξυμφέρῃ κεῖσθαι κατὰ ταῦτα τινὰς τῶν ναρθήκων, βραχυτέρους αὐτοὺς χρὴ τῶν ἄλλων ποιέειν, ὡς μὴ ἐξικνέωνται πρὸς τὰ ὀστέα τὰ ὑπερέχοντα παρὰ τὸν καρπόν. [5] Κίνδυνος γὰρ ἑλκώσιος καὶ νεύρων ψιλώσιος. [6] Χρὴ δὲ διὰ τρίτης ἐρείδειν τοῖσι νάρθηξι πάνυ ἡσυχῆ, οὕτω τὴν γνώμην ἔχοντας, ὡς οἱ νάρθηκες φυλακῆς εἵνεκα τῆς ἐπιδέσιος 5 προσκέωνται, ἀλλ' οὐ τῆς πιέξιος εἵνεκεν ἐπιδέωνται. [7] Ἢν μὲν οὖν σὺ εἰδῇς, ὅτι ἱκανῶς τὰ ὀστέα ἀπιθύνεται ἐν τῇσι προτέρῃσιν ἐπιδέσεσιν, καὶ μήτε κνησμοί τινες λυπέωσι, μήτε τις ἕλκωσις μηδεμία ὑποπτεύηται εἶναι, ἐᾶν χρὴ ἐπιδεδέσθαι ἐν τοῖσι νάρθηξιν, ἔστ' ἂν ὑπὲρ εἴκοσιν ἡμέρας γένηται. [8] Ἐν τριήκοντα δὲ μάλιστα τῇσι ξυμπάσῃσι κρατύνεται ὀστέα τὰ ἐν τῷ πήχει τὸ ἐπίπαν. ἀτρεκὲς δὲ οὐδέν. μάλα γάρ τι καὶ φύσις φύσιος, καὶ ἡλικίη ἡλικίης δια- 10 φέρει. [9] Ἐπὴν δὲ λύσῃς, ὕδωρ θερμὸν καταχέαι χρὴ καὶ μετεπιδῆσαι, ἧσσον μὲν ὀλίγῳ πιέζοντα, ἢ τὸ πρόσθεν, [10] ἐλάσσοσι δὲ τοῖσιν ὀθονίοισιν, ἢ τὸ πρότερον. Ἔπειτα διὰ τρίτης ἡμέρης λύσαντα ἐπιδεῖν, ἐπὶ μὲν ἧσσον πιέζοντα, ἐπὶ δὲ ἐλάσσοσι τοῖσιν ὀθονίοισιν. Ἐπὴν δὲ, ὅταν τοῖσι νάρθηξι

quidem circa fracturam, ſed & alia juxta rationem, ſi quidem & deligatio magis laxa fuerit, quam comprimat. [2] Craſſiſſimam autem ferulam eſſe oportet, qua parte extat fractura, non tamen multum. [3] Et ad hoc ſtudium vel maxime adhibendum eſt, ut ferula è directo magni digiti non ponatur, ſed hac vel illac: immo neque à directo parvi digiti, qua parte os ſupereminet in manus 149 articulo, ſed hac vel illac. [4] Quod ſi ad fracturam conferat, hac parte aliquas ferulas poni, breviores ipſas alias eſſe oportet, ut ne perveniant ad oſſa præminentia, juxta manus articulum. [5] Periculum eſt enim ulcerationis, & denudationis nervorum. [6] Oportet autem tertio quoque die ferulis valde leniter firmare, hoc cogitantes, quod ferulæ deligationis conſervandæ gratia apponuntur, non autem compreſ- 148 ſionis gratia alligantur. [7] Si quidem igitur probe noveris, quod in prioribus deligationibus oſſa ſufficienter ſunt directa, & neque pruritus infeſtent, neque ulla aliqua ulceratio ſuſpecta ſit: ita cum ferulis deligatum ſinere oportet, donec viginti dies tranſgreſſus fuerit. [8] In triginta enim diebus univerſis maxime ex toto cubiti oſſa corroborantur. Certum tamen nihil eſt. Nam & natura à natura, & ætas ab ætate 150 valde differt. [9] Poſtquam autem ſolveris, aquam calidam affundere oportet, & poſtea deligare, paulo minus comprimendo quam antea, & paucioribus linteis quam prius. [10] Et poſtea tertio quoque die ſolvere, ac rurſus deligare, ita ut minus comprimas, & paucioribus linteis utaris. At vero ſi, ubi ferulis deliga-

...ῃξι δέῃ, ὑποπτεύῃς, τὰ ὀστέα μὴ ὀρθῶς κεῖσθαι, ἢ ἄλλο τι ὀχλέῃ τὸν τετρωμένον, λῦσαι ἐν τῷ ἡμίσει τοῦ χρόνου, ἢ ὀλίγῳ πρόσθεν, καὶ αὖθις ἐπιδῆσαι.

VII. Δίαιτα δὲ τουτέοισιν, οἷσιν ἂν μὴ ἕλκεα ἐξ ἀρχῆς γένηται, ἢ ὀστέα ἔξω ἐξίσχῃ, ἀρκέει ὑποφαύλη. [2] ἐνδεέστερον δὲ χρὴ διαιτᾶν ἄχρι ἡμερέων δέκα, ἅτε ἤδη καὶ ἐλινύοντας. καὶ ὄψοισιν ἁπαλοῖσι χρῆσθαι, ὁκόσα τῇ διεξόδῳ μετριότητα παρέχουσιν. οἴνου δὲ καὶ κρεηφαγίης ἀπέχεσθαι. [3] ἔπειτα μέντοι ἐκ προσαγωγῆς ἀνακομίζεσθαι. οὗτος ὁ λόγος ὥσπερ νόμος κεῖται δίκαιος περὶ κατηγμάτων ἰήσιος. [4] ὥστε χειρίζειν χρή, ὥστε ἀποβαίνειν ἀπὸ τῆς δικαίης χειρίξιος. [5] ὅ,τι δ' ἂν μὴ οὕτως ἀποβαίνῃ, εἰδέναι χρή, ὅτι ἐν τῇ χειρίξει τι ἐνδεὲς πεποίηται, ἢ πεπλεόνασται. ἔτι δὲ τάδε χρὴ προσξυνιέναι ἐν τούτῳ τῷ ἁπλῷ τρόπῳ, ἃ οὐ κάρτα ἐπιμελέονται οἱ ἰητροί, καίτοι πᾶσαν μελέτην, καὶ πᾶσαν ἐπίδεσιν οἷά τε διαφθείρειν ἐστὶ μὴ ὀρθῶς ποιεύμενα. ἢν γὰρ τὰ μὲν ὀστέα ἄμφω κατεαγῇ, ἢ τὸ κάτω μοῦνον, [6] ὁ δὲ ἐπιδεδεμένος ἐν ταινίῃ τινὶ τὴν χεῖρα ἔχῃ ἀναλελαμμένος, τυγχάνῃ δὲ ἡ ταινίη κατὰ τὸ κάτηγμα πλείστη ἐοῦσα, ἔνθεν δὲ καὶ ἔνθεν ἡ χεὶρ ἀπαιωρέηται, [7] τοῦτον ἀνάγκη τὸ ὀστέον εὑρεθῆναι διεστραμμένον ἔχοντα πρὸς τὸ ἄνω μέρος. [8] ἢν δὲ, κατεηγότων τῶν ὀστέων οὕτως, ἄκρην τε τὴν χεῖρα ἐν τῇ ταινίῃ ἔχῃ, καὶ παρὰ τὸν ἀγκῶνα, [9] ὁ δὲ ἄλλος πῆχυς μὴ μετέωρος ᾖ, οὗτος εὑρεθήσεται τὸ ὀστέον ἐς τὸ κάτω

deligatus est, ossa non recte posita esse suspiceris, aut aliud quid vulneratum vexet, in dimidio temporis spatio, aut paulo prius solvere, & rursus deligare oportet.

VII. Victus porro his quibus ab initio ulcera non facta fuerint, neque ossa extra eminent, sufficit aliquanto simplicior. [2] Verum parciore victu utendum est ipsis, usque ad diem decimum, ut qui jam etiam quiescant: & obsoniis tenellis utendum, quæ transitui mediocritatem exhibent. A vino vero & carnis esu abstinendum. [3] Postea tamen sensim progressu facto reficiendi sunt. Hic sermo velut lex justa posita est de fracturarum curatione, [4] & quomodo tractare oporteat, & quomodo eventus sequi, ex justa tractatione. [5] Quicquid vero non ita eventum habuerit, scire oportet, quod in tractatione quid defectuose, aut redundanter factum est. Quin & hæc insuper in hoc simplici modo considerare oportet, quæ non ita valde curare solent medici, & quidem quum omnem curationem, & totam deligationem corrumpere possint, si non recte fiant. Si enim ambo ossa fracta fuerint, aut infernum solum: [6] is vero qui deligatus est, in fascia quadam manum exceptam ac appensam habeat, & plurima fasciæ pars circa fracturam existit, ita ut manus hinc atque hinc pendeat: [7] hunc necesse est reperiri os ad supernam partem distortum habentem. [8] Si vero sic fractis ossibus, & summam manum in fascia habet, & partem juxta cubiti flexuram: [9] reliqua vero cubiti pars non sit elevata, hic ad infernam

κάτω μέρος διεστραμμένον ἔχον. [10] χρὴ οὖν ἐν ταινίῃ πλάτος ἐχούσῃ μαλθακῇ τὸ πλεῖστον τοῦ πήχεος καὶ τὸν καρπὸν τῆς χειρὸς ὁμαλῶς αἰωρεῖσθαι.

VIII. Ἢν δὲ ὁ βραχίων καταγῇ, ἢν μέν τις ἀποτανύσας τὴν χεῖρα ἐν τούτῳ τῷ σχήματι διατείνῃ, ὁ μῦς τοῦ βραχίονος κατατεταμένος ἐπιδεθήσεται. [2] ἐπὴν δὲ ἐπιδεθεὶς ξυγκάμψῃ τὸν ἀγκῶνα, ὁ μῦς τοῦ βραχίονος ἄλλο σχῆμα σχήσει. δικαιοτάτη οὖν βραχίονος κατάτασις ἥδε. [3] ξύλον πηχυαῖον ἢ ὀλίγῳ βραχύτερον, ὁκοῖοι οἱ στειλαιοί εἰσι τῶν σκαφίων, κρεμάσαι χρὴ ἔνθεν καὶ ἔνθεν σειρῇ δήσαντα. [4] καθίσαντα δὲ τὸν ἄνθρωπον ἀπὸ ὑψηλοῦ τινος τὴν χεῖρα ὑπερκεῖσθαι, ὡς ὑπὸ τῇ μασχάλῃ γένηται ὁ στειλαιὸς ἔχων ξυμμέτρως, ὥστε μόλις δύνασθαι καθίζεσθαι τὸν ἄνθρωπον, σμικροῦ δέοντα μετέωρον εἶναι. [5] ἔπειτα θέντα τι ἄλλο ἔφεδρον, καὶ ὑποθέντα σκύτινον ὑποκεφάλαιον, ἢ ἓν ἢ πλείω, ὅκως ξυμμέτρως σχοίη ὕψος τοῦ πήχεος πλαγίου πρὸς ὀρθὴν γωνίην. [6] ἄριστον μὲν σκῦτος πλατὺ καὶ μαλθακὸν, ἢ ταινίην πλατείην ἀμφιβάλλοντα, τῶν μεγάλων τι σταθμίων ἐξαρτῆσαι, ὅ, τι μετρίως ἕξει κατατείνειν. [7] εἰ δὲ μὴ, τῶν ἀνδρῶν ὅστις ἐρρωμένος ἐν τούτῳ τῷ σχήματι τοῦ πήχεος παρὰ τὸν ἀγκῶνα καταναγκαζέτω ἐς τὸ κάτω. ὁ δὲ ἰητρὸς ὀρθὸς μὲν ἐὼν χειριζέτω, τὸν ἕτερον πόδα ἐπὶ ὑψηλοτέρου τινὸς ἔχων, κατορθώσας δὲ τοῖσι θέναρσι τὸ ὀστέον· ῥηϊδίως δὲ κατορθώσεται. [8] ἀγαθὴ γὰρ ἡ κατάτασις, ἢν τις καλῶς παρασκευάσηται. [9] ἔπειτα ἐπιδείτω τάς τε ἀρχὰς βαλλόμενος ἐπὶ τὸ κάτηγμα, καὶ

καὶ

fernam partem os distortum habere comperietur. [10] Proinde in fascia molli latitudinem habente maximam cubiti partem, & manus articulum suspendere ac elevata gestare oportet.

VIII. At vero si brachium fractum fuerit, si quidem quis extentam manum in hac figura extendat, musculus brachii extentus deligabitur. [2] Postquam autem deligatus cubiti flexuram inflexerit, musculus brachii aliam figuram habebit. Justissima igitur brachii extensio hæc est. [3] Lignum cubitale aut paulo brevius, qualia sunt ' ligna quæ in foramina ligonum immittuntur, suspendere oportet, hinc atque illinc catena deligatum. [4] Hominem vero in alta quapiam sede collocatum, ita manu superincumbere oportet, ut lignum sub ala sit, moderate habens, ut homo vix sedere possit, & fere sublevatus sit, [5] supposito postea alio quopiam fulcimento, & coriaceo pulvino uno aut pluribus subjectis, quo moderatam altitudinem habeat cubitus, ad ' rectum angulum obliquatus. [6] Optimum quidem est corium latum ac molle, aut fasciam latam circumdare, & magnum aliquod pondus appendere, quod moderate intendere possit. [7] Sin minus, vir aliquis robustus in hac figura cubiti, circa cubiti flexuram deorsum cogat. At vero medicus erectus stans, & alterum pedem in altiore quopiam habens, aggressionem faciat, ita ut volis os dirigat ac componat: facile autem dirigetur. [8] Nam hæc ' extensio bona est, si quis ipsam recte præparet: [9] deinde deliget fasciarum principiis supra fracturam injectis: & reliqua

reliqua

καὶ τἆλλα πάντα, ὥσπερ πρότερον περιώδηται, χρήσθω. [10] καὶ ἐρωτήματα ταῦτα ἐρωτάτω. καὶ σημείοισι χρήσθω τοῖσιν αὐτέοισιν, 45 ἢν μετρίως ἔχῃ ′ ἢ οὔ. καὶ [11] διὰ τρίτης ἐπιδείτω. καὶ ἐπὶ μᾶλλον πιεζέτω. καὶ ἑβδομαῖον ἢ ἐναταῖον ἐν νάρθηξι δησάτω. καὶ, ἢν ὑποπτεύσῃ, μὴ καλῶς κεῖσθαι τὸ ὀστέον, μεσηγὺ τουτέου τοῦ χρόνου λυσάτω, ″ καὶ εὐθετήσας αὖθις ἐπιδησάτω. 5

IX. ″ Κρατύνεται δὲ μάλιστα 10 βραχίονος ὀστέον ἐν τεσσαράκοντα ἡμέρῃσιν. ἐπὴν δὲ ταύτας ὑπερβάλλῃ, λύειν χρὴ, καὶ ἐπὶ ἧσσον πιέζειν τοῖσιν ὀθονίοισι, καὶ ἐπὶ ἐλάσσοσιν ἐπιδεῖν. [2] δίαιταν δὲ ἀκριβεστέρην τινὰ ἢ τὸ πρότερον διαι-360 τᾷν, καὶ ′ πλείω χρόνον. τεκμαίρεσθαι δὲ πρὸς τοῦ οἰδήματος τοῦ ἐν ἄκρῃ τῇ χειρὶ τὴν ῥώμην ὁρῶν. [3] προσξυνιέναι δὲ χρὴ καὶ τόδε, ″ ὅτι βραχίων κυρτὸς πέφυκεν ἐς τὸ 1 ἔξω μέρος, καὶ διαστρέφεσθαι φιλέει, ἐπὴν μὴ καλῶς ἰητρεύηται. [4] ἀτὰρ καὶ τἆλλα πάντα ὀστέα ἐς ὅπερ πέφυκε διεστραμμένα, ἐς τοῦτο καὶ ἰητρευόμενα φιλέει διαστρέφεσθαι, ἐπὴν κατεαγῇ. [5] χρὴ τοίνυν, 3 ἐπὴν τοιοῦτό τι ′ ὑποπτεύηται, ταινίῃ πλατείῃ προσπεριλαμβάνειν τὸν βραχίονα κύκλῳ περὶ τὸ στῆθος περιδέοντα. [6] καὶ, ἐπὴν ἀναπαύεσθαι μέλλῃ, μεσηγὺ τοῦ ἀγκῶνος καὶ τῶν πλευρέων σπλῆνά τινα πολύπτυχον πτύξαντα ὑποτιθέναι, ἢ ἄλλο τι, ὃ τουτέῳ ἔοικεν. [7] οὕτω γὰρ αὖ ἰθὺ τὸ κύρτωμα τοῦ ὀστέου γίνοιτο. φυλάσσεσθαι μέν τοι χρὴ, ″ ὅ- 2 πως μὴ ἦ ἄγαν ἐς τὸ ἔσω μέρος.

X. ″ Ποὺς δὲ ἀνθρώπου ἐκ πολλῶν

reliqua omnia, quemadmodum prius monuimus, tractet: [10] & easdem interrogationes faciat: & iisdem signis utatur, an moderate habeat, aut secus. [11] Et per tertium diem deliget, & magis comprimat. Et septima aut nona die cum ferulis deliget. Et si suspicionem habeat, os non bene positum esse, ′ intermedio 20 tempore solvat, & ubi probe collocavit, rursus deliget.

IX. Corroboratur autem maxime os brachii in xl. diebus. Postquam vero os excesserit, solvere oportet, & minus comprimere, & paucioribus quoque linteis deligare. [2] Cæterum victum quendam exquisitiorem quam prius constituere oportet, & ad longius tempus. Ejus vero conjecturam facere oportet, ad tumoris qui in summa manu est robur respiciendo. [3] Insuper autem ′ & ad hæc animum ad- 25 vertere oportet: quod brachium à natura ad externam partem incurvatum est, & distorqueri solet, si non bene curetur. [4] Sed & alia omnia ossa, quæ à natura ad hanc partem distorta sunt, etiam dum curantur ubi fracta sunt, distorqueri solent. [5] Ubi igitur tale quippiam in suspicionem venerit, lat. insuper fascia brachium circumcirca complecti oportet, & circum pectus deligare: [6] & ubi quiescere volet, inter ′ cubiti flexuram & costas, 30 splenium quoddam multiplex convolutum ac complicatum supponere: aut aliud quid quod huic simile existat. [7] Hoc enim modo incurvatio ossis recta evadet. Cavere tamen oportet, ut ne nimis ad internam partem vergat.

X. Pes vero hominis ex multis

λῶν καὶ μικρῶν ὀστέων σύγκειται. ὥσπερ χειρὸς ἄκρη. [2] κατάγνυται μὲν οὐ πάνυ τι ταῦτα τὰ ὀστέα, ἢν μὴ ξὺν τῷ χρωτὶ τιτρωσκομένῳ ὑπὸ ὀξέος τινὸς ἢ βαρέος. [3] τὰ μὲν οὖν τιτρωσκόμενα ἐν ἑλκωσίων μέρει εἰρήσεται ὡς χρὴ ἰητρεύειν. ἢν δέ τι κινηθῇ ἐκ τῆς χώρης, ἢ τῶν δακτύλων ἄρθρον, ἢ ἄλλο τι τῶν ὀστέων τῶν ταρσοῦ καλεομένων, ἀναγκάζειν μὲν χρὴ ἐς τὴν ἑωυτοῦ χώρην ἕκαστον, ὥσπερ καὶ τὰ ἐν τῇ χειρὶ εἴρηται. [4] καὶ ἰητρεύειν δὲ κηρωτῇ καὶ σπλήνεσι καὶ ὀθονίοισιν, ὥσπερ καὶ τὰ κατήγματα, πλὴν τῶν ναρθήκων. [5] τὸν μὲν αὐτὸν τρόπον πιέζοντα, διὰ τρίτης δὲ ἐπιδέοντα. ὑποκρινέσθω δὲ ὁ ἐπιδεόμενος παραπλήσια, οἷά περ καὶ ἐν τοῖσι κατήγμασι, καὶ περὶ τοῦ πιέζεσθαι, καὶ περὶ τοῦ χαλαρὸν εἶναι. [6] ὑγιέα δὲ γίνεται ἐν εἴκοσιν ἡμέρῃσι τελέως ἅπαντα, πλὴν ὁκόσα κοινωνέει τοῖσι τῆς κνήμης ὀστέοισι, καὶ αὐτέῃ τῇ ἰθυωρίῃ. ξυμφέρει δὲ κατακεῖσθαι τοῦτον τὸν χρόνον. [7] ἀλλὰ γὰρ οὐ τολμέουσιν, ὑπερορῶντες τὸ νόσημα, ἀλλὰ περιέρχονται πρὶν ὑγιέες γενέσθαι.

XI. Διὰ τοῦτο καὶ οἱ πλεῖστοι οὐκ ἐξυγιάζουσι τελέως, ἀλλὰ πολλάκις αὐτοὺς ὁ πόνος ὑπομιμνήσκει εἰκότως. ὅλον γὰρ τὸ ἄχθος τοῦ σώματος οἱ πόδες ὀχέουσιν. ὁκόταν οὖν μήπω ὑγιέες ἐόντες ὁδοιπορέουσι, φλαύρως ξυναλθαίνεται τὰ ἄρθρα τὰ κινηθέντα. [2] διὰ τοῦτο ἄλλοτε καὶ ἄλλοτε ὀδυνῶνται τὰ πρὸς τῇ κνήμῃ. [3] τὰ δὲ κοινωνέοντα τοῖς τῆς κνήμης ὀστέοισι μέζω τε τῶν ἑτέρων ἐστὶ, καὶ κινηθέντων τούτων πολυχρονιωτέρη ἡ ἄλθεξις. [4] ἴησις μὲν οὖν ἡ αὐτή. ὀθονίοισι δὲ πλείοσι χρῆσθαι, καὶ σπλήνεσι. [5] καὶ ἐπὶ πᾶν ἔνθεν καὶ ἔνθεν ἐπιδεῖν. πιέζειν δὲ ὥσπερ

tis ac parvis ossibus compositus est, quemadmodum etiam summa manus. [2] Franguntur quidem non ita valde hæc ossa, si non una cum corpore, ab acuto aliquo aut gravi vulnerato. [3] Vulnerata igitur quomodo curare oporteat, in ulcerationum parte refertur. Si vero quid è loco suo motum fuerit, aut digitorum articulus, aut aliud quoddam ex ossibus summi pedis, unumquodque in suum locum cogere oportet, quemadmodum & ea quæ in manu sunt. [4] Curare vero oportet cerato, & spleniis, & linteis velut etiam fracturas, exceptis ferulis, [5] eodem modo comprimendo, & per tertium diem deligando. Interrogetur item is qui deligatur similiter, velut in fracturis, & de compressione facta, & an laxa sit deligatio. [6] At vero sana fiunt in viginti diebus perfecte omnia, exceptis his quæ cum tibiæ ossibus communionem habent, & cum ipsa è directo. Conducit autem hoc tempore decumbere. [7] At non tolerant contemnentes morbum. Verum priusquam sani fiant obambulant.

XI. Et propterea plurimi non perfecte sanantur, sed dolor ipsos sæpe merito commonefacit. Totum enim corporis pondus pedes vehunt. Quum igitur nondum sani iter faciunt, articuli moti male curantur, [2] ideoque alias atque alias hi qui ad tibiam sunt dolent. [3] Quæ vero cum tibiæ ossibus communionem habent, & majora aliis sunt, & ubi hæc mota sunt, diuturniorem medelam requirunt. [4] Curatio tamen eadem est. Verum linteis & spleniis pluribus uti oportet. [5] Et in totum hinc atque illinc deliga-

ὥσπερ καὶ τἄλλα πάντα, ταύτῃ μά-
λιστα, ᾗ ἐκινήθη, καὶ τὰς πρώτας
περιβολὰς τῶν ὀθονίων κατὰ ταῦτα
ποιέεσθαι. [6] ἐν δὲ ἑκάστῃ τῶν ἀπο- 4
λυσίων ὕδατι πολλῷ θερμῷ χρέε-
σθαι. ἐν πᾶσι δὲ πολλὸν ὕδωρ θερ-
μὸν καταχέειν τοῖσι κατ᾽ ἄρθρα σίνε-
σιν. [7] αἱ δὲ πιέξιες καὶ αἱ χαλάσιες ἐν
τοῖσιν αὐτοῖσι χρόνοισι τὰ αὐτὰ
σημεῖα δεικνύουσιν, ὥσπερ ἐπὶ τοῖσιν
πρόσθεν, καὶ τὰς μεταπεδήσιας
30 ὡσαύτως χρὴ ποιέεσθαι. [8] ὑγιέες δὲ
τελέως οὗτοι γίνονται ἐν τεσσαρά-
κοντα ἡμέρῃσι μάλιστα, ἢν τολ-
μέωσι κατακεῖσθαι. [9] ἢν δὲ μή, πά-
σχουσι ταῦτα, ἃ καὶ πρότερον, καὶ ἔτι
μᾶλλον.

XII. Ὅσοι δὲ πηδήσαντες ἀφ᾽
ὑψηλοῦ τινος ἐστηρίξαντο τῇ πτέρ-
νῃ ἰσχυρῶς, τουτέοισι διΐστανται μὲν τὰ
ὀστέα· φλέβια δὲ ἐκχυμοῦνται ἀμφι-
φλασθείσης τῆς σαρκὸς ἀμφὶ τὸ
ὀστέον· οἴδημα δὲ ἐπιγίνεται καὶ πόνος
πουλύς. [2] τὸ γὰρ ὀστέον τοῦτο οὐ σμι- 22
κρόν ἐστι, καὶ ὑπερέχει μὲν ὑπὸ τὴν ἰθυω-
35 ρίην τῆς κνήμης, κοινωνέει δὲ φλεψὶ
καὶ νεύροισιν ἐπικαιροτάτοισιν. [3] ὁ τένων
δὲ ὁ ὄπισθεν τούτῳ προσήρτηται τῷ
ὀστέῳ. τούτους χρὴ ἰητρεύειν μὲν κηρω-
τῇ καὶ σπλήνεσι καὶ ὀθονίοισιν. ὕδατι δὲ
θερμῷ πλείστῳ τουτέοισι χρῆσθαι, καὶ
ὀθονίοισι πλέοσιν. [4] ἐπὶ τουτέοισι
δεῖ καὶ ἄλλως ὡς βελτίστων καὶ προσηνε-
στάτων. [5] καὶ ἢν μὲν τύχῃ ἁπαλὸν τὸ
δέρμα φύσει ἔχον τὸ ἀμφὶ τὴν πτέρ-
νην, ἐᾷν οὕτως· [6] ἢν δὲ παχὺ καὶ
σκληρόν, οἷα μετεξέτεροι ἴσχουσι, κα-
40 ταταμεῖν χρὴ ὁμαλῶς καὶ διαλε-
πτῦναι μὴ διατιτρώσκοντα. [7] ἐπι-
δεῖν δὲ ἀγαθῶς οὐ παντὸς ἀνδρός ἐστι
τὰ τοιαῦτα. ἢν γάρ τις ἐπιδέῃ,
ὥσπερ καὶ τἄλλα τὰ κατὰ τὰ σφυρὰ ἐπι-
δεῖται, ὅτε μὲν περὶ τὸν πόδα περι-
βαλλό-

deligare, comprimere item velut
alia omnia, ea maxime parte qua
emota sunt, & primas quoque
linteorum obvolutiones eodem
modo facere. [6] In unaquaque ve-
ro resolutione, multa calida aqua
uti oportet. In omnibus enim
circa articulos læsionibus, multa
aqua calida affundenda est. [7] Cæ-
terum compressiones & laxatio-
nes in iisdem temporibus eadem
signa ostendunt, quæ in superio-
ribus: & religationes eodem
modo fiant. [8] Sani vero perfecte
hi fiunt in quadraginta maxime
diebus; si decumbere sustinue-
rint. [9] Sin minus, eadem patiun-
tur, quæ prius relata sunt, & ad-
huc amplius.

XII. Porro quicunque saltu
de alto quopiam loco facto, in
calcaneum vehementer se fulci-
verunt, his ossa quidem dispa-
rantur, venulæ vero sanguinem
effundunt, carne circa os contu-
sa: tumor autem accedit, & do-
lor multus. [2] Os enim hoc par-
vum non est, & supereminet 60
quidem sub tibiæ rectitudinem,
communionem vero habet cum
venis ac nervis principalibus. [3]
Tendo autem posterior huic ossi
annectitur. Hos curare oportet
cerato, & spleniis, & linteis, &
aqua plurima calida, & linteis
pluribus. [4] Et ab his opus est
etiam aliis quam optimis ac le-
nissimis. [5] Et si quidem mollis
fuerit à natura cutis circum cal-
caneum, sic sinere oportet. [6] Si
vero crassa & dura, veluti qui-
dam habent, incidere oportet 65
æqualiter, & attenuare, ita ta-
men ut ne vulneretur. [7] At vero
talia bene deligare, non cujusvis
est. Si enim deliget quis, quo-
modo alia circa malleolos deli-
gantur, ita ut aliquando circum

pedem,

βαλλόμενος, ὅτι δὲ περὶ τὸν τένοντα, αἱ ἀποσφίγξιες αὗται χωρίζουσι τὴν πτέρνην, ᾗ τὸ θλάσμα ἐγένετο. ⁸ καὶ οὕτω κίνδυνος σφακελίσαι τὸ ὀστέον τὸ τῆς πτέρνης. καί τοι, ἢν σφακελίσῃ, τὸν αἰῶνα πάντα ἱκανὸν ἀντέχειν τὸ νόσημα. ⁹ καὶ γὰρ τἆλλα, ὅσα μὴ ἐκ τοιούτου τρόπου σφακελίζει, ἀλλ' ἐν κατακλίσει μελανθείσης τῆς πτέρνης ὑπὸ ἀμελείης τοῦ σχήματος, ἢ ἐν κνήμῃ τρώματος γινομένου ἐπικαίρου καὶ χρονίου καὶ κοινοῦ τῇ πτέρνῃ, ἢ ἐν μηρῷ, ἢ ἐπὶ ἄλλῳ νοσήματι ὑπτιασμοῦ χρονίου γινομένου. ¹⁰ ὅμως καὶ τοῖσι τοιούτοισι χρόνια καὶ ὀχλώδεα, καὶ πολλάκις ἀναῤῥηγνύμενα, ἢν μὴ χρηστῇ μὲν μελέτῃ θεραπευθῇ, πολλῇ δ' ἡσυχίῃ. ¹¹ ὡς τάγ' ἐκ τοῦ τοιούτου τρόπου σφακελίζοντα κινδύνους μεγάλους τῷ σώματι παρέχει, πρὸς τῇ ἄλλῃ λύμῃ. καὶ γὰρ πυρετοὶ ὑπεροξέες, ξυνεχέες, τρομώδεες, λυγγώδεες, γνώμης ἁπτόμενοι, καὶ ὀλιγήμεροι, κτείνοντές τε. ¹² γίνοιτο δ' ἂν καὶ φλεβῶν αἱμοῤῥόων πελιώσιες, ναυσιώσιες, καὶ γαγγραινώσιες ὑπὸ τῆς πιέξιος. ¹³ γίνοιτο δ' ἂν ταῦτα ἔξω τοῦ ἄλλου σφακελισμοῦ. ταῦτα μὲν οὖν εἴρηται, οἷα τὰ ἰσχυρότατα θλάσματα γίνεται. ταῦτα μέντοι πλεῖστα ἡσυχαίως ἀμφιθλᾶται, καὶ οὐδεμίη πολλὴ σπουδὴ τῆς μελέτης, ἀλλ' ὅμως ὀρθῶς γε χρὴ χειρίζειν. ¹⁴ ἐπὴν μέντοι ἰσχυρὸν δόξῃ εἶναι τὸ ἔρεισμα, τά τε εἰρημένα ποιέειν χρή, καὶ τὴν ἐπίδεσιν τὴν πλείστην ποιέεσθαι ἀμφὶ τὴν πτέρνην περιβάλλοντα. ¹⁵ ἄλλοτε πρὸς τὰ ἄκρα τοῦ ποδὸς ἀναπεριβάλλοντα, ἄλλοτε πρὸς

pedem, aliquando circum tendinem, fasciæ circumdentur: hæ constrictiones calcaneum separant, qua parte contusio facta est. ⁸ Atque ita periculum est, ne calcanei os corrumpatur. Et sane si corruptum fuerit, per omne ævum morbus durare potest. ⁹ Nam & alia quæ non ex tali modo sunt, ipsum corrumpunt, sed in decubitu denigrato calcaneo, ex figuræ neglectu: aut in tibia vulnere facto periculoso, ac diuturno, & communionem cum calcaneo habente: aut in femore, aut ubi ex alio morbo diuturnus decubitus contingit. ¹⁰ Attamen & talibus diuturnæ ac molestæ affectiones fiunt, & quæ sæpe refringantur, si non bona diligentia, & multa quiete curentur. ¹¹ Quare etiam ea quæ ex tali modo corrumpuntur, supra aliquam læsionem, magna corpori pericula inducunt. Febres enim peracutæ oboriuntur, tremulæ, singultuosæ, mentem contingentes, paucis diebus durantes ac occidentes. ¹² Fieri etiam possunt venarum sanguifluarum livores, venarum nauseæ, & cancerationes ex compressione. ¹³ Fieri autem possunt hæc absque alia corruptione. Atque hæc quidem relata sunt, ubi vehementissimæ contusiones fiunt. Plurima tamen leniter circumcirca contunduntur, neque ullum magnum curationis studium exigunt, sed recte tamen tractare oportet. ¹⁴ Quum vero vehemens in fulciendo illisio facta esse visa fuerit, tunc sane relata facere convenit, & deligationem plurimam facere circum calcaneum obvolutam, ¹⁵ ita ut aliquando ad summas pedis partes,

πρὸς τὰ μέσα, ἄλλοτε πρὸς τὰ περὶ τὴν κνήμην. προσεπιδεῖν δὲ καὶ τὰ πλησίον πάντα, καὶ ἔνθεν καὶ ἔνθεν, ὥσπερ καὶ πρόσθεν εἴρηται. [16] ἰσχυρὴν μὲν 10 μὴ ποιέεσθαι τὴν πίεξιν, πολλοῖσι δὲ τοῖς ὀθονίοισιν. [17] ἄμεινον δὲ καὶ ἐλλέβορον πιπίσκειν αὐθημερὸν, ἢ τῇ ὑστεραίῃ. ἀπολῦσαι δὲ τριταῖον καὶ αὖθις μεταπιδῆσαι.

XIII. Σημεῖα δὲ τάδε, ἢν παλιγκοτεῖν ἢ οὔ. ἢν μὲν τὰ ἐγχυμώματα τῶν φλεβῶν, καὶ τὰ μελάσματα, καὶ τὰ ἐγγὺς ἐκείνων ὑπέρυθρα γίνεται καὶ ὑπόσκληρα, κίνδυνος παλιγκοτῆσαι. [2] ἀλλ᾽, ἢν μὲν ἀπύρετος ᾖ, φαρμακεύειν ἄνω χρὴ, ὥσπερ εἴρηται· καὶ, ὅσοι μὴ ξυνεχῇ πυρεταίνονται. [3] ἢν δὲ ξυνεχῇ πυ- 15 ρεταίνωνται, μὴ φαρμακεύειν, ἀπέχειν δὲ σιτίων καὶ ῥοφημάτων. ποτῷ δὲ χρῆσθαι ὕδατι καὶ μὴ οἴνῳ, ἀλλὰ ὀξυγλυκεῖ. [4] ἢν δὲ μὴ μέλλῃ παλιγκοτέειν, τὰ ἐγχυμώματα, καὶ τὰ μελάσματα καὶ τὰ περιέχοντα ὑπόχλωρα γίνεται καὶ μὴ σκληρά. [5] ἀγαθὸν τοῦτο τὸ μαρτύριον ἐν πᾶσιν ἐγχυμώμασι, τοῖσι μὴ μέλλουσι παλιγκοτέειν. [6] ὅσα δὲ σὺν σκληρύσμασι πελιοῦται, κίνδυνος μὲν μελανθῆναι· τὸν δὲ πόδα ἐπιτηδεύειν χρὴ, ὅκως ἀνω- 20 τέρω τοῦ ἄλλου σώματος ἔσται τὰ πλεῖστα ὀλίγον. [7] ὑγιὴς δὲ ἂν γένοιτο ἐν ἑξήκοντα ἡμέρῃσιν, εἰ ἀτρεμίοι.

XIV. Ἡ δὲ κνήμη δύο ὀστέα ἐστί. τῇ μὲν συχνῷ λεπτότερον τὸ ἕτερον τοῦ ἑτέρου τῇ δὲ οὐ πολ-

aliquando ad medias, aliquando 85 ad tibiæ partes, ex opposito lintea obvolvantur. Deligare insuper oportet & vicina omnia, hinc atque illinc, velut etiam prius dictum est, & [16] vehementem compressionem non facere, sed cum multis linteis. [17] Præstat autem & veratrum bibendum dare eadem die, aut postridie: & tertia die resolvere ac rursum deligare.

XIII. Signa porro an recrudescant, aut non, hæc sunt. Quum sanguis è venis effusus, 90 & denigrationes, & his vicina, fiunt subrubra & subdura, periculum est ne recrudescant. [2] At si quidem febre careat, sursum purgans medicamentum dandum est, velut dictum est: itemque si non continua febre laboret. [3] Si vero continua fuerit febris, medicamentum dandum non est. Verum & à cibis, & à sorbitionibus abstinendum. Potu vero utendum aqua, non vino, sed favorum cremore de- 95 cocto, aut aceto mulso dulci. [4] Si vero non recrudescent, sanguis è venis effusus, & denigrationes, & vicinæ partes, cum vitore subpallidæ fient, & non duræ: [5] & bonum est hoc testimonium in omnibus sugillatis, sanguine è venis subter cutem effuso, quod non recrudescent. [6] Quæcunque vero cum duricia livescunt, ea ut denigrescant periculum est. Cæterum hoc studio habere oportet, ut pes plerunque paulo altius reliquo 100 corpore habeatur. [7] Sanus autem fieri poterit in sexaginta diebus, si quieverit.

XIV. At vero tibia duo ossa sunt, quorum alterum altero hac parte multo tenuius est, illa vero parte

ὀ πολλῷ λεπτότερον. ξυνέχεται δὲ ἀλλήλοισι τὰ πρὸς τοῦ ποδὸς, καὶ ἐπίφυσιν κοινὴν ἔχει. ἐν ἰθυωρίῃ δὲ τῆς κνήμης οὐ ξυνέχεται. ³ τὰ δὲ πρὸς τοῦ μηροῦ ξυνέχεται, καὶ ἐπίφυσιν ἔχει. καὶ ἡ ἐπίφυσις διάφυσιν. μακρότερον δὲ τὸ ἕτερον ὀστέον σμικρῷ τὸ κατὰ τὸν σμικρὸν δάκτυλον. ⁴ ἡ μὲν φύσις τοιαύτη τῶν ὀστέων τῶν ἐν τῇ κνήμῃ. ὀλισθαίνει δέ ἐστιν ὅτε τὰ πρὸς τοῦ ποδός. ὁτὲ μὲν ξὺν τῇ ἐπιφύσει ἀμφότερα τὰ ὀστέα· ὁτὲ δὲ ἡ ἐπίφυσις ἐκινήθη, ὁτὲ δὲ τὸ ἕτερον ὀστέον. ⁵ ταῦτα δὲ ὀχλώδεα μὲν ἧσσον, ἢ τὰ ἐν τῷ καρπῷ τῶν χειρῶν, εἰ τολμῷεν ἀτρεμέειν οἱ ἄνθρωποι. ⁶ ἴησις δὲ παραπλησίη, οἵηπερ ἐκείνων. τήν τε γὰρ ἐμβολὴν χρὴ ποιέεσθαι ἐν κατατάσει, ὥσπερ ἐκείνων.

XV. Ἰσχυροτέρης δὲ δεῖται τῆς κατατάσιος, ὅσῳ ἰσχυρότερον τὸ σῶμα ταύτῃ. ² ἐς τὰ πλεῖστα μὲν γὰρ ἀρκέουσιν ἄνδρες δύο, ὁ μὲν ἔνθεν, ὁ δὲ ἔνθεν τείνοντες. ³ ἢν δὲ μὴ ἰσχύωσιν, ἰσχυροτέρην ῥηΐδιόν ἐστι ποιέεσθαι κατάτασιν. ἢ γὰρ πλήμνην κατορύξαντα χρὴ, ἢ ἄλλο τι, ὃ τούτῳ ἔοικεν, μαλθακόν τι περὶ τὸν πόδα περιβάλλειν. ⁴ ἔπειτα, πλατέσι βοείοισιν ἱμᾶσι περιδήσαντα τὸν πόδα, τὰς ἀρχὰς τῶν ἱμάντων ἢ πρὸς ὕπερον, ἢ πρὸς ἕτερον ξύλον προσδήσαντας, τὸ ξύλον πρὸς τὴν πλήμνην ἄκρον ἐνθέντα ἀνακλᾶν. ⁵ τοὺς δὲ ἀντιτείνειν, ἄνωθέν τε τῶν ὤμων ἐχομένους καὶ τῆς ἰγνύης. ⁶ ἔστι δὲ καὶ τὰ ἄνω τοῦ σώματος ἀνάγκῃ προσλαβεῖν. τοῦτο μὲν, ἢν βούλῃ, ξύλον στρογγύλον λεῖον κατορύξας βαθέως, μέρος τι αὐτοῦ ὑπερέχον τοῦ ξύλου μεσηγὺ τῶν σκελέων ποιήσασθαι περὶ

parte non multo tenuis. ² Cohærent autem inter se juxta pedem, & appendicem communem habent. Verum in rectitudine tibiæ non cohærent. ³ Juxta femur autem cohærent, & appendicem habent, & appendix discriminationem. Longius vero paulo alterum os est, quod secundum parvum digitum est. ⁴ Et talis quidem est natura ossium in tibia. Luxantur autem aliquando juxta pedem ambo ossa, quandoque cum appendice: quandoq; vero appendix tantum emovetur, quandoque alterum tantum os. ⁵ Hæc autem minus molesta sunt, quam ea quæ in articulo manus existunt, si quiescere homines sustineant. ⁶ Curatio vero consimilis est velut illorum. Nam & repositionem ex extensione, velut in illis, facere oportet.

XV. Verum vehementiore extensione opus habent, quanto fortius est ea parte corpus. ² Plerunque tamen sufficiunt viri duo, alter hinc alter illinc extendentes. ³ Si vero non satis robusti fuerint, facile est vehementiorem extensionem facere. Aut enim rotæ modiolum, aut aliud quid huic simile defodere oportet, & molle quiddam pedi circumdare, ⁴ & postea latis bubulis loris pede deligato, principia lororum aut ad pistillum, aut ad aliud lignum alligare, atque ita ligno in summum modiolum indito refringere, ⁵ ita ut alii contra extendant humeris & poplite apprehensis. ⁶ Potest etiam superna corporis pars necessitate hac extensionis urgeri, partim quidem si ita voles, Ligno rotundo levigato alte defosso, partem quandam ipsius superemi-

nentem

περὶ τὸν περίνεον, ὡς κωλύῃ ἀκολουθεῖν τὸ σῶμα τοῖσι πρὸς ποδῶν τείνουσιν. ⁷ ἔπειτα πρὸς τὸ τεινόμενον σκέλος μὴ ῥέπειν. τὸν δέ τινα πλάγιον παρακαθήμενον ἀπωθεῖν τὸν γλουτὸν, ὡς μὴ περιέλκηται τὸ σῶμα. ⁸ τοῦτο δὲ ἢν περὶ τὰς

40 μασχάλας ἔνθεν καὶ ἔνθεν τὰ ξύλα παραπήγνυται. αἱ δὲ χεῖρες παρατεταμέναι φυλάσσονται. ⁹ περιλαμβανέτω δέ τις κατὰ γόνυ, καὶ οὕτως ἀντιτείνειε. ¹⁰ τοῦτο δ', ἢν περὶ τὸ γόνυ βούλῃ, ἄλλους ἱμάντας περιδήσας, ἢ περὶ τὸν μηρὸν, πλημνίην ἄλλην ὑπὲρ κεφαλῆς κατορύξας, ἐξαρτήσας τε τοὺς ἱμάντας ἔκ τινος ξύλου τὸ ξύλον στρέφων ἐς τὴν πλημνίην, τἀναντία τοῖσι πρὸς ποδῶν ἕλκειν. ¹¹ τοῦτο δ', ἢν βούλῃ ἀντὶ τῶν πλημνιέων δοκίδα ὑποθεὶς ὑπὸ

45 τὴν κλίνην μετρίην. ¹² ἔπειτα πρὸς τῆς δοκίδος, ἔνθεν καὶ ἔνθεν τὴν κεφαλὴν στρέφων, καὶ ἀνακλῶν τὰ ξύλα, κατατείνειν τοὺς ἱμάντας. ¹³ ἢν δὲ θέλῃς, ὀνίσκους καταστήσας ἔνθεν καὶ ἔνθεν, ἐπ' ἐκείνων τὴν κατάτασιν ποιέεσθαι.

XVI. Πολλοὶ δὲ καὶ ἄλλοι τρόποι κατατασίων. ² ἄριστον δὲ, ὅστις ἐν πόλει μεγάλῃ ἰητρεύοι, κεκτῆσθαι ἐσκευασμένον ξύλον, ἐν ᾧ πᾶσαι ἀνάγκαι ἔσονται πάντων τῶν καταγμάτων, πάντων δὲ ἄρθρων ἐμβολῆς ἐκ κατατάσιος

46 καὶ μοχλεύσιος. ³ ἀρκεῖ δὲ τὸ ξύλον, ἢν ᾖ τοιοῦτον οἷον οἱ τετράγωνοι στῦλοι οἱ δρύϊνοι γίνονται, μῆκος καὶ πλάτος καὶ πάχος. ἐπὴν δὲ ἱκανῶς κατατείνῃς, ῥηΐδιον ἤδη τὸ ἄρθρον ἐμβαλεῖν. ⁴ ὑπεραιωρέεται γὰρ ἐς ἰθυωρίην ὑπὲρ τῆς ἀρχαίης ἕδρης. καθε-

ἱδρύεται

nentem intra crura juxta ani & scroti intercapedinem applica- 120 to, quo corpus sequi prohibeat ad eos qui à pedibus extendunt: ⁷ deinde ad crus quod extenditur, declinare non oportet, sed aliquem à latere assidere, qui nates retrudat, ne corpus circumtrahatur: ⁸ partim vero si etiam circa alas hinc atque illinc ligna affigantur, manus autem extentæ serventur, ⁹ apprehendat autem quis circa genu, atque ita contra extendat: ¹⁰ partim item si quis velit, aliis loris circa genu aut 125 circa femur deligatis, & alio rotæ modiolo supra caput defosso, & loris ex ligno quopiam alligatis, & ligno ita in rotæ modiolum defixo, ad contrariam partem his qui à pedibus extendunt, adtrahere potest. ¹¹ Quin & si voles, pro rotarum mediolis trabem mediocrem sub lectum extendes, ¹² deinde ad trabis hinc atque illinc caput ligna fulciens ac refringens, lora ipsis alligata intendes. ¹³ Si vero & hoc velis, asellis, hinc atque illinc consti- 130 tutis, in ipsis extensionem facies.

XVI. Sunt autem & alii multi extensionum modi. ² Optimum autem fuerit, si quis in magna civitate medicum agit, ut lignum habeat præparatum, in quo omnes necessitates insunt, tum ad omnes fracturas, tum ad omnes articulorum repositiones, ex extentione, ac vectium usu. ³ Satis autem est si lignum fuerit & longitudine, & latitudine, & crassitudine tale, quales colum- 135 næ quernex quadrangulæ fiunt. Postquam autem sufficienter extenderis, facile jam est articulum reponere. ⁴ Elevatur enim in directum supra pristinam sedem.

 Diri-

θύσασθαι οὖν χρὴ τοῖσι θέναρσι τῶν χειρῶν, τοῖσι μὲν ἐς τὸ ἐξεστηκὸς ἐρείδοντας, τοῖσι δὲ ἐπὶ θάτερα κατώτερον τοῦ σφυροῦ ἀντερείδοντας. 5 ἐπὴν δὲ ἐμβάλῃς, ἢν μὲν οἷόν τε ᾖ, κατατεταμένα ἐπιδεῖν χρή. 6 ἢν δὲ κωλύηται ὑπὸ τῶν ἱμάντων, ἐκείνους λύσαντα ἀντικατατείνειν, ἕως ἂν ἐπιδήσῃς. ἐπιδεῖν δὲ τὸν αὐτὸν τρόπον, καὶ τὰς ἀρχὰς ὡσαύτως βαλλόμενον κατὰ τὸ ἐξεστηκὸς, καὶ τὰς περιβολὰς τὰς πρώτας πλείστας κατὰ τοῦτο ποιέεσθαι, καὶ τοὺς σπλῆνας πλείστους κατὰ τοῦτο, καὶ τὴν πίεξιν μάλιστα κατὰ ταυτό. περιεπιδεῖν δὲ καὶ ἔνθεν καὶ ἔνθεν ἐπὶ συχνόν. 7 μᾶλλον δέ τι τοῦτο τὸ ἄρθρον πιεχθῆναι χρὴ ἐν τῇ πρώτῃ ἐπιδέσει, ἢ τὸ ἐν τῇ χειρί. ἐπὴν δὲ ἐπιδήσῃς, ἀνωτέρω μὲν τοῦ ἄλλου σώματος ἐχέτω τὸ ἐπιδεθέν. 8 τὴν δὲ θέσιν δεῖ ποιήσασθαι οὕτως, ὅκως ἥκιστα ἀπαιωρηθήσεται ὁ πούς.

XVII. Τὸν δὲ ἰσχνασμὸν τοῦ σώματος οὕτως ποιέεσθαι, ὁκοίην δύναμιν ἔχει καὶ τὸ ὀλίσθημα. τὰ μὲν γὰρ σμικρὸν, τὰ δὲ μέγα ὀλισθαίνει. 2 τὸ ἐπίπαν δεῖ ἰσχναίνειν μᾶλλον, καὶ ἐπὶ πλείω χρόνον χρὴ ἐν τοῖσι κατὰ σκέλεα τρώμασιν, ἢ ἐν τοῖσι κατὰ χεῖρας. καὶ γὰρ μέζω καὶ παχύτερα ταῦτα ἐκείνων. καὶ δὴ καὶ ἀναγκαῖον ἐλινύειν τὸ σῶμα καὶ κατακεῖσθαι. 3 μεταπιδῆσαι δὲ τὸ ἄρθρον, οὔτε τι κωλύει τεταρταῖον, οὔτε κατεπείγει. καὶ τὰ ἄλλα πάντα παραπλησίως χρὴ ἰητρεύειν, ὥσπερ καὶ τὰ παροιχόμενα. 4 καὶ ἢν μὲν ἀτρεμίζειν [θέλῃ] κατακεῖσθαι, ἱκαναὶ τεσσαράκοντα ἡμέραι, ἢν μοῦνον ἐς τὴν ἑωυτῶν χώρην τὰ

ὀστέα

Dirigere itaque manuum volis oportet, ita ut his partim in id quod eluxatum eminet innitaris, partim ab altera parte infra malleolum renitaris. 5 Ubi vero repoſueris, ſi quidem fieri poterit, extentum ita deligabis. 6 Si vero præ loris impediaris, his exolutis distentionem facias, donec deligaveris. Deligare autem eodem modo oportet, & faſciarum initiis ſimiliter, in id quod luxatum eminet injectis, & primis obvolutionibus plurimis ſupra id factis, imo etiam ſpleniis plurimis ſupra id impoſitis, & compreſſione maxime iſthic contingente. Sed & hinc atque illinc multum inſuper deligare oportet. 7 Magis autem hic articulus compreſſione opus habet, in prima deligatione, quam is qui in manu eſt. Poſtquam autem deligaveris, ſublimius reliquo corpore deligatam partem habeat. 8 Poſitum autem ipſius ita facere oportet, quo quam minime pes dependeat.

XVII. At vero attenuationem corporis ita facere oportet, prout talem vel talem vim ipſa luxatio habet. Aliqua enim parum, aliqua multum luxantur. 2 In totum vero magis & longiore tempore, in vulneribus circa crura, quam his quæ circa manus fiunt, attenuare oportet. Nam & majora & craſſiora hæc quam illa ſunt: & ſane etiam neceſſarium eſt quieſcere corpus ac decumbere. 3 Verum poſtea deligare articulum tertia die, neque prohibet quicquam, neque urget: & alia omnia ſimiliter velut ſuperius relata curare oportet. 4 Et ſi quidem quiete decumbet, ſufficient quadraginta dies, ſi ſolum in ſuum locum oſſa rurſus deſederint.

ὀστέα αὖθις καθιζήσηται. [5] ἢν δὲ μὴ θέλῃ ἀτρεμέειν, χρῷτο μὲν ἂν οὐ ῥαδίως τῷ σκέλεϊ, ἐπιδεῖσθαι δὲ ἀναγκάζοιτ' ἂν πολὺν χρόνον. [6] Ὁκόσα μέντοι τῶν ὀστέων μὴ τελείως ἵζει ἐς τὴν ἑωυτῶν χώρην, ἀλλά τι ἐπιλείπει τῷ χρόνῳ, λεπτύνεται ἰσχίον καὶ μηρὸς καὶ κνήμη. καὶ, ἢν μὲν εἴσω ὀλισθῇ, τὸ ἔξω μέρος λεπτύνεται· [7] ἢν δὲ ἔξω, τὸ εἴσω. τὰ πλεῖστα δὲ ἐς τὸ εἴσω ὀλισθαίνει.

XVIII. Ἐπὴν δὲ κνήμης ὀστέα ἀμφότερα κατεαγῇ ἄνευ ἑλκώσιος, κατατάσιος ἰσχυροτέρης δεῖται. [2] τείνειν δὲ τουτέων τῶν τρόπων ἐνίοισι τῶν προειρημένων τισὶ, ἢν μεγάλαι αἱ παραλλάξιες ἔωσιν. ἱκαναὶ δὲ καὶ ἀπὸ τῶν ἀνδρῶν κατατάσιες. [3] τὰ πλεῖστα γὰρ ἀρκέοιεν ἂν δύο ἄνδρες ἐρρωμένοι, ὁ μὲν ἔνθεν, ὁ δ' ἔνθεν ἀντιτείνοντες. τείνειν δὲ ἐς τὸ ἰθὺ χρὴ κατὰ φύσιν, καὶ κατὰ τὴν ἰθυωρίην τῆς κνήμης, καὶ τοῦ μηροῦ. [4] καὶ, ἢν κνήμης ὀστέα κατεηγότα κατατείνῃς, καὶ ἢν μηροῦ, καὶ ἐπιδεῖν δὲ οὕτως ἐκτεταμένων ἀμφοτέρων, ὁκότερον ἂν τουτέων ἐπιδέῃς. οὐ γὰρ ταὐτὰ ξυμφέρει σκέλεΐ τε καὶ χειρί. [5] πήχεος μὲν γὰρ καὶ βραχίονος ἐπὴν ἐπιδεθῶσιν ὀστέα κατεηγότα, ἀναλαμβάνεται ἡ χείρ. καὶ, ἢν ἐκτεταμένα ἐπιδέῃς, τὰ σχήματα τῶν σαρκῶν ἑτεροιοῦνται ἐν τῇ ξυγκάμψει τοῦ ἀγκῶνος. [6] ἀδύνατος γὰρ ὁ ἀγκὼν ἐκτετάσθαι πολὺν χρόνον. οὐ γὰρ πολλάκις ἐν τοιούτῳ εἴθισται, ἀλλ' ἐν τῷ ξυγκεκάμφθαι. [7] Ἔτι δὴ καὶ, ἅτε δυνάμενοι οἱ ἄνθρωποι περιϊέναι, ἐπὴν κατὰ χεῖρα τρωθῶσι, ξυγκεκάμφθαι κατὰ τὸν ἀγκῶνα δέονται. [8] σκέλος δὲ ἔν τε τῇσιν ὁδοιπορίῃσι, καὶ ἐν τῷ ἑστάναι εἴθισται, ὅτε

derint. [5] Si vero quieſcere nolet, non facile quidem crure uti poterit, & deligatione ad multum tempus uti cogetur. [6] Quæcunque vero oſſa non perfecte deſident in ſuum locum, ſed aliquid deficit, progreſſu temporis attenuatur coxa, & femur, & tibia. Et ſi quidem intro luxata fuerint, externa pars attenuatur. [7] Si vero extra, interna. Plurima autem ad internam partem luxantur.

XVIII. Poſtquam vero ambo tibiæ oſſa fracta fuerint, citra exulcerationem, extenſione vehementiore opus habent. [2] Extendere autem oportet quibuſdam modis ex prædictis, ſi magnæ emotiones fuerint. Sufficiunt etiam à viris factæ extenſiones. [3] Plerunque enim ſuffecerint duo viri robuſti, alter hinc, alter illinc diſtendentes. Intendere autem oportet in directum, ſecundum naturam, & ſecundum rectitudinem tibiæ ac femoris, ſive tibiæ fractæ, [4] ſive femoris oſſa extenderis. Sed & deligare ſic oportet utriſque extentis, utrum tandem horum deligaveris. Non enim eadem cruri & manui conferunt. [5] Nam ubi cubiti & brachii oſſa fracta fuerint, deligata, manus appenſa excipitur. At ſi extenta deligaveris, figuræ carnium alterantur inter flectendum in cubiti flexura. [6] Fieri enim non poteſt, ut cubiti flexura ad multum tempus maneat extenta. Non enim ſæpe in hac figura, ſed in flexione eſſe conſuevit. [7] Quin & quum homines obambulare poſſint, ubi circa manum ſauciati fuerint, opus habent flexione in cubiti flexura. [8] At crus quum & in ambulando, & in ſtando con-

ὁτὲ μὲν ἐκτετάσθαι, ὁτὲ δὲ μικροῦ δεῖν ἐκτετάσθαι ἐς τὸ κάτω κατὰ φύσιν. 9 καὶ δὴ καὶ πρὸς τὸ ὀχέειν τὸ 35 ἄλλο σῶμα· διὰ τοῦτο εὔφορον αὐτῷ ἐστι τὸ ἐκτετάσθαι, ὅταν ἀνάγκην ἔχῃ, καὶ δὴ καὶ ἐν τῇσι κοίτῃσι πολλάκις ἐν τῷ σχήματι τουτέῳ ἐστὶν ἐν τῷ ἐκτετάσθαι. ἐπὴν δὲ δὴ τρωθῇ, ἀνάγκη καταδουλοῦται τὴν γνώμην, ὅτι ἀδύνατοι μετεωρίζεσθαι γίνονται. 10 ὥστε οὐδὲ μέμνηνται περὶ τοῦ συγκαμφθῆναι, καὶ ἀναστῆναι, ἀλλὰ ἀτρεμέουσιν ἐν τουτέῳ τῷ σχήματι κείμενοι. 11 Διὰ οὖν ταύτας τὰς προφάσιας χειρὸς καὶ σκέλεος οὔτε ἡ κατάτασις, 40 οὔτε ἡ ἐπίδεσις τοῦ σχήματος ξυμφέρει ἡ αὐτή. 12 ἢν μὲν οὖν ἱκανὴ ἡ κατάτασις ἡ ἀπὸ τῶν ἀνδρῶν ᾖ, οὐδὲν δεῖ μάτην πονέεσθαι. καὶ γὰρ σολοικότερον μηχανοποιέειν, μηδὲν δέον. 13 ἢν δὲ μὴ ἱκανὴ ἡ κατάτασις ἡ ἀπὸ τῶν ἀνδρῶν, καὶ τῶν ἄλλων τινὰ τῶν ἀναγκαίων προσφέρειν, ἤν τινά γε προσχωρέῃ. 14 ὅταν δὲ δὴ ἱκανῶς κατατανυσθῇ, ῥήϊδιον ἤδη κατορθῶσθαι τὰ ὀστέα καὶ ἐς τὴν φύσιν ἀγαγεῖν, τοῖσι θέναρσι τῶν χειρῶν ἀπευθύνοντα καὶ ἐξακρινέοντα. 15 ἐπὴν δὲ κατορθώσῃ, 45 ἐπιδεῖν τοῖσιν ὀθονίοισι κατατεταμένα. ἤν τ' ἐπὶ δεξιὰ, ἤν τ' ἐπ' ἀριστερὰ περιφέρειν ξυμφέρῃ αὐτέοισι τὰ πρῶτα ὀθόνια. βαλλέσθω δὲ τὴν ἀρχὴν κατὰ τὸ κάτηγμα καὶ περιβαλλέσθω κατὰ τοῦτο τὰς πρώτας περιβολάς. 16 κἄπειτα νεμέσθω ἐπὶ τὴν ἄνω κνήμην ἐπιδέων, ὥσπερ ἐπὶ τοῖσιν ἄλλοισι κατήγμασιν εἴρηται.

XIX. Τὰ δὲ ὀθόνια πλατύτερα χρὴ εἶναι καὶ μακρότερα καὶ πλέω

consueverit, aliquando quidem extentum esse, aliquando vero fere extentum esse, ad infernam partem secundum naturam : 9 & sane etiam ad hoc ut reliquum corpus vehat : propterea facile 175 est ipsi extentum esse, ubi ejus necessitatem habuerit. Quin & in cubilibus sæpe in hac figura est, ut videlicet sit extentum. Postquam autem vulneratum fuerit, necessitas animi propositum in servitutem adigit. Impotentes enim fiunt ad se attollendum, 10 adeo ut ne meminerint quidem, ut inflectant ac exurgant ; sed quiescunt in hac figura decumbentes. 11 Propter has igitur causas, neque extensionis, neque deligationis figura eadem, manui & cruri conducit. 12 Si quidem igitur sufficerit 180 extensio quæ per viros fit, nihil aliud laboris frustra insumere oportet. Imperitiam enim arguit, machinas adhibere ubi ipsis non est opus. 13 Si vero non sufficiens fuerit extensio per viros, etiam ex aliis necessariis quædam adhibere oportet, si quæ commoda fuerint. 14 Quum autem satis jam extenta fuerint, facile est dirigere ossa, & ad naturam reducere, manuum volis ac palmis corrigendo ac coaptando. 181 15 Ubi vero direxeris, linteis deligare extenta, sive ad dextram partem, sive ad sinistram, circumducere prima lintea conducat. Initia autem ipsorum supra fracturam injiciantur, & circum hanc primæ quoque obvolutiones circumducantur, 16 deinde deligando sursum ad tibiam distribuantur, velut in fracturis dictum est.

XIX. Cæterum lintea latiora esse oportet, & longiora, eaque multo

πλείω αὐτὰ κατὰ τὸ σκέλος τῶν ἐν τῇ χειρί. ἐπὴν δὲ ἐπιδήσῃς, καταθεῖναι ἐφ' ὁμαλοῦ τινος καὶ μαλθακοῦ, ὥστε μὴ διαστρέφεσθαι ἢ τῇ, ἢ τῇ, μήτε λορδὸν, μήτε κυφὸν εἶναι. [5] μάλιστα δὲ ξυμφέρει προσκεφάλαιον, ἢ λινέον, ἢ ἐρίνεον, μὴ σκληρὸν, λαπαρὸν, μέσον κατὰ μῆκος ποιήσαντα, ὑποθεῖναι, ἢ ἄλλο τι, ὃ τούτῳ ἔοικεν. [4] Περὶ γὰρ τῶν σωλήνων τῶν ὑποτιθεμένων ὑπὸ τὰ σκέλεα τὰ κατεηγότα ἀπορέω ὅ, τι ξυμβουλεύσω, ἢ ὑποτιθέναι χρὴ ἢ οὔ. [5] ὠφελέουσι μὲν γὰρ, οὐχ ὅσον δὲ οἱ ὑποτιθέντες οἴονται. οὐ γὰρ ἀναγκάζουσιν οἱ σωλῆνες ἀτρεμέειν, ὡς οἴονται. οὔτε γὰρ τοῦ ἄλλου σώματος στρεφομένου, ἢ ἔνθα, ἢ ἔνθα ἐπαναγκάζει ὁ σωλὴν μὴ ἐπακολουθέειν τὸ σκέλος, ἢν μὴ ἐπιμελῆται αὐτὸς ὁ ἄνθρωπος. [6] οὔτε αὖ τὸ σκέλος ἄνευ τοῦ σώματος κωλύει ὁ σωλὴν κινηθῆναι, ἢ τῇ ἢ τῇ. [7] ἀλλὰ μὴν ἀτερπέστερόν τε ξύλον ὑποτετάσθαι, ἢν μὴ ὁμοῦ αὖ τις μαλθακόν τι ἐς αὐτὸ ἐντιθῇ. [8] χρηστότατον δέ ἐστιν ἐν τῇσι μεθυποστρώσεσιν, καὶ ἐν τῇσιν ἐς ἄφοδον προχωρήσεσιν. [9] ἔστιν οὖν σὺν σωλῆνι καὶ ἄνευ σωλῆνος, καὶ καλῶς καὶ αἰσχρῶς κατασκευάσασθαι. πιθανώτερον δὲ τοῖσι δημότῃσίν ἐστι, καὶ τὸν ἰατρὸν ἀναμαρτητότερον εἶναι, ἢν σωλὴν ὑποκέηται. [10] καίτοι ἀτεχνέστερόν γε ἐστί.

XX. Δεῖ μὲν γὰρ ἐφ' ὁμαλοῦ καὶ μαλθακοῦ κεῖσθαι πάντη πάντως ἐς ἰθύ. ἐπεί τοι γε ἀνάγκη κρατηθῆναι τὴν ἐπίδεσιν ὑπὸ τῆς διαστροφῆς τῆς ἐν τῇ διαθέσει, ὅποι ἂν ῥέπῃ, καὶ ὁκόσα ῥέποι. ὑποκρινέσθω δὲ ὁ ὑποδεδεμένος ταῦτα, ἅπερ

multo plura circa crus quam in manu. [2] Ubi vero deligaveris, super planum quoddam & molle deponere convenit, ut neque hac, neque illac distorqueatur: neque repandum, neque gibbum fiat. [3] Maxime autem confert pulvinar, aut linteum, aut laneum, non durum, laxum, per medium secundum longitudinem subjectum, aut aliud quid quod huic simile existit. [4] Nam de canalibus qui sub crura fracta subjiciuntur, quid consulam ambigo, an supponere ipsos convenit, aut non: [5] prosunt enim, non tamen quantum putant hi qui ipsos supponunt. Non enim quiescere cogunt canales, velut illi putant. Nam neque dum reliquum corpus aut hac, aut illac vertitur, cogit canalis ut crus ne sequatur, si non ipse homo ejus rei curam habeat. [6] Neque rursus absque corpore crus moveri canalis prohibet, vel in hanc, vel in illam partem. [7] Quin & crudelius est lignum subjicere, si non simul molle quiddam in ipsum indatur. [8] At utilissimum est in strato permutando, & in progressibus ad alvum exonerandam. [9] Licet igitur & cum canali, & sine canali, & bene, & male rem moliri. Verum vulgo persuasum est, etiam medicum minus delinquere, si canalis subjiciatur, [10] etiamsi minus hoc artem referat.

XX. Oportet enim super plano quopiam ac molli cubare crus ipsum, penitus in directum: alioqui necesse est deligationem superari à distortione, quæ in positu contingit, quocunque & quantuncunque tandem inclinarit. Respondeat autem deligatus eadem quæ etiam prius dicta

 sunt.

ἄπως καὶ πρότερον εἴρηται. ² καὶ γὰρ τὴν
15 ἐπίδεσιν χρὴ τοιαύτην εἶναι, καὶ τὸ οἴδημα οὕτως ἐξαείρεσθαι ἐς τὰ ἄκρεα, καὶ τὰς χαλάσιας οὕτως, καὶ τὰς μεταπιδέσιας διὰ τρίτης, καὶ εὑρίσκεσθαι ἰσχνότερον τὸ ἐπιδεόμενον, καὶ τὰς ἐπιδέσιας ἐπὶ μᾶλλον ποιέεσθαι, καὶ πλείοσι τοῖσιν ὀθονίοισι. ³ περιλαμβάνειν τε καὶ τὸν πόδα χαλαρῶς, ἢν μὴ ἄγαν ἐγγὺς ᾖ τοῦ γούνατος τὸ τρῶμα. κατατείνειν δὲ μετρίως καὶ ἐπικατορθοῦν ἐφ' ἑκάστῃ ἐπιδέσει χρὴ τὰ ὀστέα. ἢν γὰρ ὀρθῶς μὲν ἰητρεύηται, κατὰ λόγον δὲ τὸ οἴδημα
20 χωρέῃ, ἔπειτα μὲν λεπτότερον καὶ ἰσχνότερον τὸ ἐπιδεόμενον χωρίον ἔσται, ἔπειτα δὲ αὖ εὐαγωγότερα ὀστέα, ἐνακούοντα δὲ τῆς κατατάσιος μᾶλλον. ⁴ ἐπὴν δὲ ἑβδομαῖος, ἢ ἐναταῖος, ἢ ἑνδεκαταῖος γένηται, τοὺς νάρθηκας προστιθέναι, ὥσπερ καὶ ἐπὶ τοῖς ἄλλοισι κατήγμασιν εἴρηται. 4

XXI. Τῶν δὲ ναρθήκων τὰς ἐνέδρας φυλάσσεσθαι κατά τε τῶν σφυρῶν τὴν ἰθὺν, καὶ κατὰ τένοντα τὸν ἐν τῇ κνήμῃ τοῦ ποδός. ὀστέα δὲ κνήμης κρατύνεται ἐν τεσσαράκοντα ἡμέρῃσιν, 17 ἢν ὀρθῶς ἰητρεύηται. ² ἢν δὲ ὑποπτεύῃς τῶν ὀστέων τι δεῖσθαί τινος διορθώσιος, ἤ τινα ἕλκωσιν ὀρρωδέῃς,
25 ἐν τῷ μεσηγὺ χρόνῳ χρὴ λύσαντα καὶ εὐθετήσαντα μεταπιδῆσαι. ³ ἢν δὲ τὸ ἕτερον ὀστέον κατεαγῇ ἐν κνήμῃ, κατατάσιος μὲν ἀσθενεστέρης δεῖται, οὐ μὴν ἐπιλείπειν χρὴ, οὐδὲ βλακεύειν 1 ἐν τῇ κατατάσει, μάλιστα μὲν ἐν τῇ πρώτῃ ἐπιδέσει κατατείνεσθαι, ὅσον ἐφικνέεται, αἰεὶ πάντα τὰ κατήγματα· εἰ δὲ μὴ, ὡς τάχιστα. ⁴ ὅ,τι γὰρ ἂν μὴ κατὰ τρόπον εὐθετισμένων τῶν ὀστέων τις πιέζῃ, ὀδυνηρότερον τὸ χωρίον γίνεται. ⁵ ἡ δὲ ἄλλη ἰητρείη
30 ἡ αὐτή. τῶν δὲ ὀστέων τὸ μὲν ἔσω τοῦ ἀντικνημίου

sunt. ² Nam & deligationem talem esse oportet, & tumorem ita attolli ad extremas partes, & laxationes ita, & religationes per tertium diem: & quod deligatur gracilius inveniri, & deligationes magis facere, & ' pluribus 210 linteis, ³ & circumdare pedem laxe, si non vulnus valde propinquum genu fuerit. Extendere autem moderate, & dirigere ossa, in unaquaque deligatione oportet. Si enim recte curetur, & tumor secundum rationem procedat: tum locus qui deligatur tenuior ac gracilior erit, tum ossa adductu faciliora, & extensioni magis obedientia. ⁴ Postquam autem septimus aut undecimus aderit dies, ferulas apponere ' oportet, quemadmodum 215 & in aliis fracturis dictum est.

XXI. Cæterum ferularum locationes vitare oportet, & secundum malleorum rectitudinem, & supra tendinem, qui est in tibia pedis. At tibiæ ossa corroborantur in quadraginta diebus, si recte curentur. ² Si vero suspicionem habeas, os aliquod directione opus habere, aut de ulceratione aliqua timeas: intermedio tempore solvere, & probe coaptata religare ' oportet. ³ Porro 220 si alterum tibiæ os fractum fuerit, extensione quidem debiliore opus habet, non tamen deficere, neque segniter agere in extendendo convenit, & maxime quidem omnes fracturas in prima deligatione, quantum ejus fieri debet, extendere oportet. Sin minus, quam citissime. ⁴ Quodcunque enim os non recto modo coaptatum deligans quis compresserit, locus majori dolore vexabitur. ⁵ Reliqua vero curatio ' eadem est. At vero ossibus 225

πεπονημένον καλεόμενον ὀχλωδέστερον ἐν τῇ ἰητρείῃ ἐστὶ, καὶ κατατάσιος μᾶλλον δεόμενον, καὶ, ἢν μὴ ὀρθῶς τὰ ὀστέα τεθῇ, ἀδύνατον κρύψαι. [6] φανερὸν γὰρ καὶ ἄσαρκον πᾶν ἐστι, καὶ ἐπιβαίνειν ἐπὶ τὸ σκέλος πολλῷ βραδύτερον δύνανται αὖ, τούτου κατεηγότος.

XXII. [1] Ἢν δὲ τὸ ἔξω ὀστέον κατεαγῇ, πολὺ μὲν εὐφορώτερον φέρουσι, πολὺ δὲ εὐκρυπτότερον, καὶ ἢν μὴ καλῶς ξυντεθῇ. ἐπίσαρκόν τε γάρ ἐστιν, ἐπὶ πόδας τε ταχέως ἵστανται. 35 τὸ πλεῖστον γὰρ τοῦ ἄχθεος ὀχέει τὸ ἔσωθεν τοῦ ἀντικνημίου ὀστέον. [3] ἅμα μὲν γὰρ αὐτῷ τῷ σκέλεϊ καὶ τῇ ἰθυωρίῃ τοῦ ἄχθεος, τοῦ κατὰ τὸ σκέλος, τὸ πλέον ἔχει τοῦ πόνου τὸ ἔσω ὀστέον. τοῦ [4] γὰρ μηροῦ ἡ κεφαλὴ ὑποχέει τὸ ὕπερθεν τοῦ σώματος, αὕτη δὲ ἔσωθεν πέφυκε τοῦ σκέλεος, καὶ οὐκ ἔξωθεν, ἀλλὰ κατὰ τὴν τοῦ ἀντικνημίου ἴξιν. [5] ἅμα δὲ τὸ ἄλλο ἥμισυ τοῦ σώματος γίνεται ταύτῃ μᾶλλον τῇ ἴξει, ἀλλ' οὐχὶ τῇ ἔξωθεν. [6] ἅμα δὲ 2 ὅτι παχύτερον τὸ ἔσω τοῦ ἔξωθεν, 40 ὥσπερ καὶ τὸ ἐν τῷ πήχει τὸ κατὰ τὴν τοῦ μικροῦ δακτύλου ἴξιν λεπτότερον καὶ μακρότερον. [7] ἐν μέντοι τῷ ἄρθρῳ τῷ κάτω οὐχ ὁμοίη ἡ ὑπόθεσις 3 τοῦ ὀστέου τοῦ μακροτέρου. ἀνομοίως γὰρ ὁ ἀγκὼν τε καὶ ἡ ἰγνύη κάμπτεται. [8] διὰ οὖν ταύτας τὰς προφάσιας τοῦ μὲν ἔξωθεν ὀστέου κατεαγέντος, ταχεῖαι αἱ ἐπιβάσιες· τοῦ δὲ ἔσωθεν κατεαγέντος, βραδεῖαι αἱ ἐπιβάσιες.

XXIII. [1] Ἢν δὲ τὸ τοῦ μηροῦ ὀστέον κατεαγῇ, τὴν κατάτασιν χρὴ ποιέεσθαι περὶ παντὸς, ὅκως μὴ ἐνδεε- 18 45 στέρως σχήσει. [2] πλεονασθεῖσα μὲν γὰρ οὐδὲν ἂν σίνοιτο. οὐδὲ γὰρ, εἰ διεστεῶτα τὰ ὀστέα ὑπὸ τῆς ἰσχύος τῆς κατατάσιος ἐπιδέοι τις, οὐκ ἂν δύναιτο

bus his internum, tibia & primæ tibia appellatum, molestiam majorem in curando exhibet, & extensione magis opus habet: & si non recte coaptata ossa fuerint, occultari non possunt. [6] Est enim totum conspicuum & carnis exors, & hoc fracto, longe tardius progredi eo crure poterint.

XXII. Si vero externum os fractum fuerit, & multo facilius ferunt, & multo melius occultare possunt, etiam si non bene fuerit coaptatum. Est enim car- 230 nosum, & cito in pedes consistunt. [2] Plurimum enim oneris internum tibiæ os vehit. [3] Nam simul & una cum ipso crure, & oneris secundum crus rectitudine, majorem laboris partem internum os suffert. [4] Femoris enim caput supernam corporis partem sustinet. Hoc autem intra crus est, & non extra, sed secundum tibiæ rectitudinem: & [5] simul reliqua dimidia corporis pars huic rectitudini magis ap- 235 propinquat, & non externe: [6] & simul crassius est internum quam externum, quemadmodum etiam id quod in cubito est, secundum parvi digiti rectitudinem, tenuius est & longius. [7] In articulo tamen inferno non similis est ossis longioris constitutio. Inæqualiter enim cubiti gibbus sive flexura, & poples flectuntur. [8] Propter has igitur causas, externo quidem osse fracto, celeres progressus fiunt, interno vero fracto, tardi. 240

XXIII. At vero si femoris os fractum fuerit, extensionem præ omnibus facere oportet, ita ut ne defectuosius fiat. [2] Amplior enim facta nihil læserit. Neque enim si quis distantia ex vehementia extensionis ossa deligaverit,

τὸ κρατέειν ἡ ἐπίδεσις, ὥστε διεστάναι, ἀλλὰ συνίασι αὖ πρὸς ἄλληλα τὰ ὀστέα ὅτι τάχιστα ἂν ἀφιῶσιν οἱ τείνοντες. [3] παχεῖαι γὰρ καὶ ἰσχυραὶ αἱ σάρκες ἐοῦσαι, κρατήσουσι τοῦ ἐπιδέσιος, ἀλλ' οὐ κρατηθήσονται. [4] περὶ οὗ οὖν ὁ λόγος, διατετάσθαι δεῖ καὶ ἀδιαστρέπτως χρή, μηδὲν ἐπιλείποντα. [5] μεγάλη γὰρ ἡ αἰσχύνη καὶ βλάβη βραχύτερον τὸν μηρὸν ἀποδεῖξαι. [6] χεὶρ μὲν γὰρ βραχυτέρη γενομένη καὶ ξυγκρυφθείη ἄν, καὶ οὐ μέγα τὸ σφάλμα· σκέλος δὲ βραχύτερον γενόμενον, χωλὸν ἀποδείξει τὸν ἄνθρωπον. [7] τὸ γὰρ ὑγιὲς ἐλέγχει μακρότερον ἐόν. ὥστε λυσιτελέει τὸν μέλλοντα κακῶς ἰητρεύεσθαι, ἀμφότερα κατεαγῆναι τὰ σκέλεα μᾶλλον ἢ τὸ ἕτερον. [8] ἰσόρροπος γοῦν ἂν εἴη αὐτὸς ἑωυτῷ. ἐπὴν μέντοι ἱκανῶς κατατανύσῃς, κατορθωσάμενον χρὴ τοῖσι θέναρσι τῶν χειρῶν ἐπιδεῖν τὸν αὐτὸν τρόπον, ὥσπερ καὶ πρόσθεν γέγραπται. καὶ τὰς ἀρχὰς βαλλόμενον, ὥσπερ εἴρηται. [9] καὶ νενεμημένον ἐς τὸ ἄνω τῇ ἐπιδέσει. καὶ ὑποκρινέσθω ταῦτα, ὥσπερ καὶ πρόσθεν. καὶ πονείτω κατ' αὐτά, καὶ ῥηιζέτω, καὶ μετεπιδείσθω ὡσαύτως. [10] καὶ ναρθήκων πρόσθεσις ἡ αὐτή. κρατύνεται δὲ ὁ μηρὸς ἐν πεντήκοντα ἡμέρῃσι.

XXIV. Προσξυνιέναι δὲ χρὴ καὶ τόδε, ὅτι μηρὸς γαυσός ἐστιν ἐς τὸ ἔξω μέρος, ἢ ἐς τὸ ἔσω, καὶ ἐς τὸ ἔμπροσθεν μᾶλλον, ἢ ἐς τοὔπισθεν. [2] ἐς ταῦτα τοίνυν τὰ μέρεα καὶ διαστρέφεται, ἐπὴν μὴ καλῶς ἰητρεύηται· καὶ δὴ καὶ κατὰ ταῦτα ἀσαρκότερος αὐτὸς ἑωυτοῦ ἐστιν. [3] ὥστε οὐδὲ ξυγκρύπτειν δύναται ἐν τῇ διαστροφῇ. ἢν

verit, fieri poterit ut deligatio ipsa teneat, ut ita distent: sed coeunt inter se ossa quam citissime, ubi intendentes ipsa remiserunt. [3] Crassissimæ enim ac fortissimæ quum sint hac parte carnes, deligationem superabunt, non ab ipsa superabuntur. [4] In eo igitur de quo agitur, intensio valida fieri debet, sic nullam ut in partem vertatur, nihilq; deficiat. [5] Magnum enim dedecus est ac detrimentum, femur brevius efficere. [6] Nam si quidem manus brevior fiat, & occultari poterit, & non magnus est error. At crus si brevius fiat, claudum hominem efficiet. [7] Sanum enim crus longius est, & id redarguit. Quare utilius fuerit, ut si quis male curandus sit, ambo potius crura fracta habeat, quam alterum tantum: [8] æquilibris enim ipse sibiipsi fuerit hoc modo. Postquam vero sufficienter extenderis, directione ac coaptatione per manuũ volas facta, eodem modo deligare oportet, velut etiam prius scriptum est, injectis etiam fasciarum initiis velut dictum est, [9] & deligationis distributione sursum versus factæ, & deligatus eadem respondeat, velut etiam prius: & doleat eodem modo, & melius habeat, & similiter rursus deligetur, [10] & ferularum appositio eadem sit. Corroboratur autem femur in quinquaginta diebus.

XXIV. Insuper vero & hoc considerare oportet, quod femur gibbosum magis est ad externam partem, quam ad internam, & magis ad anteriorem, quam posteriorem. [2] In has itaque partes etiam distorquetur, si non probe curetur: & sane iisdem partibus etiam ipse seipso magis excarnis est, [3] ut neque occultari possit in distor-

ἤν τι τοιοῦτον ὑποπτεύῃς, μηχανοποιέεσθαι χρὴ, οἷά περ ἐν τῷ βραχίονι τῷ διαστρεφομένῳ παραινέεται. 4 προσπεριβάλλειν δὲ χρὴ ὀλίγα τῶν ὀθονίων κύκλῳ ἀμφὶ τὸ ἰσχίον, 5 καὶ τὰς ἰξύας, ὅκως αὖ οἱ βουβῶνες 6 τε καὶ τὸ ἄρθρον τὸ κατὰ τὴν πληχάδα καλεομένην προσεπιδέηται. καὶ γὰρ ἄλλως ξυμφέρει, καὶ ὅκως μὴ τὰ ἄκρεα τῶν ναρθήκων σίνηται πρὸς τὰ ἀνεπίδετα προσβαλλόμενα. 5 ἀπολείπειν δὲ χρὴ ἀπὸ τοῦ γυμνοῦ αἰεὶ τοὺς νάρθηκας, καὶ ἔνθεν καὶ ἔνθεν ἱκανῶς. καὶ τὴν θέσιν αἰεὶ τῶν ναρθήκων προμηθέεσθαι χρὴ, ὅκως μήτε κατὰ τὸ ὀστέον τὸ ἐξέχον 7 περὶ τὰ ἄρθρα φύσει πεφυκότων, μήτε κατὰ τὸ ἄρθρον νεῦρον ἔσται.

XXV. Τὰ δὲ οἰδήματα κατ' ἰγνύην, ἢ κατὰ πόδα, ἢ κατ' ἄλλο ἐξαιρόμενα ὑπὸ τῆς πιέξιος, 20 εἰρίοισι πολλοῖσι, ῥυπαροῖσιν, εὖ κατεξασμένοισι, οἴνῳ καὶ ἐλαίῳ ῥαίνοντα, κηρωτῇ ὑποχρίοντα καταδεῖν. 2 καὶ ἢν πιέζωσιν οἱ νάρθηκες, χαλᾶν θᾶσσον. ἰσχναίνεις δ' αὖ, ἢν ἐπάνω ἐς τοὺς νάρθηκας ὀθονίοισιν ἰσχνοῖσιν ἐπιδέοις τὰ οἰδήματα, ἀρξάμενος ἀπὸ τοῦ κάτωθεν ἐπὶ τὸ ἄνω νεμόμενος. 3 οὕτω γὰρ ἂν τάχιστα ἰσχνὸν τὸ οἴδημα γένοιτο, 8 καὶ ὑπερβαίη ὑπὲρ τὰ ἀρχαῖα ἐπιδέσματα. 4 ἀλλ' οὐ χρὴ τούτῳ τῷ τρόπῳ χρέεσθαι τοῦ ἐπιδέσιος, ἢν μὴ κίνδυνος ᾖ ἐν τῷ οἰδήματι 25 φλυκταινώσιος ἢ μελασμοῦ. 5 γίνεται δὲ οὐδὲν τοιοῦτον, ἢν μὴ ἄγαν τις πιέζῃ τὸ κάτηγμα, 9 ἢ κρεμάμενον ἔχῃ, 10 ἢ κνῆται τῇ χειρὶ, ἢ ἄλλο τι προσπίπτῃ ἐρεθιστικὸν πρὸς τὸν χρῶτα. 6 σωλῆνα δὲ, 19 εἰ μέν τις ὑπ' αὐτὸν τὸν μηρὸν ὑποθείη, μὴ ὑπερβάλλοντα τὴν ἰγνύην, βλάπτοι

distortione. Si igitur hujusmodi quippiam suspectum habueris, machinari ea oportet, quæ in 260 brachio distorto consuluimus. 4 Pauca insuper lintea circa coxam, & locum inter coxas & lumbos, circumdare oportet, quo & inguina, & articulus circa intermediam crurum ac inguinum partem (plechada appellatam,) insuper deligetur. Nam & alias confert, & ut ne extremæ ferularum partes lædant, si ad non deligata adhibeantur. 5 Deficere autem oportet semper ferulas, à nuda parte, & hinc atq; illinc multum: 265 & positionem ferularum semper ita providere convenit, ut neque super os aliquod circa articulos natura prominens, neque super nervum circa articulum fiat.

XXV. Tumores vero juxta poplitem, aut circa pedem, aut juxta aliam quampiam partem, ex compressione elevatos, multis lanis succidis probe carminatis, vino ac oleo respersis, cerato sublito, deligare oportet, 2 & ubi presserint ferulæ, citius laxare. 270 Graciles autem fieri poterint, si supra ferulas gracilibus linteis tumores deligaris, ab infima parte initio facto, ad supernam procedendo. 3 Sic enim quam citissime tumor gracilis fieri poterit, & transcenderit supra priores deligationes. 4 Verum hoc deligationis modo uti non oportet, si non periculum fuerit in tumore, pustularum, aut denigrationis. 5 Tale vero nihil fit, si non quis valde premat fracturam, aut suspensam habeat, aut 275 manu scalpat, aut aliud quid quod irritet corpori allabatur. 6 At vero canalem si quis sub ipsum femur supponat, qui poplitem non excedat, læserit magis quam

βλάπτοι ἂν μᾶλλον ἢ ὠφελέοι. οὔτε γὰρ ἂν τὸ σῶμα κωλύοι, οὔτε τὴν κνήμην ἄνευ τοῦ μηροῦ κινεῖσθαι. [7] ἀσηρὸν γὰρ εἴη πρὸς τὴν ἰγνύην προσβαλλόμενον, καὶ, ὃ ἥκιστα δεῖ, τοῦτ' ἂν ἐποτρύνοι ποιέειν.

XXVI. Ἥκιστα γὰρ δεῖ κατὰ τὸ γόνυ κάμπτειν. [2] πᾶσαν γὰρ ἂν ταραχὴν παρέχοι τῇσιν ἐπιδέσεσιν, καὶ μηροῦ ἐπιδεδεμένου καὶ κνήμης, ὅστις κατὰ τὸ γόνυ κάμπτοι, ἀνάγκη γὰρ ἂν εἴη τούτῳ τοὺς μύας ἄλλοτε καὶ ἄλλοτε σχῆμα ἴσχειν. [3] ἀνάγκη δ' ἂν εἴη καὶ τὰ ὀστέα τὰ κατεηγότα κίνησιν ἔχειν. περὶ παντὸς οὖν ποιητέον τὴν ἰγνύην ἐκτετάσθαι. δοκεῖ ἂν οὖν ὁμοίως ὁ σωλὴν ὁ περιέχων πρὸς τὸν πόδα ἀπὸ τοῦ ἰσχίου ὠφελέειν ὑποτιθέμενος. [4] καὶ ἄλλως κατ' ἰγνύην ταινίην χαλαρῶς περιβάλλειν ξὺν τῷ σωλῆνι, ὥσπερ τὰ παιδία ἐν τῇσι κοίτῃσι σπαργανοῦται. εἶτα, ἐπὴν ὁ μηρὸς ἐς τὸ ἄνω διαστρέφοιτο, ἢ ἐς τὸ πλάγιον, ἀνακαταχετώτερον εἴη ἂν ξὺν τῷ σωλῆνι, οὕτως. ἢν οὖν διαμπερὲς εἴη ποιητέος ὁ σωλὴν, ἢ οὐ ποιητέος. [5] πτέρνης δὲ ἄκρης κάρτα χρὴ ἐπιμελέεσθαι ὡς εὐθέτως ἔχοι, καὶ ἐν τοῖσι κατὰ κνήμην, καὶ ἐν τοῖσι κατὰ μηρὸν κατήγμασιν. [6] ἢν μὲν γὰρ ἀπαιωρῆται ὁ ποὺς τῆς ἄλλης κνήμης ἠρεμιζομένης, ἀνάγκη κατὰ τὸ ἀντικνήμιον τὰ ὀστέα κυρτὰ φαίνεσθαι. [7] ἢν δὲ ἡ μὲν πτέρνη ὑψηλοτέρη ἢ τοῦ μετρίου ἠρεμισμένη, ἡ δὲ ἄλλη κνήμη ὑπομετέωρος ᾖ, ἀνάγκη τὸ ὀστέον τοῦτο κατὰ τὸ ἀντικνήμιον τοῦτο κοιλότερον φαίνεσθαι τοῦ μετρίου. προσέτι καὶ, ἢν ἡ πτέρνη τυγχάνῃ ἐοῦσα τοῦ ἀνθρώπου φύσει μεγάλη. ἀτὰρ καὶ κρατύνεται πάντα τὰ ὀστέα βραδύτερον, ἢν μὴ κατὰ φύσιν κείμενα ᾖ, καὶ τὰ μὴ ἀτρεμέοντα ἐν τῷ αὐτέῳ σχήματι, καὶ

αἱ

quam profuerit. Neque enim prohibuerit quo minus & corpus, & tibia, sine femore moveatur. [7] Noxius enim erit ad poplitem pertingens, & quod minime oportet, id facere impulerit.

XXVI. Minime vero oportet genu flectere. [2] Omnem enim turbationem deligationibus inducit, & femore, & tibia deligata, quisquis genu flexerit. Necesse enim erit propter hoc, musculos alias atque alias aliam figuram habere. [3] Necesse est item ossa fracta moveri. Præ omnibus itaque faciendum, ut poples sit extentus. Videtur igitur canalis similiter prodesse, qui à coxa ad pedem usque subjectus contineat: [4] & alias circa poplitem, fasciam cum canali laxe circumdare oportet, quemadmodum infantes in cunis, fasciis obvolvuntur: deinde si femur ad supernam partem distorqueatur, aut ad latus, melius ita contineri poterit una cum canali. [5] Cæterum calcanei summi valde magnam curam habere convenit, ut & in tibiæ, & in femoris fracturis, apte se habeat. [6] Si enim dependeat pes, reliqua tibia firmata, necesse est juxta anteriorem tibiæ partem, ossa incurva esse. [7] Si vero calcaneum quidem moderato altius fuerit firmatum, reliqua vero tibia aliquantulum elevata, necesse est huic ossi, ut circa anteriorem tibiæ partem, moderato cavius appareat: atque hoc adhuc magis, si calcaneum hominis natura fuerit magnum. Sed & omnia ossa tardius corroborantur, si non secundum naturam posita fuerint, itemque ea quæ non in eadem figura quiescunt: & calli

quoque

αἱ πωρώσιες ἀσθενέστεραι. [1] Ταῦτα μὲν δὴ, ὅσοισι τὰ μὲν ὀστέα κατέηγε, ἐξέχει δὲ μὴ, μηδὲ ἄλλως ἕλκος ἐγένετο.

XXVII. Οἷσι δὲ τὰ ὀστέα κατέηγεν ἁπλῷ τρόπῳ, καὶ μὴ πολυσχιδεῖ, αὐθήμερον ἐμβληθέντα, ἢ τῇ ὑστεραίῃ κατὰ χώρην ἱζόμενα, [2] καὶ μὴ ἐπίδοξος ἡ ἀπόστασις παραγίδων ὀστέων ἀπιέναι, ἢ καὶ οἷσιν ἕλκος μὲν ἐγένετο, τὰ δὲ ὀστέα κατεηγότα οὐκ ἐξέχει, οὐδ' ὁ τρόπος τῆς κατήξιος τοιοῦτος, οἷος παραγίδας ὀστέων δύσιας ἐπιδόξους εἶναι, ἀναπλάσαι τοὺς τοιούτους. [3] Οἱ μὲν μήτε μέγα ἀγαθὸν, μήτε μέγα κακὸν ποιέοντες, ἰητρεύουσι τὰ μὲν ἕλκεα καθαρτικῷ τινι, ἢ πισσηρὴν ἐπιθέντες, ἢ ἔναιμον, ἢ ἄλλο τι, ὧν εἰώθασι ποιέειν. [4] Ἐπαινέω δὲ τοὺς οἰνηροὺς σπλῆνας ἢ εἴρια ῥυπαρὰ ὁκόσοι ἐπιδέουσιν, ἢ ἄλλο τι τοιοῦτον. Ἐπὴν δὲ τὰ ἕλκεα καθαρὰ γένηται, [5] καὶ ἤδη ξυμφύηται, τότε τοῖς ὀθονίοισι συχνοῖσι πειρῶνται ἐπιδεῖν καὶ νάρθηξι κατορθοῦν. [6] Αὕτη μὲν ἡ ἴησις ἀγαθόν τε ποιέει, κακὸν δὲ οὐ μέγα. Τὰ μέντοι ὀστέα οὐχ ὁμοίως δύναται ἱδρύεσθαι ἐς τὴν ἑωυτῶν χώρην, ἀλλά τι ὀγκηρότερα τὰ σώματα τοῦ καιροῦ ταύτῃ γίνεται. [7] Γίνονται δ' αὖ καὶ βραχύτερα, ὧν ἀμφότερα τὰ ὀστέα κατέηγεν ἢ πήχεος ἢ κνήμης.

XXVIII. Ἄλλοι δ' αὖ τινές εἰσιν, οἳ ὀθονίοισι τὰ τοιαῦτα ἰητρεύουσιν αὐτίκα, καὶ ἔνθεν καὶ ἔνθεν ἐπιδέουσι τοῖς ὀθονίοισι. [2] Κατὰ δὲ τὸ ἕλκος αὐτὸ διαλείπουσι, καὶ ἐῶσιν ἀναψύχεσθαι. Ἔπειτα ἐπιτιθέασιν ἐπὶ τὸ ἕλ-

κος

quoque debiliores ipsis obducuntur. [1] Atque hæc quidem de his quibus ossa quidem fracta sunt, non autem extra eminent, neque alias ulcus factum est.

XXVII. Quibus vero ossa fracta sunt simplici modo, & non multifido, ita ut eadem die reposita sint, aut postridie in sedem suam recepta, [2] & nullus timor sit fissorum ossium discessionis: aut etiam quibus ulcus quidem factum est, ossa vero fracta non extra eminent, neque modus fracturæ talis est, ut sint segmenta à fissis ossibus separata: tales spes est simplici modo curari posse. [3] Et quidem sane neque magni quippiam boni, neque mali facientes, ulcera quidem curant aliquo purgatorio, aut picatum ceratum, (ut emplastrum cruentis vulneribus idoneum) aut aliud quid ex his quæ facere solent, imponentes. [4] Ego vero eos laudo qui splenia vino imbuta, aut lanas succidas, aut aliud quid hujusmodi deligant. Ubi vero ulcera pura facta fuerint, [5] & jam coalescunt, tunc multis linteis deligare, & ferulis dirigere conantur. [6] Hæc quidem curatio boni aliquid facit, nihil autem magni mali. Ossa tamen non similiter in suam sedem firmari possunt. Verum corpora aliquanto tumidiora ea parte fiunt, quam sit opportunum: [7] fiunt autem & breviora his quibus utraque ossa, aut cubiti, aut tibiæ fracta sunt.

XXVIII. Alii vero rursus sunt, qui talia statim linteis curant, & hinc atque illinc linteis deligant, ulcus vero ipsum relinquunt, & perfrigerari sinunt: [2] deinde super ulcus purgatorium aliquod imponunt, & spleniis vino imbutis,

κῳ τῷ καθαρτικῷ ἤ, καὶ εἰρίοισιν οἰνηροῖσιν, ἢ ἐρίοισι ῥυπαροῖσι θεραπεύουσιν. αὕτη ἡ ἴησις κακή. [3] καὶ εἰκὸς τοὺς οὕτως ἰητρεύοντας τὰ μέγιστα ἀσυνετέειν, καὶ ἐν τοῖσιν ἄλλοισι κατήγμασι, καὶ ἐν τοῖσι τοιούτοισι. [4] μέγιστον γάρ ἐστι τὸ γινώσκειν, καθ' ὁποῖον τρόπον χρὴ τὴν ἀρχὴν βάλλεσθαι τοῦ ὀθονίου, καὶ καθ' ὁποῖον μάλιστα πεπιέχθαι, καὶ οἷά τε ὠφελέονται, ἢν ὀρθῶς τις βάλληται τὴν ἀρχὴν καὶ πιέζῃ, ᾗ μάλιστα χρή· καὶ οἷα βλάπτονται, ἢν καὶ ὀρθῶς τις βάλληται, μὴ δὲ πιέζῃ ᾗ μάλιστα χρή, ἀλλὰ ἔνθεν καὶ ἔνθεν. εἴρηται μὲν οὖν καὶ ἐν τοῖσι πρόσθεν γεγραμμένοισιν, ὁποῖα ἐφ' ἑκατέρων ἀποβαίνει. μαρτυρεῖ δὲ καὶ αὐτὴ ἡ ἰητρική. ἀνάγκη γὰρ τῷ οὕτως ἐπιδεομένῳ τὸ οἴδημα ἐξαείρεσθαι ἐς αὐτὸ τὸ ἕλκος. [5] καὶ γὰρ, εἰ ὑγιὴς χρὼς ἔνθεν καὶ ἔνθεν ἐπιδεθείη, ἐν μέσῳ δὲ διαλειφθείη, μάλιστα κατὰ τὴν διάληψιν οἰδήσειεν ἄν, καὶ ἀχροιήσειε. πῶς οὖν οὐχὶ ἕλκος γε ταῦτα ἂν πάθοι; [6] ἀναγκαίως οὖν ἔχει ἄχροον μὲν καὶ ἐκπεπτισμένον τὸ ἕλκος εἶναι, δακρυῶδες δὲ καὶ ἀνεκπύητον εἶναι. [7] ὀστέα δὲ, καὶ μὴ μέλλοντα ἀποστῆναι, ἀποστατικὰ γίνεσθαι. [8] σφυγματῶδές τι καὶ πυρετῶδες τὸ ἕλκος ἂν εἴη. ἀναγκάζονται δὲ διὰ τὸ οἴδημα ἐπικαταπλάσσειν. ἀσύμφορον δὲ καὶ τοῦτο τοῖσιν ἔνθεν καὶ ἔνθεν ἐπιδεομένοισιν. ἄχθος γὰρ ἀνωφελὲς πρὸς τῷ ἄλλῳ σφυγμῷ ἐπιγίνεται. [9] τελευτῶντες δὲ ἀπολύουσι τὰ ἐπιδέσματα, ὁπότ' ἄν σφιν παλιγκοτίῃ, καὶ ἰητρεύουσι τὸ λοιπὸν ἄνευ ἐπιδέσιος. οὐδὲν δ' ἧσσον καὶ, ἤν τι ἄλλο τρῶμα τοιοῦτο λάβωσι, τῷ αὐτῷ τρόπῳ ἰητρεύουσιν.

10 οὐ

butis, & lanis fuccidis curant. Hæc curatio mala eft, [3] & verifimile eft eos qui ita curant, tum in aliis fracturis, tum in hujufmodi maxime imprudenter fe gerere. [4] Maximum enim eft cognofcere quomodo initium lintei injicere oportet, & qua parte maxime comprimere: & quæ utilitas contingat, fi quis initium lintei recte injiciat, & qua maxime oportet parte premat: & quæ detrimenta inducantur, fi quis non recte injiciat, neque qua maxime oportet premat, fed hinc atque illinc id faciat: & dictum quidem eft etiam in fuperioribus, quæ in utrifque eveniant. Teftatur autem & ipfa hæc medicina. Neceffe eft enim ei qui ita deligatur, tumorem in ipfum ulcus elevari. [5] Etenim fi fanum corpus hinc atque illinc fuerit deligatum, in medio vero relictum, juxta relictum utique fpatium maxime intumuerit ac decoloratum reddetur, quo modo ulcus hæc non perpetietur? [6] neceffe igitur eft, ut ulcus quidem decoloratum fit, & labiis everfum ac protuberans, verum lachrymofum & non fuppurans; [7] offa vero etiam quæ difceffura non erant, difcedant: [8] fed & pulfans, & febriens ulcus fuerit. Coguntur autem propter tumorem cataplafmata infuper imponere, quod & ipfum incommodum eft his qui hinc atque illinc deligantur. (Pondus enim inutile ad reliquum pulfum accedit.) [9] Poftremum vero deligamenta refolvunt, ubi jam malum ipfis recrudefcit, & de cætero citra deligationem curant. Neque vero minus, etiam fi aliud quoddam ejufmodi vulnus acceperint, eodem modo curant.

10 Non

[10] οὐ γὰρ οἴονται τὴν ἐπίδεσιν, τὴν ἔνθεν καὶ ἔνθεν, καὶ τὴν ἀνάψυξιν τοῦ ἕλκεος αἰτίην, ἀλλ' ἄλλην τινὰ ἀτυχίην. οὐ μὲν τοι γε ἂν ἔγραφον περὶ τούτου τοσαῦτα, εἰ μὴ εὖ μὲν ᾔδειν ἀσύμφορον ἐοῦσαν τὴν ἐπίδεσιν, συχνοὺς δὲ οὕτως ἰητρεύοντας, ἐπίκαιρον δὲ τὸ ἀπομάθημα. [11] μαρτύριον δὲ τοῦ ὀρθῶς γεγράφθαι τὰ πρόσθεν γεγραμμένα, εἴτε μάλιστα πιεστέα τὰ κατήγματα, εἴτε ἥκιστα.

XXIX. Χρὴ δὲ, ὡς ἐν κεφαλαίῳ εἰρῆσθαι, οἷσιν ἂν μὴ ἐπίδοξος ἢ ἡ τῶν ὀστέων ἀπόστασις ἔσεσθαι, τὴν αὐτὴν ἰητρείην ἰητρεύειν, ὥσπερ αὖ, οἷσιν ὀστέα μὲν κατεηγότα εἴη, ἕλκος δὲ μὴ ἔχοιεν. τάς τε γὰρ κατατάσιας καὶ κατορθώσιας τῶν ὀστέων τὸν αὐτὸν τρόπον ποιέεσθαι, τήν τε ἐπίδεσιν παραπλησίην. [2] ἐπὶ μὲν γὰρ αὐτὸ τὸ ἕλκος πισσηρὴν κηρωτὴν χρίσαντα, σπλήνιον λεπτὸν διπλόον ἐπιδεδέσθαι, τὰ δὲ πέριξ κηρωτῇ λευκῇ χρίειν. τὰ δὲ ὀθόνια καὶ τὰ ἄλλα πλατύτερα ἐνεσχισμένα ἔστω, ἢ εἰ μὴ ἕλκος εἶχεν. [3] καὶ, ᾧ ἂν πρώτῳ ἐπιδέηται, συχνῷ ἔστω τοῦ ἕλκεος πλατύτερον. τὰ γὰρ στενώτερα τοῦ ἕλκεος ζώσαντα ἔχει τὸ ἕλκος. τὸ δὲ οὐ χρή. ἀλλ' ἡ πρώτη περιβολὴ ὅλον κατεχέτω τὸ ἕλκος. καὶ ὑπερεχέτω τὸ ὀθόνιον ἔνθεν τε καὶ ἔνθεν. [4] βάλλεσθαι μὲν οὖν χρὴ τὸ ὀθόνιον κατ' αὐτὴν τὴν ἴξιν τοῦ ἕλκεος· πιέζειν δὲ ὀλίγῳ ἧσσον ἢ εἰ μὴ ἕλκος εἶχεν. [5] ἐπινέμεσθαι δὲ τῇ ἐπιδέσει, ὥσπερ καὶ πρόσθεν εἴρηται. τὰ δὲ ὀθόνια αἰεὶ μὲν τοῦ τρόπου τοῦ μαλθακοῦ ἔστωσαν. [6] μᾶλλον δὲ ἢ δεῖ ἐν τοῖσι τοιού-

[10] Non enim deligationem hinc atque illinc factam, & ulceris perfrigerationem, in causa esse putant, sed aliud quoddam infortunium. Attamen de hoc tam multa non scripsissem, si non certo scirem incommodam esse hanc deligationem, & multos esse qui ita curent, & magni momenti esse hanc rem dediscere, [11] & testimonio hæc esse, quod recte scripta sint ea quæ prius scripta sunt, sive maxime premendæ sint, sive minime ipsæ fracturæ.

XXIX. Oportet autem (ut in summa dicam) his quibus non est futuri discessus ossis expectatio, eandem curationem adhibere, velut his quibus os fractum fuerit, ulcus autem non habent. Nam & extentiones, & directiones ac coaptationes ossium eodem modo facere oportet, & consimilem deligationem. [2] Super ipsum enim ulcus splenium tenue duplex, picato cerato illitum deligandum est, & circumsitæ partes cerato albo illinendæ. Verum lintea, & reliqua latiora, aliquantum fissa sint magis, quam si non ulcus haberent: [3] & id quo primum deligamus, multo latius sit ipso ulcere. Quæ enim angustiora sunt quam ulcus, cinctum ulcus tenent, id quod fieri non convenit: sed prima circumductio totum ulcus comprehendat, & linteum hinc atque illinc præmineat. [4] Itaque secundum ulceris rectitudinem, linteum injicere oportet, & premere paulo minus, quam si ulcus non haberent. [5] Distribuenda vero est deligatio, velut etiam prius dictum est. Lintea autem semper quidem mollis modi sint, [6] magis tamen

τοῖσιν, ἢ εἰ μὴ ἕλκος εἶχεν. πλῆθος δὲ τῶν ὀθονίων μὴ ἔλασσον ἔστω τῶν πρόσθεν εἰρημένων. 7 ἀλλὰ ἔτι καὶ πλείω. ἢν δὲ ἐπιδεθῇ, δοκείτω τῷ ἐπιδεδεμένῳ ''ἡρμόσθαι μὲν, πεπιέχθαι δὲ μή. 8 φάτω δὲ κατὰ τὸ ἕλκος μάλιστα ἡρμόσθαι. τοὺς δὲ χρόνους τοὺς αὐτοὺς μὲν χρὴ εἶναι ἐπὶ τὸ μᾶλλον δοκέειν ἡρμόσθαι. 9 τοὺς αὐτοὺς δὲ ἐπὶ τὸ μᾶλλον δοκέειν χαλᾶν, ὥσπερ καὶ ἐν τοῖσι πρόσθεν εἴρηται. 10 μεταπιδεῖν δὲ διὰ τρίτης πάντα μεταποιέοντα ἐς τοὺς τρόπους τοὺς παραπλησίους, 'ὥσπερ πρόσθεν εἴρηται), πλὴν ἐς τὸ σύμπαν ἧσσόν τινι πιέζειν ταῦτα ἢ ἐκεῖνα. καὶ ἢν κατὰ λόγον τὰ εἰκότα γίνηται, ἰσχνότερον μὲν αἰεὶ εὑρεθήσεται τὸ κατὰ τὸ ἕλκος. 11 ἰσχνὸν δὲ καὶ τὸ ἄλλο πᾶν τὸ ὑπὸ τῆς ἐπιδέσιος κατειλημμένον. καὶ αἵ τε ἐκπυήσιες ἔσονται θάσσους ἢ τῶν ἄλλων ἰητρευομένων ἑλκέων. 12 ὅσα τε σαρκία ἐν τῷ τρώματι ἐμελάνθη καὶ ἐθανατώθη, ''θᾶσσον περιρρήγνυται) καὶ ἐκπίπτει ἐπὶ ταύτῃ τῇ ἰητρείῃ, ἢ ἐν τῇσιν ἄλλῃσιν. 13 ἐς ὠτειλάς τε θᾶσσον ὁρμᾶται τὸ ἕλκος οὕτως ἢ ἄλλως ἰητρευόμενον. πάντων δὲ τούτων αἴτιον, ὅτι ἰσχνὸν μὲν τὸ κατὰ τὸ ἕλκος χωρίον γίνεται, ἰσχνὰ δὲ τὰ περιέχοντα. τὰ μὲν οὖν ἄλλα πάντα παραπλησίως χρὴ ἰητρεύειν, ὥσπερ ἄνευ ἑλκώσιος ὀστέα κατηγνύμενα. 14 τοὺς δὲ νάρθηκας οὐ χρὴ προστιθέναι. διὰ τοῦτο καὶ τὰ ὀθόνια χρὴ τούτοισι πλείω εἶναι ἢ τοῖσιν ἑτέροισιν, ''ὅτι ἧσσον πιέζει), 'ὅτι τε οἱ νάρθηκες βραδύτερον προστίθενται. 15 ''ἢν μέν τοι τοὺς νάρθηκας προστιθῇς, μὴ κατὰ τὴν ἴξιν τοῦ ἕλκεος προστιθέναι, ἀλλ' ὥστε

in talibus, quam si ulcus non esset. Copia vero linteorum non minor sit prius relatis, 7 sed etiam aliquanto amplior. Si vero deligatus fuerit, videatur is sibi lintea ''firmata quidem esse, non is autem compressa: 8 dicatque super ulcus maxime firmata esse. Eadem autem tempora esse oportet, ad hoc ut magis firmata esse videantur, 9 & ad hoc ut magis laxa videantur, quemadmodum etiam in superioribus dictum est. 10 Deligatio etiam postea facienda per tertium diem, ita ut omnia postea faciamus consimili modo, velut prius dictum est, præterquam quod in totum, minus aliquanto hæc quam illa ' comprimenda sunt. Quod si secundum rationem, quæ fieri par est, facta fuerint, gracilior quidem semper comperietur ulceris pars, 11 graciliores autem & reliquæ omnes, quæ à deligatione continentur: & suppurationes citiores erunt, quam in ulceribus aliter curatis: & 12 quæcunque carunculæ in vulnere denigratæ sunt & mortificatæ, citius abrumpuntur ac excidunt in hac curatione, quam in aliis: 13 & ad cicatricem citius pervenit ' ulcus, si hoc modo quam si alio curetur. At omnium horum causa est, quod & locus circa ulcus gracilis fit, & quæ circumsita sunt, gracilia omnia fiunt. In reliquis igitur omnibus consimiliter curare oportet, velut ossa sine ulcerationibus fracta. 14 Verum ferulas apponere non oportet. Et propterea lintea his plura esse debent quam aliis, & quod minus comprimantur, & quod ferulæ tardius apponantur. 15 Si tamen ferulas ' apposueris, non secundum rectitudinem ulceris appones,

ἄσσειν καὶ χαλαρῶς περιτιθέναι, περιτιθεμένοις, ὅπως μηδεμία σφίγξις μεγάλη ἔσται ἀπὸ τῶν ναρθήκων. 16 εἴρηται δὲ τοῦτο καὶ ἐν τοῖσι πρότερον γεγραμμένοισιν. τὴν μέντοι δίαιταν ἀκριβεστέρην καὶ πλέω χρόνον χρὴ ποιέεσθαι, οἷσιν ἐξ ἀρχῆς ἕλκεα γίνεται, καὶ οἷσιν ὀστέα ἐξίσχει. καὶ, τὸ ξύμπαν δὲ εἰρῆσθαι, 17 ἐπὶ τοῖσιν ἰσχυροτάτοισι τρώμασιν ἀκριβεστέρην καὶ πολυχρονιωτέρην εἶναι χρὴ τὴν δίαιταν.

XXX. Ἡ αὐτὴ δὲ ἰητρείη τῶν ἑλκέων, καὶ οἷσιν ὀστέα μὲν κατέηγεν, ἕλκος δὲ ἐξ ἀρχῆς μηδὲν ἦ. 2 ἢν δὲ ἐν τῇ ἰητρείῃ ἕλκος γένηται, ἢ τοῖσιν ὀθονίοισι μᾶλλον πιεχθέντος, ἢ ὑπὸ νάρθηκος ἐνέδρης, ἢ ὑπὸ ἄλλης τινὸς προφάσιος· 3 γινώσκεται μὲν οὖν τὰ τοιαῦτα, ἢν ἕλκος ὑπῇ, τῇ τε ὀδύνῃ καὶ τοῖσι σφυγμοῖσι. 4 καὶ τὸ οἴδημα τὸ ἐν τοῖσιν ἄκροισι σκληρὸν γίνεται τῶν τοιουτέων, καὶ, εἰ τὸν δάκτυλον ἐπαγάγοις, ἐξαείρεται, ἀλλὰ καὶ αὖθις ὑποτρέχει ταχέως. 5 ἢν οὖν τι τοιοῦτον ὑποπτεύσῃς, λύσαντα χρὴ, ἢν μὲν ἦ κνησμὸς κατὰ τὰς ὑποδεσμίδας, ἢ ἐπὶ τὸ ἄλλο τὸ ἐπιδεδεμένον, πισσηρῇ κηρωτῇ ἀντὶ τῆς ἑτέρης χρῆσθαι. 6 ἢν δὲ τούτων μὲν μηδὲν ἦ, αὐτὸ δὲ τὸ ἕλκος ἠρεθισμένον εὑρίσκεται μέλαν ἐπὶ πολὺ ἢ ἀκάθαρτον, καὶ τῶν μὲν σαρκῶν ἐκπυησομένων, τῶν δὲ νεύρων προσεκπεσουμένων, τούτους οὐδὲν χρὴ ἀναψύχειν παντάπασιν, οὐδέ τι φοβεῖσθαι τὰς ἐκπυήσιας ταύτας, ἀλλ' ἰητρεύειν, τὰ μὲν ἄλλα παραπλήσιον τρόπον, ὥσπερ καὶ οἷσιν ἐξ ἀρχῆς ἕλκος ἐγένετο. τοῖσι δὲ ὀθονίοισιν ἄρχεσθαι χρὴ ἐπιδέοντα ἀπὸ τοῦ οἰδήματος τοῦ ἐν τοῖς ἀκραίοις πάνυ χαλαροῖσι. 7 καὶ ἔπειτα ἐπινέμεσθαι τῇ ἐπιδέσει αἰεὶ ἐς τὸ ἄνω, καὶ πιπιέ-

appones, sed ita ut laxæ adhibeantur, providendo ut nulla magna ab ipsis constrictio fiat. 16 Dictum autem hoc quoque est in his quæ prius scripta sunt. Victus autem rationem exquisitiorem, & longiori tempore constituere oportet, his quibus ab initio ulcera fiunt, & quibus ossa extra eminent: & in summa dicatur, 17 vehementissimis vulneribus exquisitiore, eoque diuturniore victu uti convenit.

XXX. Eadem etiam curatio ulcerum est in his quibus ossa quidem fracta sunt, sed ulcus ab initio non fuit: 2 verum inter medendum factum est, aut ulcere linteis magis compresso, aut à ferularum insessu, aut ab alia quapiam causa. 3 Cognoscuntur autem tales fracturæ, an ulcus subsit, & dolore, & pulsibus: 4 & tumor qui in extremis partibus est, talibus durus efficitur, & si digitum admoveris, attollitur; sed & cito rursus subterfugit. 5 Si igitur tale quid suspicatus fueris, solvere oportet: & si quidem pruritus circa subligationes fuerit, aut alia quapiam parte deligata, cerato picato pro altero uti. 6 Si vero horum nihil fuerit, verum ipsum ulcus irritatum, reperitur nigrum valde aut impurum: & futurum est ut & carnes suppurentur, & nervi insuper excidant: hos omnino perfrigerare non oportet, neque quicquam has suppurationes vereri, sed curare in reliquis omnibus consimili modo, velut eos quibus ab initio ulcus factum est. Linteis vero deligare incipere oportet valde laxis, à tumore qui in extremis partibus consistit, 7 atque ita deligationem distribuere semper sursum

 versus,

πεπιέχθαι μὲν μηδαμῇ· ἠρμόσθαι δὲ μάλιστα κατὰ τὸ ἕλκος, τὰ δὲ ἄλλα ἐπὶ ἧσσον· τὰ δὲ ὀθόνια τὰ πρῶτα, ταῦτα μὲν καθαρὰ ἔστω καὶ μὴ στενά. 8 τὸ δὲ πλῆθος τῶν ὀθονίων ἔστω ὅσονπερ καὶ ἐν τῇσι νάρθηξιν εἰ ἐπιδέοιτο, ἢ ὀλίγῳ ἔλασσον. 9 ἐπὶ δὲ αὐτὸ τὸ ἕλκος ἱκανὸν σπλήνιον τῇ λευκῇ κηρωτῇ κεχρισμένον. ἤν τε γὰρ σὰρξ, ἤν τε νεῦρον μελανθῇ, προσεκπεσεῖται. 10 τὰ γὰρ τοιαῦτα οὐ χρὴ δριμέσιν ἰητρεύειν, ἀλλὰ μαλθακοῖσιν, ὥσπερ τὰ πυρίκαυστα. ἐπιδεῖν δὲ διὰ τρίτης, νάρθηκας δὲ μὴ προστιθέναι. ἀτρεμέειν δὲ ἐπὶ μᾶλλον, ἢ τὸ πρόσθεν, καὶ ὀλιγοσιτέειν. εἰδέναι δὲ χρή, εἴ τι σὰρξ, εἴ τι νεῦρον τὸ ἐκπεσούμενόν ἐστιν, ὅτι οὕτω πολλῷ μὲν ἧσσον νέμεται ἐπὶ πλεῖον, πολλῷ δὲ θᾶσσον ἐκπεσεῖται, πολλῷ δὲ ἰσχνότερα τὰ περιέχοντα ἔσται, ἢ εἴ τις ἀπολύσας τὰ ὀθόνια ἐπιθείη τι τῶν καθαρτικῶν φαρμάκων ἐπὶ τὸ ἕλκος. 11 καί τοι καὶ ἢν ἐκπίπτῃ τὸ ἐκπυησόμενον, θᾶσσόν τε σαρκοῦται ἐκείνως ἢ ἑτέρως ἰητρευόμενον, καὶ θᾶσσον ἀπαλλάσσεται. πάντα μήν ἐστι ταῦτα ὀρθῶς ἐπιδεῖν καὶ μετρίως ἐπίστασθαι. 12 προσυμβάλλεται δὲ καὶ τὰ σχήματα, ἣν οἷα χρὴ εἶναι, [ἦ,] καὶ ἡ ἄλλη δίαιτα, καὶ τῶν ὀθονίων ἡ ἐπιτηδειότης. 13 ἢν δὲ ἄρα ἐξαπατηθῇς ἐν τοῖσι νεοτρώτοισι μὴ οἰόμενος ὀστέων ἀπόστασιν ἔσεσθαι, τὰ δὲ ἐπίδοξα ᾖ ἀναπλῶσαι, οὐ χρὴ ὀρρωδέειν τὸν τρόπον τῆς ἰητρείης. 14 οὐδὲν γὰρ ἂν μέγα φλαῦρον γένοιτο, ἢν μοῦνον οἷος ἔσῃ τῇ χειρὶ τὰς ἐπιδέσιας ἀγαθὰς καὶ ἀσινέας ποιέεσθαι. 15 σημεῖον δὲ τόδε, ἢν μέλλῃ ὀστέων ἀπόστασις ἔσεσθαι ἐν τῷ τρόπῳ τούτῳ τῆς ἰητρείης. πύον γὰρ συχνὸν

versus, nusquam quidem comprimendo, sed maxime super ulcus firmando, super alia vero minus: & prima quidem lintea hæc munda sint, & non angusta. 8 Copia vero linteorum tanta sit, quanta est si cum ferulis deligatio fiat, aut paulo minor. 9 Super ipsum autem ulcus sufficiens est splenium cerato albo illitum. Sive enim caro, sive nervus denigratus fuerit, excidet. 10 Talia enim acribus curare non oportet, sed mollibus, velut ambusta. Deligare vero postea per tertium diem convenit, ferulas autem non apponere. Quiescere vero magis quam prius, & modico cibo uti. Scire vero expedit, sive caro sive nervus sit, id quod excidet, quod hoc modo multo minus ultra depascitur, & multo citius excidet, & multo graciliores circumsitæ partes erunt, quam si quis exolutis linteis, aliquid medicamentorum purgatoriorum super ulcus imponat. 11 Quin & si exciderit id quod suppurasset, & citius carne repletur, & citius ad cicatricem pervenit, quam si illo aut alio modo curetur. Omnia sane in hoc sita sunt, ut quis hæc recte & moderate deligare sciat. 12 Conferunt insuper & figuræ, quales esse oportet, & reliqua victus ratio & linteorum aptitudo. 13 Si vero in recens vulneratis decipiaris, ossium discessum non fore putans, quum tamen expectatio sit illa emersura esse, modum curationis timere non oportet. 14 Nihil enim magni mali contigerit, si modo bonas ac innoxias deligationes manu facere noveris. 15 Signum autem hoc est, si ossium discessus in hoc curationis modo futurus

συχνὸν ῥέει ἐκ τοῦ ἕλκεος, καὶ ὀργᾶν φαίνεται. [16] πυκνότερον οὖν μετεπιδέεσθαι διὰ τὸν πλάδον, ἐπεὶ ἄλλως τε καὶ πυρετοὶ γίνονται, καὶ ἢν μὲν κάρτα πιέζωνται ὑπὸ τῆς ἐπιδέσιος, καὶ τὸ ἕλκος, καὶ τὰ περιέχοντα ἰσχνά.

XXXI. Ὅσοισι μὲν λεπτῶν πάνυ ὀστέων ἀποστάσιες οὐδεμιῆς μεγάλης μεταβολῆς δέονται, ἀλλ' ἢ χαλαρωτέρως ἐπιδεῖν, ὡς μὴ ἀπολαμβάνηται τὸ πύον, ἀλλ' εὐαπόρρυτον ᾖ, καὶ πυκνότερον μετεπιδεῖν, ἔστ' ἂν ἀποστῇ τὸ ὀστέον, καὶ νάρθηκας μὴ προστιθέναι. [2] ὁκόσοισι δὲ μείζονος ὀστέου ἀπόστασις ἐπίδοξος γίνεται, ἤν τε ἐξ ἀρχῆς προγνῷς, ἤν τε καὶ ἔπειτα μεταγνῷς, οὐκ ἔτι τῆς αὐτῆς ἰητρείης δεῖται, ἀλλὰ τὰς μὲν κατατάσιας, καὶ τὰς διορθώσιας οὕτω ποιέεσθαι, ὥσπερ εἴρηται. [3] σπλῆνας δὲ χρὴ διπλοῦς, πλάτος μὲν ἡμισπιθαμιαίους, μὴ ἐλάσσους· ὁκοῖον δὲ ἂν ᾖ καὶ τρῶμα ᾖ, πρὸς τοῦτο τεκμαίρεσθαι· [4] μῆκος δὲ βραχυτέρους μὲν ὀλίγῳ, ἢ ὥστε δὶς περιϊκνέεσθαι περὶ τὸ σῶμα τὸ τετρωμένον· μακροτέρους δὲ συχνῷ, ἢ ὥστε ἅπαξ περιϊκνέεσθαι. [5] πλῆθος δὲ, ὁκόσους ἂν ξυμφέρῃ ποιησάμενον, τούτους ἐν οἴνῳ μέλανι αὐστηρῷ βρέχοντα, χρὴ ἐκ μέσου ἀρχόμενον, ὡς ἀπὸ δύο ἀρχῶν ὑπόδεσμος ἐπιδεῖται, περιελίσσειν, καὶ ἔπειτα σκεπαρνηδὸν παραλλάσσοντα τὰς ἀρχὰς ἀφιέναι. [6] ταῦτα καὶ κατ' αὐτὸ τὸ ἕλκος ποιέειν, καὶ κατὰ τὸ ἔνθεν καὶ ἔνθεν τοῦ ἕλκεος. καὶ πιέζειν μὲν μὴ, ἀλλ' ὅσον ἐρμασμοῦ εἵνεκεν τοῦ ἕλκεος προσκέεσθαι. [7] ἐπὶ δὲ αὐτὸ τὸ ἕλκος ἐπιτιθέναι χρὴ πισσηρὴν,

rus est. Pus enim multum fluit ex ulcere, & gliscere ac turgere affecta pars videtur. [16] Frequentius igitur deligare oportet, ob nimiam humiditatem, & quod alias etiam febres fiunt. Et si quidem valde premantur à deligatione, & ulcus, & circumsitæ partes graciles fiunt.

XXXI. Quicunque itaque valde tenuium ossium discessus fiunt, hi nulla magna mutatione opus habent, nisi ut laxius deligatio fiat, ut ne pus intercipiatur, sed facile effluere possit. Sed & frequentius deligare oportet, donec os discesserit, & ferulas non apponere. [2] Quibus vero majoris ossis discessus expectatur, sive hoc à principio prænoveris, sive etiam postea cognoveris, non amplius eadem curatione opus habet. Sed extentiones & directiones ita facere oportet, velut dictum est: [3] splenia vero duplicata, latitudine quidem dimidio palmo non minora: (quale tamen fuerit vulnus, juxta hoc conjectura facienda est:) [4] longitudine vero paulo quidem breviora, quam ut bis circum sauciatum corpus circumduci possint, multo vero longiora quam ut semel. [5] Copia vero tot sint, quot facere conducit. Hæc in vino nigro austero madefacta, ex medio initio facto circumvolvere oportet, quemadmodum fascia ex duobus initiis deligatur: & deinde asciatim alternatione ipsorum facta, initia dimittere. [6] Hæc & super ipsum ulcus adhibenda sunt, & ab utraque ulceris parte, & ne comprimantur, sed saltem fulciendi ulceris gratia incumbant. [7] Supra ipsum vero ulcus, ceratum picatum impo-

σηρίω, ἤ τι τῶν ἐναίμων, ἤ τι τῶν ἄλλων φαρμάκων, ὅ, τι ξυμφορόν ἐστιν, ἐπιτέγξ. καὶ, ἢν μὲν ἡ ὥρη θερινὴ ᾖ, ἐπιτέγξιν τῷ οἴνῳ τὰς σπλῆνας πυκνὰ, ἢν δὲ χειμερινὴ ἡ ὥρη ᾖ, εἴρια πολλὰ ῥυπαρὰ οἰνοκεκραμένα οἴνῳ καὶ ἐλαίῳ ἐπικείσθω. ⁸ ἐξάλλῳ δ' αἰγὸς χρὴ ὑποτετάσθαι, καὶ διαπόῤῥυτα ποιέειν, φυλάσσοντα τὰς ὑποῤῥόους, μεμνημένον, ὅτι οἱ τόποι οὗτοι ἐν τοῖσιν αὐτοῖσι σχήμασιν πολλὸν χρόνον κείμενοι ἐκτρίμματα δυσαλθέα ποιέουσιν.

XXXII. Ὅσους δὲ μὴ οἷόν τε ἐπιδεῖσθαι ἰήσασθαι διά τινα τούτων τῶν εἰρημένων τρόπων, ἢ τῶν ἐῤῥησομένων, τούτους περὶ πλείονος χρὴ ποιέεσθαι, ὅκως ὀρθῶς χήσωσιν τὸ κατεηγὸς τοῦ σώματος καὶ ἰθυωρίην προσέχοντα τὸν νόον. ² καὶ τοῦ ἀνωτέρω δὲ μᾶλλον ἢ κατωτέρω. εἰ δέ τις μέλλοι καλῶς καὶ εὐχερῶς ἐργάζεσθαι, ἄξιον καὶ μηχανοποιήσασθαι, ὅκως κατάτασιν δικαίην, καὶ μὴ βιαίην σχήσῃ τὸ κατεηγὸς τοῦ σώματος, μάλιστα δὲ ἐν κνήμῃ ἐνδέχεται μηχανοποιέειν. ³ εἰσὶ μὲν οὖν τινες, οἳ ἐπὶ πᾶσι τοῖς τῆς κνήμης κατήγμασι, καὶ τοῖσι ἐπιδεομένοισι, καὶ τοῖσι μὴ ἐπιδεομένοισι, τὸν πόδα ἄκρον προσδέουσι πρὸς τὴν κλίνην, ἢ πρὸς ἄλλο τι ξύλον παρὰ τὴν κλίνην κατορύξαντες. ⁴ οὗτοι μὲν οὖν πάντα κακὰ ποιέουσιν, ἀγαθὸν δὲ οὐδέν. οὔτε γὰρ τοῦ κατατείνεσθαι ἄκος ἐστὶ τὸ προσδεδέσθαι τὸν πόδα. ⁵ οὐδέν τι ἧσσον τὸ ἄλλο σῶμα προσχωρήσει πρὸς τὸν πόδα, καὶ οὕτως οὐκ ἂν ἔτι τείνοιτο, οὔτ' αὖ ἐς τὴν ἰθυωρίην οὐδὲν ὠφελέει, ἀλλὰ καὶ βλάπτει. στρεφομένου γὰρ τοῦ

nere oportet, aut aliquod ex emplastris cruentis vulneribus destinatis, aut alíud quoddam medicamentum, quod familiare ac idoneum sit humectationi adhibendæ: ⁵ & si quidem æstatis tempus fuerit, vino madefacere splenia frequenter oportet. Si vero hyems, lanas succidas multas vino & oleo imbutas adhibeto. ⁸ Oportet autem capræ pellem substernere, & defluxiones observare, ut facile effluere possint, ita ut meminerimus quod hi loci in iisdem figuris multo tempore permanentes, intertrigines curatu difficiles faciunt.

XXXII. Qui vero deligatione sanari per aliquem ex relatis, aut referendis modis non possunt, eos magnam huc curam adhibere convenit, ut fractam corporis partem commode positam habeant secundum rectitudinem, animadversione ad hoc habita, ² ut sursum magis quam deorsum vergat. Si vero quis bene ac facile opus perficere velit, operæ precium est etiam machinamenta facere, quo justam & non violentam extensionem, pars corporis fracta habeat. Maxime vero in tibia machinamenta adhibere expedit. ³ Sunt igitur aliqui qui in omnibus tibiæ fracturis, & quæ deligantur, & quæ non deligantur, pedem summum ad lectum alligant, aut ad aliud quoddam lignum juxta lectum defossum. ⁴ Hi itaque omnia mala faciunt, nihil autem boni. Neque enim ullam opem affert extensioni, hæc pedis alligatio. ⁵ Nihilo enim minus ad pedem concedet reliquum corpus, atque sic non amplius extenditur: neque rursus ad rectitudinem quicquam prodest, sed

τοῦ ἄλλου σώματος ἢ τῇ ἢ τῇ· 'οὐδὲν κωλύσει ὁ δεσμὸς τὸν πόδα, καὶ τὰ ὀστέα τῷ ποδὶ προσηρτημένα ἐπακολουθέειν τῷ ἄλλῳ σώματι. [6] εἰ δὲ μὴ προσδέδετο, ἧσσον ἂν διεστρέφετο. "ἧσσον γὰρ ἂν ἐγκατελελείπετο ἐν τῇ κινήσει τοῦ ἄλλου σώματος. [7] εἰ δέ τις σφαίρας δύο ῥάψαιτο ἐκ σκύτεος αἰγυπτίου τοιαύτας, οἵας φορέουσιν οἱ ἐν τῇσι μεγάλῃσι πέδῃσι πολὺν χρόνον πεπεδημένοι· αἱ δὲ σφαῖραι ἔχοιεν ἔνθεν καὶ ἔνθεν χιτῶνας, τοὺς μὲν πρὸς τοῦ τρώματος βαθυτέρους, τοὺς δὲ πρὸς τῶν ἄρθρων 'βραχυτέρους· [8] εἶεν δὲ ὀγκηραὶ μὲν καὶ μαλθακαὶ, ἁρμόζουσαι δὲ, ἡ μὲν ἄνωθεν τῶν σφυρῶν, ἡ δὲ κάτωθεν τοῦ γούνατος· ἐκ δὲ πλαγίης ἑκατέρη διπλᾶ ἑκατέρωθεν ἔχοι προσηρτημένα ἢ ἁπλοῦ ἱμάντος, ἢ διπλόου, βραχύτερα ὥσπερ ἀγκύλας, τὰ μὲν ἐκ τοῦ σφυροῦ ἑκατέρωθεν, τὰ δὲ ἐκ τοῦ γούνατος. [9] καὶ ἡ ἄνωθεν σφαῖρα ἑτέρα τοιαῦτα ἔχοι κατὰ τὴν ἰθυωρίην τὴν αὐτήν· [10] ἔπειτα κρανείας ῥάβδους λαβὼν ἴσον τὸ μέγεθος ἀλλήλῃσιν ἐχούσας, πάχος μὲν 'ὡς δακτυλιαίας, μῆκος δὲ, ὡς κεκαμμέναι ἐναρμόζωσιν ἐς τὰ ἀπαιωρήματα, ἐπιμελεόμενος ὅκως τὰ ἄκρα τῶν ῥάβδων μὴ ἐς τὸν χρῶτα, ἀλλ' ἐς τὰ ἄκρα τῶν σφαιρίων "ἐγκέλσῃ· εἶναι δὲ χρὴ ζεύγεα τρία τῶν ῥάβδων, καὶ πλέω, καί τινι μακροτέρας τὰς ἑτέρας τῶν ἑτέρων καὶ ἔτι βραχυτέρας, καὶ μικροτέρας, ὡς ἔτι μᾶλλον διατείνειν, ἢν βούλῃ. [11] ἔστωσαν δὲ αἱ ῥάβδοι ἑκάτεραι ἔνθεν καὶ ἔνθεν τῶν σφυρῶν. [12] ταῦτα τοίνυν εἰ καλῶς μηχανοποιηθείη, τήν 'τε κατάτασιν δικαίην παρέχοι καὶ ὁμαλὴν κατὰ τὴν ἰθυωρίην, καὶ τῷ τρώμα-

ſed etiam obeſt. Dum enim vertitur reliquum corpus aut hac, aut illac, nihil prohibebit vinculum illud, quo minus & pes, & oſſa pedi annexa, reliquum corpus ſequantur. [6] Imo ſi pes alligatus non fuiſſet, minus diſtorqueretur. [7] Si vero quis pilas duas ex corio ægyptio conſuat, tales quales geſtant hi qui multo tempore in magnis compedibus vincti ſunt: habeant 'autem pilæ hinc atque illinc tunicas, ad vulneris quidem partes, profundiores: ad articulorum vero partes, breviores. [8] Sint item tumidæ ac molles, & congruentes ad hoc, ut altera ſupra malleolos, altera infra genu coaptetur. Habeat inſuper utraque duas utrinque appendices à latere, aut ex ſimplici, aut ex duplici loro, breviores velut anſas, ita ut alteræ ſint ab utraque malleoli, alteræ ab utraque genu parte: [9] '& ſuperna pila alteras tales habeat ſecundum eandem rectitudinem. [10] Poſtea virgis corneis acceptis, æqualem inter ſe magnitudinem habentibus, craſſitudine quidem digitali, longitudine vero ut flexæ appendicibus congruant, huc diligentiam adhibeas, ut extremæ virgarum partes non ad corpus, ſed ad ſummas pilarum eminentias innitantur. Oportet autem tria eſſe virgarum paria, aut etiam plura: & alias aliis 'aliquanto longiores, & aliquanto breviores ac minores, ut ſi velis magis diſtendere poſſis. [11] Locentur autem virgæ utræque hinc atque illinc à malleolorum utraque parte. [12] Hæc itaque ſi bene machinatus fueris, & extenſionem juſtam exhibuerint, & ſecundum rectitudinem æqualem, & vul-

τρώματι πόνος οὐδεὶς ἂν εἴη. [13] τὰ γὰρ ἀποπιέσματα, εἴ τι καὶ ἀποπιέζοιτο, τὰ μὲν ἂν ἐς τὸν πόδα ἀπάγοιτο, τὰ δὲ, ἐς τὸν μηρόν. αἵ τε ῥάβδοι εὐθετώτεραι, αἱ μὲν ἔνθεν, αἱ δὲ ἔνθεν τῶν σφυρῶν. [14] ὥστε μὴ κωλύεσθαι τὴν θέσιν τῆς κνήμης. τό, τε τρῶμα εὐκαταίσκεπτον καὶ εὐβάστακτον. οὐδὲ γὰρ ἐμποδὼν, εἴ τις ἐθέλοι τὰς δύο τῶν ῥάβδων τὰς ἀνωτέρω αὐτὰς πρὸς ἀλλήλας ζεῦξαι.
40 καὶ, ἤν τις κοῦφως βούλοιτο ἐπιβάλλειν, ὥστε τὸ ἐπιβαλλόμενον μετέωρον ἀπὸ τοῦ τρώματος εἶναι. [15] εἰ μὲν οὖν αἵ τε σφαῖραι προσηνέες, καὶ καλαὶ, καὶ μαλθακαὶ, καὶ καιναὶ ῥαφεῖεν, καὶ ἡ ἔντασις τῶν ῥάβδων χρηστῶς ἐνταθείη, ὥσπερ ἤδη εἴρηται, εὔχρηστον τὸ μηχάνημα. εἰ δέ τι τουτέων μὴ καλῶς ἕξει, βλάπτοι ἂν μᾶλλον ἢ ὠφελέοι. [16] χρὴ δὲ καὶ τὰς ἄλλας μηχανὰς, ἢ καλῶς μηχανᾶσθαι, ἢ μὴ μηχανᾶσθαι. αἰσχρὸν γὰρ καὶ ἄτεχνον μηχανοποιέοντα
45 ἀμηχανοποιέεσθαι.

XXXIII. Τοῦτο δὲ οἱ πλεῖστοι τῶν ἰητρῶν τὰ κατήγματα, καὶ τὰ ξὺν ἕλκεσι, καὶ τὰ ἄνευ ἑλκέων, τὰς πρώτας τῶν ἡμερέων ἰητρεύουσιν εἰρίοισι ῥυπαροῖσι, καὶ οὐδὲν τι ἄτεχνον δοκέει τοῦτο εἶναι. [2] ὅσοι μὲν ἀναγκάζονται ὑπὸ τῶν αὐτίκα νεοτρώτων ἐόντων μὴ ἔχοντες ὀθόνια, εἰρίοισι παρασκευάσασθαι, τουτέοισι πλείστη συγγνώμη. [3] οὐ γὰρ ἂν τις ἔχοι ἄνευ ὀθονίων ἄλλο τι πολλῷ βέλτιον εἰρίων ἐπιδῆσαι ἐπὶ τὰ τοιαῦτα. εἶναι δὲ χρὴ πάμ-
468 πολλα, καὶ πάνυ καλῶς εἰργασμένα, καὶ μὴ τρηχέα. [4] τῶν γὰρ ὀλίγων καὶ φλαύρων ὀλίγη καὶ ἡ δύναμις. ὅσοι δὲ ἐπὶ μίαν ἢ δύο ἡμέρας εἴρια ἐπιδεῖν δικαιοῦσι, τρίτη

neri nullus dolor accesserit. [13] Nam quæ expressa fuerint, si quid tamen exprimetur, partim ad pedem abducentur, partim ad femur: & virgæ hinc atque il- 166 linc à malleolis accommodatiores erunt, [14] ut tibiæ positio non impediatur, & vulnus probe impingat ac sustentetur. Neque enim impedimento est, si quis velit duas virgas superiores, ipsas inter se conjungere, & si quis leviter quid superimponere velit, ut id quod superimponitur à vulnere elevatum sit. [15] Si quidem igitur & pilæ lenes & molles, & bonæ, & recentes consutæ fuerint: & virgarum intentio probe intenta fuerit, velut 151 jam dictum est, commodum erit machinamentum. Si vero quid horum non recte habuerit, læserit magis quam profuerit. [16] Convenit autem & alias machinas, aut bene machinari, aut non machinari. Turpe enim est & minime artificiosum, in machinis struendis à machinis aberrare.

XXXIII. Plerique porro medici fracturas, & cum ulceribus, & sine ulceribus, primis diebus lanis succidis curant, & nihil ab 170 arte alienum ipsis hoc esse videtur: [2] & qui quidem à recens vulneratis coguntur, ex linteorum inopia lanis uti, his plurimus veniæ locus patet. [3] Non enim habuerit quis in linteorum penuria, aliud quid multo melius ad tales deligandas, quam est lana. Verum omnino multæ lanæ esse debent, & valde bene 26 carminatæ, & non asperæ. [4] Nam paucarum & malarum vires etiam modicæ sunt. Qui vero ad unum aut duos dies, lanis 171 deligare justum esse censent, tertia

τρίτῃ δὲ καὶ τετάρτῃ ὀθονίοισιν ἐπιδέοντες πιέζουσι καὶ κατατείνουσιν, τότε μάλιστα οὗτοι πολύ τι ἰητρικῆς καὶ χωρίον ἐπίκαιρον ἀσυνετέουσιν. [5] ἥκιστα γὰρ χρὴ τῇ τρίτῃ καὶ τετάρτῃ συσφαλίζειν πάντα τὰ τρώματα. ὡς ἐν κεφαλαίῳ δὲ εἰρῆσθαι, καὶ μηλώσιας δὲ πάσας φυλάττεσθαι χρὴ ἐν ταύτῃσι τῇσιν ἡμέρῃσι, καὶ ὁκόσοισιν ἄλλοισι τρώματα ἐρεθίζεται. [6] τὸ ἐπίπαν γὰρ ἡ τρίτη καὶ ἡ τετάρτη ἡμέρη ἐπὶ τοῖσι πλείστοισι τῶν τρωμάτων τίκτει τὰς παλιγκοτήσιας, καὶ ὅσα ἐς φλεγμονὴν καὶ ἀκαθαρσίην ὁρμᾷ, καὶ ὅσα αὖ ἐς πυρετοὺς ἴοι. καὶ μάλα πολλοῦ ἄξιον τοῦτο μάθημα, εἴπερ τι καὶ ἄλλο. τίνι γὰρ οὐκ ἐπικοινωνεῖ τῶν ἐπικαιροτάτων ἐν ἰητρικῇ, οὐ κατὰ τὰ ἕλκεα μόνον, ἀλλὰ καὶ κατὰ ἄλλα πολλὰ νοσήματα; εἰ μή τις φήσει καὶ τἄλλα νοσήματα ἕλκεα εἶναι. [7] ἔχει γάρ τινα καὶ οὗτος ὁ λόγος ἐπιείκειαν. [8] πολλαχῇ δὲ ἀδελφίζεται τὰ ἕτερα τοῖσιν ἑτέροισιν.

XXXIV. Ὁκόσοι μέντοι δικαιοῦσιν εἰρίοισι χρῆσθαι, ἔστ' ἂν ἑπτὰ ἡμέραι παρέλθωσιν, ἔπειτα κατατείνειν τε καὶ κατορθοῦν, καὶ ὀθονίοισιν ἐπιδεῖν, οὗτοι οὐκ ἂν ἀσύνετοι ὁμοίως φανεῖεν. [2] καὶ γὰρ τῆς φλεγμονῆς τὸ ἐπικαιρότατον παρελήλυθε, καὶ τὰ ὀστέα χαλαρὰ καὶ εὔθετα μετὰ ταύτας τὰς ἡμέρας ἂν εἴη. [3] πολλῷ μέντοι ἡσσᾶται καὶ αὕτη ἡ μελέτη τῆς ἐξ ἀρχῆς τοῖσιν ὀθονίοισιν ἐπιδέσιος. [4] κεῖνος μὲν γὰρ ὁ τρόπος ἑβδομαίους ἐόντας ἀποδείκνυσι καὶ παρασκευάζει νάρθηξι τελείως ἐπιδεῖν. οὗτος δὲ ὁ τρόπος πολὺ ὑστερεῖ. [5] βλάβας δέ τινας καὶ ἄλλας ἔχει· ἀλλὰ μακρὸν ἂν εἴη πάντα γράφειν. [6] ὁκόσοισι δὲ τὰ ὀστέα κατεηγότα καὶ

tia vero ac quarta linteis deligantes premunt, ac extendunt tunc vel maxime, hi in re multi adeo ac magni in medicina momenti, se imprudenter gerunt. [5] Minime etiam tertia ac quarta die, omnia vulnera movere oportet: &, ut in summa dicam, etiam omnes spicillorum admotiones vitare convenit in his diebus, & alia quoque quibus vulnera irritantur. [6] In totum enim tertia ac quarta dies in plerisque vulneribus recrudescentias pariunt, & quæ ad inflammationem ac immunditiam procedunt, & quæ ad febres deveniunt. Et hæc res multi momenti est ut discatur, ut si qua alia. Cum qua enim ex utilissimis in medicina rebus, non solum circa vulnera, verum etiam circa alios multos morbos, communionem non habet? nisi quis etiam alios morbos ulcera esse dixerit. [7] Habet enim & hic sermo aliquam verisimilitudinem. [8] Multis enim modis aliis cognati sunt.

XXXIV. Quicunque tamen justum esse putant lanis uti, donec septem præterierint dies, deinde vero extendere ac dirigere, & linteis deligare, hi non similiter imprudentes videri poterint. [2] Nam & maximum inflammationis periculum præteriit, & ossa laxa ac apta post hos dies sunt. [3] Longe tamen & hæc curatio superatur ab ea deligatione quæ ab initio linteis fit. [4] Ille enim modus præparat ac efficit ut septima die ferulis perfecte deligari possint. Hic autem modus multo tardior est. [5] Sed & alia quædam detrimenta habet. Verum longum esset omnia scribere. [6] Quibus vero ossa fracta & extra

καὶ ἐξέχοντα μὴ δύνηται ἐς τὴν ἑωυτῶν χώρην καθιδρύεσθαι, ἥδε ἡ κατάτασις. σιδήρια χρὴ
20 ποιέεσθαι ἐς τοῦτον τὸν τρόπον, ὅνπερ οἱ μοχλοὶ ἔχουσιν, οἷς οἱ λατύποι χρέονται, τὸ μέν τι πλατύτερον, τὸ δέ τι στενότερον. [7] εἶναι δὲ χρὴ καὶ τρία καὶ ἔτι πλείω, ὡς τοῖσι μάλιστα ἁρμόζουσί τις χρήσηται. ἔπειτα τουτέοισι χρὴ ἅμα τῇ κατατάσει μοχλεύειν ὑποβάλλοντα. πρὸς μὲν τὸ κατώτερον τοῦ ὀστέου, ἐρείδοντα. [8] πρὸς δὲ τὸ ἀνώτερον, τῷ ἀνωτέρῳ τοῦ σιδηρίου. ἁπλῷ δὲ λόγῳ, ὥσπερ εἰ λίθον τις ἢ ξύλον μοχλεύοι ἰσχυρῶς. [9] ἔστω δὲ σθεναρὰ τὰ σιδήρια ὡς οἷόν
25 τε, ὡς μὴ κάμπτηται. αὕτη μεγάλη τιμωρίη, ἤν τε τὰ σιδήρια ἐπιτήδεια ᾖ καὶ μοχλεύηταί τις, ὡς χρή.

XXXV. Ὁκόσα γὰρ ἀνθρώποισιν ἄρμενα μεμηχάνηται, πάντων ἰσχυρότατά ἐστι τρία ταῦτα, ὄνου τε περιαγωγή, καὶ μόχλευσις, καὶ σφήνωσις. [2] ἄνευ δὲ τούτων, ἢ ἑνός γέ τινος, ἢ πάντων, οὐδὲν τῶν ἔργων τῶν ἰσχυροτάτων οἱ ἄνθρωποι ἐπιτελεῦσιν. οὔκουν ἀτιμαστέη αὕτη ἡ μόχλευσις. [3] ἢ γὰρ οὕτως ἐμπεσεῖται τὰ ὀστέα, ἢ οὐκ ἄλλως. ἢν δ' ἄρα τοῦ ὀστέου τὸ ἄνω παρηλλαγμένον μὴ
30 ἐπιτήδειον ἔχῃ ἕδρην τῷ μοχλῷ, ἀλλὰ παροξὺ, ὃ παραφέρῃ, περιγλύψαντα χρὴ τοῦ ὀστέου ἕδρην τῷ μοχλῷ ἀσφαλέα ποιῆσαι. μοχλεύειν δὲ χρὴ καὶ τείνειν αὐθημερὸν, ἢ δευτεραῖον, τριταῖον δὲ μὴ, τεταρταῖον δὲ, ὡς ἥκιστα, καὶ πεμπταῖον. [4] καὶ γὰρ μὴ ἐμβάλλοντι, ὀχλή-

extra eminentia in suam sedem collocari non possunt, his hæc restitutio debetur. Ferramenta facere oportet ad eum modum quem vectes habent illi quibus lapicidæ utuntur, alia latiora, alia angustiora. [7] Esse vero convenit tria, aut plura etiam, quo quis maxime congruis utatur. Postea cum his una cum extensione motionem aggredi oportet, ita ut ad inferiorem ossis partem subjicias, [8] ad superiorem vero partem ossis, superiorem ferramenti partem innitendo firmes, in summa, quemadmodum si quis lapidem aut lignum vehementer vecte commoveat. [9] Sint autem valida ferramenta quantum ejus fieri potest, ut ne flectantur. Hoc magnum auxilium est, si & ferramenta idonea fuerint, & si quis velut convenit commotionem faciat.

XXXV. Nam ex omnibus instrumentis quæ homines machinati sunt, fortissima hæc tria existunt, aselli circumductio, per vectes commotio, & cuneorum usus. [2] At sine horum uno aliquo, aut sine omnibus, nullum vehementissimum opus homines perficiunt. Non igitur spernenda est hæc per ferreos illos vectes commotio: [3] aut enim hoc modo, aut nullo alio, in sedem suam collabentur. Si vero superna ossis pars immutata fuerit ac confracta, ut vecti adhibendo locus non sit commodus, sed acutum quid prominet, tunc osse scalpendo deraso, securam vecti sedem facere oportet. Hanc autem per vectes commotionem & extensionem, eadem die aut secunda facere oportet. Non autem tertia. Minime vero quarta: [4] Nam etiamsi non reponas, sed

ὀχλήσουσι δὲ, ἐν ταύτῃσι τῇσιν ἡμέρῃσι φλεγμαίνουσαν ἂν ποιήσαις, ἐμβάλλοντα, οὐδὲν ἧσσον· σπασμὸν μέν τοι ἐμβάλλοντα. πολὺ ἂν μᾶλλον ποιήσειεν ἢ ἀπορρήσαντα ἐμβάλλειν. ταῦτα δὲ χρὴ εἰδέναι. [5] καὶ γὰρ, εἰ ἐπιγένοιτο σπασμὸς ἐμβάλλοντι, ἐλπίδες μὲν οὐ πολλαὶ σωτηρίης· ' λυσιτελέει δὲ ὀπίσω ἐκβάλλειν τὸ ὀστέον, εἰ οἷόν τε εἴη, ἀόχλως. οὐ γὰρ ἐπὶ τοῖσι χαλαρωτέροισι τοῦ καιροῦ σπασμοὶ καὶ τέτανοι ἐπιγίνονται, ἀλλ' ἐπὶ τοῖσιν ἐντεταμένοισι μᾶλλον, ' περὶ οὗ νῦν ὁ λόγος. [6] οὐ χρὴ οὖν ἐνοχλέειν ἐν τῇσι προειρημένῃσιν ἡμέρῃσι ταύτῃσιν, ἀλλὰ μελετᾷν, ' ὅκως ἥκιστα φλεγμαίνῃ τὸ ἕλκος καὶ μάλιστα ἐκπυήσῃ. ἐπὴν δὲ ἑπτὰ ἡμέραι παρέλθωσιν, ἢ ὀλίγῳ πλείους, ' ἢν ἀπύρετος ᾖ, καὶ μὴ φλεγμαίνῃ τὸ ἕλκος, τότε ἧσσον κωλύει ἢ πειρῆσθαι ἐμβάλλειν, ἢν ἐλπίζῃς κρατήσειν. ἢν δὲ μὴ, οὐδὲν δεῖ μάτην ὀχλέειν καὶ ὀχλεῖσθαι. [7] ἢν μὲν οὖν ἐμβάλῃς τὰ ὀστέα ἐς τὴν ἑωυτῶν χώρην, γεγράφαται ἤδη οἱ τρόποι τῆς ὡς χρὴ ἰητρεύειν, ἤν τε ἐλπίζῃς ὀστέα ἀποστήσεσθαι, ἤν τε μή. χρὴ δὲ, ἢν μὲν ἐλπίζῃς ὀστέα ἀποστήσεσθαι, ὡς ἔφην τῷ τρόπῳ τῶν ὀθονίων ἐπὶ πᾶσι τοῖσι τοιουτέοισι τὴν ἐπίδεσιν ποιέεσθαι ἐκ μέσου τοῦ ὀθονίου ἀρχόμενον, ὡς ' ἐπὶ τὸ πολὺ, ὡς ἐπὶ δύο ἀρχέων ὑποδεσμὶς ὑποδεῖται. [8] τεκμαίρεσθαι δὲ χρὴ πρὸς τὴν μορφὴν τοῦ ἕλκεος, ὅκως ἥκιστα πονηρὸς καὶ ἐκπεπληγμένον ἔσται παρὰ τὴν ἐπίδεσιν. τοῖσι μὲν γὰρ ἐπὶ δεξιὰ ἐπιδεῖν ξυμφόρως ἔχει, τοῖσι δὲ ἐπ' ἀριστερά. τοῖσι δὲ ἀπὸ δύο ἀρχέων.

XXXVI. Ὁκόσα δὲ κατπορήθη

sed alias molestiam exhibeas in his diebus, inflammationem induxeris: quanto magis si reponas? Convulsionem tamen multo magis induxeris si reponas, quam si reponere omittas. Atque hæc probe nosse convenit. [5] Si enim reponenti convulsio accesserit, non multa salutis spes est. Commodum autem est rursus ejicere os à sua sede, si hoc fieri citra molestiam ' possit. Non enim in laxioribus quam opportunum est, convulsiones ac distentiones accedunt, sed in his quæ magis extenta sunt. Cæterum de qua re nunc nobis sermo est, [6] in prædictis illis diebus molestiam exhibere non oportet, & curam adhibere ut ulcus minime inflammetur, & maxime suppuretur. Postquam vero septem præterierint dies, aut paulo plures, si sine febre fuerit, & ulcus non inflammatum sit, tunc minus vetat ' ut reponere tentes, si speres obtenturum te esse. Sin minus, non oportet frustra molestiam suscipere & inferre. [7] Si igitur ossa reposueris in suam sedem, jam scripti sunt modi quomodo curare oportet, sive ossa discessura esse, sive non, expectatio sit: & si quidem ossium discessus expectatio sit, eo quem dixi modo cum linteis, in omnibus talibus deligationem facere oportet, ex medio linteo initio facto ' utplurimum, velut ex duobus initiis fascia deligatur. [8] Conjecturam autem facere oportet juxta ulceris formam, quo sit quam minimum hians ac labiis protuberans & expassum. Aliis enim ad dextram deligare commodum est, aliis ad sinistram, aliis ex duobus initiis.

XXXVI. Quæcunque vero ossa repo-

ῥηθῇ ὀστέα ἐμπεσεῖν, ταῦτα αὐτὰ εἰδέναι χρὴ ὅτι ἀποστήσεται, καὶ ὅσα τελέως ἐψιλώθη τῶν σαρκῶν. [2] ψιλοῦται δὲ ἐνίων μὲν τὸ ἄνω μέρος, μετεξετέρων δὲ κύκλωθεν ἀμφιθνήσκουσιν ' αἱ σάρκες. καὶ τῶν μὲν ἀπὸ τοῦ ἀρχαίου τρώματος σφακελίζει ἔνια τῶν ὀστέων, τῶν δ᾽ οὔ. [3] καὶ τῶν μὲν μᾶλλον, τῶν δ᾽ ἧσσον. καὶ τὰ μὲν σμικρά, τὰ δὲ μεγάλα. διὰ οὖν ταῦτα τὰ εἰρημένα οὐκ ἔστιν ἑνὶ ὀνόματι εἰπεῖν, ὁκότε τὰ ὀστέα ἀποστήσεται. [4] τὰ μὲν γὰρ διὰ μικρότητα, τὰ δὲ διὰ τὸ ἐπ᾽ ἄκρου ἔχεσθαι θᾶσσον ἀφίσταται. τὰ δέ, διὰ τὸ μὴ ἀφίστασθαι, ἀλλὰ λεπιδοῦσθαι ' καταξηρανθέντα, καὶ σαπρὰ γινόμενα. [5] πρὸς δὲ τούτοις, διαφέρει τε καὶ ἰητρείη ἰητρείης. ὡς μὲν οὖν τὸ ἐπίπαν τάχιστα τουτέων ὀστέα ἀφίσταται, ὧν τάχισται μὲν αἱ ἐκπυήσιες. τάχισται δὲ καὶ κάλλισται αἱ σαρκοφυΐαι. [6] καὶ γὰρ αἱ ὑποφυόμεναι σάρκες κατὰ τὸ σιναρὸν αὗται μετεωρίζουσιν τὰ ὀστέα ὡς ἐπὶ τὸ πολύ. ὅλος μὲν ὁ κύκλος τοῦ ὀστέου, ἢν ἐν τεσσαράκοντα ἡμέρῃσιν ἀποστῇ, καλῶς ἀποστήσεται. [7] ἔνια γὰρ ἐς ἑξήκοντα ἡμέρας ἀφικνεῖται. τὰ μὲν γὰρ ἀραιότερα ' τῶν ὀστέων θᾶσσον ἀφίσταται. τὰ δὲ στερεώτερα, βραδύτερον. [8] τὰ δὲ ἄλλα τὰ μείω, πολλὸν ἐνδοτέρω, ἄλλα δ᾽ ἄλλως.

XXXVII. Ἀποπρίειν δ᾽ ὀστέον ἐξέχον ἐπὶ τῶνδε τῶν προφασίων χρή, ἢν μὴ δύνηται ἐμβάλλειν, μικροῦ δέ τινος αὐτῷ δοκέῃ δεῖν παρελθεῖν, καὶ οἷόν τε ᾖ παραιρεθῆναι, " ἤν τι ἀσηρὸν ᾖ καὶ θραῦόν τι τῶν σαρκίων, καὶ δυσαισθησίην παρέχῃ, ψιλὸν δὲ τυγχάνει ἐόν, καὶ τὸ τοιοῦτον ἀφαιρέειν χρή. [2] τὰ δ᾽ ἄλλα οὐδὲν μέγα διαφέρει, οὔτε ἀποπρίσαι, ' οὔτε μὴ ἀποπρίσαι. σαφέως γὰρ εἰδέναι

repositionem effugerunt, ea discessura esse nosse oportet: itemque ea quæ carnibus penitus nudata sunt.[2] Nudatur autem quorundam superna ' pars, quorundam vero carnes circumcirca mortificantur. Et quibusdam quidem ex veteri vulnere aliqua ossa emarcuerunt: quibusdam vero non: & [3] aliquibus magis, aliquibus minus, & partim parva, partim magna. Propter hæc igitur relata, uno verbo dici non potest, quando ossa sint discessura. [4] Aliqua enim ob parvitatem, aliqua ex eo quod in summa parte existunt, citius discedunt: aliqua eo quod non discedunt, ' resiccata & marcida effecta desquamantur.[5] Præterea differt curatio à curatione. In totum igitur ossa citissime his discedunt, "quibus citissimæ fiunt suppurationes, & citissimæ ac optimæ carnis productiones. [6] Subnascentes enim juxta læsam partem carnes, plerunque ossa ipsa elevant. Totus tamen ossis circulus, si in quadraginta diebus discesserit, bene discedet. [7] Quædam enim ad sexaginta dies perveniunt. ' Nam & rariora ossa citius discedunt, solidiora vero tardius. [8] Alia autem minora: multo minore temporis spacio, alia aliter.

XXXVII. Cæterum os extra eminens his de causis præsecare oportet, si reponi non possit, & parum absit ut reponi posse videatur, & fieri poterit ut auferatur, & si noxium fuerit, & de carnibus quid rumpat, & sensus molestiam exhibeat. Sed & si nudum fuerit, tale auferre oportet. [2] Reliqua sive præseces, ' sive non præseces, non multum refert. Hoc enim certo scire expedit,

εἰδέναι χρὴ, ὁπόσα ὀστέα, ὅσα τελέως στέρεται τῶν σαρκῶν καὶ ἐπιξηραίνεται, ὅτι πάντα τελέως ἀποστήσεται. ὅσα δὲ ἀπολεπιδοῦσθαι μέλλει, ταῦτα οὐ χρὴ ἀποπρίειν. [3] τεκμαίρεσθαι δὲ χρὴ ἀπὸ τῶν γεγραμμένων σημείων τὰ τελέως ἀποστησόμενα. [4] ἰητρεύειν δὲ τοὺς τοιούτους σπλήνεσι καὶ τῇ οἰνηρῇ ἰητρείῃ, ὥσπερ καὶ πρόσθεν γέγραπται, τῶν ἀποστησομένων ὀστέων. [5] φυλάσσεσθαι δὲ χρὴ μὴ καταψύχειν τὸν πρῶτον χρόνον. ῥιγέων γὰρ πυρετωδέων κίνδυνος. [6] κίνδυνος δὲ καὶ σπασμῶν. προκαλέεται γὰρ ἀεὶ σπασμοὺς τὰ ψυχρά. ποτὲ δὲ καὶ ἕλκη. [7] εἰδέναι δὲ χρὴ, ὅτι περ ἀνάγκη βραχύτερα τὰ σώματα ταύτῃ γίνεσθαι, ὧν ἀμφότερα τὰ ὀστέα κατεηγότα καὶ παρηλλαγμένα ἰητρεύονται, καὶ οἷς ὅλως καὶ ὁ κύκλος τοῦ ὀστέου ἀπέστη.

XXXVIII. Ὅσοις δὲ μηροῦ ὀστέον ἢ βραχίονος ἐξίσχει, οὗτοι οὐ μάλα περιγίνονται. τὰ γὰρ ὀστέα μεγάλα καὶ πολυμύελα, καὶ πολλὰ καὶ ἐπίκαιρα τὰ συντιτρωσκόμενα νεῦρα, καὶ μύες καὶ φλέβες. [2] καὶ, ἢν μὲν ἐμβάλλῃς, σπασμοὶ φιλέουσιν ἐπιγίνεσθαι. μὴ ἐμβληθεῖσι δὲ, πυρετοὶ ὀξέες, καὶ ἐπίχολοι καὶ λυγγώδεες, καὶ ἐπιμελαίνονται. [3] περιγίνονται δὲ οὐχ ἧσσον, οἷσι μὴ ἐμβληθῇ, μηδὲ πειρηθῇ ἐμβάλλεσθαι. ἔτι δὲ μᾶλλον περιγίνονται, οἷσι τὸ κάτω μέρος τοῦ ὀστέου ἐξίσχει, ἢ οἷσι τὸ ἄνω. [4] περιγίνονται δ' ἂν καὶ οἷσιν ἐμβληθείη σπανίως γε μήν. [5] μελέται γὰρ μελετέων μέγα διαφέρουσι, καὶ φύσιες φυσίων τῶν σωμάτων ἐς εὐφορίην. [6] διαφέρει δὲ μέγα καὶ ἢν

pedit, quod ossa quæ carnibus perfecte privantur, ac exarescunt, omnia penitus discedent. A quibus vero squamæ discessuræ sunt, ea præsecare non oportet. [3] Conjecturam vero eorum quæ discedent, ex constitutis signis facere oportet. [4] Curare autem tales spleniis & vinosa curatione, velut etiam prius de discessuris ossibus scriptum est. [5] Sed cavere decet ne primo tempore frigidis madefiant. Rigorum enim febrilium periculum est. [6] Periculum item convulsionum. Frigida enim semper convulsionem provocant: quandoque vero etiam ulcera. [7] Nosse quoque id convenit, necesse esse ibi corpora breviora fieri, ubi ossa fracta ac immutata curantur, & quibus totus ossis circulus discessit.

XXXVIII. At vero quibus femoris aut brachii os extra eminet, hi non valde superstites evadunt. Nam & ossa magna sunt, & multum medullæ habent: & quæ simul vulnerantur, multa sunt & magni momenti, & nervi, & musculi & venæ. [2] Et si quidem reposueris, convulsiones accedere solent. Si vero non reposita fuerint, febres acutæ, & biliosæ, & singultuosæ oboriuntur, & denigrantur. [3] Non minus autem superstites evadunt hi, quibus reposita non sunt, neque tentatum est ut reponerentur. Adhuc vero magis evadunt, quibus inferna ossis pars eminet extra, quam quibus superna. [4] Evadunt etiam quibus reposita fuerint, attamen raro. [5] Nam & curationes à curationibus multum differunt, & naturæ corporum à naturis, ad facile tolerandum. [6] Multum etiam differt

λὼ ἔσω τοῦ βραχίονος καὶ τοῦ μηροῦ τὰ ὀστέα ἐξίσχῃ.

XXXIX. Πολλαὶ γὰρ καὶ ἐπίκαιροι παρατάσιες φλεβῶν ἐν τῷ ἔσω μέρει, ὧν ἔνιαι πιεζόμεναι σφάγιαί εἰσιν. εἰσὶ δὲ καὶ ἐν τῷ ἔξω μέρει, ἧσσον δέ. ἐν τοῖσιν οὖν τοιούτοισι τρώμασι τοὺς μὲν κινδύνους οὐ χρὴ λήθειν, ὁκοῖοί τινές εἰσιν, καὶ προλέγειν χρὴ πρὸς τοὺς καιρούς. [2] εἰ δὲ ἀναγκάζοιο μὲν ἐμβαλεῖν, ἐλπίζοις δὲ ἐμβάλλειν, καὶ μὴ πολλὴ ἡ παράλλαξις ᾖ τοῦ ὀστέου, καὶ μὴ ξυνδεδραμήκοιεν οἱ μύες, φιλέουσι γὰρ ξυνθεῖν, ἡ μόχλευσις καὶ τούτοισι μετὰ τῆς κατατάσιος ὠφελοίη ἂν ξυλλαμβάνουσα. [3] Ἐμβάλλοντα δὲ ἐλλέβορον μαλθακὸν πιπίσκειν χρὴ αὐθημερὸν, ἢν αὐθημερὸν ἐμβληθῇ, εἰ δὲ μὴ, οὐδ᾽ ἐγχειρέειν χρή. τὸ [4] δὲ ἕλκος ἰητρεύειν χρὴ οἵηπερ κεφαλῆς ὀστέα κατεηγότα, καὶ ψυχρὸν μηδὲν προσφέρειν. σιτίων δὲ στερῆσαι τελέως, καὶ ἢν μὲν πικρόχολος φύσει ᾖ, ὀξύγλυκυ εὐῶδες ὀλίγον ἐπὶ ὕδωρ ἐπιστάζοντα τούτῳ διαιτᾶν. [5] ἢν δὲ μὴ πικρόχολος ᾖ, ὕδατι ποτῷ χρῆσθαι. καὶ ἢν μὲν πυρεταίνῃ ξυνεχῶς, τεσσαρεσκαίδεκα ἡμέρας τὸ ἐλάχιστον οὕτω διαιτᾶν. [6] ἢν δὲ ἀπύρετος ᾖ, ἑπτὰ ἡμέρησιν. ἔπειτα ἐκ προσαγωγῆς κατὰ λόγον, ἐς τὴν φαύλην δίαιταν ἄγειν. καὶ οἷσιν ἂν μὴ βληθῇ τὰ ὀστέα, καὶ τὴν φαρμακείην χρὴ τοιαύτην ποιέεσθαι, καὶ τῶν ἑλκέων τὴν μελέτην, καὶ τὴν δίαιταν ὡσαύτως. [7] καὶ τὸ ἀπαιωρεύμενον τοῦ σώματος μὴ κατατείνειν, ἀλλὰ

differt an in interna brachii ac femoris parte ossa extra promineant.

XXXIX. Multæ enim & periculosæ venarum extensiones in interna parte sunt, quarum aliquæ si vulnerentur, lethales sunt. Sunt autem & in externa parte, verum minus. In talibus igitur vulneribus qualia pericula immineant, ignorare non oportet, & ad temporum occasiones prædicere. Si [2] vero reponere hæc ossa cogaris, & reponendi aliqua tibi spes sit, & non multa ossis immutatio fuerit, & musculi non concurrerint (solent enim concurrere) vectis molitio etiam his cum extensione, opem bene ferre poterit. [3] Ubi vero reponis, veratrum molle bibendum dare oportet eadem die, si eadem die reposita fuerint. Sin minus, ne aggredi quidem oportet. [4] Verum ulcus curare oportet velut in capitis ossibus fractis, & frigidi nihil adhibere, & cibos penitus auferre: & si quidem amara bile præditus natura fuerit, favorum cremorem odoratum coctum, aut acetum mulsum dulce, in aquam instillato, eoque pro victu utatur. [5] Si vero amara bile præditus non sit, aquæ potione utatur. Et si quidem continua febre laborarit, ad quatuordecim dies ut minimum hoc victu degat. [6] Si vero sine febre sit, septem diebus. Postea sensim progressu contingente secundum rationem ad vulgarem victum adducatur. Et quibus ossa non reposita fuerint, eandem itidem medicamenti purgationem facere oportet, & ulcerum curationem, eundem item exhibere victum: & [7] dependentem de corpore partem non extendere, sed

ἀλλὰ καὶ προσάγειν μᾶλλον, ὥστε χαλαρώτερον εἶναι τὸ κατὰ τὸ ἕλκος. [7] τῶν δὲ ὀστέων ἀπόστασις χρονίη, ὥσπερ καὶ πρόσθεν εἴρηται. μάλιστα δὲ χρὴ τὰ τοιαῦτα διαφυγεῖν [8] ἀλλ' ἤν τις καλὴν ἔχῃ τὴν ἀποφυγήν. αἵ τε γὰρ ἐλπίδες ὀλίγαι, καὶ οἱ κίνδυνοι πολλοί. [9] καὶ μὴ ἐμβάλλων ἄτεχνος ἂν δοκέοι εἶναι, καὶ ἐμβάλλων ἂν ἐγγυτέρω τοῦ θανάτου ἀγάγοι, ἢ τῆς ὑγιείης.

XL. Τὰ δὲ ὀλισθήματα τὰ κατὰ γούνατα, καὶ τὰ διακινήματα τῶν ὀστέων, εὐηθέστερα πολὺ τῶν κατ' ἀγκῶνα κινημάτων καὶ ὀλισθημάτων. [2] τό, τε γὰρ ἄρθρον τοῦ μηροῦ εὐσταλέστερον ὡς ἐπὶ μεγέθει, ἢ τὸ τοῦ βραχίονος, καὶ δικαίην φύσιν μοῦνον ἔχον, καὶ ταύτην περιφερέα. [3] τὸ δὲ τοῦ βραχίονος ἄρθρον μέγα καὶ βαθμίδας πλείονας ἔχον. πρὸς δὲ τούτοις, τὰ μὲν κνήμης ὀστέα παραπλήσια μῆκός ἐστι, καὶ σμικρόν τι οὐκ ἄξιον λόγου, τὸ ἔξω ὀστέον ὑπερέχει, οὐδενὸς μεγάλου κώλυμα ἐόν, ἀφ' οὗ πέφυκεν ὁ ἔξω τένων ὁ παρὰ τὴν ἰγνύην. [4] τὰ δὲ τοῦ πήχεος ὀστέα ἄνισά ἐστι, καὶ τὸ βραχύτερον παχύτερον συχνῷ. τὸ δὲ λεπτότερον πολλῷ ὑπερβάλλει καὶ ὑπερέχει τὸ ἄρθρον. [5] ἐξήρτηται μέν τοι καὶ τοῦτο τῶν νεύρων κατὰ τὴν κοινὴν ξύμφυσιν τῶν ὀστέων. πλεῖον δὲ μέρος ἔχει τῆς ἐξαρτήσιος τῶν νεύρων ἐν τῷ βραχίονι τὸ λεπτότερον ὀστέον, ἤπερ τὸ παχύ. [6] ἡ μὲν οὖν φύσις τοιουτότροπος τῶν ἄρθρων τούτων καὶ τῶν ὀστέων τοῦ ἀγκῶνος.

XLI. Καὶ διὰ τὸν τρόπον τῆς φύσιος τὰ κατὰ γόνυ ὀστέα πολλάκις μὲν ὀλισθαίνει, ῥηϊδίως δὲ ἐμπίπτει. [2] φλεγμονὴ δὲ οὐ μεγάλη προσγίνεται, οὐδὲ δεσμὸς τοῦ ἄρθρου. ὀλισθαίνει δὲ τὰ πλεῖστα εἰς τὸ εἴσω μέρος, ἔστι δ' ὅτε

sed magis adducere, quo laxior sit pars circa ulcus. At ossium discessus diuturnus est, velut etiam prius dictum est: maxime vero talia fugere oportet, [8] si modo quis honestam fugam habeat. Nam & spes paucæ sunt, & pericula multa: [9] & si quis non reponat, artis expers esse videri poterit: & si reponat, propinquius ad mortem quam ad salutem perduxerit.

XL. Cæterum luxationes & emotiones ossium circa genua, multo mitiores sunt emotionibus, ac luxationibus circa cubiti flexuram. [2] Nam femoris articulus pro magnitudine expeditior est quam brachii, & justam naturam solum habet, eamque rotundam. [3] Brachii vero articulus & magnus est, & sinus plures habet. Ad hæc vero, tibiæ ossa longitudine inter se similia sunt: & externum os paululum, ne memorabili quidem modo excedit, nullum magnum impedimentum afferens, a quo externus tendo circa poplitem enascitur. [4] At cubiti ossa inæqualia sunt, & quod brevius est, multo crassius est: quod vero tenuius est, multum superat & excedit articulum. [5] Dependet tamen & hoc ex nervis, juxta communem ossium connexionem. Majorem autem partem connexionis nervorum in brachio os tenue habet, quam crassum. [6] Horum itaque articulorum & ossium flexuræ cubiti natura hujusmodi est.

XLI. Et propter naturæ modum, ossa circa genu sæpe quidem luxantur, facile autem rursus incidunt ac reponuntur. [2] Inflammatio vero non magna accedit, neque vinculum articuli. Luxantur autem plerunque in inter-

δ' ὅτε καὶ ἐς τὸ ἔξω· ποτὲ δὲ καὶ ἐς τὴν ἰγνύην. [3] τούτων ἁπάντων αἱ ἐμβολαὶ οὐ χαλεπαί. ἀλλὰ τὰ μὲν ἔξω ἢ ἔσω ὀλισθαίνοντα, καθῆσθαι μὲν χρὴ τὸν ἄνθρωπον ἐπὶ χαμαιζήλου τινός· τὸ δὲ σκέλος ἀνωτέρω ἔχειν, μὴ μέντοι πολλῷ. [4] κατάτασις δὲ ὡς ἐπὶ τὸ πολὺ μετρίη ἀρκέει. τῇ μὲν κατατείνειν τὴν κνήμην, τῇ δὲ ἀντιτείνειν τὸν μηρόν. τὰ [5] δὲ κατὰ τὸν ἀγκῶνα ὀχλωδέστερά ἐστι τῶν κατὰ τὸ γόνυ καὶ δυσεμβολώτερα, καὶ διὰ τὴν φλεγμονὴν, ἢν μή τις αὐτίκα ἐμβάλλοι. ὀλισθαίνει μὲν γὰρ ἧσσον, ἢ ἐκεῖνα· δυσεμβολώτερα δὲ καὶ δυσθετώτερα, καὶ ἐπιφλεγμαίνει μᾶλλον, καὶ ἐπιπωροῦται. [6] ἔστι δὲ καὶ τούτων τὰ μὲν πλεῖστα σμικραὶ ἐγκλίσιες, ἄλλοτε ἐς τὸ πρὸς τῶν πλευρέων μέρος, ἄλλοτε τὸ ἔξω. [7] οὐ πᾶν δὲ τὸ ἄρθρον μεταβεβηκὸς, ἀλλὰ μένον τι κατὰ τὸ κοῖλον ὀστέον τοῦ ὀστέου τοῦ βραχίονος, ᾗ τὸ τοῦ πήχεος ὀστέον τὸ ὑπερέχον ἔχει. τὰ μὲν οὖν τοιαῦτα, καὶ τῇ ἢ τῇ ὀλισθῇ, ῥηΐδιον ἐμβάλλειν, καὶ ἀπόχρη ἡ κατάτασις ἡ ἐς τὸ ἰθὺ γινομένη κατ' ἰθυωρίην τοῦ βραχίονος, τὸν μὲν κατὰ τὸν καρπὸν τῆς χειρὸς τείνειν· τὸν δὲ κατὰ τὴν μασχάλην περιβάλλοντα. [8] τὴν δὲ ἑτέρην πρὸς τὸ ἐξεστεὸς ἄρθρον τὸ θέναρ προσβάλλοντα ὠθέειν. τῇ δ' ἑτέρῃ ἀντωθέειν προσβάλλοντα ἐγγὺς τοῦ ἄρθρου. ἐνακούει δὲ οὐ βραδέως ἐμβαλλόμενα τὰ τοιαῦτα ὀλισθήματα, [9] ἢν πρὶν φλεγμῆναι ἐμβάλλῃ τις. ὀλισθαίνει δὲ, ὡς ἐπὶ τὸ πολὺ, μᾶλλον ἐς τὸ ἔσω μέρος. ὀλισθαίνει δὲ καὶ ἐς τὸ ἔξω. [10] εὔδηλα δὲ τῷ σχήματι, καὶ πολλάκις ἐμπίπτει τὰ τοιαῦτα καὶ ἄνευ ἰσχυρῆς κατατάσιος.

internam partem, aliquando etiam ad externam, quandoque etiam ad poplitem.[3] Horum omnium repositiones non ſunt difficiles. Verum ſi quidem foras aut intro luxentur, hominem in humili aliquo ſedili ſedere oportet, ita ut crus altius, non tamen multo habeat. [4] Extenſio autem plerunque moderata ſufficit, ita ut ab altera parte tibia, ab altera femur in diverſum extendatur. [5] At oſſa circa cubiti flexuram moleſtiora ſunt, quam quæ circa genu ſunt, & difficilius reponi poſſunt, etiam ob inflammationem, ſi quis non ſtatim reponat. Luxantur quidem minus quam illa, verum difficilius reponuntur ac coaptantur: inſuperque inflammantur, ac callum acquirunt. [6] Sunt autem & horum plerunque parvæ inclinationes, aliquando ad partem ad coſtas, aliquando ad externam, [7] non ut totus articulus ſit emotus, ſed manet quid juxta oſſis brachii cavitatem, qua parte cubiti os excedens habet. Talia igitur ſive hac, ſive illac luxentur, facile eſt reponere: & ſufficit extenſio in directum facta, ſecundum brachii rectitudinem, ita ut alter juxta manus juncturam extendat, alter locum ſub alis amplectatur. [8] Medicus vero altera manu ad emotum articulum admota, volis impellat: altera prope ad articulum injecta retrudat. Obediunt autem tales luxationes, & non tarde reponuntur, [9] ſi quis antea quam inflammentur reponat. Luxantur autem plerunque magis ad internam partem: luxantur etiam ad externam. [10] Innoteſcit id ex figura: & talia ſæpe etiam abſque vehementi tenſione rurſus incidunt.

τάσιος. χρὴ δὲ τῶν ἔσω ὀλισθανόντων, τὸ μὲν ἄρθρον ἀπωθέειν ἐς τὴν φύσιν, τὸν δὲ πῆχυν ἐς τὸ καταπρηνὲς μᾶλλον ῥέποντα περιάγειν. τὰ μὲν πλεῖστα ἀγκῶνος τοιαῦτα ὀλισθήματα.

LII. Ἢν δὲ ὑπερβῇ τὸ ἄρθρον, ἢ ἔνθα ἢ ἔνθα ὑπὲρ τὸ ὀστέον τοῦ πήχεος τὸ ἐξέχον ἐς τὸ κοῖλον τοῦ βραχίονος· γίνεται μὲν οὖν ὀλιγάκις τοῦτο· ἢν δὲ γένηται, οὐκ ἔτι ὁμοίως ἡ κατάτασις ἡ ἐς ἰθυωρίην γινομένη ἐπιτηδείη τῶν τοιουτέων ὀλισθημάτων. [2] κωλύει γὰρ ἐν τῇ τοιαύτῃ κατατάσει τὸ ἀπὸ τοῦ πήχεος ὑπερέχον ὀστέον τὴν ὑπέρβασιν τοῦ βραχίονος. [3] χρὴ τοίνυν οὕτως ἐκβεβληκόσι τὴν κατάτασιν ποιέεσθαι τοιαύτην, οἵην περ πρόσθεν γέγραπται, ἐπὴν τις ὀστέα βραχίονος κατεηγότα ἐπιδέῃ, ἀπὸ μὲν τῆς μασχάλης ἐς τὸ ἄνω τείνεσθαι· [4] ἀπὸ δὲ τοῦ ἀγκῶνος αὐτοῦ ἐς τὸ κάτω ἀναγκάζειν. οὕτω γὰρ ἂν μάλιστα ὁ βραχίων ὑπερεωρηθείη ὑπὲρ τῆς ἑωυτοῦ βαθμίδος. [5] ἢν δὲ ὑπερεωρηθῇ, ῥηιδίη ἡ κατάστασις τοῖσι θέναρσι τῶν χειρῶν. [6] τὸ μὲν ἐξεστεὸς τοῦ βραχίονος ἐμβάλλοντα ὠθέειν. τὸ δὲ ἐς τὸ τοῦ πήχεος ὀστέον τὸ παρὰ τὸ ἄρθρον ἐμβάλλοντα ἀντωθέειν. τὸν αὐτὸν τρόπον ἄμφω, ἧσσον μέντοι. [7] ἡ τοιαύτη κατάστασις τοῦ τοιούτου ὀλισθήματος δικαιοτάτη. [8] ἐμβληθείη δὲ καὶ ἀπὸ τῆς ἐς ἰθὺ κατατάσιος, ἧσσον δὲ ἢ οὕτω.

XLIII. Ἢν δὲ ἐς τοὔμπροσθεν ὀλισθῇ ὁ βραχίων· ἐλαχιστάκις μὲν τοῦτο γίνεται· ἀλλὰ τί ἂν ἐξαπίνης ἐκπάλησις οὐκ ἐκβάλλοι; πολλὰ γὰρ καὶ παρὰ τὴν οἰκείην φύσιν ἐκπίπτει, ἢν μέγα ᾖ καὶ τὸ κωλῦον. [2] ταύτῃ δὲ τῇ ἐκπαλήσει μέγα ἐστὶ τὸ ὑπερβαινόμενον τὸ ὑπὲρ τὸ παχύ-

Tom. II. τερον

incidunt. Oportet autem in his quæ intro luxantur, articulum quidem ad naturam suam repellere, cubitum vero magis in pronam partem vergentem circumducere. Et plerunque sane cubiti luxationes hujusmodi sunt.

XLII. Si vero transgressus fuerit articulus, aut hac, aut illac, supra cubiti os, quod ad brachii cavitatem excedit: fit quidem raro hoc: si vero fiat, non amplius similiter extensio in directum contingens, talibus luxationibus idonea est. [2] In tali enim extensione, os à cubito excedens, brachii transgressionem prohibet. [3] Oportet itaque sic emotis extensionem talem facere, qualis prius descripta est, ubi quis ossa brachii fracta deligat, ut ab alia quidem in supernam partem tensio fiat, [4] ab ipsa vero cubiti flexura, ad infernam cogatur. Sic enim brachium supra suum sinum maxime elevabitur. [5] Si vero elevatum fuerit, facilis est restitutio cum volis manuum, [6] ita ut emotam quidem brachii partem apprehendentes impellamus, os vero cubiti juxta articulum retrudamus, utraque eodem modo, minus tamen. [7] Atque talis extensio hujusmodi luxationis justissima est. [8] Poterit etiam reponi per extensionem in directum, verum minus quam hoc modo.

XLIII. At si in anteriorem partem brachium luxetur: rarissime autem hoc contingit. Sed quid repentina eluctatio non ejecerit? Multa enim etiam præter naturam suam excidunt, etiamsi magnum quid sit quod prohibeat. [2] Huic autem eluctationi magnum quoddam obstaculum est, & os crassius quod superex-

προν τοῦ ὀστέου καὶ τῶν νεύρων συχνὴ κατάτασις. 3 ὅμως δὲ δή τισιν ἐξεπάλησε. σημεῖον δὲ τοῖς οὕτως ἐκπαλήσασιν. οὐδὲν γὰρ χρῆμα τοῦ ἀγκῶνος κάμψαι δύνανται. 4 δῆλον δὲ καὶ τὸ ἄρθρον ψαυόμενον. 45 ἢν μὲν οὖν μὴ αὐτίκα ἐμβληθῇ, ἰσχυραὶ καὶ βίαιοι φλεγμοναὶ καὶ πυρετώδεες γίνονται. 5 ἢν δὲ δὴ αὐτίκα τις παρατύχῃ, εὐέμβολον. 2 χρὴ δὲ ὀθόνιον σκληρὸν εἱλιγμένον· ἀρκέσει μὴ μέγα· ἐνθέντα πλάγιον ἐς τὴν καμπὴν τοῦ ἀγκῶνος ἐξαπίνης ξυγκάμψαι τὸν ἀγκῶνα, καὶ προσαναγαγεῖν ὡς μάλιστα τὴν χεῖρα πρὸς τὸν ὦμον. 6 ἱκανὴ μὲν οὖν αὕτη ἡ ἐμβολὴ τοῖσιν οὕτω ἐκπαλήσασιν. ἀτὰρ καὶ ἐς τὸ ἰθὺ κατάτασις δύναται δι-47 θετίζειν τοῦτον τὸν τρόπον τῆς ἐμβολῆς. 7 τοῖσι μέντοι θέναρσιν τῆς χειρὸς χρὴ, τὸ μὲν ἐμβάλλοντα ἐς τὸ τοῦ βραχίονος ἐξέχον τὸ παρὰ τὴν καμπὴν ὀπίσω ἀπωθέειν· τὸ δὲ ἴγνα κάτωθεν ἐς τὸ τοῦ ἀγκῶνος ὀξὺ ἐμβάλλοντα ἀπωθέειν ἐς τὴν ἰθυωρίην τοῦ πήχεος ῥέποντα. 3 δύναται δὲ ἐν τούτῳ τῷ τρόπῳ τοῦ ὀλισθήσιος καὶ ἐκείνη ἡ κατάτασις ἡ πρόσθεν γεγραμμένη, ὡς χρὴ κατατείνειν τὰ ὀστέα τοῦ βραχίονος 5 κατεηγότα, ἐπὴν μέλλωσιν ἐπιδεῖσθαι. 8 ἐπὴν δὲ κατατανθῇ, οὕτω χρὴ τοῖσι θέναρσι τὰς προσβολὰς ποιέεσθαι, ὥσπερ καὶ πρόσθεν γέγραπται.

1 XLIV. Ἢν δὲ ἐς τοὔπισω βραχίων ἐκπίσῃ (ὀλιγάκις δὲ τοῦτο γίνεται), 34 ἐπωδυνώτατον δὲ τοῦτο πάντων καὶ πυρετωδέστατον ξυνεχέων πυρετῶν καὶ ἀκρητοχόλων, θανατωδέων καὶ ὀλιγημερέων· οἱ τοιοῦτοι ἐκτανύειν οὐ δύνανται. 2 ἢν μὲν οὖν αὐτίκα παρατύχοις, βιάσασθαι χρὴ ἐκτανύοντα τὸν ἀγκῶνα, καὶ

cedit, & multa nervorum extensio: 3 attamen quidam sane eluctantur. Signum autem his qui ita eluctati sunt. Nihil enim de cubito flectere possunt. 4 Manifestus est etiam articulus ad contactum. Si quidem igitur non statim repositus fuerit, vehementes ac violentæ inflammationes, itemque febriles fiunt. 5 Si vero statim quis occurrat, facile reponi potest. Oportet autem linteum durum convolutum (suffecerit non magnum) 335 imponere obliquum in cubiti flexuram, & derepente cubitum inflectere, & manum quam maxime ad humerum adducere. 6 Sufficiens igitur fuerit hæc repositio, his qui ita eluctati sunt. Sed & extensio in directum, hunc repositionis modum coaptare potest: 7 volis tamen manus in eminentem brachii partem injectis, juxta flexuram retro impellere oportet, ita ut aliquis inferne iisdem in cubiti 340 gibbum injectis, ad cubiti rectitudinem retrudat. Efficax est etiam in hoc luxationis modo illa extensio quæ prius scripta est, quomodo ossa brachii fracta extendere oportet, ubi sunt deliganda. 8 Postquam vero extenta fuerint, sic cum manuum volis injectis coaptationes facere, velut etiam prius scriptum est.

XLIV. Cæterum si in posteriorem partem brachium exciderit (raro autem hoc contingit) hæc luxatio omnium maxime 341 dolorosa existit, & febres continuas meracæ bilis paucorum dierum ac maxime lethales inducit, & tales extendere brachium non possunt. 2 Si igitur statim affueris, extento cubiti gibbo cogere oportet, & sponte incidit.

10 καὶ αὐτόματον ἐμπίπτει. [3] ἢν δὲ ἤδη φθήσῃ πυρετήνας, οὐκ ἔτι χρὴ ἐμβάλλειν. καταπείνειν γὰρ ἂν ἡ ὀδύνη ἀναγκαζομένη. ὡς ἐν κεφαλαίῳ εἰρῆσθαι, οὐδ' ἄλλο χρὴ ἄρθρον πυρεταίνοντι ἐμβάλλειν, ἥκιστα δὲ ἀγκῶνα. [4] ἔστι δὲ καὶ ἄλλα σίνεα καὶ ἀγκῶνα ἐνοχλώδεα. τοῦτο μὲν γὰρ τὸ παχύτερον ὀστέον ἐστὶν, ὅτε ἐκινήθη ἀπὸ τοῦ ἑτέρου, καὶ οὔτε ξυγκάμπτειν, οὔτε κατατείνειν ὁμοίως δύ-
15 ναται. [5] δῆλον δὲ γίνεται ψαυόμενον κατὰ τὴν ξύγκαμψιν τοῦ ἀγκῶνος παρὰ τὴν διαχάλασιν τῆς φλεβὸς τὴν ἄνωθεν τοῦ μυὸς τείνουσαν. οἷσι δὲ τὸ τοιοῦτον, οὐκ ἔτι ῥηΐδιον ἐς τὴν ἑωυτοῦ φύσιν ἀγαγεῖν. [6] οὐδὲ γὰρ ἄλλην οὐδεμίην ῥηΐδιον ξυμφύσιος κοινὴν δύο ὀστέων κινηθεῖσαν ἐς τὴν ἀρχαίην φύσιν ἱδρυνθῆναι, ἀλλ' ἀνάγκη ὄγκον ἴσχειν τὴν διάστασιν. ὡς δὲ ἐπιδεῖν χρὴ ἐν ἄρθρῳ, ἐν τῇ κατὰ σφυρὸν ἐπιδέσει εἴρηται.

XLV. Ἔστι δὲ οἷσι κατήγνυται τοῦ πήχεος τὸ ὀστέον τὸ ὑποπεπταμένον τῷ βραχίονι, ὅτε μὲν τὸ χονδρῶδες αὐτοῦ, ἀφ' οὗ πέφυκεν ὁ τέ-
20 νων ὄπισθεν τοῦ βραχίονος, καὶ ἢν τοῦτο κινηθῇ, πυρετῶδες καὶ κακόηθες γίνεται, τὸ μέντοι ἄρθρον μένει ἐν τῇ ἑωυτοῦ χώρῃ. ἴσως γὰρ ἡ βάσις αὐτέη ταύτῃ ὑπερέχει. ὅταν δὲ ἀπαγῇ ταύτῃ ᾗ ὑπερέχει ἡ κεφαλὴ τοῦ βραχίονος, πλανωδέστερον τὸ ἄρθρον γίνεται [ἢ] ἢν παντάπασιν ἀποκαυλισθῇ. [3] ἀπινέστερα δὲ, ὡς ἐν κεφαλαίῳ εἰρῆσθαι, πάντα τὰ κατηγνύμενα τῶν ὀστέων ἐστὶν, ἢ οἷσι τὰ μὲν ὀστέα οὐ κατάγνυται, φλέβες δὲ καὶ νεῦρα ἐπίκαιρα ἀμφι-
25 φλᾶται ἐν τούτοισι τοῖσι χωρίοισιν. [4] ἐγγυτέρω γὰρ θανάτου πελάζει ταῦτα ἢ ἐκεῖνα, ἢν ἐκπυρωθῇ ξυνεχεῖ

incidit. [3] *Si vero febris prævenerit, non amplius reponere oportet, dolor enim in cogendo augescet.* Ut autem in summa dicam, neque alium articulum febrienti reponere oportet, minime vero cubiti gibbum. [4] Sunt autem & aliæ læsiones ac molestiæ circa cubiti gibbum. Hoc enim os crassius, si quando ab altero emotum est, neque flecti, neque extendi similiter potest. [5] Manifestum autem fit ex contactu, juxta cubiti flexuram, circa venæ discissionem supra musculum tendentem. Quibus autem tale accidit, his non amplius facile est ad suam naturam reducere. [6] Neque enim aliam ullam communem duorum ossium connexionem emotam, ad pristinam naturam collocare facile est: sed necesse est tumorem habere ipsam disparationem. Quomodo vero deligare oportet in articulo, dictum est in deligatione circa malleolum.

XLV. Quibusdam autem os cubiti brachio subjectum frangitur, quandoque quidem cartilaginosa ipsius pars, ex qua tendo retro brachium enascitur: & ubi hæc emota fuerit, febrile est ac malignum. Articulus tamen manet in suo loco, [2] æqualiter enim basis ipsius hac parte excedit. Quum autem abductus fuerit ea parte qua caput brachii excidit, vagabundus magis fit articulus, quam si penitus sit abruptus. [3] Nam, ut in summa dicam, omnia ossa quæ franguntur, minus noxia sunt, quam si ossa quidem non frangantur, venæ autem & nervi alicujus momenti in his locis contundantur. [4] Vicinius enim ad mortem accedunt hæc quam illa, si

ξυνεχεῖ πυρετῷ. ὀλίγα γε μὲν τὰ τοιαῦτα κατήγματα γίνεται. 5 ἔστι δ' ὅτι αὕτη ἡ κεφαλὴ τοῦ βραχίονος κατὰ τὴν ἐπίφυσιν κατάγνυται. οὗτος δὲ δοκέων κακοσινώτερον εἶναι πολλῷ, πολλῷ τινι εὐηθέστερον τῶν κατ' ἀγκῶνα σινέων ἐστίν.

XLVI. Ὡς μὲν οὖν ἕκαστα τῶν ὀλισθημάτων ἁρμόσει ἐμβάλλειν καὶ μάλιστα ἰητρεύειν, γέγραπται. καὶ ὅτι παραχρῆμα ἐμβάλλειν καὶ μάλιστα ἄρθρον ξυμφέρει διὰ τὸ τάχος τῆς φλεγμονῆς τῶν νεύρων. 2 καὶ γὰρ, ἢν ἐκπεσόντα αὐτίκα ἐμπέσῃ, ὁμοίως φιλέει τὰ νεῦρα ξυντάσιν ποιέεσθαι, καὶ [οὐδὲν] κωλύει ἐπὶ ποσὸν χρόνον τήν τε ἔκτασιν, ὅσην περ φιλέει ποιέεσθαι, τήν τε ξύγκαμψιν. 3 ἰητρεύειν δὲ πάντα παραπλησίως ταῦτα ξυμφέρει, καὶ ὁκόσα ἄγνυται, καὶ ὁκόσα διΐσταται, καὶ ὁκόσα ὀλισθαίνει. 4 πάντα γὰρ χρὴ ὀθονίοισι πολλοῖσι καὶ σπλήνεσιν καὶ κηρωτῇ ἰητρεύειν, ὥσπερ καὶ τἄλλα κατήγματα. τὸ δὲ σχῆμα τοῦ ἀγκῶνος ἐν τούτοισι παντάπασι δεῖ τοιοῦτον ποιέεσθαι, οἷόν περ, οἷσι βραχίων ἐπιδεῖται κατεαγείς, καὶ πῆχυς. 5 κοινότατον μὲν γὰρ πᾶσι τοῖσιν ὀλισθήμασι, καὶ τοῖσι κινήμασι, καὶ τοῖσι κατήγμασι τοῦτο τὸ σχῆμά ἐστι. 6 κοινότατον δὲ πρὸς τὴν ἔπειτα διάτασιν, καὶ τὸ ἐκτανύειν ἕκαστα, καὶ ξυγκάμπτειν. ἐντεῦθεν γὰρ ὁδοὶ ἐς ἀμφότερα παραπλήσιοι. εὐοχώτατον δὲ καὶ εὐαναληπτότατον αὐτῷ τῷ κάμνοντι τοῦτο τὸ σχῆμα. ἔτι δὲ πρὸς τούτοις, εἰ ἄχρι κρατηθείη ὑπὸ τοῦ πωρώματος. εἰ μὲν ἐκτεταμένη ἡ χεὶρ κρατηθείη, κρέσσων ἂν εἴη μὴ προσεοῦσα. πολλῷ μὲν γὰρ κώλυμα εἴη, ὠφελείη δὲ ὀλίγον. εἰ δ' αὖ ξυγκεκαμμένη, μᾶλλον εὔχρη-

febris continua accesserit. Paucæ tamen tales fracturæ fiunt. 5 Quandoque vero hoc brachii caput juxta appendicem frangitur: atque hoc quum videatur multo magis noxium esse, longe mitius noxis circa cubiti gibbum contingentibus existit.

XLVI. Quomodo igitur singulas luxationes reponere, & præsertim curare oportet, scriptum est: & quod statim reponere articulum maxime confert, propter celeritatem inflammationis nervorum. 2 Nametiamsi elapsa statim reposita fuerint, similiter tamen nervi distentionem facere solent, & ad tempus aliquod tum extensionem, quam facere solent, tum influxionem impedire. 3 Confert autem omnia hæc similiter curare, & quæ franguntur, & quæ disparantur, & quæ luxantur. 4 Omnia enim multis linteis, & spleniis, & cerato curare oportet, velut etiam alias fracturas. At figuram cubiti gibbi in his etiam omnino talem facere oportet, qualem in his quibus brachium fractum, & cubitus deligabatur. 5 Communissima enim omnibus luxationibus, & emotionibus, & fracturis, hæc figura est. 6 Communissima item ad distentionem postea faciendam, & ad singula extendenda, ac inflectenda. Hinc enim viæ sunt ad utrasque partes consimiles. Commodissima est etiam hæc figura ipsi ægroto, ut ipsum & gestet, & appensum excipiat. His adde, si à callo apprehensus fuerit, si quidem extenta manus apprehendatur, melius fuerit si non adsit, multis enim impedimento erit, paucis adjumento. Si vero inflexa, magis quidem commoda fuerit. Verum

εὔχρηστος ἂν εἴη. πολλῷ δὲ εὐχρηστοτέρη ἐς τὸ διὰ μέσου σχῆμα ἔχουσα παραθείη κρέασιν. [7] τὰ μὲν περὶ τοῦ σχήματος τοιαῦτα. [8] ἐπιδεῖν δὲ χρὴ τὴν τε ἀρχὴν τοῦ πρώτου ὀθονίου βαλλόμενον κατὰ τὸ βλαφθὲν, ἤν τε κατεαγῇ, ἤν τε ἐκστῇ, ἤν τε διαστῇ. καὶ τὰς περιβολὰς τὰς πρώτας κατὰ τοῦτο ποιέεσθαι, καὶ ἐρηρείσθω μάλιστα ταύτῃ, ἔνθεν δὲ καὶ ἔνθεν ἐπὶ
45 ἧσσον. [9] τὴν δὲ ἐπίδεσιν κοινὴν ποιέεσθαι χρὴ τοῦ τε πήχεος καὶ τοῦ βραχίονος, καὶ ἐπὶ πουλὺ πλέον ἑκάτερον ἢ ὡς οἱ πλεῖστοι ποιέουσιν, ὅκως
ἐξαρύηται ὡς μάλιστα ἀπὸ τοῦ σίνεος τὸ οἴδημα ἔνθεν καὶ ἔνθεν. [10] περιεπιβαλλέσθω δὲ καὶ τὸ ὀξὺ τοῦ πήχεος, ἤν τε τὸ σίνος κατὰ τοῦτο ᾖ, ἤν τε μὴ, ἵνα [μὴ] τὸ οἴδημα ἐνταῦθα περὶ αὐτὸ ξυλλέγηται. περιφεύγειν δὲ χρὴ ἐν τῇ ἐπιδέσει, ὅκως μὴ κατὰ τὴν καμπὴν πολλὰ τοῦ ὀθονίου ἠθροισμένον
472 ἔσται ἐκ τῶν δυνατῶν. πιεζέσθαι δὲ κατὰ τὸ σίνος ὡς μάλιστα, καὶ τὰ ἄλλα καταλαβέτω αὐτῶν περὶ τῆς πιέξιος καὶ τῆς χαλάσιος. [11] ταῦτα καὶ κατὰ τοὺς αὐτοὺς χρόνους ἕκαστα, ὥσπερ τῶν ὀστέων τῶν κατεηγότων ἐν τῇ ἰητρείῃ πρόσθεν γέγραπται. καὶ αἱ μεταπιδέσιες διὰ τρίτης ἔστωσαν. [12] χαλαρὸν δὲ δοκείτω τῇ τρίτῃ ὥσπερ καὶ τότε καὶ νάρθηκας προσπαραβάλλειν ἐν τῷ ἱκνευμένῳ χρό-
5 νῳ. οὐδὲν γὰρ ἀπὸ τρόπου, καὶ τοῖσι τὰ ὀστέα κατεηγόσι, καὶ τοῖσι μὴ, ἢν μὴ πυρεταίνῃ. [13] ὡς χαλαρωτάτους δὲ, τοὺς μὲν ἀπὸ τοῦ βραχίονος κατατεταμένους, τοὺς δὲ ἀπὸ τοῦ πήχεος κειμένους. [14] ἔστωσαν δὲ μὴ παχέες οἱ νάρθηκες. ἀναγκαῖον δὲ καὶ ἀνίσους αὐτοὺς εἶναι ἀλλήλοισι, παραλλάσσειν δὲ παρ' ἀλλήλους, ἢ ἂν ξυμφέρῃ τεκμαιρόμενον πρὸς τὴν ξύγ-

rum longe commodior, si mediam figuram obtinens callo apprehendatur. [7] Et hæc quidem de figura. [8] Deligare vero oportet, primum lintei initio super ipsam læsam partem injecto, sive 385 fracta fuerit, sive emota, sive disparata: primas etiam obvolutiones super ipsam facere, ita ut maxime hac parte innitantur, minus vero hinc atque illinc. [9] Deligationem autem communem facere oportet, & cubiti, & brachii, utriusque multo plus quam plerique faciunt, quo quam remotissime à læsa parte tumor hinc atque illinc exprimatur. [10] Circumdetur insuper etiam acuta cubiti pars, sive læsio in hac fuerit, sive non, ut ne 390 tumor ibi circa ipsam colligatur. Fugiendum vero est in deligatione, quantum ejus fieri potest, ut ne circa flexuram multa lintea coacervata sint. Compressio autem quam maxime circa læsam partem facienda est. Sed & reliqua compressio ac laxatio eadem adhibeatur, [11] & iisdem temporibus singula, quemadmodum in ossium fractorum curatione antea scriptum est. Et religationes postea per diem tertium fiant. [12] Videatur autem laxa 395 esse deligatio tertia die, velut etiam tunc. Et ferulæ convenïente tempore adhibeantur. Neque enim alienum hoc est, & in his quibus ossa fracta, & quibus non fracta sunt, si non febriant. [13] Sint autem quam laxissimæ partim à brachio extentæ, partim ad cubitum positæ: [14] & non sint crassæ. Necesse est etiam inæquales ipsas esse inter se, ut vicissim permutentur qua parte conducit, conjectura juxta in- 400 flexionem facta. Quin & sple-

 niorum

ξύγκαμψιν. ἀτὰρ καὶ τῶν σπληνῶν τὴν πρόσθεσιν τοιαύτην χρὴ ποιέεσθαι, 10 ὥσπερ καὶ τῶν ναρθήκων εἴρηται. [15] ὀγκηροτέρους δὲ ὀλίγῳ κατὰ τὸ σίνος προστιθέναι. τοὺς δὲ χρόνους τοὺς ἀπὸ τῆς φλεγμονῆς τεκμαίρεσθαι, καὶ ἀπὸ τῶν πρόσθεν γεγραμμένων.

niorum appositionem ejusmodi facere oportet, velut de ferulis dictum est, [15] ita tamen ut paulo tumidiora super læsam partem apponantur. Tempora vero ab inflammatione, & ab his quæ prius scripta sunt, conjectare oportet.

ΙΠΠΟΚΡΑΤΟΥΣ περὶ ΑΡΘΡΩΝ.

HIPPOCRATIS DE ARTICVLIS.

Basil. græc. Foesius sect. VI. 47. 780. Basil. lat.

pag 47: ΩΜΟΥ δὲ ἄρθρον ἕνα 1 τρόπον οἶδα ὀλισθάνον τὸν ἐς τὴν μασχάλην. ἄνω δὲ, οὐδέποτε εἶδον, οὐδὲ ἐς τὸ ἔξω. [2] οὐ μέντοι διϊσχυριεῦμαί γε, εἰ ὀλισθάνοι ἂν, ἢ οὔ, καίπερ ἔχων περὶ αὐτοῦ, ὅ, τι λέγω. ἀτὰρ οὐδὲ ἐς τὸ ἔμπροσθεν οὐδέπω ὄπωπα, οὐδὲ τοῦτο ὅτι ἔδοξέ μοι ὠλισθηκέναι. τοῖσι μέντοι ἰητροῖσι δοκέει κάρτα ἐς τοὔμπροσθεν ὀλισθάνειν, καὶ μάλιστα ἐξαπατῶνται 20 ἐν τούτοισιν, ὧν ἂν φθίσις καταλάβῃ τὰς σάρκας τὰς περὶ τὸ ἄρθρον τε καὶ τὸν βραχίονα. φαίνεται γὰρ ἐν τοῖσι τοιούτοισι παντάπασιν ἡ κεφαλὴ τοῦ βραχίονος ἐξέχουσα ἐς τοὔμπροσθεν. [3] ἐγὼ δὲ ποτε 3 τὸ τοιοῦτον οὐ φὰς ἐκπεπτωκέναι, ἤκουσα φλαύρως ὑπό τε τῶν ἰητρῶν, ὑπό τε τῶν δημοτέων διὰ τοῦτο τὸ πρῆγμα. ἐδόκεον γὰρ αὐτοῖσιν ἠγνοηκέναι μοῦνος, οἱ δὲ ἄλλοι πάντες ἐγνωκέναι, καὶ οὐκ ἠδυνάμην αὐτοὺς ἀναγνῶσαι, εἰ μὴ 4 μόλις, ὅτι τόδ' ἐστὶ τοιόνδε. [4] εἴ τις 5 25 τοῦ βραχίονος ψιλώσειε μὲν τῶν σαρ-

HUMERI vero arti- 1 culum uno modo lu- 285 xari novi, ad locum pag 611 sub alis. Sursum autem nunquam, neque ad exter- 2 nam partem. [2] Non tamen affirmaverim an luxetur, aut non, etiamsi habeam quod dicam de ipso. Sed neque in anteriorem partem unquam vidi, neque videtur mihi unquam excidisse. 5 Medicis tamen videtur valde in anteriorem partem luxari, & maxime decipiuntur in his, quorum carnes tabes circa articulum & brachium occupavit. Apparet enim in talibus caput brachii omnino in anteriorem 3 partem eminens. [3] Atque ego tale aliquando non excidisse afferens, ob hanc rem apud medicos & vulgus male audivi. Solus enim ipsis ignorare videbar, alii vero om- 10 nes cognoscere. Nec potui ipsis persuadere, nisi admo- 4 dum difficulter, rem ita se 5 habere. [4] Si quis in brachio supernam humeri partem carnibus

σαρκίον τῆς ἐπωμίδος, ψιλώσει δὲ, ᾗ ὁ μῦς ἀνατείνει, ψιλώσει δὲ τὸν τένοντα, τὸν κατὰ τὴν μασχάλην καὶ τὴν κληΐδα πρὸς τὸ στῆθος ἔχοντα, φαίνοιτο ἂν ἡ κεφαλὴ τοῦ βραχίονος ἐς τοὔμπροσθεν ἐξέχουσα ἰσχυρῶς, καίπερ οὐκ ἐκπεπτωκυῖα. [5] πέφυκε γὰρ ἐς τοὔμπροσθεν προπετὴς ἡ κεφαλὴ τοῦ βραχίονος. τὸ δ' ἄλλο ὀστέον τοῦ βραχίονος ἐς τὸ ἔξω καμπύλον. [6] ὁμιλέει δὲ ὁ βραχίων τῷ κοίλῳ τῆς ὠμοπλάτης πλάγιος, ὅταν παρὰ τὰς πλευρὰς παρατεταμένος ᾖ. ὅταν μέντοι ἐς τοὔμπροσθεν ἐκτανυσθῇ ἡ ξύμπασα χεὶρ, τότε ἡ κεφαλὴ τοῦ βραχίονος κατ' ἴξιν τῆς ὠμοπλάτης τῷ κοίλῳ γίνεται, [7] καὶ οὐκέτι ἐξέχειν ἐς τοὔμπροσθεν φαίνεται. περὶ οὗ νῦν ὁ λόγος, οὐδέποτε εἶδον οὐδὲ ἐς τοὔμπροσθεν ἐκπεσόν· οὐ μὴν ἰσχυρίζομαί γε οὐδὲ περὶ τούτου, εἰ μὴ ἐκπέσοι ἂν οὕτως, ἢ οὔ. ὅταν οὖν ἐκπέσῃ ὁ βραχίων ἐς τὴν μασχάλην, ἅτε πολλοῖσιν ἐκπίπτοντος, πολλοὶ ἐπίστανται ἐμβάλλειν. [8] ἀγαθὸν δὲ ἐστι τὸ εἰδέναι πάντας τοὺς τρόπους, οἷσιν οἱ ἰητροὶ ἐμβάλλουσι, καὶ ὡς ἄν τις αὐτοῖσι τοῖσι τρόποισι τουτέοισι κάλλιστα χρῷτο. [9] χρέεσθαι δὲ χρὴ τῷ κρατίστῳ τῶν τρόπων, ἢν τὴν ἰσχυροτάτην ἀνάγκην ὁρᾷς. [10] κράτιστος δὲ ὁ ὕστατος γεγραψόμενος.

11. Ὅσοισι μὲν οὖν πυκινὰ ἐκπίπτει ὁ ὦμος, ἱκανοὶ ὡς ἐπὶ τὸ πλεῖστον αὐτοὶ σφίσιν αὐτοῖσιν ἐμβάλλειν εἰσίν. [2] ἐνθέντες γὰρ τῆς ἑτέρης χειρὸς τοὺς κονδύλους ἐς τὴν μασχάλην, ἀναγκάζουσιν ἄνω τὸ ἄρθρον, τὸν δὲ ἀγκῶνα παράγουσιν ἐπὶ τὸ στῆθος. [3] τὸν αὐτὸν δὲ τρόπον τοῦτον καὶ ὁ ἰατρὸς ἂν ἐμβάλλοι, εἰ αὐτὸς μὲν ὑπὸ τὴν μασχάλην, ἐσωτέρω τοῦ ἄρθρου ἐκπεπτωκότος, ὑποτείνας τοὺς

nibus denudarit, denudarit autem qua parte musculus sursum tendit. Nudarit item tendinem, qui sub alis, & juxta claviculam ad pectus est: [5] apparuerit utique caput brachii in anteriorem partem, reliquum autem brachii os, ad externam partem incurvum. [6] Conversatur autem brachium cum scapulæ cavitate obliquum, quum juxta costas fuerit porrectum. Quum vero ad anteriorem partem extenta fuerit tota manus, tunc brachii caput è directo est in scapulæ cavitate, [7] & non amplius in anteriorem partem eminere conspicitur. Verum de quo nunc est sermo, nunquam vidi in anteriorem partem elapsum: non tamen affirmarim ne de hoc quidem, an ita excidat, nec ne. Quum igitur exciderit brachium ad locum sub alis, multi reponere noverunt, utpote quod multis elabatur. [8] Eruditi autem est omnes modos nosse, quibus medici id reponunt, & quo modo quis his modis quam optime utatur. [9] Optimo vero horum modorum uti oportet, si fortissimam necessitatem videris. [10] Optimus autem est qui postremus describetur.

11. Quibuscunque igitur frequenter humerus excidit, hi plerunque ipsi sibiipsis ad reponendum sufficientes sunt. [2] Immissis enim alterius manus digitis ac nodis in locum subalarem, articulum sursum cogunt, cubiti vero gibbum ad pectus adducunt. [3] Eodem etiam modo medicus reponet, si ipse quidem sub alam, articulo magis intro elapso, subtentis digitis à costis diducat, ita ut capite suo in summum hu-

 merum

τοὺς δακτύλους ἀναγκάζοι ἀπὸ τῶν πλευρέων ἐμβάλλων τὴν ἑωυτοῦ κεφαλὴν ἐς τὸ ἀκρώμιον, ἀντερείσιος ἕνεκα, τοῖσι δὲ γούνασι παρὰ τὸν ἀγκῶνα ἐς τὸν βραχίονα ἐμβαλὼν, ἀντωθέει πρὸς τὰς πλευράς. ξυμφέρει δὲ κρατερὰς τὰς χεῖρας ἔχειν τὸν ἐμβάλλοντα. ἢ, αὐτὸς μὲν τῇσι χερσὶ καὶ τῇ κεφαλῇ οὕτω ποιοίη· ⁴ ἄλλος δέ 45 τις τὸν ἀγκῶνα παράγοι παρὰ τὸ στῆθος. ἔστι δὲ ἐμβολὴ ὤμου, καὶ ἐς τοὐπίσω ὑποβάλλοντα τὸν πῆχυν ἐπὶ τὴν ῥάχιν, ἔπειτα τῇ μὲν ἑτέρῃ χειρὶ ἀνακλᾷν ἐς τὸ ἄνω τοῦ ἀγκῶνος ἐχόμενον, τῇ δὲ ἑτέρῃ παρὰ τὸ ἄρθρον ὄπισθεν ἐνερείδειν. ⁵ αὕτη ἡ ἐμβολὴ, καὶ ἡ πρόσθεν εἰρημένη, οὐ κατὰ φύσιν ἐοῦσαι, ὅμως ἀμφιβάλλουσαι τὸ ἄρθρον, 10 ἀναγκάζουσι ἐμπίπτειν. Οἱ δὲ τῇ πτέρνῃ πειρώμενοι ἐμβάλλειν, ἐγγύς τι τοῦ κατὰ φύσιν ἀναγκάζουσι. χρὴ 2 473 δὲ τὸν μὲν ἄνθρωπον χαμαὶ κατακλῖναι ὕπτιον, τὸν δὲ ἐμβάλλοντα χαμαὶ ἵζεσθαι ἐφ᾽ ὁκότερα ἂν τὸ ἄρθρον ἐκπεπτώκῃ. ⁶ ἔπειτα λαβόμενον τῇσι χερσὶ τῇσιν ἑωυτοῦ, τῆς χειρὸς τῆς σιναρῆς, κατατείνειν αὐτὴν, τὴν δὲ πτέρνην ἐς τὴν μασχάλην ἐμβάλλοντα ἀντωθέειν, τῇ μὲν δεξιῇ, ἐς τὴν δεξιὴν, τῇ δὲ ἀριστερῇ, ἐς τὴν ἀριστερήν. ⁷ δεῖ δὲ ἐς τὸ κοῖλον τῆς μασχάλης ἐνθεῖναι στρογ- 1 5 γύλον τι ἐναρμόττον. ἐπιτηδειόταται δὲ αἱ πάνυ σμικραὶ σφαῖραι καὶ σκληραὶ, οἷαι πολλαὶ ἐκ τῶν σκυτέων ῥάπτονται. ἢν γὰρ μή τι τοιοῦτον ἐγκέηται, οὐ δύναται ἡ πτέρνη ἐξικνέεσθαι πρὸς τὴν κεφαλὴν τοῦ βραχίονος. ⁸ κατατεινομένης γὰρ τῆς χειρὸς, κοιλαίνεται ἡ μασχάλη. οἱ γὰρ τένοντες οἱ ἔνθεν καὶ ἔνθεν τῆς μασχάλης ἀντισφίγγοντες ἐναντίοι εἰσί. ⁹ χρὴ δέ τινα ἐπὶ θάτερα τοῦ κατατεινομένου καθήμενον κατέχειν κατὰ τὸν ὑγιέα ὦμον, ὡς μὴ περιέλκηται

τὸ

merum injecto, renitendi gratia, genibus vero juxta cubiti gibbum ad brachium admotis, ad costas retrudat. Conducit autem eum qui reponit, fortes manus habere: aut ipse quidem manibus & capite ita faciat, ⁴ alius vero quidam cubiti gibbum ad pectus adducat. Est autem & humeri repositio, ut cubitus retrorsum ad spinam subducatur, deinde altera manu in summam gibbi cubiti partem injecta ' retortio fiat, altera vero 35 juxta articulum retro innitatur. ⁵ Hæc repositio, & ea quæ prius dicta est, quum non sint secundum naturam, tamen articulum circumagitantes incidere cogunt. Qui vero calcaneo reponere conantur, propinquum quid ei quod est secundum naturam, cogunt. Oportet autem hominem humi supinum reclinare, eum vero qui reponit, humi sedere qua parte articulus excidit: ' ⁶ deinde apprehensam ma- 40 num læsam, cum suis manibus extendere, calcaneo vero in subalarem locum injecto, dextro in dextrum, sinistro in sinistrum, retrudere. ⁷ Oportet autem in cavitatem sub ala rotundum quid congruens indere. Commodissimæ vero fuerint pilæ valde parvæ ac duræ, quales multæ ex coriis consuuntur. Si enim non ejusmodi quid inditum fuerit, calcaneum ac brachii caput pervenire non potest. ⁸ Dum enim manus ' extenditur, 45 locus sub ala cavatur. Tendines enim qui hinc atque illinc locum sub ala constringunt, contrarii sunt. ⁹ Oportet autem aliquem ab altera parte ejus qui extenditur considentem, sanum humerum continere, ut ne corpus circum-

τὸ σῶμα, τῆς χειρὸς τῆς συναφῆς ἐπὶ θάτερα τεινομένης. 10 ἔπειτα ἱμάντος μαλθακοῦ, πλάτος ἔχοντος ἱκανὸν, ὅταν ἡ σφαῖρα ἐντεθῇ ἐς τὴν μασχάλην, περὶ τὴν σφαίρην περιβεβλημένου τοῦ ἱμάντος, καὶ κατέχοντος, λαβόμενον ἀμφοτέρων τῶν ἀρχῶν τοῦ ἱμάντος, ἀντικατατείνειν τινὰ ὑπὲρ κεφαλῆς τοῦ κατατεινομένου καθήμενον τῷ ποδὶ προσβάντα πρὸς τοῦ ἀκρωμίου τὸ ὀστέον. 11 ἡ δὲ σφαίρη ὡς ἐσωτάτω καὶ ὡς μάλιστα πρὸς τῶν πλευρέων κείσθω, καὶ μὴ ἐπὶ τῇ κεφαλῇ τοῦ βραχίονος.

III. Ἔστι δὲ καὶ ἄλλη ἐμβολὴ, ὡς κατωμίζουσιν ἐς ὀρθόν. μέζω μέντοι εἶναι χρὴ τὸν κατωμίζοντα· διαλαβόντα δὲ τὴν χεῖρα, ὑποθεῖναι τὸν ὦμον τὸν ἑωυτοῦ ἐπὶ τὴν μασχάλην ὀξύν. 2 καὶ ἔπειτα ὑποστρέψαι, ὡς ἂν ἐνίζηται ἕδρῃ, οὕτω στοχασάμενον, ὅκως ἀμφὶ τὸν ὦμον τὸν ἑωυτοῦ κρεμάσαι τὸν ἄνθρωπον κατὰ τὴν μασχάλην. αὐτὸς δὲ ἑωυτὸν ὑψηλότερον ἐπὶ τοῦτον τὸν ὦμον ποιείτω, ἢ ἐπὶ τὸν ἕτερον. 3 τοῦ δὲ κρεμαμένου τὸν βραχίονα πρὸς τὸ ἑωυτοῦ στῆθος προσαναγκαζέτω ὡς τάχιστα. 4 ἐν τούτῳ δὲ τῷ σχήματι προσανασείειν, ὁκόταν μετεωρίσῃ τὸν ἄνθρωπον, ὡς ἀντιῤῥέποι τὸ ἄλλο σῶμα αὐτοῦ, ἀντίον τοῦ βραχίονος τοῦ κατεχομένου. ἢν δὲ ἄγαν κοῦφος ᾖ ὁ ἄνθρωπος, προσεπικρεμασθήτω τούτου ὄπισθέν τις κοῦφος παῖς. 5 αὗται δὲ αἱ ἐμβολαὶ πᾶσαι κατὰ παλαίστρην εὔχρηστοί εἰσιν, ὅτι οὐδὲν ἀλλοίων ὀργάνων δέονται ἐπιτεχνηθῆναι. χρήσαιτο δ' ἄν τις καὶ ἄλλοθι. 6 ἀτὰρ καὶ οἱ περὶ τὸ ὕπερον ἀναγκάζοντες, ἐγγύς τι τοῦ κατὰ φύσιν ἐμβάλλουσι. χρὴ δὲ τὸ μὲν ὕπερον κατειλῆχθαι ταινίῃ τινὶ μαλθακῇ· ἧσσον γὰρ ἂν ὑπολισθαίνοι,

cumtrahatur, dum læsa manus in alteram partem extenditur. 10 Postea ubi pila sub alam subdita fuerit, molle lorum sufficienti latitudine præditum, circum pilam circumdare oportet, ita ut quidem eo loro ex utrisque initiis apprehenso sursum retrahat, à capite ejus qui extenditur considens, & pede ad summi humeri os innitens. 11 Pila vero quam penitissime & maxime intus ad costas sita sit, & non ad brachii caput.

III. Est & alia repositio, quum humerum alter subdit. Majorem tamen esse oportet eum qui humerum supponit, ita ut apprehensa manu, humerum suum acuminatum sub illius luxati alam supponat, 2 & deinde aliquantum verset, ut velut sedi insideat, ea conjectura facta, ut homo illa circa humerum suum ex ala pendeat, ipse vero seipsum in hunc humerum altiorem faciat, quam in alterum, 3 brachium autem pendentis ad pectus suum quam citissime cogendo adducat. 4 In hac vero figura insuper concutiat, ubi hominem sustulerit, quo reliquum corpus in adversam partem brachio quod continetur vergat. Si vero valde levis fuerit homo, puer aliquis levis insuper ex ipso retrorsum dependeat. 5 Atque hæ omnes repositiones in palæstra usitatæ sunt, eo quod non opus habent aliorum instrumentorum importatione. Poterit tamen quis etiam alibi his uti. 6 Sed & qui circum pistillum cogunt, propemodum secundum naturam reponunt. Oportet autem pistillum molli quadam fascia esse involutum:

λισθαίνοι, ὑπεμβεβλημένου δὲ μεσηγὺ τῶν πλευρέων καὶ τῆς κεφαλῆς τοῦ βραχίονος. [7] καὶ, ἢν μὲν βραχὺ ἔῃ τὸ ὕπερον, καθῆσθαι χρὴ τὸν ἄνθρωπον ἐπί τινος, ὡς μόλις τὸν βραχίονα περιβάλλειν δύνηται περὶ τὸ ὕπερον. μάλιστα δὲ ἔστω μακρότερον τὸ ὕπερον, ὡς ἂν ἑστὼς ὁ ἄνθρωπος κρέμαιτο μικροῦ δεῖν ἀμφὶ τῷ ξύλῳ. κἄπειτα ὁ μὲν βραχίων καὶ ὁ πῆχυς παρατεταμένος περὶ τὸ ὕπερον ἔστω. [8] τὸ δὲ ἐπὶ θάτερα τοῦ σώματος καταναγκαζέτω τις ὑπερβάλλων κατὰ τὸν αὐχένα παρὰ τὴν κληῖδα τὰς χεῖρας. αὕτη ἡ ἐμβολὴ κατὰ φύσιν ἐπιεικέως ἐστὶ, καὶ ἐμβάλλειν δύναται, ἢν χρηστῶς σκευάσωνται αὐτήν. [9] ἄλλη καὶ ἡ διὰ τοῦ κλιμακτῆρος ἑτέρη τις τοιαύτη, καὶ ἔτι βελτίων, ὅτι ἀσφαλεστέρως ἂν τὸ σῶμα, τὸ μὲν τῇ, τὸ δὲ τῇ, ἀντισηκωθείη μετεωρισθέν. περὶ γὰρ τὸ ὑπεροειδὲς ὁ ὦμος, εἰ καὶ καταπέπηγε, περισφάλλεσθαι τὸ σῶμα κίνδυνος, ἢ τῇ, ἢ τῇ. [10] χρὴ μέντοι καὶ ἐπὶ τοῦ κλιμακτῆρος ἐπιδεδέσθαι τὸ ἄνωθεν στρογγύλον ἐναρμόσον ἐς τὸ κοῖλον τῆς μασχάλης, ὃ προσαναγκάσει τὴν κεφαλὴν τοῦ βραχίονος ἐς τὴν φύσιν ἀπιέναι.

IV. Κρατίστη μέντοι πασέων ἐμβολέων ἡ τοιήδε. ξύλον χρὴ εἶναι πλάτος μὲν ὡς πεντεδάκτυλον ἢ τετραδάκτυλον τὸ ἐπίπαν. [2] πάχος δὲ, ὡς διδάκτυλον, ἢ καὶ λεπτότερον. μῆκος δὲ, δίπηχυ, ἢ ὀλίγῳ ἔλασσον· ἔστω δὲ ἐπὶ θάτερα τὸ ἄκρον περιφερὲς καὶ στενότατον ταύτῃ καὶ λεπτότατον. [3] ἄμβην δὲ ἐχέτω, μικρὸν ὑπερέχουσαν ἐπὶ τοῦ ὑστάτου τοῦ περιφερέος ἐν τῷ μέρει, ἀλλὰ μὴ τῷ πρὸς τὰς πλευράς, ἀλλὰ

minus enim ita labarit: & inter costas ac brachii 'caput subter intrusum: [7] & si quidem breve fuerit pistillum, collocare hominem in sedili aliquo oportet, quo vix brachium circum pistillum circumdare possit. Sit autem potius longum pistillum, quo homo stans ferme circum pistillum dependeat. Postea brachium quidem & cubitus circa pistillum porrigantur, [8] ab altera vero corporis parte, quis manibus circa cervicem ad claviculam circumjectis deorsum cogat. Hæc repositio 'moderate secundum naturam est, & repositionem facere potest, si probe ipsam tractent. [9] Quin & per scalam alia quædam hujusmodi repositio fieri potest, & adhuc melior, eo quod corpus hinc atque illinc elevatum, securius librando adæquari potest. Nam circum pistillum etiamsi humerus fixus maneat, periculum tamen est ne corpus hac aut illac circumagatur. [10] Oportet tamen & super scalam superne 'rotundum quid deligatum esse, quod ad loci sub ala cavitatem congruum sit, & quod brachii caput ad naturam redigere insuper cogat.

IV. Optima vero ex omnibus repositionibus talis est. Lignum esse oportet latitudine quidem quinque aut quatuor in totum digitorum, [2] crassitudine vero duorum digitorum, aut etiam tenuius, longitudine autem bicubitali, aut paulo brevius. Sit autem altera parte summa rotundum, & 'angustissimum ac tenuissimum hac parte, [3] habeatque crepidinem paululum supereminentem, in extrema rotunditatis parte, sed non ea quæ ad costas, verum ea quæ ad brachii caput

ἀλλὰ τῇ πρὸς τὴν κεφαλὴν τοῦ βραχίονος ἔχοντι, ὡς ὑφαρμόζειν τῇ μασχάλῃ παρὰ τὰς πλευρὰς ὑπὸ τὴν κεφαλὴν τοῦ βραχίονος ὑποτιθέμενος. [4] ὀθονίῳ δὲ, ἢ ταινίῃ μαλθακῇ, καταικεκολλήσθω ἄκρον τὸ ξύλον, ὅκως προσηνέστερον ἔῃ. ἔπειτα χρὴ ὑπώσαντα τὴν κεφαλὴν τοῦ ξύλου ὑπὸ τὴν μασχάλην ὡς ἐσωτάτω, μεσηγὺ τῶν πλευρέων καὶ τῆς κεφαλῆς τοῦ βραχίονος, τὴν δὲ ὅλην χεῖρα πρὸς τὸ ξύλον κατατείνοντα προσκαταδῆσαι κατά τε τὸν βραχίονα, κατά τε τὸν πῆχυν, κατά τε τὸν καρπὸν τῆς χειρὸς, ὡς ἂν ἀτρεμέῃ ὅτι μάλιστα. [5] περὶ παντὸς δὲ χρὴ ποιέεσθαι, ὅκως τὸ ἄκρον τοῦ ξύλου ὡς ἐσωτάτω τῆς μασχάλης ἔσται, ὑπερβεβηκὸς τὴν κεφαλὴν τοῦ βραχίονος. [6] ἔπειτα χρὴ μεσηγὺ δύο στύλων σταυρὸν πλάγιον εὖ προσδῆσαι, ἔπειτα ὑπερενεγκεῖν τὴν χεῖρα ξὺν τῷ ξύλῳ ὑπὲρ τοῦ σταυροῦ, ὅκως ἡ μὲν χεὶρ ἐπὶ θάτερα ἔῃ, ἐπὶ θάτερα δὲ, τὸ σῶμα. [7] κατὰ δὲ τὴν μασχάλην, ὁ σταυρός. κἄπειτα ἐπὶ μὲν θάτερα τὴν χεῖρα καταναγκάζειν ξὺν τῷ ξύλῳ περὶ τὸν σταυρόν. [8] ἐπὶ θάτερα δὲ, τὸ ἄλλο σῶμα. ὕψος δὲ ἔχων ὁ σταυρὸς προσδεδέσθω, ὥστε μετέωρον τὸ ἄλλο σῶμα εἶναι, ἐπ' ἄκρων τῶν ποδῶν. οὗτος ὁ τρόπος παρὰ πολὺ κράτιστος ἐμβολῆς ὤμου. δικαιότατα μὲν γὰρ μοχλεύει, ἢν καὶ μόνον ἐσωτέρω ἔῃ τὸ ξύλον τῆς κεφαλῆς τοῦ βραχίονος. [9] δικαιόταται δὲ αἱ ἀντίρροποι, ἀσφαλέες δὲ τῷ ὀστέῳ τοῦ βραχίονος.

v. Τὰ μὲν οὖν νεαρὰ ἐμπίπτει θᾶσσον, ἢ ὡς ἄν τις οἴοιτο, πρὶν ἢ κατατετάσθαι δοκέειν. [2] ἀτὰρ καὶ τὰ παλαιὰ μούνη αὕτη τῶν ἐμβολέων οἵη τε ἐμβιβάσαι, ἢν μὴ ἤδη ὑπὸ χρόνου σὰρξ μὲν ἐπεληλύθῃ ἐπὶ τὴν κοτύλην,

caput existit, quo sub alam congrua sit, juxta costas sub brachii caput subdita. [4] Linteo autem vel fascia molli, lignum summa parte obvolvatur, quo levius reddatur: deinde subdito ligni capite quam penitissime sub alam, inter costas ac brachii caput, totam manum ad lignum porrectam alligare oportet, juxta brachium, juxta cubitum, & juxta manus juncturam, quo quam maxime sit quieta: [5] præ omnibus autem curandum est, ut summa ligni pars, quam penitissime intra subalarem locum recipiatur, brachii caput transgressa. [6] Postea inter duas columnas trabem transversam probe alligare oportet, & deinde manum cum ligno supra trabem transmittere, quo manus ab altera parte sit, corpus ab altera, [7] trabs vero sub ala, & postea ad alteram partem manum deorsum cogere una cum ligno, circum trabem: [8] ad alteram vero reliquum corpus. Trabs autem ea altitudine alligetur, ut reliquum corpus elevatum summis pedum digitis innitatur. Hic modus repositionis humeri longe optimus est. Justissime enim commotionem facit, si solum penitus intus ad brachii caput lignum fuerit. [9] Justissimæ item sunt in utranque partem adæquationem facientes librationes, & ad hæc ossi brachii securæ.

v. Recentes itaque luxationes citius incidunt, quam quis putare possit, & priusquam extentæ esse videantur. [2] Sed & veteres sola hæc repositio reponere potest, si non jam ob vetustatem, caro quidem in acetabulum devenit, caput autem brachii

τύλην, ἡ δὲ κεφαλὴ τοῦ βραχίονος ἤδη τρίβον ἑωυτῇ πεποιημένη ' ἔῃ ἐν τῷ χωρίῳ, ἵνα ἐξεκλίθη. οὐ μὴν ἀλλ' ἐμβάλλειν γάρ μοι δοκέει, καὶ οὕτω πεπαλαιωμένον ἔκπτωμα τοῦ βραχίονος. [3] ' τί γὰρ ἂν δικαίη μόχλευσις οὐχὶ κινήσειεν; μένειν μέντοι οὐκ ἄν μοι δοκέῃ κατὰ χώρην, ἀλλ' ὀλισθαίνειν ἂν, ὡς τὸ ἔθος. [4] τὸ αὐτὸ δὲ ποιέει καὶ περὶ κλιμακτῆρα καταναγκάζειν, τοῦτον τὸν τρόπον σκευάσαντα, πάνυ μὲν ἱκανῶς ἔχει, καὶ περὶ ' μέγα ἕδος Θεσσαλικὸν ἀναγκάζειν, ἢν νεαρὸν ἔῃ τὸ ὀλίσθημα. ἐσκευάσθαι μέντοι χρὴ τὸ ξύλον, ' ὥσπερ εἴρηται. [5] ἀτὰρ τὸν ἄνθρωπον καθίσαι πλάγιον ἐπὶ τοῦ δίφρου. κἄπειτα τὸν βραχίονα ξὺν τῷ ξύλῳ ὑπερβάλλειν ὑπὲρ τοῦ ἀνακλισμοῦ, καὶ ἐπὶ μὲν θάτερα τὸ σῶμα καταναγκάζειν, ἐπὶ δὲ θάτερα τὸν βραχίονα σὺν τῷ ξύλῳ. τὸ αὐτὸ δὲ ποιέει ἀναγκάζειν, ' καὶ ὑπὲρ δικλίδος θύρης. χρέεσθαι δὲ τούτοισιν ἃ ἂν τύχῃ παρεόντα. [6] Εἰδέναι μὲν οὖν χρὴ, ὅτι φύσιες φυσίων μέγα διαφέρουσιν, ἐς τὸ ῥηϊδίως ἐμπίπτειν τὰ ἐκπίπτοντα. διενέγκοι μὲν γὰρ ἄν τι καὶ ' κοτύλης, ἡ μὲν εὐυπέρβατος ἐοῦσα, ἡ δὲ ἧσσον. [7] πλεῖστον δὲ διαφέρει καὶ τῶν νεύρων ὁ σύνδεσμος, τοῖσι μὲν ἐπιδόσιας ἔχων, τοῖσι δὲ ξυντεταμένος ἐών.

VI. Καὶ γὰρ ἡ ὑγρότης τοῖσιν ἀνθρώποισι γίνεται ἡ ἐκ τῶν ἄρθρων, διὰ τῶν νεύρων τὴν ἀπείρξιν, ἢν χαλαρά τε ἔῃ φύσει, καὶ τὰς ἐπιτάσιας εὐφόρως φέρει. ' συχνοὺς γὰρ ἄν τις ἴδοι, οἳ οὕτως ὑγροί εἰσιν, ὥστε, ὁπόταν ἐθέλωσιν, τότε αὐτοῖσι τὰ ἄρθρα ἐξίσταται ἀνωδύνως, καὶ καθίσταται ἀνωδύνως. [2] ' διαφέρει μέντοι τι καὶ ἕξις τις σώματος. τοῖσι μὲν γὰρ εὖ ἔχουσι τὸ γυῖον καὶ σεσαρκωμένοισιν

chii in loco ad quem declinavit, semitam 'sibiipsi jam fecit. Veruntamen etiam ita inveteratum brachii elapsum, mihi posse reponere videtur. [3] Quid enim justa molitio non noverit? manere tamen in loco posse, non ita mihi videtur, sed prout consuevit rursus luxabitur. [4] Idem facit etiam si circum scalam, eodem modo velut dixi præparatam, coactio transmissi brachii fiat. Abunde item sufficit circum magnam sedem Thessalicam coactionem facere, si recens ' fuerit luxatio. Præparatum autem esse oportet lignum, velut dictum est: [5] hominem vero locare oportet in sede obliquum, deinde brachium una cum ligno supra sedis reclinatorium transmittere, & ad alteram partem corpus deorsum cogere, ad alteram brachium cum ligno. Idem quoque facit coactio supra biforem januam. His autem quæ forte præsentia fuerint, utendum est. [6] Nosse igitur expedit, quod naturæ ' à naturis multum differunt, ad hoc ut elabentia facile rursus incidant: differt etiam acetabulum ab acetabulo, quum aliud facile transcendi possit, aliud minus. [7] Plurimum item differt nervorum ligamentum, quum in quibusdam remissum sit, in quibusdam intentum.

VI. Nam humiditas hominibus fit ex articulis, propter nervorum connexionem, si laxa fuerit, & intensiones facile ferat. Multos enim videas qui adeo ' humidi sunt, ut quando velint, articuli ipsis citra dolorem excidant, & absque dolore restituantur. [2] Differt etiam habitus quidam corporis. Nam his quibus bene se habet membrum, & carnosis,

κωμῶσιν ἐκπίπτει τε ἧσσον, ἐμπίπτει τε χαλεπώτερον. ὅταν δὲ αὐτοὶ σφῶν αὐτῶν λεπτότεροι καὶ ἀσαρκότεροι ἔωσι, τότε ἐκπίπτει τε μᾶλλον, ἐμπίπτει τε ῥᾷον. 3 σημεῖον δὲ, ὅτι ταῦτα οὕτως ἔχει, τόδε. τοῖσι γὰρ βουσὶ τότε ἐκπίπτουσι μᾶλλον οἱ μηροὶ ἐκ τῆς κοτύλης, ἡνίκα ἂν αὐτοὶ σφῶν αὐτῶν λεπτότατοι ἔωσι. 4 γίνονται δὲ οἱ βόες λεπτότατοι, τοῦ χειμῶνος τελευτῶντος. 30 τότε οὖν καὶ ἐξαρθρέουσι μάλιστα. εἰ δή τι καὶ τοιοῦτο δεῖ ἐν ἰητρικῇ γράψαι· δεῖ δέ. 5 καλῶς γὰρ Ὅμηρος καταμεμαθήκει, ὅτι πάντων τῶν 2 προβάτων βόες ὅτι μάλιστα πονέουσι ταύτην τὴν ὥρην, καὶ βοῶν οἱ ἀρόται, ὅτι κατὰ τὸν χειμῶνα ἐργάζονται. 6 τούτοισι τοίνυν ἐκπίπτει μάλιστα. οὗτοι γὰρ μάλιστα λεπτύνονται.

VII. Τὰ μὲν γὰρ ἄλλα βοσκήματα δύναται βραχεῖαν τὴν πόην βόσκεσθαι. 2 βοῦς δὲ οὐ μάλα, πρὶν βαθεῖα γένηται. τοῖσι μὲν γὰρ ἄλλοισιν ἐστὶ 35 λεπτὴ ἡ προβολὴ τοῦ χείλεος, λεπτὴ δὲ ἡ ἄνω γνάθος. βοῒ δὲ παχεῖα μὲν ἡ προβολὴ τοῦ χείλεος· 3 παχεῖα δὲ καὶ ἀμβλεῖα ἡ ἄνω γνάθος. διὰ τοῦτο ὑποβάλλειν ὑπὸ τὰς βραχείας πόας οὐ δύνανται. 4 τά τε αὖ μώνυχα τῶν ζώων, ἅτε ἀμφόδοντα 3 ἐόντα, δύναται μὲν σαρκάζειν, δύναται 4 δὲ ὑπὸ τὴν βραχεῖαν πόην ὑποβάλλειν τοὺς ὀδόντας. 5 καὶ ἥδεται τῇ οὕτως ἐχούσῃ πόῃ μᾶλλον, ἢ τῇ βαθείῃ. καὶ γὰρ τὸ ἐπίπαν ἀμείνων, καὶ στεριφωτέρη ἡ βραχεῖα πόη τῆς βαθείης, ὅτι 5 40 καὶ πρὶν ἐκκαρπέειν τῆς βαθείης. 6 διὰ τοῦτο οὖν ἐποίησεν ὧδε τάδε τὰ ἔπη. ὡς δ' ὁπότ' ἀσπάσιον ἔαρ ἤλυθε βουσὶν ἕλιξιν. ὅτι ἀσπασιωτάτη τοῖσιν αὐτέοισιν ἡ βαθεῖα πόη φαίνεται. 7 ἀτὰρ καὶ ἄλλως ὁ βοῦς χαλαρὸν

nosis, & minus excidit, & difficilius incidit. Ubi vero ipsi seipsis tenuiores & magis excarnes fuerint, tunc & magis excidit, & facilius incidit. 3 Argumentum autem quod hæc ita se habeant, hoc est. Bobus enim tunc magis 'femora excidunt ex acetabulo, 120 quum tenuissimi existunt. 4 Fiunt autem tenuissimi boves ad finem hyemis. Tunc igitur etiam maxime luxantur: si tamen & hujusmodi quiddam in medicina scribere convenit. Verum convenit utique. 5 Bene enim Homerus didicit, quod ex omnibus pecudibus boves quam maxime laborent hoc tempore, & ex bobus potissimum aratores, eo quod hyeme operentur. 6 His itaque maxime excidunt 'articuli. Hi 125 enim maxime attenuantur.

VII. Nam reliqua quidem pecora brevem herbam depasci possunt. 2 Bos autem non ita valde, prius alta fiat. Reliquis enim tenuius est labri prominentia, tenuius item superna maxilla. Bovi vero crassa est labii prominentia, 3 crassa item & obtusa superna maxilla. Quapropter in breves herbas subjicere non potest. 4 Rursus solidipeda animalia utpote utrinque dentata, & dentes 'inter se committe- 130 re possunt, & sub brevem herbam dentes subjicere queunt, 5 delectanturque tali herba magis quam alta. Brevius enim herba in totum melior ac solidior est quam alta, adde quod alta etiam prius fructum effert. 6 Ob hoc igitur ita cecinit,

Haud secus ac bobus nigris gratissima veris
Tempora proveniunt:

'quia gratissima apparet ipsis al- 135 ta herba. 7 Sed & alias bos laxum

ρὸν φύσει τὸ ἄρθρον τοῦτο ἔχει μᾶλλον τῶν ἄλλων." Διὰ τοῦτο καὶ ἐκλιπὴς ἐστὶ μᾶλλον τῶν ἄλλων ζώων. καὶ μάλιστα, ὅταν λεπτὸν καὶ γηραλέον ἔῃ. [8] Διὰ ταῦτα πάντα καὶ ἐκπίπτει βοῒ μάλιστα. πλείω δὲ γέγραπται περὶ αὐτοῦ, ὅτι πάντων τῶν προειρημένων ταῦτα μαρτύριά ἐστι.

VIII. Περὶ δὲ οὗ ὁ λόγος, τοῖσιν ἀσάρκοισι μᾶλλον ἐκπίπτει, ὡς θᾶσσον ἐμπίπτει, ἢ τοῖς εὖ σεσαρκωμένοισι· [2] καὶ ἧσσον ἐπιφλεγμαίνουσι τοῖσιν ὑγροῖσιν καὶ τοῖσιν ἀσάρκοισιν, ἢ τοῖσι σκληφροῖσι καὶ σεσαρκωμένοις, καὶ ἧσσόν γε δέδεται ἐς τὸν ἔπειτα χρόνον. ἀτὰρ καὶ ἡ μύξα πλείων ὑπέη τοῦ μετρίου μὴ ξὺν φλεγμονῇ. καὶ οὕτως ἂν ὀλισθηρὸν εἴη. [3] μυξωδέστερα γὰρ τοι πάντα τὰ ἄρθρα τοῖσιν ἀσάρκοισιν, ἢ τοῖσι σεσαρκωμένοισίν ἐστιν. [4] καὶ γὰρ αὐταὶ αἱ σάρκες τῶν μὴ ἀπὸ τέχνης ὀρθῶς λελιμαγχημένων, αἱ τῶν λεπτῶν, μυξωδέστεραί εἰσιν, ἢ αἱ τῶν παχέων. ὅσοισι μέντοι ξὺν φλεγμονῇ μύξα ὑπογίνεται, ἡ φλεγμονὴ δέησιν ἔχει τὸ ἄρθρον. [5] Διὰ τοῦτο οὐ μάλα ἐκπίπτει τὰ ὑπόμυξα. ἐκπίπτοιτο ἄν, εἰ μή τι ἢ πλεῖον ἢ ἔλασσον φλεγμονῆς ὑπεγγίνοιτο. οἷσι μὲν οὖν, ὅταν ἐμπίσῃ τὸ ἄρθρον, καὶ μὴ ἐπιφλεγμήνῃ τὰ περιέχοντα, χρῆσθαι τῷ ἀνωδύνως αὐτίκα τῷ ὤμῳ δύνανται· οὗτοι μὲν οὐδὲν νομίζουσι δεῖν ἑωυτῶν ἐπιμελεῖσθαι. [6] ἰητροῦ μέντοι ἐστὶ καταμαντεύσασθαι τῶν τοιούτων." τοῖσι τοιούτοισιν ἐκπίπτει, καὶ αὖθις μᾶλλον, ἢ οἷσιν ἂν ἐπιφλεγμήνῃ τὰ νεῦρα. [7] τοῦτο κατὰ πάντα τὰ τοῦ ἀνθρώπου οὕτως ἔχει. καὶ μάλιστα κατ' ὦμον καὶ κατὰ γόνυ. μάλιστα γὰρ οὖν καὶ ὀλισθαίνει ταῦτα.

xum habet hunc articulum, magis quam alia animalia, & ob id etiam magis quam alia pedem trahit, & maxime quum macilentus est, & jam senex. [8] Propter omnia hæc etiam maxime bovi excidit. Plura autem de ipso à me scripta sunt, eo quod omnium antea relatorum testimonia hæc sunt.

VIII. Verum de quo nunc sermo est, ex carnibus magis excidit, sicut etiam citius incidit, quam probe carnosis: [2] & humidis ac excarnibus minus inflammatur, quam siccis ac carnosis: & in posterum tempus quoque minus vincitur: sed & mucus amplior moderato subest, si non adsit inflammatio, & sic sane lubricus fuerit. [3] Mucosiores enim omnino sunt articuli excarnibus quam carnosis. [4] Nam & ipsæ carnes eorum qui non recte ex arte fame macerati sunt, in macilentis mucosiores sunt, quam in crassis. Quibus tamen cum inflammatione mucus subest, his inflammatio vinculo facto articulum continet: [5] & ob id hi qui submucosi sunt articuli, non valde excidunt, & exciderent utique, si non plus aut minus inflammationis accessisset. Quibus igitur quum articulus incidit, circumsitæ partes non inflammantur, & statim citra dolorem humero uti possunt, hi putant quidem nihil opus esse, ut suiipsorum curam gerant, [6] medici tamen est ut contra tales vaticinetur. Talibus excidit rursus magis quam his quibus nervi sunt inflammati. [7] Atque hæc res in omnibus in homine ita habet, & maxime circa humerum & genu. Maxime igitur etiam hæc excidunt.

IX. Οἷσι

IX. Qui-

IX. Οἷσι δ' αὖ ἐπιφλεγμήνῃ τὰ νεῦρα, οὐ δύνανται χρῆσθαι τῷ ὤμῳ. 2 κωλύει γὰρ ἥ τε ὀδύνη καὶ ἡ ξύντασις τῆς φλεγμονῆς. Τοὺς οὖν τοιούτους ἰῆσθαι χρὴ κηρωτῇ καὶ σπλήνεσι καὶ ὀθονίοισι πολλοῖσιν ὑποδέοντα. 3 ὑποτιθέναι ἐς τὴν μασχάλην εἴριον μαλθακὸν καθαρὸν ξυνελίσσοντα, ἐκπλήρωμα τοῦ κοίλου ποιέοντα, ἵνα ἀντιστήριγμα μὲν τῇ ἐπιδέσει ᾖ, ἀνακωχῇ δὲ τὸ ἄρθρον. 4 Τὸν δὲ βραχίονα ἐς τὸ ἄνω ῥέποντα ἴσχειν χρὴ τὰ πλεῖστα. 5 οὕτω γὰρ ἂν ἑκαστάτω εἴη τοῦ χωρίου, ἐς ὃ ὤλισθεν ἡ κεφαλὴ τοῦ ὤμου. 6 Χρὴ δὲ, ὅταν ἐπιδήσῃς τὸν ὦμον, ἔπειτα προσκαταδεῖν τὸν βραχίονα πρὸς τὰς πλευρὰς ταινίῃ τινὶ κύκλῳ περὶ τὸ σῶμα περιβάλλοντα. 7 Χρὴ δὲ καὶ ἀνατρίβειν τὸν ὦμον ἡσυχαίως καὶ λιπαρῶς. Πολλῶν δὲ ἔμπειρον δεῖ εἶναι τὸν ἰητρὸν, ἀτὰρ δὴ καὶ ἀνατρίψιος. ἀπὸ γὰρ τοῦ αὐτοῦ ὀνόματος οὐ τὸ αὐτὸ ἀποβαίνει. καὶ γὰρ ἂν δήσειεν ἄρθρον ἀνάτριψις, χαλαρώτερον τοῦ καιροῦ ἐὸν, καὶ λύσειεν ἄρθρον, σκληρότερον τοῦ καιροῦ ἐόν. 8 Ἀλλὰ διοριεῖται ἡμῖν περὶ ἀνατρίψιος ἐν ἄλλῳ λόγῳ. Τὸν γοῦν τοιοῦτον ὦμον μαλθακῇσι χρὴ χερσὶν ἀνατρίβειν. συμφέρει γὰρ καὶ ἄλλως πρηέως. 9 Τὸ δὲ ἄρθρον διακινέειν μὴ βίῃ, ἀλλὰ τοσοῦτον, ὅσον ἀνωδύνως κινήσεται. Καθίσταται δὲ πάντα, τὰ μὲν ἐν πλείονι χρόνῳ, τὰ δ' ἐν ἐλάσσονι.

X. Γινώσκειν δὲ, εἰ ἐκπέπτωκεν ὁ βραχίων, τοῖσδε χρὴ τοῖσι σημείοισι. τοῦτο μὲν, ἐπειδὴ δίκαιον ἔχουσι τὸ σῶμα οἱ ἄνθρωποι, καὶ τὰς χεῖρας, καὶ τὰ σκέλεα, παραδείγματι χρέεσθαι δεῖ τῷ ὑγιεῖ πρὸς τὸ μὴ ὑγιὲς, καὶ τῷ μὴ ὑγιεῖ πρὸς τὸ ὑγιές. 2 μὴ τ' ἀλλότρια ἄρθρα καθο-

IX. Quibus autem nervi inflammati sunt, hi humero uti non possunt. 2 Prohibet enim dolor & inflammationis distentio. Tales igitur curare oportet cerato, & splemis, & linteis multis deligando. 3 Sub alam vero lanam mollem puram convolutam subjicere oportet, ad cavitatem explendam, quo fulcimentum quidem sit deligationi, articulum vero sustentet. 4 At brachium plerunque sursum vergens tenere oportet. 5 Sic enim procul fuerit humeri caput à loco, in quem excidit. 6 Oportet autem postquam humerum deligaveris, brachium ad costas adalligare, fascia quadam in orbem circum corpus obducta. 7 Fricare quoque humerum oportet placide & accurate. Multarum autem rerum peritum medicum esse expedit, & non minus frictionis. Ex eodem enim nomine, non idem eventus subsequitur. Nam & vincire potest frictio articulum justo laxiorem, & solvere articulum justo duriorem. 8 Verum de frictione in alio opere à nobis tractabitur. Talem igitur humerum mollibus manibus fricare convenit, confert enim, & alias leniter. 9 Articulum autem commovere non violenter, sed in tantum ut citra dolorem commoveatur. Restituuntur vero omnes articuli partim longiore, partim breviore tempore.

X. An autem brachium exciderit, his signis cognoscere oportet. Nam ubi justum corpus habent homines, manus item ac crura, sano in exemplum uti oportet, ad non sanum, & non sano ad sanum, 2 non alienos articulos

καθορῶντα· ἄλλοι γὰρ ἄλλων μᾶλλον ἔξαρθροι πεφύκασιν· ἀλλὰ τὰ αὐτὰ τοῦ κάμνοντος, ἢν ἀνόμοιον ᾖ τὸ ὑγιὲς τῷ κάμνοντι. [3] καὶ τοῦτο εἴρηται μὲν ὀρθῶς. παραξυνίησιν δὲ ἔχει πάνυ πολλὴν διὰ τὰ τοιαῦτα, καὶ οὐκ ἀρκεῖ μοῦνον λόγῳ εἰδέναι τὴν τέχνην ταύτην, ἀλλὰ καὶ ὁμιλίῃ ὁμιλέειν. πολλοὶ γὰρ ὑπὸ ὀδύνης, ἢ ὑπ᾽ ἄλλης προφάσιος, οὐκ ἐξεστεώτων αὐτέοισι τῶν ἄρθρων, [4] ὅμως οὐ δύνανται ἐς τὰ ὅμοια σχήματα καθιστάναι, ἐς οἷάπερ τὸ ὑγιαῖνον σῶμα σχηματίζεται. προσξυνιέναι δὲ δεῖ οὖν, καὶ ἐννοεῖν καὶ τὸ τοιόνδε σχῆμα χρή. ἀτὰρ καὶ ἐν τῇ μασχάλῃ ἡ κεφαλὴ τοῦ βραχίονος φαίνεται ἐγκειμένη πολλῷ μᾶλλον τοῦ ἐκπεπτωκότος ἢ τοῦ ὑγιέος. [5] τοῦτο δὲ ἄνωθεν κατὰ τὴν ἐπωμίδα κοῖλον φαίνεται τὸ χωρίον, καὶ τὸ τοῦ ἀκρωμίου ὀστέον ἐξέχον φαίνεται, ἅτε ὑποδεδυκότος τοῦ ἄρθρου ἐς τὸ κάτω τοῦ χωρίου. [6] παραξυνίησιν μὲν καὶ ἐν τούτῳ ἔχει τινά, ἀλλ᾽ ὕστερον περὶ αὐτοῦ γεγράψεται. ἄξιον γὰρ γραφῆς ἐστι. [7] τοῦτο δὲ τοῦ ἐκπεπτωκότος ὁ ἀγκὼν φαίνεται ἀφεστεὼς μᾶλλον ἀπὸ τῶν πλευρέων, ἢ τοῦ ἑτέρου. [8] εἰ μέντοι τις προσαναγκάζοι, προσάγεται μέν, ἐπιπόνως δέ. τοῦτο δὲ ἄνω τὴν χεῖρα ἆραι ἐκτεταμένην παρὰ τὸ οὖς, ἐκτεταμένου τοῦ ἀγκῶνος, οὐ μάλα δύνανται, ὥσπερ τὴν ὑγιέα, οὐδὲ παράγειν ἔνθα καὶ ἔνθα ὁμοίως. τά τε οὖν σημεῖα ταῦτά ἐστιν ὤμου ἐκπεπτωκότος. αἵ τε ἐμβολαὶ αἱ γεγραμμέναι, αἵ τε ἰητρεῖαι αὗται.

XI. Ἐπάξιον δὲ τὸ μάθημα, ὡς χρὴ ἰητρεύειν τοὺς πυκνὰ ἐκπίπτοντας ὤμους. [2] πολλοὶ μὲν γὰρ ἤδη ἀγωνίης ἐκωλύθησαν διὰ ταύτην τὴν ξυμφορήν, τἄλλα πάντα ἀξιό-

χρεοι

ticulos inspiciendo, (alii enim aliis magis extantibus natura sunt articulis) sed ipsos ejus qui affectus est, an dissimilis sit sanus ægroto. [3] Et hoc recte quidem dictum est, multam tamen erroneam intelligentiam talia habent: & non satis est solum sermonis doctrina artem hanc nosse, sed conversatione etiam versare oportet. Multi enim præ dolore, aut ex alia causa, quum non exciderint ipsis articuli, [4] tamen non possunt in similes figuras restitui, in quales sanum corpus figuratur. Proinde & talem figuram insuper intelligere ac considerare oportet. Sed & in loco sub ala, caput brachii multo magis incumbere videtur, in luxato quam in sano. [5] Quin & superne juxta supernam humeri partem, cavus apparet locus: & summi humeri os extans conspicitur, utpote articulo ad infernum locum digresso: [6] & est etiam aliqua erronea in hoc intelligentia, sed postea de ipso scribetur. Est enim dignum de quo scribatur. [7] Præterea in luxato cubiti gibbus magis à costis distare videtur, quam in altero. [8] Si tamen quis vim afferens cogat, adducitur quidem, sed cum dolore. Sed & sursum ad aurem manum attollere cubiti gibbo extento, non valde potest, velut sanam: neque hac & illac similiter diducere. Hæc igitur signa sunt humeri luxati: repositiones item præscriptæ & curationes hæ sunt.

XI. Operæprecium vero est discere, quomodo frequenter excidentes humeros curare oporteat. [2] Multi enim à certaminibus jam prohibiti sunt, ob hanc calamitatem, quum alias penitus

fue-

χρεῖοι ὄντες. πολλοὶ δὲ ἐν πολεμικοῖσιν ἀχρήιοι ἐγένοντο καὶ διεφθάρησαν διὰ ταύτην τὴν ξυμφοράν. [3] ἅμα δὲ ἐπάξιον καὶ διὰ τοῦτο, ὅτι οὐδένα οἶδα ὀρθῶς ἰητρεύοντα, ἀλλὰ τοὺς μὲν μηδὲ ἐγχειρέοντας, τοὺς δὲ τἀναντία τοῦ ξυμφέροντος φρονέοντάς τε καὶ ποιέοντας. [4] συχνοὶ γὰρ ἤδη ἰητροὶ ἔκαυσαν ὤμους ἐκπίπτοντας, κατά τε τὴν ἐπωμίδα, κατά τε τὸ ἔμπροσθεν, ᾗ ἡ κεφαλὴ τοῦ βραχίονος 45 ἐξογκέει, κατά τε τὸ ὄπισθεν ὀλίγον τῆς ἐπωμίδος. αὗται οὖν αἱ καύσιες, εἰ μὲν ἐς τὸ ἄνω ἐξέπιπτεν ὁ βραχίων, ἢ ἐς τοὔμπροσθεν, ἢ ἐς τοὔπισθεν, ὀρθῶς ἂν ἐκαίοντο· [5] νῦν δὲ δὴ, ὅτι ἐς τὸ κάτω ἐκπίπτει, ἐκβάλλουσιν αὗται αἱ καύσιες μᾶλλον, ἢ κωλύουσιν. ἀποκλείουσι γὰρ τῆς ἄνω εὐρυχωρίης τὴν κεφαλὴν τοῦ βραχίονος. χρὴ δὲ ὧδε καίειν ταῦτα. [6] ἀπολαβόντα τοῖσι δακτύλοισι κατὰ τὴν μασχάλην, τὸ δέρμα ἀφελκύσαι κατ' αὐτὴν τὴν ἴξιν μάλιστα, καθ' ἣν ἡ κεφαλὴ τοῦ βραχίονος ἐκπίπτει. 476' ἔπειτα δὲ οὕτως ἀφελκυσμένον τὸ δέρμα διακαῦσαι ἐς τὸ πέρην.

XII. Σιδηρίοισι δὲ χρὴ τὰ τοιαῦτα καίειν, μὴ παχέσι, μηδὲ λίην φαλακροῖσιν, ἀλλὰ προμήκεσι. ταχυπορώτερα γὰρ καὶ τῇ χειρὶ ἐπερείδεται. [2] χρὴ δὲ διαφανέσι καίειν, ὡς ὅτι τάχιστα περαιωθῇ κατὰ δύναμιν· τὰ γὰρ παχέα, βραδέως περαιούμενα, πλατυτέρας τὰς ἐκπτώσιας τῶν ἐσχαρῶν 5 ποιέεται. [3] καὶ κίνδυνος ἂν εἴη ξυῤῥαγῆναι τὰς οὐλάς. καὶ ἥκιστα μὲν οὐδὲν ἂν εἴη· αἴσχιον δὲ καὶ ἀτεχνότερον. ὅταν δὲ διακαύσῃς ἐς τὸ πέρην, τῶν μὲν πλείστων ἱκανῶς ἂν ἔχοι τῷ κάτω μέρει τὰς ἐσχάρας ταύτας μόνας θεῖναι. [4] ἢν δὲ μὴ κίνδυ-

fuerint inculpabiles. Multi etiam ad res bellicas inutiles fuerunt, & ob hanc calamitatem perierunt. [3] Sed & propterea res digna est quæ discatur, quod nullum noverim qui recte medeatur, sed alios ne aggredi quidem sciam, alios contra quam conducit [illegible] sentire, & facere. [4] Multi enim medici humeros luxatos usserunt, & juxta supernam humeri partem, & juxta anteriorem, qua parte caput brachii extuberat, & juxta posteriorem paululum retro supernam partem. Hæ igitur ustiones, si quidem sursum brachium excidisset, aut in anteriorem aut posteriorem partem, recte inustæ essent. [5] Nunc vero quum deorsum excidit, ejiciunt magis hæ ustiones quam impediunt. A superna enim spacii amplitudine caput brachii excludunt. Verum hæc ita urere oportet. [6] Cutem sub ala digitis apprehensam attrahere oportet, secundum ipsam maxime rectitudinem, secundum quam brachii caput excidit: deinde ita attractam cutem in ulteriorem partem perurere.

XII. Ferramentis autem talia urere oportet non crassis, neque valde calvis, sed oblongis. Citius enim penetrant, & manu firmata transigi possunt: [2] pellucidis item his urere oportet, quo quam celerrime pro viribus penetrent. Nam crassa tarde penetrantia, latiores crustarum elapsiones faciunt, [3] & periculum est ne cicatrices rumpantur, & nihilo quidem deterius hoc esset, verum turpius & ab arte alienius. Postquam autem in ulteriorem partem perusseris, in plurimis satis est ut infernæ parti soli has crustas inuras. [4] Quod si

κίνδυνος φαίνηται εἶναι ξυῤῥαγῆναι τὰς οὐλὰς, ἀλλὰ πολὺ τὸ διὰ μέσου ἔῃ. ὑπάλειπτρον χρὴ λεπτὸν διείρσαι διὰ τῶν καυτηρίων, ἔτι ἀνειλαμμένου τοῦ δέρματος. οὐ [5] γὰρ ἂν ἄλλως δύναιο διείρσαι. ἐπὴν δὲ διείρσῃς, ἀφεῖναι τὸ δέρμα· ἔπειτα μεσηγὺ τῶν ἐσχαρῶν ἄλλην ἐσχάρην ἐμβάλλειν λεπτῷ σιδηρίῳ καὶ διακαῦσαι, ἄχρις ἂν τῷ ὑπαλείπτρῳ ἐγκύρσῃ. [6] ὁκόσον δέ τι χρὴ τὸ δέρμα τὸ ἀπὸ τῆς μασχάλης ἀπολαμβάνειν, τοῖσι δὲ χρὴ τεκμαίρεσθαι. [7] ἀδένες ὕπεισιν ὑπὸ τῇ μασχάλῃ. πολλαχῇ δὲ καὶ ἄλλῃ τοῦ σώματος. ἀλλὰ ἐν ἄλλῳ λόγῳ περὶ ἀδένων οὐλομελίης γεγράψεται, ὅτι τέ εἰσι, καὶ οἷα ἐν οἵοισι σημαίνουσί τε καὶ δύνανται. τοὺς μὲν οὖν ἀδένας οὐ χρὴ περιλαμβάνειν· οὐδὲ ὅσα ἐσωτέρω τῶν ἀδένων. [8] μέγας γὰρ ὁ κίνδυνος. τοῖσι γὰρ ἐπικαιροτάτοισι τόνοισι γειτονεύονται. ὅσον δὲ ἐξωτέρω τῶν ἀδένων ἐπιπλεῖστον ἀπολαμβάνειν. [9] ἀσινέα γάρ. γινώσκειν δὲ χρὴ, ὅτι, εἰ μὲν ἰσχυρῶς τὸν βραχίονα ἀνατείνοις, οὐ δυνήσῃ τοῦ δέρματος ἐπιλαβεῖν οὐδὲν τοῦ ὑπὸ τῇ μασχάλῃ ὃ, τι καὶ ἄξιον λόγου καταπεῖναι. ἀναισιμοῦται γὰρ ἐν τῇ ἀνατάσει. [10] οὐδ᾽ αὖ τόνους οὐδεμιῇ μηχανῇ δεῖ τιτρώσκειν. οὗτοι γὰρ πρόχειροι γίνονται καὶ κατατεταμένοι ἐν τούτῳ τῷ σχήματι. εἰ δὲ μικρὸν ἐπάρῃς τὸν βραχίονα, πολὺ μὲν τοῦ δέρματος ἀπολήψῃ. [11] οἱ δὲ τόνοι, ὧν δεῖ προμηθέεσθαι, εἴσω καὶ πρόσω τοῦ χειρίσματος γίνονται.

XIII. [1] Ἆρ᾽ οὖν οὐκ ἐν πάσῃ τῇ τέχνῃ περὶ παντὸς χρὴ ποιέεσθαι τὰ δίκαια σχήματα ἐξευρίσκειν ἐφ᾽ ἑκάστοισι; [2] ταῦτα μὲν κατὰ τὴν μασχάλην· καὶ ἱκαναὶ αὗται αἱ καταλήψιες,

si periculum esse non videatur ne cicatrices rumpantur, sed multum spacii interpositum sit, tenue quoddam spicillum per inusta foramina trajicere oportet, cute adhuc attracta [5] (neque enim alias trajicere possis) Ubi vero trajeceris, cutem dimittere. Postea inter crustas aliam crustam tenui ferramento infligere ac inurere, donec spicillum contingas. [6] Quantum vero de cute sub ala apprehendere oportet, hinc conjectare licet. [7] Glandulæ sub ala sunt, sicut etiam in aliis corporis partibus. Verum in alio libro de tota glandularum natura scribetur, quod sint, & qualia in qualibus significant ac possunt. Glandulas igitur simul apprehendere non oportet, neque ea quæ glandulis sunt interiora. [8] Magnum enim afferunt periculum. Sunt enim nervis maximi momenti vicina. Quantum vero extra glandulas est, ejus quam plurimam partem apprehendere oportet. [9] Nihil enim periculi est. Nosse tamen hoc expedit, quod si fortiter brachium extenderis, nihil cutis sub ala apprehendere poteris, quod sane attractu memorabile sit. Distrahitur enim in extensione. [10] Nec vero nervos ulla machina vulnerare oportet. Hi enim prompti expositique sunt ac extenti in hac figura. Si vero parum brachium elevaris, multum quidem cutis apprehendes. [11] Nervi vero quorum curam gerere oportet, intus ultra apprehensionem consistent.

XIII. Nonne igitur in omni arte præ omnibus curandum est, ut in singulis figuræ justæ inveniantur? [2] Atque hæc quidem de loco sub ala. Et sufficiunt hæ appre-

λήψιες, ἢν ὀρθῶς τεθῶσιν αἱ ἐσχά-
ραι. 3 Ἔξωθεν δὲ τῆς μασχάλης,
δισσὰ μόνα ἐστὶ χωρία, ἵνα ἄν τις
ἐσχάρας θείη, τιμωρεούσας τῷ πα-
θήματι. μίαν μὲν οὖν τῷ ἔμπροσθεν
25 μεσηγὺ τῆς κεφαλῆς τοῦ βραχίονος
καὶ τοῦ τένοντος τοῦ κατὰ τὴν μασχάλην. 4 Καὶ
ταύτῃ τὸ μὲν δέρμα τελέως διακαί-
ειν χρή. βαθύτερον δὲ οὐ χρή.
φλὲψ γὰρ παχείη πλησίη καὶ νεῦρα,
ὧν οὐδέτερα θερμαντέα. ὄπισθεν 9
δ' αὖ ἄλλην ἐσχάρην ἐνδέχεται ἐνθεῖ-
ναι ἀνωτέρω μὲν συχνῷ τοῦ τένοντος τοῦ
κατὰ τὴν μασχάλην· 5 κατωτέρω δὲ
ὀλίγῳ τῆς κεφαλῆς τοῦ βραχίονος. καὶ
τὸ μὲν δέρμα τελέως χρὴ διακαίειν.
βαθεῖαν δὲ μηδὲ κάρτα ταύτην
30 ποιέειν. πολέμιον γὰρ τὸ πῦρ νεύροι-
σιν. 6 ἰητρεύειν μὲν οὖν χρὴ διὰ πάσης
τῆς ἰητρείης τὰ ἕλκεα, μηδέποτε
ἰσχυρῶς ἀνατείνοντα τὸν βραχίονα,
ἀλλὰ μετρίως, ὅσον τῶν ἑλκέων ἐπι-
μελείης εἵνεκα. 7 ἧσσον μὲν γὰρ ἂν δια-
ψύχοιτο. ξυμφέρει γὰρ πάντα τὰ καύ-
ματα σκέπειν, ὡς καὶ ἐπιεικέως ἰητρεύη-
ται. 8 ἧσσον δ' ἂν ἐκπλήσσοιτο.
ἧσσον δ' ἂν αἱμοῤῥαγοίη. ἧσσον δ'
ἂν σπασμὸς ἐπιγένοιτο. ὅταν δὲ δὴ
καθαρὰ γένηται τὰ ἕλκεα, ἐς οὐ-
λάς τε ἴῃ, τότε δὴ καὶ παντάπασι
χρὴ αἰεὶ τὸν βραχίονα πρὸς τῇσι
35 πλευρῇσι προσδεδέσθαι, καὶ νύκτα καὶ
ἡμέρην. ἀτὰρ καί, ὅταν ὑγιέα γένηται
τὰ ἕλκεα, ὁμοίως ἐπὶ πολὺν χρόνον
χρὴ προσδεῖν τὸν βραχίονα πρὸς τὰς
πλευράς. οὕτω γὰρ ἂν μάλιστα ἐπου-
λωθείη, καὶ ἀπολειφθείη ἡ εὐρυχωρίη,
καθ' ἣν μάλιστα ὀλισθαίνει ὁ βρα-
χίων. 9 ὁκόσοισι δ' ἂν ὦμος καταπο-
ρηθῇ ἐμβληθῆναι, ἢν μὲν ἔτι ἐν αὐ-
ξήσει ἔωσιν, οὐκ ἐθέλει συναύξεσθαι τὸ
ὀστέον τοῦ βραχίονος ὁμοίως τῷ ὑγιεῖ.
10 ἀλλὰ αὔξεται μὲν ἐπί τι, βραχύτε-
ρον

apprehensiones, si crustæ fuerint
inustæ. 3 Extra vero alam duo
solum loci sunt, ubi quis crustas
inurere queat huic affectioni
auxiliantes. Unam in anteriore
parte, inter 'brachii caput, & 225
tendinem juxta alam. 4 Et hac
quidem parte cutem penitus
perurere oportet, sed non altius.
Vena enim crassa propinqua est,
& nervi, quorum neutra igne
calfacienda sunt. Retrorsum au-
tem alteram crustam inurere li-
cet, multum supra tendinem, qui
est juxta alam, 5 & paululum in-
fra brachii caput. Et cutem qui-
dem penitus perurere oportet:
Verum neque hic valde altam
crustam facere. Inimicus' enim 230
est ignis nervis. 6 Curare igitur
ulcera per omnem curationem
oportet, ita ut brachium nun-
quam vehementer extendas, sed
moderate, ulcerum saltem cu-
randorum gratia. 7 Minus enim
perfrigerantur. Conducit enim
omnes ustiones tegere, ut etiam
leniter curentur, & 8 minus dis-
parentur, minusque sanguinis
erumpat, & minus convulsio ac-
cedat. Ubi vero pura facta fue-
rint ulcera, & ad cicatrices' de- 235
venerint, tunc sane penitus bra-
chium semper die ac nocte costis
alligatum esse oportet. Sed &
quum sana facta fuerint ulcera,
similiter ad multum tempus,
brachium ad costas alligandum
est. Sic enim maxime cicatrix
induci poterit, & spatii amplitu-
do intercipietur, in quam maxi-
me luxatur brachium. 9 Qui-
buscunque vero humerus repo-
sitione fuerit destitutus, si qui-
dem homines adhuc crescant, os
brachii 'non similiter ut sanum 240
coaugescit, 10 sed augescit qui-
dem, verum altero brevius ali-

 quanto

ρον ἢ τὸ ἑτέρου γένηται. καὶ οἱ καλεόμενοι δὲ ἐκ γενεῆς γαλιάγκωνες, διὰ δισσὰς ξυμφορὰς ταύτας γίνονται. ἢν γάρ τι τοιοῦτον αὐτοὺς ἐξάρθρημα καταλάβῃ ἐν γαστρὶ ἐόντας, διά τε ἄλλην συμφορὴν, περὶ ἧς ὕστερόν ποτε γεγράψεται.

XIV. Ἀτὰρ καὶ οἷσιν ἔτι νηπίοισιν ἐοῦσι κατὰ τὴν κεφαλὴν τοῦ βραχίονος βαθεῖαι καὶ ὑποβρύχιοι ἐκπυήσιες γίνονται, καὶ οὗτοι πάντες γαλιάγκωνες γίνονται, καὶ, ἤν τε τμηθῶσιν, ἤν τε καυθῶσιν, ἤν τε αὐτόματόν σφιν ἐκραγῇ, δεῖ εἰδέναι χρὴ, ὅτι ταῦτα οὕτως ἔχει. χρέεσθαι μέν τοι τῇ χειρὶ δυνατώτατοί εἰσιν οἱ ἐκ γενεῆς γαλιάγκωνες, οὐ μὴν οὐδὲ ἐκεῖνοί γε ἀναλεῖναι παρὰ τὸ οὖς τὸν βραχίονα ἐκτανύσαντες τὸν ἀγκῶνα δύνανται. ἀλλὰ πολὺ ἐνδεεστέρως, ἢ τὴν ὑγιέα χεῖρα. οἷσι δ' αὖ ἤδη ἀνδράσιν ἐοῦσιν ἐκπέσῃ ὁ ὦμος, καὶ μὴ ἐμβληθῇ, ἡ ἐπωμὶς ἀσαρκοτέρη γίνεται, καὶ ἡ ἕξις λεπτὴ ἡ κατὰ τοῦτο. ὅταν μέντοι ὀδυνώμενοι παύσωνται, ὁκόσα μὲν δεῖ ἐργάζεσθαι ἐπαίροντας τὸν ἀγκῶνα ἀπὸ τῶν πλευρέων ἐς τὸ πλάγιον, ταῦτα μὲν οὐ δύνανται ἅπαντα ὁμοίως ἐργάζεσθαι. ὁκόσα δὲ δεῖ ἐργάζεσθαι, παραφέροντας τὸν βραχίονα παρὰ τὰς πλευρὰς, ἢ ἐς τοὐπίσω, ἢ ἐς τοὔμπροσθεν, ταῦτα δὲ δύνανται ἐργάζεσθαι. καὶ γὰρ ἂν ἀρίδα ἑλκύσαιεν, καὶ πρίονα. καὶ πελεκύσαιεν ἂν, καὶ σκάψαιεν ἂν, μὴ κάρτα ἄνω αἴροντες τὸν ἀγκῶνα, καὶ τ' ἄλλα, ὅσα τῶν τοιούτων σχημάτων, ἐργάζονται.

XV. Ὁκόσοισι δ' αὖ τὸ ἀκρώμιον ἀποσπασθῇ, τουτέοισι φαίνεται ἐξέχον τὸ ὀστέον τὸ ἀποσπασθέν. ἔστι δὲ τοῦτο ὁ σύνδεσμος τῆς

quanto efficitur. Et qui mustelæ cubito præditi sunt, parvumque ac macilentum brachium ex nativitate habent, galeancones vocati, ob duplices has calamitates fiunt tales, tum si talis aliqua luxatio ipsos dum in utero sunt corripuerit, tum ob aliam calamitatem, de qua postea aliquando scribetur.

XIV. Quin & hi quibus dum adhuc infantes sunt, profundæ ac submersæ suppurationes circa brachii caput fiunt, omnes galeancones efficiuntur: & sive secti fuerint, sive usti, sive sua sponte ipsis eruperint, hæc ita se habere nosse oportet. Qui tamen ex nativitate galeancones sunt, etiamsi manu potentissime uti possint, tamen neque ipsi extento cubiti gibbo, brachium ad aurem extendere ac elevare possunt. Sed multo minus hanc quam sanam manum. Quibus vero jam viris exciderit humerus, & repositus non fuerit, his superna humeri pars magis excarnis efficitur, & habitus hac parte tenuis fit. Quum tamen dolor cessaverit, non omnia ea similiter operari possunt, quæ elevato cubiti gibbo à costis in obliquum operari oportet. Quæ vero transmoto brachio juxta costas, aut in anteriorem, aut in posteriorem partem operari oportet, ea operari possunt. Nam & scobinam, & serram trahere poterint, securi item findere, & fodere, si non valde sursum cubiti gibbum attollant, sed & alia juxta tales figuras operantur.

XV. At vero quibus summus humerus fuerit avulsus, his os avulsum extra eminens apparet. Est autem hoc velut vinculum clavi-

τῆς κληῖδος καὶ τῆς ὠμοπλάτης. [2] ἑτεροίη γὰρ φύσις ἀνθρώπου ταύτῃ ἢ τῶν ἄλλων ζώων. [3] οἱ οὖν ἰητροὶ μάλιστα ἐξαπατέονται ἐν τούτῳ τῷ τρώματι. ἅτε γὰρ ἀνισχόντος τοῦ ὀστέου τοῦ ἀποσπασθέντος, ἡ ἐπωμὶς φαίνεται χαμηλὴ καὶ κοίλη, ὥστε καὶ προμηθεῖσθαι τοῦ ὤμου τοῦ ἐκπεπτωκότος. [4] πολλοὺς οὖν οἶδα ἰητροὺς, τἄλλα οὐ φλαύρους ἐόντας, οἳ πολλὰ ἤδη ἐλυμήναντο, ἐμβάλλειν πειρώμενοι τοὺς τοιούτους ὤμους, οὕτως οἰόμενοι ἐκπεπτωκέναι· καὶ οὐ πρόσθεν παύονται πρὶν ἢ ἀπογνῶναι ἢ ἀπορῆσαι, δοκέοντες αὐτοὶ σφᾶς αὐτοὺς ἐμβάλλειν τὸν ὦμον. [5] τούτοισιν ἰητρείη μὲν ἥπερ καὶ τοῖσιν ἄλλοισι τοῖσι τοιούτοισι, κηρωτὴ καὶ σπλῆνες καὶ ὀθόνια, καὶ ἐπίδεσις τοιαύτη. [6] καταναγκάζειν μέντοι τὸ ὑπερέχον χρὴ καὶ τοὺς σπλῆνας κατὰ τοῦτο τιθέναι πλείστους, καὶ πιέζειν ταύτῃ μάλιστα, καὶ τὸν βραχίονα πρὸς τῇσι πλευρῇσι προσεσταλμένον ἐς τὸ ἄνω μέρος ἔχειν. [7] οὕτω γὰρ ἂν μάλιστα πλησιάζοιτο τὸ ἀνασπασθέν. ταῦτα δὲ μὲν οὖν εἰδέναι χρὴ, καὶ προλέγειν, ὡς ἀσφαλέα, εἰ ἄλλως ἐθέλοις, ὅτι βλάβη μὲν οὐδεμίη, οὔτε μικρὴ, οὔτε μεγάλη τῷ ὤμῳ γίνεται ἀπὸ τούτου τοῦ τρώματος, αἴσχιον δὲ τὸ χωρίον. [8] οὐδὲ γὰρ τοῦτο τὸ ὀστέον ἐς τὴν ἀρχαίην ἕδρην ὁμοίως ἂν ἱδρυνθείη, ὥσπερ ἐπεφύκει, ἀλλ' ἀνάγκη πλέον ἢ ἔλασσον ὀγκηρότερον εἶναι ἐς τὸ ἄνω. οὐδὲ γὰρ ἄλλο ὀστέον οὐδὲν ἐς τὸ αὐτὸ καθίσταται, ὅ, τι ἂν κοινωνέον ἑτέρῳ ὀστέῳ καὶ προσπεφυκὸς ἀποσπασθῇ ἀπὸ τῆς ἀρχαίης φύσιος. [9] ἀνώδυνον δὲ τὸ ἀκρώμιον ἐν ὀλίγῃσιν ἡμέρῃσι γίνεται, ἢν χρηστῶς ἐπιδέηται.

XVI. Κληῒς δὲ κατεαγεῖσα, ἢν μὲν ἀτρεκέως ἀποκαυλισθῇ, εὐιητοτέρη

claviculæ & scapulæ. [2] Alia enim est hominis natura hac parte quam aliorum animalium. [3] Medici igitur in hoc vulnere maxime falluntur. Nam quum os avulsum emineat, superna humeri pars humilis & cava apparet, ut etiam velut humeri elapsi curam adhibeant. [4] Multos igitur novi medicos alias non malos, qui graviter afflixerunt, tales humeros reponere conantes, ita excidisse rati, & non prius desistunt ipsi existimare se humerum reponere, quam vel desperarint, vel frustrati fuerint. [5] His curatio quidem eadem quæ etiam aliis hujusmodi, ceratum, splenia, & lintea, & deligatio ejusmodi: [6] deorsum tamen cogere os supereminens oportet, & splenia super hoc ponere plurima, & hac parte maxime premere: & brachium ad costas adalligatum ad supernam partem tenere. [7] Sic enim os avulsum maxime appropinquarit. Hæc tamen probe nosse expedit, & velut certa prædicere, si alioqui voles, quod nullum detrimentum, neque parvum, neque magnum, humero contingit ex hoc vulnere. Sed locus turpior evadit. [8] Neque enim hoc os in pristinam sedem similiter firmari poterit, velut natura exigit, sed necesse est plus aut minus tumidum esse ad supernam partem. Neque enim aliud ullum os in eundem locum restituitur, quod cum alio osse communionem habet, & adhærens à veteri naturali sede avulsum fuerit. [9] Paucis autem diebus summus humerus doloris exors fit, si probe deligetur.

XVI. Clavicula porro fracta, si quidem penitus caulatim hoc conti-

τέρη ἐστὶ ἢ ἣν δὲ παραμηκίως, δυσιητοτέρη. τἀναντία δὲ τούτοις ἐστὶν, ἢ ὡς ἄν τις οἴοιτο. τὴν μὲν γὰρ ἀτρεκέως ἀποκαυλισθεῖσαν προσαναγκάσειεν ἄν τις μᾶλλον ἐς τὴν φύσιν ἐλθεῖν. [2] καὶ εἰ πάνυ προθυμηθείη τὸ ἀνωτέρω, κατωτέρω ἂν ποιήσειε, σχήμασί τε ἐπιτηδείοισι καὶ

25 ἐπιδέσει ἁρμοζούσῃ. εἰ δὲ μὴ τελέως ἱδρυνθείη, ἀλλ' οὖν τὸ ὑπερέχον γε τοῦ ὀστέου οὐ κάρτα ὀξὺ γίνεται. [3] ὧν δὲ αὖ παραμήκης τὸ ὀστέον κατεαγῇ, ἰκέλη ἡ ξυμφορὴ γίνεται τοῖσιν ὀστέοισι τοῖσιν ἀπεσπασμένοισιν, περὶ ὧν πρόσθεν γέγραπται. οὔτε γὰρ ἱδρυνθῆναι αὐτὸ πρὸς ἑωυτὸ κάρτα ἐθέλει, ἥ τε ὑπερέχουσα ἀκρὶς τοῦ ὀστέου ὀξεῖα γίνεται κάρτα. τὸ [4] μὲν οὖν σύμπαν εἰδέναι χρὴ, ὅτι βλάβη οὐδεμίη τῷ ὤμῳ οὐδὲ τῷ ἄλλῳ σώματι γίνεται διὰ τὴν κάτηξιν τῆς κληῖδος, ἢν μὴ ἐπισφακελίσῃ.

30 [5] ὀλιγάκις δὲ τοῦτο γίνεται. αἶσχος γε μὴν προσγίνεται περὶ τὴν κάτηξιν τῆς κληῖδος· καὶ τούτοισι τὸ πρῶτον αἴσχιστον, [6] ἔπειτα μὴν καὶ ἧσσον γίνεται. συμφύεται δὲ ταχέως κληῒς, καὶ τἄλλα πάντα, ὅσα χαῦνα ὀστέα. ταχεῖαν γὰρ τὴν ἐπιπώρωσιν ποιέεται τὰ τοιαῦτα. [7] ὅταν μὲν οὖν νεωστὶ κατεαγῇ, οἱ τετρωμένοι σπουδάζουσιν, οἰόμενοι μεῖζον τὸ κακὸν εἶναι, ἢ ὅσον ἐστίν· οἵ τε ἰητροὶ προθυμεῦνται δῆθεν ὀρθῶς ἰῆσθαι. προϊόντος δὲ τοῦ χρόνου,

35 οἱ τετρωμένοι, ἅτε οὐκ ὀδυνώμενοι, οὔτε κωλυόμενοι, οὔτε ὁδοιπορέειν, οὔτε ἐσθίειν, καταμελέουσιν, οἵ τε αὖ ἰητροὶ, ἅτε οὐ δυνάμενοι καλὰ τὰ χωρία ἀποδεικνύειν, ἀποδιδρήσκουσι, καὶ οὐκ ἄχθονται τῇ ἀμελείῃ τῶν τετρωμένων. [8] ἐν τούτῳ δὲ ἡ ἐπιπώρωσις συνταχύνεται.

XVII. Ἐπι-

contigerit, curatu facilior est. Si vero oblonge, difficilius sanatur: & contraria in his contingunt, aliter quam quis putaverit. Nam quæ penitus caulatim fracta est, cogi magis poterit ut ad naturam redeat. [2] Et si diligens cura adhibeatur, partem quæ superior est, inferiorem [d] fecerit figuris 383 idoneis, & deligatione convenienti. Si vero perfecte non firmata fuerit, attamen superеminens ossis pars non valde acuta fit. [3] At quorum os in longitudinem fractum fuerit, his similis ossibus avulsis calamitas contingit, de quibus antea scriptum est. Neque enim ipsum ad seipsum valde firmari solet, & summa ossis eminentia, valde acuta fit. [4] In universum igitur nosse expedit, quod [e] nullum detrimen- 385 tum neque humero, neque reliquo corpori, ob claviculæ fracturam accedit, si non insuper corruptio aliqua contingat. [5] Raro autem hoc fit. Deformitas tamen circa claviculæ fracturam accedit, primum turpissima, [6] deinde vero minor fit. Coalescit autem clavicula cito, itemque alia ossa laxa. Celerem enim calli obductionem talia faciunt. [7] Quum igitur recens fracta fuerit, vulnerati ad [f] curationem fe- 390 stinant, majus malum esse putantes quam est, & medici quoque prompti sunt ad recte curandum. Progressu vero temporis & vulnerati, utpote qui neque dolent, neque iter facere, neque cibum capere prohibentur, negligunt: & medici, utpote qui suis sedibus restituere non possunt, aufugiunt, neque vulneratorum negligentiam ægre ferunt. [8] In hoc autem calli obductio acceleratur.

XVII. De-

XVII. Ἐπιδέσιος μὲν οὖν τρόπος καθέστηκε παραπλήσιος τοῖσι πλείστοισι, κηρωτῇ καὶ σπλήνεσι καὶ ὀθονίοισι μαλθακοῖσιν ἰητρεύειν. καὶ τάδε δεῖ προσιητρεύειν, καὶ τάδε δεῖ προσξυνιέναι, καὶ μάλιστα ἐν τούτῳ
40 τῷ χειρίσματι. [2] ὅτι τούς τε σπλῆνας πλείστους κατὰ τὸ ἐξέχον χρὴ τιθέναι, καὶ τοῖσι ἐπιδέσμοισι πλείστοισι, καὶ μάλιστα κατὰ τοῦτο χρὴ πιέζειν. [3] εἰσὶ δὲ δή τινες, οἳ ἐπιψηφίσαντο ἤδη μολίβδιον βαρὺ προσεπικαταδεῖν, ὡς καταναγκάζειν τὸ ὑπερέχον. ξυνιᾶσι μὲν οὖν ἴσως οὐδ᾽ οἱ ἁπλῶς ἐπιδέοντες. [4] ἀτὰρ δὴ οὐδ᾽ οὗτος ὁ τρόπος κληῖδος κατήξιός ἐστιν. οὐ γὰρ δυνατὸν τὸ ὑπερέχον καταναγκάζεσθαι οὐδὲν, ὅ,τι καὶ ἄξιον λόγου. [5] ἄλλοι δὲ
45 αὖ τινες εἰσὶν, οἵτινες καταμαθόντες τοῦτο, ὅτι αὗται αἱ ἐπιδέσιες παράφοροί εἰσι καὶ οὐ κατὰ φύσιν, καταναγκάζουσι τὰ ὑπερέχοντα. ἐπιδέουσι μὲν οὖν αὐτοὺς σπλήνεσι καὶ ὀθονίοισι χρώμενοι, ὥσπερ καὶ οἱ ἄλλοι. [6] ζώσαντες δὲ τὸν ἄνθρωπον ταινίῃ τινὶ, ᾗ ἀεὶ ζωστότατος αὐτὸς ἑωυτοῦ ἐστιν, ὅταν ἐπιθῶσι τοὺς σπλῆνας ἐπὶ τὰ ὑπερέχοντα τοῦ κατήγματος, ἐξοκώσαντες ἐπὶ τὰ ἐξέχοντα, τὴν ἀρχὴν τοῦ ὀθονίου προσέδησαν πρὸς τὸ ζῶσμα ἐκ τοῦ ἔμπροσθεν, καὶ οὕτως ἐπιδέουσιν ἐπὶ τὴν ἴξιν τῆς κληῖδος ἐπιτείνοντες ἐς τοὔπισθεν ἄγοντες. [7] κἄπειτα περιβάλλοντες περὶ τὸ ζῶσμα ἐς τοὔμπροσθεν ἄγουσι. καὶ αὖθις ἐς τοὔπισθεν. οἱ δέ τινες οὐχὶ περὶ τὸ ζῶσμα περιβάλλουσι τὸ ὀθόνιον, ἀλλὰ περὶ τὸ περίνεόν τε καὶ παρ᾽ αὐτὴν τὴν ἕδρην, καὶ παρὰ τὴν ἄκανθαν κυκλεύοντες τὸ ὀθόνιον, οὕτω πιέζουσι τὸ κάτηγμα. [8] ταῦτα γοῦν, ἀπείροισι μὲν ἀκοῦσαι, φαίνεται ἰθὺς τοῦ κατὰ φύσιν εἶναι,

χρεω-

XVII. Deligationis vero modus plerisque consimilis est, ut cerato & spleniis, & mollibus linteis curatio fiat. Insuper autem & hæc curatio, & hæc animadversio habenda est, & præsertim in hac aggressione: [2] quod plurima splenia juxta eminentem partem imponere oportet, & plurimis deligationibus maxime circa hanc partem premere. [3] Sunt autem aliqui quibus complacuit plumbum grave insuper adalligare, ut supereminentem partem deorsum cogat. Fortassis autem neque intelligunt qui simpliciter deligant. [4] Sed neque hic modus ad claviculam fractam pertinet. Neque enim fieri potest ut id quod eminet memorabili modo deprimatur. [5] Alii vero quidam sunt, qui quum cognoverint quod hæ deligationes erroneæ sunt, & non secundum naturam supereminentia deorsum cogunt: deligant quidem ipsos spleniis & linteis utentes, velut etiam alii. [6] Verum cincto homine fascia quadam qua parte maxime cingi solet, postquam splenia supra eminentes fracturas imposuerunt, ita ut isthic magna mole extuberent, tunc initium lintei ad cincturam ex anteriore parte alligant, atque ita deligant in directum claviculæ extendentes ac retrorsum ducentes, [7] & isthic cincturæ circumdatum in anteriorem partem reducunt, & rursus in posteriorem. Aliqui vero non cincturæ linteum circumdant, sed circum interfœmineum juxta sedem, & per spinam linteum circumdantes, hoc modo fracturam comprimunt. [8] Hæc itaque si quis inexpertus audit, prope secundum naturam

esse

χρεομένῳ δὲ ἀχρήϊα. [9] οὔτε γὰρ μόνιμα οὐδένα χρόνον" οὐδ᾽, εἰ καταχκλίνοιτό τις, καί τοι ἐγγυτάτω αὖ οὕτως, ἀλλ᾽ ὅμως εἰ κατακείμενος, ἢ τὸ σκέλος συγκάμψειεν, ἢ αὐτὸς καμφθείη, πάντα ἂν τὰ ἐπιδέσματα κινέοιτο, ἄλλως τε ἀσηρὴ ἡ ἐπίδεσις. [10] ἥτε γὰρ ἕδρη ἀπολαμβάνεται, ἀθρόα τε τὰ ὀθόνια" ἐν ταύτῃ τῇ στενοχωρίῃ γίνεται· τά τε αὖ περὶ τὴν ζώνην περιβαλλόμενα οὐχ οὕτως ἰσχυρῶς ἔζωσται, ὡς οὐκ ἀναγκάσαι ἐς τὸ ἄνω τὴν ζώνην ἐπανιέναι· καὶ οὕτως 10 ἀνάγκη αὖ εἴη πάντα χαλᾶν τὰ ἐπιδέσματα. [11] ἄγχιστα δ᾽ αὖ τις δοκέει ποιέειν, καίτοι οὐ μεγάλα ποιέων, εἰ τοῖσι μέν τισι τῶν ὀθονίων περὶ τὴν ζώνην περιβάλλοι, τοῖσι δὲ πλείστοισι τῶν ὀθονίων τὴν ἀρχαίην ἐπίδεσιν ἐπιδέοι. οὕτω γὰρ αὖ μάλιστα τὰ ἐπιδέσματα μόνιμά τι εἴη" καὶ ἀλλήλοισι τιμωρέοι. [12] τὰ μὲν οὖν πλεῖστα εἴρηται, ὅσα καταλαμβάνει τοὺς τὴν κληῖδα καταγνυμένους.

XXXIV. Quibuscunque vero cum fractura etiam ulcera adsunt, eos ea propter turbari non oportet: [2] Verum super ulcera ceratum picatum imponere, aut ex emplastris aliquod cruentis vulneribus idoneum. Facilia enim curatu talia sunt. Similiter etiam, si ossa discessura sunt. Primam directionem impigre facere oportet nihil omittendo, & directionem per digitos etiam postero tempore, [3] ita ut laxius quidem admoveas, admoveas tamen. Ex omnibus enim corporis partibus nasus facillimé conformari pôtest. [4] Cæterum lororum agglutinatione ac in contrarium inclinatione uti omnino nihil prohibet, sive ulcera affuerint, sive inflammatio. Nullam enim molestiam exhibent.

XXXV. At vero si auris fracta fuerit, deligationes omnes inimicæ sunt. Neque enim ita laxam quis circumdare poterit. [2] Si vero magis premat, majus malum operabitur. Nam & sana auris deligatione pressa, dolore, & pulsatione, & febre afficitur. [3] Sed & cataplasmata pessima quidem omnino sunt, quæ gravissima sunt. Verum & alia pleraque omnia mala sunt, & abscessus inducunt, & mucum ampliorem suggerunt, [4] & deinde suppurationes noxias. His autem fracta auris minime opus habet. [5] Proximum tamen locum habet, si quid imponi debet, farina viscosa, quam neque ipsam gravem esse oportet. Contingere vero quam minime conducit. [6] Bonum enim aliquando medicamentum est, etiam nul-

καὶ πρὸς ἄλλα πολλά. ⁶ χρὴ δὲ καὶ
τὴν ἐπικνίησιν φυλάττεσθαι. ⁷
30 τὸ δὲ σῶμα ἰσχναίνειν, καὶ μᾶλ-
λον, εἰ ἂν κίνδυνος ἔῃ, ἔμπυον
τὸ οὖς γενέσθαι. ἄμεινον δὲ καὶ
μαλθάξαι τὴν κοιλίην. ἢν δὲ καὶ
εὐήμετος ἔῃ, ἐμέειν ἀπὸ συρ-
μαϊσμοῦ. ἢν δὲ ἐς ἐμπύησιν ἔλ-
θῃ, ταχέως μὲν οὐ χρὴ τομεῖν. ⁹
πολλὰ γὰρ καὶ τῶν δοκεόντων ἐκ-
πυΐσκεσθαι ἀναπίνεταί ποτε, κἢν
μηδέν τις καταπλάσῃ. ἢν δὲ
ἀναγκασθῇ τομῶσαι, τάχιστα μὲν
ὑγιὲς γίνεται, ἤν τις πέρην δια-
καύσῃ. ¹⁰ εἰδέναι μέν τοι χρὴ σα-
φῶς, ὅτι κυλλὸν ἔσται τὸ οὖς καὶ μεῖον
τοῦ ἑτέρου, ἢν πέρην διακαυθῇ.
35 ¹¹ ἢν δὲ μὴ πέρην καίηται,
τάμνειν χρὴ τὸ μετέωρον, μὴ
πάνυ σμικρὴν τομήν. ¹² διὰ
παχυτέρου μὲν καὶ τὸ πῦον εὑ-
ρίσκεται, ἢ ὡς ἄν τις δοκέοι.
¹³ ὡς δ' ἐν κεφαλαίῳ εἰπεῖν,
καὶ πάντα τἄλλα τὰ μυξώδεα
καὶ μυξοποιά, ἅτε γλίσχρα
ἐόντα ἀποθιγγανόμενα, διολισθαί-
νει ταχέως ὑπὸ τοὺς δακτύλους
καὶ ἔνθα καὶ ἔνθα. ¹⁴ διὰ τοῦ-
το διὰ παχυτέρου εὑρίσκουσι
τὰ τοιαῦτα οἱ ἰητροί, ἢ ὡς οἴον-
ται.

XXXVI. Ἐπεὶ καὶ τῶν γαγ-
γλιωδέων ἔνια, ὅσα ἂν πλα-
δαρὰ ἔῃ, καὶ μυξώδεα σάρκα
40 ἔχῃ, πολλοὶ τομοῦσιν, οἰόμενοι ῥεῦ-
μα ἀνευρήσειν ἐς τὰ τοιαῦτα. ²
ἡ μὲν οὖν γνώμη τοῦ ἰητροῦ ἐξα-
πατᾶται. τῷ δὲ πρήγματι τῷ
τοιούτῳ οὐδεμία βλάβη τομα-
θέντι. ³ ὅσα δὲ ὑδατώδεα χω-
ρία ἐστὶν, ἢ μύξης πεπληρω-
μένα, καὶ ἐν οἵοισι χωρίοισιν
ἕκαστα θάνατον φέρει τμηθέντα, ἢ

κῶ

lum adhibere medicamentum, & ad aures, & ad multa alia. Vellicationem insuper ac scalpturam vitare oportet. ⁷ Corpus autem attenuare, & magis in quo periculum est ne auris suppuretur: ⁸ melius est quoque alvum mollire. Si vero quis facile vomat, ex moderata aliqua purgatione vomitum faciat. At si ad suppurationem deveniat, cito quidem aperire non oportet (⁹ multa enim ex his quæ suppurari videntur, quandoque resorbentur, etiamsi nondum quis ullum cataplasma imposuit.) Si vero quis aperire cogatur, celerrime quidem sana fit, si in ulteriorem partem perurat. ¹⁰ Illud tamen certo scire expedit, quod mutila fiet auris, & minor altera, si perusta fuerit. ¹¹ Si vero non in ulteriorem partem peruratur, tumidam partem non valde parva sectione incidere oportet. ¹² Sub crassiore enim cute pus reperitur quam quis putaverit. ¹³ Verum ut in summa dicam, alia quoque omnia mucosa, & mucos facientia, utpote quæ sunt viscosa, ad contactum sub digitis hac atque illac cito dilabuntur: ¹⁴ & propterea sub crassiore cute medici talia inveniunt, quam putarint.

XXXVI. Nam & aliquas nervorum contortiones, ganglia appellatas, quæ sane laxæ ac fluidæ sunt, mucosamque carnem habent, multi aperiunt, humorem in talibus se inventuros esse putantes. ² Medicus quidem igitur sententia sua fallitur, verum rei hujusmodi nullum ex apertione accedit detrimentum. ³ Qui vero aquosi loci sint, aut muco pleni: & in qualibus locis singula si aperiantur mortem afferant,

καὶ ἄλλας βλάβας, περὶ τούτων ἐν ἄλλῳ λόγῳ γεγράψεται. ὅταν δὲ τάμνῃ τις τὸ οὖς, πάντων μὲν καταπλασμάτων, πάσης τε μοτώσιος ἀπέχεσθαι χρή. [4] ἰητρεύειν δὲ ἢ ἐναίμοις, ἢ ἄλλῳ
45 τῳ, ὅ, τι μήτε βάρος, μήτε πόνον παρέχῃ. ἢν γὰρ ὁ χόνδρος ἄρξηται ψιλοῦσθαι καὶ ὑποστά- 4 σιας ἴσχῃ πυώδεας ἢ χαλώδεας, ὀχληρόν. [5] γίγνεται δὲ καὶ τοῦτο δι᾽ ἐκείνας τὰς ἰήσιας. πάν- 5 των δὲ τῶν παλιγκοτησάντων ἡ πέρην διάκαυσις αὐταρκέστατον.

XXXVII. Σπόνδυλοι δὲ οἱ 19 κατὰ ῥάχιν, ὅσοισι μὲν ὑπὸ νοσημάτων ἕλκονται ἐς τὸ κῦφος, τὰ μὲν πλεῖστα ἀδύνατα λύεσθαι. [2] πρὸς δὲ καὶ, ὅσα ἀνωτέρω τῶν 1 φρενῶν τῆς προσφύσιος κυφοῦ-
484 ται. τῶν δὲ κατωτέρω μετεξέτερα λύουσι κιρσοὶ γενόμενοι ἐν τοῖσι σκέλεσι· [3] μᾶλλον δέ τι ἐγγενόμενοι κιρσοὶ ἐν τῇ κατ᾽ ἰγνύην φλεβί. οἷσι δ᾽ ἂν τι κύφωμα ᾖ, λύουσιν. [4] ἐγγίνονται δὲ καὶ ἐν τῇ κατὰ βουβῶνα. ἤδη δέ τισιν ἔλυσε καὶ ἡ δυσεντερίη πολυχρόνιος γινομένη. καὶ οἷ- 2 σι μὲν κυφοῦται ῥάχις παισὶν ἐοῦσιν, πρὶν ἢ τὸ σῶμα τελειωθῆναι ἐν αὔξησιν· τούτοισι μὲν οὐδὲ συναύξεσθαι ἐθέλει κατὰ τὴν
5 ῥάχιν τὸ σῶμα. [5] ἀλλὰ σκέλεα μὲν καὶ χεῖρες τελειοῦνται, ταῦτα δὲ ἐνδεέστερα γίνονται. καὶ ὅσοι- 3 σι ἂν ᾖ ἀνωτέρω τῶν φρενῶν τὸ κῦφος, τούτοισι μὲν αἵ τε πλευραὶ οὐκ ἐθέλουσιν ἐς τὸ εὖρος αὔξεσθαι, ἀλλ᾽ ἐς τοὔμπροσθεν· [6] τό, τε στῆθος ὀξὺ γίνεται, ἀλλ᾽ οὐ πλατὺ, αὐτοί τε δύσπνοοι γίνονται

rant, aut etiam alia detrimenta inducant, de his in alio opere scribetur. Quum igitur inciderit quis aurem, ab omnibus quidem cataplasmatis, & ab omni 275 ni linamentorum usu abstinere 1 oportet: [4] Curare autem vel emplastro aliquo cruentis vulneribus idoneo, vel aliquo alio, quod neque gravitatem, neque dolorem inducat. Si enim cartilago denudari inceperit, & subsidentia purulenta aut mucosa habuerit, molestum est. [5] Fit autem & hoc propter illas curationes. Cæterum omnium eorum quæ recruduerunt, perustio in ulteriorem partem sufficientissima medela est.

XXXVII. Verticula vero spi- 111 næ quibuscunque in gibbum trahuntur ex morbis, pleraque ut solvantur fieri non potest. [2] Insuperque & quæ supra septi transversi juncturam ac connexionem gibba fiunt. Quæ vero infra, eorum aliqua solvunt varices, in cruribus oborientes. [3] Magis autem hæ varices quæ in vena juxta poplitem fiunt, quibuscunque gibbositas contigerit, 5 eam solvunt. [4] Fiunt autem & in vena circa inguina. Jam vero quibusdam etiam dysenteria diuturna solvit. Et quibus quidem gibba fit spina dum pueri sunt, priusquam corpus ad augmentum plenum perfectum fuerit, his corpus juxta spinam coaugeri non solet. [5] Sed crura quidem ac manus perficiuntur, illæ vero partes defectuosiores fiunt. Et quibus supra septum transversum gibbositas est, his & co- 10 stæ in amplitudinem augeri non solent, sed in anteriorem partem: [6] & pectus acutum fit, sed non latum: ipsique & difficulter spirant,

ται, καὶ κερχνώδεες. [7] ἥσσονα γὰρ εὐρυχωρίην ἔχουσιν αἱ κοιλίαι αἱ τὸ πνεῦμα δεχόμεναι καὶ προπέμπουσαι. [8] καὶ μέντοι καὶ ἀναγκάζονται κατὰ τὸν μέγαν σπόνδυλον λορδὸν τὸν αὐχένα ἔχειν, ὡς μὴ προπετὴς εἴη αὐτέοισιν ἡ κεφαλή. [9] στενοχωρίην μὲν οὖν πολλὴν τῷ φάρυγγι παρέχει καὶ τοῦτο ἐς τὸ εἴσω ῥέπον. καὶ γὰρ τοῖσιν ὀρθοῖσι φύσει δύσπνοιαν παρέχει τοῦτο τὸ ὀστέον, ἢν ἔσω ῥέψῃ, ἔστ᾽ ἀναπιεχθῇ. [10] διὰ οὖν τὸ τοιοῦτο σχῆμα ἐξεχέβρογχοι οἱ τοιοῦτοι τῶν ἀνθρώπων μᾶλλον φαίνονται, ἢ ὑγιέες. [11] φυματίαι τε ὡς ἐπὶ τὸ πολὺ κατὰ τὸν πνεύμονά εἰσιν οἱ τοιοῦτοι σκληρῶν φυμάτων καὶ ἀπέπτων. [12] καὶ γὰρ ἡ πρόφασις τοῦ κυφώματος καὶ ἡ ξύντασις τοῖσι πλείστοισι διὰ τοιαύτας συστροφὰς γίνεται, ἧσιν ἂν κοινωνήσωσιν οἱ τόνοι οἱ σύνεγγυς.

XXXVIII. Ὅσοισι δὲ κατωτέρω τῶν φρενῶν τὸ κύφωμά ἐστι, τούτοισιν νοσήματα μὲν ἐνίοισι προσγίνεται νεφριτικὰ, καὶ κατὰ κύστιν· ἀτὰρ καὶ ἀποστάσιες ἐς ἐμπύημα, καὶ κατὰ κενεῶνας, καὶ κατὰ βουβῶνας χρόνιαι καὶ δυσαλθέες. καὶ [2] τούτων οὐδ᾽ ἑτέρη λύει τὰ κυφώματα. ἰσχία δὲ τοῖσι τουτέοισιν ἔτι ἀσαρκότερα γίνεται, ἢ τοῖσιν ἄνωθεν κυφοῖσιν. ἡ μέντοι σύμπασα ῥάχις μακροτέρη τούτοισιν, ἢ τοῖσιν ἄνωθεν κυφοῖσιν. [3] ἥβη δὲ καὶ γένειον βραδύτερα καὶ ἀτελέστερα, καὶ ἀγονώτεροι οὗτοι τῶν ἄνωθεν κυφῶν. [4] οἷσι δ᾽ ἂν ηὐξημένοισι ἤδη τὸ σῶμα γένηται κύφωσις, τούτοισιν ἀπαρτικρὺ μὲν τῆς νόσου τῆς τότε παρεούσης κρίσιν ποιέει ἡ κύφωσις. ἀνὰ χρόνον μέντοι σημαίνει τι τῶν αὐτέων, ὥσπερ καὶ τοῖσιν ἑτέροισιν,

rant, & stridulam faucium asperitatem habent. [7] Nam ventriculi qui spiritum suscipiunt ac emittunt, minorem amplitudinem habent. [8] Sed & juxta magnum verticulum cervicem repandam habere coguntur, ut ne caput ipsis pronuum sit. [9] Multam igitur angustiam faucibus exhibet etiam hoc os intro vergens. Nam & his qui natura recti sunt, spirandi difficultatem hoc os inducit, si intro vergat, donec regressum fuerit. [10] Ob talem igitur figuram ejusmodi homines eminentis gutturis, magis quam sani apparent: [11] & tuberculis circa pulmonem duris ac crudis plerunque tales affecti sunt. Nam & gibbositatis occasio, & distentio plerisque propter tales collectiones fit, cum quibus vicini nervi communionem habent.

XXXVIII. Quibus vero infra septum transversum gibbositas est, horum quibusdam morbi renum ac vesicæ accedunt: Sed & abscessus ad suppurationem, & circa laterum mollitudines & inguina diuturni ac ægre curabiles: [2] & neutri horum gibbositates solvunt. Coxæ vero his magis excarnes fiunt, quam his quibus superne gibbositas contigit. Universa tamen spina his longior est quam superne gibbosis. [3] Pubes vero & barba tardior ac imperfectior. Sed & infecundiores hi sunt quam superne gibbosi. [4] At vero quibus jam aucto corpore gibbositas facta fuerit, his palam præsentis tunc morbi judicationem gibbositas facit, per tempus tamen, aliquid ex iisdem significationem de se plus aut minus præbet, quemadmodum etiam in pueris.

σιν, ἢ πλέον, ἢ ἔλασσον. ἧσσον δὲ κακοήθως ὡς τὸ ἐπίπαν μὲν τοιαῦτά ἐστι. [5] πολλοὶ μέντοι ἤδη καὶ εὐφόρως ἤνεγκαν καὶ ὑγιεινῶς τὴν κύφωσιν ἄχρι γήραος. μάλιστα δὲ οὗτοι, οἷσιν ἂν ἐς τὸ εὔσαρκον καὶ πιμελῶδες τρέπηται τὸ σῶμα. ὀλίγοι μὲν ἤδη καὶ τῶν τοιούτων ὑπὲρ ἑξήκοντα ἔτη ἐβίωσαν. οἱ δὲ πλεῖστοι βραχυβιώτεροί εἰσιν. [6] ἔστι δ' οἷσι καὶ ἐς τὸ πλάγιον σκολιοῦνται σπόνδυλοι, ἢ τῇ, ἢ τῇ. πάντα μὲν ἢ τὰ πλεῖστα τὰ τοιαῦτα γίνεται διὰ συστροφὰς τὰς ἔσωθεν ῥάχιος. προσξυμβάλλεται δὲ ἐνίοισι σὺν τῇ νούσῳ καὶ τὰ σχήματα, ἐφ' ὁκοῖα ἂν ἐθισθέωσι κεκλίσθαι. ἀλλὰ περὶ μὲν τούτων ἐν τοῖσι χρονίοισι κατὰ πλεύμονα νοσήμασιν εἰρήσεται. [7] ἐκεῖ γάρ εἰσιν αὐτῶν χαριέσταται προγνώσιες περὶ τῶν μελλόντων ἔσεσθαι.

XXXIX. Ὅσοισι δὲ ἐκ καταπτώσιος ῥάχις κυφοῦται, ὀλίγοι δὴ τούτων ἐκρατήθησαν, ὥστε ἐξιθυνθῆναι. τοῦτο μὲν γὰρ αἱ ἐν τῇ κλίμακι κατασείσιες οὐδένα ἐξίθυναν ὧν γε ἐγὼ οἶδα. χρέονται δὲ οἱ ἰητροὶ [2] μάλιστα αὐτῇ οὗτοι οἱ ἐπιθυμέοντες ἐκχαυνοῦν τὸν πολὺν ὄχλον. [3] τοῖσι γὰρ τοιούτοισι ταῦτα θαυμάσιά ἐστιν, ἢν ἢ κρεμάμενον ἴδωσιν, ἢ ῥιπτεόμενον, ἢ ὅσα τοῖσι τοιούτοισιν ἔοικε, καὶ ταῦτα κληΐζουσιν αἰεὶ καὶ οὐκέτι αὐτοῖσι μέλει, ὁκοῖόν τι ἀπέβη ἀπὸ τοῦ χειρίσματος, εἴτε κακὸν, εἴτε ἀγαθόν. [4] οἱ μέντοι ἰητροὶ οἱ τὰ τοιαῦτα ἐπιτηδεύοντες σκαιοί εἰσιν, οὓς ἔγωγε ἔγνων. τὸ μὲν γὰρ ἐπινόημα ἀρχαῖον. καὶ [5] ἐπαινέω ἔγωγε σφόδρα τὸν πρῶτον ἐπινοήσαντα καὶ τοῦτο καὶ ἄλλο πᾶν, ὅ, τι μηχάνημα κατὰ φύσιν ἐπινοήθη. οὐδὲν γάρ μοι ἄελπτον, εἴ τις καλῶς σκευάσας κατα-

pueris. Minus autem maligne in totum talia se habent. [5] Et multi sane jam facile ac sano modo gibbositatem sustinuerunt, usque ad senectutem: & maxime hi quibus ad carnositatem ac pinguetudinem promotum fuerit corpus, pauci tamen talium sexaginta annos transgressi sunt: plerique vero brevioris vitæ sunt. [6] Quibusdam etiam in latus, aut hac aut illac, verticula obliqua fiunt. Et omnia aut pleraque talia, propter collectiones intra spinam fiunt. Quibusdam una cum morbo etiam figuræ insuper conferunt, ad quas reclinari consueverunt. Verum de his in diuturnis pulmonis morbis dicitur. [7] Illic enim de his quæ futura sunt, pulcherrimæ prænotiones habentur.

XXXIX. Porro quibus ex casu spina gibba fit, horum sane pauca superantur, ita ut dirigi possint. Nam quæ in scala fiunt extensiones, nihil direxerunt quod ego sciam. [2] Utuntur enim ipsa maxime hi medici, qui multitudinis famam aucupantur. [3] Apud tales enim hæc in admiratione sunt, si aut pendentem, aut projici aliquem aut quæ his similia sunt videant, & hæc celebrant semper, neque ipsis curæ est, quale quid eveniat ex hac aggressione, sive bonum id sit, sive malum. [4] Medici tamen qui talia studio habent, quos sane ego novi, imperiti sunt. Inventum equidem vetus est, [5] & laudo sane vehementer eum qui primus excogitavit & hoc machinamentum, & quodvis aliud secundum naturam inventum. Nihil enim despero, si quis recte constructum concutiat, fieri posse

κατασεισθῆναι, καὶ ἐξιθυνθῆναι ἔνια. αὐτὸς μέντοι κατῃσχύνθην πάντα τὰ τοιουτότροπα ἰητρεύειν οὕτω, διὰ τοῦτο, ὅτι πρὸς ἀπατεώνων μᾶλλον αἱ τοιοῦτοι τρόποι. [6] ὅσοισι μὲν οὖν ἐγγὺς τοῦ αὐχένος ἡ κύφωσις γίνεται, ἧσσον εἰκὸς ὠφελέειν τὰς κατασεισίας ταύτας, τὰς ἐπὶ κεφαλήν. [7] μικρὸν γὰρ τὸ βάρος ἡ κεφαλή, καὶ τὰ ἀκρώμια καταρρέποντα. ἀλλὰ τούς γε τοιούτους εἰκὸς ἐπὶ τοὺς πόδας κατασεισθέντας μᾶλλον ἐξιθυνθῆναι. μείζων γὰρ οὕτως ἡ καταρροπίη ἐπὶ τὰ τοιαῦτα. [8] ὅσοισι δὲ κατωτέρω τὸ ὕβωμα, τούτοισιν εἰκὸς μᾶλλον ἐπὶ κεφαλὴν κατασείεσθαι.

XL. Εἰ οὖν τις ἐθέλοι κατασείειν, ὀρθῶς ἂν ὧδε σκευάζοι. τὴν κλίμακα χρὴ σκυτίνοισιν ἐν ὑποκεφαλαίοισι πλαγίοισιν, ἢ ἐρινέοισι καταστρῶσαι εὖ προσδεδεμένοισιν ὀλίγῳ πλέον καὶ ἐπὶ μῆκος, καὶ ἔνθεν καὶ ἔνθεν, ἢ ὅσον ἂν τὸ σῶμα τοῦ ἀνθρώπου κατέχοι. [2] ἔπειτα τὸν ἄνθρωπον ὕπτιον κατακλῖναι ἐπὶ τὴν κλίμακα χρή. καὶ ἔπειτα προσδῆσαι μὲν τοὺς πόδας παρὰ τὰ σφυρὰ πρὸς τὴν κλίμακα μὴ διαβεβῶτα, ἐν δεσμῷ ἰσχυρῷ μὲν, μαλθακῷ δέ. [3] προσδῆσαι δὲ κατωτέρω ἑκάτερον τῶν γουνάτων, καὶ ἀνωτέρω. προσδῆσαι δὲ καὶ κατὰ ἰσχία. [4] κατὰ δὲ τοὺς κενεῶνας καὶ κατὰ τὸ στῆθος χαλαρῇσι ταινίῃσι περιβάλλειν οὕτως ὅκως, μὴ κωλύωσι τὴν κατάσεισιν. [5] τὰς δὲ χεῖρας παρὰ τὰς πλευρὰς παρατείναντα προσκαταλαβεῖν πρὸς αὐτὸ τὸ σῶμα, καὶ μὴ πρὸς τὴν κλίμακα. [6] ὅταν δὲ ταῦτα κατασκευάσῃς οὕτως, ἀνέλκειν τὴν κλίμακα ἢ πρὸς πύργον τινὰ ὑψηλὸν, ἢ πρὸς ἀέτωμα οἴκου. [7] τὸ δὲ χωρίον, ἵνα ὅκου κατασείῃς, ἀντίτυπον ἔστω. τοὺς δὲ ἀνατείνοντας εὐπαιδεύτους

posse ut quædam dirigantur. Ipse tamen omnia hujusmodi hoc modo curare erubui, propterea quod impostorum magis tales sunt modi. [6] Quibus igitur prope cervicem gibbositas fuerit, his verisimile est has in caput extensiones minus prodesse: [7] parvum enim pondus habet caput, & summi humeri deorsum vergentes. Verum tales verisimile est magis dirigi posse, si in pedes concutiantur. Ita enim major propensio ad hujusmodi fieret. [8] Quibus autem magis inferius gibbositas est, hos par est ut magis in caput concutiantur.

XL. Si quis igitur concutere volet, recte sane hoc modo præparare poterit. Scalam coriaceis aut laneis pulvinaribus insternere oportet probe alligatis, paulo amplius in longitudinem, & in utranque partem, quam quantum corpus hominis occuparit: [2] deinde hominem supinum supra scalam reclinare, & postea pedes quidem alligare juxta malleolos ad scalam non disparatos, vinculo quidem satis valido, verum molli: [3] alligare vero etiam oportet infra & supra utrunque genu, itemque circa coxas: [4] Circa laterum autem mollitudinem, & circa pectus, laxas fascias circumdare, ita ut ne impediant concussionem. [5] Manus vero ad costas extentas, ad corpus applicare, & non ad scalam. [6] Ubi vero hæc præparaveris, scalam ita ad turrim aliquam altam, aut ad domus lacunar attrahere oportet: [7] Locus autem in quo concussionem facis, renitens sit. Eos vero qui extendunt probe doctos esse con-

εἰδότως χρὴ εἶναι, ὅκως ὁμαλῶς, καὶ καλῶς, καὶ ἰσοῤῥόπως, καὶ ἐξαπιναίως ἀφήσουσι, καὶ μήτε ἡ κλίμαξ ἑτερόῤῥοπος ἐς γῆν ἀφίξεται, μήτε αὐτοὶ προπετέες ἔσονται. [8] ἀπὸ μέντοι πύργου ἀφιεὶς ἢ ἀπὸ ἱστοῦ καταπεπηγότος καρχήσιον ἔχοντος, ἔτι κάλλιον ἄν τις σκευάσαιτο, ὥστε ἀπὸ τροχιλίης τὰ χαλάσματα εἶναι ὅπλα, ἢ ἀπὸ ὄνου. ἀηδὲς μὲν καὶ μακρηγορεῖν περὶ τούτων. [9] ὅμως δὲ ἐκ τουτέων ἂν τῶν κατασκευῶν μάλιστα ἄν τις κατασεισθείη. εἰ μέντοι κάρτα ἄνω εἴη τὸ ὕβωμα, δέοι δὲ κατασείειν πάντως, ἐπὶ πόδας λυσιτελέει, ὥσπερ ἤδη εἴρηται. [10] πλείων γὰρ οὕτω γίνεται ἡ καταῤῥοπίη ἐπὶ ταῦτα. ἑρμηνέσαι μὲν οὖν κατὰ μὲν τὸ στῆθος πρὸς τὴν κλίμακα προσδήσαντα ἰσχυρῶς. κατὰ δὲ τὸν αὐχένα, ὡς χαλαρωτάτῃ ταινίῃ, ὅσον τοῦ κατορθοῦσθαι εἵνεκα, καὶ αὐτὴν τὴν κεφαλὴν κατὰ τὸ μέτωπον προσδῆσαι πρὸς τὴν κλίμακα. [11] τὰς δὲ χεῖρας παρατανύσαντα πρὸς τὸ σῶμα προσδῆσαι, μὴ πρὸς τὴν κλίμακα. τὸ μέντοι ἄλλο σῶμα ἄδετον εἶναι χρή, πλὴν ὅσον τοῦ κατορθοῦσθαι εἵνεκα, ἄλλῃ καὶ ἄλλῃ ταινίῃ χαλαρῇ περιβεβλῆσθαι. ὅκως δὲ μὴ κωλύσωσιν οὗτοι οἱ δεσμοὶ τὴν κατάσεισιν, σκοπεῖν. τὰ δὲ σκέλεα πρὸς μὲν τὴν κλίμακα μὴ προσδεδέσθω. [12] πρὸς ἄλληλα δὲ, ὡς κατὰ τὴν ῥάχιν ἰθύῤῥοπα ᾖ. ταῦτα μέντοι τοιουτοτρόπως ποιητέα, εἰ πάντως δέοι ἐν κλίμακι κατασεισθῆναι. [13] αἰσχρὸν μέντοι καὶ ἐν πάσῃ τέχνῃ, καὶ οὐχ ἥκιστα ἐν ἰητρικῇ, πολὺν ὄχλον, καὶ πολλὴν ὄψιν, καὶ πολὺν λόγον παρασχόντα, ἔπειτα μηδὲν ὠφελῆσαι.

XLI. Χρὴ δὲ πρῶτον μὲν γινώσκειν

convenit, quo æqualiter, & probe, & ex æquilibrio, ac derepente demittant, ut neque scala in alteram partem repens ad terram deveniat, neque ipsi pronui sint. [8] Quod si tamen à turri, aut malo defixo carchesium habente, quis demittat, adhuc melius præparabit, ita ut ex trochlea aut asella laxatis instrumentis ac funibus demissio fiat. Verũ injucundum est de his longius verba facere: [9] attamen ex his structuris maxime quis concuti poterit. Si vero valde superne fuerit gibbositas, & concutere sit opus, omnino in pedes id faciendum est, velut dictum est. [10] Ita enim major propensio ad hæc contingit. Et firmare quidem oportet juxta pectus ad scalam fortiter deligando, juxta cervicem vero fascia quam laxissima, directionis saltem gratia. Sed & ipsum caput juxta frontem ad scalam alligare oportet, [11] manus autem porrectas ad corpus alligare, non ad scalam. Reliquum vero corpus indeligatum esse oportet, nisi quantum satis est directionis gratia, alia atque alia laxa fascia circumdatum esse. Verum considerandum est ne concussionem impediant hæc vincula. Crura vero ad scalam quidem ne deligentur, [12] sed inter se, ita ut secundum spinam in directum vergant. Atque hæc quidem hoc modo facienda sunt, si omnino opus fuerit in scala concussionem fieri. [13] Turpe tamen est & in omni arte, & non minime in medicina, multam turbam, & multam ostentationem, & multum rumorem concitare, & deinde nullam utilitatem afferre.

XLI. Oportet autem primum spinæ

σκέψιν τὴν φύσιν τῆς ῥάχιος, οἵη τίς ἐστιν. ἐς πολλὰ γὰρ νοσήματα προσδέοι ἂν αὐτῆς. τοῦτο μὲν γάρ, τὸ πρὸς τὴν κοιλίην ῥέπον, οἱ σπόνδυλοι ἐντὸς ἄρτιοί εἰσιν ἀλλήλοισι, καὶ δέδενται πρὸς ἀλλήλους δεσμῷ μυξώδει καὶ νευρώδει ἀπὸ χόνδρων ἀποπεφυκότι ἄχρι πρὸς τὸν νωτιαῖον. [2] ἄλλοι δέ τινες τόνοι νευρώδεες διηνεκαῖοι προσπεφύκασι παρατέτανται ἔνθεν καὶ ἔνθεν αὐτῶν. [3] αἱ δὲ φλεβῶν καὶ ἀρτηριῶν κοινωνίαι, ἐν ἑτέρῳ λόγῳ δεδηλώσονται, ὅσαι τε καὶ οἷαι, καὶ ὅθεν ὡρμημέναι, καὶ ἐν οἵοισιν οἷα δύνανται. αὐτὸς δὲ ὁ νωτιαῖος οἵοισιν ἐλύτροισιν ἐλύτρωται, καὶ ὅθεν ὡρμημένοισι, καὶ ὅπῃ κραίνουσι, καὶ οἷσι κοινωνέουσι, καὶ οἷα δυναμένοισιν. [4] ἐν δὲ τῷ ἐπέκεινα ἐν ἄρθροισι γιγγλυμοῦνται πρὸς ἀλλήλους οἱ σπόνδυλοι. τόνοι δὲ κοινοὶ παρὰ πάντας, καὶ ἐν τοῖσιν ἔξω μέρεσι, καὶ ἐν τοῖσιν εἴσω παρατέτανται, ἀπόφυσίς τε ἐστὶν ὀστέου ἐς τὸ ἔξω μέρος ἀπὸ πάντων τῶν σπονδύλων, μία ἀπὸ ἑνὸς ἑκάστου, ἀπό τε τῶν μειζόνων, ἀπό τε τῶν ἐλασσόνων. [5] ἐπὶ δὲ τῇσιν ἀποφύσεσι ταύτῃσι χονδρίων ἐπιφύσιες, καὶ ἀπ' ἐκείνων νεύρων ἀποβλάστησις ἠδελφισμένη τοῖσιν ἐξωτάτω τόνοισι. [6] πλευραὶ δὲ προσπεφύκασιν ἐς τὸ εἴσω μέρος τὰς κεφαλὰς ῥέπουσαι μᾶλλον, ἢ ἐς τὸ ἔξω. [7] καθ' ἕνα δὲ ἕκαστον τῶν σπονδύλων προσήρθρωνται. καμπυλώταται δὲ πλευραὶ ἀνθρώπου εἰσί, ῥαιβοειδέα τρόπον. τὸ δὲ μεσηγὺ τῶν πλευρέων καὶ τῶν ὀστέων τῶν ἀποπεφυκότων ἀπὸ τῶν σπονδύλων, ἀποπληρέουσιν ἑκατέρωθεν οἱ μύες ἀπὸ τοῦ αὐχένος ἀρξάμενοι, ἄχρι τῆς φρενῶν τῆς προσφύσιος. [8] αὐτὴ δὲ ἡ ῥάχις κατὰ μῆκος ἰθυσκολιός ἐστι. ἀπὸ μὲν τοῦ ἱεροῦ ὀστέου ἄχρι τοῦ μεγάλου

spinæ naturam qualis est cognoscere, ad multos enim morbos ea opus fuerit. Nam qua parte ad ventrem vergit, verticula intus inter se paria sunt, & inter se ligata vinculo mucoso ac nervoso de cartilaginibus exorto usque ad medullam. [2] Alii vero nervi nervosi perpetui annexi, hinc atque illinc juxta ipsa porriguntur. [3] Verum venarum & arteriarum communitates, in alio sermone declarabuntur, quot & quales sint, & unde proficiscantur, & in qualibus qualia possint. Itemque quibus involucris ipsa medulla intecta sit, & unde profectis, & ubi desinentibus, & quibus cum communionem habentibus, & qualia potentibus. [4] At in ulteriore parte in articulis verticula inter se cardinis in modum conserta sunt. Nervi vero communes juxta omnia, & in externis, & in internis partibus porriguntur. Et processus ossis ad externam partem, ab omnibus verticulis unus de unoquoque, tum à majoribus, tum à minoribus. [5] In his autem processibus cartilaginum appendices, & ex illis nervorum progerminatio, cognata ac consimilis extremis nervis. [6] Costæ vero annexæ sunt, ad internam partem magis quam ad externam capitibus vergentes: [7] ad unumquodque autem verticulum adarticulatæ sunt. Curvissimæ autem sunt hominis costæ obtorto modo. Intermediam vero partem costarum & ossium de verticulis procedentium, explent utrinque musculi, à cervice initio sumpto, usque ad septi transversi annexionem. [8] Ipsa autem spina secundum longitudinem, rectobliqua est, à sacro

μεγάλου σπονδύλου, παρ' ὃν αἱ προσάρτησις τῶν σκελέων ἡ πρόσφυσις, ἄχρι μὲν τούτου κυφή.

XLII. Κύστις τε γὰρ καὶ γονὴ, καὶ ἀρχοῦ τὸ χαλαρὸν ἐν τούτῳ ἔκτισται. Ἀπὸ δὲ τούτου ἄχρι φρενῶν προσαρτήσιος, ἰθυλόρδη· καὶ προσφύσιας ἔχει μυῶν, τοῦτο μοῦνον τὸ χωρίον ἐκ τῶν ἔσωθεν, οὓς δὴ καλέουσι ψόας. [2] Ἀπὸ δὲ τούτου ἄχρι τοῦ μεγάλου σπονδύλου τοῦ ὑπὲρ τῶν ἐπωμίδων, ἰθυκυφή. [3] ἔτι δὲ μᾶλλον δοκέει ἢ ἔστιν. ἡ γὰρ ἄκανθα κατὰ μέσον ὑψηλοτάτας τὰς ἐκφύσιας τῶν ὀστέων ἔχει, ἔνθεν δὲ καὶ ἔνθεν ἐλάσσους. [4] αὐτὸ δὲ τὸ ἄρθρον τοῦ αὐχένος λορδόν ἐστιν.

XLIII. Ὁκόσοισι μὲν οὖν κυφώματα γίνεται κατὰ τοὺς σπονδύλους, ἔξωσις μὲν μεγάλη ἀποῤῥαγέντων ἀπὸ τῆς συμφύσιος, ἢ ἑνὸς σπονδύλου, ἢ καὶ πλειόνων, οὐ μάλα πολλοῖσι γίνεται, ἀλλ' ὀλίγοισιν. οὐδὲ γὰρ τὰ τρώματα τὰ τοιαῦτα ῥηΐδιον γενέσθαι. οὔτε γὰρ ἐς τὸ ἔξω ἐξωσθῆναι ῥηΐδιόν ἐστιν, εἰ μὴ ἐκ τοῦ ἔμπροσθεν ἰσχυρῷ τινι τρωθείη διὰ τῆς κοιλίης. [2] οὕτω δ' ἂν ἀπόλοιτο, ἢ εἴ τις ἀφ' ὑψηλοῦ τινος χωρίου πεσὼν, ἐρείσειε τοῖσιν ἰσχίοισιν, ἢ τοῖσιν ὤμοισιν. ἀλλὰ καὶ οὕτως ἂν ἀποθάνοι, παραχρῆμα δὲ οὐκ ἂν ἀποθάνοι. ἐκ δὲ τοῦ ὄπισθεν οὐ ῥηΐδιον τοιαύτην ἔξαλσιν γενέσθαι ἐς τὸ εἴσω, εἰ μὴ ὑπέρβαρύ τι ἄχθος ἐμπέσοι. τῶν τε γὰρ ὀστέων τῶν ἐκπεφυκότων ἔξωθεν ἕκαστον τοιοῦτόν ἐστιν, ὥστε πρόσθεν ἂν αὐτὸ καταγῆναι, πρὶν ἢ μεγάλην ῥοπὴν εἴσω ποιῆσαι, τούς τε συνδέσμους βιασάμενον, καὶ τὰ ἄρθρα τὰ ἐνηλλαγμένα.

sacro quidem osse usque ad magnum verticulum, juxta quod crurum annexio dependet, gibbosa est.

XLII. (Nam & vesica, & geniturae, & intestini recti laxa pars, in hac parte constituta sunt.) Inde vero usque ad septi annexionem, in directum repanda est: & musculos adnatos habet solus hic locus, ex internis partibus, quos lumbarios vocant.[2] Ab hac autem parte usque ad magnum verticulum, quod supra supernas humeri partes est, è directo gibbosa est, [3] imo magis esse videtur quam est. Nam spina media sui parte, altissimas ossium propagines habet, hinc autem atque illinc minores. [4] Ipse vero cervicis articulus repandus est.

XLIII. Quibuscunque igitur gibbositates juxta verticula fiunt his expulsio magna à connexione abrupta, unius aut plurium verticulorum, non ita multis, sed paucis contingit. Neque enim talia vulnera fieri facile est, neque ad externam partem expelli facile est, si non ex anteriore parte, forti aliqua re per ventrem quis vulneratus fuerit: ([2] Sic autem utique perierit) aut nisi quis ex alto loco delapsus, coxis aut humeris impegerit. Sed & hic utique morietur, etiamsi statim non intereat. At ex posteriore parte ad internam, hujusmodi expulsionem fieri non est proclive, si non in immensum grave aliquod onus irruat.[3] Nam ex ossibus quae foras enata sunt, unumquodque ejusmodi est, ut prius ipsum frangatur, quam magnam intro inclinationem faciat, ita ut & ligamenta, & articulos inter se alternatos ac articu-

ναι. 4 ὅ, τε αὖ νωτιαῖος πονοίη ἄν, εἰ ἐξ ὀλίγου χωρίου τὴν περικαμπὴν ἔχοι τοιαύτην ἐξάλσιος ἐξαλλομένου σπονδύλου. ὅ, τ' ἐκπηδήσας σπόνδυλος πιέζοι ἂν τὸν νωτιαῖον, εἰ μὴ καὶ ἀπορρήξειε. 5 πιεχθεὶς δ' ἂν καὶ ἀπολελαμμένος πολλῶν ἂν καὶ μεγάλων καὶ ἐπικαίρων ἀπονάρκωσιν ποιήσειεν. ὥστε οὐκ ἂν μέλοι τῷ ἰητρῷ, ὅκως χρὴ τὸν σπόνδυλον κατορθῶσαι, πολλῶν καὶ βιαίων ἄλλων κακῶν παρεόντων. 6 ὥστε δὴ οὐδ' ἐμβαλεῖν οἷόν τε οὔτε κατασείσει, οὔτ' ἄλλῳ τρόπῳ τινί, πρόδηλον τὸ τοιοῦτον, εἰ μή τις διατεμὼν τὸν ἄνθρωπον, ἔπειτα, ἐσμασσάμενος ἐς τὴν κοιλίην, ἐκ τοῦ ἔσωθεν τῇ χειρὶ ἐς τὸ ἔξω ἀντωθέοι. 7 καὶ ταῦτα νεκρῷ μὲν οἷόν τε ποιέειν, ζῶντι δὲ οὐ πάνυ.

XLIV. Διὰ τί οὖν ταῦτα γράφω; ὅτι οἴονταί τινες ἰητρευκέναι ἀνθρώπους, οἷσιν ἔσωθεν ἔπεσον σπόνδυλοι τελέως ὑπερβάλλοντες τὰ ἄρθρα· καίτοι γε ῥηΐστην ἐς τὸ περιγενέσθαι τῶν διαστροφέων ταύτην ἔνιοι νομίζουσι, καὶ οὐδὲν δεῖσθαι ἐμβολῆς, ἀλλ' αὐτόματα ὑγιέα γίνεσθαι τὰ τοιαῦτα. 2 ἀγνοεῦσι δὲ πολλοί, καὶ κερδαίνουσιν, ὅτι ἀγνοεῦσιν. πείθουσι γὰρ τοὺς πέλας. ἐξαπατῶνται δὲ διὰ τόδε. 3 οἴονται τὴν ἄκανθαν τὴν ἐξέχουσαν κατὰ τὴν ῥάχιν ταύτην τοὺς σπονδύλους αὐτοὺς εἶναι, ὅτι στρογγύλον αὐτῶν ἕκαστον φαίνεται ψαυόμενον· ἀγνοεῦντες, ὅτι τὰ ὀστέα ταῦτά ἐστι τὰ ἀπὸ τῶν σπονδύλων πεφυκότα, περὶ ὧν ὁ λόγος ὀλίγῳ πρόσθεν εἴρηται. 4 οἱ δὲ σπόνδυλοι πολὺ προσωτέρω ἀπέασι. στενοτάτην γὰρ πάντων ζώων ἄνθρωπος κοιλίην ἔχει, ὡς ἐπὶ μεγέ-

θει

articulatos violet. 4 Præterea & spinalis medulla affligeretur, si ex modico loco inflexionem haberet, ubi verticulum tali expulsione exiluisset: & verticulum quod exiluisset, spinalem medullam utique premeret, si non etiam abrumperet. 5 At ea pressa ac intercepta, multarum & magnarum & nobilium partium torporem induceret. Quare neque curæ foret medico, quomodo verticulum dirigat ac coaptet, quum multa & violenta alia mala adsint. 6 Itaque si tale contingat, palam est quod neque concutiendo, neque alio quodam modo, reponi possit, nisi quis dissecto homine, & manu in ventrem injecta inquisitionem faciat, & ex interna parte ad externam manu retrudat: 7 atque hæc in mortuo quidem fieri possent, in vivo autem non ita. Cur igitur hæc scribo?

XLIV. Quia sunt quidam qui putant se curasse homines, quibus intro exciderint verticula articulos penitus transgressa: Et sane facillimam hanc distortionem esse, ut quis inde convalescat, aliqui censent, eamque nulla repositione opus habere, sed sua sponte talia sanescere. 2 Ignari autem multi sunt, & lucro hoc habent quod ignorant. Persuadent enim alios. Verum falluntur hi hac de causa. 3 Spinam quæ in spina ipsa eminet, verticula ipsa esse putant, quia unumquodque ex his ossibus ad contactum rotundum apparet, ignorantes quod hæc ossa sunt ea quæ à verticulis enata sunt, de quibus paulo ante dixi. 4 At verticula longe magis in anteriorem partem absunt. Angustissimum enim ventrem ex omnibus

θη, ἀπὸ τοῦ ὄπισθεν εἰς τὸ ἔμπροσθεν, ἀτὰρ καὶ κατὰ τὸ στῆθος. ὅταν οὖν τι τούτων τῶν ὀστέων τῶν ὑπερεχόντων ἰσχυρῶς καταγῇ, ἤν τε ἕν, ἤν τε πλείω, ταύτῃ ταπεινότερον τὸ χωρίον γίνεται, ἢ τὸ ἔνθεν καὶ ἔνθεν. [5] διὰ τοῦτο ἐξαπατῶνται, οἰόμενοι τοὺς σπονδύλους εἴσω οἴχεσθαι. προσεξαπατᾷ δὲ ἔτι αὐτοὺς καὶ τὰ σχήματα τῶν τετρωμένων. [6] ἢν μὲν γὰρ πειρῶνται κάμπτεσθαι, ὀδυνῶνται, περιτεινομένου ταύτῃ τοῦ δέρματος, ᾗ τέτρωνται, καὶ ἅμα τὰ ὀστέα τὰ κατεηγότα ἐνθράσσει οὕτω μᾶλλον τὸν χρῶτα. ἢν δὲ λορδαίνωσι, ῥάους εἰσί· [7] χαλαρώτερον γὰρ τὸ δέρμα κατὰ τὸ τρῶμα ταύτῃ γίνεται, καὶ τὰ ὀστέα ἧσσον ἐνθράσσει. ἀτὰρ ἤν τις ψαύῃ αὐτῶν, κατὰ τοῦτο ὑπείκουσι λορδοῦντες, καὶ τὸ χωρίον κενεὸν καὶ μαλθακὸν ψαυόμενον ταύτῃ φαίνεται. [8] ταῦτα πάντα τὰ εἰρημένα προσεξαπατᾷ τοὺς ἰητρούς. ὑγιέες δὲ ταχέως καὶ ἀπινέες αὐτόματοι οἱ τοιοῦτοι γίνονται. ■ ταχέως γὰρ πάντα τὰ τοιαῦτα ὀστέα ἐπιπωροῦται, ὅσα χαῦνά ἐστι.

XLV. Σκολιαίνεται μὲν οὖν ῥάχις καὶ ὑγιαίνουσι κατὰ πολλοὺς τρόπους. καὶ γὰρ ἐν τῇ φύσει καὶ ἐν τῇ χρήσει οὕτως ἔχει· ἀτὰρ καὶ ὑπὸ γήραος, καὶ ὑπὸ ὀδυνημάτων, ἐπιξυνδετική ἐστιν. [2] αἱ δὲ δὴ κυφώσιες αἱ ἐν τοῖσι πτώμασιν ὡς ἐπὶ τὸ πολὺ γίνονται, ἢν ἢ τοῖσιν ἰσχίοισιν ἐρείσῃ, ἢ ἐπὶ τοὺς ὤμους πέσῃ. [3] ἀνάγκη γὰρ ἔξω φαίνεσθαι ἐν τῷ κυφώματι ἕνα μέν τινα ὑψηλότατον τῶν σπονδύλων· [4] τοὺς δὲ ἔνθεν καὶ ἔνθεν ἐπὶ ἧσσον. οὔκουν ὡς ἐπὶ πολὺ ἀποπεπηδηκὼς ἀπὸ τῶν ἄλλων ἐστὶν, ἀλλὰ μικρὸν, ἢν ἕκαστος συνδιδοῖ ἀθρόως πολύ. [5] διὰ οὖν τοῦτο καὶ ὁ νωτιαῖος μυελὸς

nibus animalibus homo habet, quantum ad magnitudinem attinet, à posteriore ad anteriorem partem, insuperque etiam juxta pectus. Quum igitur horum supereminentium ossium aliquod vehementer fractum fuerit, sive unum, sive plura, ea parte humilior locus redditur, quam hinc atque illinc: [5] & propterea decipiuntur putantes verticula intro abiisse. Decipiunt autem insuper ipsos etiam figuræ vulneratorum. [6] Si enim inclinare se conantur, dolent: quum ea parte qua vulnerati sunt, cutis sit circumtenta: & simul ossa fracta ita magis corpus affligunt. Si vero in repandum recurvantur, melius habent. [7] Nam & cutis juxta vulnus laxior fit, & ossa minus affligunt. Sed & si quis ipsos contingat, ea parte repandi cedunt, & locus vacuus ac mollis hac parte ad contactum apparet. [8] Hæc omnia relata insuper medicos decipiunt, Verum tales cito sani & illæsi sua sponte fiunt. [9] Cito enim omnia ejusmodi ossa quæ laxa sunt, callo obducuntur.

XLV. Obliquatur igitur spina etiam sanis juxta multos modos. Nam & in natura, & in usu ita se habet. Sed & præ senectute, ac doloribus. Nam hæc colligandi vim habent. [2] At gibbositates ex casibus contingentes plerunque fiunt, si aut in costas innitatur, ac impingat, aut in humeros cadat. [3] Necesse est enim foris apparere in gibbositate unum aliquod altissimum verticulum, [4] minus vero ea quæ sunt hinc atque illinc. Non igitur prosilit multum ab aliis, sed parum, quum singula acervatim concedant. [5] Propter hoc igitur

μυελὸς εὐφόρως φέρει τὰς τοιαύτας διαστροφὰς, ὅτι κυκλώδης αὐτῷ ἡ διαστροφὴ γίνεται, ἀλλ' οὐ γωνιώδης.

XLVI. Χρὴ δὲ τὴν κατασκευὴν τοῦ διαναγκασμοῦ τοιήνδε κατασκευάσαι. ἔξεστι μὲν ξύλον ἰσχυρὸν καὶ πλατὺ ἐντομὴν παραμήκεα ἔχον κατορύξαι. [2] ἔξεστι δὲ καὶ ἀντὶ τοῦ ξύλου ἐν τοίχῳ ἐντομὴν παραμήκεα ἐνταμεῖν, ἢ πήχεϊ ἀνωτέρω τοῦ ἐδάφεος, ἢ ὅκως ἂν μετρίως ἔχῃ. [3] ἔπειτα οἷον στύλον δρύϊνον τετράγωνον πλάγιον παρεμβάλλειν, ἀπολείποντα ἀπὸ τοῦ τοίχου ὅσον παρελθεῖν τινα, ἢν δέῃ. [4] καὶ ἐπὶ μὲν τὸν στύλον ἐπιστορέσαι ἢ χιτῶνας, ἢ ἄλλο τι, ὃ μαλθακὸν μὲν ἔσται, ὑπείξει δὲ μὴ μέγα. [5] τὸν δὲ ἄνθρωπον πυριῆσαι· ἢν δὲ δέχηται, πολλῷ καὶ θερμῷ λοῦσαι· ἔπειτα πρηνέα κατακλῖναι κατατεταμένον. καὶ τὰς μὲν χεῖρας αὐτοῦ παρατείναντα κατὰ φύσιν προσδῆσαι πρὸς τὸ σῶμα. [6] ἱμάντι δὲ μαλθακῷ ἱκανῶς πλατεῖ τε καὶ μακρῷ ἐκ δύο διαντέων ξυμβεβλημένῳ μέσῳ κατὰ μέσον τὸ στῆθος δὶς περιβεβλῆσθαι χρὴ ὡς ἐγγυτάτω τῶν μασχαλέων. [7] ἔπειτα τὸ περισσεῦον τῶν ἱμάντων κατὰ τὴν μασχάλην ἑκάτερον περὶ τοὺς ὤμους περιβεβλήσθω. [8] ἔπειτα αἱ ἀρχαὶ πρὸς ξύλον ὑπεροειδὲς προσδεδέσθωσαν, ἁρμόζουσαι κατὰ μῆκος τῷ ξύλῳ τῷ ὑποτεταμένῳ· πρὸς ὃ, προσβάλλοντα τὸ ὑπεροειδὲς ἀντιστηρίζοντα κατατείνειν. [9] τοιούτῳ δέ τινι ἑτέρῳ δεσμῷ χρὴ ἄνωθεν τῶν γουνάτων δήσαντα καὶ ἄνωθεν τῶν πτερνῶν, τὰς ἀρχὰς τῶν ἱμάντων πρὸς τοιοῦτο τὸ ξύλον προσδῆσαι,

igitur etiam ſpinalis medulla ejuſmodi diſtortiones facile fert, eo quod circularis ipſi diſtortio contingit, non angularis.

XLVI. Oportet autem fabricam inſtrumenti coactorii hujuſmodi conſtruere. Licet equidem lignum robuſtum & latum, inciſuram oblongam habens, defodere. [2] Licet etiam pro ligno, in pariete inciſuram oblongam facere, quæ aut cubiti altitudine, aut prout congruum fuerit, à pavimento extet. [3] Poſtea columnam querneam, quadrangularem, obliquam ad parietem adjicere oportet, tanto ſpacio in medio relicto, ut aliquis pertranſire poſſit, ſi forte opus ſit. [4] Et ſuper columnam quidem, aut tunicas, aut aliud quid molle, quod tamen non multum cedat, inſternere oportet: [5] homini vero fomentum adhibere: Si vero admittat, ipſum etiam multa calida lavare: Deinde pronum extentum reclinare, & manus ipſius ſecundum naturam extentas ad corpus alligare: [6] Poſtea vero loro molli ſatis lato ac longo, ex duobus perpetuis inter ſe adverſariis loris conſtante, ex media ipſius parte, juxta medium pectus quam proxime ſub alas, bis circumdare oportet: [7] & quod ſupereſt de loris utriſque juxta alam circum humeros obvolvatur, [8] & initia ipſorum ad lignum quoddam piſtilloforme alligentur, ita ut congruant ſecundum longitudinem ſubjectæ columnæ, ad quam lignum illud piſtilloforme apponere, & renitendo extenſionem facere oportet. [9] Tali vero quodam alio vinculo & ſupra genua, & ſupra calcanea alligato, initia item ad ejuſmodi lignum alliga-

σαι, ἄλλῳ δὲ ἱμάντι πλατεῖ καὶ μαλθακῷ καὶ δυνατῷ ταινιοειδεῖ, πλάτος ἔχοντι καὶ μῆκος ἱκανὸν, ἰσχυρῶς περὶ τὰς ἰξύας κύκλῳ περιδεδέσθαι, ὡς ἐγγύτατα τῶν ἰσχίων. ἔπειτα τὸ περισσεῦον τοῦ ταινιοειδέος ἅμα ἀμφοτέρας τὰς ἀρχὰς τῶν ἱμάντων, πρὸς τὸ ξύλον προσδῆσαι πρὸς τῶν ποδῶν. [10] κἄπειτα κατατείνειν ἐν τούτῳ τῷ σχήματι, καὶ ἔνθεν καὶ ἔνθεν, ἅμα μὲν ἰσοῤῥόπως, ἅμα δὲ ἐς ἰθύ. οὐδὲν γὰρ ἂν μέγα κακὸν ἡ τοιαύτη κατάτασις ποιήσειε, εἰ χρηστῶς σκευασθείη, εἰ μὴ ἄρα ἐξεπίτηδές τις βούλοιτο σίνεσθαι. τὸν δὲ ἰητρὸν χρὴ ἢ ἄλλον, ὅς τις ἰσχυρὸς, καὶ μὴ ἀμαθὴς, ἐπιθέντα τὸ θέναρ τῆς χειρὸς πρὸς τὸ ὕβωμα, καὶ τὴν ἑτέρην χεῖρα προσεπιθέντα ἐπὶ τὴν ἑτέρην, καταναγκάζειν προσξυνιέντα, ἤν τε ἐς ἰθὺ ἐς τὸ κάτω πεφύκῃ καταναγκάζεσθαι, ἤν τε πρὸς τῆς κεφαλῆς, ἤν τε πρὸς τῶν ἰσχίων. καὶ ἀσινεστάτη μὲν αὕτη ἡ ἀνάγκη.

XLVII. Ἀσινὲς δὲ καὶ ἐπικαθίζεσθαί τινα ἐπὶ τὸ κύφωμα τοῦ ἅμα κατατεινομένου ἐνσεῖσαι μετεωρισθέντα. [2] ἀτὰρ καὶ ἐπιβῆναι τῷ ποδὶ, καὶ ὀχηθῆναι ἐπὶ τὸ κύφωμα, ἡσύχως δὲ ἐπενσεῖσαι οὐδὲν κωλύει. τὸ τοιοῦτο δὲ ποιῆσαι μετρίως ἐπιτήδειος ἂν τις εἴη τῶν ἀμφὶ παλαίστρην ἠθισμένων. [3] δυνατωτάτη μέντοι τῶν ἀναγκέων ἐστὶν, εἰ ὁ μὲν τοῖχος ἐντετμημένος εἴη, τὸ δὲ ξύλον τὸ καταναγκαζόμενον, ἢ ἐντετμημένον, κατωτέρω εἴη τῆς ῥάχιος τοῦ ἀνθρώπου, ὁκόσῳ ἂν δοκέῃ μετρίως ἔχειν. [4] σανὶς δὲ φιλυρίνη μὴ λεπτὴ ἐνείη, ἢ καὶ ἄλλου τινὸς ξύλου. [5] ἔπειτα ἐπὶ τὸ ὕβωμα ἐπιτεθείη ἢ τρύχιόν τι πολύπτυχον, ἢ μικρόν τι σκύτινον ὑποκεφάλαιον. ὡς ἐλάχιστα μὲν ὑποκεῖσθαι ξυμφέρει, μόνον

re oportet. Postea autem alio loro lato ac molli & robusto fasciæ formam habente, longitudinemque ac latitudinem sufficientem, partem inter coxas & lumbos, quam proxime ad coxas, circumcirca fortiter deligare, atque ita tum hujus lori, tum aliorum duorum capita, ad lignum à pedibus extans alligare, [10] & postea in hac figura hinc atque illinc, æqua simul inclinatione, simulque in directum extensionem facere. Nullum enim magnum malum talis extensio induxerit, si commode præparata fuerit, nisi quis de industria se extendendum exhibeat. At medicus, sive alius quisquam fortis & non imperitus, imposita manus vola supra gibbum, & altera manu insuper alteri superimposita, deorsum cogat, animadversione habita, an in directum deorsum cogere oporteat, sive ad caput, sive ad coxas. Atque hæc coactio maxime innoxia est.

XLVII. Sed & si quis insideat super gibbum, & attollendo se dum ille distenditur incutiat, innoxium est. [2] Neque quicquam prohibet pede inscendere ac gestari supra gibbum, atque ita sensim incutere. Ad hoc autem moderate faciendum idoneus quis fuerit ex his qui in palæstra adsueti sunt. [3] Efficacissima tamen coactio est, si aut paries incisuram habeat, aut lignum defossum infra spinæ altitudinem incisum sit, quantum moderate habere videatur, [4] ita ut tabula tiliacea, aut cujusdam alterius ligni, non tenuis, incisuræ indatur, [5] & postea linteum quoddam multiplex, aut parvum quoddam coriaceum pulvinar, super gibbum imponatur. Quam paucissi-

μοῦνον προσμηχανεόμενον, ὡς μὴ ἡ σανὶς ὑπὸ σκληρότητος ὀδύνην παρὰ καιρὸν προσπαρέχῃ. [6] κατὰ ἴξιν δὲ ἔστω ὡς μάλιστα τῇ ἐντομῇ τῇ ἐς τὸν τοῖχον τὸ ὕβω-
20 μα, ' ὡς ἂν ἡ σανὶς, ᾗ μάλιστα ἐξέστηκεν, ταύτῃ μάλιστα πιέζῃ ἐπιτεθεῖσα. [7] ὅταν δὲ ἐπιτεθῇ, τὸν μέν τινα καταναγκάζειν χρὴ τὸ ἄκρον τῆς σανίδος, ἤν τε ἕνα δέῃ, ἤν τε δύο· τοὺς δὲ κατατείνειν τὸ σῶμα κατὰ μῆκος, ὡς πρόσθεν εἴρηται, τοὺς μὲν τῇ, τοὺς δὲ τῇ. [8] ἔξεστι δὲ καὶ ὀνίσκοισι τὴν κατάτασιν ποιέεσθαι, ἢ παρακατορύξαντα παρὰ τὸ ξύλον, ἢ ἐν αὐτῷ τῷ ξύλῳ " τὰς φλιὰς τῶν 11 ὀνίσκων ἐντεκτηνάμενον, ἤν τε ὀρθὰς ἐθέλῃς ἑκατέρωθεν μικρὸν
25 ὑπερεχούσας, [9] ἤν τε κατὰ ' κορυφὴν τοῦ ξύλου ἔνθεν καὶ ἔνθεν. αὗται αἱ ἀνάγκαι εὐταμίευτοί εἰσιν, καὶ ἐς ἰσχυρότατον, καὶ ἐς τὸ ἧσσον. [10] καὶ ἰσχὺν ἔχουσι τοιαύτην, ὥστε καὶ, εἴ τις ἐπὶ λύμῃ βούλοιτο, ἀλλὰ μὴ ἐπὶ ἰητρείῃ, ἐς τοιαύτας ἀνάγκας ἀγαγεῖν, κἂν τούτῳ ἰσχυρῶς δύνασθαι. [11] " ἔστι γὰρ 12 αὖ κατατείνοντα κατὰ μῆκος μοῦνον ἔνθεν καὶ ἔνθεν, οὕτω, καὶ ἄλλην ἀνάγκην οὐδεμίην προστιθεὶς, ὅμως κατατείνειν αὐτῆς. [12] ἀλλὰ μὴν καὶ ἢν, μὴ κατατείνων, αὐτῇ δὲ μού-
30 νον τῇ σανίδι οὕτως εἰ ποιέοι ' τις, καὶ οὕτως ἱκανῶς καταναγκάσαι. καλαὶ οὖν αἱ τοιαῦται ἰσχύες εἰσὶν, ᾗσιν ἔξεστι καὶ ἀσθενεστέρῃσι καὶ ἰσχυροτέρῃσι χρέεσθαι αὐτὸν ταμιεύοντα. καὶ μὲν δὴ καὶ κατὰ φύσιν γε ἀναγκάζουσι. [13] τὰ μὲν γὰρ ἐξεστεῶτα ἐς τὴν χώρην ἀναγκάζει καὶ " ἡ ἴπωσις ἰέναι. 13 τὰ δὲ ξυνεληλυθότα κατὰ φύσιν κα-

τατείνουσιν

paucissima tamen imposita esse conducit, cavendi saltem gratia, ut ne tabula præ duricie dolorem aliquem importune inducat. [6] Sit autem gibbositas è directo maxime incisuræ in pariete, quo qua parte maxime extat, ea quammaxime tabula imposita premat. [7] Ubi vero imposita fuerit, aliquis extremam tabulæ partem deprimat, aut duo hoc faciant, si unus non suffecerit: alii vero corpus ' secundum lon- 190 gitudinem velut dictum est extendant, partim hinc, partim illinc constituti. [8] Potest etiam asellis extensio fieri, aut juxta lignum defossis, aut in ipso ligno asellorum postibus constructis, sive erectos velis utrinque paululum supereminentes, [9] sive hinc atque illinc juxta ligni verticem. Hæ coactiones moderationem admittunt, ut & vehementissime, & moderate fieri possint. [10] Talem autem vim habent, ut si quis ' etiam ad per- 191 niciem tales necessitates adhibere velit, & non ad curationem, tunc quoque multum possint. [11] Nam si quis secundum longitudinem hinc atque illinc saltem sic extendat, & nullam aliam necessitatem addat, tamen sic etiam extensionem facere poterit. [12] Sed & si non extendat, & tabula solum ita quis utatur, etiam sic sufficienter deorsum cogere poterit. Bonæ autem sunt hujusmodi violentiæ, quibus & ' vehementioribus & debilioribus 200 uti licet, usu ipsorum prout quisquis vult moderato. Et sane etiam secundum naturam coactionem faciunt. [13] Nam ea quæ extant, ad locum suum redire cogit depressio. Quæ vero præter naturam coiverunt, ea exten-

dunt

κατατείνουσιν αἱ κατὰ φύσιν κατατάσιες. [14] οὔκουν ἐγὼ ἔχω τουτέων ἀνάγκας καλλίους, οὐδὲ δικαιοτέρας. [15] ἡ γὰρ κατ' αὐτὴν τὴν ἄκανθαν ἰθυωρίη τῆς κατατάσιος κάτωθέν τε καὶ κατὰ τὸ ἱερὸν ὀστέον καλεόμενον, οὐκ ἔχει ἐπιλαβὴν οὐδεμίην. [16] ἄνωθεν δὲ κατὰ τὸν αὐχένα καὶ κατὰ τὴν κεφαλὴν, ἐπιλαβὴν μὲν ἔχει· ἀλλ' ἐς ἰδέην γε ἀπρεπής. ταύτῃ τοι γενομένη ἡ κατάτασις καὶ ἄλλας βλάβας ἂν προσπαρέχοι πλεονασθεῖσα.

XLVIII. Ἐπειρήθην δὲ δή ποτε ὕπτιον τὸν ἄνθρωπον κατατείνας, ἀσκὸν ἀφύσητον ὑποθεῖναι ὑπὸ τὸ ὕβωμα. [2] κἄπειτα αὐλὸν ἐκ χαλκείου ἐς τὸν ἀσκὸν τὸν ὑποκείμενον ἐνιέντα φυσᾷν. ἀλλά μοι οὐκ εὐπορέετο. [1] ὅτε μὲν γὰρ εὖ κατατείνοιμι τὸν ἄνθρωπον, ἡσσᾶτο ὁ ἀσκὸς καὶ οὐκ ἠδύνατο ἡ φῦσα ἐπαναγκάζειν. [3] καὶ ἄλλως ἑτοῖμον περιολισθαίνειν ἦν, ἅτε ἐς τὸ αὐτὸ ἀναγκαζόμενον τό τε τοῦ ἀνθρώπου ὕβωμα, καὶ τὸ τοῦ ἀσκοῦ πληρευμένου κύρτωμα. [4] ὅτε δ' αὖ μὴ κάρτα κατατείνοιμι τὸν ἄνθρωπον, ὁ μὲν ἀσκὸς ὑπὸ τῆς φύσης ἐκυρτοῦτο· ὁ δὲ ἄνθρωπος πάντη μᾶλλον ἐλορδαίνετο ἢ συνέφερεν. [5] ἔγραψα δὲ ἐπίτηδες τοῦτο. [6] καλὰ γὰρ καὶ ταῦτα μαθήματά ἐστι, ἃ πειρηθέντα ἀπορηθέντα ἐφάνη, καὶ δι' ἅσσα ἠπορήθη. [7] Ὁκόσοισι δὲ ἐς τὸ εἴσω σκολιοῦνται οἱ σπόνδυλοι ὑπὸ πτώματος, ἢ καὶ ἐμπεσόντος τινὸς βαρέος, εἷς μὲν οὐδεὶς τῶν σπονδύλων μέγα ἐξίσταται κάρτα ὡς ἐπὶ τὸ πολὺ ἐκ τῶν ἄλλων. ἢν δὲ ἐκστῇ μέγα, ἢ εἷς, ἢ πλείονες, θάνατον φέρουσιν. ὥσπερ δὲ καὶ πρόσθεν

dunt extensiones secundum naturam. [14] Proinde neque meliores his necessitates ego habeo, neque iustiores. [15] Rectitudo enim extensionis iuxta ipsam spinam, inferne & iuxta os sacrum appellatum, nullam ansam habet: [16] superne vero iuxta cervicem & caput, habet quidem ansam, sed in speciem indecora est: & si hac parte extensio fiat redundans, etiam alias læsiones inducere poterit.

XLVIII. Experimentum autem aliquando feci, ut homine supino extento, utrem non inflatum sub gibbum subderem, [2] & postea folle ex officina fabri in subiectum utrem immisso inflarem. Verum res mihi non successit. [1] Quum enim bene extenderem hominem, vincebatur uter, & non poterat flatus aliquam coactionem facere. [3] Sed & alias hæc res prompta erat ad dilapsionem, nimirum quum in idem & hominis gibbositas, & utris pleni incurva turgiditas cogantur. [4] Quum autem rursus non valde extenderem hominem, uter quidem præ flatu incurvus turgebat, homo vero omnino magis quam conducebat repandus fiebat. [5] Scripsi autem hoc de industria. [6] Pulchrum enim est etiam ea addiscere quæ in experimentum assumpta successu caruerunt, & cur successum non habuerunt. [7] Quibuscunque porro vertìcula intro obliquantur, aut ex casu, aut gravi aliqua re illapsa, his nullum quidem verticulum extat plerunque ita multum ab aliis. Si vero extiterit multum, aut unum aut plura, mortem inducunt, velut etiam antea dictum est. Circularis etiam hæc,

&

πρόσθεν εἴρηται, κυκλώδης γὰρ αὕτη, καὶ οὐ γωνιώδης γίνεται ἡ παραλλαγή. 24
8 Οὖρα μὲν οὖν τοῖσι τοιούτοισι καὶ ἀπόπατος μᾶλλον ἴσχεται, ἢ τοῖς ἔξω 5
488 κυφοῖσι· καὶ πόδες καὶ ὅλα τὰ σκέλεα ψύχεται μᾶλλον, καὶ θανατηφόρα ταῦτα μᾶλλον, ὧν ἔφην. 9 καὶ ἢν περιγένωνται, ῥυώδεες τὰ οὖρα μᾶλλον οὗτοι, καὶ τῶν σκελέων ἀκρατέστεροι, καὶ ναρκωδέστεροι. ἢν δὲ καὶ ἐν τῷ ἄνω μέρει μᾶλλον τὸ λόρδωμα γένηται, παντὸς τοῦ σώματος ἀκρατέες καὶ νεναρκωμένοι γίνονται. 10
μηχανὴν δὲ οὐκ ἔχω οὐδεμίην ἔγωγε,
5 ὅκως χρὴ τὸν τοιοῦτον ἐς τὸ αὐτὸ καταστῆσαι, εἰ μή τινα ἡ κατὰ τὴν κλίμακος κατάσεισις ὠφελέει οἵη τε εἴη, ἢ ἄλλη τις τοιαύτη ἴησις, ἢ κατάτασις, οἵη περ ὀλίγῳ πρόσθεν εἴρηται. 8

XLIX. Κατανάγκασιν δὲ σὺν τῇ κατατάσει οὐδεμίην ἔχω, ἥντινα ἂν γένοιτο, ὥσπερ τῷ κυφώματι τὴν κατανάγκασιν ἡ σανὶς ἐποιέετο. πῶς 3
γὰρ ἄν τις ἐκ τοῦ ἔμπροσθεν διὰ τῆς κοιλίης ἀναγκάσαι δύναιτο; 2 οὐ γὰρ οἷόν τε. ἀλλὰ μὴν, οὔτε βῆχες, οὔτε πταρμοὶ οὐδεμίην δύναμιν ἔχουσι,
10 ὥστε τῇ κατατάσει συντιμωρέειν. οὐ μὴν οὐδ' ἔνεσις φύσης, ἐνιεμένης ἐς τὴν κοιλίην, οὐδὲν ἂν δύναιτο. 3 καὶ μὴν αἱ μεγάλαι σικύαι προσβαλλόμεναι ἀνασπάσιος εἵνεκα δῆθεν τῶν εἴσω ῥεπόντων σπονδύλων μεγάλη ἁμαρτὰς γνώμης ἐστίν. ἀπωθέουσι γὰρ μᾶλλον ἢ ἀνασπῶσι. 4 καὶ οὐδ' αὐτὸ τοῦτο γινώσκουσιν οἱ προσβάλλοντες. ὅσῳ γὰρ ἄν τις μέζω προσβάλλῃ, τοσούτῳ μᾶλλον λορδοῦνται οἱ προσβληθέντες, συναναγκαζομένου ἄνω τοῦ δέρματος. 5 τρόπους δὲ ἄλλους 4
15 κατασείσιων, ἢ οἷοι πρόσθεν εἴρηνται, ἔχοιμι ἂν εἰπεῖν, ἁρμόσαι ὡς ἄν τις

δοκέοι

& non angularis emotio existit. 220
8 Urinæ igitur talibus magis supprimuntur, itemque alvi egestio, quam his qui extra gibbosi fiunt: & pedes ac tota crura magis perfrigerantur: & lethalia sunt hæc magis quam illa quæ dixi. 9 Sed & si superstites evadunt hi, magis profluam urinam habent, & cruribus impotentiores ac torpidiores fiunt. Si vero etiam in superna parte magis repandi fiant, totius corporis impotentia ac torpor accedit. 10 Atque ego 225
sane nullam machinam habeo, per quam talia in idem restitui possint, si non alicui concussio per scalam opem tulerit, aut etiam alia quædam ejusmodi curatio aut extensio, qualis est ea quæ paulo antea relata est.

XLIX. At coactionem una cum extensione nullam habeo, quæ sane fieri ita posset, velut in gibbo tabula coactionem faciebat. Quomodo enim quis ab anteriore parte per ventrem coactionem facere possit? 2 Neque 230
enim fieri hoc potest. Sed neque tusses, neque sternutationes ullam vim habent, ut extensioni auxiliari possint. Nec vero flatus immissio in ventrem quicquam efficere poterit. 3 Quin & si magnæ cucurbitæ affigantur, attractionis nimirum gratia verticulorum intro repentium, magno hoc mentis errore contingit. Propellunt enim magis quam attrahunt, 4 & neque hoc animadvertunt hi qui ipsas affigunt. Quanto enim magis ipsas 235
quis adigit, tanto magis repandi fiunt hi quibus affiguntur, cute simul sursum coacta. 5 Possem autem & alios concussionum modos, quam hi sunt quos antea retuli, exponere, quos sane affe-

ctioni

δοκέοι τῷ παθήματι μᾶλλον, ἀλλ' οὐ κάρτα πιστεύω αὐτοῖς. διὰ τοῦτο οὐ γράφω.

L. Ἀθρόον δὴ ξυνιέναι χρὴ περὶ τούτων, ὡς ἐν κεφαλαίῳ εἰρῆσθαι, ὅτι τὰ μὲν ἐς τὸ λορδὸν ῥέψαντα ὀλέθριά ἐστι καὶ σινάμωρα. ² τὰ δὲ ἐς τὸ κῦφον ἀσινέα θανάτου, καὶ οὔρων σχεσίων καὶ ἀποναρκωσίων τὸ ἐπίπαν. οὐ γὰρ ἐντείνει τοὺς ὀχετοὺς τοὺς κατὰ τὴν κοιλίην, οὐδὲ κωλύει ἀῤῥόους εἶναι ἡ ἐς τὸ ἔξω κύφωσις. ³ ἡ δὲ λόρδωσις ταῦτα ἀμφότερα ποιέει, καὶ ἐς τὰ ἄλλα πολλὰ προσγίνεται. ἐπεί τοι πολὺ πλείονες σκελέων τε καὶ χειρῶν ἀκρατέες γίνονται καὶ καταναρκοῦνται τὸ σῶμα, καὶ οὖρα τούτοισιν ἴσχεται, οἷσι δὲ ἂν μὴ ἐξίσχῃ μὲν τὸ ὕβωμα μήτε ἔξω, μήτε ἔσω, σεισθέωσι δὲ ἰσχυρῶς ἐς τὴν ἰθυωρίην τῆς ῥάχιος. ⁴ οἷσι δὲ ἂν ἐξίσχῃ μὲν τὸ ὕβωμα, ἧσσον τοιαῦτα πάσχουσιν. ⁵ πολλὰ δὲ καὶ ἄλλα ἐν ἰητρικῇ ἄν τις θεάσαιτο, ὧν τὰ μὲν ἰσχυρὰ ἀσινέα ἐστὶ καθ' ἑωυτὰ τὴν κρίσιν ὅλου λαμβάνοντα τοῦ νοσήματος, τὰ δὲ ἀσθενέστερα σινάμωρα καὶ ἀποτόκους νοσημάτων χρονίους ποιέοντα, καὶ κοινωνέοντα καὶ τοῦ ἄλλου σώματος ἐπὶ πλέον.

LI. Ἐπεὶ καὶ πλευρέων κάτηξις τοιοῦτόν τι πέπονθεν. οἷσι μὲν γὰρ ἂν καταγῇ πλευρὴ μία ἢ πλείονες, ὡς τοῖσι πλείστοισι κατάγνυται, μὴ διασχόντα τὰ ὀστέα ἐς τὸ εἴσω μέρος, μηδὲ ψιλωθέντα, ὀλίγοι μὲν ἤδη ἐπυρέτηναν. ² ἀτὰρ οὐδὲ αἷμα πολλοὶ ἤδη ἔπτυσαν, οὐδὲ ἔμπυοι πολλοὶ γίνονται, οὐδὲ ἔμμοτοι, οὐδὲ ἐπισφακελίσιες τῶν ὀστέων, δίαιτά τε φαύλη

ctioni magis convenire quis putare possit, verum non valde ipsis fidem habeo, & propterea non scribo.

L. In summa igitur de his quæ relata sunt, ita acervatim constituere oportet, quod ea quidem quæ in repandum emota sunt, lethalia sunt ac noxia: ² quæ vero in gibbum, innoxia in totum, quantum ad mortem, & urinæ suppressionem ac torporem attinet. Non enim rivos qui sunt in ventre gibbositas ad externam partem intendit, neque fluidos esse prohibet. ³ Repanditas vero ambo hæc facit, & ad alia multa hæc accedunt. Nam multo plures & cruribus & manibus impotentes fiunt, & corpore torpescunt, & urinæ his supprimuntur, quibus gibbositas quidem neque extra neque intro extiterit, verum in rectitudinem spinæ vehementer concussi fuerint. ⁴ Quibus vero gibbositas extat, hi minus talia perpetiuntur. ⁵ Multa vero etiam alia in medicina quis videre poterit, ex quibus ea quidem quæ fortia sunt, innoxia sunt per se totam morbi judicationem inducentia: quæ vero debiliora, noxia, ita ut & diuturnos morbos progenerent, & cum reliquo corpore ampliorem communionem habeant.

LI. Nam & costarum fractura ejusmodi quid perpetitur. Quibus enim fracta fuerit costa una, aut plures, velut plurimis frangitur, ita ut ossa ad internam partem non vergant, neque denudata sint, ex his pauci jam febricitarunt. ² Sed neque sanguinem multi jam expuerunt, neque suppurati multi fiunt, neque curatione medicamentorum

φαύλη ἀρκέει. ³ Ἢν γὰρ μὴ πυρετὸς ξυνεχὴς ἐπιλαμβάνῃ αὐτοὺς, καὶ κενεαγγέειν κάκιον τοῖς τοιούτοισιν, ἢ μὴ κενεαγγέειν, καὶ ἐπωδυνέστερον, καὶ πυρετωδέστερον, καὶ βηχωδέστερον. τὸ γὰρ πλήρωμα τὸ μέτριον τῆς κοιλίης διόρθωμα τῶν πλευρέων γίνεται. ⁴ ἡ δὲ κένωσις κρεμασμὸν μὲν τῇσι πλευρῇσι ποιέει· ὁ δὲ κρεμασμὸς ὀδύνην. ἔξωθεν δὲ φαύλη ἐπίδεσις τοῖσι τοιούτοισιν ἀρκέει, κηρωτῇ καὶ σπλήνεσι καὶ ὀθονίοισιν ἡσύχως ἐρείδοντα, ὁμαλὴν τὴν ἐπίδεσιν ποιέεσθαι, ἢ καὶ ἐρεῶδές τι προσεπιτείνειν. κρατύνεται δὲ πλευρὴ ἐν εἴκοσιν ἡμέρῃσι. ⁵ ταχεῖαι γὰρ αἱ ἐπιπωρώσιες τούτων τῶν ὀστέων.

LII. Ἀμφιβλασθείσης δὲ τῆς σαρκὸς, ἀμφὶ τῇσι πλευρῇσιν, ἢ ὑπὸ πληγῆς, ἢ ὑπὸ πτώματος, ἢ ὑπὸ ἀντερείσιος, ἢ ἄλλου τινὸς τοιουτοτρόπου, πολλοὶ ἤδη πολὺ αἷμα ἔπτυσαν. ² οἱ γὰρ ὀχετοὶ οἱ κατὰ τὸ λαπαρὸν τῆς πλευρῆς ἑκάστης παρατέταμένοι, καὶ οἱ τόνοι ἀπὸ τῶν ἐπικαιροτάτων τῶν ἐν τῷ σώματι τὰς ἀφορμὰς ἔχουσι. ³ πολλοὶ γοῦν ἤδη βηχώδεες, καὶ φυματίαι, καὶ ἔμπυοι ἐγένοντο, καὶ ἔμμοτοι, καὶ ἡ πλευρὴ ἐπεσφακέλισεν αὐτοῖσιν. ἀτὰρ καὶ, οἷσι μηδὲν τοιοῦτον προσεγένετο, ἀμφιβλασθείσης τῆς σαρκὸς ἀμφὶ τῇσι πλευρῇσιν, ὅμως δὲ βραδύτερον ὀδυνώμενοι παύονται, ἤτοι, ἢ οἷσιν ἂν ἡ πλευρὴ κατεαγῇ. ⁴ καὶ ὑποστροφὰς μᾶλλον ἴσχει ὀδυνημάτων τὸ χωρίον ἐν τοῖσι τοιούτοισι τρώμασι. μάλα μὲν οὖν μεθεξίτεροι καταμελέουσι τῶν τοιούτων σινέων μᾶλλον, ἢν πλευρὴ κατεαγῇ αὐτέοισιν. ἀτὰρ καὶ ἰήσιος ἀκριβεστέρης οἱ τοιοῦτοι δέονται, εἰ σωφρονοῖεν. ⁵ τῇ τε γὰρ διαίτῃ ξυμφέρει ξυνεστάλθαι· ἀτρεμέειν δὲ τῷ σώματι ὡς

ex illitis linamentis opus habent, neque ossium corruptiones accedunt, & victus vulgaris sufficit. ³ Si enim febris continua ipsos non corripuerit, etiam vasa per inediam his vacua fieri deterius est, quam si non vacua fiant. Majorem item dolorem ac febrem & tussim inducit. Moderata enim ventris repletio, costarum fit directio. ⁴ Verum vacuatio pendentes costas facit, & hæc dependentia dolorem inducit. Extrinsecus autem vulgaris deligatio talibus sufficit, ita ut cerato, & spleniis, & linteis, plana deligatio placide firmetur, aut etiam laneum quiddam insuper imponatur. Corroboratur autem costa diebus viginti. ⁵ Celeriter enim his ossibus calli obducuntur.

LII. At contusa circa costas carne, aut ex plaga, aut ex casu, aut renisu, aut alio quopiam ejusmodi, multi jam multum sanguinem spuerunt. ² Rivi enim in molli ad unamquamque costam extenta parte, & nervi, à principalissimis in corpore partibus progressus habent. ³ Multi itaque jam tussiculosi, & tuberculosi, ac suppurati facti sunt, & linamentis opus habuerunt, & costa ipsis corruptionem sensit. Sed & quibus nihil tale accessit, carne circa costas contusa: tardius tamen dolor in ipsis sedatur, quam in his quibus costa fracta fuerit: & ⁴ in talibus vulneribus locus dolorum recidivas magis habet. Proinde aliqui tales noxas magis contemnunt, si costa ipsis fracta fuerit. Quin & curatione exactiore tales indigent, si modo sapiant. ⁵ Victum enim contractum esse conducit, & corpore quam maxime quiescere, & à Venere abstinere,

ὡς μάλιστα, ἀφροδισίων τε ἀπέχεσθαι, βρωμάτων δὲ λιπαρῶν," καὶ κερχνωδέων, καὶ ἰσχυρῶν πάντων. "φλέβα τε κατ' ἀγκῶνα τάμνεσθαι, σιγᾶν τε ὡς μάλιστα. ἐπιδεῖσθαι δὲ ἐς τὸ χωρίον τὸ φλασθὲν σπλήνεσι μὴ πολυπτύχεσι, συχνοῖσι δὲ καὶ πολὺ πλατυτέροισι πάντῃ τοῦ φλάσματος. [7] κηρωτῇ τε ὑποχρίειν, ὀθονίοισί τε πλατέσι, σὺν ταινίῃσι πλατείῃσι καὶ μαλθακῇσιν ἐπιδεῖν. ἐρείδειν τε μετρίως, ὥστε μὴ κάρτα πιέζεσθαι φάναι τὸν ἐπιδεδεμένον, μηδ' αὖ χαλαρόν. [8] ἄρχεσθαι δὲ τὸν ἐπιδέοντα κατὰ τὸ φλάσμα καὶ ἐρηρεῖσθαι ταύτῃ μάλιστα." ἡ δὲ ἐπίδεσιν ποιέεσθαι ὡς ἀπὸ δύο ἀρχέων, ἐπιδεῖν τε, ἵνα μὴ περιρρεπὲς τὸ δέρμα τὸ περὶ τὰς πλευρὰς ἔῃ, ἀλλ' ἰσόρροπον. ἐπιδεῖν δὲ, ἢ καθ' ἑκάστην ἡμέρην, ἢ παρ' ἑτέρην. ἄμεινον δὲ καὶ τὴν κοιλίην μαλθάξαι κούφῳ τινὶ, ὅσον κενώσιος εἵνεκεν τοῦ σίτου. [9] καὶ ἐπὶ μὲν δέκα ἡμέρας ἰσχναίνειν. ἔπειτα ἀναθρέψαι τὸ σῶμα καὶ ἁπαλῦναι. [10] τῇ δὲ ἐπιδέσει, ἕως μὲν ἂν ἰσχναίνῃς, ἐρηρεισμένῃ μᾶλλον χρῆσθαι· ὁκόταν δὲ ἐς τὸ ἁπαλύνειν ἄγῃς, ἐπιχαλαρωτέρῃ.

LIII. Καὶ, ἢν μὲν αἷμα ἀποπτύσῃ κατ' ἀρχὰς, τεσσαρακονθημέρου τὴν μελέτην καὶ τὴν ἐπίδεσιν ποιέεσθαι χρή. [2] ἢν δὲ μὴ πτύσῃ τὸ αἷμα, ἀρκέει εἴκοσιν ἡμέρῃσιν ἡ μελέτη, ὡς ἐπὶ τὸ πολύ. [3] τῇ ἰσχύϊ δὲ τοῦ τρώματος τοὺς χρόνους προσσημαίνεσθαι χρή. "ὅσοι δ' αὖ ἀμελήσωσι τῶν τοιουτέων ἀμφιφλασμάτων, ἢν καὶ ἄλλο μηδὲν αὐτέοισι φλαῦρον μέζον γένηται, ὅμως τό γε χωρίον ἀμφιφλασθὲν μυξωδεστέρην τὴν σάρκα ἴσχει, ἢ πρόσθεν εἶχεν. ὅκου δὲ τι τοιοῦτον ἐγκαταλείπεται, καὶ μὴ

ſtinere, eduliiſque pinguibus, & fauces exaſperantibus, ac fortibus omnibus: [6] Venamque in cubiti flexura ſecare, & quam maxime ſilere. Deligare vero locum contuſum ' conducit ſpleniis non multiplicibus, ſed multis & multo latioribus tota contuſione, [7] & cerato ſublinire, & linteis latis cum faſciis latis ac mollibus deligare, & moderate firmare, ut deligatus non valde ſe compreſſum eſſe dicat, neque rurſus laxum. [8] Initium autem ſumere debet qui deligat in ipſa contuſione, atque iſthic maxime firmare: facienda vero eſt deligatio velut à duobus initiis,' deligandumque ut ne circumflua ſit cutis circa coſtas, ſed æquilibris. Deligandum autem aut ſingulis aut alternis diebus. Præſtat autem & alvum mollire levi aliquo medicamento, cibi ſaltem evacuandi gratia: [9] & ad decem quidem dies attenuare: Poſtea vero corpus renutrire ac tenerum facere. [10] Quandiu vero attenuas, deligatione magis firmata utendum eſt: Quum autem ad teneritudinem deducis, ' laxiore.

LIII. Et ſi quidem ſanguinem ab initio expuerit, quadraginta dierum curationem ac deligationem facere oportet. [2] Si vero ſanguinem non ſpuat, ſufficit viginti diebus utplurimum curatio. [3] Verum ex robore vulneris tempora conjectare oportet. Qui porro tales contuſiones neglexerint, etiamſi aliud nihil majoris mali ipſis contingat, tamen locus contuſus mucoſiorem carnem habet, quam ' antea habebat. Ubi vero tale quippiam relinquitur, & curatione non probe exprimitur, deterius quidem

μὴ δ' ἐξικνῆται τῇ γε ἀλθέξει, φαυλότερον μὲν, ἢν παρ' αὐτὸ τὸ
15 ὀστέον ἐγκαταλειφθῇ τὸ μυξῶδες. οὔτε γὰρ ἔτι ἡ σὰρξ ὁμοίως ἅπτεται τοῦ ὀστέου, τό, τε ὀστέον νοσηλότερον γίνεται. σφακελισμοί τε χρόνιοι ὀστέου πολλοῖσιν ἤδη ἀπὸ τοιουτέων προφασίων ἐγένοντο.[4] ἀτὰρ καὶ, ἢν μὴ παρὰ τὸ ὀστέον, ἀλλ' αὐτὴ ἡ σὰρξ μυξώδης ἔῃ, ὅμως γοῦν ὑποστροφαὶ γίνονται καὶ ὀδύναι, ἄλλοτε καὶ ἄλλοτε, ἤν τις τῷ σώματι τύχῃ πονήσας. διὰ τοῦτο τῇ ἐπιδέσει δεῖ ἐπιδεῖν χρὴ, ἅμα μὲν ἀγαθῇ, ἅμα δὲ πολὺ προσηκούσῃ, ἕως ἂν ξηρανθῇ μὲν 11
20 καὶ ἀναποθῇ τοῦτο τὸ ἐκχύμωμα τὸ ἐν τῇ φλάσει γενόμενον· αὐξηθῇ δὲ σαρκὶ ὑγιεῖ τὸ χωρίον·[5] αὔξηται δὲ τοῦ ὀστέου ἡ σάρξ.

LIV. Οἷσι δ' αὖ ἀμεληθεῖσι χρονιωθῇ, καὶ ὀδυνῶδες τὸ χωρίον γένηται, καὶ ἡ σὰρξ ὑπόμυξος ἔῃ, τούτοισι καῦσις ἴησις ἀρίστη.[6] καὶ, ἢν μὲν αὐτὴ ἡ σὰρξ μυξώδης ἔῃ, ἄχρι τοῦ ὀστέου καίειν χρὴ, μὴ μὴν διαθερμανθῆναι τὸ ὀστέον. ἢν δὲ μεσηγὺ τῶν πλευρέων ἔῃ, ἐπιπολῆς μὲν οὐδ' οὕτως χρὴ καίειν.[7] φυλάσσεσθαι μέντοι μὴ διακαύσῃς πέρην.
25 ἢν δὲ πρὸς τῷ ὀστέῳ δοκέῃ εἶναι τὸ φλάσμα, καὶ ἔτι νεαρὸν ἔῃ, καὶ μήπω σφακελίσῃ τὸ ὀστέον· ἢν μὲν κάρτα ὀλίγον ἔῃ, οὕτω καίειν χρὴ, ὥσπερ εἴρηται.[8] ἢν μέντοι παραμήκης ἔῃ ὁ μετεωρισμὸς ὁ κατὰ τὸ ὀστέον, 12 πλείονας ἐσχάρας ἐμβάλλειν χρή. περὶ δὲ σφακελισμοῦ πλευρῆς ἅμα τῇ τῶν ἐμμότων ἰητρείῃ εἰρήσεται.

LV. Ἢν δὲ μηροῦ ἄρθρον ἐξ 26 ἰσχίου ἐκπέσῃ· ἐκπίπτει δὲ κατὰ τέσσαρας τρόπους, εἰς μὲν τὸ ἔξω πλειστάκις· ἐς δὲ τὸ εἴσω τῶν ἄλλων πλειστάκις· ἐς
30 δὲ τὸ ὄπισθεν καὶ τὸ ἔμπροσθεν ἐκπίπτει

dem est si juxta ipsum os mucositas relicta fuerit. Neque enim caro amplius similiter os contingit, & os ipsum morbosius redditur, & corruptiones ossis diuturnæ, multis jam ex hujusmodi occasionibus factæ sunt. [4] Sed & si juxta os non fuerit, verum ipsa caro mucosa sit: attamen etiam sic ' recidivæ, ac dolores, alias atque alias fiunt, si quis forte corpore ægrotaverit. 295 Quapropter deligatione uti oportet bona, simulque multum conveniente, quoad ea humoris effusio, quæ in contusione facta est; resiccetur ac resorbeatur, locus autem carne sana augeatur, [5] & ossis quoque caro augescat.

LIV. At quibus ex neglectu vetustatem contraxerit, ita ut locus sit dolorosus, & caro submucosa, his ' ustio medela optima est. 300 [2] Et si quidem ipsa caro mucosa fuerit, usque ad os urere oportet, non tamen ut os percalescat. Si vero inter costas mucositas fuerit, ne sic quidem in superficie urere oportet, [3] cavere tamen ne in ulteriorem partem peruras. Si vero ad os ipsum contusio esse videatur, & sit adhuc recens, & nondum os corruptionem sentiat: siquidem parva admodum fuerit, si urere oportet ' veluti dictum est. [4] Si 305 vero oblonga fuerit juxta os contusionis elevatio, plures crustas incutere oportet. Cæterum de corruptione costæ, una cum eorum qui linamentis opus habent curatione, dicetur.

LV. Si vero femoris articulus ex coxa exciderit. Excidit autem juxta quatuor modos, intro quidem sæpe, foras autem præ aliis sæpe. Verum in posteriorem ac anteriorem partem excidit

πλὴν μὲν, ὀλιγάκις δέ. [2] οἷσι μὲν οὖν ἂν εἴσω ἐκπέσῃ, μακρότερον τὸ σκέλος φαίνεται, παραβαλλόμενον πρὸς τὸ ἕτερον, διὰ δύο προφάσιας εἰκότως. ἐπὶ μὲν γὰρ τὸ ἀπὸ τοῦ ἰσχίου πεφυκὸς ὀστέον, τὸ ἄνω φερόμενον, πρὸς τὸν κτένα, ἐπὶ τούτου ἡ ἐπίβασις τῆς κεφαλῆς τοῦ μηροῦ γίνεται, [3] καὶ ὁ αὐχὴν τοῦ ἄρθρου, ἐπὶ τῆς κοτύλης ὀχέεται. ἔξωθέν τε αὖ ὁ γλουτὸς κοῖλος φαίνεται, ἅτε εἴσω ῥεπούσης τῆς κεφαλῆς τοῦ μηροῦ. [4] τό, τε αὖ κατὰ τὸ γόνυ τοῦ μηροῦ ἄκρον ἀναγκάζεται ἔξω ῥέπειν, καὶ ἡ κνήμη καὶ ὁ πούς ὡσαύτως. [5] ἅτε οὖν ἔξω ῥέποντος τοῦ ποδὸς, οἱ ἰητροὶ, δι' ἀπειρίην, τὸν ὑγιέα πόδα πρὸς τοῦτον προσίσχουσιν, ἀλλ' οὐ τοῦτον πρὸς τὸν ὑγιέα. [6] διὰ τοῦτο πολὺ μακρότερον φαίνεται τὸ σιναρὸν τοῦ ὑγιέος. πολλαχῇ δὲ καὶ ἄλλῃ τὰ τοιαῦτα παρασυνέσιν ἔχει. [7] οὐδὲ μὴν οὐδὲ ξυγκάμπτειν δύναται κατὰ τὸν βουβῶνα ὁμοίως τῷ ὑγιεῖ. ἀτὰρ καὶ ψαυομένη ἡ κεφαλὴ τοῦ μηροῦ κατὰ τὸν περίνεον ὑπερογκέουσα εὔδηλός ἐστι.

LVI. Τὰ μὲν οὖν σημήϊα ταῦτά ἐστιν, οἷσιν ἂν εἴσω ἐκπεπτώκῃ ὁ μηρός. [2] οἷσι δ' ἂν οὖν ἐκπεσὸν μὴ ἐμπέσῃ, ἀλλὰ καταπορηθῇ καὶ ἀμεληθῇ, ἥ τε ὁδοιπορίη περιφοράδην τοῦ σκέλεος, ὥσπερ τοῖς βουσὶ γίνεται, καὶ ὄχλησις πλείστη αὐτοῖσιν ἐπὶ τοῦ ὑγιέος σκέλεός ἐστι, καὶ [3] ἀναγκάζονται κατὰ τὸν κενεῶνα καὶ κατὰ τὸ ἄρθρον τὸ ἐκπεπτωκὸς κυλλοὶ καὶ σκολιοὶ εἶναι· κατὰ δὲ τὸ ὑγιὲς ἐς τὸ ἔξω ὁ γλουτὸς ἀναγκάζεται περιφερὴς εἶναι. [4] εἰ γάρ τις ἔξω τῷ ποδὶ τοῦ ὑγιέος σκέλεος βαίνοι, ἀπωθοίη ἂν τὸ σῶμα τὸ ἄλλο ἐς τὸ σιναρὸν σκέλος τὴν ὄχησιν ποιέεσθαι. [5] τὸ δὲ σιναρὸν οὐκ ἂν δύναιτο ὀχέειν. πῶς γάρ; ἀναγκάζεται

dit quidem, sed raro. [2] Quibus igitur intro excesserit, his longius apparet crus, si ad alterum comparetur: atque hoc merito, propter duas causas. Nam os quod à coxa procedit, & sursum ad pectinem fertur, fundamentum fit capitis femoris, [3] & articuli cervix in acetabulo vehitur: & nates forinsecus cavæ apparent, utpote quum intro cesserit femoris caput. [4] Et rursum summa femoris pars juxta genu, extra repere cogitur: Tibia item, & pes, eodem modo. [5] Quum igitur foras repat pes, medici ob imperitiam, sanum pedem ad hunc adhibent, & non hunc ad sanum: [6] & propterea multo longius læsum crus apparet quam sanum. Multis autem etiam aliis locis talia sinistram intelligentiam habent. [7] Nec vero flectere juxta inguen similiter ut sanum possunt. Sed & si femoris caput in interfœmineo contingatur, palam extuberare comperitur.

LVI. Signa igitur hæc sunt, in quibus femur intro excidit. [2] Quibus igitur articulus elapsus non fuerit repositus, sed aut frustra tentatus est, aut neglectus, his & ambulatio per cruris circumvolutionem, velut in duobus fit, & plurima vexatio ipsis in sano crure contingit: [3] & coguntur juxta lateris mollitudinem, aut juxta elapsum articulum, mutili ac obliqui esse. Juxta sanum vero crus, nates ad externam partem rotundæ esse coguntur. [4] Si quis enim sani cruris pede extra ambularet, protruderet utique reliquum corpus, ut ad læsum crus veheretur. [5] Læsum autem vehere hoc non poterit, quomodo enim posset? Cogi-

κάζεται ἐν οὕτω κατὰ τοῦ ὑγιέος σκέλεος τῷ ποδὶ εἴσω βαίνειν, ἀλλὰ μὴ ἔξω. [6] οὕτω γὰρ ὀχέει μάλιστα τὸ σκέλος τὸ ὑγιὲς καὶ τὸ ἑωυτοῦ μέρος τοῦ σώματος, καὶ τὸ τοῦ σιναροῦ σκέλεος μέρος. [7] κοιλαινόμενοι δὲ κατὰ τοὺς κενεῶνας, καὶ κατὰ τὰ ἄρθρα μικροὶ φαίνονται, καὶ τῷ ξύλῳ ἀναγκάζονται ἀντερείδεσθαι πλάγιοι κατὰ τὸ ὑγιὲς σκέλος. δέονται γὰρ ἀντιστηρίγματος ταύτῃ. [8] ἐπὶ τοῦτο γὰρ οἱ γλουτοὶ ῥέπουσι, καὶ τὸ ἄχθος τοῦ σώματος ὀχέεται ἐπὶ τοῦτο. ἀναγκάζονται δὲ καὶ ἐπικύπτειν. [9] τὴν γὰρ χεῖρα τὴν κατὰ τὸ σκέλος τὸ σιναρὸν ἀναγκάζονται κατὰ πλάγιον τοῦ μηροῦ ἐρείδειν. [10] οὐ γὰρ δύναται τὸ σιναρὸν σκέλος ὀχέειν τὸ σῶμα ἐν τῇ μεταλλαγῇ τῶν σκελέων, ἢν μὴ κατέχηται πρὸς τὴν γῆν πιεζόμενον. [11] ἐν τούτοισι γοῦν τοῖσι σχήμασιν ἀναγκάζονται ἐσχηματίσθαι, οἷσιν ἂν εἴσω ἐκπεσὸν τὸ ἄρθρον μὴ ἐμπέσῃ, οὐ προβουλευσαμένου τοῦ ἀνθρώπου, ὅπως ἂν ῥήϊστα ἐσχηματισμένος εἴη. [12] ἀλλ' αὐτὴ ἡ ξυμφορὴ διδάσκει ἐκ τῶν παρεόντων τὰ ῥήϊστα αἱρέεσθαι. ἐπεὶ καὶ, ὁκόσοι ἕλκος ἔχοντες ἐν ποδὶ ἢ κνήμῃ, οὐ κάρτα δύνανται ἐπιβαίνειν τῷ σκέλεϊ πάντες. καὶ οἱ νήπιοι οὕτως ὁδοιπορέουσιν. ἔξω γὰρ βαίνουσι τῷ σιναρῷ σκέλει. [13] καὶ διοσὰ κερδαίνουσι. διοσῶν γὰρ δέονται. τό, τε γὰρ σῶμα οὐκ ὀχέεται ὁμοίως ἐπὶ τοῦ ἔξω ἀποβαινομένου, ὥσπερ ἐπὶ τοῦ εἴσω. οὐδὲ γὰρ κατ' ἰθυωρίην αὐτῷ γίνεται τὸ ἄχθος, ἀλλὰ πολλῷ μᾶλλον ἐπὶ τοῦ ὑπερβαινομένου. [14] κατ' ἰθυωρίην γὰρ αὐτῷ γίνεται τὸ ἄχθος, ἔν τε αὐτῇ τῇ ὁδοιπορίῃ, καὶ τῇ μεταλλαγῇ τῶν σκελέων. [15] ἐν τούτῳ τῷ σχήματι τάχιστα ἂν δύναιτο ὑποτιθέναι τὸ ὑγιὲς σκέλος, ἢν τῷ μὲν σιναρῷ

Cogitur igitur sic sani cruris pede intro ambulare, & non extra. [6] Ita enim maxime vehit, sanum crus, & suam ipsius, & læsi cruris partem corporis utrisque incumbentem. [7] Quum autem juxta lateris mollitudinem, ac juxta articulum caventur, parvi apparent, & baculo inniti coguntur à latere juxta sanum crus. Hac enim parte fulcimento opus habent. [8] Ad hanc enim & nates repunt, & in hac corporis pondus vehitur. Coguntur item se inclinare. [9] Manum enim quæ est à parte cruris læsi, ad obliquum femur firmare coguntur. [10] Non enim potest læsum crus vehere corpus, in crurum permutatione, si non detineatur dum ad terram premitur. [11] In his igitur figuris esse coguntur hi quibus intro elapsus, non fuerit repositus articulus, homine non præmeditante ut quam facillime sit figuratus. [12] Sed ipsa hæc calamitas ex præsentibus ea quæ facillima sunt eligere docet. Nam & qui ulcus habent in pede aut tibia, non omnes crure valde ingredi possunt: & infantes sic iter faciunt, extra enim ingrediuntur læso crure. [13] Et duplex lucrum consequuntur. Duplici enim opus habent. Nam & corpus non similiter vehitur in eo crure quod extra ingreditur, sicut in eo quod intro. Non enim secundum rectitudinem ipsi incumbit pondus, sed multo magis ei quod subingreditur. [14] Ipsi enim è directo incumbit pondus, tum in ipsa ambulatione, tum in crurum permutatione. [15] In hac enim figura sanum crus celerrime supponere poterit, si eo quod læsum est, exterius; sano interius

σιναρῷ ἐξωτέρω βαίνει, τῷ δὲ ὑγιεῖ
15 ἐσωτέρω. [16] περὶ οὗ νῦν ὁ λόγος·
ἀγαθὸν διερείσασθαι αὐτὸ ἑωυτῷ τὸ
σῶμα ἐς τὰ ῥήϊστα τῶν σχημάτων.

LVII. Ὅσοισι μὲν οὖν μήπω τε-
λειουμένοισιν ἐς αὔξησιν ἐκπεσὸν
μὴ ἐμπέσῃ, γυιοῦται ὁ μηρὸς, καὶ ἡ
κνήμη, καὶ ὁ πούς. οὔτε γὰρ τὰ ὀστέα ἐς
τὸ μῆκος ὁμοίως αὔξεται, [2] ἀλλὰ
βραχύτερα γίνεται· μάλιστα δὲ τὰ τοῦ
μηροῦ· ἄσαρκόν τε ἅπαν τὸ σκέλος
καὶ ἄμυον καὶ ἐκτεθηλυσμένον καὶ
λεπτότερον γίνεται. ἅμα μὲν διὰ τὴν
στέρησιν τῆς χώρης τοῦ ἄρθρου, [3] ἅμα δὲ,
20 ὅτι ἀδυνάτως χρέεσθαί ἐστιν· ὅτι οὐ
κατὰ φύσιν κέεται. χρῆσις γὰρ μετριω-
τέρη ῥύεται τῆς ἄγαν ἐκθηλυνσιος. [4]
ῥύεται δέ τι καὶ τῆς ἐπὶ μῆκος ἀναυ-
ξήσιος. κακοῦνται μὲν οὖν μάλιστα,
οἷσιν ἂν ἐν γαστρὶ ἐοῦσιν ἐξαρθρήσῃ
τοῦτο τὸ ἄρθρον. δεύτερον δὲ οἷσιν ἂν
ὡς νηπιωτάτοισιν ἐοῦσιν, ἥκιστα δὲ
τοῖσι τετελειωμένοισι. [5] τοῖσι μὲν οὖν
τετελειωμένοισιν εἴρηται οἵη τις ὁδοι-
πορίη γίνεται. εἴτε δ' ἂν νηπίοισιν
ἐοῦσιν ἡ ξυμφορὴ αὕτη φαίνεται, [6]
οἱ μὲν πλεῖστοι καταβλακεύουσι τὴν 6
25 διόρθωσιν τοῦ σώματος, ἀλλὰ κα-
κῶς εἱλέονται ἐπὶ τὸ ὑγιὲς σκέλος,
τῇ χειρὶ πρὸς τὴν γῆν ἀπερειδόμενοι
τῇ κατὰ τὸ ὑγιὲς σκέλος. καταβλα-
κεύουσι δὲ ἔνιοι τὴν ἐς τὸ ὀρθὸν ὁδοι-
πορίην, [7] ἔτι οἷσιν ἂν τετελειωμένοι-
σιν αὕτη ἡ ξυμφορὴ γένηται.

LVIII. Ὁκόσοι δ' ἂν νήπιοι
ἐόντες ταύτῃ τῇ ξυμφορῇ χρησά-
μενοι ὀρθῶς παιδαγωγηθῶσι, τῷ μὲν
ὑγιεῖ σκέλεϊ χρέονται ἐς ὀρθόν. [2] ὑπὸ
δὲ τὴν μασχάλην τὴν κατὰ τὸ ὑγιὲς
σκέλος σκίπωνα περιφέρουσι. με-
τεξέτεροι δὲ, καὶ ὑπ' ἀμφοτέρας
30 τὰς χεῖρας· [3] τὸ δὲ σιναρὸν σκέλος
μετέωρον ἔχουσι. καὶ τοσούτῳ ῥήϊους
εἰσὶν,

rius ingrediatur. [16] Verum de quo nunc sermo est: Bonum est ut corpus ipsum sibiipsi facilimas figuras inveniat.

LVII. Quibus igitur nondum perfectis ad augmentum, elapsus articulus non fuerit repositus, his femur decurtatur, & tibia, 350 & pes. Neque enim ossa similiter in longitudinem augescunt, [2] sed breviora fiunt: Maxime autem femoris. Excarne item & emusculatum, ac effœminatum & tenuius totum fit crus, simul quidem propter privationem loci articuli, [3] simul autem quod eo uti non possunt, eo quod secundum naturam situs non est. Usus enim aliquis liberat ab effœminatione, [4] liberat etiam aliquantum ab intercepto in 355 longitudinem augmento. Maxime igitur læduntur hi quibus dum in ventre sunt, hic articulus fuerit luxatus. Secundo loco hi quibus valde infantibus idem contigit. Minime vero hi qui perfecti sunt. [5] Qualis igitur ambulatio perfectis contingat, dictum est. Quibus vero dum infantes sunt, calamitas hæc incidit, [6] plerique ad corporis directionem tardi sunt, imo male ad sanum crus devolvuntur, 360 manu quæ est ad sanum crus, ad terram se fulcientes. [7] Sed & ex perfectæ ætatis hominibus quidam, quibus hæc calamitas contigit, ad ambulationem rectam cunctantur.

LVIII. Quicunque vero infantes hac calamitate pressi, recte educati fuerint, sano quidem crure in rectum utuntur, [2] verum sub alam secundum sanum crus scipionem ferunt, aliqui etiam sub utranque alam. [3] Crus autem læsum elevatum habent, &

ἐστὶν, ὅσῳ ἂν αὔξησιν ἔλασσον τὸ σκέλος τὸ σιναρὸν ἔῃ. τὸ δὲ ὑγιὲς, ἰσχύει αὐτέοισιν οὐδὲν ἧσσον, ἢ εἰ καὶ ἀμφότερα ὑγιέα ἦν. 4 θηλύνονται δὲ πᾶσι τοῖσι τοιούτοισιν αἱ σάρκες τοῦ σκέλεος, μᾶλλον δ' ἐπιθηλύνονται αἱ ἐκ τοῦ ἔξω μέρεος, ἢ αἱ ἐκ τοῦ εἴσω ὡς ἐπὶ πολύ. 5 μυθολογοῦσι δέ τινες, ὅτι αἱ ἀμαζονίδες τὸ ἄρσεν γένος τὸ ἑωυτῶν, αὐτίκα νήπιον ἐὸν, ἐξαρθρέουσιν αἱ μὲν, κατὰ γούνατα, 6 αἱ δὲ, κατὰ τὰ ἰσχία, ὡς δῆθεν χωλὰ γίνοιτο, καὶ μὴ ἐπιβουλεύοι τὸ ἄρσεν γένος τῷ θήλει. χειρώναξιν ἄρα τούτοισι χρέονται, ὁκόσα ἢ σκυτίης ἔργα, ἢ χαλκείης, ἢ ἄλλο τι ἑδραῖον ἔργον. 7 εἰ μὲν οὖν ἀληθέα ταῦτά ἐστιν, ἐγὼ μὲν οὐκ οἶδα· ὅτι δὲ γίνοιτο ἂν τοιαῦτα, οἶδα, εἴ τις ἐξαρθρέοι αὐτίκα νήπια ἐόντα. 8 κατὰ μὲν οὖν τὰ ἰσχία μέζον τὸ διάφορόν ἐστιν ἐς τὸ εἴσω, ἢ ἐς τὸ ἔξω ἐξαρθρῆσαι. κατὰ γούνατα δὲ, διαφέρει μέν τι, ἔλασσον δέ τι διαφέρει. 9 τρόπος δὲ ἑκατέρου τοῦ χωλώματος ἴδιός ἐστι.

LIX. Γυιοῦνται γὰρ μᾶλλον, οἷσιν ἂν ἐς τὸ ἔξω ἐξαρθρήσῃ. ὀρθοὶ δὲ ἧσσον ἵστανται, οἷσιν ἂν ἐς τὸ εἴσω ἐξαρθρήσῃ. ὡσαύτως δὲ καὶ, εἰ παρὰ τὸ σφυρὸν ἐξαρθρήσῃ, ἢν μὲν ἐς τὸ ἔξω μέρος, κυλλοὶ μὲν γίνονται, 2 ἑστάναι δὲ δύνανται. ἢν δὲ ἐς τὸ εἴσω μέρος, βλαισοὶ μὲν γίνονται, ἧσσον δὲ ἑστάναι δύνανται. 3 ἥ γε μὴν ξυναύξησις τῶν ὀστέων τοιήδε γίνεται. οἷσι μὲν ἂν κατὰ τὸ σφυρὸν ὀστέον τὸ τῆς κνήμης ἐκστῇ, τούτοισι μὲν τὰ τοῦ ποδὸς ὀστέα ἥκιστα ξυναύξεται. ταῦτα γὰρ ἐγγυτάτω τοῦ τρώματός εἰσι. τὰ δὲ τῆς κνήμης ὀστέα, αὔξεται μὲν, οὐ πολὺ δὲ ἐνδεεστέρως, αἱ μέντοι σάρκες μινύθουσιν. 4 οἷσι δὲ ἂν κατὰ μὲν τὸ σφυρὸν μένῃ

& tanto melius habent, quanto brevius ipsius læsum crus fuerit. Sanum autem crus nihilo minus ipsis robustum est, quam si ambo sana essent. 4 Effœminantur tamen omnibus talibus carnes cruris, & plerunque hoc magis perpetiuntur hæ quæ sunt ab externa parte, quam quæ ab interna. 5 Cæterum quidam fabulantur Amazonides masculam suam sobolem statim dum infantes sunt luxare, alias circa genua, alias 6 circa coxas, quo nimirum claudi fiant, & masculum genus fœmineo insidias non struat. Utuntur itaque his pro opificibus, ad coriaria, aut fabrilia, aut alia sedentaria opera. 7 An equidem vera hæc sint, ego non novi: quod autem tales fiant, scio, si quis ipsos statim dum infantes sunt luxet. 8 Juxta coxas igitur magna differentia est, an extra, aut intro fiat luxatio. Juxta genua vero, differentia quidem aliqua est, sed minor. 9 Modus autem utriusque claudicationis proprius est.

LIX. Decurtantur enim magis hi quibus extra luxatio facta est. Recti autem minus stant, quibus intro luxatio contigit. Eodem modo etiam si juxta malleolum luxatio fiat, si quidem ad externam partem id contingat, mutili quidem fiunt, 2 verum stare possunt. Si vero ad internam, valgi quidem fiunt, minus autem stare possunt. 3 At vero coauctio ossium talis fit. Quibus quidem circa malleolum tibiæ os excessit, his pedis quidem ossa minime coaugescunt: hæc enim proxime ad vulnus sunt. Verum tibiæ ossa augentur quidem non multo defectuosius, carnes tamen minuuntur. 4 Quibus

μένῃ τὸ ἄρθρον κατὰ φύσιν, κατὰ δὲ τὸ γόνυ ἐξεστήκῃ, τούτοισι τὸ τῆς κνήμης ὀστέον οὐκ ἐθέλει ξυναυξέεσθαι ὁμοίως, ἀλλὰ βραχύτατον γίνεται. [5] τοῦτο γὰρ ἐγγυτάτω τοῦ τρώματός ἐστιν. τοῦ μέντοι ποδὸς τὰ ὀστέα μινύθει μὲν, ἀτὰρ οὐχ ὁμοίως, ὥσπερ ὀλίγον τι πρόσθεν εἴρηται, ὅτι τὸ ἄρθρον τὸ 491 παρὰ τὸν πόδα σῶόν ἐστιν. [6] εἰ δέ οἱ χρέεσθαι ἠδύνατο, ὥσπερ καὶ τῷ κυλλῷ, ἔτι ἂν ἧσσον ἐμινύθη τὰ τοῦ ποδὸς ὀστέα τούτοισιν.

LX. Οἷσι δ' ἂν κατὰ τὸ ἰσχίον ἐξάρθρησις γένηται, τούτοισι τοῦ μηροῦ τὸ ὀστέον οὐκ ἐθέλει ξυναυξέεσθαι ὁμοίως· τοῦτο γὰρ ἐγγυτάτω τοῦ τρώματός ἐστιν· ἀλλὰ βραχύτερον τοῦ ὑγιέος γίνεται. [2] τὰ μέντοι τῆς κνήμης ὀστέα οὐχ ὁμοίως τούτοισιν 5 ἀναυξέα γίνεται, οὐδὲ τὰ τοῦ ποδός. [3] διὰ τοῦτο δὲ, ὅτι τὸ τοῦ μηροῦ ἄρθρον, τὸ παρὰ τὴν κνήμην, ἐν τῇ ἑωυτοῦ φύσει μένει, καὶ τὸ τῆς κνήμης, τὸ παρὰ τὸν πόδα. [4] σάρκες μέντοι μινύθουσι παντὸς τοῦ σκέλεος τούτοισιν. εἰ μέντοι χρέεσθαι τῷ σκέλει ἐδύναντο, ἔτι ἂν μᾶλλον τὰ ὀστέα ξυνηυξάνετο, ὡς καὶ πρόσθεν εἴρηται, πλὴν τοῦ μηροῦ, καὶ ἧσσον 17 ἄσαρκα εἴη. ἀσαρκότερα δὲ πολλῷ ἢ ὑγιέα ἐῶν. [5] σημεῖον δὲ, ὅτι τοιαῦτά ἐστιν. ὁκόσοισι γὰρ τοῦ βραχίονος ἐκπεσόντος, γαλιάγκωνες ἐγένοντο 10 ἐκ γενεῆς, ἢ καὶ ἐν αὐξήσει πρὶν τελειωθῆναι, οὗτοι τὸ μὲν ὀστέον τοῦ βραχίονος βραχὺ ἔχουσι· [6] τὸν δὲ πῆχυν καὶ ἄκρην τὴν χεῖρα ὀλίγῳ ἐνδεεστέρην τοῦ ὑγιέος, διὰ ταύτας τὰς προφάσιας τὰς εἰρημένας· ὅτι ὁ μὲν βραχίων ἐγγυτάτω τοῦ ἄρθρου τοῦ τρώματός ἐστιν, ὥστε διὰ τοῦτο βραχύτερος γίνεται·

bus vero juxta malleolum manserit articulus secundum naturam, juxta genu autem excesserit: his tibiæ os similiter coaugescere non solet, sed brevius fit. [5] Hoc enim proxime ad vulnus est. Pedis autem ossa mi- 389 nuuntur quidem, sed non similiter, velut paulo ante dictum est, quia articulus circa pedem salvus est. [6] Si vero ipso etiam uti possent, velut mutilo, minus adhuc pedis ossa his minuerentur.

LX. At quibus circa coxam luxatio contingit, his femoris os non similiter coaugescere solet: Hoc enim proxime ad vulnus est: sed brevius sano fit. [2] Tibiæ tamen ossa non similiter his augmento destituuntur, neque 390 ossa pedis: [3] atque hoc ea de causa, quod femoris articulus qui ad tibiam est, & tibiæ articulus qui ad pedem est, in sua natura manet. [4] Carnes tamen minuuntur his totius cruris. Si vero uti crure possent, adhuc magis ossa augerentur, velut etiam prius dictum est, excepto femore, & minus excarnes essent. Multo tamen minus carnosi quam hi qui sani sunt essent. [5] Argumento autem quod talia ita se habent, hoc est. Quicunque enim brachio elapso, mustellæ 391 cubito præditi sunt, parvumque ac macilentum brachium habent, aut ex nativitate, aut etiam dum augescunt, priusquam perfecti evadant, galeancones appellati, hi os quidem brachii breve habent, [6] cubitum autem & summam manum paulo defectuosiorem quam sani, propter relatas causas, eo quod brachium vulnerato articulo proximum est, ut ideo brevius factum sit.

LXI. Ὁ δ᾽ αὖ πῆχυς διὰ τοῦτο οὐχ ὁμοίως ἐνακὴς τῆς ξυμφορῆς, ὅτι τὸ τοῦ βραχίονος ἄρθρον τὸ περὶ τοῦ πήχεος ἐν τῇ ἀρχαίῃ φύσει μένει. ἔτι αὖ χεὶρ ἔτι τηλοτέρω 15 ἄπεστιν, ἢ ὁ πῆχυς, ἀπὸ τῆς ξυμφορῆς. διὰ ταύτας οὖν τὰς εἰρημένας προφάσιας τῶν ὀστέων τά τε μὴ συναυξόμενα οὐ συναύξεται, τό τε ξυναυξόμενον ξυναύξεται. [3] ἐς δὲ τὸ εὔσαρκον τῇ χειρὶ καὶ τῷ βραχίονι ἡ ταλαιπωρίη τῆς χειρὸς μέγα προσωφελήσει. ὅσα γὰρ χειρῶν ἔργα ἐστί, τὰ πλεῖστα προθυμέονται οἱ γαλιάγκωνες ἐργάζεσθαι τῇ χειρὶ ταύτῃ, ὅσα καὶ τῇ ἑτέρῃ δύνανται, οὐδὲν ἐνδεεστέρως τοῦ ἀσινέος. [4] οὐ γὰρ δεῖ ὀχέεσθαι τὸ σῶμα ἐπὶ τῶν χειρῶν, 20 ὡς ἐπὶ τῶν σκελέων, ἀλλὰ κοῦφα αὐτοῖσι τὰ ἔργα ἐστί. διὰ δὲ τὴν χρῆσιν οὐ μινύθουσιν αἱ σάρκες αἱ κατὰ τὴν χεῖρα καὶ κατὰ τὸν πῆχυν τοῖσι γαλιάγκωσιν, ἀλλὰ καὶ ὁ βραχίων τι προσωφελέεται ἐς εὐσαρκίην διὰ ταῦτα.

LXI. Rursus autem cubitus propterea non similiter calamitatem percipit, quia brachii articulus qui est ad cubitum, in veteri natura manet. [2] Et rursus manus adhuc longius abest à calamitate quam cubitus. Propter has igitur causas contingit, ut & ossa quæ non coaugentur, non coaugescant, & quæ coaugentur, coaugescant. [3] Cæterum ad carnositatem & manui & brachio multum profuerit, si quis manu laborando se fatiget. Quæcunque enim manuum opera sunt, plurima ex ipsis galeancones hac manu operari conantur, velut altera possunt, & nihilo defectuosius quam cum illæsa efficiunt. [4] Non enim supra manus, velut supra pedes, corpus vehi necesse. Verum levia sunt ipsis opera. [5] Propter usum autem non minuuntur carnes galeanconibus, neque circa manum, neque circa cubitum. Sed & brachium propterea aliquam opem sentit ad carnositatem.

LXII. Ὅτισι δὲ ἰσχίον ἐκπαλὲς γένηται ἐς τὸ εἴσω μέρος ἐκ γενεῆς, ἢ καὶ ἔτι νηπίῳ ἐόντι, μινύθουσιν αἱ σάρκες, διὰ τοῦτο μᾶλλον ἢ τῆς χειρός, ὅτι οὐ δύνανται χρέεσθαι τῷ σκέλει. [2] μαρτύριον δέ τι ἐνέσται ἐν τοῖσιν ὕστερον εἰρημένοισιν, ὅτι ταῦτα 25 τοιαῦτά ἐστιν. [3] Ὁκόσοισι δ᾽ αὖ ἐς τὸ ἔξω ἡ τοῦ μηροῦ κεφαλὴ ἐκβῆ, τούτοισι βραχύτερον μὲν τὸ σκέλος φαίνεται παρατεινόμενον παρὰ τὸ ἕτερον εἰκότως. [4] οὐ γὰρ ἐπ᾽ ὀστέον ἡ ἐπίβασις τῆς κεφαλῆς τοῦ μηροῦ ἐστιν, ὡς, ὅτε εἴσω ἐξέπιπτεν, ἀλλὰ παρ᾽ ὀστέον παρεγκεκλιμένην τὴν φύσιν ἔχον. ἐν σαρκὶ δὲ στηρίζεται ὑγρῇ καὶ ὑπεικούσῃ. διὰ τοῦτο μὲν βραχύτερον φαίνεται. [5] ἔσωθεν δὲ ὁ μηρὸς

LXII. Quum autem coxa eluxata fuerit ad internam partem à nativitate, aut adhuc infanti, carnes ideo magis minuuntur quam in manu, quod crure uti non possint. [2] Quod autem hæc hoc modo se habeant, testimonium unum quoddam in paulo posterius referendis habebitur. [3] At quibus in exteriorem partem femoris caput excesserit, his crus brevius apparet, si ad alterum extendatur, atque id merito. [4] Non enim super os fundamentum fit capitis femoris, sicut quum intro excidebat, sed juxta os quod inclinatam naturam habet, in carne humida ac cedente firmatur. Et propterea quidem brevius apparet. [5] In-

ὁ μηρὸς παρὰ τὴν πληχάδα καλεομένην κυλλότερος καὶ ἀσαρκότερος γίνεται· ἔξωθεν δὲ ὁ γλουτὸς κυρτότερος· ἅτε ἐς τὸ ἔξω τῆς κεφαλῆς τοῦ μηροῦ ὀλισθηκυίας. 6 ἀτὰρ καὶ ἀνωτέρω φαίνεται ὁ γλουτὸς· ἅτε ὑποξάσης τῆς σαρκὸς τῆς ἐνταῦθα τῇ τοῦ μηροῦ κεφαλῇ. 7 τὸ δὲ παρὰ τὸ γόνυ τοῦ μηροῦ ἄκρον ἔσω ῥέπον φαίνεται, καὶ ἡ κνήμη, καὶ ὁ πούς. ἀτὰρ οὐδὲ ξυγκάμπτειν, ὥσπερ τὸ ὑγιὲς σκέλος, δύνανται. τὰ μὲν οὖν σημεῖα ταῦτα τοῦ ἔξω ἐκπεπτωκότος μηροῦ ἐστιν.

LXIII. Οἷσι μὲν οὖν τελειουμένοισιν ἤδη ἐκπεσὸν τὸ ἄρθρον μὴ ἐμπέσῃ, τούτοισι βραχύτερον μὲν φαίνεται τὸ σύμπαν σκέλος. 2 ἐν δὲ τῇ ὁδοιπορίῃ τῇ μὲν πτέρνῃ οὐ δύνανται καθικνέεσθαι ἐπὶ τῆς γῆς· 3 τῷ δὲ στήθει τοῦ ποδὸς βαίνουσιν ἐπὶ τὴν γῆν. ὀλίγον δὲ ἐς τὸ ἔσω μέρος ῥέπουσι τοῖσι δακτύλοισιν ἄκροισιν. 4 ὀχέειν δὲ δύναται τὸ σῶμα τὸ σιναρὸν σκέλος τούτοισι πολλῷ μᾶλλον, ἢ οἷσιν αὖ ἐς τὸ εἴσω μέρος ἐκπεπτώκει· 5 ἅμα μὲν, ὅτι ἡ κεφαλὴ τοῦ μηροῦ καὶ ὁ αὐχὴν τοῦ ἄρθρου πλάγιος φύσει πεφυκὼς ὑπὸ συχνῷ μέρει τοῦ ἰσχίου τὴν ὑπόστασιν πεποίηται. 6 ἅμα δὲ, ὅτι ἄκρος ὁ πούς οὐκ ἐς τὸ ἔξω μέρος ἀναγκάζεται ἐγκεκλῖσθαι, ἀλλ' ἐγγύς ἐστι τῆς ἰθυωρίης τῆς κατὰ τὸ σῶμα, καὶ τείνει καὶ ἐσωτέρω. 7 ὅταν μὲν οὖν τρῖψιν λάβῃ τὸ ἄρθρον ἐν τῇ σαρκὶ, ἐς ἣν ἐξεκλίθη, ἡ δὲ σὰρξ γλισχρὴ ᾖ, ἀνώδυνον τῷ χρόνῳ γίνεται. 8 ὅταν δὲ ἀνώδυνον γένηται, δύνανται μὲν ὁδοιπορέειν ἄνευ ξύλου, ἢν ἄλλως βούλωνται· δύνανται δὲ ὀχέειν τὸ σῶμα ἐπὶ τὸ σιναρὸν σκέλος. 9 διὰ οὖν τὴν χρῆσιν ἧσσον τοῖσι τοιούτοισιν ἐκθηλύνονται

5 Intrinsecus autem juxta plechada, intermediam crurum ac inguinum partem, femur magis mutilum & excarne fit: Nates autem extrinsecus incurviores, utpote quum extra femoris caput elapsum sit. 6 Sed & superius apparent nates, utpote quum caro quæ isthic est, femoris capiti cesserit. 7 Summa vero fœmoris pars circa genu, intro repere videtur: Tibia item & pes. Sed neque inflectere velut sanum crus possunt. Et signa quidem femoris extra elapsi hæc sunt.

LXIII. Quibus igitur perfectis jam elapsus articulus non fuerit repositus, his totum crus brevius apparet. 2 In ambulatione autem calcaneo terram pertingere non possunt: 3 Verum pectore pedis in terra consistunt ac progrediuntur, parum autem ad internam partem summis digitis vergunt. 4 At crus læsum in his multo magis corpus vehere potest, quam quibus ad internam partem excidit, 5 partim quod caput femoris, & cervix articuli, quum natura obliqua sit, sub multam coxæ partem subsistit: 6 partim quod summus pes non ad externam partem inclinatus esse cogitur, sed prope est ad rectitudinem corporis, & tendit etiam interius. 7 Quum igitur semitam ac callem acceperit articulus, in carne ad quam elapsus est, & caro viscositatem contraxerit, doloris exors progressu temporis fit. 8 Quum autem doloris exors factus fuerit, possunt quidem absque baculo iter facere, si alias voluerint: possunt autem & vehere corpus supra crus læsum. 9 Itaque propter usum, carnes talibus

45 θηλιώονται· αἱ στέρξιες, ἢ οἷσιν ὀλίγον πρόσθεν εἴρηται. ἐκθηλιώονται δὲ ἢ πλεῖον, ἢ ἔλασσον. [10] μᾶλλον δ' ἔτι ἐκθηλιώονται κατὰ τὸ εἴσω μέρος, ἢ κατὰ τὸ ἔξω, ὡς ἐπὶ τὸ πολύ. [11] τὸ μέντοι ὑπόδημα μετεξέτεροι τούτων ὑποδέεσθαι οὐ δύνανται διὰ τὴν ἀκαμπίην τοῦ σκέλεος, οἱ δέ τινες καὶ δύνανται.

LXIV. Οἷσι δ' ἂν ἐν γαστρὶ ἐοῦσιν ἐξαρθρήσῃ τοῦτο τὸ ἄρθρον, ἢ ἔτι ἐν αὐξήσει ἐοῦσι βίῃ ἐκπεσὸν ἤδη μὴ ἐμπέσῃ, ἢ καὶ ὑπὸ νόσου ἐξαρθρήσῃ τοῦτο τὸ ἄρθρον, καὶ ἐκπαλήσῃ· 49 πολλὰ γὰρ τοιαῦτα γίνεται· [2] καὶ ἐνίων μὲν τῶν τοιούτων ἢν ἐπισφακελίσῃ ὁ μηρὸς, ἐμπυήματα χρόνια καὶ ἔμμοτα γίνεται, καὶ ὀστέων ψιλώσιες ἐνίοισιν. [3] ὁμοίως δὲ καὶ οἷσιν ἐπισφακελίζει, καὶ οἷσι μὴ ἐπισφακελίζει τοῦ μηροῦ τὸ ὀστέον, πολλῷ βραχύτερον γίνεται, καὶ οὐκ ἐθέλει ξυναύξεσθαι, ὥσπερ τοῦ ὑγιέος. [4] τὰ μέντοι τῆς κνήμης βραχύτερα μὲν γίνεται, ἢ τὰ τῆς 5 ἑτέρης, ὀλίγῳ δὲ διὰ τὰς αὐτὰς προφάσιας, αἳ καὶ πρόσθεν εἴρηνται. [5] ὁδοιπορέειν δὲ δύνανται οἱ τοιοῦτοι. οἱ μὲν τινες αὐτῶν, τοῦτον τὸν τρόπον, ὥσπερ οἷσι τετελειωμένοισιν ἐξέπεσε καὶ μὴ ἐνέπεσεν. [6] οἱ δὲ, καὶ βαίνουσι μὲν παντὶ τῷ ποδί· [7] διαρρέπουσι δὲ ἐν τῇσιν ὁδοιπορίῃσιν, ἀναγκαζόμενοι διὰ τὴν βραχύτητα τοῦ σκέλεος. [8] ταῦτα δὲ τοιαῦτα γίνεται, ἢν ἐπιμελέως μὲν παιδαγωγηθῶσιν ἐν τοῖσι σχήμασι, καὶ ὀρθῶς ἐν οἷσι δεῖ, πρὶν κρατυνθῆναι ἐς τὴν ὁδοιπορίην. ἐπιμελέως 10 δὲ καὶ ὀρθῶς, ἐπὴν κρατυνθῶσιν. [9] πλείστης δὲ ἐπιμελείης δέονται, οἷσιν ἂν νηπιωτάτοισιν ἐοῦσιν αὕτη ἡ ξυμφορὴ γένηται.

talibus minus effœminantur, quam illis de quibus paulo ante dictum est. Effœminantur autem aut plus, aut minus. 438 [10] Magisque adhuc effœminantur plerunque juxta internam partem quam juxta externam. [11] Plerique tamen ex his calceamentum sibi inducere non possunt, propter cruris inflexibilitatem. Quidam vero etiam hoc possunt.

LXIV. At quibus dum adhuc in ventre sunt, hic articulus fuerit luxatus, aut dum adhuc augescunt, vi elapsus, non fuerit repositus, aut etiam præ morbo hic articulus excesserit ac luxatus fuerit (multa enim hujusmodi fiunt) 440 [2] talium quibusdam si corruptionem senserit femur, suppurationes diuturnæ & linamentis indigentes fiunt, & aliquibus ossium denudationes. [3] Similiter autem & quibus corruptionem femoris os sentit, & quibus non sentit, multo brevius fit, & velut sanum coaugescere non solet. [4] Tibiæ tamen ossa breviora quidem fiunt quam alterius tibiæ, sed paululum, ob causas antea relatas. [5] Ambulare vero tales possunt, & quidam ex 445 ipsis eodem modo quo perfecti, quibus elapsus articulus repositus non est: [6] aliqui vero etiam toto pede consistentes, progrediuntur, [7] declinant tamen inter ambulandum propter cruris brevitatem coacti. [8] Hæc autem hoc modo fiunt, si diligenter educati fuerint in figuris, & recte in quibus oportet, priusquam ad iter faciendum corroborati fuerint: diligenter item & recte, postquam corroborati fuerint. 450 [9] Plurima autem diligentia opus habent hi, quibus dum maxime infantes sunt, hæc calamitas contigerit.

ται. [10] ἢν γὰρ ἀμεληθῶσι νήπιοι ἐόντες, ἀχρήϊον παντάπασιν καὶ ἀναυξὲς ὅλον τὸ σκέλος γίνεται, αἵ τε σάρκες τοῦ σύμπαντος σκέλεος μινύθουσι μᾶλλον, ἢ τοῦ ὑγιέος. [11] πάνυ μὴν πολλῷ ἧσσον τούτοισι μινύθουσιν, ἢ οἷσιν αὖ εἴσω ἐκπέπτωκε διὰ τὴν χρῆσιν καὶ τὴν ταλαιπωρίην. [12] οἷον δ' αὐτίκας δύναται χρέεσθαι τῷ σκέλει, ὡς καὶ ὀλίγον πρόσθεν ἐπὶ τῶν γαλιαγκώνων εἴρηται.

LXV. Εἰσὶ δέ τινες, οἷσι τοῖσι μὲν ἐκ γενεῆς αὐτίκα· [2] τοῖσι δὲ, καὶ ὑπὸ νούσου ἀμφοτέρων τῶν σκελέων ἐξέστη τὰ ἄρθρα ἐς τὸ ἔξω μέρος. τούτοισιν οὖν τὰ μὲν ὀστέα ταυτὰ παθήματα πάσχει. αἱ μέντοι σάρκες ἥκιστα ἐκθηλύνονται. εὔσαρκα δὲ καὶ τὰ σκέλεα γίνονται. [3] πλὴν εἴ τι ἄρα κατὰ τὸ εἴσω μέρος ἐλλείποι ὀλίγον. διὰ τοῦτο δὲ εὔσαρκά ἐστιν, ὅτι ἀμφοτέροισι τοῖσι σκέλεσιν ὁμοίως ἡ χρῆσις γίνεται. [4] ὁμοίως γὰρ σαλεύουσιν ἐν τῇ ὁδοιπορίῃ ἔνθα καὶ ἔνθα· ἐξεχέγλουτοι δὲ οὗτοι ἰσχυρῶς φαίνονται, διὰ τὴν ἔκστασιν τῶν ἄρθρων. ἢν δὲ μὴ ἐπισφακελίσῃ αὐτοῖσι τὰ ὀστέα, μηδὲ κυφοὶ ἀνωτέρω τῶν ἰσχίων γένωνται· [5] ἐνίους γὰρ καὶ τὰ τοιαῦτα καταλαμβάνει· ἢν οὖν μὴ τοιοῦτόν τι γένηται, ἱκανῶς ὑγιηροὶ τἄλλα διαφέρονται. ἀναυξέστεροι μέντοι τὸ πᾶν σῶμα οὗτοι γίνονται, πλὴν τῆς κεφαλῆς. [6] Ὁσοισι δ' αὖ ἐς τοὔπισθεν ἡ κεφαλὴ τοῦ μηροῦ ἐκπέπτωκεν· ὀλίγοισι δὲ ἐκπίπτει· οὗτοι ἐκτανύειν οὐ δύνανται τὸ σκέλος, οὔτε κατὰ τὸ ἄρθρον τὸ ἐκπεσὸν, οὔτε τι κάρτα κατὰ τὴν ἰγνύην. [7] ἀλλ' ἥκιστα τῶν ἐκπαλαιῶν, οὗτοι μᾶλλον ἐκτανύουσι καὶ τὸ κατὰ τὸν βουβῶνα, καὶ τὸ κατὰ τὴν ἰγνύην ἄρθρον.

LXVI. Προσ-

tigerit. [10] Si enim neglecti fuerint dum infantes sunt, inutile penitus, & omni augmento privatum, totum crus evadit, & carnes totius cruris magis minuuntur quam sani. [11] Multo tamen minus his minuuntur quam illis quibus intro excidit, propter usum & laborem, [12] ita ut statim crure uti possint, velut etiam paulo ante in galeanconibus dictum est.

LXV. Sunt autem aliqui, quibus partim statim à nativitate, [2] partim præ morbo, amborum crurum articuli exciderunt ad externam partem. His igitur ossa quidem easdem affectiones habent ac perpetiuntur. Carnes tamen minime effœminantur. Sed & satis carnosa crura fiunt, [3] præterquam si quid sane circa internam partem paululum deficiat. Propterea vero satis carnosa sunt, quia utrisque cruribus similiter utuntur. [4] Similiter enim fluctuant hac atque illac inter ambulandum: & vehementer eminentibus natibus hi videntur, propter articulorum excessum. Si vero ossa ipsis corruptionem non senserint, neque gibbosi supra coxas fiant: [5] nonnullos enim etiam talia corripiunt: Si igitur tale quid non contigerit, satis sani de cætero durant. Totum tamen corpus hi minus augescens habent, capite excepto. [6] At vero quibus in posteriorem partem femoris caput exciderit: (paucis autem excidit:) hi crus extendere non possunt, neque juxta articulum elapsum, neque ita valde circa poplitem, [7] & multo minusquam hi quibus jamdudum id contigit. Hi enim magis & circa inguen, & circa poplitem, articulum extendunt.

LXVI.

LXVI. Προσξυνιέναι μὲν οὖν καὶ τόδε χρή· εὔχρηστον γὰρ καὶ πολλοῦ ἄξιόν ἐστι, καὶ τοὺς πλείστους λήθει· ὅτι οὔτε ὑγιαίνοντες δύνανται κατὰ τὴν ἰγνύην ἐκτανύειν τὸ ἄρθρον, ἢν μὴ ξυνεκτανύωσι καὶ τὸ κατὰ τὸν βουβῶνα ἄρθρον, πλὴν ἢν μὴ πάνυ 30 ἄνω ἀείρωσι τὸν πόδα. [2] οὕτω δ' ἂν δύναιντο. οὔτοι τοίνυν οὐδὲ ξυγκάμπτειν δύνανται τὸ κατὰ τὴν ἰγνύην ἄρθρον ὁμοίως, ἀλλὰ πολὺ χαλεπώτερον, ἢν μὴ συγκάμψωσι καὶ τὸ κατὰ τὸν βουβῶνα ἄρθρον. [3] πολλὰ δὲ καὶ ἄλλα κατὰ τὸ σῶμα τοιαύτας ἀδελφίξιας ἔχει, καὶ κατὰ νεύρων ξυντάσιας, καὶ κατὰ μυῶν σχήματα, καὶ πλεῖστά τι καὶ πλείστου ἄξια γινώσκεσθαι, ἢ ὥς τις οἴεται, καὶ κατὰ τὴν τοῦ ἐντέρου φύσιν, καὶ τὴν τῆς ξυμπάσης κοιλίης, [5] καὶ κατὰ τὰς τῶν ὑστερέων πλάνας καὶ ξυν- 35 τάσιας. [4] ἀλλὰ περὶ μὲν τούτων ἑτέρωθι λόγος ἔσται, ἠδελφισμένος τοῖσι νῦν λεγομένοισι. περὶ οὗ δὲ ὁ λόγος ἐστὶν, οὔτε ἐκτανύειν δύνανται, ὥσπερ ἤδη εἴρηται, βραχύτερόν τε τὸ σκέλος φαίνεται διὰ δισσὰς προφάσιας, ὅτι τε οὐκ ἐκτανύεται, ὅτι τε πρὸς τὴν σάρκα ὤλισθηκε τὴν τοῦ πυγαίου. [5] ἡ γὰρ φύσις τοῦ ἰσχίου τοῦ ὀστέου ταύτῃ, ᾗ καὶ ἡ κεφαλὴ καὶ ὁ αὐχὴν τοῦ μηροῦ γίνεται. ὅταν δὲ ἐξαρθρήσῃ, καταφερής τε πέφυκεν ἐπὶ τοῦ πυγαίου τὸ ἔξω μέρος. [6] ξυγ- 40 κάμπτειν μέντοι δύνανται, ὅταν μὴ ὀδύνη κωλύῃ· καὶ ἡ κνήμη τε καὶ ὁ ποὺς ὀρθὰ ἐπιεικέως φαίνονται, καὶ οὔτε τῇ οὔτε τῇ πολὺ ἐγκεκλιμένα. [7] κατὰ δὲ τὸν βουβῶνα δοκεῖ τι ἡ σὰρξ λαπαρωτέρη εἶναι ποτὶ καὶ ψαυομένη, ἅτε τοῦ ἄρθρου ἐς τὰ ἐπὶ θάτερα μέρεα ὠλισθηκότος. [8] κατὰ δὲ τὸ αὐτὸ πυγαῖον διαψαυομένη ἡ κεφαλὴ τοῦ μηροῦ, δοκεῖ τι ἐξογκέειν

LXVI. Illud tamen insuper intelligere oportet: (Est enim commodum, & magni faciendum, & plerisque ignotum:) Quod neque sani articulum circa poplitem extendere possunt, si non simul extendant etiam articulum circa inguen, præterquam si pedem valde sursum attollant. [2] Sic enim poterint. Hi itaque neque inflectere articulum circa poplitem similiter possunt, sed multo difficilius, si non etiam articulum circa inguen inflexerint. [3] Multa vero etiam alia circa corpus, hujusmodi fraternitates ac cognationes habent, & circa nervorum distentiones, & circa musculorum figuras, plurima, & pluris facienda ut cognoscantur, quam quispiam putaverit. Item circa intestini naturam, & totius ventris, & circa uterorum errores ac distentiones. [4] Verum de his alibi nobis sermo erit cognatus his quæ nunc dicuntur. Sed de quo nunc sermo est, neque extendere possunt, velut jam dictum est, & brevius crus apparet, atque hoc ob duas causas, & quod non extenditur, & quod ad natium carnem elapsum est. [5] Natura enim ossis coxæ ea parte est, qua & caput & cervix femoris existit. Ubi vero luxatum fuerit, pronum ad externam partem natium defertur. [6] Inflectere tamen possunt, si dolor non prohibeat, & tibia & pes moderate recta apparent, & neque hac, neque illac multum inclinata. [7] Juxta inguen vero caro insuper aliquanto mollior esse videtur, præsertim ad contactum, utpote articulo ad alteram partem elapso. [8] Ad ipsas autem nates si attrectetur femoris caput, aliquanto

ἐξογκέειν καὶ μᾶλλον. [9] τὰ μὲν οὖν ση-
μήϊα ταῦτα, ᾧ ἂν ἐς τὸ ὄπισθεν
ἐκπεπτώκῃ ὁ μηρός.

LXVII. Ὅτῳ μὲν οὖν τετελειω-
μένῳ ἤδη ἐκπεσὸν μὴ ἐμπέσῃ,
45 [1] ὁδοιπορέειν μὲν δύναται, ὅταν ὁ χρό-
νος ἐγγένηται, καὶ ἡ ὀδύνη παύσηται,
καὶ ἐθισθῇ τὸ ἄρθρον ἐν τῇ σαρκὶ ἐν-
στροφᾶσθαι. [2] ἀναγκάζεται μέντοι ἰσχυ-
ρῶς ξυγκάμπτειν κατὰ τοὺς βουβῶνας
ὁδοιπορέων, διὰ δισσὰς προφά-
σιας. [3] ἅμα μὲν, ὅτι πολλῷ βραχύτε-
ρον τὸ σκέλος γίνεται, διὰ τὰ προει-
ρημένα, καὶ τῇ μὲν πτέρνῃ καὶ πάνυ
πολλοῦ δέεται ψαύειν τῆς γῆς. [4] ἢν 3
γὰρ πειρᾶται καὶ ἐπ' ὀλίγον τοῦ ποδὸς
ὀχηθῆναι μηδενὶ ἄλλῳ ἀντιστηρι-
ζόμενος, ἐς τὸ ὀπίσω ἂν πέσοι. [5]
493 [1] ἡ γὰρ ῥοπὴ πολλὴ ἂν εἴη, τῶν ἰσχίων
ἐπὶ πολὺ ἐς τοὐπίσω ὑπερεχόντων
ὑπὲρ τοῦ ποδὸς τῆς βάσιος, καὶ τῆς ῥά-
χιος ἐς τὰ ἰσχία ῥεπούσης. [6] μόλις
δὲ τῷ στήθει τοῦ ποδὸς καθικνέεται, καὶ οὐ-
δὲ οὕτως, ἢν μὴ κάμψῃ αὐτὸς ἑωυ-
τὸν κατὰ τοὺς βουβῶνας, καὶ τῷ ἑτέρῳ
σκέλει κατὰ τὴν ἰγνύην ἐπιξυγκάμ-
ψῃ. [7] ἐπειδὰν τουτοισιν ἀναγκάζεται,
ὥστε τῇ χειρὶ τῇ κατὰ τὸ σιναρὸν
5 σκέλος ἐρείδεσθαι ἐς τὸ ἄνω τοῦ μη-
ροῦ ἐφ' ἑκάστῃ ξυμβάσει. [8] ἀναγκά-
ζει οὖν τι τοῦτο αὐτὸ, ὥστε κάμπτεσθαι
κατὰ τοὺς βουβῶνας. ἐν γὰρ τῇ με-
ταλλαγῇ τῶν σκελέων ἐν τῇ ὁδοι-
πορίῃ οὐ δύναται τὸ σῶμα ὀχέε-
σθαι ἐπὶ τοῦ σιναροῦ σκέλεος, [9] ἢν
μὴ προσκαταρηρείδηται τὸ σιναρὸν
πρὸς τὴν γῆν ὑπὸ τῆς χειρὸς, ἅτε
οὐχ ὑφεστεῶτος τοῦ ἄρθρου ὑπὸ τῷ
σώματι, ἀλλ' ἐς τὸ ὄπισθεν ἐξεστεῶ-
τος κατὰ τὸ ἰσχίον. [10] αὐτοὶ μέντοι τοῦ
ξύλου δύνανται ὁδοιπορέειν οἱ τοιοῦ-
τοι, ἢν ἄλλως ἐθισθῶσιν, διὰ τοῦ-
10 το, ὅτι ἡ βάσις τοῦ ποδὸς κατὰ τὴν
ἀρχαίην

quanto etiam magis extuberare videtur: [9] atque hæc quidem signa sunt, si cui in posteriorem partem femur excidit.

LXVII. Cui igitur jam perfecto elapsum, non fuerit repositum, hic ambulare quidem potest, ubi tempus intercesserit, & dolor sedatus fuerit, & articulus in carne versari adsueverit.[2] Cogitur tamen vehementer se inflectere circa inguina, dum iter facit, atque hoc ob duas [1] causas: 490 [3] tum quod multo brevius crus fit, ob ea quæ antea dicta sunt: tum quod multum valde abest ab eo ut calcaneo terram contingat. [4] Si enim conaretur vel paululum pede illo vehi, ita ut nihil aliud habeat quo se firmet, retro sane corruerit. [5] Magna enim fuerit momenti inclinatio, & coxis multum in posteriorem partem supereminentibus super pedis gressum, & spina insuper ad coxas vergente. [6] Vix autem [1] pectore pedis terram attingit, 495 & ne sic quidem, nisi ipse seipsum circa inguina inflectat, & altero crure circa poplitem insuper se inflectat. [7] Ob hæc autem cogitur, ut manum, quæ est secundum læsum crus, ad supernam femoris partem in singulis gressibus firmet. [8] Cogit igitur aliquantum hoc ipsum, ut circa inguina inflectatur. Nam in permutatione crurum in ambulando, corpus supra læsum crus vehi non potest, [9] si non [1] insuper fir- 500 metur crus per manum ad terram, nimirum quum non sub corpore articulus subsistat, sed ad posteriorem partem juxta coxam extet. [10] Absque tamen baculo tales iter facere possunt, si alias adsueverint, eo quod gressus pedis in veteri rectitudi-

 ne

ἀρχαίην ἰθυωρίην ἐστὶν, ἀλλ' οὐκ εἰς τὸ ἔξω ἐγκεκλιμένη. [11] διὰ τοῦτο οὐδὲν δέονται τοῦ ἀντικνητώσιος. [12] ὅσοι μέντοι βούλονται ἀντὶ τῆς τοῦ μηροῦ ἐπιλαβῆς ὑπὸ τὴν μασχάλην τὴν κατὰ τὸ σιναρὸν σκέλος ὑποτιθέμενοι σκίπωνα ἀντερείδειν, κεῖνοι, ἢν μὲν μακρότερον τὸν σκίπωνα ὑποτιθέωνται, ὀρθότεροι μὲν ὁδοιπορήσουσι· [13] τῷ δὲ ποδὶ πρὸς τὴν γῆν οὐκ ἐρείδονται. εἰ δ' αὖ βούλονται ἐρείδειν τῷ ποδὶ, βραχύτερον μὲν τὸ ξύλον ποιητέον, [14] κατὰ δὲ τοὺς βουβῶνας ἐπιξυγκάμπτεσθαι ἂν δέοι αὐτούς.

LXVIII. Τῶν δὲ σαρκῶν αἱ μινυθήσιες κατὰ λόγον γίνονται καὶ τούτοισιν· ὥσπερ καὶ πρόσθεν εἴρηται. τοῖσι μὲν γὰρ μετέωρον ἔχουσι τὸ σκέλος καὶ μηδὲν ταλαιπωρέουσι, τούτοισι καὶ μάλιστα μινύθει. οἳ δ' αὖ πλεῖστα χρέονται τῇ ἐπιβάσει, τούτοισι ἥκιστα μινύθουσι. [2] τὸ μέντοι ὑγιὲς σκέλος οὐκ ὠφελέεται, ἀλλὰ μᾶλλον καὶ ἀσχημονέστερον γίνεται, ἢν χρέωνται τῷ σιναρῷ σκέλει ἐπὶ τὴν γῆν. [3] συνυπουργέον γὰρ ἐκείνῳ ἐξισχιόν τε ἀναγκάζεται εἶναι καὶ τὴν ἰγνύην ξυγκάμπτειν. [4] ἢν δὲ μὴ προσχρέηται τῷ σιναρῷ ἐπὶ τὴν γῆν, ἀλλὰ μετέωρον ἔχων, σκίπωνι ἀντερείδηται. [5] οὕτω δὲ καρτερὸν γίνεται τὸ ὑγιὲς σκέλος. ἔν τε γὰρ τῇ φύσει διαιτᾶται καὶ τὰ γυμνάσια προσκρατύνει αὐτό. [6] φαίη μὲν οὖν ἄν τις ἔξω ἰητρικῆς τὰ τοιαῦτα εἶναι. τί γὰρ δῆθεν δεῖ περὶ τῶν ἤδη ἀνηκέστων γεγονότων ἔτι προσξυνιέναι; πολλοῦ δὲ δεῖ οὕτως ἔχειν. τῆς γὰρ αὐτῆς γνώμης καὶ ταῦτα ξυνιέναι. οὐ γὰρ οἷόν τε ἀπαλλοτριωθῆναι ἀπ' ἀλλήλων. [8] δεῖ μὲν γὰρ τὰ ἀκεστὰ μηχανᾶσθαι ὅκως μὴ ἀνήκεστα ἔσται, ξυνιέντα, ὅπῃ αὖ

ne manet, & non ad externam partem inclinatus est. [11] Quapropter nihil opus habent baculi fulcimento. [12] Quicunque tamen pro femoris per manum apprehensione, suppoſito sub alam, quæ ad ſiniſtrum crus eſt, ſcipioni inniti volunt, hi ſi quidem longiorem ſcipionem ſuppoſuerint, erectiores quidem iter facient, [13] pede autem ad terram non innituntur. Si vero pede inniti volent, brevior ipſis baculus faciendus eſt, [14] & ad inguina ut ſe inflectant neceſſe fuerit.

LXVIII. Cæterum carnium imminutiones etiam his ſecundum rationem fiunt, velut antea dictum eſt. Qui enim elevatum habent crus, & nihil laborant, his etiam maxime minuuntur. Si vero plurimo utuntur ingreſſu, his minime minuuntur. [2] Sanum tamen crus nihil inde utilitatis conſequitur, ſed etiam deformius fit; ſi læſo crure ad terram innitentes utantur. [3] Illi enim ſimul inſerviens, & extra prominente coxa eſſe cogitur, & circa poplitem ſe inflectere. [4] Si vero quis læſo crure non ad terram utatur, ſed elevatum habeat, & ſcipioni innitatur, [5] ſic ſanum crus robuſtum fiet. Nam & in naturali ſtatu degit, & exercitationes ipſum corroborant. [6] Poſſit aliquis dicere, extra medicinam talia eſſe. Quid enim opus eſt de his quæ incurabilia jam facta ſunt, amplius tractare? [7] At hoc facere multum refert. Ejuſdem enim profeſſionis eſt & hæc cognoſcere. Non enim fieri poteſt, ut inter ſe dirimantur. [8] Oportet enim curabilia ita tractare, ut ne incurabilia fiant, ea intelli-

αὖ μάλιστα κωλυτέον εἰς τὸ ἀνήκεστον ἐλθεῖν. [9] δεῖ δὲ τὰ ἀνήκεστα ξυνιέναι, ὡς μὴ μάλιστα λυμαίνηται. [10] τὰ δὲ προῤῥήματα λαμπρὰ καὶ ἀγωνιστικὰ ἀπὸ τοῦ διαγινώσκειν, ὅπη ἕκαστον, καὶ οἵως, καὶ ὁπότε τελευτήσει, ἤν τε εἰς τὸ ἀκεστὸν τράπηται, ἤν τε εἰς τὸ ἀνήκεστον.

LXIX. Ὁκόσοισι δ' αὖ ἐκ γε-30 νεῆς, ἢ καὶ ἄλλως ἐν αὐξήσει ἐοῦσιν, οὕτως ὀλισθῇ τὸ ἄρθρον ὀπίσω καὶ μὴ ἐμπέσῃ, ἤν τε βίῃ ὀλισθῇ, ἤν τε καὶ ὑπὸ νόσου· [1] πολλὰ γὰρ τοιαῦτα ἐξαρθρήματα γίνεται ἐν νούσοισιν· οἷαι δέ τινές εἰσιν αἱ νοῦσοι, ἐν ᾗσιν ἐξαρθρέεται τὰ τοιαῦτα, ὕστερον γεγράψεται· [3] ἢν οὖν ἐκστὰν μὴ ἐμπέσῃ, τοῦ μὲν μηροῦ τὸ ὀστέον βραχὺ γίνεται. [4] κακοῦται δὲ πᾶν τὸ σκέλος καὶ ἀναυξέστερον γίνεται καὶ ἀσαρκότερον πολλῷ, διὰ τὸ μηδὲν προσχρέεσθαι αὐτῷ. [5] κακοῦται γὰρ τούτοισι καὶ τὸ κατὰ τὴν ἰγνύην 35 ἄρθρον. τὰ γὰρ νεῦρα ἐντεταμένα γίνεται διὰ τὰ πρόσθεν εἰρημένα. [6] διὸ οὐ δύνανται τὸ κατὰ τὴν ἰγνύην ἄρθρον ἐκτανύειν, οἷσιν ἂν οὕτως ἰσχίον ἐκπέσῃ. [7] ὡς γὰρ ἐν κεφαλαίῳ εἰπεῖν, πάντα τὰ ἐν τῷ σώματι ὁκόσα ἐπὶ χρήσει γέγονε, χρεομένοισι μὲν μετρίως καὶ γυμναζομένοισιν ἐν τῇσι ταλαιπωρίῃσιν, ἐν ᾗσιν ἕκαστα εἴθισται, οὕτω μὲν ὑγιηρὰ, καὶ αὔξιμα, καὶ εὔγηρα γίνεται. μὴ χρεομένοισι δὲ, ἀλλ' ἐλινύουσι, νοσηρότερα γίνεται, καὶ ἀναυξέα, καὶ ταχύγηρα. [8] ἐν 40 δὲ τούτοισιν οὐχ ἥκιστα τὰ ἄρθρα τοῦτο πέπονθε καὶ τὰ νεῦρα, ἢν μή τις αὐτοῖσι χρέηται. κακοῦνται οὖν διὰ ταύτας τὰς προφάσιας ἐν τούτῳ τῷ τρόπῳ τοῦ ὀλισθήματος ἢ ἐν τοῖσιν ἄλλοισιν.

intelligentia ut quam maxime 520 prohibeamus, ne ad hoc deveniant ut incurabilia reddantur. [9] Oportet autem & incurabilia cognoscere, ut ne maxime lædant. [10] Prædictiones autem splendidæ sunt ac gloriosæ ex cognitione, quo, & qualiter, & quando. singula desinent, sive eo vertantur ut incurabilia fiant, sive curationis spem exhibeant.

LXIX. Quibuscunque vero ex nativitate, aut dum adhuc alias augescunt, ita elapsus fuerit ar-525 ticulus, & non repositus, sive ex violentia elapsus sit, sive præ morbo: ([2] Multæ enim hujusmodi luxationes fiunt in morbis: Qui vero sint hi morbi, in quibus articuli elabuntur, postea scribetur:) [3] Si itaque elapsus non fuerit repositus, femoris quidem os breve fit, [4] affligitur autem totum crus, & augmento destituitur, & multo magis excarne fit, eo quod ipso non utantur. [5] Nam & articulus circa 530 poplitem his affligitur. Nervi enim ob ea quæ antea dicta sunt intenduntur. [6] Quare articulum circa poplitem extendere non possunt hi quibus hoc modo coxa excidit. [7] Ut enim in summa dicam: Omnia quæ in corpore ad usum facta sunt, si quis moderate ipsis utatur, & in his laboribus exerceat, ad quos singula sunt adsueta, sic quidem sana sunt, & augescunt, & probe con-535 senescunt. Si vero quis non utatur, sed quiescat, morbosiora fiunt, & non augescunt, & cito consenescunt. [8] Inter hæc autem non minime perpetiuntur hoc & articuli, & nervi, si quis non ipsis utatur. Propter has igitur causas, magis in hoc luxationis modo quam in aliis affliguntur.

σιν. 9 ὅλον γὰρ τὸ σκέλος ἀναυξὲς γίνεται, καὶ τῇ ἀπὸ τῶν ὀστέων φύσει, καὶ τῇ ἀπὸ τῶν σαρκῶν. οἱ οὖν τοιοῦτοι, ὁκόταν ἀνδρωθῶσι, μετέωρον καὶ συγκεκλιμένον τὸ σκέλος ἴσχουσιν, ἐπὶ δὲ τοῦ ἑτέρου ὀχέονται καὶ τῷ ξύλῳ ἀντιστηριζόμενοι, οἱ μὲν, ἑνὶ, οἱ δὲ, δυσίν.

LXX. Οἷσι δ' ἂν ἐς τοὔμπροσθεν ἡ κεφαλὴ μηροῦ ἐκπέσῃ, 45 ὀλίγοισι δὲ τοῦτο γίνεται, οὗτοι ἐκτανύειν μὲν τὸ σκέλος δύνανται τελέως, ξυγκάμπτειν δὲ ἥκιστα οὗτοι δύνανται τὰ κατὰ τὸν βουβῶνα. 2 πονέουσι δὲ καὶ, ἢν κατὰ τὴν ἰγνύην ἀναγκάζωνται ξυγκάμπτειν. μῆκος δὲ τοῦ σκέλεος παραπλήσιον φαίνεται κατὰ μὲν τὴν πτέρνην καὶ πάνυ· 3 ἄκρος δὲ ὁ πούς ἧσσόν τι προκύπτειν ἐθέλοι ἐς τοὔμπροσθεν. ὅλον δὲ τὸ σκέλος ἔχει τὴν ἰθυωρίην κατὰ τὴν φύσιν, καὶ οὔτε τῇ, οὔτε τῇ ῥέπει. ὀδυνῶνται 894 δὲ αὐτίκα οὗτοι μάλιστα, καὶ οὖρον ἴσχεται τὸ πρῶτον μᾶλλόν τι ἢ τοῖσιν ἄλλοισιν ἐξαρθρήμασιν. ἐγκέεται γὰρ ἡ κεφαλὴ τοῦ μηροῦ ἐγγυτάτω τούτοισι τῶν τόνων τῶν ἐπικαίρων. 4 καὶ κατὰ μὲν τὸν βουβῶνα ἐξογκέονται καὶ καταπεταμένον τὸ χωρίον φαίνεται. κατὰ δὲ τὸ πυγαῖον, στολιδωδέστερον καὶ ἀσαρκότερον. 5 ταῦτα μὲν οὖν σημεῖά ἐστι τὰ εἰρημένα, ὧν ἂν 9 οὕτως ἐκπεπτώκῃ ὁ μηρός. 6 ὁκόσοισι μὲν οὖν ἂν ἤδη ἠνδρωμένοισι τοῦτο τὸ ἄρθρον ἐκπεσὸν μὴ ἐμπέσῃ, οὗτοι, ὁκόταν αὐτοῖσιν ἡ ὀδύνη παύσηται, καὶ τὸ ἄρθρον ἐθισθέῃ ἐν τῇ χώρῃ τούτῃ στροφᾶσθαι, ἵνα ἐξέπεσεν, οὗτοι δύνανται σχεδὸν εὐθὺς ὀρθοὶ ὁδοιπορέειν ἄνευ ξύλου, καὶ πάνυ μέντοι εὐθέες. 7 ἐπὶ δὲ τὸ σιναρὸν ἅτε οὔτε κατὰ τὸν βουβῶνα εὐκαμπέες ἐόντες, οὔτε κατὰ τὴν ἰγνύην

guntur. 9 Totum enim crus & in ossium, & in carnium natura, augmento destituitur. Tales igitur ubi jam in viros evaserunt, elevatum ' ac inclinatum crus 140 hoc habent, altero vero vehuntur baculo innitentes, aliqui uno, aliqui duobus.

LXX. Quibus porro in ante- 30 riorem partem femoris caput elapsum fuerit ' (paucis autem hoc contingit) hi extendere quidem crus perfecte possunt, inflectere autem se minime possunt circa inguen. 2 Affliguntur autem etiam, si circa poplitem se inflectere coguntur. Longitudo vero cruris consimilis apparet; ' & circa calcaneum quidem val- 145 de. 3 Verum summus pes aliquanto minus in anteriorem partem prominere solet. Totum autem crus rectitudinem habet secundum naturam, & neque hac, neque illac vergit. Cæterum hi statim dolore corripiuntur maxime, & urina imprimis supprimitur, aliquanto magis quam in aliis luxationibus. Caput enim femoris proxime his incumbit ad præcipuos nervos, 4 & circa inguen 'quidem extu- 150 berantes videntur, & locus ex- 1 tentus apparet: Verum circa nates rugosior, & maxime excarnis. 5 Atque hæc quidem quæ relata sunt, signa sunt eorum quibus ita femur excidit. 6 Quibuscunque igitur viris jam factis, hic articulus elapsus, non fuerit repositus, hi ubi dolor ipsis sedatus fuerit, & articulus in eo loco in quem excidit, versari adsueverit, statim fere recti ambulare possunt absque ' bacu- 155 lo, & valde quidem recti, 7 utpote quum ad læsum crus, neque circa inguen, neque circa popli-

ἰγνύην· διὰ γοῦν τοῦ βουβῶνος τὴν ἀκαμπίην ὀρθοτέρῳ ὅλῳ τῷ σκέλει ἐν τῇ ὁδοιπορίῃ χρέονται, ἢ ὅτε ὑγίαινον. ⁸ καὶ σύρουσι δὲ ἔνιοι πρὸς τὴν γῆν τὸν πόδα, ἅτε οὐ ῥηϊδίως ξυγκάμπτοντες τὰ ἄνω ἄρθρα, καὶ ἅτε παντὶ βαίνοντες τῷ ποδί. ⁹ οὐδὲν γὰρ ἧσσον τῇ πτέρνῃ οὗτοι βαίνουσιν, ἢ τῷ ἔμπροσθεν. εἰ δέ γε ἠδύναντο μέγα προβαίνειν, κἂν πάνυ πτερνοβάται ἦσαν. ¹⁰ καὶ γὰρ οἱ ὑγιαίνοντες, ὅσῳ ἂν μεῖζον προβαίνοντες ὁδοιπορέουσι, τοσούτῳ μᾶλλον πτερνοβάται εἰσίν, τιθέντες τὸν πόδα, αἴροντες δὲ τὸν ἐναντίον. ¹¹ ὁκόσοισι δὲ δὴ οὕτως ἐκπέπτωκε, καὶ ἔτι μᾶλλον τῇ πτέρνῃ προσεγχρίπτουσιν, ἢ τῷ ἔμπροσθεν. ¹² τὸ γὰρ ἔμπροσθεν τοῦ ποδὸς, ὅταν ἐκτεταμένον ᾖ, τὸ ἄλλο σκέλος οὐχ ὁμοίως δύναται ἐς τὸ πρόσω καμπυλοῦσθαι, ὥσπερ ὅταν ξυγκεκαμμένον εἴη τὸ σκέλος. ¹³ οὔτ' αὖ σιμοῦσθαι δύναται ὁ ποὺς, ξυγκεκλιμένου τοῦ σκέλεος, ὥσπερ ὅταν ἐκτεταμένον ᾖ τὸ σκέλος. ὑγιαίνουσά τε οὖν ἡ φύσις οὕτω πέφυκεν, ὥσπερ εἴρηται. ὅταν δὲ ἐκπεσὸν μὴ ἐμπέσῃ τὸ ἄρθρον, οὕτως ὁδοιπορέουσιν, ὡς εἴρηται, διὰ τὰς προφάσιας ταύτας τὰς εἰρημένας. ¹⁴ ἀσαρκότερον μέντοι τὸ σκέλος τοῦ ἑτέρου γίνεται, κατά τε τὸ πυγαῖον, κατά τε γαστροκνημίην, καὶ κατὰ τὴν ὄπισθεν ἴξιν. ¹⁵ οἷσι δ' ἂν νηπίοισιν ἔτι ἐοῦσι τὸ ἄρθρον οὕτως ὀλισθαῖνον μὴ ἐμπέσῃ, ἢ καὶ ἐκ γενεῆς οὕτω γένηται, καὶ τούτοισι τὸ τοῦ μηροῦ ὀστέον μᾶλλόν τι μινύθει, ἢ τὰ τῆς κνήμης, καὶ τὰ τοῦ ποδός. ἥκιστα μὲν ἐν τούτῳ τῷ τρόπῳ τοῦ ὀλισθήματος ὁ μηρὸς μειοῦται. ¹⁶ μινύθουσι μέντοι αἱ σάρκες πάντη, μάλιστα δὲ κατὰ τὴν

tem, facile se flectere possint. Propter inguinis itaque inflexibilitatem, rectiore toto crure in ambulando utuntur, quam quum sani essent. ⁸ Sed & aliquando ad terram pedem trahunt, utpote quum supernos articulos non facile inflectant, & toto pede ingrediantur. ⁹ Nihilo enim minus hi calcaneo ingrediuntur, quam anteriore pedis parte. Si vero magnis gressibus progredi possent, etiam valde calcaneo insistentes progrederentur. ¹⁰ Nam & sani quanto minoribus gressibus iter faciunt, tanto magis calcaneo ingrediuntur, alterum pedem deponentes, contrarium elevantes. ¹¹ Quibuscunque itaque hoc modo excidit, adhuc etiam magis calcaneo terram contingunt, quam anteriore pedis parte. ¹² Anterior enim pedis pars, ubi reliquum crus extentum fuerit, non similiter in anteriorem partem inflecti potest, sicut ubi crus fuerit inflexum. ¹³ Neque rursus sinuari pes potest crure inflexo, sicut ubi crus fuerit extentum. Sana igitur natura hoc modo est, veluti dictum est. Quum vero elapsus articulus repositus non fuerit, sic iter faciunt, velut dictum est, ob prædictas has causas. ¹⁴ Magis tamen excarne crus fit quam alterum, & juxta nates, & circa suram, & juxta posteriorem rectitudinem. ¹⁵ At vero quibus dum adhuc infantes sunt, articulus sic elapsus, non fuerit repositus, aut etiam à nativitate ita habuerint, & his femoris os aliquanto magis minuitur, quam tibiæ aut pedis ossa. Et minimum quidem in hoc luxationis modo femur minuitur. ¹⁶ Carnes tamen undique minuuntur, maxime

ης, τὴν ὄπισθεν ἰξὺν, ὥσπερ ἤδη καὶ πρόσθεν εἴρηται). 17 ὅσοι μὲν οὖν τιθηνηθῶσιν ὀρθῶς, οὗτοι μὲν δύνανται προσχρέεσθαι τῷ σκέλει αὐξανόμενοι, βραχυτέρῳ μὲν ἐόντι τοῦ ἑτέρου ἐόντι. 18 ὅμως δὲ ἐρειδόμενοι ξύλῳ ἐπὶ ταῦτα, ᾗ τὸ σιναρὸν σκέλος. οὐ γὰρ κάρτα δύνανται ἄνευ τῆς πτέρνης τῷ στήθει τοῦ ποδὸς χρέεσθαι, ἐπικαθιέντες, ὥσπερ ἐν ἑτέροις χωλώμασιν ἔνιοι δύνανται. 19 αἴτιον δὲ τοῦ μὴ δύνασθαι τὸ ὀλίγῳ πρόσθεν εἰρημένον. 20 διὰ οὖν τοῦτο προσδέονται ξύλου.

20 ὅσοι δ' αὖ καταμεληθῶσι καὶ μηδὲν χρέονται ἐπὶ τὴν γῆν τῷ σκέλει, ἀλλὰ μετέωρον ἔχουσι, τούτοισι μινύθουσι μὲν τὰ ὀστέα ἐς αὔξησιν μᾶλλον, ἢ τοῖσι χρεομένοισι. 21 μινύθουσι δὲ καὶ αἱ σάρκες πολὺ μᾶλλον ἢ τοῖσι χρεομένοισι. κατὰ δὲ τὰ ἄρθρα ἐς τὸ ἰθὺ πηροῦται τούτοισι τὸ σκέλος μᾶλλόν τι, ἢ οἷσιν ἂν ἄλλως ἐκπεπτώκῃ. 22 ὡς μὲν οὖν ἐν κεφαλαίῳ εἰρῆσθαι, τὰ ἄρθρα τὰ ἐκπίπτοντα καὶ τὰ ὀλισθαίνοντα ἀνίσως αὐτὰ ἑωυτοῖσιν ἐκπίπτει καὶ

35 ὀλισθαίνει, ἄλλοτε μὲν πολὺ πλέονα, ἄλλοτε δὲ πολὺ ἐλάσσονα. 23 καὶ, οἷσι ἂν μὲν πολὺ πλέον ὀλισθῇ ἢ ἐκπέσῃ, χαλεπώτερα ἐμβάλλειν τὸ ἐπίπαν ἐστί. καὶ ἢν μὴ ἐμβιβασθῇ μείζους καὶ ἐπιδηλοτέρας τὰς πηρώσιας καὶ κακώσιας ἴσχει τὰ τοιαῦτα, καὶ ὀστέων, καὶ σαρκῶν, καὶ σχημάτων. 24 ὅταν δὲ μεῖον ἐκπέσῃ καὶ ὀλισθῇ, ῥήϊδιον μὲν ἐμβάλλειν τὰ τοιαῦτα τῶν ὀστέων γίνεται. 25 ἢν δὲ καταπορηθῇ ἢ ἀμεληθῇ ἐμπεσεῖν, μείους καὶ ἀσινέστεραι αἱ πηρώσιες γίνονται

40 τούτοισιν, ἢ οἷσιν ὀλίγῳ πρόσθεν εἴρηται.

LXXI. Τὰ μὲν οὖν ἄλλα ἄρθρα καὶ

maxime circa posteriorem rectitudinem, quemadmodum etiam prius dictum 'est. 17 Quicunque igitur recte educati fuerint, hi ubi augescunt, crure uti possunt, breviore aliquantum existente quam altero, 18 ita tamen ut baculo innitantur ea parte qua læsum crus est. Non enim absque calcaneo, pedis pectore admodum uti possunt, ut in id innitantur, quemadmodum in aliis claudicationibus aliqui possunt. 19 Causa vero cur non possint, ea est quæ paulo ante relata est. 20 Ob id igitur baculo 'insuper opus habent. Qui vero neglecti fuerint, & crure ad terram non utuntur, sed elevatum id habent, his minuuntur quidem ossa, ubi augescunt, magis quam his qui eo utuntur. 21 (Minuuntur autem & carnes magis multo quam his qui utuntur) 'Verum circa articulos in directum mutilatur his crus, aliquanto magis, quam quibus alio modo luxatio facta est. 22 Quo igitur in summa dicatur, Articuli excidentes ac qui luxantur, inæqualiter inter seipsos excidunt ac luxantur, aliquando multo plus, aliquando multo minus. 23 Et quibus quidem multo plus luxati aut clapsi fuerint, his 'omnino difficilius reponuntur. Et si repositi non fuerint, majores & manifestiores mutilationes ac afflictiones tales habent, & ossium, & carnium, & figurarum. 24 Ubi vero minus exciderint & luxati fuerint, tales facilius quam alii reponi possunt. 25 Si vero frustra tentati, aut neglecti fuerint, minores ac minus noxiæ mutilationes his fiunt, quam illis de quibus paulo ante dictum est.

LXXI. Reliqui igitur articuli etiam

καὶ πάνυ πολὺ διαφέρει ἐς τὸ ὁτὲ μὲν μεῖον, ὁτὲ δὲ μεῖζον τὸ ὀλίσθημα ποιέεσθαι. [2] μηροῦ δὲ καὶ βραχίονος κεφαλαὶ παραπλησιώταται ὀλισθαίνουσιν αὐτὴ ἑωυτῇ ἑκατέρη. [3] ἔστι γὰρ στρογγύλαι μὲν αἱ κεφαλαὶ ἐοῦσαι ἁπλῆν τὴν στρογγύλωσιν καὶ φαλακρὴν ἔχουσιν. κυκλοτερέες δὲ αἱ κοιλίαι ἐοῦσαι αἱ δεχόμεναι τὰς κεφαλὰς, ἁρμόζουσαι δὲ τῇσι κεφαλῇσι. [4] διὰ τοῦτο οὐκ ἔστιν αὐτῇσι τὸ ἥμισυ ἐκστῆναι τοῦ ἄρθρου. [5] ὀλισθαίνοι γὰρ ἂν διὰ τὴν περιφερείην ἢ ἐς τὸ ἔξω, ἢ ἐς τὸ εἴσω. [6] περὶ οὗ νῦν ὁ λόγος ἐστὶν, ἐκπεπτώκασι τελέως ἤδη, ἐπεὶ ἄλλως γε οὐκ ἐκπεπτώκασιν. [7] ὅμως δὲ καὶ ταῦτα ὁτὲ μὲν πλεῖον ἀποπηδᾷ ἀπὸ τῆς φύσιος, ὁτὲ δὲ ἔλασσον. μᾶλλον δὲ τὸ μηρὸς τοῦ βραχίονος πέπονθεν. [8] ἐπεὶ ἔνια γε τῶν ἐκ γενεῆς γινομένων ὀλισθημάτων, ἢν μικρὸν ὀλισθῇ, οἷά τε ἐς τὴν φύσιν ἄγεσθαι, καὶ μάλιστα τὰ παρὰ τὰ τοῦ ποδὸς ἄρθρα. [9] ὁκόσοι ἐκ γενεῆς κυλλοὶ γίνονται, τὰ πλεῖστα τούτων ἰήσιμά ἐστιν, ἢν μὴ πάνυ μεγάλη ἡ ἔκκλισις εἴη, ἢ καὶ προαυξέων γεγονότων ἤδη παιδίων, ξυμβῇ. [10] ἄριστον μὲν οὖν ὡς τάχιστα ἰητρεύειν τὰ τοιαῦτα, πρὶν πάνυ μεγάλην τὴν ἔνδειαν τῶν ὀστέων τῶν ἐν τῷ ποδὶ γενέσθαι. [11] πρίν τε πάνυ μεγάλην τὴν ἔνδειαν τῶν σαρκῶν τῶν κατὰ τὴν κνήμην εἶναι.

LXXII. Τρόπος μὲν οὖν κυλλώσιος οὐχ εἷς, ἀλλὰ πλείονες. [2] τὰ πλεῖστα μὲν οὐκ ἐξηρθρηκότα παντάπασιν, ἀλλὰ δι' ἔθος σχήματος ἔν τινι ἀπολήψει τοῦ ποδὸς κεκυλλωμένα. [3] προσέχειν δὲ ἐν τῇ ἰητρείῃ τοῖσιδε χρή. ἀπωθέειν μὲν καὶ κατορθοῦν τῆς κνήμης τὸ κατὰ τὸ σφυρὸν ὀστέον, τὸ ἔξωθεν

ἐς

etiam valde multum differunt ad hoc ut aliquando minor, aliquando major luxatio fiat. [2] Verum femoris & brachii capita, quam simillime inter se utraque excidunt. Nam capita prout rotunda sunt, simplicem & calvam rotunditatem habent. [3] Orbiculatiores autem sinus sunt, quã capita excipiunt, capitibus tamen ipsis congruentes. [4] Quapropter fieri non potest ut dimidium articuli ex ipsis elabatur. [5] Nam ob rotunditatis circumferentiam, aut ad externam, aut ad internam partem luxari poterit. [6] Sed de quo nunc sermo est, perfecte excidunt, nam alioqui non excidunt. [7] Attamen & hi aliquando plus, aliquando minus, à naturali statu prosiliunt, & femur aliquanto magis quam brachium patitur. [8] Nam aliquæ etiam ex his luxationibus quæ à nativitate fiunt, si parum elapsæ fuerint, ad naturalem statum reduci possunt, & maxime articuli circa pedem. [9] Quicunque à nativitate mutili fiunt, plerique ex his curabiles sunt, si non valde magna emotio facta fuerit, aut etiam præauctis jam pueris contigerit. [10] Optimum igitur est ut talia quam celerrime curentur, priusquam valde magnus ossium defectus fiat, [11] & priusquam admodum magnus carnium defectus circa tibiam contingat.

LXXII. Modus itaque mutilationis non unus est, sed plures. [2] Plurima quidem eluxata non sunt penitus, sed per figuræ consuetudinem, in quadam pedis interceptione mutilata. [3] Animadvertendum autem in horum curatione est, ut tibiæ circa malleolum os, quod extrinsecus est,

ad

ἐς τὸ ἔσω μέρος, ἀντωθέειν δὲ ἐς τὸ ἔξω μέρος· τὸ τῆς πτέρνης τὸ κατ' αὐτὴν τὴν ἴξιν, ὅπως ἀλλήλοις ἀπαντήσῃ τὰ ὀστέα τὰ ἐξίσχοντα. [4] κατὰ μέσον δὲ καὶ πλάγιον τὸν πόδα. τοὺς δ' αὖ δακτύλους ἀθρόους ξὺν τῷ μεγάλῳ δακτύλῳ ἐς τὸ ἔσω μέρος
10 ' ἐγκλίνειν, καὶ περιαναγκάζειν οὕτως. [5] ἐπιδεῖν δὲ κηρωτῇ ἐρρητινωμένῃ εὖ, καὶ σπλήνεσι, καὶ ὀθονίοισι μαλθακοῖσι, μὴ ὀλίγοισι, μηδὲ ἄγαν πιέζοντα. [6] οὕτω δὲ τὰς περιαγωγὰς ποιέεσθαι τῆς ἐπιδέσιος, ὥσπερ καὶ τῇσι χερσὶν ἡ κατόρθωσις ἦν τοῦ ποδὸς, ὅπως ὁ πὺς ὀλίγον μᾶλλον ἐς τὸ βλαισὸν ῥέπων φαίνηται. [7] ἴχνος δέ τι ποιέεσθαι, ἢ δέρματος μὴ ἄγαν σκληροῦ ἢ μολύβδινον. [8] προσεπιδεῖν δὲ, μὴ πρὸς τὸν χρῶτα τιθέντα, ἀλλ' ὅταν ἤδη τοῖσιν ὑστάτοισιν ὀθονίοισι
15 ' μέλλῃς ἐπιδεῖν. [9] ὅταν δὲ ἤδη ἐπιδεδεμένος ᾖ, ἑνός τινος τῶν ὀθονίων χρὴ, οἷσιν ἐπιδεῖται, τὴν ἀρχὴν προσράψαι πρὸς τὰ κάτω τοῦ ποδὸς ἐπιδέσματα κατὰ τὴν ἴξιν τοῦ μικροῦ δακτύλου. [10] ἔπειτα ἐς τὸ ἄνω τείνοντα, ὅπως ἂν δοκέῃ μετρίως ἔχειν, περιβάλλειν ἄνωθεν τῆς γαστροκνημίης, ὡς μόνιμον ᾖ κατατεταμένον οὕτως. [11] ἁπλῷ δὲ λόγῳ, ὥσπερ κηροπλαστέοντα χρὴ ἐς τὴν φύσιν τὴν δικαίην ἄγειν, καὶ τὰ ἐκκεκλιμένα καὶ τὰ συντεταμένα παρὰ
20 τὴν φύσιν, καὶ τῇσι ' χερσὶν οὕτω διορθοῦντα, καὶ τῇ ἐπιδέσει ὡσαύτως, προσάγειν δὲ οὐ βιαίως ἀλλὰ παρηγορικῶς. [12] προσράπτειν δὲ τὰ ὀθόνια, ὅπως ἂν ξυμφέρῃ τὰς ἀναλήψιας ποιέεσθαι. [13] ἄλλα γὰρ ἄλλης τῶν χωλαινόντων δεῖται ἀναλήψιος.

LXXIII. Ὑποδημάτιον δὲ ποιέεσθαι μολύβδινον, ἔξωθεν τῆς ἐπιδέσιος

ad internam partem detrudatur ac dirigatur, & calcanei os quod è directo illi subjacet, ad externam partem retrudatur, quo ossa quæ eminent sibiipsis occurrant [4] juxta medium ac obliquum pedem. Digiti vero acervati una cum ' magno digito ad internam 10 partem inclinentur, atque ita circumcirca cogantur. [5] Probe autem deligare oportet cerato resinato, & spleniis, & linteis mollibus non paucis, neque nimis compressis, [6] atque ita deligationis circumductiones facere, velut etiam manibus directio pedis fiebat, quo pes paulo magis ad valgum vergere videatur. [7] Soleam etiam quandam facere oportet, aut ex pelle non nimis dura, aut è plumbo, eamque ' in- 15 super [8] alligare non ad corpus positam, sed ubi jam postremis linteis deligare voles. [9] Quum vero jam deligatus fuerit, unius alicujus lintei ex his quibus deligatur, initium, ad deligamenta quæ infra pedem sunt assuere oportet, è directo parvi digiti, [10] & postea sursum extendere, ita ut moderate habere videatur, atque sic supra suram circundare, quo sic extentum ac collocatum stabile maneat. [11] In summa, quasi ' quis ceram fingat, ad 20 naturam justam adducere oportet, ita ut & inclinata, & distenta præter naturam, & manibus sic dirigamus: & similiter deligatione: adducamus autem non violenter, sed leniter. [12] Assuere vero ita oportet lintea, ut conducat ad reparationes ac appensiones faciendas. [13] Aliæ enim claudicationes alia reparatione ac appensione opus habent.

LXXIII. Calceum insuper plumbeum facere oportet, ' extra 25 deliga-

σιος ἐπιδεδεμένον, οἷον αἱ Χῖαι κρηπῖδες, ῥυθμὸν εἶχον. ² ἀλλ' οὐδὲν αὐτοῦ δεῖ, ἢν τις ὀρθῶς μὲν τῇσι χερσὶ διορθώσῃ, ὀρθῶς δὲ τοῖσιν ὀθονίοισιν ἐπιδέῃ, ὀρθῶς δὲ καὶ τὰς ἀναλήψιας ποιοῖτο. ἡ μὲν οὖν ἴησις αὕτη, καὶ οὔτε τομῆς, οὔτε καύσιος οὐδὲν δεῖ, οὔτ' ἄλλης ποικιλίης. ³ θᾶσσον γὰρ ἐνακούει τὰ τοιαῦτα τῆς ἰητρείης, ἢ ὡς ἄν τις οἴοιτο. ⁴ προσνικᾶν μέντοι χρὴ τῷ χρόνῳ, ἕως ἂν αὐξηθῇ τὸ σῶμα ἐν τοῖσι δικαίοισι σχήμασιν. ὅταν δὲ ἐς ὑποδήματος λόγον εἴη, ἀρβύλαι ἐπιτηδειόταται αἱ πηλοπατίδες καλεόμεναι. ⁵ τοῦτο γὰρ ὑποδημάτων ἥκιστα κρατέεται ὑπὸ τοῦ ποδὸς, ἀλλὰ κρατέει μᾶλλον. ἐπιτήδειος δὲ καὶ ὁ κρητικὸς τρόπος τῶν ὑποδημάτων.

LXXIV. ¹ Ὁκόσοισι δ' ἂν κνήμης ὀστέα ἐξαρθρήσαντα, καὶ ἕλκος ποιήσαντα, τελείως ἐξίσχῃ τὰ παρὰ τὸν πόδα ἄρθρα, εἴτε εἴσω ῥέψαντα, εἴτε μέντοι καὶ ἔξω, τὰ τοιαῦτα μὴ ἐμβάλλειν, ἀλλ' ἐᾷν τὸν βουλόμενον τῶν ἰητρῶν ἐμβαλεῖν. ² σαφέως γὰρ εἰδέναι χρὴ, ὅτι ἀποθανεῖται, ἐὰν ἐμβληθέντα ἐμμένῃ, καὶ ἡ ζωὴ δὲ ὀλιγήμερος τούτοις γενήσεται. ³ ὀλίγοι γὰρ αὐτῶν τὰς ἑπτὰ ἡμέρας ὑπερβάλλοιεν. ⁴ σπασμὸς γὰρ ὁ κτείνων ἐστίν. ἀτὰρ καὶ γαγγραινοῦσθαι ἐκγίνεται κνήμην καὶ τὸν πόδα. ταῦτα βεβαίως εἰδέναι χρὴ οὕτως ἐσόμενα. ⁵ καὶ οὐκ ἄν μοι δοκέῃ οὔτ' ἐλλέβορος ὠφελήσειν αὐθήμερόν τε δοθεὶς, καὶ αὖθις πινόμενος. ⁶ ἄγχιστα δὲ, εἴπερ τι τοιοῦτον· οὐ μέντοι οὐδὲ τοῦτο δοκέω. ⁷ ἢν δὲ μὴ ἐμβληθῇ, μηδ' ἀπ' ἀρχῆς, μηδ' ἐπιπειρηθῇ ἐμβάλλειν, προ-

deligationem adalligatum, qualem modulum crepidæ Chiæ habebunt. ² Verum nihil ipso opus est, si quis & manibus recte direxerit, & linteis recte deligaverit, & appensiones ac reparationes per assuta lintea recte fecerit. atque hæc quidem est curatio, & neque sectione, neque ustione, neque alia varietate quicquam opus habet. ³ Citius enim talia medicinæ obtemperant, quam quis putarit. ⁴ Devincere tamen tempore oportet, donec in justis figuris corpus auctum fuerit. Ubi vero calcei ratio habenda est. Arbylæ lutigradæ, calceamenti ita appellati species, accommodatissimæ existunt. ⁵ Hoc enim calceamentum minime à pede superatur, sed potius ipsum superat. Idoneus est etiam Creticus calceamentorum modus.

LXXIV. At vero quibus tibiæ ossibus luxatis, ac ulcere inducto, articuli circa pedem penitus eminent, sive intro vergant, sive extra, tales reponere non oportet, sed permittere ut quicunque velit medicus reponat. ² Illud enim clare scire oportet quod homo morietur, si repositi permanserint. Sed & vita paucorum dierum his continget. ³ Pauci enim ex ipsis septimum diem transgrediuntur. ⁴ Convulsio enim est quæ ipsos occidit. Sed & cancerari contingit tibiam ac pedem. Hæc ita futura esse certo scire oportet. ⁵ Et neque veratrum videtur profuturum esse, & eadem die datum, & rursus epotum, ⁶ proxime autem si quicquam hujusmodi facit, non tamen mihi hoc videtur. ⁷ Si vero repositi non fuerint, & ne tentati quidem ab initio,

περιγίνονται οἱ πλεῖστοι αὐτῶν. [8] χρὴ δὲ ἡρμόσθαι μὲν τὴν κνήμην καὶ τὸν πόδα οὕτως, ὡς αὐτὸς ἐθέλει. [9] μοῦνον δὲ, μὴ ἀποκρεμάμενα, μηδὲ κεκινημένα ἔστω. καὶ ἰητρεύειν δὲ πισσηρῇ καὶ σπλήνεσιν οἰνηροῖσιν, ὀλίγοισι, μὴ ἄγαν ψυχροῖσι. [10] ψῦχος γὰρ ἐν τοῖσι τοιούτοισι σπασμὸν ἐπικαλέεται.

LXXV. Ἐπιτήδεια δὲ καὶ φύλλα τεύτλων, ἢ βηχίου, ἢ ἄλλου τινὸς τῶν τοιούτων, ἐν οἴνῳ μέλανι αὐστηρῷ ἡμίεφθα ἐπιτιθέντα, ἰητρεύειν ἐπί τε τὸ ἕλκος, ἐπί τε τὰ περιέχοντα. [2] κηρωτῇ δὲ χλιαρῇ ἐπιχρίειν αὐτὸ τὸ ἕλκος. [3] ἢν δὲ ἡ ὥρη χειμερινὴ ἔῃ, καὶ ἔρια ῥυπαρὰ ἐν οἴνῳ καὶ ἐλαίῳ καταῤῥαίνοντα χλιαροῖσι ἄνωθεν ἐπιτέγγειν. [4] καταδεῖν δὲ μηδὲν μηδενὶ, μὴ δὲ περιπλάσσειν. δεῖ γὰρ εἰδέναι χρὴ, ὅτι πίεξις καὶ ἀχθοφορίη πᾶν κακὸν τοῖσι τοιούτοισίν ἐστιν. ἐπιτήδεια δὲ πρὸς τὰ τοιαῦτα καὶ τῶν ἐναίμων μετεξέτερα, ὅσοισιν αὐτῶν ξυμφέρει. [5] ἔρια δὲ ἐπιτιθέντα οἴνῳ ἐπιτέγγοντα πολλὸν χρόνον ἐᾷν. τὰ δὲ ὀλιγημερώτατα τῶν ἐναίμων, καὶ ὅσα ῥητίνη προσκαταλαμβάνεται, οὐχ ὁμοίως ἐπιτήδεια ἐκείνοισίν ἐστι. [6] χρονίη γὰρ ἡ κάθαρσις τῶν ἑλκέων γίνεται τούτων. [7] πολλὸν γὰρ χρόνον πλαδαρὴ γίνεται, ἐνίας δὲ τούτων ἀγαθὸν ἐπιδεῖν. εἰδέναι μὲν δὴ πάνυ σάφα χρὴ, ὅτι ἀνάγκη τὸν ἄνθρωπον χωλὸν αἰσχρῶς γίνεσθαι. καὶ γὰρ ὁ ποὺς ἐπὶ τὸ ἄνω ἀνέσπασται τῶν τοιούτων. [8] καὶ τὰ ὀστέα τὰ διολισθήσαντα,

initio, plerique ipsorum superstites evadunt. [8] Sic autem & tibiam & pedem coaptari oportet, prout ipse volet, [9] modo non sint dependentia, aut commota. Curatio vero facienda est cerato picato, & spleniis vino imbutis paucis non valde frigidis. [10] Frigiditas enim in talibus convulsionem accersit.

LXXV. Idonea etiam sunt folia betarum, aut tussilaginis, bechii appellatæ, aut alicujus alterius hujusmodi, in vino nigro austero semicocta ac imposita. Et facienda est curatio super ulcus & super partes adjacentes. [2] Et cerato tepido ipsum ulcus illinendum. [3] Si vero hyemis tempus fuerit, etiam lanæ succidæ vino ac oleo tepidis imbutæ superne ipsum madefaciant. [4] Deligatio vero nulla, neque ullum cataplasma adhibendum est. Probe enim nosse convenit, quod compressio ac omnis oneris gestatio, talibus omne malum affert. Accommodata autem sunt ad talia, & ex emplastris aliqua quæ cruentis vulneribus destinata sunt, quibus videlicet ex ipsis confert, [5] ut lanæ superimpositæ vino madefiant, & multo tempore sinantur. Quæ vero ex illis cruentis emplastris, paucissimis diebus incumbere debent, & quæ resina comprehenduntur forinsecus adjecta, non similiter ut illa idonea sunt: [6] diuturna enim fit horum ulcerum purgatio, [7] quum multo tempore madore abundent. Quosdam tamen ex his deligare, bonum est. Verum illud clare nosse oportet, quod necesse est hominem turpiter claudum fieri. Nam pes in talibus in supernam partem retractus est: [8] & ossa luxata, extra

λισθήσαντα, ἔξω ἐξέχοντα φαίνεται. οὔτε γὰρ ψιλοῦται τῶν τοιούτων ὀστέων οὐδὲν, ὡς ἐπὶ τὸ πολὺ, εἰ μὴ κατὰ βραχύ τι, οὔτε ἀφίσταται, ἀλλὰ περιαλεί-λουται λεπτῇσιν ὠτειλῇσι καὶ ἀσθενέσι, καὶ ταῦτα, ἢν ἀτρεμίζωσι πουλὺν χρόνον. [9] ἢν δὲ μὴ, ἑλκύδριον ἐγκαταλειφθῆναι κίνδυνος ἀναλθές. [10] ὅμως δὲ, περὶ οὗ ὁ λόγος, οὕτω μὲν οἱ ἰητρευόμενοι σώζονται· ἐμβληθέντος δὲ τοῦ ἄρθρου καὶ ἐμμείναντος, ἀποθνήσκουσιν.

LXXVI. Ὁ αὐτὸς δὲ λόγος οὗτος, ἢν καὶ τὰ τοῦ πήχεος ὀστέα τὰ παρὰ τὸν καρπὸν τῆς χειρὸς ἕλκος ποιησάμενα ἐξίσχῃ, ἤν τε ἐς τὸ εἴσω μέρος τῆς χειρὸς, ἤν τε ἐς τὸ ἔξω. [2] σάφα γὰρ ἐπίστασθαι χρὴ, ὅτι ἀποθανεῖται ἐν ὀλίγῃσιν ἡμέρῃσι τοιούτῳ θανάτῳ, οἵῳ περ καὶ πρόσθεν εἴρηται, ὅτῳ ἂν ἐμβληθέντα τὰ ὀστέα ἐμμείνῃ. οἷσι δ' ἂν μὴ ἐμβληθῇ, μηδὲ πειρηθῇ ἐμβάλλεσθαι, οὗτοι πολὺ πλείονες περιγίνονται. [3] ἰητρείη δὲ τοιαύτη τοῖσι τοιούτοισιν ἐπιτηδείη, οἵηπερ εἴρηται. τὸ δὲ σχῆμα αἰσχρὸν τῆς χωλώσιος ἀνάγκη εἶναι, καὶ τοὺς δακτύλους τῆς χειρὸς ἀσθενέας καὶ ἀχρηΐους. [4] ἢν μὲν γὰρ ἐς τὸ ἔσω μέρος ὀλισθῇ τὰ ὀστέα, ξυγκάμπτειν οὐ δύνανται τοὺς δακτύλους. ἢν δὲ ἐς τὸ ἔξω μέρος, ἐκτανύειν οὐ δύνανται. [5] ὅσοισι δ' ἂν κνήμης ὀστέον ἕλκος ποιησάμενον παρὰ τὸ γόνυ ἔξω ἐξίσχῃ, ἤν τε ἐς τὸ ἔξω μέρος, ἤν τε ἐς τὸ εἴσω, τούτοισιν, ἢν μέν τις ἐμβάλλῃ, ἔτι ἑτοιμότερος ὁ θάνατός ἐστιν, ἤπερ τοῖσιν ἑτέροισι, καίπερ κἀκείνοισιν ἑτοίμου ἐόντος. [6] ἢν δὲ μὴ ἐμβαλὼν ἰητρεύῃς, ἐλπίδες μὲν σωτηρίης οὕτω μούνως εἰσίν. [7] κινδυνωδέστερα δὲ ταῦτα τῶν ὀστέων γίνεται, ὅσῳ ἂν ἀνωτέρω, καὶ ὅσῳ ἂν ἰσχυρότερα ᾖ, καὶ ἀπὸ ἰσχυροτέρων ὀλισθήκῃ.

tra' eminentia apparent. Neque enim ullum ex talibus ossibus plerunque denudatur, nisi leviter aliquantum: neque abscedit, sed tenuibus ac debilibus cicatricibus circumducitur: atque hoc si multo tempore quieverint: [9] Sin minus, periculum est ne ulcusculum immedicabile relinquatur. [10] Verum de quo sermo est, qui sic curantur, servantur. Si vero repositus fuerit articulus ac permanserit, moriuntur.

LXXVI. Eadem ratio est, si etiam ' cubiti ossa circa manus articulum ulcere facto emineant, sive ad internam manus partem, sive ad externam. [2] Clare enim nosse id oportet, quod is morietur intra paucos dies tali morte, qualis antea dicta est, cui reposita ossa permanserint. Quibus vero reposita non fuerint, neque repositio tentata est, hi multo plures superstites manent. [3] Curatio autem ejusmodi etiam talibus commoda est, qualis jam dicta est. ' Figuram vero claudicationis turpem esse necesse est, & digitos manus debiles ac inutiles. [4] Si enim ad internam partem ossa luxata fuerint, digitos inflectere non potest: Si vero ad externam, extendere nequit. [5] Quibus vero tibiæ os facto ulcere, circa genu eminuerit foras, sive ad externam partem sive ad internam, his si quis reponat, adhuc promptior mors adest quam aliis, etiamsi etiam illis prompta aderat. ' [6] Si vero omissa repositione medearis, spes quidem salutis hoc solo modo existit. [7] Verum periculosiora hæc ossa sunt, quanto superiora ac robustiora sunt, & à fortioribus elapsa.

LXXVII. Ἢν δὲ τὸ ὀστέον τὸ τοῦ μηροῦ τὸ πρὸς τοῦ γούνατος ἕλκος ποιησάμενον ἐξολισθῇ, ἐμβληθὲν μὲν καὶ ἐμμεῖναν ἔτι βιαιότερον θᾶσσον τὸν θάνατον ποιήσει τῶν πρόσθεν εἰρημένων. ² Μὴ ἐμβληθὲν δὲ, πολὺ ἀκινδυνωδέστερον, ἢ τὰ πρόσθεν· ὅμως δὲ μούνη ἐλπὶς αὕτη σωτηρίης. Ὁ αὐτὸς δὲ λόγος καὶ περὶ τῶν κατὰ τὸν ἀγκῶνα ἄρθρων, καὶ περὶ τῶν τοῦ πήχεος καὶ τοῦ βραχίονος. ³ Ἅπαντα γὰρ ταῦτα ἐξαρθρήσαντα, ἐξίσχει, ἕλκος ποιησάμενα πάντα, ἢν ἐμβληθῇ, θάνατον φέρει. Μὴ ἐμβληθέντα δὲ, ἐλπίδας σωτηρίης. ⁴ Χώλωσις δὲ τοῖσι περιγενομένοισι. ⁵ Θανατωδέστερα δὲ τοῖσιν ἐμβαλλομένοισίν ἐστι τὰ ἀνωτέρω τῶν ἄρθρων. Ἀτὰρ καὶ τοῖσιν ἐμβαλλομένοισι κινδυνωδέστερα αὐτὰ ταῦτα. Εἰ δέ τινι τὰ ἀνωτέρω ἄρθρα ἐξαρθρήσαντα ἕλκος ποιήσαντα ἐξίσχοι, ταῦτα δέ τι καὶ ἐμβαλλόμενα ταχυθανατώτατα ἂν εἴη, καὶ μὴ ἐμβαλλόμενα κινδυνωδέστερα. ⁶ Ἰητρείη δὲ ἤδη εἴρηται οἵη τις ἐμοὶ δοκέει ἐπιτηδειοτάτη εἶναι.

LXXVIII. Ὁκόσοισι δὲ ἄρθρα δακτύλων, ἢ ποδὸς, ἢ χειρὸς ἐξαρθρήσαντα ἕλκος ποιήσαντα ἐξίσχει, μὴ κατεηγότος τοῦ ὀστέου, ἀλλὰ κατ' αὐτὴν τὴν ξύμφυσιν ἀποσπασθέντος, τούτοισιν εἰ ἐμβληθέντα ἐμμένοι, ἔνι μέν τοι κίνδυνος σπασμοῦ, ἢν μὴ χρηστῶς ἰητρεύωνται. ² Ὅμως δέ τι ἄξιον ἐμβάλλειν, προειπόντα, ὅτι φυλακῆς πολλῆς καὶ μελέτης δεῖται. ³ Ἐμβάλλειν μέν τοι ῥήϊστον, καὶ δυνατώτατον, καὶ τεχνικώτατόν ἐστι τῷ μοχλίσκῳ, ὥσπερ καὶ πρόσθεν εἴρηται ἐν τοῖσι καταγνυμένοισι καὶ ἐξίσχουσιν ὀστέοισιν. ⁴ Ἔπειτα ἀτρεμίζειν ὡς μάλιστα χρὴ, καὶ κατακεῖσθαι, καὶ ὀλιγοσιτέειν. ⁵ Ἄμεινον δὲ καὶ φαρμα-κεῦσαι

LXXVII. At si os femoris quod ad genu est, ulcere facto elapsum fuerit & repositum permanserit, mortem adhuc violentiorem citius induxerit quam prius relata. ² Si vero repositum non fuerit, longe magis periculosum est quam priora. Sola tamen hæc salutis spes est. Eadem vero ratio est, & de articulis circa gibbum cubiti, & de cubito ac brachio. ³ Quæcunque enim ex his luxata, ulcere facto eminuerint, ea omnia si reposita fuerint mortem inducunt: non reposita, spem salutis: ⁴ claudicationem vero superstitibus. ⁵ Lethaliores autem sunt superiores articuli, si reponantur. Sed & si non reponantur, periculosiores iidem sunt. Si vero alicui superiores articuli luxati, facto ulcere emineant, hi & si reponantur celerrimam mortem inducunt: & si non reponantur, periculosiores sunt. ⁶ Curatio vero jam relata est, quæ mihi accommodatissima esse videtur.

LXXVIII. At vero quibus articuli digitorum aut pedis, aut manus luxati, facto ulcere eminuerint, osse non fracto, sed circa ipsam connexionem avulso, his si repositi permanserint, adest quidem periculum convulsionis, si non bene curati fuerint: ² attamen operæprecium est ut repositio fiat, cum prædictione quod multa custodia ac cura opus habet. ³ Reponere vero facilimum est, efficacissimumque ac artificiosissimum per vecticulum, velut etiam antea dictum est in fractis ac eminentibus ossibus. ⁴ Postea quiescere quam maxime convenit, & decumbere, ac pauco cibo uti. ⁵ Melius est & pharmaco sursum purgante levi

κηρωτῇ ἄλλῳ κούφῳ τινὶ φαρμάκῳ. τὸ δὲ ἕλκος ἰητρεύειν, ἢ ἐναίμοισι τοῖσιν ἐπιτέγκτοισιν, ἢ πολυοφθαλμίοισιν, ἢ οἷσιν ἐν κεφαλῇ ὀστέα κατεηγότα ἰητρεύεται. [6] καταψύχειν δὲ κάρτα μηδὲν προσφέρειν. ἥκιστα μὲν οὖν τὰ πρῶτα ἄρθρα κινδυνώδεά ἐστι. [7] τὰ δὲ ἔτι ἄνω κινδυνωδέστερα. ἐμβάλλειν δὲ χρὴ αὐθημερὸν ἢ τῇ ὑστεραίῃ. [8] τριταίῳ δὲ, ἢ τεταρταίῳ ἥκιστα. τεταρταῖα γὰρ ἐόντα ἐπισημαίνει τοῖσι παλιγκοτήσασι μάλιστα. [9] οἷσιν ἂν οὖν μὴ αὐτίκα γένηται ἐμβάλλειν, ὑπερβαίνειν χρὴ ταύτας τὰς εἰρημένας ἡμέρας. ὅ, τι γὰρ ἂν ἔσω δέκα ἡμερέων ἐμβάλλῃ, πᾶν κατάληπτον. [10] ἢν δὲ ἄρα ἐμβεβλημένῳ σπασμὸς ἐπιγένηται, ἐμβάλλειν τὸ ἄρθρον δεῖ ταχὺ, καὶ θερμαίνειν ὡς πλειστάκις, καὶ τὸ ὅλον σῶμα θερμῶς καὶ λιπαρῶς καὶ μαλθακῶς ἔχειν, καὶ μάλιστα κατὰ τὰ ἄρθρα. [11] κεκάμφθαι δὲ μᾶλλον ἢ ἐκτετάσθαι πᾶν τὸ σῶμα χρή. προσδέχεσθαι μέντοι κατὰ τοὺς δακτύλους τὰ ἄρθρα τὰ ἐμβαλλόμενα ἀποστατικὰ ἔσεσθαι. τὰ γὰρ πλεῖστα οὕτω γίνεται, ἢν καὶ ὁπηοῦν φλεγμονῆς ἐπιγένηται. [12] ὥστε, εἰ μὴ δι' ἀμαθίην τῶν δημοτέων ἐν αἰτίῃ ἔμελλεν ὁ ἰητρὸς ἔσεσθαι, οὐδὲν ἂν πάντως οὐδ' ἐμβάλλειν ἔδει. τὰ μὲν οὖν κατὰ τὰ ἄρθρα ὀστέα ἐξίσχοντα ἐμβαλλόμενα οὕτω κινδυνώδεά ἐστιν, ὡς εἴρηται.

LXXIX. Ὅσα δὲ κατὰ τὰ ἄρθρα τὰ κατὰ τοὺς δακτύλους ἀποκόπτεται τελείως, ταῦτα ἀσινέα τὰ πλεῖστά ἐστιν, ἢν μή τις ἐν αὐτῇ τῇ τρώσει λειποθυμήσας βλαβείη. [2] καὶ ἰητρείη φαύλη ἀρκέσει τῶν τοιούτων ἑλκέων. ἀτὰρ καὶ ὅσα μὴ κατὰ τὰ ἄρθρα, ἀλλὰ καὶ ἄλ-λην

levi aliquo uti. Ulcus vero curare oportet, aut cruentis emplastris quæ madefiunt, aut polyophthalmi sive buphthalmi foliis impositis, aut quibus ossa in capite fracta curantur: [6] Nihil autem valde frigidum adhibere. Minime igitur primi articuli periculosi sunt: [7] superiores autem periculosiores. Reponere vero oportet eadem die aut postridie: [8] Tertio ac quarto minime. Quarto enim die maxime recrudescere solent. [9] Quibus autem non statim repositi fuerint, in his dictos dies transgredi oportet. Quicquid enim intra decem dies repositum fuerit, omne id continetur. [10] Si vero reposito osse convulsio accedat, articulum statim ejicere oportet, & calida quam sæpissime humectare, & totum corpus, & præsertim circa articulos, calide & leniter ac molliter tractare. [11] Verum inclinatum magis quam extentum totum corpus esse oportet. Expectandum tamen est articulos circa digitos qui reponuntur abscessuros esse. Plerumque enim ita contingit, si vel quævis inflammatio subsit. [12] Quare si non propter vulgi imperitiam, medico verenda esset accusatio, nullum penitus reponere oportebat. Atque ad hunc modum periculosa sunt ossa, circa articulos eminentia foras, si reponantur, quemadmodum dictum est.

LXXIX. Quæcunque vero circa articulos digitorum penitus resecantur, ea plerunque innoxia sunt, si non quis in ipsa vulneratione ex animi deliquio lædatur. [2] Et curatio vulgaris talibus ulceribus sufficit. Sed & quæ non circa articulos, sed juxta

λὴν τινὰ ἰξὺν τῶν ὀστέων ἀποκόπτεται, καὶ ταῦτα ἀσινέα ἐστί, ³ καὶ ἔτι εὐαλθέστερα τῶν ἑτέρων. καὶ ὅσα κατὰ τοὺς δακτύλους ὀστέα κατεαγότα ἐξίσχει μὴ κατὰ τὸ ἄρθρον, καὶ ταῦτα ἀσινέα ἐστὶν ἐμβαλλόμενα. ⁴ ἀποκόψιες δὲ 5 τέλεαι ὀστέων καὶ κατὰ τὰ ἄρθρα καὶ ἐν ποδὶ, καὶ ἐν χειρὶ, καὶ ἐν κνήμῃ, τοῖσι παρὰ τὰ σφυρά. ⁵ καὶ ἐν πήχεϊ, τοῖσι κατὰ τοὺς καρποὺς, τοῖσι πλείστοισιν ἀποκοπτομένοισιν ἀσινέα γίνεται· ὅσα ἂν μὴ αὐτίκα λειποθυμίη ἀνατρέψῃ, ἢ τεταρταίοισιν ἐοῦσι πυρετὸς ξυνεχὴς ἐπιγένηται.

LXXX. Ἀποσφακελίσιες μέντοι σαρκῶν, καὶ ἐν τρώμασιν αἱμοῤῥόοισι γενομένοισιν ἢ ἀποσφίγξεσιν ἰσχυρῇσι, καὶ ἐν ὀστέων κατήγμασι πιεχθεῖσι μᾶλλον τοῦ καιροῦ. ² καὶ ἐν ἄλλοισι δεσμοῖσι 10 βιαίοισι ἀπολειφθέντα ἀποπίπτει τοῖσι πολλοῖσι. ³ καὶ οἱ πολλοὶ περιγίνονται τῶν τοιούτων. καὶ οἷσι μηροῦ μέρος τι ἀποπίπτει, καὶ τῶν σαρκῶν, καὶ τοῦ ὀστέου, καὶ οἷσι βραχίονος. ⁴ ἧσσον δὲ πήχεός τε καὶ κνήμης ἀποπεσούσης, καὶ ἔτι εὐφόρως περιγίνονται. οἷσι μὲν οὖν κατεαγέντων ὀστέων ἀποσφακελίσιες αὐτίκα ἐγένοντο, καὶ μελασμοὶ, τούτοισι μὲν ταχεῖαι περιῤῥήξιες γίνονται τοῦ σώματος, καὶ τὰ ἀποπίπτοντα ταχέως ἀποπίπτει ἤδη τῶν ὀστέων 15 προενδεδωκότων. ⁵ οἷσι δὲ, ὑγιέων ἐόντων τῶν ὀστέων, οἱ μελασμοὶ γίνονται, αἱ μὲν σάρκες ταχέως θνήσκουσι καὶ τούτοισι. τὰ δὲ ὀστέα βραδέως ἀφίσταται, ᾗ ἂν τὰ ὅρια τοῦ μελασμοῦ γένηται, καὶ ἡ ψίλωσις τοῦ ὀστέου. ⁶ χρὴ δὲ, ὅσα ἂν κατωτέρω τοῦ σώματος τῶν ὁρίων τοῦ μελασμοῦ ἔῃ, ταῦτα, ὅταν ἤδη πάμπαν τεθνήκῃ καὶ ἀναλγέα ᾖ, ἀφαιρέειν κατὰ τὸ ἄρθρον, προμηθεόμενον, ὅκως μὴ τιτρώσης.

7 ἢν

ta aliam quandam ossium rectitudinem resecantur, & hæc innoxia sunt, ³ & adhuc aliis curatu faciliora. Et quæ juxta digitos ossa fracta extra eminent, non ad articulum, & hæc si reponantur, innoxia sunt. ⁴ At resectiones ossium perfectæ circa 'articulbs, & in pede, & in manu, 135 & in tibia ad malleolos, ⁵ & in cubito ad juncturam manus, plerisque quibus resecantur innoxiæ sunt, si non statim animi deliquium evertat, aut quarta die febris continua accedat.

LXXX. Corruptiones tamen carnium contingunt, & in vulneribus sanguifluis evadentibus, & vehementibus constrictionibus, & in ossium fracturis magis quam oportet compressis: ² & aliis vinculis 'violentis intercepta 140 plerisque decidunt. ³ Et plerique ex talibus superstites evadunt, & quibus femoris pars aliqua & carnium & ossis decidit, & quibus brachii pars ⁴ (Minus autem si cubiti aut tibiæ pars deciderit) & amplius facile ferentes superstites evadunt. Quibus igitur fractis ossibus corruptiones statim fiunt, & denigrationes, his abruptiones corporis celeres circumcirca fiunt, & decidentia cito decidunt, 'ut quum 145 ossa jam antea remiserint emollita. ⁵ Quibus vero dum ossa sana sunt, denigrationes fiunt, carnes quidem etiam his cito moriuntur, ossa vero tarde abscedunt, qua parte termini sunt denigrationis, & ossis nudatio extat. ⁶ Oportet autem partes corporis quæcunque infra terminos denigrationis sunt, quum jam penitus mortuæ fuerint, & doloris exortes, juxta articulum auferre, providendo 'ut ne vulneres. 150

7 Si

[7] ἢν γὰρ ὀδυνηθῇ ἀποταμνόμενος, καὶ μήπω κυρήσῃ τὸ σῶμα τεθνεὸς ταύτῃ, ᾗ ἀποτέμνεται, κάρτα κίνδυνος ὑπὸ τῆς ὀδύνης λειποθυμῆσαι. αἱ δὲ τοιαῦται λειποθυμίαι πολλοὺς παραχρῆμα ἤδη ἀπώλεσαν.

LXXXI. Μηροῦ μὲν οὖν ὀστέον ψιλωθὲν ἐκ τοιούτου τρόπου ὀγδοηκοσταῖον εἶδον ἀποστάν. [2] ἡ μέντοι κνήμη τούτῳ τῷ ἀνθρώπῳ κατὰ τὸ γόνυ ἀφῃρέθη εἰκοσταίη. [3] ἐδόκεε δέ μοι καὶ ἐγγυτέρω. οὐ γὰρ ἅμα, ἀλλ' ἐπὶ τὸ προμηθέστερον ἔδοξέ μοί τι ποιέειν. [4] κνήμης τε ὀστέα ἐκ τοιούτου μελασμοῦ, μάλα κατὰ μέσην τὴν κνήμην ἐόντα, ἑξηκοσταῖά μοι ἀπέπεσεν, ὅσα ἐψιλώθη αὐτέων. διενέγκοι μὲν γὰρ ἄν τι καὶ ἰητρείη ἰητρείης ἐς τὸ θᾶσσόν τε καὶ βραδύτερον τὰ ὀστέα ψιλούμενα ἀποπίπτειν. [5] διενέγκοι δ' ἄν τι καὶ πίεξις πιέξιος, καὶ ἐπὶ τὸ ἰσχυρότερόν τε καὶ ἀσθενέστερον, καὶ ἐς τὸ θᾶσσόν τε καὶ βραδύτερον ἀπομελανθέντα ἀποθανεῖν τὰ νεῦρα, καὶ τὰς σάρκας, καὶ τὰς ἀρτηρίας, καὶ τὰς φλέβας. ἐπεὶ, ὅσα μὴ ἰσχυρῶς ἀποληφθέντα θνήσκει, ἔνια τούτων οὐκ ἀφικνέεται ἐς ὀστέων ψιλώματα, ἀλλ' ἐπιπολαιότερα ἐκπίπτει. ἔνια δὲ, οὐδὲ ἐς νεύρων ψιλώματα ἀφικνέεται, ἀλλὰ ἐπιπολαιότερα ἐκπίπτει. [6] διὰ οὖν ταύτας τὰς προφάσιας οὐκ ἔστιν ἓν οὔνομα ἀριθμοῦ τῷ χρόνῳ θέσθαι, ἐν ὁκόσῳ ἕκαστα κρίνεται. [7] προσδέχεσθαι δὲ μάλα χρὴ τοιαῦτα ἰήματα. ἐπιδέειν γὰρ φοβερώτερά ἐστιν ἢ ἰητρεύειν. καὶ ἰητρείη πρηεῖη ἀρκέει πᾶσι τοιούτοισιν. αὐτὰ γὰρ ἑωυτὰ κρίνει μόνον. [8] τῆς τε διαίτης ἐπιμελέεσθαι χρὴ, ὡς κατὰ δύναμιν ἀπύρετος ἔῃ. καὶ ἐν σχήμασιν δικαίοισιν εὐθετίζειν τὸ σῶμα.

[7] Si enim is cui resectio fit, dolore affectus fuerit, & corpus nondum mortuum fuerit ea parte qua resecatur, magnum periculum est ne præ dolore animi deliquium incidat. Talia vero animi deliquia multos jam evestigio peremerunt.

LXXXI. Femoris itaque os tali modo denudatum octogesimo die abscedere vidi. [2] Tibia tamen huic homini circa genu vigesima die ablata fuerat, aut ut mihi videbatur etiam citius. [3] Non enim simul, sed ad majorem providentiam facere quid mihi visum fuit. [4] At tibiæ ossa ex ejusmodi denigratione circa mediam tibiam, sexagesimo die mihi deciderunt, quæcunque ex ipsis fuerunt denudata. Differt equidem & curatio à curatione, ad hoc ut ossa denudata citius aut tardius decidant. [5] Differt etiam compressio à compressione, prout vehementior aut debilior fit, ad hoc ut citius aut tardius nervi denigrati emoriantur, carnes item & arteriæ ac venæ. Nam quæcunque non vehementer intercepta moriuntur, ex talibus quædam ad ossium denudationes non perveniunt, sed magis in superficie decidunt. [6] Propter has igitur causas, non unum numeri nomen tempori poni potest, in quanto singula ex his judicantur. [7] Assumere vero valde oportet tales curationes. Sunt enim magis horrendi aspectus curationis, & curatio lenis omnibus talibus sufficit. Ipsa enim seipsa solum judicant. [8] Et circa victum diligentiam adhibere oportet, ut pro viribus febris exors sit: & in justis figuris corpus collocare. Justæ autem hæ sunt, ut neque sublimius eleva-

35 σῶμα. δίκαιον δὲ καὶ ταῦτα, μηδὲ μετεωροποιέειν, μηδὲ ἐς τὸ κάτω ῥέπειν, ἀλλὰ μᾶλλον ἐς τὸ ἄνω ποτὶ, καὶ ἔστ' ἂν τελείως περιῤῥαγῇ. 9 αἱμοῤῥαγιέων γὰρ ἐν τούτῳ τῷ χρόνῳ κίνδυνος. διὰ τοῦτο γοῦν οὐ χρὴ κατάῤῥοπα ποιέειν τὰ τρώματα, ἀλλὰ τοὐναντίον. ἐπεὶ, ὅταν γε ὁ χρόνος ἐγγένηται πλείων, καὶ καθαρὰ τὰ ἕλκεα γένηται, οὐκ ἔτι ταῦτα τὰ σχήματα ἐπιτήδειά ἐστιν, ἀλλ' ἡ εὐθεῖα θέσις. 10 καὶ ἐνίοτε ἐπὶ τὸ κατάῤῥοπον ῥέποντα. ἀνὰ χρόνον γὰρ ἐνίοισι τούτων ἀποστά-
40 σιες ὀστέων γίνονται, καὶ ὑποδεσμίδων δέονται. 11 προσδέχεσθαι δὲ χρὴ τοὺς τοιούτους ἀνὰ χρόνον ὑπὸ δυσεντερίης πιέζεσθαι. καὶ γὰρ ἐπὶ τοῖς μελαινομένοισι τοῖσι πλείστοισιν ἐπιγίνεται δυσεντερίη καὶ ἐπὶ τῇσιν αἱμοῤῥαγίῃσιν ἐξ ἑλκέων. 12 ἐπιγίνεται δὲ ὡς ἐπὶ τὸ πολὺ, κεκριμένων ἤδη καὶ τῶν μελασμῶν καὶ τῆς αἱμοῤῥαγίης. 13 καὶ ὁρμᾶται μὲν λάβρως καὶ ἰσχυρῶς, ἀτὰρ οὔτε πολυήμερος γίνεται, οὔτε θανατώδης. οὔτε γὰρ μάλα ἀπόσιτοι γίνονται οἱ τοιοῦτοι, οὔτε ἄλλως ξυμφέρει κενεαγγέειν.

45 LXXXII. 1 Μηροῦ δὲ ὀλίσθημα κατ' ἰσχίον ὧδε χρὴ ἐμβάλλειν, ἢν ἐς τὸ εἴσω μέρος ὀλισθήκῃ. ἀγαθὴ μὲν ἥδε καὶ δικαίη καὶ κατὰ φύσιν ἡ ἐμβολὴ, καὶ δή τι καὶ ἀγωνιστικὸν ἔχουσα, ὅστις γε τοῖσι τοιούτοισιν ἥδεται κομψευόμενος. 2 κρεμάσαι χρὴ τὸν ἄνθρωπον τῶν ποδῶν πρὸς μεσόδμην δεσμῷ δυνατῷ, μαλθακῷ δὲ καὶ πλάτος ἔχοντι. τοὺς δὲ πόδας διέχειν χρὴ ὅσον τέσσαρας δακτύλους ἀπ' ἀλλήλων, ἢ καὶ ἔλασσον. 3 χρὴ δὲ καὶ ἐπάνωθεν τῶν ἐπι-
498 γουνίδων προσπεριβεβλῆσθαι, πλα-

τέι

tum sit, neque deorsum repat: Sed magis præterea sursum vergat, donec perfecte fuerit circumcirca abruptum. 9 Nam in hoc tempore sanguinis eruptio- 170 num periculum imminet. Ob id igitur vulnera deorsum repentia facere non oportet, sed vice versa. Alioqui ubi tempus amplius accesserit, & ulcera pura facta fuerint, non amplius hæ figuræ commodæ sunt, sed positio recta, 10 & aliquando deorsum repentes. Temporis enim progressu quibusdam horum ossis discessiones fiunt, & subligaminibus opus habent. 11 Expectare tamen oportet, ut tales per tem- 171 pus à dysenteria corripiantur. Nam in plerisque denigrescentibus dysenteria accedit, & in sanguinis eruptionibus ex ulceribus. 12 Accedit autem judicatis jam denigrationibus ac sanguinis eruptione, 13 & procedit quidem large ac vehementi impetu, sed non ad multos dies durat, neque lethalis est. Neque enim valde cibum aversantur tales, neque alias vasa vacua facere conducit.

LXXXII. 1 Femoris porro lu- 180 xationem circa coxam hoc modo reponere oportet, si ad internam partem elapsum fuerit. Bona quidem ac justa & secundum naturam hæc repositio est, & sane etiam aliquid ostentationis habens, si quis talium rerum ja- 34 ctatione superbire velit. 2 Ex pedibus hominem ad transversam mediæ domus trabem suspendere oportet, vinculo forti, sed molli ac lato, ita ut pedes quatuor digitorum spatio, aut minus, inter se distantes ha- 181 beat. 3 Sed & supra genua latum ac molle lorum circundatum esse

oportet,

τῷ ἱμάντι καὶ μαλθακῷ ἀναδέοντα ἐς τὴν μεσόδμην. τὸ δὲ σκέλος τὸ σιναρὸν τετάσθαι χρὴ, ὡς δύο δακτύλοισι μᾶλλον τοῦ ἑτέρου. [4] ἀπὸ δὲ τῆς γῆς τὴν κεφαλὴν ἀπεχέτω ὡς δύο πήχεας, ἢ ὀλίγῳ πλέον, ἢ ἔλασσον. τὰς δὲ χεῖρας παρατεταμένας παρὰ τὰς πλευρὰς προσδεδεμένος ἔστω μαλθακῷ τινι. [5] πάντα δὲ ταῦτα ὑπτίῳ κατακειμένῳ κατασκευασθήτω, ὡς ὅτι ἐλάχιστον χρόνον κρέμηται. ὅταν δὲ κρεμασθῇ, ἄνδρα χρὴ εὐπαίδευτον καὶ μὴ ἀσθενέα, ἐνείραντα τὸν πῆχυν μεσηγὺ τῶν μηρῶν, [6] εἶτα θέσθαι τὸν πῆχυν μεσηγὺ τοῦ περινέου καὶ τῆς κεφαλῆς τοῦ μηροῦ ἐξεστηκυίης. [7] ἔπειτα συνάψαντα τὴν ἑτέρην χεῖρα πρὸς τὴν ἐξηρμένην, παραστάντα ὀρθὸν παρὰ τὸ σῶμα τοῦ κρεμαμένου ἐξαπίνης ἐκκρεμασθέντα μετέωρον αἰωρηθῆναι ὡς ἰσορροπώτατον. [8] αὕτη δὲ ἡ ἐμβολὴ παρέχεται πάντα, ὅσα χρὴ, κατὰ φύσιν. αὐτό τε γὰρ τὸ σῶμα κρεμάμενον τῷ ἑωυτοῦ βάρει κατάτασιν ποιέεται· [9] ὅ, τε ἐκκρεμασθεὶς ἅμα μὲν τῇ κατατάσει ἀναγκάζει ὑπεραιωρεῖσθαι τὴν κεφαλὴν τοῦ μηροῦ ὑπὲρ τῆς κοτύλης, [10] ἅμα δὲ τῷ ὀστέῳ τοῦ πήχεος ἀπομοχλεύειν καὶ ἀναγκάζειν ἐς τὴν ἀρχαίην φύσιν ὀλισθαίνειν. χρὴ δὲ παγκάλως μὲν τοῖσι δεσμοῖσιν ἐσκευάσθαι, φροντίζοντα δὲ ὡς ἰσχυρότατον τὸν ἐξαιωρεύμενον εἶναι.

LXXXIII. Ὡς μὲν οὖν καὶ πρόσθεν εἴρηται, μέγα τὸ διαφέρον ἐστὶ τῶν φυσίων τοῖσιν ἀνθρώποισιν ἐς τὸ εὐέμβλητα εἶναι, καὶ δυσέμβλητα. [2] καὶ διότι μέγα διαφέρει, εἴρηται πρόσθεν ἐν τοῖς περὶ ὤμου. [3] ἐνίοισι γὰρ ὁ μηρὸς ἐμπίπτει ἀπ᾽ οὐδεμιῆς παρασκευῆς, ἀλλ᾽ ὀλίγης μὲν κατατάσιος, ὅσον τῇσι χερσὶ κατιθῦναι, βρα-

oportet, quod item ad trabem illam extendat. Crus autem læsum duobus digitis amplius quam alterum extentum esse oportet. [4] A terra vero absit caput ad duorum cubitorum spatium, aut paulo plus, aut minus. Manus autem juxta latera extentæ, aliquo molli sint alligatæ. [5] Omnia vero hæc supino jacenti ipsi præparentur, ut quam brevissimo tempore pendeat. Postquam vero suspensus fuerit, virum peritum, & non debilem immisso inter femora cubito [6] ita agere oportet, ut cubitum inter caput femoris elapsum, & interfœmineum locumque inter anum ac pudendum ponat, [7] & postea altera manu ad illam interpositam conjuncta, rectus astans ad suspensi corpus, derepente se appendens sublimis quam æquabilissime dependeat. [8] Hæc repositio omnia quibus secundum naturam opus est exhibet. Nam & ipsum corpus suspensum sua ipsius gravitate extensionem facit: [9] & is qui appendet, una cum extensione, femoris caput super acetabulum elevari cogit, [10] simulque cum cubiti osse, velut cum vecte molitur ac cogit, ut ad pristinam naturam relabatur. Oportet autem vincula omnino bene constructa esse, & curare ut fortissimus sit is qui se appendit.

LXXXIII. Quemadmodum igitur etiam antea dictum est, magna est differentia naturarum in hominibus, ad hoc ut vel facile, vel difficulter repositio fiat. [2] Et cur magna sit differentia, dictum est antea, ubi de humero egimus. [3] Quibusdam enim femur rursus incidit, nullo adhibito apparatu, sed ex modica extensione, quantum manibus di-

βραχείης δὲ κινήσιος. [4] Πολλοῖσι δὲ συγκάμψασι τὸ σκέλος κατὰ τὸ ἄρθρον ἐνέπεσεν ἤδη ἀμφίσφαλσιν ποιησαμένοισιν. [5] ἀλλὰ γὰρ τὰ πολὺ πλείω οὐκ ἐνακούει τῆς τυχούσης παρασκευῆς. διὰ τοῦτο ἐπίστασθαι μὲν χρὴ τὰ κράτιστα περὶ ἑκάστου ἐν πάσῃ τῇ τέχνῃ, [6] χρῆσθαι δὲ, οἷσιν ἂν δοκέῃ ἑκάστοτε. εἴρηνται μὲν οὖν τρόποι κατατασίων καὶ ἐν τοῖσιν ἔμπροσθεν γεγραμμένοισιν, ὥστε χρῆσθαι τούτων ὅτῳ ἄν τις παρατύχῃ. [7] δεῖ γὰρ ἀντικατατετάσθαι ἰσχυρῶς, ἐπὶ θάτερα μὲν τοῦ σκέλεος, ἐπὶ θάτερα δὲ τοῦ σώματος. [8] ἢν γὰρ εὖ κατατεθῇ, ὑπεραιωρηθήσεται ἡ κεφαλὴ τοῦ μηροῦ ὑπὲρ τῆς ἀρχαίης ἕδρης. καὶ ἢν μὲν ὑπεραιωρηθῇ οὕτως, οὐδὲ κωλύσαι ἔτι ῥηΐδιον ἱζάνεσθαι αὐτὴν ἐς τὴν ἑωυτῆς ἕδρην, ὥστε ἤδη πᾶσα ἀρκέει μόχλευσίς τε καὶ κατόρθωσις. [9] ἀλλὰ γὰρ ἐλλείπουσιν ἐν τῇ κατατάσει. διὰ τοῦτο ὄχλον πλείω παρέχει ἡ ἐμβολή. [10] χρὴ οὖν οὐ μόνον παρὰ τὸν πόδα τὰ δεσμὰ ἐξηρτῆσθαι, ἀλλὰ καὶ ἄνωθεν τοῦ γούνατος, ὅκως μὴ κατὰ τὸ τοῦ γούνατος ἄρθρον ἐν τῇ τανύσει ἡ ἐπίδεσις ἔῃ μᾶλλον, ἢ κατὰ τὸ τοῦ ἰσχίου ἄρθρον. [11] οὕτω μὲν οὖν χρὴ τὴν κατάτασιν τὴν πρὸς τὸ τοῦ ποδὸς μέρος ἐσκευάσθαι. [12] ἀτὰρ καὶ τὴν ἐπὶ θάτερα κατάτασιν, μὴ μόνον ἐκ τῆς περὶ τὸ στῆθος καὶ τὰς μασχάλας περιβολῆς ἀντιτείνεσθαι, ἀλλὰ καὶ ἱμάντι μακρῷ, διπτύχῳ, ἰσχυρῷ, προσηνέϊ, παρὰ τὸν περίναιον βεβλημένῳ, παρατεταμένῳ ἐπὶ μὲν τὰ ὄπισθεν, παρὰ τὴν ῥάχιν, [13] ἐπὶ δὲ τὰ ἔμπροσθεν, παρὰ τὴν κληΐδα προσηρτημένῳ, πρὸς τὴν ἀρχὴν τὴν ἀντικατατείνουσαν οὕτω διαναγκάζεσθαι. [14] τοῖσι μὲν, ἔνθα διατειναμένοισι, τοῖσι δὲ ἔνθα. ὅκως δὲ ὁ ἱμὰς ὁ παρὰ τὸν περί-

rectio fieri potest, & ex levi commotione. [4] Multis autem qui crus juxta articulum inflexerunt, jam facta circumagitatione rursus incidit. [5] At multo plura vulgari cuilibet apparatui non obtemperant. Quapropter scire quidem oportet de singulis optima in omni arte, [6] uti vero his quæ singulis vicibus idonea visa fuerint. Relati igitur sunt extensionum modi etiam in superioribus, ut quis uti possit ex his qui forte affuerint. [7] Oportet enim in contrarias partes fieri extensionem vehementer, in alteram, cruris: in alteram, corporis. [8] Si enim probe extensio facta fuerit, femoris caput supra pristinam sedem elevabitur. Et si quidem ita superelevatum fuerit, ne prohibere quidem facile sit, quo minus ipsum in suam sedem insideat. Quare omnis jam vectis molitio ac directio sufficit. [9] Si enim in extensione deficiunt, & ob id majorem turbationem exhibet. [10] Oportet igitur non solum juxta pedem vincula alligata esse, sed etiam supra genu, quo non magis circa articulum sit deligatio in extensione, quam circa coxæ articulum. [11] Sic igitur extensionem ad pedis partem præparatam facere oportet. [12] Sed & in alteram partem extensionem, non solum ex deligatione circa pectus & alas, in contrarium extendere oportet, sed etiam loro longo, duplicato, robusto, leni, circa interfœmineum inserto, & à posteriore parte ad spinam porrecto, [13] ab anteriore vero ad claviculam tendente, ibique ad alterum initium alligato, ita coactionem facere oportet, [14] ut alii hinc, alii illinc extensionem faciant. ita

νεον μὴ ἐπὶ τῇ κεφαλῇ τοῦ μηροῦ παρατεταμένος ἔστω, ἀλλὰ μεσηγὺ τῆς κεφαλῆς καὶ τοῦ περινέου. 15 ἐν δὲ τῇ κατατάσει, κατὰ μὲν τὴν κεφαλὴν τοῦ μηροῦ ἐρείσας τὴν πυγμήν, ἐς τὸ ἔξω ὠθείτω. 16 ἢν δὲ μετεωρίζηται ἑλκόμενος, διέρσας τὴν χεῖρα, καὶ ἐπισυνάψας τῇ ἑτέρῃ χειρί, ἅμα μὲν συγκατατεινέτω, ἅμα δὲ ἐς τὸ ἔξω συναναγκαζέτω. 17 ἄλλος δέ τις τὸ παρὰ τὸ γόνυ τοῦ μηροῦ ἡσύχως ἐς τὸ εἴσω μέρος κατορθούτω.

LXXXIV. Εἴρηται δὲ καὶ πρόσθεν, ὅτι ἐπάξιον, ὅστις ἐν πόλει πολυανθρώπῳ ἰητρεύει, ξύλον κεκτῆσθαι τετράγωνον ὡς ἑξάπηχυ, ἢ ὀλίγῳ μεῖζον. εὖρος δέ, ὡς δίπηχυ. πάχος δὲ σπιθαμιαῖον ἀρκεῖ. 2 ἔπειτα κατὰ μῆκος μὲν ἔνθεν καὶ ἔνθεν τομὴν ἔχειν χρή, ὡς μὴ ὑψηλοτέρη τοῦ καιροῦ ἡ μηχάνησις εἴη. ἔπειτα φλιὰς βραχείας, ἰσχυράς, ἐνηρμοσμένας, ὄνισκον ἔχειν ἑκατέρωθεν. 3 ἔπειτα ἀρκεῖ μὲν ἐν τῷ ἡμίσει τοῦ ξύλου. οὐδὲν δὲ κωλύει καὶ διὰ παντὸς ἐντετμῆσθαι ὡς καναλίσκους μακροὺς πέντε ἢ ἕξ, διαλείποντας ἀπ' ἀλλήλων τέσσαρας δακτύλους. 4 αὐτοὺς δὲ ἀρκεῖ εὖρος τριδακτύλους εἶναι, καὶ βάθος οὕτως. ἔχειν δὲ κατὰ μέσον τὸ ξύλον καὶ καταγλυφὴν χρὴ βαθυτέρην ἐπὶ τετράγωνον ὡς τριῶν δακτύλων. 5 καὶ ἐς μὲν τὴν καταγλυφὴν ταύτην, ὅταν δοκέῃ προσδεῖν, ξύλον ἐμπηγνύναι ἐναρμόζον τῇ καταγλυφῇ. 6 τὸ δὲ ἄνω στρογγύλον. ἐμπηγνύναι δὲ ἐπὴν ποτε δοκέῃ ξυμφέρειν, μεσηγὺ τοῦ περινέου καὶ τῆς κεφαλῆς τοῦ μηροῦ. 7 τοῦτο τὸ ξύλον ἑστὸς κωλύει

tamen ut lorum circa interfœmineum, non super femoris caput porrectum sit, sed inter caput & interfœmineum. 15 Verum inter extendendum pugno ad femoris caput quis innixus, id ad exteriorem partem propellat. 16 Si vero is qui trahitur elevetur, injecta manu, & cum altera manu conjuncta, simul deorsum trahat, simulque ad externam partem cogat. 17 Alius vero quispiam partem femoris ad genu, placide ad internam partem dirigat.

LXXXIV. Dictum autem est etiam antea, operæprecium esse ut si quis in urbe populosa medicinam exerceat, lignum possideat quadrangulare sex cubitorum, aut paulo minus: latitudine bicubitali: crassitudo autem sufficit dodrantalis. 2 Id secundum longitudinem hinc atque illinc sectionem incisam habere oportet, ut ne altior quam oportet machinatio fiat, deinde postes aselli breves, robustos, utrinque inaptatos habere. 3 Postea sufficit quidem in dimidia ligni parte, nihil tamen vetat etiam per totum, velut fossas longas quinque vel sex, quatuor digitorum spacio inter se distantes, incisas esse: 4 & satis est ut sint hæ & latitudine & profunditate trium digitorum. Habere etiam in medio hoc lignum debet excavationem profundiorem quadrangulam trium digitorum, 5 quo in hanc excavationem, ubi opus esse visum fuerit, lignum cavitati congruum infigatur, 6 quod superne sit rotundum. Infigendum autem hoc est, si quando conducere visum fuerit, inter caput femoris & locum inter anum ac pudendum. 7 Hoc lignum

λύει τὴν ἐπίδοσιν ἐπιδιδόναι τὸ σῶμα τοῖσι πρὸς ποδῶν ἕλκουσιν. ἐνίοτε γὰρ ἀρκέει αὐτὸ τὸ ξύλον τοῦτο ἀντὶ τῆς ἄνωθεν ἀντικατατάσιος. [8] ἐνίοτε δὲ καὶ, κατατεινομένου τοῦ σκέλεος ἔνθεν καὶ ἔνθεν, αὐτὸ τὸ ξύλον τοῦτο χαλαρὸν ἐγκείμενον ἢ τῇ, ἢ τῇ, ἐκμοχλεύειν ἐπιτήδειον ἂν εἴη τὴν κεφαλὴν τοῦ μηροῦ ἐς τὸ ἔξω μέρος. [9] Διὰ τοῦτο γὰρ καὶ αἱ κάπετοι ἐντετμέαται, ὡς καθ' ὁκοίην ἂν αὐτέων ἁρμόσῃ ἐμβαλλόμενος ξύλινος μοχλὸς μοχλεύοι, ἢ παρὰ τὰς κεφαλὰς τῶν ἄρθρων, ἢ κατὰ τὰς κεφαλὰς τελέως ἐρειδόμενος ἅμα τῇ κατατάσει, ἤν τε ἐς τὸ ἔξω μέρος συμφέρῃ ἐκμοχλεύεσθαι, ἤν τε ἐς τὸ εἴσω. [10] καὶ ἤν τε στρογγύλον τὸν μοχλὸν ξυμφέρῃ εἶναι, ἤν τε πλάτος ἔχοντα. ἄλλος γὰρ ἄλλῳ τῶν ἄρθρων ἁρμόζει.

LXXXV. Εὔχρηστος δέ ἐστιν ἐπὶ πάντων τῶν ἄρθρων ἐμβολῆς τῶν κατὰ τὰ σκέλεα αὕτη ἡ μόχλευσις σὺν κατατάσει. [2] περὶ οὗ νῦν ὁ λόγος ἐστὶ, στρογγύλος ἁρμόζει ὁ μοχλὸς εἶναι. ἀπὸ τουτέων τῶν μηχανέων καὶ ἀναγκέων οὐδὲν ἄρθρον μοι δοκέει οἷόν τε εἶναι ἀπορηθῆναι τοῦ ἐμπεσεῖν. [3] εὕροι δ' ἄν τις καὶ ἄλλους τρόπους τούτου τοῦ ἄρθρου ἐμβολῆς. [4] εἰ γὰρ τὸ ξύλον τοῦτο τὸ μέγα ἔχοι κατὰ μέσον καὶ ἐκ πλαγίων φλιὰς δύο ποδιαίας, ὕψος δὲ, ὅκως δοκέοι ξυμφέρειν, τὴν μὲν ἔνθεν, τὴν δὲ ἔνθεν· [5] ἔπειτα ξύλον πλάγιον ἐνείη ἐν τῇσι φλιῇσιν, ὡς κλιμακτήρ· ἔπειτα διείρσαι τὸ ὑγιὲς σκέλος μεσηγὺ τῶν φλιέων. [6] τὸ δὲ σιναρὸν ἄνωθεν τοῦ κλιμακτῆρος ἔχοι ἐναρμόσσον. [7] ἀτὰρ καὶ πρὸς τὸ ὕψος καὶ πρὸς τὸ ἄρθρον ᾗ ἐκπί-

gnum erectum stans prohibet ne concedat corpus, dum à pedibus extenditur. Quandoque enim hoc ipsum lignum sufficit pro extensione in contrarium superne facienda. [8] Aliquando etiam dum hinc atque illinc crus extenditur, hoc ipsum lignum hac vel illac laxum incumbens, commodum ad hoc fuerit, ut instar vectis, caput femoris ad externam partem extrudat. [9] Ob hoc enim etiam fossæ incisæ sunt, quo in quibuscunque ex ipsis congruum id facere fuerit, vectis ligneus immissus molitionem faciat, aut circa articulorum capita, aut ad ipsa penitus capita infixus, una cum extensione, sive ad externam partem, sive ad internam molitionem facere expedierit: [10] sive etiam rotundum vectem esse conducat, sive latum: alius enim alii articulo conducit.

LXXXV. Commoda autem est in omnium articulorum cruris repositione, hæc per vectes molitio una cum concussione. [2] Verum de quo nunc sermo est, teretem ac rotundum vectem esse convenit. Ex his machinis ac coactionibus, non videtur mihi fieri posse ut ullius articuli repositio frustra tentetur. [3] Invenire tamen quis possit etiam alios modos repositionis hujus articuli. [4] Si enim lignum hoc magnum, habeat in medio, & à lateribus duos postes pedales, ejus altitudinis, quæ conferre videtur, alterum hinc, alterum illinc. [5] Deinde lignum transversum, velut scalæ gradus, postibus impositum sit: atque ita sano crure inter postes transmisso; [6] læsum crus supra gradum adaptatum habeat. [7] Verum ad altitudinem, &

ἐκπέπτωκε, ῥηΐδιον χρὴ ἁρμόζειν. Τὴν γὰρ κλιμακτῆρα ὑψηλοτέρην χρὴ ποιέειν τοῦ μετρίου. καὶ ἱμάτιον πολύπτυχον, ὡς ἂν ἁρμόσῃ, ὑποτείνειν ὑπὸ τὸ σῶμα. [8] Ἔπειτα χρὴ ξύλον, ἔχον τὸ πλάτος μέτριον καὶ μῆκος, ἄχρι τοῦ σφυροῦ ὑποτεταμένον ὑπὸ τὸ σκέλος εἶναι, ἐκνεόμενον ἐπέκεινα τῆς κεφαλῆς τοῦ μηροῦ, ὡς οἷόν τε. [9] Προσκαταδεδέσθαι δὲ χρὴ πρὸς τὸ σκέλος ὁκόσαχοῦ ἂν μετρίως ἔχῃ. κἄπειτα κατατεινομένου τοῦ σκέλεος, εἴτε ξύλῳ ὑπεροειδεῖ, εἴτε τρόπῳ τινὶ τῶν κατατασίων, ὁμοῦ χρὴ καταναγκάζεσθαι τὸ σκέλος περὶ τὴν κλιμακτῆρα ἐς τὸ κάτω μέρος ξὺν τῷ ξύλῳ τῷ προσδεδεμένῳ. Τὸν δὲ ἵνα κατέχειν τὸν ἄνθρωπον ἀνωτέρω τοῦ ἄρθρου κατὰ τὸ ἰσχίον. [10] Καὶ γὰρ οὕτως ἅμα μὲν ἡ κατάτασις ὑπεξαείροι ἂν τὴν κεφαλὴν τοῦ μηροῦ ὑπὲρ τῆς κοτύλης· [11] ἅμα δὲ ἡ μόχλευσις ἀπωθέοι τὴν κεφαλὴν τοῦ μηροῦ ἐς τὴν ἀρχαίην φύσιν. [12] Αὗται πᾶσαι αἱ εἰρημέναι ἀνάγκαι ἰσχυραί, καὶ πᾶσαι κρέσσονες τῆς ξυμφορῆς, ἤν τις ὀρθῶς καὶ καλῶς σκευάζῃ. Ὥσπερ δὲ καὶ πρόσθεν εἴρηται, πολὺ καὶ ἀπὸ ἀσθενεστέρων κατατασίων καὶ φαυλοτέρης κατασκευῆς πολλοῖσιν ἐμπίπτει.

LXXXVI. Ἢν δὲ ἐς τὸ ἔξω κεφαλὴ μηροῦ ὀλισθῇ, τὰς μὲν κατατάσιας ἔνθα καὶ ἔνθα χρὴ ποιέεσθαι, ὥσπερ εἴρηται, τοιουτοτρόπως. Τὴν δὲ μόχλευσιν πλάτος ἔχοντι μοχλῷ μοχλεύειν χρή, ἅμα τῇ κατατάσει, ἐκ τοῦ ἔξω μέρεος ἐς τὸ εἴσω ἀναγκάζοντα, [2] καί τι αὐτῶν ἤδη τῶν γλουτῶν τιθέμενον τὸν μοχλόν, καὶ ὀλίγῳ ἀνωτέρω. Ἐπὶ δὲ τὸ ὑγιὲς ἰσχίον κατὰ τὸν γλουτὸν ἀντιστηριζέτω τις τῇσι χερσίν, ὡς μὴ ὑπείκῃ τὸ σῶμα,

& ad articulum qua parte excidit, facile quiddam adaptare oportet. Gradum enim moderato altiorem facere oportet, & stragulum multiplex prout congruum fuerit, sub corpus subextendere: [8] deinde lignum moderatam latitudinem ac longitudinem habens, sub crus ad malleolum usque extentum esse oportet, quod ultra femoris caput, quantum ejus fieri potest porrigatur, [9] & ad crus alligetur quotiescunque opus fuerit, ut moderate habeat. Postea dum extenditur crus, sive ligno pistilloformi, sive aliqua alia ex his extensionibus, crus simul circum gradum una cum alligato ligno, deorsum cogere oportet; ita ut aliquis supra articulum juxta coxam hominem detineat. [10] Hoc enim modo simul & extensio femoris caput super acetabulum attollet, [11] simulque molitio femoris caput in pristinam naturam detrudet. [12] Hæ omnes relatæ necessitates ac coactiones fortes sunt, & omnes calamitate superiores, si quis recte ac bene præparet. Quemadmodum autem etiam antea dictum est, à longe debilioribus extensionibus, & viliore apparatu plerisque rursus incidit.

LXXXVI. At vero si ad externam partem femoris caput luxatum fuerit, extensiones quidem hinc atque illinc facere oportet, eodem modo velut dictum est. Verum molitionem cum vecte lato, una cum extensione facere convenit, ab externa parte ad internam cogendo, [2] ita ut ad ipsas nates, & paulo superius vectem adhibeas. Ad sanam vero coxam juxta nates aliquis manibus renitatur, ut ne cedat corpus: aut

ϋπερον, ἢ ἑτέρῳ τινὶ τοιούτῳ μοχλῷ ὑπερβάλλων, καὶ ἐρείσας ἐκ τῶν καπέτων τῶν ἁρμοζόντων ἀντικαταναγκαζέτω. ³ τοῦ δὲ μηροῦ τοῦ ἐξηρθρηκότος τὸ παρὰ τὸ γόνυ ἔσωθεν ἔξω παραγέτω ἡσύχως. ⁴ ἡ δὲ κρέμασις οὐχ ἁρμόσει τούτῳ τῷ τρόπῳ τῆς ὀλισθήσιος τοῦ ἄρθρου. ὁ γὰρ πῆχυς τοῦ ἐκκρεμαμένου ἀπωθέοι ἂν τὴν κεφαλὴν τοῦ μηροῦ ἀπὸ τῆς κοτύλης. ⁵ τῷ μέντοι ξύλῳ τῷ 25 ὑποκειμένῳ ξύλῳ μοχλεύσιες μηχανήσαιτ' ἄν τις, ὥστε ἁρμόζειν καὶ τούτῳ τῷ τρόπῳ τοῦ ὀλισθήματος, ἔξωθεν προσαναγκάζων. ⁶ ἀλλὰ τί δεῖ πλείω λέγειν; ἢν γὰρ ὀρθῶς μὲν καὶ εὖ κατατείνηται, ὀρθῶς δὲ μοχλεύηται, τί οὐκ ἂν ἐμπίπτοι ἄρθρον οὕτως ἐκπεπτωκός;

LXXXVII. ¹ Ἢν δὲ ἐς τοὔπισθεν 36 μέρος ἐκπεπτώκῃ ὁ μηρὸς, τὰς μὲν κατατάσιας καὶ ἀντιτάσιας οὕτω δεῖ ποιέεσθαι, καθάπερ εἴρηται. ² ἐπιστορέσαντα δὲ ἐπὶ τὸ ξύλον ἱμάτιον πολύπτυχον ὡς μαλακώτατον ἔῃ, πρηνέα 40 κατακλίναντα τὸν ἄνθρωπον, οὕτω κατατείνειν. ³ ἅμα δὲ τῇ κατατάσει, χρὴ τῇ σανίδι καταναγκάζειν τὸν αὐτὸν τρόπον, ὡς τὰ ὑβώματα, κατ' ἴξιν τῶν πυγαίων ποιησάμενον τὴν σανίδα, καὶ μᾶλλον ἐς τὸ κάτω μέρος, ἢ ἐς τὸ ἄνω τῶν ἰσχίων. ⁴ καὶ ἡ ἐντομὴ ἐν τῷ τοίχῳ τῇ σανίδι μὴ εὐθεῖα ἔστω, ἀλλ' ὀλίγον καταφερὴς, πρὸς τὸ τῶν ποδῶν μέρος. ⁵ αὕτη ἡ ἐμβολὴ κατὰ φύσιν μάλιστα τῷ τρόπῳ τούτῳ τοῦ ὀλισθήματός ἐστι, καὶ ἅμα ἰσχυροτάτη. ἀρκέσοιε δ' ἂν ἴσως ἀντὶ τῆς σανί-45 δος καὶ ἐφεζόμενόν τινα ἢ τῇσι χερσὶν ἐρεισάμενον, ἢ ἐπιβάντα ἐξαπίνης ὁμοίως ἐπαιωρηθῆναι ἅμα τῇ κατατάσει. ⁶ ἄλλη δὲ οὐδεμίη ἐμβολὴ τῶν προειρημένων κατὰ φύσιν ἐστὶ τῷ τρόπῳ τούτῳ τοῦ ὀλισθήματος. ⁷ Ἢν δὲ ἐς 37 τὸ

aut alio quopiam ejusmodi vecte submisso, & ex fossa conveniente fulcito contra obnitatur. ³ Partem autem femoris luxati quæ ad genu est, ab interna parte foras placide abducat. ⁴ Cæterum 275 suspensio in hoc modo luxationis articuli convenit. Cubitus enim ejus qui se appendit, caput femoris ab acetabulo propellit. ⁵ Molitionem tamen cum ligno subjecto, ita quis adaptare possit, ut huic luxationis modo conveniat, si forinsecus adhibeat. ⁶ Sed quid opus est plura dicere? Si enim recte extensio fiat, & recte per vectes molitio contingat, qui articulus hoc modo elapsus non 280 reponi possit?

LXXXVII. At si in posteriorem partem femur exciderit, extensiones & in diversum tensiones ita facere oportet, velut dictum est, ² ita tamen ut super lignum multiplex stragulum insternatur, quo mollissimum sit, & homo pronus reclinetur ac sic extendatur. ³ Verum una cum extensione, etiam tabula deorsum cogere oportet eodem modo veluti gibbositates, è directo natium tabula collocata, aut magis ad infernam quam ad supernam 285 coxarum partem: ⁴ & incisura in pariete ad tabulam excipiendam non recta sit, sed paululum declivis ad pedum partem. ⁵ Hæc repositio maxime secundum naturam est huic luxationis modo, & simul fortissima. Suffecerit autem fortassis pro tabula, ut aliquis insideat, aut manibus innitatur, aut inscendat derepente, simulque cum extensione incumbat. ⁶ Nulla vero alia ex relatis repositionibus secundum naturam est huic luxationis 290 modo. ⁷ Si vero in anteriorem partem

τὸ ἔμπροσθεν ὀλισθῇ, τῇ μὲν κατατάσει ὁ αὐτὸς τρόπος ποιητέος, ἄνδρα δὲ χρὴ ὡς ἰσχυρότατον ἀπὸ χειρῶν, καὶ ὡς εὐπαίδευτον τὸ ταύτῃ ἐνερείσαντα τὸ θέναρ τῆς χειρὸς τῆς ἑτέρης παρὰ τὸν βουβῶνα, καὶ τῇ ἑτέρῃ χειρὶ τὴν ἑωυτοῦ
300 χεῖρα προσκαταλαβόντα, ' ἅμα μὲν ἐς τὸ κάτω ὠθέειν τὸ ὀλίσθημα, ἅμα δὲ ἐς τὸ ἔμπροσθεν τοῦ γούνατος μέρος. [8] οὗτος γὰρ ὁ τρόπος τῆς ἐμβολῆς μάλιστα κατὰ φύσιν τούτῳ τῷ ὀλισθήματί ἐστιν. ἀτὰρ καὶ ὁ κρεμασμὸς ἐγγύς τι τοῦ κατὰ φύσιν. δεῖ μέντοι τὸν ἐκκρεμάμενον ἔμπειρον εἶναι, ὡς μὴ ἐκμοχλεύοι τῷ πήχει τὸ ἄρθρον, ἀλλὰ περὶ μέσον τὸν περίναιον καὶ κατὰ τὸ ἱερὸν ὀστέον '' τὴν ἐκ- 1
5 κρέμασιν ' ποιέηται.

LXXXVIII. '' Εὐδοκιμέει δὲ καὶ 38 ὁ πειρηθεὶς ἀσκῷ τοῦτο τὸ ἄρθρον ἐμβαλέσθαι. [2] καὶ ἤδη μὲν τινὰς εἶδον, οἵτινες, ὑπὸ φαυλότητος, καὶ τὰ ἔξω ἐκκεκλιμένα, καὶ τὰ ὄπισθεν ἀσκῷ ἐπειρῶντο ἐμβάλλειν, οὐ γινώσκοντες, ὅτι ἐξέβαλλον αὐτὸ μᾶλλον, ἢ ἐνέβαλλον. [3] ὁ μέντοι πρῶτος ἐπινοήσας, δῆλον, ὅτι πρὸς τὰ εἴσω ὠλισθηκότα, ἀσκῷ ἐμβάλλειν ἐπειρήσατο. '' ἐπίστασθαι μὲν οὖν χρή, ὡς χρηστέον 1 ἀσκῷ, εἰ δέοι χρέεσθαι. [4] διαγινώσκειν δὲ χρή, ὅτι ἕτερα πολλὰ ἀσκοῦ
10 κρέσσω ἐστίν. [5] ' χρὴ δὲ τὸν μὲν ἀσκὸν κατατιθέναι ἐς τοὺς μηροὺς ἀφύσητον ἐόντα, ὡς ἂν δύναιτο ἀνωτάτω πρὸς τὸν περίναιον ἀναγαγόντα. [6] ἀπὸ δὲ τῶν ἐπιγουνίδων ἀρξάμενον, ταινίῃ πρὸς ἀλλήλους τοὺς μηροὺς καταδῆσαι, ἄχρι τοῦ ἡμίσεος τῶν μηρῶν. [7] '' ἔπειτα ἐς ἕνα τῶν πολλῶν τὸν λελυμέ- 2 νον, ἐνθέντα αὐλὸν ἐκ χαλκέως φυσᾶν, καὶ ἐσαναγκάζειν ἐς τὸν ἀσκόν. τὸν δὲ ἄνθρωπον πλάγιον κατακέεσθαι τὸ σιναρὸν σκέλος ἐπιπολῆς ἔχοντα.

partem elapsum fuerit, idem quidem modus extensionum faciendus est. Verum virum & manibus validissimum, & alias peritissimum, vola manus alterius circa inguina firmata, & altera manu insuper injecta, simul luxationem deorsum propellere, simulque femoris partem quæ ad genu est, ad anteriorem partem compellere oportet. [8] Hic enim modus repositionis, huic luxationi ' maxime secundum natu- 295 ram est. [9] Sed & suspensio finitimum quid secundum naturam habet. Oportet tamen eum qui se appendit peritum esse, ut ne cubito articulum excutiat, sed circa medium inter anum ac pudendum locum, & juxta os sacrum se appendat.

LXXXVIII. Laudatur etiam is qui per utrem hunc articulum reponere conatus est. [2] Et jam sane aliquos vidi, qui præ imperitia, etiam extra & retro luxatos, per utrem reponere conabantur, non ' animadvertentes 300 quod magis ipsum ejicerent quam reponerent articulum. [3] Nam qui primus excogitavit, haud dubie ad intro elapsos articulos, per utrem repositionem tentavit. [4] Nosse igitur oportet quod alia multa utre sunt potiora. [5] Oportet autem utrem non inflatum intra femora ponere, quantum fieri potest supreme ad locum inter anum ac pudendum adductum: [6] & facto à patellis genu initio, femora per fasciam usque ad mediam ' femorum 305 partem deligare: [7] deinde in partem utris solutam folle ex officina fabri immisso inflare, & utrem cogere, ut distendatur. Hominem vero in latus decumbere oportet, & læsum crus superne

15 σαι. ἡ μὲν οὖν παρασκευὴ αὕτη ἐστί. 8 σκευάζουσι δὲ χείριον οἱ πλεῖστοι, ἢ ὡς ἐγὼ εἴρηκα. οὐ γὰρ καταδέουσι τοὺς μηροὺς ἐπὶ συχνὸν, ἀλλὰ μοῦνον τὰ γόνατα, καὶ οὐ προσκατατείνουσι. χρὴ δὲ καὶ προσκατατείνειν. 9 ὅμως δὲ ἤδη τινὲς ἐνέβαλον, ῥηϊδίου πρήγματος ἐπιτυχόντες. εὐφόρως δὲ οὐ πάνυ ἔχει διαναγκάζεσθαι οὕτως. 10 ὅ, τε γὰρ ἀσκὸς ἐμφυσώμενος, οὐ τὰ ὀγκηρότατα αὐτοῦ ἔχει πρὸς τῷ ἄρθρῳ τῆς κεφαλῆς, ἣν δεῖ μάλιστα ἐκμοχλεῦσαι· 11 ἀλλὰ κατὰ τὸ ἑωυτὸν, 20 αὐτὸς μέσος καὶ τῶν μηρῶν ἴσως, ἢ κατὰ τὸ μέσον, ἢ ἔτι κατωτέρω. οἵ τε αὖ μηροὶ φύσει γαυσοὶ πεφύκασιν. ἄνωθεν γὰρ σαρκώδεές τε καὶ ξύμμηροι· ἐς δὲ τὸ κάτω ὑπόξηροι. ὥστε καὶ ἡ τῶν μηρῶν φύσις ἐπαναγκάζει τὸν ἀσκὸν ἀπὸ τοῦ ἐπικαιροτάτου χωρίου. 12 εἴ τε οὖν τις σμικρὸν ἐνθήσει τὸν ἀσκὸν, μικρὴ ἡ ἰσχὺς ἐοῦσα ἀδύνατός ἐστιν ἀναγκάζειν τὸ ἄρθρον.

LXXXIX. Εἰ δὲ δεῖ ἀσκῷ χρέεσθαι, ἐπὶ πολὺ οἱ μηροὶ ξυνδετέοι πρὸς ἀλλήλους. 2 καὶ ἅμα τῇ κατατάσει τοῦ σώματος ὁ ἀσκὸς φυσητέος. 25 τὰ δὲ σκέλεα ἀμφότερα ὁμοῦ καταδεῖν ἐν τούτῳ τῷ τρόπῳ τῆς ἐμβολῆς ἐπὶ τὴν τελευτήν. χρὴ δὲ περὶ πλείστου μὲν ποιέεσθαι ἐν πάσῃ τῇ τέχνῃ, ὅκως ὑγιὲς μὲν ποιήσῃς τὸ νοσέον· 3 εἰ δὲ πολλοῖσι τρόποισιν οἷόν τε εἴη ὑγιέας ποιέειν, τὸν ἀοχλότατον χρὴ αἱρέεσθαι. καὶ γὰρ ἀνδραγαθικώτερον τοῦτο καὶ τεχνικώτερον, ὅστις μὴ ἐπιθυμέει δημοειδέος κιβδηλίης. 4 περὶ οὖν οὗ ὁ λόγος ἐστὶν, τοιαίδε τ' αὖ τινες κατοικίδιοι κατατάσιες εἶεν τοῦ 30 σώματος, ὥστε ἐκ τῶν παρεόντων τὸ εὔπορον εὑρίσκειν. 5 τοῦτο μὲν, ἢν τὰ δεσμὰ τὰ ἱμάντινα μὴ παρέῃ τὰ μαλθακὰ καὶ προσηνέα, ἀλλ' ἢ σιδήρεα

perne habere. Atque hic quidem est apparatus: 8 sed plerique pejus præparant quam ego nunc dixi. Non enim deligant femora ad multam partem, sed solum genua, & non insuper extendunt: est autem insuper extensio quoque facienda. 9 Attamen aliqui jam ' reposuerant, facile rem 310 assequuti. Non autem ita facile est coactionem hoc modo perficere. 10 Nam & uter dum inflatur, tumidissimas partes suas ad articuli caput non habet, quod maxime emoliri oportet: 11 sed inferius ipso, medius ipse locatus est circa media femora, aut adhuc inferius: & rursus femora 3 ipsa natura sunt curva. Superne enim carnosa sunt, & inter se sociata: Inferne vero sicca, ut etiam natura femorum ' utrem 315 ab opportunissimo loco repellat. 12 Si vero quis parvum utrem imponat, fieri non potest ut parvum robur articulum cogat.

LXXXIX. Si itaque utre uti velis, femora inter se ad multam partem colliganda sunt: 2 & una cum corporis extensione uter inflandus est. Crura vero ambo deliganda sunt usque ad finem in hoc repositionis modo. At vero in universa arte hoc plurimi facere præ omnibus oportet, ut id quod ' ægrotat sanum facias: 3 Si ve- 320 ro multis modis fieri possit sanatio, ut eum qui minime molestus est eligas. Nam & virum bonum, & artis peritum, hoc declarat, qui populo imponere non studeat. 4 Verum de quo nunc sermo est. Tales quædam sunt familiares extensiones corporis, ut ex his quæ adsunt expedita ac facilis reperiri possit. 5 Nam si vincula ex loris mollia ac lenia non affuerint, sed aut ferrea, aut funes

σιδήρεα, ἢ ὅπλα, ἢ σχοινία τοιαῦτα χρὴ ἢ ἐρρήγμασι τρυχίων ἐρινέων περιελίσσειν ταύτῃ μάλιστα, ᾗ μέλλοι τὰ δεσμὰ καθέξειν καὶ ἐπὶ ἐπιπλέον. 6 ἔπειτα οὕτω δεῖν τοῖσι δεσμοῖσι. τοῦτο δὲ ἐπὶ κλίνης χρὴ, ἥτις ἰσχυροτάτη καὶ μεγίστη τῶν παρεουσέων, κατατετάσθαι καλῶς τὸν ἄνθρωπον. τῆς δὲ κλίνης τοὺς πόδας, ἢ τοὺς πρὸς 35 κεφαλῆς, ἢ τοὺς πρὸς ποδῶν, ἐρηρεῖσθαι πρὸς τὸν οὐδὸν, εἴ τι ἔξωθεν ξυμφέρει, εἴ τι εἴσωθεν. 7 παρὰ δὲ τοὺς ἑτέρους πόδας παραμεμβεβλῆσθαι ξύλον τετράγωνον, πλάγιον, διῆκον ἀπὸ τοῦ ποδὸς πρὸς τὸν πόδα. καὶ ἢν μὲν λεπτὸν ἔῃ τὸ ξύλον, προσδεδέσθω πρὸς τοὺς πόδας τῆς κλίνης· ἢν δὲ παχὺ ἔῃ, μηδέν. 8 ἔπειτα τὰς ἀρχὰς χρὴ τῶν δεσμῶν, καὶ τῶν πρὸς τῆς κεφαλῆς, καὶ τῶν πρὸς τῶν ποδῶν, προσδῆσαι ἑκατέρας πρὸς τὸ ὕπερον, ἢ πρὸς ἄλλο τι τοιοῦτο ξύλον. ὁ δὲ δεσμὸς ἐχέτω ἰθυωρίην κατὰ τὸ σῶμα, 40 ἢ καὶ ὀλίγῳ ἀνωτέρω. 9 ξυμμέτρως δὲ ἐντεταγέσθω πρὸς τὰ ὕπερα ὀρθὰ ἑστεῶτα, τὸ μὲν παρὰ τὸν οὐδὸν ἐρείδηται, τὸ δὲ παρὰ τὸ ξύλον τὸ παραβεβλημένον. 10 κἄπειτα οὕτω τὰ ὕπερα ἀνακλῶντας χρὴ τὴν κατάτασιν ποιέειν. ἀρκεῖ δὲ κλίμαξ ἰσχυροὺς ἔχουσα τοὺς κλιμακτῆρας ὑποτεταμένη ὑπὸ τὴν κλίνην, ἀντὶ τοῦ οὐδοῦ τε καὶ τοῦ ξύλου τοῦ παρατεταμένου, ὡς τὰ ὕπερα πρὸς τῶν κλιμακτήρων τοὺς ἁρμόζοντας ἔνθεν καὶ ἔνθεν προσερη- 41 ρεισμένα, οὕτω τὴν κατάτασιν ποιεῖσθαι τῶν δεσμῶν.

XC. Ἐμβάλλεται δὲ μηροῦ ἄρθρον καὶ τόνδε τὸν τρόπον, ἢν ἐς τὸ εἴσω ὀλισθῇ, καὶ ἐς τὸ ἔμπροσθεν. κλίμακα χρὴ κατορύξαντα ἐπικαθίσαι τὸν ἄνθρωπον. ἔπειτα τὸ μὲν ὑγιὲς σκέλος ἡσύχως κατατείναντα προσδῆσαι

funes nautici aut ' domestici, 325 4 fasciis aut panniculis laneis ea maxime parte amplius obvolvere oportet, qua vincula detentionem factura sunt, 6 atque ita vinculis deligare: deinde in lecto robustissimo & ex præsentibus maximo, hominem bene extendere oportet, hoc modo. Lecti pedes qui ad caput sunt, aut à pedibus, 5 ad limen januæ, intus aut foris prout commodum fuerit firmentur. 7 Ad alteros tamen lecti pedes lignum ' quadrangulare 330 transversum objiciatur, ita ut à pede ad pedem pertingat. Et si quidem tenue fuerit lignum, ad pedes lecti deligetur. Si vero crassum, non est opus: 8 deinde initia vinculorum, & eorum quæ à capite sunt, & eorum quæ à pedibus, utraque alligentur ad pistillum, aut ad aliud hujusmodi lignum: ita ut è directo corporis sint, aut paulo superius. 9 Moderate vero extendantur ad pistilla erecta consistentia, quorum ' alterum ad 335 limen, alterum ad lignum objectum firmetur, 10 atque sic refractis pistillis extensio fiat. Sufficit autem scala quæ robustos gradus habet, sub lectum extenta, pro limine ac ligno objecto, quo pistillis ad convenientes gradus hinc atque illinc firmatis, ita vinculorum extensio fiat.

XC. Porro reponitur femoris articulus etiam hoc modo, si ad internam, & ad anteriorem partem luxatus fuerit. Supra scalam in terram ' defixam hominem 340 collocare oportet; deinde sanum crus placide extentum deligare, ubi

δῆσαι, ὅκου ἂν ἁρμόσῃ. ² ἐκ δὲ τοῦ σιναροῦ, εἰς κεράμιον ὕδωρ ἐγχέαντας ἐκκρεμάσαι, ″ ἢ ἐς σφυρίδα λίθους ἐμβάλλοντας. ἕτερος τρόπος ἐμβολῆς. ἢν ἐς τὸ εἴσω ὀλισθῇ, στρωτῆρα χρὴ διαδῆσαι μεταξὺ δύο στύλων, ὕψος ἔχοντα συμμέτρως. ³ προεχέτω δὲ τοῦ στρωτῆρος κατὰ τὸ ἓν μέρος ὁ νοσέων, ″ ὁκόσον τὸ πυγαῖον. περιδήσας δὲ περὶ τὸ στῆθος τοῦ ἀνθρώπου ἱμάτιον, ἐπικαθῆσαι τὸν ἄνθρωπον ἐπὶ τὸ προεχὲς τοῦ στρωτῆρος. ⁴ εἶτα προσλαβεῖν τὸ στῆθος πρὸς τὸν στύλον πλατεῖ τινί. ἔπειτα τὸ μὲν ὑγιὲς σκέλος κατεχέτω τις, ὡς μὴ περισφάλληται. ἐκ δὲ τοῦ σιναροῦ ἐκκρεμάσαι βάρος, ὅσον ἁρμόζει, ὡς καὶ πρόσθεν εἴρηται. ⁵ πρῶτον μὲν οὖν δεῖ εἰδέναι, ὅτι πάντων τῶν ὀστέων αἱ ξυμβολαί εἰσιν ὡς ἐπὶ πολὺ ἡ κεφαλὴ καὶ ἡ κοτύλη. ⁶ ″ ἐφ' ὧν δὲ καὶ ἡ χώρα κοτυλοειδὴς καὶ ἐπίμακρος, ἔνιαι δὲ τῶν χωρέων γληνοειδέες εἰσίν. ἀεὶ δὲ ἐμβάλλειν δεῖ πάντα τὰ ἐκπίπτοντα ἄρθρα, μάλιστα μὲν εὐθὺς παραχρῆμα ἔτι θερμῶν ἐόντων. εἰ δὲ μή, ὡς τάχιστα. ⁷ καὶ γὰρ τῷ ἐμβάλλοντι ῥήϊτερον καὶ θᾶσσόν ἐστιν ἐμβαλεῖν. καὶ τῷ ἀσθενέοντι πολὺ ἀπονωτέρη ἡ ἐμβολή, ″ ἢ πρὶν διοιδεῖν ἐστι. δεῖ δὲ ἀεὶ πάντα τὰ ἄρθρα, ὁκόταν μέλλῃς ἐμβάλλειν, προσαναμαλάξαι καὶ διακιγκλίσαι. ῥᾷον γὰρ ἐθέλει ἐμβάλλεσθαι. ⁹ παρὰ δὲ πάσας τὰς τῶν ἄρθρων ἐμβολὰς ἰσχναίνειν δεῖ τὸν ἄνθρωπον, μάλιστα μὲν περὶ τὰ μέγιστα ἄρθρα καὶ χαλεπώτατα ἐμβάλλεσθαι· ἥκιστα δὲ περὶ τὰ ἐλάχιστα καὶ ῥήϊστα.

XCI. ″ Δακτύλων δὲ ἢν ἐκπέσῃ ἄρθρον, ἤν τε τὸ πρῶτον τῆς χειρός, ἤν τε τὸ δεύτερον, ἤν τε τὸ τρίτον,

ubi commodum fuerit: ² ex sinistro vero vas testaceum aqua plenum, aut sportulam lapidibus refertam appendere. Alius repositionis modus, si ad internam partem luxatus fuerit. Inter duas columnas trabem moderata altitudine deligare oportet. ³ Præmineat autem una pars trabis pro magnitudine natium: & ubi stragula circum pectus hominis deligaveris, ipsum hominem supra præminentem trabis partem collocato, ⁴ & deinde pectus ad columnam lato aliquo vinculo alligato. Postea sanum quidem crus detineat aliquis, ut ne circumagatur. Ex læso vero appendatur pondus quantum congruit, velut etiam prius dictum est. ⁵ Primum igitur scire expedit, quod omnium ossium commissuræ plerunque sunt caput & acetabulum. ⁶ In quibusdam vero & locus acetabuli formam refert, & oblongus est. Quidam vero loci leviter sinuosi sunt. Semper autem reponere oportet omnes articulos elapsos, maxime quidem statim dum adhuc calidi sunt: Sin minus, quam celerrime. ⁷ Nam & ei qui reponit, facilius ac citius reponere contingit, & ægroto multo minus doloris affert repositio priusquam intumuerit. ⁸ Omnes etiam articulos ubi reponere voles, præmollire ac commovere oportet. Sic enim facilius reponi solent. ⁹ Circa omnes autem articulorum repositiones hominem attenuare oportet, maxime circa maximos articulos & repositu difficilimos: minimum circa minimos & faciles.

XCI. At vero si digitorum articulus, sive primus, sive secundus, sive tertius in manu exciderit,

τρίτον, ὁ αὐτὸς καὶ ἴσος τρόπος τῆς ἐμβολῆς. [1] χαλεπώτερα μὲν αἰεὶ τὰ μέγιστα τῶν ἄρθρων ἐμ-
15 βάλλειν. ἐκπίπτει δὲ κατὰ τέσσαρας τρόπους, ἢ ἄνω, ἢ κάτω, ἢ ἐς τὸ πλάγιον ἑκατέρωθεν. [2] μάλιστα μὲν ἐς τὸ ἄνω. ἥκιστα δὲ ἐς τὰ πλάγια, ἐν τῷ σφόδρα κινέεσθαι. ἑκατέρωθεν δὲ τῆς χώρης, οὗ ἐκβέβηκεν, οἷον περ ἀμβη ἐστίν. ἢν μὲν οὖν ἐς τὸ ἄνω ἐκπέσῃ, ἢ ἐς τὸ κάτω, διὰ τὸ λειοτέρην εἶναι ταύτην τὴν χώρην, ἢ ἐκ τῶν πλαγίων, καὶ ἅμα μικρῆς ἐούσης τῆς ὑπερβάσιος, ἢν μεθεστῇ τὸ ἄρθρον, ῥηΐδιόν ἐστιν ἐμβάλλειν. [3] τρόπος δὲ τῆς ἐμβολῆς ὅδε.
20 [4] περιελίξας τὸν δάκτυλον ἄκρον ἢ ἐπιδέσματί τινι, ἢ ἄλλῳ τρόπῳ τοιούτῳ τινὶ, ὅκως, ὁκόταν κατατείνῃς ἄκρου λαβόμενος, μὴ ἀπολισθάνῃ. ὅταν δὲ περιελίξῃς, τὸν μέν τινα διαλαβέσθαι ἄνωθεν τοῦ καρποῦ τῆς χειρὸς, τὸν δὲ τοῦ κατειλημμένου. [5] ἔπειτα κατατείνειν πρὸς ἑωυτὸν ἀμφοτέρους εὖ μάλα, καὶ ἅμα ἀπῶσαι τὸ ἐξεστηκὸς ἄρθρον ἐς τὴν χώρην. [6] ἢν δὲ ἐς τὰ πλάγια ἐκπέσῃ, τῆς μὲν κατατάσιος ὁ αὐτὸς τρόπος. ὅταν δὲ δὴ δοκέῃ σοι ὑπερβεβηκέναι τὴν γραμμὴν, ἅμα χρὴ
25 κατατείνοντας ἀπῶσαι ἐς τὴν χώρην εὐθύς· [7] ἕτερον δέ τινα ἐκ τοῦ ἑτέρου μέρεος τοῦ δακτύλου φυλάσσειν καὶ ἀνωθέειν, ὅκως μὴ πάλιν ἐκεῖθεν ἀπολισθῇ.

XCII. [1] Ἐμβάλλουσι δὲ ἐπιεικέως καὶ αἱ [2] σαῦραι αἱ ἐκ τῶν φοινίκων πλεκόμεναι, ἢν κατατείνῃς ἔνθεν καὶ ἔνθεν τὸν δάκτυλον λαβόμενος, τῇ μὲν ἑτέρῃ τῆς σαύρης, [3] τῇ δὲ ἑτέρῃ τοῦ καρποῦ τῆς χειρός. ὁκόταν δὲ ἐμβάλλῃς, ἐπιδεῖν δεῖ ὀθονίοι-

derit, idem ac æqualis repositionis modus est: difficilius tamen semper maximi articuli reponuntur. Excidunt autem quatuor modis, aut sursum, aut deorsum, aut in obliquum utrinque: [2] maxime quidem superne, minime autem in obliquum, in vehementi motu. Utrinque autem in ea parte in quam exciderunt, velut crepido est. Si quidem igitur ad supernam aut infernam partem exciderit articulus, eo quod levior est hic locus quam à lateribus, & simul parva facta est transgressio, facile est reponere. [3] Modus autem repositionis sic habet. [4] Digitum summum aut deligamento aliquo, aut alia quapiam hujusmodi re obvolvito, ut ne ubi summum digitum apprehensum extendis elabatur. Quum autem obvolveris, alter quispiam manum supra juncturam apprehendat, alter digitum obvolutum, [5] atque ita uterque ad seipsum probe extendat, simulque elapsum articulum ad sedem suam detrudat. [6] Si vero in obliquum excidit, extensionis quidem idem modus est. Ubi vero jam visus fuerit tibi articulus lineam transgressus esse, simul cum extensione statim ad locum suum detrudere oportet, [7] ita ut alius quidam ex altera digiti parte observet ac repellat, ut ne rursus illic elabatur.

XCII. Moderate quoque repositionem faciunt [2] vimineæ texturæ, sauræ, id est, lacertæ appellatæ, ex palmis contextæ: ita ut dum digitum hinc atque illinc distendis, [3] altera manu lacertam, altera manus juncturam apprehendas. Postquam autem reposueris, deligare oportet lin-

360 365 370 375

ὀθονίοισιν ὡς τάχιστα λεπτοτάτοισι, κεκηρωμένοισι κηρωτῇ, μήτε λίην 30 μαλακῇ, μήτε λίην σκληρῇ, ἀλλὰ μετρίως ἐχούσῃ. ἡ μὲν γὰρ σκληρὴ ἀφίστηκεν ἀπὸ τοῦ δακτύλου· ἡ δὲ ἁπαλὴ καὶ ὑγρὴ διατήκεται καὶ ἀπόλλυται, θερμαινομένου τοῦ δακτύλου. 4 λύειν δὲ ἄρθρον δακτύλου τριταῖον ἢ τεταρταῖον. τὸ δὲ ὅλον, ἢν μὲν φλεγμήνῃ, πυκνότερον λύειν. ἢν δὲ μή, ἀραιότερον. καὶ περὶ πάντων δὲ τῶν ἄρθρων ταῦτα λέγω. 5 καθίσταται δὲ τοῦ δακτύλου τὸ ἄρθρον τεσσαρεσκαιδεκαταῖον. ὁ αὐτὸς δὲ ἐστι θεραπείης τρόπος δακτύλων χειρός τε καὶ ποδός. 6 35 περὶ πάσας δὲ τὰς τῶν ἄρθρων ἐμβολὰς δεῖ ἰσχναίνειν καὶ λιμαγχονέειν ἄχρι ἑβδόμης. 7 καὶ, εἰ μὲν φλεγμαίνει, πυκνότερον λύειν, ἢν δὲ μή, ἀραιότερον. ἡσυχίην δὲ δεῖ ἔχειν ἀεὶ τὸ πονέον ἄρθρον, καὶ ὡς κάλλιστα ἐσχηματισμένον κέεσθαι.

XCIII. Γόνυ δὲ εὐηθέστερον ἀγκῶνος, διὰ τὴν εὐσταλίην καὶ τὴν εὐφυΐην· διὸ καὶ ἐκπίπτει ῥᾷον. 2 ἐκπίπτει δὲ πλειστάκις εἴσω. ἀτὰρ καὶ ἔξω καὶ ὄπισθεν. 3 ἐμβολαὶ δὲ ἐκ τοῦ συγκεκάμφθαι, ἢ ἐκλακτίσαι ὀξέως, ἢ 40 σπειρίξας ταινίης ὄγκον ἐν τῇ ἰγνύῃ, καὶ περὶ τοῦτον ἐξαίφνης, ἐς ὀκλαδὶν ἀφιέναι τὸ σῶμα. 4 δύναται δὲ καὶ κατατεινόμενον μετρίως, ὥσπερ ἀγκὼν, ἐμπίπτειν τὰ ὄπισθεν. τὰ δὲ ἔνθα καὶ ἔνθα, ἐκ τοῦ συγκεκάμφθαι, ἢ ἐκλακτίσαι. 5 ἀτὰρ ἐκ κατατάσιος μετρίης ἡ διόρθωσις ἅπασι κοινή. 6 ἢν δὲ μὴ ἐμπίπτῃ, τοῖσι μὲν ὄπισθεν ξυγκάμπτειν οὐ δύνανται, ἀτὰρ οὐδὲ τοῖσι ἄλλοισι πάνυ μινύ-

θει

teis quam citissime tenuissimis inceratis, cera neque valde molli, neque valde dura. Dura enim de digito abscedit. Mollis autem & liquescens eliquatur, & digito calescente deperit. 4 Solvendus autem est digiti articulus tertia aut quarta die. In summa, si inflammatus fuerit, frequentius solvendus est: Sin minus, rarius. De omnibus articulis hæc dico, 380 5 Restituitur digiti articulus decimaquarta die. Idem vero est curationis modus digitorum manus ac pedis. 6 Circa omnes autem articulorum repositiones attenuare oportet ac fame macerare usque ad septimum diem; 7 & si inflammati sint, frequentius solvere: Sin minus, rarius. Quietem vero semper habere oportet afflictum articulum, & quam optime figuratum positum esse.

XCIII. Genu porro propter expeditam ac facilem naturam, 385 mitius est quam cubiti gibbus. Quare etiam facile excidit. 2 Excidit autem sæpe intro: Sed & extra, & in posteriorem partem. 3 Repositiones autem fiunt ex repentina conflexione aut ex calcitratione: aut convolutam fasciæ molem in poplitem ponito, & circum illam corpus ita ad flectendum genua in terram dimittito. 4 Potest etiam ubi in posteriorem partem excidit, moderata extensione reponi, veluti 390 cubiti gibbus. Si vero hac aut illac excessit, ex conflexione aut ex calcitratione reponitur. 5 Cæterum directio ex moderata extensione omnibus communis est. 6 Si vero non inciderit, hi quibus in posteriorem partem excidit, flectere non possunt: Sed neque alii ita valde: minuitur

autem

θὲ δὲ μηροῦ καὶ κνήμης τὰ ἔμπροσθεν. [7] ἢν δὲ ἐς τὸ εἴσω, βλαισότεροι. μινύθει δὲ τὰ ἔξω. 45 ἢν δὲ ἐς τὸ ἔξω, γαυσότεροι. [8] χωλοὶ δὲ ἧσσον. καὶ γὰρ δὲ τὸ παχύτερον ὀστέον ὀχέει, μινύθει δὲ τὰ εἴσω. ἐκ γενεῆς δὲ καὶ ἐν αὐξήσει κατὰ λόγον τῶν πρόσθεν.

XCIV. Τὰ δὲ κατὰ τὰ σφυρὰ κατατάσιος ἰσχυρῆς δέεται, ἢ τῇσι χερσὶν, ἢ ἄλλοισι τοιούτοισι. κατόρθωσις δὲ ἅμα ἀμφότερα ποιεύσης. [2] κοινὸν δὲ τοῦτο ἅπασι. τὰ δὲ ἐν ποδὶ, ὡς 41 καὶ τὰ ἐν τῇ χειρὶ ὑγιέες. τὰ δὲ τῆς κνήμης ξυγκοινωνέοντα καὶ ἐκπεσόντα ἐκ γενεῆς, ἢ καὶ ἐν αὐξήσει ἐξαρθρήσαντα, ταῦτα, ἃ 502 καὶ ἐν χειρί. [3] ὁκόσοι δὲ πηδήσαντες ἄνωθεν ἐστηρίξαντο τῇ πτέρνῃ, ὥστε διαστῆναι τὰ ὀστέα, καὶ φλέβας ἐκχυμωθῆναι, καὶ νεῦρα ἀμφιφλασθῆναι. [4] ὁκόταν γένηται οἷα τὰ δεινὰ, κίνδυνος μὲν σφακελίσαντα τὸν αἰῶνα πρήγματα παρασχεῖν. [5] ῥοώδη μὲν γὰρ τὰ ὀστέα. τὰ 1 δὲ νεῦρα ἀλλήλοισι κοινωνέοντα.

XCV. Ἔπειτα δὲ οἷσιν μάλιστα κατεηγεῖσιν, ἢ ὑπὸ τρώματος, ἢ ἐν 5 κνήμῃ, ἢ ἐν μηρῷ, ἢ νεύρων ἀπολυθέντων, ἃ κοινωνέει τούτων, ἢ ἐν κατακλίσει ἀμελέος, ἐμελάνθη πτέρνη· [2] ἔστι τούτοισι τὰ παλιγκοτέοντα ἐκ τῶν τοιούτων ἐστίν. ὅτε δὲ καὶ πρὸς τῷ σφακελισμῷ γίνονται πυρετοὶ ὀξέες, λοιμώδεες, γνώ- 2 μης ἁπτόμενοι, ταχυθάνατοι, καὶ 3 ἐπὶ φλεβῶν αἱμοῤῥοϊέων πελιώσιες. [3] σημεῖα δὲ τῶν παλιγκοτησόντων, ἢν τὰ ἐκχυμώματα,

καὶ

autem femoris & tibiæ anterior pars. [7] Si vero intro, valgiores fiunt. Minuuntur autem externæ partes. Si vero extra, magis 395 vari ac detorti, [8] minus claudi fiunt, crassiore autem osse vehuntur, & internæ partes minuuntur. At si ex nativitate, aut in augmento hæc fiant, juxta priorem rationem res se habet.

XCIV. Cæterum articuli circa malleolos luxati extensione vehementi opus habent, aut manibus, aut aliis hujusmodi: & simul directione utrunque præstante. [2] Commune autem hoc est omnibus. At vero luxationes articulorum in pede, velut eas 400 quæ in manu fiunt sanabis. Qui vero cum tibia communionem habent, & ex nativitate elapsi sunt, aut etiam in augmento luxati, eandem cum manu repositionem expetunt. [3] Quicunque vero facto saltu ex supernis, calcaneo innitentes se firmarunt, sic ut ossa disparata sint, & venæ humores effuderint, & nervi contusi sint: [4] si graviter hæc acciderint, periculum est ne corruptione accedente per omnem vitam affligantur: 405 [5] obtorta enim fiunt ossa.

XCV. Nervi autem inter se communionem habent. Quin & quibus fractis, aut ex vulnere, vel in tibia, vel in femore, aut nervis exolutis qui his communicant, aut ex negligenti decubitu, calcaneum fuerit denigratum, [2] etiã his maximæ recrudescentię ex talibus fiunt. Quandoque etiam ad corruptionem accedunt febres acutæ, singultuosæ mentem percellentes, citam mortem indu- 410 centes, & insuper venarum sanguifluarum livores. [3] Signa recrudescentium sunt, si effuso sangui-

καὶ τὰ μελάσματα, καὶ τὰ περὶ ταῦτα ὑπόσκληρα, καὶ ὑπέρυθρα, ἢν τε ξὺν σκληρύσματι πελιδνωθῇ, κίνδυνος 10 μελανθῆναι. ἢν δὲ ὑποπέλια ᾖ, ἢ καὶ πέλια μάλα καὶ ἐκχυμωμένα, ἢ ὑπόχλωρα καὶ μαλακὰ, ταῦτα ἐπὶ πᾶσι τοῖσι τοιούτοισιν ἀγαθά. 4 ἡ ἴησις, ἢν μὲν ἀπύρετος ἔῃ, ἐλλέβορον. ἢν δὲ μὴ, μή. 5 ἀλλὰ ποτὸν ὀξύγλυκυ, εἰ δέοι. ἐπίδεσις δὲ ἄρθρων. ἐπὶ δὲ πάντα μᾶλλον, τοῖσι φλάσμασιν ὀθονίοισι πλέοσι καὶ μαλθακωτέροισι. πίεξις ἧσσον. 6 προσπεριελίσσειν δὲ τὰ πλεῖστα τῇ πτέρνῃ. τὸ σχῆμα, ὅπως ἡ ἐπίδεσις, ὡς μὴ ἐς τὴν πτέρνην ἀποπιέζηται. 7 νάρθηξι δὲ μὴ χρέεσθαι.

XCVI. Οἷσι δ' ἂν ἐκβῇ 25 ὁ πὺς ἢ αὐτὸς, ἢ ξὺν τῇ ἐπιφύσει, ἐκπίπτει μὲν μᾶλλον ἐς τὸ ἔσω. 2 ἢν δὲ μὴ ἐμπέσῃ, λεπτύνεται ἀνὰ χρόνον, τό, τε ἰσχίον καὶ ὁ μηρὸς, καὶ κνήμης τὸ ἀντίον τοῦ ὀλισθήματος. ἐμβολὴ δὲ καὶ ἅπερ ὥσπερ καρποῦ. 3 κατάτασις δὲ ἰσχυρή. ἴησις δὲ νόμῳ ἄρθρων. παλιγκοτεῖ, ἧσσον δὲ καρποῦ, ἢν ἡσυχάζωσι. δίαιτα μέντοι ἐλινύουσι. 4 τὰ δὲ ἐκ γενεῆς ἢ ἐν αὐξήσει, κατὰ λόγον τὸν πρότερον.

ne sugillata, & denigrata, & vicina his, subdura ac subrubra fuerint. Si enim cum duricia livescant, periculum est ne nigrescant. Si vero sublivida sint, aut etiam livida mollia & diffusa: aut cum virore subpallida ac mollia: hæc in omnibus talibus bona sunt.[4] Curatio, si febris absit, veratro in potu dato, fit: sin minus, non. [5] sed potu si opus sit, favorum cremor decoctus, aut acetum mulsum dulce detur. Deligatio convenit qualis in articulis. Ad contusiones autem magis quam ad omnia, linteis pluribus ac mollioribus utendum est, & minus comprimendum,[6] & plurima insuper calcaneo obvolvenda. Figura fit velut deligatio postulat, ut ne ad exprimatur. [7] Ferulis utendum non est.

XCVI. Quibus vero aut ipse pes solus excesserit, aut cum appendice, excidit quidē magis ad internam partem:[2] his si non rursus incidat, attenuatur progressu temporis & coxa, & femur, & tibiæ pars luxationi opposita. Repositio est velut juncturæ ad manum. [3] Extensio autem vehemens. Curatio pro lege articulorum. Recrudescit, sed minus quam manus articulus sive junctura, si quieverint. Victus parcior quiescentibus expedit.[4] Quæ vero ex nativitate, aut in augmento fiunt, juxta priorem rationem.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΜΟΧΛΙΚΟΝ.

pag. 506

Ῥῖς κατεαγεῖσα ἀναπλάσσεσθαι οἵη τε αὐθωρόν. ʺκαὶ ἢν μὲν οὖν ὁ χόνδρος ἐνίζηται, ἄχνην ὀθονίου ἐναποδέοντα ʹ λοπῷ καρχηδονίῳ, ἢ ἐν ἄλλῳ, ὃ μὴ ἐρεθιεῖ. ² ʺτῷ λοπῷ δὲ τὰς παραλλάξιας παρακολλᾶν, καὶ ἀναλαμβάνειν. ³ ταῦτα δὲ ἐπίδεσις καταποιέει. ʺἴησις ἄλλη. ἅμα δὲ τῷ ξυμβαλεῖν ἢ θείῳ ξὺν κηρωτῇ αὐτίκα ἀναπλάσσειν. ⁴ ʺἔπειτα ἀνακογχίζειν τοῖσι δακτύλοισι ἐσμαστευόμενον καὶ περιστρέφοντα. ʺκαὶ τὸ καρχηδόνιον πωροῖτο ἄν. ⁵ καὶ ἢν ἕλκος ἐνῇ, καὶ ἢν ὀστέα ἀπιέναι μέλλῃ. οὐ γὰρ παλιγκοτώτατα οὕτω ποιητέα.

VI. ʺΟὖς κατεαγὲν μὴ ἐπιδεῖν, μηδὲ καταπλάσσειν. ἢν δέ ʹ τι δέῃ, ὡς κουφότατον ἡ κηρωτὴ, καὶ θείῳ παρακολλᾶν. ʺὧν ² δὲ ἔμπυα τὰ ὦτα διὰ παχέος εὑρίσκεται. πάντα δὲ τὰ ὑπόμυξα καὶ τῇ ὑγρῇ σαρκὶ πλήρεα ἐξαπατᾷ μὴ βλάβη γίνηται στομωθὲν τὸ τοιοῦτον. ʺἔστι γὰρ ἄντικρυς καὶ ὑδατώδεα. ³ μύξης πλέα. ʺὅπου δὲ καὶ οἷα ἐόντα θανατώδεά ἐστι παρειθέντα. ʺὤτων ⁴ καύσεις πέρην, τάχιστα ὑγιάζει. κυλλὸν δὲ καὶ μεῖον γίνεται τὸ οὖς, ἢν πέρην καυθῇ. ⁴ ʺἢν δὲ στομωθῇ,

HIPPOCRATIS VECTIARIVS.

Basil. græc. Foesius sect. VI. 114. 841. Foes.

Nasus autem confractus eodem momento conformari potest. Si quidem igitur cartilago desidit, derasam lintei lanuginem Carthaginiensis corii cortice, aut aliqua alia re quæ non irritet, ² convolutam, in nares immittere oportet. ³ Id autem deligatio præstat. Est & alia curatio, ubi simul injecto sulphure cum cerato, statim nasus componitur, ⁴ deinde digitis immissis explorando continetur, & in alteram partem convertitur. Carthaginiense vero corium sinendum, donec callum obduxerit, ⁵ sive ulcus adfuerit, sive ossa discessionem factura sint. Neque enim committendum ut sic maxime recrudescant.

VI. Auri fractæ neque vinculum, neque cataplasma adhibendum. Quod si quo sit opus, ceratum quam maxime leve, aut sulphuris agglutinatio conveniet. ² At quibus aures ad suppurationem tendunt, iis pus crassiore loco reperitur. Tibi autem imponent quæcunque ³ submucosa & humida carne plena sunt, ac neque ex hujusmodi sectione detrimentum contingit. Ubi autem, & quænam mortifera existant, ea sunt apposita. Aures cito sanescunt si in utramque partem ferramentum candens adigatur. Mutila tamen & minor candenti ferro præter trajecta auris redditur. ⁴ Quod si aperta fuerit, levi aliquo

θῆ, κούφῳ ἐναίμῳ δέησεται χρῆσθαι.

VII. Γνάθοι δὲ καταςπῶνται μὲν πολλάκις καὶ καθίστανται. 2 ἐκπίπτουσι δὲ ὀλιγάκις, μάλιστα μὲν χασμωμένοισιν. οὐ γὰρ ἐκπίπτει, ἢν μή τις χανὼν μέγα παραγάγῃ. 3 ἐκπίπτει δὲ μᾶλλον, ὅτι τὰ νεῦρα ἐν πλαγίῳ, καὶ λελυγισμένα συνδιδοῖ. σημεῖα παρέχει ἡ κάτω γνάθος. 4 καὶ παρέστραπται τἀναντία τοῦ ἐκπτώματος, ξυμβάλλειν οὐ δύνανται. 5 ἢν δ' ἀμφότεραι προέχωσι, μᾶλλον συμβάλλουσιν ἧσσον ἀστραβέες. δηλοῖ δὲ τὰ ὄρχα τῶν ὀδόντων τὰ ἄνω τοῖσι κάτω κατ' ἴξιν. 6 ἢν οὖν ἀμφότεραι ἐκπεσοῦσαι μὴ αὐτίκα ἐμπέσωσι, θνήσκουσι δεκαταῖοι οὗτοι μάλιστα πυρετῷ συνεχεῖ, νωθρῇ τε καρώσει. 7 οἱ γὰρ μύες οὗτοι, τοιοῦτοι. γαστὴρ ἐπιταράσσεται ὀλίγα ἄκρητα. καὶ ἢν ἐμέωσι, τὰ τοιαῦτα ἐμέουσιν. 8 ἡ δ' ἑτέρη ἀσινεστέρη. ἐμβολὴ δὲ ἡ αὐτὴ ἀμφοτέρων. κατακειμένου ἢ καθημένου τοῦ ἀνθρώπου τῆς κεφαλῆς ἐχόμενον περιλαβόντα τὰς γνάθους ἀμφοτέρας ἀμφοτέρῃσι χερσὶν ἔσωθεν καὶ ἔξωθεν, τρία ἅμα ποιῆσαι. 9 ὦσαι δὲ ἐς ὀρθὸν, καὶ ἐς τοὔπισω, καὶ συγχεῖν τὸ σῶμα. 10 ἴησις, μαλάγμασι, καὶ σχήμασι, καὶ ἀναλήψει γνώμης. ποιοῦσι ταῦτα τῇ ἐμβολῇ.

VIII. Ὦμος δὲ ἐκπίπτει κάτω. ἄλλῃ δὲ οὔπω ἤκουσα. δοκεῖ μὲν γὰρ ἐς τοὔμπροσθεν

aliquo medicamento, quod cruentis vulneribus adhibetur imposito opus erit.

VII. Maxillæ autem frequenter quidem convelluntur, 2 raro vero excidunt, maxime quidem hiantibus. Neque enim hic casus incidit, nisi quis vehementer os aperiendo, in alteram partem torqueat. 3 Idque magis incidit, quod nervi in obliquum etiam ubi contorquentur concedunt. Cujus rei hæ notæ sunt, maxilla inferior in anteriorem partem prominet, 4 & in alteram luxationis partem pervertitur, ægri maxillas committere nequeunt. 5 Quod si utraque parte maxilla prolabatur, prominet magis, os minus committunt, minime distorquentur, quod dentium fines indicant, cum inferiores superioribus ex adverso respondeant. 6 Utraque igitur maxillæ parte prolapsa, nisi statim reposita fuerit, hi intra decimum diem fere ex febre assidua & segni sopore moriuntur. 7 Hi enim musculi hujusmodi soporem invehunt, alvus paucis & synceris exturbatur, & si vomitus adfuerit, ejusmodi vomitione refundunt. 8 At si altera parte maxilla excidat, minor est noxia, eadem tamen utrorumque est repositio. Homine decumbente aut in sedili collocato, capite prehenso, utramque maxillæ partem ambabus manibus, tum interiore, tum exteriore parte apprehendere, ac tria simul facere oportet, 9 in directum ac in posteriorem partem propellere, & corpus commovere. 10 Curatio per malagmata, figurationes, & menti exceptionem perficitur. Ista enim ad repositionem faciunt.

VIII. At vero humerus inferiorem in partem excidit, aliam in partem excidere non audivi. Videtur

ἔσωθεν ἐκπίπτει, ὧν αἱ σάρκες αἱ περὶ τὸ ἄρθρον μεμινύθηκασι, διὰ τὴν φύσιν. οἷον καὶ τοῖσι βουσὶ χειμῶνος φαίνεται διὰ λεπτότητα, καὶ ἐκπίπτει μᾶλλον. 3 τοῖσι δὲ λεπτοῖσιν, ἢ ἰσχνοῖσι, ἢ ξηροῖσι, καὶ τοῖσιν ὑγρασμαι περὶ τὰ ἄρθρα ἔχουσιν ἄνευ φλεγμονῆς. αὕτη γὰρ συνδέοι ἄν. 1 ἐν βουσὶν 2 ἐμβάλλοντες καὶ ἀποπειρῶντες, ἐξαμαρτάνουσι. 4 καὶ ὅτι διὰ τὴν χρῆσιν ὡς χρῆται βοῦς σκέλει, λήθει. καὶ 3 ὅτι κοινὸν καὶ ἀνθρώπου οὕτως ἔχοντι τὸ 5 σχῆμα τοῦτο. τό, τε Ὁμήρειον. καὶ διότι λεπτότατοι βόες τηνικαῦτα. ὅσοισι 4 τε τὸν πῆχυν πλάγιον ἀπὸ πλευρέων ἄραντες δρῶσιν, οὐ πάνυ δύνανται δρᾷν, οἷσιν ἂν μὴ ἐμπέσῃ. 6 οἷσι μὲν οὖν ἐκπίπτει, μάλιστα καὶ ὡς ἔχουσιν εἴρηται. 7 οἷσι 5 δὲ ἐκ γενεῆς, τὰ ἐγγύτατα μᾶλλον βραχύνεται ὀστέα, οἷον ἐν τούτῳ οἱ γαλιάγκωνες. πῆχυς δὲ ἧσσον. χεὶρ δὲ ἔτι ἧσσον. 8 τὰ δ᾽ ἄνωθεν, οὐδέν. καὶ 6 ἀσαρκότατα ἰσχνά. μινύ- 7 θει δὲ μάλιστα τὰ ἐναντία τῶν ὀλισθημάτων. καὶ 8 τὰ ἐν αὐξήσει. 9 ἧσσον δὲ ἔτι τῶν ἐκ γενεῆς. καὶ 9 τὰ διαπυήματα, τὰ κατ᾽ ἄρθρον, βαθέα νεογνοῖσι μάλιστα παρ᾽ ὦμον γίνεται, καὶ τουτέοισιν ὥσπερ τὰ ἐξαρθρήματα ποιέει. 10 ἢν δὲ ηὐξημένοισι, τὰ μὲν ὀστέα οὐ μειοῦται. οὐδὲ γὰρ ἔχει οἷ᾽ ἄλλα οὐ 10 ξυναύξεται ὁμοίως. αἱ δὲ μινυθήσιες τῶν σαρκῶν. 11 τοῦτο γὰρ καθ᾽

tur siquidem in anteriorem partem excidere, quibus carnes quæ circa articulum sunt natura extenuatæ fuerint, quale quid etiam in bobus per hyemem ob macilentiam cernitur, & magis excidit, 3 ac extenuatis, aut gracilibus, aut siccis, iisque quibus humiditates circa articulos citra inflammationem continentur. Ipsa enim colligaret quidem. Ex quo qui boves curant ac stimulant, in iisque repositionem tentant, errant, 4 tum quia eos lateat quemadmodum bos crus ad usum jactet, tum quia etiam homini ita constituto, 5 hic habitus communis est. Quibus quoque accedit Homeri authoritas, quod boves tunc maxime graciles existunt. At quibus humerus recondi non potuit, iis quæ cubito in latus à costis sublato fiunt, non admodum præstare possunt. 6 Quibus igitur potissimum excidat, & quomodo habeant dictum est. 7 Quibus vero à primo natali die ista contingunt, iis ossa potius quæ ad luxationem proxime accedunt, brevia fiunt (quale quid tunc iis qui mustelæ cubito præditi sunt, & γαλιάγκωνες Græcis dicuntur, usu venire solet) quod cubito minus, adhuc autem manui accidere videtur. 8 Quæ vero supra sunt, nihil tale sentiunt, sed quæ vicinitatem habent, valde emaciantur. Imminuuntur autem maxime quæ altera luxationis parte sunt, & quæ incrementum accipiunt, 9 minus tamen quodammodo quam quæ talia sunt ab ortu. Quin & profundæ suppurationes circa juncturam recens natis præcipue ad humerum fiunt, iisque non secus ac luxata efficiunt. 10 Quod si adultis ista contingunt, ossa quidem non minuuntur. Neque enim causa est cur alia non æque simul augeantur. At carnium imminutiones fiunt, 11 quod hæ in dies &

καθ' ἡμέρην καὶ αὔξεται καὶ μειοῦται, 'καὶ καθ' ἡλικίας," καὶ ἃ δύναται σχήματα." καὶ αὖ σημεῖον τὸ περὶ τὸ ἀκρώμιον κοιλαινόμενον καὶ κοῖλον. διότι ὅταν τὸ ἀκρώμιον ἀποσπασθῇ, καὶ κοῖλον ᾖ," οἴονται τὸν βραχίονα ἐκπεπτωκέναι. [12] κεφαλὴ δὲ τοῦ βραχίονος ἐν τῇ μασχάλῃ φαίνεται. αἴρειν γὰρ οὐ δύνανται, οὐδὲ παράγειν ἔνθα καὶ ἔνθα. [13] "ὁμοίως ὁ ἕτερος ὦμος μηνύει. [14]" ἐμβολαὶ δὲ, αὐτὸς μὲν τὴν πυγμὴν ὑπὸ μασχάλην ὑποθεὶς, τὴν κεφαλὴν ἀνωθέειν. τὴν δὲ χεῖρα ἐπιπαράγειν ἐπὶ τὸ στῆθος. [15] ἀλλ' ἢ 'ἐς τοὐπίσω περιαναγκάσαι "ὡς ἀμφισφαλῆ." ἀλλ' ἡ κεφαλῇ μὲν πρὸς τὸ ἀκρώμιον, χερσὶ δὲ ὑπὸ μασχάλην, κεφαλὴν ὑπάγειν βραχίονος. γούνασι δὲ ἀγκῶνα ἀπωθέειν. [16] "ἢ ἀντὶ τῶν γουνάτων τὸν ἀγκῶνα τὸν ἕτερον παράγειν, ὡς τὸ πρότερον, ἢ κατ' ὦμον ἵζοντα, ὑποθεὶς τῇ μασχάλῃ τὸν ὦμον." ἢ [17] τῇ πτέρνῃ, ἐνθεὶς τὰ ἐκπληρώματα τῇ μασχάλῃ τῇ δεξιῇ, δεξιόν. ἢ [18] περὶ ὕπερον. ἢ περὶ κλιμακτῆρα. ἢ περιαγωγῇ ξὺν τῷ ξύλῳ τῷ ὑπὸ χεῖρα τεινομένῳ." ἴησις, τὸ σχῆμα, πρὸς πλευρῇσι βραχίων, χεὶρ ἄκρη, ἄνω ὦμος. ἄνω οὕτως ἐπίδεσις. [19] ἀνάληψις. "ἢν δὲ μὴ ἐμπίσῃ, ἀκρώμιον προσλεπτύνεται. [20] "ἀκρώμιον ἀποσπασθὲν, τὸ μὲν εἶδος φαίνεται, οἷον τοῦ ὤμου ἐκπεσόντος." στερίσκεται δ' οὐδενός. [21] "ἐς δὲ τὸ αὐτὸ οὐ καθίσταται" σχῆμα, τὸ αὐτό. ὃ καὶ ἐκπεσόντι, ἐν ἐπιδέσει καὶ ἀναλήψει ἐπιδέσιος καὶ ὡς νόμος.

IX. "Ἀγκῶνος ἄρθρον παραλλάξαν

augeantur & minuantur, idque per ætates & corporis habitus, qui in eo obtinent. Præterea etiam indicio est id quod ad summum humerum est avulsum & cavum, propterea quod summo humero avulso & cavo, brachium prolapsum esse existimant: [12] brachii autem caput in ala cernitur. Neque enim attollere ipsum queunt, neque huc vel illuc traducere. [13] Quod similiter ex altero humero deprehenditur. [14] His autem rationibus deponitur, si pugno quidem in alam injecto, caput sursum propellas, manum vero præterea ad pectus adducas, [15] aut si retroducendo ita ut circumoberret, compellas. Aut capite ad summum humerum objecto, manibus vero in alam injectis, brachii caput abducas, cubiti autem gibbum genibus protrudas, [16] aut genuum loco alterum cubiti gibbum ad latus adducere, ut prius, jubeas. Aut si supposito in alam humero, æger in humero insideat. [17] Aut ubi calce, adhibitis his quæ alæ cavitatem compleant, ad dextrum humerum, dextro usus fueris. [18] Aut ubi per pistillum, aut scalæ gradum coegeris, aut una cum ligno ad manum porrecto super trabeculam transversam converteris. Curatio perficitur eo habitu ut brachium ad costas adducatur, manus summa ac humerus sursum detineantur, sicque sursum deligatio fiat & [19] appensio. Quod si repositus humerus non fuerit, summus humerus etiam extenuatur. [20] Summus humerus avulsus, speciem quidem prolapsi humeri exhibet, nullo tamen privatur, neque in pristinum statum restituitur. [21] Idem habitus tum in deligatione, tum in suspensione, qui etiam luxato convenit, & pro deligationis lege.

IX. At vero cubiti gibbi articulo

10 ἐξαλλάξαν μὲν ἢ πρὸς τὸ πλευρὸν, ἢ ἔξω, μένοντος τοῦ ὀξέος, τοῦ ἐν τῷ κοίλῳ τοῦ βραχίονος, ἐς ἰθὺ κατατείνοντα, 1 τὰ ἐξέχοντα ἀνωθέειν ὀπίσω. 2 καὶ ἐς τὸ πλάγιον. τὰ δὲ τελέως 2 ἐκβάντα, ἢ ἔνθα ἢ ἔνθα. κατάτασις 3 μὲν ἐν ᾗ ὁ βραχίων ἐπιδεῖται. 3 οὕτω γὰρ τὸ καμπύλον τοῦ ἀγκῶνος οὐ κωλύσει. ἐκπίπτει 4 δὲ μάλιστα ἐν τοῦ πρὸς πλευρὰ μέρεος. 4 τὰς δὲ καταστάσιας ἀπάγοντα ὅτι πλεῖστον, ὡς μὴ ψαύσῃ τῆς κορώνης ἡ κεφαλή. 5 μετέωρον δὲ περιάγειν,
15 καὶ περικάμψαι. καὶ μὴ ἐς ἰθὺ 5 βιάζεσθαι. 6 ἅμα δὲ ὠθεῖν τἀναντία ἐφ' ἑκάτερα καὶ παρωθεῖν ἐς χώρην. συνωφελοίη δ' ἂν καὶ ἐπίστρεψις ἀγκῶνος ἐν τούτοισιν, 6 ἐν τῷ μὲν ἐς τὸ ὕπτιον, ἐν τῷ δὲ ἐς τὸ πρηνές. 7 ἐμβολὴ δὲ σχῆμα τὸ ὀλίγον ἀνωτέρω 7 ἄκρην χεῖρα ἀγκῶνος ἔχειν. 8 βραχίονα δὲ κατὰ τὰς πλευράς. οὕτω δὲ καὶ ἀνάληψις, 8 καὶ εὔφορον, καὶ φύσις, καὶ χρῆσις ἐν τῷ κοινῷ. 9 ἢν ἄρα μὴ κακῶς πωρωθῇ. πωροῦται δὲ ταχέως. ἴησις, ὀθονίοισι κατὰ τὸν νόμον τὸν ἀρθριτικὸν, καὶ τὸ ὀξὺ 9
20 προσεπιδεῖν. 10 παλιγκοτώτατος δὲ ἀγκὼν πυρετοῖσιν, ὀδύνῃ, ἀσώδει, ἀκρητοχόλῳ. ἀγκὼν δὲ μάλιστα ὀπίσω διὰ τὸ ναρκῶδες, ἥκιστα δὲ τὸ 10 ἔμπροσθεν. ἴησις ἡ αὐτή. ἐμβολαὶ δὲ τοῦ μὲν ὀπίσω ἐκπεπτωκότος κατατεῖναι. σημεῖον δὲ οὐ γὰρ δύναται ἐκτείνειν. τοῦ 11 δὲ ἔμπροσθεν οὐ δύναται ξυγκάμπτειν. τούτῳ δὲ ἐνθέντα τι σκληρὸν 11 συνειλιγμένον, περὶ τοῦτο ξυγκάμψαι

culo in latus, aut exteriorem in partem dimoto quidem aut subluxato, acuta ejus parte in brachii cavo remanente, distentione in directum facta, eminentia retro [2] & ad latus propellere oportet. Quod si prorsus in hanc vel illam partem exciderit, distentio quidem in qua brachium deligatur, adhibenda. [3] Sic nanque cubiti flexus nihil impediet. Potissimum vero ex laterum parte excidit. [4] In suum autem locum dirigitur, quam plurimum abducendo, ne caput brachii acutum ossis processum attingat. [5] Suspensum vero circumagere & circumflectere oportet, neque vim in directum adhibere, [6] simulque in contrarium in utranque partem impellere, & in sedem compellere. Ad hæc quoque contulerit cubiti gibbum modo quidem pronum, modo etiam supinum contorquere. [7] Repositio autem est, quæ ex habitu quidem pendet, si summa manus paulo cubiti gibbo altior, [8] brachium vero ad latera adductum teneatur. Sic quoque & appensio, & facilis gestatio, & natura, & usus in commune conferunt, [9] si modo callus, qui celeriter increscit, prave non obducatur. Curatio per lintea pro lege articulari institui debet, & cubiti eminentia insuper deligari. [10] Rursus autem maxime excandescit cubiti gibbus, febresque, dolorem, nauseam, ac meracæ bilis vomitionem movet, secundum id, si in anteriorem elapsus sit. Curatio eadem adhibenda. Reconditur vero ubi in posteriora excidit, si porrectum brachium in diversa contendatur. Cujus rei indicium est, quod extendi nequit, [11] ut & in anteriorem prolapsi, quod minime flecti potest. Hic autem imposito duro aliquo collecto, super id, ubi extenderis, de repente flectendus

est.

κάμψαι ἐξ ἐκστάσιος ἐξαίφνης.
[12] διαστάσιος δὲ ὀστέων σημεῖον, κατὰ
τὴν φλέβα, τὴν κατὰ τὸν βραχίονα
25 σχιζομένην διαψαύοντι. ταῦτα
δὲ ταχέως διαπωροῦται. ἐκ γενεῆς
δὲ βραχύτερα τὰ κάτω ὀστέα
τοῦ σίνεος πλεῖστον. [13] τὰ δὲ 12
ἐγγύτατα πῆχυς, δεύτερον χει-
ρὸς, τρίτον δακτύλων. βρα-
χίων δὲ καὶ ὦμος ἐγκρατέστε-
ρα διὰ τὴν τροφήν. [14] ἡ δὲ 13
ἑτέρη χεὶρ διὰ τὰ ἔργα, πλείω
ἔτι ἐγκρατεστέρη. μινύθησις δὲ
σαρκῶν, εἰ μὲν ἔξω ἐξέπεσεν, ἔ-
σω. εἰ δὲ μὴ, ἐς τοὐναντίον ᾗ ἐξέ-
πεσεν. ἀγκὼν δὲ, ἢν μὲν ἔξω ἢ ἔσω
ἐκβῇ, κατάστασις μὲν ἐν σχήμα- 14
τι ἐγγωνίῳ, τοῦ πήχεος κοινῷ, πρὸς
30 βραχίονα. τὸν γὰρ [15] μασχάλην 15
ἀναλαβὼν ταινίῃ ἀνακρεμά-
σαι. [16] ἀγκῶνι δὲ ἄκρῳ ὑποθεὶς
τι παρὰ τὸ ἄρθρον βάρος ἐκ-
κρεμάσαι, ἢ χερσὶ καταναγκά-
σαι. ὑπεραιωρηθέντος δὲ τοῦ
ἄρθρου, αἱ παραγωγαὶ τοῖσι θέ-
ναρσιν, ὡς τὰ ἐν χερσίν. [17] ἐπί- 16
δεσις ἐν τούτῳ τῷ σχήματι, καὶ
ἀνάληψις, καὶ θέσις. τὰ δὲ ὄπι-
σθεν ἐξαίφνης ἐκτείνοντα διορ-
θοῦν τοῖσι θέναρσιν. [18] ἅμα δὲ δεῖ 17
ἐν τῇ διορθώσει, καὶ τοῖσιν ἑτέ-
ροισιν. ἢν δὲ πρόσθεν, ἀμφὶ
ὀθόνιον συνειλιγμένον, ὄγκον, 18
ξυγκάμπτοντα ἅμα διορθοῦσθαι.
35 [19] ἢν δὲ ἑτεροκλινὲς ᾖ ἐν τῇ 19
διορθώσει, ἀμφότερα ἅμα χρὴ
ποιέειν. τῆς δὲ μελέτης, κοινὸν τὸ 20
σχῆμα καὶ ἡ ἐπίδεσις. [20] δύναται
γὰρ ἐκ τῆς διαστάσιος κοινῇ ξυμ-
πίπτειν πάντα. τῶν δὲ ἐμβολέων
αἱ μὲν ἐξ ὑπεραιωρήσιος ἐμβάλ-
λονται. αἱ δὲ ἐκ κατατάσιος. αἱ δὲ
ἐκ περισφάλσιος. [21] αὗται δὲ
ἐκ

est. [12] At dissidentium inter se ossium indicium, qua vena in brachio scinditur, ad contactum patet. Hæc vero celeriter callo obducuntur. Quibus à primo ortu ista contingunt, iis ossa infra noxiam breviora evadunt, [13] plurimum vero quæ cubito sunt proxima, deinde ea quæ in manu, postremo quæ in digitis. Brachium autem & humerus, propter nutritionem validiora evadunt. [14] Manus item altera, propter opera, etiam longe validior est. At carnium imminutio, siquidem in exteriorem partem articulus prolapsus est, interiore parte fit, sin minus, contra quam exciderit. Cubiti autem gibbus ubi interiorem in partem, aut exteriorem exciderit, in habitu quidem angulari cubiti ad brachium communi reponitur. [15] Ex ala nanque fascia excepta suspensio facienda, [16] ad cubitum vero summum suppositum pondus aliquod juxta articulum appendendum, vel manibus adurgendum. Tum suspenso in sublimi articulo, ossa manuum volis adducenda. [17] Hoc in habitu deligatio, appensio, & positio velut in manibus fieri debet. At ubi posteriorem in partem excidit, de repente extensione facta, manuum palmis dirigendum, [18] simulque hæc in directione, tum in cæteris usurpanda sunt. Quod si priorem in partem prolapsio facta sit, circum linteum convolutum, & in justam molem sublatum, inflectendo simul directio facienda. [19] Sin alteram in partem inclinarit, cum directione simul utraque facienda sunt. Ad curam autem communiter habitus & deligatio spectant. [20] Possunt enim ex distensione communiter omnia contingere. Repositiones vero partim quidem in sublime elevando, partim distendendo, partim vero circumoberrando fiunt. [21] Idque

ἐκ τῶν ὑπερβολέων τῶν σχημάτων, ἢ τῇ ἢ τῇ, σὺν τῷ τάχει.

x. Χειρὸς δὲ ἄρθρον ὀλισθαίνει, ἢ εἴσω ἢ ἔξω. εἴσω δὲ τὰ πλεῖστα. σημεῖα δ' εὔσημα. ἢν μὲν εἴσω, ξυγκάμπτειν ὅλως σφῶν τοὺς δακτύλους οὐ δύνανται. [2] ἢν δ' ἔξω, ἐκτείνειν. ἐμβολὴ δὲ, ὑπὲρ τραπέζης τοὺς δακτύλους ἔχων, τοὺς μὲν τείνειν, τοὺς δ' ἀντιτείνειν. τὸ δὲ ἐξέχον, ἢ θέναρι ἢ πτέρνῃ, ἅμα ἀπωθεῖν πρόσω καὶ κάτωθεν κατὰ τὸ ἕτερον ὀστέον, ὄγκον τε μαλθακὸν ὑποθεὶς, κ' ἢν μὲν ἄνω καταστρέψας τὴν χεῖρα, ἢν δὲ κάτω, ὑπτίην. [3] ἴησις ὀθονίοισιν. [4] ὅλη δὲ ἡ χεὶρ ὀλισθαίνει ἢ ἔσω ἢ ἔξω. μάλιστα δὲ ἔσω. ἢ ἔνθα ἢ ἔνθα. ἔστι δ' ὅτε ἡ ἐπίφυσις ἐκινήθη. ἔστι δ' ὅτε τὸ ἕτερον τῶν ὀστέων διέστη. τουτέοισι κατάτασις ἰσχυρὴ ποιητέη. καὶ [5] τὸ μὲν ἐξέχον ἀπωθεῖν, τὸ δ' ἕτερον ἀντωθεῖν. δύο εἴδεα ἅμα καὶ ἐς τοὔπισω καὶ ἐς τὸ πλάγιον. ἢ χερσὶν ἐπὶ τραπέζης, ἢ πτέρνῃ. [6] παλίγκοτα δὲ καὶ ἀσχήμονα. τῷ μὲν χρόνῳ κρατύνεται ἐς χρῆσιν. ἴησις ὀθονίοισι ξὺν τῇ χειρὶ καὶ τῷ πήχει. [7] καὶ νάρθηκας μέχρι δακτύλων τιθέναι. ἐν νάρθηξι δὲ δεθέντα ταῦτα, πυκνότερον λύειν ἢ τὰ κατήγματα, καὶ καταχύσει πλείονι χρῆσθαι. [8] ἐκ γενεῆς δὲ βραχυτέρη ἡ χεὶρ γίνεται. [9] καὶ ἡ μινύθησις σαρκῶν μάλιστα τἀναντία ἢ ὡς τὸ ἔκπτωμα. [10] ηὐξημένῳ δὲ ὀστέα μένει. δακτύλου δὲ ἄρθρον ὀλισθὸν μὲν εὔσημον· οὐ δεῖ γράφειν.

que dum habitus in hanc vel in illam partem excedunt, celeriter adhibetur.

x. Manus articulus interiore aut exteriore parte luxatur, plurimum vero interiore. Cujus rei signa manifesta sunt. Siquidem intro prolabitur, digiti ipsi in totum flecti, [2] si extra, intendi nequeunt. Repositio fit digitis supra mensam positis, si partim quidem extenduntur, partim etiam in diversa contenduntur, idque quod eminet, aut prominentiore palmæ parte, aut calce simul in anteriorem partem protrudatur, & inferiore parte ad alterum os, molle aliquid in tumorem sublatum supponatur, si superiore quidem parte eminet, manu conversa, sin inferiore, supina. [3] Curatio linteis perficitur. [4] At tota manus in interiorem vel exteriorem, vel in hanc, vel illam partem luxatur, interiorem vero maxime. Est ubi ossis accrementum emovetur, interdum quoque alterum os dissidet. His valida distensio adhibenda, & [5] os quidem eminens protrudendum, alterum vero contra propulsandum, unaque duobus modis in posteriorem partem & in latus, aut manibus supra mensam, aut calce impulsio fieri debet. [6] Quæ vero rursus excandescunt & deformitatem habent, tempore quidem ad usum firmantur. Curatio linteis simul cum manu & cubito adhibetur, [7] ferulæque ad digitos usque apponendæ. Hæc ferulis deligata, crebrius quam fracta resolvenda, & copiosiore perfusione fovenda. [8] At manus à primo ortu luxata brevior evadit, [9] & carnes altera ex parte quam luxatio facta est, potissimum imminuuntur, [10] adulto vero ossa permanent. Digiti articulus luxatus facilis quidem cognitu,

φειν. ἐμβολὴ δὲ αὐτοῦ ἤδη, κατατείναντα ἐς ἰθὺ, τὸ μὲν ἐξέχον ἀπωθέειν, τὸ δὲ ἐναντίον ἀντωθέειν. [11] "ἴησις δὲ ἡ προσήκουσα τοῖς ὀθονίοισιν ἐπίδεσις. μὴ ἐμπεσὸν γὰρ ἐπιπωροῦται ἔξωθεν. ἐκ γενεῆς δὲ ἢ ἐν αὐξήσει ἐξαρθρήσαντα τὰ ὀστέα, [12] βραχύνεται κάτω τοῦ ὀλισθήματος. καὶ σάρκες μινύθουσι τἀναντία μάλιστα, ἢ ὡς τὸ ἔκπτωμα, ηὐξημένων δὲ τὰ ὀστέα μένει.

XI. Μηροῦ ἄρθρον ἐκπίπτει κατὰ τρόπους τέσσαρας. ἔσω πλεῖστα. ἔξω δεύτερον. " τὰ [2] δ' ἄλλα ὁμοίως. "σημεῖα, κοινὸν μὲν τὸ ἕτερον σκέλος. ἴδιον δὲ τοῦ μὲν εἴσω, παρὰ τὸν περίνεον ψαύεται ἡ κεφαλή. [3] ξυγκάμπτουσιν οὐχ ὁμοίως. δοκέει δὲ μακρότερον τὸ σκέλος, καὶ πολὺ, ἢν μὴ ἐς μέσον ἀμφότερα ἄγων παρατείνῃς. [4] καὶ γὰρ οὖν ἔξω ὁ ποὺς καὶ τὸ γόνυ ῥέπει. ἢν [5] μὲν οὖν ἐκ γενεῆς, ἢ ἐν αὐξήσει ἐκπέσῃ, βραχύτερος ὁ μηρός. [6] ἧσσον δὲ κνήμη, " κατὰ λόγον δὲ τ' ἄλλα. μινύθουσι δὲ σάρκες, μάλιστα δὲ ἔξω. [7] " οὗτοι καθοκνέουσιν ὀρθοῦσθαι, καὶ εἰλέονται ἐπὶ τὸ ὑγιές." ἢν δ' ἀναγκάζωνται, σκίπωνι ἑνὶ ἢ δυσὶν ὁδοιπορέουσι. [8] τὸ δὲ σκέλος αἴρουσιν. " ὅσῳ γὰρ μεῖον, τόσῳ ῥᾷον. [9] ἢν δ' ηὐξημένοισι, τὰ μὲν ὀστέα μένει· αἱ δὲ σάρκες μινύθουσιν, ὡς προείρηται. [10] ὁδοιπορέουσι δὲ " περιστροφάδην ὡς βόες." ἐν δὲ τῷ κενεῶνι καμπύλοι ἐπὶ τὸ ὑγιὲς ἐξίσχιοι ἐόν-

cognitu, neque scriptione indiget. Reponitur autem in directum contendendo, & quod eminet protrudendo, & quod contra est retrudendo. [11] Curatio vero est accommodata quæ per lintea fit deligatio. Nisi enim restitutus fuerit, exteriore parte callum contrahit. Quæ à primo ortu aut dum adolescunt ossa prolapsa fuerint, [12] ea infra luxationem breviora evadunt, & carnes adversa ex parte in quam prolapsio facta est potissimũ imminuuntur. Adulto vero ossa eadem magnitudine permanent.

Equo cui pulmo negotium exhibet humida naribus profluunt, & gravem ore spiritum efflat, ilia habet convulsa. Ratio infundendi talis. Fructus arborum adstringentissimi quique in una vini hemina & olei mensura pari decoquuntur, & per os faucibus induntur. Levi cibatu contentus esse debet. Ervum hordeo permisce, aut suillum cerebrum in vini hemina coque, olei tres cyathos misce: quod satis videbitur infunde. Odorata potione similiter [utendum] vel gallo

ἀλεκτρυόνα ἑψήσας, μέχρις ἂν διαλυθῇ, καὶ συμμίξας γλυκέος οἴνου ξέστην ἕνα, ἐγχυμάτιζε. ποίει δὲ καὶ αἵματος ἀφαίρεσιν κατὰ δύναμιν τοῦ ζώου. δίδου δὲ καὶ ἄγρωστιν ἢ μηδικήν, καὶ τὸ ποτὸν διάῤῥαινε ἀλεύρῳ, ἵνα τὴν δύναμιν τοῦ ζώου εὐτραφῆ τηρήσῃ.

Πῶς δεῖ φλεβοτομεῖν καὶ περὶ χορτασμοῦ.

Ἄριστον εἰδέναι, πότε δεῖ τὸν ἵππον αἷμα ἀφαιρεῖν, καὶ ἐν αἷς ὥραις καὶ ὅπως, καὶ ἀπὸ πόσων φλεβῶν, καὶ διαγινώσκειν τὰς φύσεις, καὶ τὰς ἕξεις. οἱ μὲν γάρ εἰσιν εὖ διακείμενοι, οἱ δὲ ἰσχνοί, οἱ δὲ νοσεροί, καὶ τὸ αἷμα οὐκ ἔστι τὸ αὐτό, οὐδὲ ὅμοιον τοῖς πάθεσι πᾶσιν, ἀλλὰ διαφέρει τοῖς χρώμασι πρὸς ἕκαστον πάθος. τὸ μὲν γὰρ ἀπὸ τῶν εὖ ἐχόντων ἵππων αἷμά ἐστιν εὔκρατον, καὶ πολύ, καὶ ξανθόν. ἀφαίρει τοίνυν, ἵνα μὴ πάθος ἐπιστῇ. τὸ δὲ τῶν μαλακιζομένων αἷμά ἐστι ποικίλον καὶ ἀφρῶδες. τὸ δὲ τῶν κριθιώντων αἷμά ἐστι μέλαν καὶ ἰξῶδες. δεῖ οὖν πρότερον ποιῆσαι τὸν ἵππον ἐπὶ ἡμέρας ἓξ χλωροφαγῆσαι ἐπὶ πεδίον σύῤῥιζον, ἐφ᾽ ὅσον ἡ γράστις προσηνὴς τυγχάνει, καὶ λοιπὸν συλλέξει αἷμα νεαρὸν εἰς τὰς φλέβας, καὶ ἔσται εὐρωστότερος. ἀφαίρει δὲ τῆς ἡμέρας ὥρᾳ δευτέρᾳ. ἐπεὶ δὲ διεληλύθαμεν τὸν περὶ τούτου λόγον, λοιπὸν ἀρξώμεθα, πῶς δεῖ τοῦ ἵππου αἷμα ἀφαιρεῖν. αὐχενίζειν χρή, τὸν δὲ τόπον περιβάλλειν αὐχενιστῆρι, ἤτοι τὸν τράχηλον, καὶ προσανατείνειν, ἕως ἂν προσαναστῶσιν αἱ φλέβες. μὴ μέντοι καθιέναι τὸ φλεβοτόμον κατὰ βάθος, ἐπεὶ οὐ δυνήσῃ στῆσαι τὸ αἷμα εὐχερῶς. ἐὰν

gallo tantiſper incocto, dum prorſus intabuerit, ſextarius unus vini commixtus ingeritur. Sanguis, ſi [tantum] robur adeſt, ut mitti poſſit, detrahendus. Gramine aut medica paſcendus. Aſpergendus farina potus, ut eo [fultæ] animalis vires vegetæ ſerventur.

De ſanguinis miſſione & cibatu.

Noſſe videtur optimum, unde, quibus horis, quonam pacto & quibus modis ſanguis ſit equo dimittendus. Et naturas habituſque explorare. Siquidem nonnulli ſecunda conſtitutione prædıti ſunt, alii graciles, alii morbis patent. Et idem ſanguis non ineſt, ſed ne ſimilis quidem omnibus vitiis invenitur, verum colore ſanguis in unoquoque vitio diſſidet. Eorum enim qui inoffenſa valetudine degunt ſanguis bene temperatus eſt, copioſus, flavus: quibus, ne vitium inſideat, ſanguis detrahatur. Elangueſcentium ſanguis varius eſt, & ſpumoſus: ſed eorum qui hordeationis vitium ſentiunt eſt ater & glutinoſus. Primum itaque diebus ſenis equus viridi pabulo recreandus, nervoſis campis, quandiu [læta] farrago & ſuavis exit, quæ novum in venis ſanguinem creët, & [ſic] robuſtior equus reddatur. Sanguis hora ſecunda diei detrahatur. Sed poſtquam ſermonem hac de re fecimus, ſupereſt, ut quonam deceat pacto ſanguinem qui gravat, evocare, proponamus. Cervicem primum erectam oportet loro circumplecti, & tantiſper contendere, dum tori venarum protuberent: neque ſcalpellum tamen penitus adigere: quandoquidem ſi ferramento tranſigatur vena; non temere coibit, erum-

ἐὰν διαμαρτὼν τὴν ἀρτηρίαν διέλῃς. κροτάφους δὲ ἐὰν βούλῃ λῦσαι, περίβαλλε αὐχενιστῆρα περὶ τὴν κεφαλὴν πρὸς τὰ ὦτα, μέχρις ἂν διαναστῶσιν αἱ φλέβες, καὶ ὑπότεμνε, ὡς εἴρηται, μὴ κατὰ βάθος.

erumpensque sanguis ægre supprimi poterit. Si temporum venis sanguis sit emittendus, laqueus capiti circumponendus, vinculoque juxta aures distringendum, donec appressu venæ tumescant: postea, uti diximus, vena non alte subcidenda.

Πρὸς σύλληψιν φορβάδος.

Εἰ βούλει συλλαβεῖν φορβάδα, κνίδας ὦσον εἰς τὸ στόμα τοῦ ἵππου. ἐὰν τεκοῦσα ἅπαξ καὶ δὶς φορβὰς στῇ τοῦ τίκτειν, οὕτω ποίει, ἵνα συλλάβηται. ἀννήσου ὀξύβαφον α´, σμύρνης δραχμὰς ιβ´, κρόκου δραχμὰς δ´, λειώσας ἐπιμελῶς καὶ καθαρείως, καὶ ἀναπλάσας εἰς εἶδος βαλάνων ἁδρῶν, προσώθει καθ᾽ ἓν μίαν πρὸς τὴν φύσιν τῆς ἵππου ἕως τῆς μήτρας. προκαταντλεῖ δὲ τὴν φύσιν θαλαττίῳ ἀπεζεσμένῳ, καὶ ἐλαίῳ ὅσον κοτύλη μιᾷ, καὶ γλοιῷ διάτριβε τὴν ὀσφὺν καὶ τὰ αἰδοῖα καὶ τὰ παρακείμενα δὶς τῆς ἡμέρας, ἕως συλλήψεται, καὶ παρ᾽ ἡμέρας πέντε ἢ ἑπτὰ, γάλακτος κοτύλας τρεῖς, ῥοδίνου τέταρτον, ἱπποῤῥίζου δραχμὴν μίαν, πεπέρεως κόκκους ε´, σμύρνης ὁλκὰς β´, διαζέσας ἐγχυμάτιζε τὴν μήτραν χλιαρῶς, αὐλίσκον μακρὸν προσθείς. καὶ κρίθινον δὲ ἄλευρον ἑψήσας ἐν ὕδατι δίδου πίνειν, ἕως τέκῃ.

Ut armentitiæ concipiant.

Si gregalem equam concipere velis, urticam in os equi pellito. Si vero quæ semel aut iterum ventrem pertulit equa, partum edere desierit, hoc auxilio testibilis fœcunditas adferetur. Anisi acetabulum, myrrhæ sescuncia, croci semuncia diligenter & munde simul contrita digeruntur in adultarum glandium formas, quæ sigillatim in equæ naturalia, dum uterum subeant, impelluntur. Genitales loci antea subluantur, & fervefactæ marinæ fotu madescant, oleoque instar unius heminæ cum strigmentis balnearum lumbi & genitales sedes fœminum tenus, bis die defricentur, usque dum eam concepisse constiterit. Quinto septimove quoque die ternæ lactis heminæ cum rosacei parte quarta & hipporrhisi drachma, adjectis quinque piperum granis, & myrrhæ sicilico, cum efferbuerint, tepefactum jus fistula longa quæ ad vulvam perferat, infunditur, hordeaceam farinam in aqua coctam, dum partum enitatur, dabis potandum.

Πρὸς χοιράδας.

Συμβαίνει τὸ τῶν χοιράδων πάθος ὡς ἐπὶ τὸ πλεῖστον ἐξ ὑδάτων μεταβολῆς, οἷον καρύου τὸ μέγεθος. τῷ τοιούτῳ καυτήριον πρόσαγε σκληρόν. εἰ δὲ βήσ-

σει

Strumosis.

Strumas maxima ex parte parit aquarum mutatio: exitque tuberculum juglandis magnitudine: cui candens ferramentum admoveatur. Si tamen tussis premit, & contentius infestan-

to

σι, καὶ συντάσεως γινομένης, πάνυ μάλα δυσώδη ἐκφέρει. ἐγχυμάτιζε τοῖς λεαντικοῖς, ἵνα μὴ ἡ βὴξ παροξυνθῇ. εἴωθε γὰρ κακοῦσθαι ἡ ἀρτηρία ἐρεθισθεῖσα. κεδρίαν οὖν καθεψήσας, καὶ ῥάκει διηθήσας, ἐνάλειφε καὶ ἐγχυμάτιζε. ὡσαύτως δὲ χρῆσαι ποτίσματι τῷ ἀρωματικῷ μετὰ οἴνου, καὶ ἐλαίου καὶ ὠῶν καὶ μέλιτος ἐγχυματίζων. ἀφαίρει δὲ πρῶτον καὶ ἀπὸ τοῦ αὐχένος αἷμα. Σύνθεσις πρὸς χοιράδας. σύκων λίτραν μίαν, νίτρου γο ἓξ, χαλβάνης γο ἓξ, προπόλεως γο ἓξ, πίσσης γο δύο. Ἄλλο. ἐὰν ὑπὸ γένυν χοιράδες γένωνται, ἢ φύματα, πυρία πρότερον, εἶτα μίξας σύκα καὶ νίτρον κόπτε εἰς ἕν, μετὰ ἀξουγγίου ἢ κριθίνου ἀλεύρου, καὶ ἑψήσας ἐν ὑδρομέλιτι καὶ ἐλαίῳ κατάπλασσε. ἐὰν δὲ μὴ θεραπεύωνται, τέμνε καὶ τὴν τομὴν καῦσον. Μάλαγμα πρὸς ἄρθρα κεκλασμένα, καὶ χοιράδας, καὶ οἰδήματα. ἴρεως ἰλλυρικῆς γο ἓξ, κηροῦ α, ἰρίνου γο ἓξ, ἀμμωνιακοῦ γο γ', σιλφίου γο δ', μίξας μετὰ κηροῦ ἐν ἰρίνῳ ἐλαίῳ τηχθέντος, χρῶ. ἐὰν δὲ τὸ μάλαγμα ἄκοπον βούλῃ ποιῆσαι, χαλβάνης, ὀποπάνακος, κηροῦ, σιλφίου, ἀμμωνιακοῦ ἀνὰ γο δύο, ῥητίνης φρυκτῆς ∠ α, ῥητίνης πιτυίνης ∠ α, κολοφωνίας γο β συμμίξας θεράπευε. Ἄλλο σκεδαστικόν. Κηρύκια θαλάσσια καύσας, τῷ μέλιτι συνεψήσας, κατάπλασσε.

Πρὸς βῆχα.

Τραγάκανθαν ὡς λεπτότατα, καὶ

te vitio, grave olens spiritus redditur: ea quæ leniunt infundenda, ne lacessita tussis acerbius infestet. Irritata siquidē arteria noxam trahere consuevit. Ergo cedrinus liquor decoctus, & linteolo colatus, tam illitu quam infusione prodest. Postremo odorata potio quam aromaticam vocant, ex vino, oleo, melle, ovis, instilletur. Sed inter initia sanguis à cervice demittatur. Compositio ad strumas. Ficuum libram, nitri, galbani, propolis, singulorum selibram, picis sextantem. Aliud. Si sub maxilis strumæ vel tubercula prodierunt, primum fomentis utere, quibus tentatis, fici & tunsum nitrum miscentur cum axungia vel hordeacco farre & decoquuntur in hydromelite & oleo, dum cataplasmatis lentorem referant: & illinuntur. Quod si non sanetur, exscindi debet, & vulnus aduri. Strumas, furunculos, & articulorum nodos medicamentum emollit quod habet iris illyricæ, irini, singulorum selibram, ceræ unciam, ammoniaci quadrantem: quæ cum cera in irino oleo liquefacta miscentur, & cum usus requirit admoventur. Si fuerit in animo malagma componere, quod lassitudinem reficiat, acopum vocant: galbani, apoponicis ceræ, laseris, ammoniaci, singulorum dextantem, aridæ resinæ pinus, singulorum unciam, resinæ colophoniæ dextantem; commiscebis. co lassitudines discutiuntur. Sequens medicamentum dissipandi naturam habet. Buccina marina ignibus adoletur. Eorum cinis cum melle coctus illinitur.

Tussi.

Tragacantam quam minutissime

καὶ πλύνας, μίξας τι κριθαῖς καὶ ὀρόβοις, δίδου φαγεῖν. ἢ τὴν αὐτὴν τραγάκανθαν βρέξας ἐν οἴνου μέλιτος κοτύλῃ μιᾷ ἐπὶ ἡμέραις τρισὶν, ἔλαιον προσμιγνὺς ἐγχυμάτιζε, ἢ πηγάνου ῥίζαν καθεψήσας ἐν ὕδατος κοτύλῃ μιᾷ κλύζε, καὶ τῷ ἴσῳ ἐγχυμάτιζε. ἐπίβραινε δὲ καὶ τὰς κριθὰς χυλῷ μυρίκης κεκομμένης. ἐὰν δὲ πυώδη ἀναβάλλῃ διὰ τοῦ στόματος, ἢ τῶν ῥωθώνων, στέαρ ὕειον βρέξας ἐν οὔρῳ παιδικῷ ἐπὶ ἡμέραις τρισὶ, καὶ ἐπιβαλὼν οἴνου καὶ ἐλαίου ἀνὰ κοτύλην μίαν, καὶ συνεψήσας ἐγχυμάτιζε, ἢ δαφνίδας ἑψήσας, κόψον καὶ ἄλφιτα καὶ ἀξούγγιον παλαιὸν οἴνῳ γλυκεῖ δεύσας καὶ μίξας, καθ' ἡμέραν ψώμιζε, ἢ τὴν ἀρτεμισίαν βοτάνην καθεψήσας ἐν ὕδατι καὶ ἐλαίου κοτύλῃ μιᾷ ἐγχυμάτιζε. καὶ ἡ μαλάχη δὲ ἐν οἴνῳ γλυκεῖ καὶ ἐλαίῳ ἑψηθεῖσα τὸ αὐτὸ ποιεῖ. Ἄλλο. Πρασίου δεσμάτιον χειρόπληθες α. οἴνου λευκοῦ ξέ. α, τῆλιν ἀποβεβρεγμένην, ἰσχάδων χ α, ἢ φοίνικας κατ' ἀναλογίαν ἑψήσας εἰς τρίτον, δίδου ἐπὶ ἡμέραις τρισί. χρίε δὲ καὶ τῶν ποιούντων τὸ σῶμα μέχρι τῶν ὀνύχων. Πίτυρα ἀφεψήσας καὶ σαβάνῳ καλῶς ἐκπιέσας διήθησον, καὶ μίξας ὀμφάκινον ἔλαιον, δίδου, φυλαττόμενος, μὴ λέπος ἐναπομείνῃ τῶν πιτύρων. Ἄλλο. Μάζας ἀπὸ χοιρείου στέατος ποιήσας, καὶ περιχρίσας ἔξωθεν βουτύρῳ καὶ μέλιτι, διὰ στόματος δίδου. Ἄλλο. Κράμβης χυλῷ, ἀμιναίου οἴνου αὐτάρκως βληθέντος, ἐγχυμάτιζε.

Περὶ ἐκβολῆς ὤμου.

Ἐὰν ἐν ταῖς συμβολαῖς τῶν ὤμων

tissime dissectam, hordeo ervoque quod edendum objeceris, permisceto. Aut per triduum eandem tragachantam in una vini hemina maceratam, cui oleum sit adjectum, infundito. Aut radicem rutæ in aquæ hemina decoctam, clystere subdito, & parem modum in fauces dato. Hordeum quoque succo myricæ tunsæ conspergatur. Sed si purulentum quid ore aut naribus rejiciat adeps suilla quæ puerili urina triduo maduerit, & in singulis vini & olei heminis incocta sit, infunditur. Aut lauri baccæ decoctæ tunduntur, polentaque & vetus axungia vino dulci resperguntur: quæ coacta in offas, quotidie inferuntur faucibus. Vel artemisia herba, quæ in aqua & olei hemina decocta sit, inditur. Malva in vino dulci & oleo cocta idem præstat. Aliud. Marrubii manualem fasciculum addito, vini candidi sextario, item fœnum græcum maceratum, ficorum pinguium sextarium, aut palmulas eadem proportione ubi decoxeris ad tertias, per triduum propinabis. Quinetiam ad ungulas usque delibuto tergore corpus imbues. Item furfuris decocti & quam optime pressi [tortivus] cremor linteo percolatus, addito oleo quod acerbæ olivæ remiserunt, exhibendus est. Sed hanc animadversionem desiderat, ne evolutus furfure cortex huic immanserit. Suillæ adipis coactas offas butyro & melle exterius oblitas per os inferes. Aliud. Brassicæ succus cui satis aminei vini sit adjectum, infunditur.

Luxatis armis.

Si in armorum crurumque com-

ὤμων καὶ τῶν βραχιόνων γίνονται χωλεῖαι, σημεῖά ἐστι τάδε. οὐ προφέρεται εἰς τὰ ἔμπροσθεν, οὐδὲ συνάγει τὴν βραχίονα, ἀλλὰ ἐπισύρει τὸ σκέλος, ἐν δὲ τῇ καταβάσει καταφέρεται λίαν. θεράπευε οὖν ἐναλείφων οἴνῳ καὶ ἐλαίῳ, καὶ αἷμα ἀφαιρῶν ἐκ τῶν βραχιόνων, καὶ πλύνων ἐπὶ ἡμέραις ἑπτὰ, ἔπειτα σύγχριον ἐπὶ μιᾷ ἡμέρᾳ γλοιῷ παιδικῷ σὺν οἴνῳ καὶ ὄξει. Ἄλλο. ἐὰν ἵππου ὦμος ἐκβληθῇ, ἢ τινος τῶν ὑποζυγίων, ῥίψον αὐτὸν ἐπὶ τὸ ἔδαφος, ἵνα ὁ ἐκβεβλημένος ὦμος ἐπάνω ᾖ, καὶ δήσας τὸν πόδα, καὶ πρὸς δένδρον ἀποτείνας, πόκαρον ἐπιτίθει τῷ στήθει, καὶ τρυπήσας τὸ δέρμα τοῦ ὤμου, μέχρις ἡμερῶν τεσσάρων, βάλλε ἐπιούρους συκίνους, εἶτα ἐν οἴνῳ καὶ ἐλαίῳ βρέχε πολλῷ περιθεὶς τοῖς ἐπιούροις ἔρια, καὶ μετὰ τέσσαρας ἡμέρας λῦσον τοὺς ἐπιούρους, πάλιν βρέχε τοῖς αὐτοῖς. Καταπλασμα εἰς συνωμίας πόνον. Αὐτολύκιον ἢ ἐλλέβορον λευκὸν καὶ κελυφα ὠῶν κατακαύσας δ' κολοκυντων καὶ κεράσια τρία, καὶ ἀγριοσίκυον καὶ πάντα κόψας ἐν ταυτῷ ἐπίπασσε.

Περὶ τοῦ ἥπατος ἀλγοῦντος.

Ἐὰν ἵππος τὸ ἧπαρ ἀλγήσῃ ἀπὸ δρόμου, οἵ τε κενεῶνες ἕλκονται, κατὰ τὸν πνεύμονα ῥῆγμα γίνεται, καὶ συμπίπτει τὸ σῶμα, καὶ τροφὴν οὐ προσίεται, τό, τε αἷμα ἐν ταῖς φλεψὶν ἀνατρέχει. θεραπεύσεις οὖν ἀφαιρῶν αἷμα ἀπὸ τοῦ αὐχένος, καὶ ἐγχυματίζων σμύρνης καὶ λιβάνου ὁλκὴν, μετὰ οἴνου κοτύλης μιᾶς. σύγχεεται καὶ οἰνελαίῳ, καὶ δίδου ποτὸν σεμίδαλιν διακεχυλωμένην ὕδατι,

compaginibus claudicatio concitetur. Hæc sunt indicia. Nec anterius crus potest extendere nec replicare, sed ad se contrahit. In descensu quoque præcipitanter fertur. Huic olei & vini sublitu succurritur. Sanguis prioribus cruribus detrahendus. Septem dierum spatio perluitur, dein uno die puerili strigmento cum vino & aceto linitur. Aliud. Si equus aut aliud veterini genus armum è suo situ promovit, hunc humi prosternito, ita ut armus sua sede deturbatus in superiorem partem veniat: & ubi pedem alligaveris, & arbori nixus extenderis pectori vellusculum imponito, in perforatam armi cutem ficulneos clavos spatio quatridui pangito, & circumdatis vellere clavis oleo liberaliore proluito. Post quatriduum resolvito. dumque similiter clavos refixeris rursum eisdem eluito. Dolorem armorum lenit hoc medicamentum. Autolycium vel veratrum candidum, & putamina quatuor ovorum cremata, cucurbita, cerasia tria, & silvester cucumis, una tunduntur, ut cataplasmatis lentorem referant, & ita imponuntur.

De Jecinoris dolore.

Si jecinoris dolore conflictetur equus, à cursu ilia ducit. Nonnihil in pulmonibus rumpitur, concidit corpus, pabulum fastidit, venas recurrens sanguis explet. Hunc sanguine à cervice misso curabis. & myrrha & thure instar denarii cum vini hemina infusis. Sed & vino misto oleo obline. Sed [pecudis fastidio succurratur] dato potui similaginis cremorem. Et cibum, siqui-

ὕδατι, καὶ τροφὴν, εἰ ὀρέγεται. εἰ δὲ ἐπιμένοι τὸ πάθος, καὶ ἀπὸ τῶν μασχαλῶν ἀμφοτέρων αἷμα λάμβανε. γίνεται δὲ ἐνίοις τοῦτο, ὅταν ἐν ψηφῖσι καὶ τραχέσι καὶ λιθοστρώτοις χωρίοις σφοδρότερον δράμωσι. καὶ τούτοις δὲ κυμίνου ὀξύβαφον μετ' οἰνελαίου ἐγχυμάτιζε. Ἄλλο. Μέλιτος καὶ νίτρου ἀνὰ ὀξύβαφον, κυμίνου ὀξύβαφα δύο δίδους οἴνῳ ἐν ταυτῷ καὶ ἐλαίου, καὶ ὕδατος ἐπιχέας κοτύλας β' ἔγχει εἰς τοὺς μυκτῆρας. ἐὰν δὲ μὴ ὑγιὴς γένηται, αἷμα ἄφελε ἀπὸ τῶν σκελῶν τῶν ἐμπροσθίων ὑποκάτω τῶν γονάτων. ἐὰν δὲ μὴ οὕτως ὑγιὴς γένηται, καῦε καὶ τὴν πλευρὰν τὴν τρίτην ὑποκάτω τῆς μασχάλης ἀνὰ μέσον τῶν πλευρῶν ῥάβδοις, τέσσαρας δακτύλους ἀπὸ ἀμφοτέρων τῶν καύσεων διαλιπών. βατράχους λιμναίους μετὰ οἴνου χλιάνας, διὰ τοῦ στόματος ἐγχυμάτιζε ἐπὶ τρισὶν ἡμέραις. Προπότισμα ἡπατικόν. Στροβίλους λεπτοτάτους, κρόκου γο α', καὶ κυμίνου αἰθιοπικοῦ τὸ ἴσον ἐπιμελέστατα διηθήσας, ἐν οἴνῳ δίδου, ἢ πολεμώνιον τὸ ἐν τοῖς ἕλεσι γεννώμενον (ὅπερ ἔοικε καλαμίνθῃ πότητα ἔχον πικρὰν) ἢ καὶ ὀρίγανον ἀγρίαν μετὰ πεπέρεως, λείου, καὶ δι' οἴνου, ἢ βούτυρον καὶ μέλι, καὶ ὀποπάνακα καὶ σμύρναν ἐν ἴσῳ σταθμῷ λειώσας, καὶ οἴνῳ μίξας, διὰ μυκτήρων ἐγχυμάτιζε.

Περὶ τετανικοῦ καὶ ὀπισθοτονικοῦ.

Κασίας ὁλκὰς τρεῖς, σμύρνης τρωγλοδύτιδος ὁλκὰς β', τραγακάνθης ὁλκὴν μίαν, ταῦτα λειοτριβήσας, βάλε εἰς ἑκάστην πό-

σιν

ſiquidem cupit. Si vitium permanet, ab utroque alarum ſinu ſanguinem detrahere conveniet. Quoſdam hoc vitium cepit, cum per lapidoſum ſolum, aut per aſpera loca vel lapidibus conſtrata vehementius procurſariint: quibus acetabulum cumini cum vino & oleo immitte. Aliud. Mellis, nitri, ſingulorum acetabulum, cumini acetabula duo, vino immittuntur, & olei & aquæ ſinguli ſextarii ſuper hæc conjiciuntur, & per nares inſeruntur. Si iis bona valetudo reddita non eſt, ſanguis à prioribus cruribus ſub genua detrahatur. Si ne ſic quidem dolor finitus eſt, ſub alis tertia coſta candenti virgula vel bacillo per medium aduratur, interjecto quatuor digitorum ſpatio. Lacuſtres ranas cum vino tepefactas, triduo per os ingere. Hæc potio jecineroſis præſidio eſt. Pinea nux quam tenuiſſima, croci unica, cumini æthiopici tantundem, ea diligentiſſime creta, in vino præbentur. Item polemonium auxilio eſt, quod in paluſtribus enaſcitur calaminthæ ſimilitudine, amaro guſtu: ſilveſtre origanum, cum farina piperis & vino, aut butyrum & mel, opopanacem & myrrham, æquis ponderibus trita, & cum vino miſta, per nares utile eſt infundere.

De rigore nervorum & Opiſthotono.

Caſiæ drachmas treis, myrrhæ troglodytidis ſiciliquum, tragacanthæ drachmam unam, ea leviſſime contrita in ſingulas potiones demittito, drachmas treis, & ovorum candidum liquorem,

σιν ὁλκὰς γ', καὶ ὠῶν τὰ λευκὰ, καὶ ἐλαίου κοτύλην μίαν καὶ οἴνου παλαιοῦ τὸ ἴσον, μέλιτος κοτύλας β', καὶ ἐγχυμάτιζε ἐπὶ ἡμέραις τρισί. πρὸ τοῦ δὲ τροφὴν λαβεῖν, δίδου ὀρόβων πεφρυγμένων κοτύλην μίαν, ἢ ἐρείκης ὁμοίως. Ἄλλο. ἐὰν ὑπὸ ὀπισθοτόνου ἐνοχληθῇ ἵππος, ἀνακάθηται ὥσπερ κύων, καὶ ἀκολουθεῖ τὰ ὀπίσθια τοῖς ἐμπροσθίοις. τοῦτον μὲν φλεβοτόμει ἐκ τῶν βουβώνων, καὶ πυρία ὕδατι θερμῷ· εἶτα καταμίξας σύγχριε οἰνελαίῳ, καὶ δαφνίσιν. ἐπικείσθω δὲ ἐπὶ τῆς κεφαλῆς νάκος, ἢ τῶν ψυῶν τῆς αὐτῆς ἐμβροχῆς. ἐγχυμάτιζε δὲ βαλὼν σμύρνης γο γ', κρόκου ὁλκὴν μίαν, ἐλαίου κοτύλας δ', οἴνου ξέ. α'. Ἄλλο. κηρὸν ἀμμωνιακὸν, ῥητίνην, κολοφωνίαν, χαλβάνην, βδέλλιον, ὀποπάνακα, ἀξούγγιον, θεῖον ἄπυρον, μυελοῦ ἐλαφείου τὸ ἀρκοῦν βαλὼν ἐγχυμάτιζε. Ἄλλο. ἐὰν ἵππος ὑπέρτονος γένηται, ὅλῳ τῷ σώματι τρέμει, καὶ ἐπαναστὰς εἰς τοὐπίσω ἀπέρχεται, ἔπειτα ὀρθῶς ἀνίσταται, καὶ τρέμει ὅλος καὶ ἱδροῖ. ἰᾶται δὲ οὕτω. δεῖ λῦσαι τὰς φλέβας τὰς ἐν τῷ στήθει, εἶτα τὰς περὶ τὴν ἕδραν, καὶ λούειν θερμῷ πολλῷ, εἶτα κηρωτῷ τὸ σῶμα ἐναλείφειν καὶ στρωννύειν ἐν σκότει, καὶ ἠρεμεῖν ἐν τῇ ἱπποστασίᾳ ποιεῖν. ἐπὰν δὲ ἄνεσις γένηται τοῦ στεναγμοῦ, φαγεῖν δίδου χόρτον, καταρραίνων αὐτὸν νίτρῳ, κριθῶν δὲ ποίει ἀπέχεσθαι, ἕως ἂν ἀσφαλῶς σχῇ.

Τετάνου πρόγνωσις καὶ ἴασις..

Ἐὰν ἵππος τετάνῳ συσχεθῇ, ἡ κεφαλὴ αὐτοῦ ἐν τῷ τραχήλῳ πήγνυται, καὶ οὐ περιστρέφεται, εἰ μὴ μόλις,

& olei heminam unam, vini veteris tantundem, mellis sextarium, per triduum infundito. Sed autequam pabulum sumat, dato ervi parum torrefacti, aut item fresæ fabæ, heminam. Aliud. Si opisthotono infestetur equus ritu canis humi considet, & posteriora priores partes sequuntur. Huic sanguis ex inguinibus mittendus, & calida fovendus aqua. Mox oleo laurique baccis vino commistis illinendus. Caput caprina pellis induat. Lumbi eodem liquore perfundantur. Porro myrrhæ quadrans, croci pondo denarii, olei quatuor heminæ & vini sextarius unus infunditur. Aliud. Gummi ammoniacum, resinam, colophoniam, galbanum, bdellium, opopanacem, axungiam, sulphur ignem non expertum (medullæ cervinæ quantum satis addito) infunde. Si nervorum distentione laboret equus, toto contremiscit corpore, simul & horrore concutitur. Exurgens retrocedit, iterumque rectus assurgit, & sudat. Cui sic subveniendum. Venæ pectoris solvendæ, dein sedis. mox calida largiore proluendus. dein cerato corpus ungendum. In tenebris ei susternendum. Conquiescat in equili. Cum huc ventum est ut paucos gemitus exprimat, fœnum nitro aspersum detur edendum. Hordeo, donec periculis defunctus sit abstineatur.

Rigoris præsagium, & remedia.

Si equus rigore nervorum tentetur, caput immobile cervici innectit, nec nisi magna difficultate se revolutat. venæ dorsi disten-

μύλας, αἵτε νωπιαῖαι φλέβες συντείνονται ὥσπερ ἐπὶ τῆς ποδάγρας, καὶ τὰ ὦτα βέβληνται πλάγια, τό, τε στόμα ξηρόν ἐστι καὶ αὐχμηρὸν καὶ τὰ χείλη. κύαθον οὖν οἴνου ἀκράτου θερμάναντα, καὶ τοῦ ἀπὸ τῆς ποδάγρας φαρμάκου τὸ ἴσον, ὁποτέρου ἂν μᾶλλον μυκτῆρος τὸ πνεῦμα ἔχηται, εἰς τοῦτον ἔγχει. ἐὰν δὲ ἐγχέῃς, τροχαζέτω παραχρῆμα, καὶ μὴ δίδου ἐκείνης τῆς ἡμέρας μηδέν, ἀλλ' ἢ ἄλευρον πίνειν ἐφ' ἑκάτερον, δεῖπνον καὶ ἄριστον.

Ὀπισθοτόνου προγνώσεις καὶ ἴασις.

Πρῶτον μὲν τὰ ὦτα τοῦ ἵππου τείνονται ὀρθά, καὶ τὸ ὄμμα κατεστραμμένον ἔχει, καὶ οὐ δύναται στρέφειν ἐν μικρῷ, ἀλλὰ περιάγει ὅλον τὸ σῶμα συγκλῶν, καὶ τοὺς πόδας οὐ φέρει καθ' εὐθύ, καὶ ὁ τράχηλος δὲ σκληρός. εἰ οὖν φθάσει τὸ στόμα συγκλεισθῆναι, ἀπολεῖται ἀπὸ λιμοῦ. ἐὰν οὖν προφθάσῃς, καῦσον αὐτὸν ἀρξάμενος ἀπὸ τῶν ὀφθαλμῶν, καίων τὰ κύκλῳ, καὶ ἐν τῷ τραχήλῳ τρεῖς μακράς, καὶ ἐπὶ τοῦ λαγόνος γε, καὶ ἐπὶ τῶν κενεώνων ὡσαύτως, καὶ ἐπὶ τῆς ῥάχεως μακράς, καὶ ἐπὶ τῆς ὀσφύος παρὰ τὴν ἕδραν τρεῖς ἑκατέρωθεν. ἄλειφε δὲ τὰ τραύματα γλυκέσι, καὶ πυρία ὄξει, καὶ τὰ ἔγχυμα δίδου ἐπὶ ἡμέραις ἑπτά, τῇ δὲ ὀγδόῃ πλῦναι τὰ ἕλκη ὕδατι θερμῷ, καὶ θεράπευε τῷ λυκίῳ. μότους δὲ ἐρίων οἰσυπηρῶν ποίει, βρέχων ἐν μέλιτι.

Πρὸς διάρροιαν.

Ὀξυλαπάθου δέρμα μετ' οἴνου αὐστηροῦ ἐγχυμάτιζε, ἢ ῥάμνου φύλλα ἑψήσας μετ' οἴνου αὐστηροῦ τὸ αὐτὸ

distentæ velut in podagra rigent. aures in obliquum jactæ subriguntur. os siccum est & labia. Tum cyathum meri calefacti, & tantundem medicamenti quod podagricum appellant, qua spiritus nare prorumpens, magis cohibetur, hæc infundes. Quod ubi infuderis, cursu confestim agitetur, sitque reliqua dies abstemia: in qua nihil prorsus præter farinam in cœna prandioque detur hauriendum.

Ejusdem Tetani præsagia & curatio.

Primum aures equi surrectæ contenduntur. Oculos monstrat inversos, non nisi tarde admodum verti potest, sed corpus totum in orbem fere contorquet, nec in rectum pedes explicat. cervix rigida sentitur. Ergo si os concludatur, vitam fame finiet nisi confestim ustione subveneris. Hanc igitur ab oculis auspicatus, eorum ambitum ferramentis candentibus exulcerabis. in cervice lineas treis protrahes. In ilibus ductos totidem versus sulcabis: sed in spina longiores: in lumbis juxta sedem treis utrinque duces. Vulnera igne concepta dulcibus unguntur & aceto foventur. Diebus septem salivandum ægrotum pecus: octavo calida aqua vulnera laventur, & lycio sanentur. Turundæ è succidis lanis factæ & melle imbutæ ulceribus indantur.

Ad citatum ventrem.

Alvus plerunque corpus & vires carpit, operique veterinum reddit inutile. Acuti rhamni cortex ex austero vino infun-

αὐτὸ ποιεῖ. καὶ πᾶν δὲ εἶδος, ὃ στύφειν δύναται, δίδου. καὶ πύρινα ἄλευρα καὶ ἄλφιτα μετὰ οἴνου διδοὺς, ὠφελήσεις. Πρόγνωσις καὶ ἴασις. Τοῦ διαῤῥοίαν νοσοῦντος ἵππου ἡ κοιλία καταφέρεται, καὶ ἱδρὼς αὐτῷ ἐπιγίνεται, καὶ δυσπνοεῖ. θεραπεύεται δὲ οὕτως. μύρτων τῶν μελάνων ὅσον χοίνικος μέρος τέταρτον, τρίψας λίαν, ἐπιβαλὼν ἀνδράχνης τῆς κηπαίας ὅσον κοτύλας β', καὶ οἴνου γλυκέος τὸ ἴσον. τούτοις δεὶς τὰ μύρτα, ἔγχει διὰ τοῦ στόματος. καὶ ἐὰν μὴ βούληται πιεῖν, διὰ ἀμύλου δίδου, καὶ τὰς κριθὰς δὲ πεφρυγμένας παράβαλλε.

Ἐγχυματισμὸς εἰς τὸ αὐτό.

Ῥοδῶν πιτυΐνης λίτραν α', ῥοὸς βυρσικῆς λίτραν α', κικίδων ἀλεξανδρείνων τὸ ἴσον, ἀψινθίου, ἀβροτόνου, ὑσσώπου, πηγάνου, ἀνὰ γο ἓξ μίξας ἐν ταυτῷ, δι' οἴνου μυστάτου ἐγχυμάτιζε, σιλφίου γο τὸ ἥμισυ μίξας οἰνοκράτου ξέ. ἓν ἐγχυμάτιζε.

Περὶ στρόφου πρόγνωσις καὶ ἴασις.

Ὁ στροφούμενος ἵππος ἐπιγινώσκεται οὕτως. ὧδε κἀκεῖσε ῥιπτεῖ ἑαυτὸν πολλάκις εἰς τοὔδαφος, καὶ πάλιν διεγείρεται, καὶ παρασύρεται τὴν κοιλίαν τῷ ἐδάφει, σπᾶταί τε καὶ στενάζει καὶ ἱδροῖ τοὺς διδύμους, καὶ οἷον δεδακρυμένῳ ἔοικε, καὶ τὴν οὐρὰν τείνει, καὶ ἀπὸ τόπου εἰς τόπον ἀποχωρεῖ, ἀναπνεῖ τι θερμὸν, καὶ τὸ στόμα μέμυκε, καὶ κατάξηρον ἔχει τὴν

infundatur. Aut rhamni folia cum vino austero potata ventrem confirmant. Et ut summatim dicam, omne medicinæ genus adstringens dari potest. Tritici farina & polenta cum vino data opitulantur. Præsagium & auxilia. Equi profluvio laborantis alvus, sæpius quam ex consuetudine fertur, sudor prorumpit, spirandi difficultas exercet. Cui sic subvenitur. baccarum nigræ myrti sextarius operose teritur, & additis sativæ portulacæ duabus heminis, & passi sextario, baccæ dimittuntur & per os infunduntur. Si potionem hanc fastidit, ex amylo dari convenit. Hordeo torrefacto sustineatur. Si non restiterit citata ventris proluvies, danda erit hæc infusio, quæ jure valentissimis annumeratur.

Proluviei infusiones.

Rosarum quas pinus edidit, rhus qua coriarii utuntur, singulorum libra, gallorum alexandrinarum tantundem, absinthii, abrotoni, hyssopi, rutæ, singulorum selibra, miscentur, ut in unum coëant: quæ vino mysiato excepta faucibus infunduntur. Laseris semuncia cum diluti vini sextario itidem ingeritur.

De torminibus præsagium & remedia.

Torminosus equus sic deprehenditur. modo huc, modo illuc; frequenter in solum, se jactat. Iterum exurgit, soloque tractim ventrem apprimit. distorquet sese, & gemitus edit. Sudore testes perfunduntur, & collachrymantis imaginem ostendit. Atqui caudam protendit, & [inconstans] quoquoversus se confert. Naribus spiritus cum

τὴν γλῶσσαν, καὶ τραχεῖαν, καὶ τὰ ὦτα κεχαλασμένα, καὶ νυστάζει. θεραπεύεται δὲ λουτρῷ θερμῷ, καὶ σκεπάσμασι θερμαινόμενος, ἐγχυματιζόμενός τε διὰ τοῦ στόματος ἢ τῶν ῥινῶν, σμύρνης δραχμαῖς ε. ἐν οἴνου παλαιοῦ κοτύλαις ἓξ κεκραμέναις. μετὰ δὲ τὸν ἐγχυματισμὸν, ἔξαγε εἰς δρόμον, μὴ πολὺν διαστήσας χρόνον, μηδὲ σύντονον τὸν δρόμον ποιῶν, τροφὴν τε παράβαλλε, σέλινα ἱκανὰ, ἐὰν ᾖ· δίδου δὲ καὶ ποτὸν θερμὸν ὕδωρ, καὶ κενώσας τὴν κοιλίαν, ποίει πάλιν ἐντροχάσαι, ἵνα ἱδρώσῃ. ἢ καρδάμου σπέρμα τετριμμένον μεθ' ὕδατος, ἐγχυμάτιζε διὰ τοῦ ἀριστεροῦ μυκτῆρος, περιβολήμασί τε περίστελλε, καὶ τροφὴν δίδου τὴν λεγομένην μηδικὴν πόαν· εἶτα ἀποξύσματα τῶν ἐμπροσθίων ὀνύχων τρίψας, ἐν ὕδατος κοτύλαις τέσσαρσιν, ἐγχυμάτιζε, ἢ ἀπὸ ὀρύγματος μυγαλῆς λελειωμένου.

Πρὸς ὀρχέων φλεγμονάς.

Τὰς τῶν ὀρχέων φλεγμονὰς χρίε κεραμικῇ γῇ πεφυραμένῃ ὄξει, ἢ στρύχνῳ μετὰ ὄξους καθεψηθέντι. φλεβοτόμει δὲ ἀπὸ τῶν βουβώνων καὶ πότιζε ὕδατι ψυχρῷ. εἰ δὲ μὴ παύηται, πυρία οὔρῳ θερμῷ παιδικῷ, ὑποθεὶς μυλίτας λίθους πεπυρωμένους, ἕως ὑπὸ τῶν λίθων οἱ μηροὶ ἱδρώσουσι, κατάντλει δὲ καὶ ὕδατι θερμῷ, καὶ σύγχριε ἐλαίῳ, καὶ ποίει περιπατεῖν. Πρὸς οἴδησιν ὀρχέων. κρητάριον μετὰ κόπρου βοείου, καὶ κυμίνου, καὶ ὀξυκράτου λειώσας, χρίε μέχρι θεραπείας.

Πρὸς

cum fervore prorumpit. os concluditur. Siccam linguam asperamque recondit. Flaccescunt aures, pendulæque demittuntur. Subinde nutat. Calidis lotionibus curatur, operimentisque calefactus. mox myrrhæ drachmæ quinque in vini veteris sex heminis, per os aut nares infundantur. Post hoc infusum ad cursum procedat, non intercedente longo tempore; neque tamen vehementi cursu concitetur. Pabuli largum apium, si suppetit interponatur. Aqua calida detur potanda. Postquam alvum dejectione solicitaveris, rursus cursitare coges, quo sudorem possis elicere. Ceterum nasturtii semen tritum ex aqua per sinistram narem dimittatur. Vestimentis contegatur. Herba quæ dicitur medicina, pro pabulo cedat. ramenta priorum unguium intrita in aquæ quatuor heminis ingerantur: aut terra scrobiculi, quem mus araneus defoderit, trita fundatur.

Adversus testium inflammationes.

Testium inflammationes sublinantur figulari creta aceto subacta, aut solano in aceto cocto. ab inguinibus sanguis mittatur. frigidam aquam potet. Si iis non discutiatur morbus, puerili lotio foveatur, subditis lapidibus molaribus candentibus, quorum halitu profusoque vapore sudor evocetur à femoribus. calida profundatur aqua, oleo perlinatur. Detur opera, ut adambulet. Ad tumorem testium, cretam cum bubulo fimo, cumino & posca tritam, illine, donec conquiescat.

Πρὸς ῥεῦμα.

Ἅλας λειοτριβήσας μετὰ μέλιτος χρῶ.

Ad destillationem.

Sal cum melle tritus destillationem sistit.

Πρὸς πρόσφατον φλεγμονήν.

Καυστηρὸν συγκέρασον ἐν ὕδατι ψυχρῷ, καὶ δι' αὐτοῦ καθάρευσον τὸ τραῦμα, ἔπειτα ἐπίθες σπόγγον ὄξει βεβρεγμένην ἐπὶ τέτρασιν ἡμέραις. τῇ δὲ πέμπτῃ, ἄλευρον κρίθινον μετὰ ὕδατος φυράσας, ἐπίθες, ἕως ἂν τὸ τραῦμα οὐλὴν ἐπαγάγῃ, ῥόας φλοιὸν κατακόψας μετὰ λυκίου ἐπίθες τῷ ἀνεῳγμένῳ τόπῳ. Πρὸς φλεγμονὰς καὶ ὑδατίδας. θερμοσποδιᾶς γο α, ἀσβέστου ζώσης γο α, μετὰ οἴνου φυράσας καὶ μέλιτος, παραφυλαξάμενος πρὶν ἢ ξηρανθῆναι, οὕτω τῷ τραύματι ἐπίχριε. ἐπίμονον δὲ οὕτω θεραπεύων, εἰ πρόσφατα τὰ κονδυλώματα ᾖ. εἰ δὲ παλαιά, εὐφυῶς καυτηριάσας θεράπευε, καθὼς καὶ τὰ λοιπά. αὕτη δὲ ἡ αἰτία καμάτων ἐπιγίνεται, ὅτε ἵππος ἐν ξηρῷ τόπῳ, ἢ ἐν συλλίθῳ ἰσχυρῶς ἐλαθῇ, ἢ μετὰ πολλοῦ βάρους νωτοφορῶν ὁδεύσῃ. Ἄλλο. ῥοδοδάφνης γο γ, ἀσφάλτου γο γ, νίτρου γο γ, ἀξουγγίου γο γ, διηθήσας καὶ συμμίξας, καὶ ἐκ τούτων φάρμακον ποιήσας, ἐπίχριε.

Ad inflammationem recentem.

Si inflammatio recens infestat, rescindi debet, & candente ferro aqua frigida prius edomito vulnus emundari, dein spongia aceto madefacta per quatriduum imponi, quinto die hordeacea farina, aqua subacta, indi, donec vulnus cicatricem duxerit. Tum punici cortex contusus cum lycio sinui patefacto superponitur, Ad inflammationem & tubercula humorem aqueum eructantia, hydatidas vocant, calidi cineris unciam, calcis vivæ tantundem, cum vino & melle subacta, prius quam inarescant, ulceri superlines. Eo remedio pugnabis si recentia fuerint tubercula. Quod si vetustatem senserunt, more reliquorum, ubi egregie adusseris ferro, medicamentum postulabunt. Labor hujus morbi causam adfert, præsertim cum equus aspero loco vel lapidoso vehementer agitatus fuerit, aut ingenti pondere degravatus iter fecerit, aut dorsuarius sarcinam comportavit. Aliud Rhododaphnæ, bituminis, nitri, axungiæ, singulorum quadrantale pondus colatum mistumque in medicamentum coge, & postmodum illine.

Πρὸς νεύρων πόνον καὶ ὑδατίδας.

Τὰ ἀπὸ συναγωγῆς ἀποστήματα σιδήρῳ χρὴ διαιρεῖσθαι, εἶθ' οὕτως θεραπεύεσθαι, στέατος ταυρείου, χαλβάνης, βδέλλης, πεπέρεως λευκοῦ, ἀμμωνιακοῦ, ἐκ πάντων

Ad dolorem nervorum & hydatidas.

Qui quodam humorum coitu abscessus exiliunt, ferro sunt aperiendi, deinde tentanda hæc curatio. Adipis taurini, galbani, bdellii, piperis candidi, ammoniaci,

πάντων ἀνὰ γο γ̄, ἀλεύρου, λιβανωτοῦ γο δ̄, δαφνοκόκκων γο ᾱ, συμμίξας ποίησον φάρμακον, ἐξ οὗ πᾶν τραῦμα εἴωθε θεραπεύεσθαι. θεραπεύσεις δὲ καὶ οὕτω, κυκλαμίνου ῥίζης τέφραν, μετὰ ἀλεύρου ὀροβίνου, καὶ μέλιτος καὶ ὄξους φυράσας ἐπιτίθει τῷ τραύματι. εἰ δὲ τὰ αὐτὰ τραύματα εἴη βαθύτερα, μίλτον μετὰ μέλιτος μίξας, μοτῷ ἐρίοις τὸ τραῦμα ἀναπλήρωσον· εἶτα ἐπάνω ῥάκος ἢ σπογγιὰν μετὰ ὀξυκράτου ἐπίθες. πολλοὶ δὲ καὶ κηκίδας τετριμμένας, ἢ χυλὸν πρασίου μετὰ αἰθάλης ἐπιπάττουσιν. ἄλλο, ὥστε φλεγμονὴν δίχα σιδήρου θεραπεῦσαι. Σινήπεως, ἅλατος ἀλεξανδρίνου ἀνὰ γρα. δ', καρδάμου γο ᾱ, ὄξους γρα. β̄, ἀξουγγίου παλαιοῦ λίτρας ς', πάντα λεάνας, καὶ εἰς ὀθόνιον ἐμπλάσας, ἐπίθες ἐπὶ ἡμέρας τρεῖς, καὶ μετὰ ταῦτα λύσας καὶ ἀποσπογγίσας σπόγγῳ ἐπιρράνθεντι λασερπίῳ κυρηναϊκῷ· οὕτω τὰς ἐφελκίδας ἀνοίξεις. ἄνθος χόρτου καύσας μετὰ ὀξυκράτου ψυχροῦ πρόσαγε, ἄχρις οὗ ἡ φλεγμονὴ καταμαρανθῇ, καὶ μετὰ ταῦτα σκόροδα λεάνας, κατὰ τῶν σφυρῶν ἐπίθες. ἔστι δὲ δοκιμώτατον.

Πρὸς ἄρθρα κεχαλασμένα καὶ ὕδατα. Ἀλοκυσμύρναν, μάνναν, λίβανον, πίσσαν βρυτίαν, πάντα ἐν ταυτῷ λεάνας, ἐπίβαλλε καὶ σίτινον ἄλευρον, προσμίσγων καὶ τὸ ᾠοῦ τὸ λευκόν, ἔπειτα ἀναλάμβανε καὶ χρῶ κατὰ τῶν ἄρθρων, ἐπιδήσας χάρτῃ ἐπιμελῶς, καὶ μετὰ τινὰς ἡμέρας λύσας, πάλιν τὸ αὐτὸ βοήθημα προσάγων θεράπευε.

Πρὸς θεραπείαν ἰγνύων φλεγμονῶν.

niaci, singulorum pondo quadrans, pollinis thuris pondo triens, baccarum lauri pondo uncia, miscentur ut in medicamentum concrescant, quo vulnus omne sanari consuevit. Nec ab hac curandi ratione tum abhorrebit, cyclamini radicis crematæ cinerem cum ervi farina melle acetoque subactum superponere vulneri. Si vero vulnera penetrent altius, quam ut horum vim possint sentire, linamentis rubrica melli mista madentibus oppleantur, mox pannus aut spongia posca imbuta admoveatur. Multis tritas gallas aut marrubii succum cum fuligine satis est imposuisse. Ut inflammatio ferrum non experiatur. Sinapis, salis alexandrini, singulorum sextula, nasturtii aceti scrupuli duo, axungiæ veteris sesquilibra, omnia simul terantur, illitaque linteo per triduum imponantur: dein soluto medicamine, deletili spongia cyrenaici laseris imbre rorata defricentur. sic ulcerum crustæ fatiscunt. Pœni florem ustum cum frigida posca tantisper admove, dum inflammatio prorsus consederit, & evanida abierit: deinde tritas alliorum spicas talis impone. Est autem hoc inter probatissima remedia.

Cum artus luxati dehiscunt, aut aquosa scatent uligine, aloën, mannam thuris, picem brutiam una conteres, triticeam farinam adjicies, & candidum ovi liquorem, quo excipiantur reliqua. dein articulis agglutinabis, diligenter charta deligabis. post aliquot dies resolves. Rursus idem remedium dum consanescet adhibebis.

Si poplites inflammationem sen-

μεμιγμένων. κηροῦ, ἀσφάλτου, θείου ἀπύρου, ἰσόσταθμα διαλύσας, ἕως θερμά εἰσι, τὴν ἰγνύαν καταχρίει. ἐπιτίθει δὲ καὶ πίτυρα μετὰ ὄξους. ἄλλο. ἐὰν ἵππος ἐν τοῖς ἁρμοῖς ἢ τοῖς ποσὶ παχύτερα σχῇ νεῦρα, ἢ κονδυλώματα, ἀναγκαῖόν ἐστιν ἐπικαίειν τὰ τοιαῦτα. εἰ δὲ καὶ τὴν τῶν ἄρθρων ὑπεξέλθοι τάξιν, ἐξ ἀνάγκης δῆλον, ὅτι ἀφαιμάσσειν προσήκει, καὶ αὐτὰ τὰ μέλη ἁπαλῶς ἀνατρίβεσθαι. χρήσῃ δὲ καὶ τοιαύτῃ θεραπείᾳ. ὀξέλαιον, ἐρίῳ ἀναλαβὼν, κατὰ τῶν ἄρθρων ἐπίθες ἐπὶ ἡμέραις τέτταρσιν. οὕτω δὲ καθ' ἡμέραν ἡ τοιαύτη προσαγέσθω θεραπεία. μετὰ δὲ ταῦτα θερμῷ βοηθήματι στερεοῦσθαι χρὴ τὰ ἄρθρα. τοῦ δὲ βοηθήματος ἡ σκευασία αὕτη. σινήπεως κεκαθαρμένου λίτραν α', χαλβάνης γο γ', μυελοῦ ἐλαφείου γο γ', καὶ ὄξους τὸ ἀρκοῦν. ἐὰν ῥεῦμα εἰς τοὺς πόδας τοῦ ἵππου ἐμπέσοι, οἰδαίνει τὰ τούτου γόνατα, καὶ χωλαίνει. ἐὰν οὖν ἐν τοῖς ὀπισθίοις ᾖ, καῦσον αὐτὸν καυτηρίοις στρογγύλοις ἔσωθεν ἐπὶ τῆς ἀγκύλης καύμασι πέντε. ἔξωθεν δὲ πλατέσιν ἀμφοτέρωθεν. ἐὰν δὲ ἐν τοῖς ἐμπροσθίοις κάτωθεν ᾖ, τοῦ γόνατος καύσεις μανδακηδὸν ἐπιμελοῦ ὡς καὶ τὰ λοιπὰ καύματα.

Πρὸς νεύρων παχύτητα. τῆλιν μετὰ σύκων Ἄφρων κεκομμένων καὶ οἴνου μίξας ἀπόθου, καὶ μετὰ τρεῖς ἡμέρας λύε. ἄλλο. ἐὰν φλεγμονὴ περὶ τὰ σκέλη ἢ τὰ γόνατα γένηται ἀπὸ μακρᾶς ὁδοῦ, ἢ δρόμου πολλοῦ, συμβάλλεται ψυχρῷ ὕδατι τὰ φλεγμαίνοντα μέρη καταντλεῖν, ἢ εἰς ποταμὸν ἢ εἰς ῥεῖθρον εἰσάγειν, καὶ ἀναπατεῖν ἐκεῖσε ποιεῖν, ὕστερον σπόγγον μετὰ λασέρου καὶ ὄξους καὶ ἰξοῦ, καὶ οἴνου ἀφεψημένου, καὶ ἀξουγγίου προσφέρειν.

Περὶ

sentiant, ceræ, bituminis, sulfuris ignem non experti, paria pondera resolvuntur, quibus calidis poplites sublinuntur, furfures imponuntur ex aceto. Aliud. Si in equorum armis nervi crassiores protuberent, aut nodi, quos condylomata vocant, occaluerint, eos adurere necessum est. Si vero ex articulorum sede prosilierunt, sanguinem opus erit emittere, mollitérque membra fricare. Conducit & tali uti remedio. Oleo cum aceto lana exceptum, per quatriduum articulis imponendum, sic ut quotidie id genus medicamenti admoveatur. Post hæc calido auxilio firmandi sunt articuli. cujus remedii compositio hæc capit, sinapis purgatæ libram, galbani quadrantem, medullæ, cervi tantundem, aceti quod satis esse videbitur. Si defluxio pedes equorum occupet, genua tumescunt, & claudicat. Si vero posterioribus insideat, teretibus ferramentis uratur, interiore suffraginum flexu, quinq; locis, exterius utrinque latis. Si vero in priora decumbat à genu plagæ cancellatim imprimantur. Ulcera igne facta ut cætera sanentur.

Si nervi plus æquo incrassescant, fœnumgræcum cum ficis Afris tusis & vino mistum imponitur. id post triduum solvitur. Aliud. Si circa crura aut genua longo itinere aut multo cursu nascantur inflammationes, proderit frigida qua partes inflammatas perfundere, aut in flumen agere, aut alveum adverso flumine ingredi, deinde spongiam, lasere, aceto, visco, defruto, axungiaque intinctam admove.

De

Περὶ φθορᾶς τριχῶν.

Τριχῶν αὔξησιν τὴν ἐν τῇ χαίτῃ καὶ οὐρᾷ εἰ βούλει ποιῆσαι, πρῶτον οὔρῳ παιδικῷ ἀπόπλυνε, εἶτα ἀσβέστου κονίαν καὶ ψιμμύθιον, καὶ λιθάργυρον τρίψας, καὶ ὕδατι φυράσας καὶ ἑψήσας χρῶ.

Περὶ κατάγματος.

Κατάγματος γενομένου ἐν κεφαλῇ, ἐὰν διακοπῇ τὸ ὀστοῦν ἢ ἡ μῆνιγξ, οἱ ὀφθαλμοὶ ὕφαιμοι γίνονται, καὶ αἵματος πλήρεις, καὶ βήττει, καὶ τὰ σκέλη ἔξω διῳδηκότα. ὁ τοιοῦτος δὲ σωθῆναι οὐ δύναται.

Περὶ καρκινώματος.

Τῶν δὲ καρκινωμάτων ἀρίστη ἐστὶ καὶ ταχίστη, ἡ διὰ τοῦ μαλάγματος τοῦ κωνείου, καὶ ῥητίνης, καὶ ἰξοῦ, καὶ χαλβάνης σύνθεσις. ταῦτα ἑψήσας χρῶ θερμῷ βοηθήματι, ἐὰν τόπος ἐπιδέχηται. εἰ δὲ μή, καταπλάσμασι ξηροῖς καὶ τηκτοῖς τούτοις. καρκίνους ποταμίους καύσας καὶ τρίψας ἐπιτίθει, μετὰ τρυγὸς ὀξηρᾶς, πίτυός τε φλοιὸν κεκομμένον, καὶ κίσσηριν κεκαυμένην, καὶ κωνείου σπέρμα, καὶ σικύου ἀγρίου ῥίζαν κόψας ὁμοῦ, μεθ' ὕδατος ψυχροῦ καὶ ὄξους καταπλάσσε, καὶ αὖθις περίπλυνε οἴνῳ. φαρμάκῳ δὲ χρῶ τούτῳ. τρύγα λευκὴν καύσας μετὰ μολυβδαίνης καὶ χαλκάνθης κεκομμένων, καὶ λαβὼν πρὸς ταῦτα κονίαν ἀσβέστου, ἄγαν ξηρὰ προσάγε. τὰ δὲ κύκλῳ ἐλαίῳ ἐπάλειφε. εἰ δὲ ἀποσκληρωθῇ, ὀρόβους καὶ μέλι ἄλειφε.

Πρὸς τὰ ἐν ὀφθαλμοῖς καρκινώματα. Ὀρόβους ἀληλεσμένους μετὰ ἐλαίου ῥοδίνου καὶ ᾠοῦ ἔμβαλλε, καὶ μετὰ τὸ καθαρθῆναι τὸ τραῦμα,

μέλιτι

De pilorum marcore.

Si voles id præstare, ut jubæ, caudæque pili capessant incrementum, puerili urina sublues. Postea calcis lixivium, cerusam, & spumam argenti teres. postquam aqua subegeris, & igni coxeris, uteris.

De fractura.

Si os in capite fractum est, aut cerebrum membranave ejus vulnus accepit, oculi cruore suffunduntur, & sanguis oculos implet, & tussit, crura tumescunt. Talis servari non potest.

De carcinomate.

Carcinomatis optimum & præsentissimum remedium est malagma quod cicuta, resina, visco galbanoque constat, quæ simul coquuntur. sed hoc auxilio calido utendum, modo locus non refragetur. sin reclamet, siccis iis cataplasmatibus & liquidis est pugnandum. cancres fluviatiles ustos tritosque cum acida fece superpones. Item pineum corticem tusum, pumicem crematum, & cicutæ semen, silvestris etiam cucumeris radicem ex frigida aqua & aceto tritam illines, rursumque vino fovebis. Hoc autem uteris medicamento. candidam fecem cum plumbagine atramentoque sutorio tusam, addito calcis cinere perquam sicco, admovebis, circumdantes partes oleo perunges. Si medicamentum obduruit, ervum & mel illines.

Si carcinomata oculos occupant, ervum pinsitum ex rosaceo & ovo instillatur. Postquam vulnus purgatum fuerit, Attico

melle

μέλιτι ἀττικῷ ἔγχριε, ὥστε, συνουλωθέντος τοῦ τραύματος, ἰαθῆναι.

Περὶ μελικηρίδων.

Ἐὰν μελικηρίδας ἔχῃ ἵππος, ἢ τι τῶν ἄλλων ὑποζυγίων, φλεβοτόμει περὶ τὰ γόνατα, καὶ σπόγγον ἐπιτίθει δι' ὀξυκράτου μίσγων μέλι. ἐὰν δὲ ἐπιμένωσι, κατάχριε. ἐὰν πλείονα χρόνον ὦσι, καῦσον αὐτὸν εἰς ἕκαστον γόνυ, μὴ κατὰ βάθος μέντοι, ἵνα μὴ τὴν ἁρμογὴν λύσῃς, ἀλλὰ μηδὲ ἐλλιπῶς, μηδὲ ἐπισυνάψῃς. θεράπευε δὲ ὡς καὶ τὰ λοιπὰ καυτήρια ἀποδεσμεύων. ἄλλο. Ἐλαίου λίτρας δύο, ἁλὸς ἀμμωνιακοῦ γο β', μολυβδαίνης γο η', χαλκοῦ κεκαυμένου γο β', λεπίδος χαλκοῦ γο β', ἀφρονίτρου τὸ ἀρκοῦν, μάννης, λιβάνου, ψιμμυθίου ἀνὰ γο γ', πάντα μίξας ἐν ταυτῷ, χρῶ. ἄλλο. νίτρου γο γ', ῥοδοδάφνης φύλλων ξηρῶν, ἀξουγγίου, παλαιοῦ ἀσφάλτου ἀνὰ γο γ', ἢ ἁλὸς ἀμμωνιακοῦ, μολυβδαίνης, λιθαργύρου, ψιμμυθίου ἀνὰ γο α', χαλκοῦ κεκαυμένου γο β', ἰοῦ τὸ ἴσον, καὶ ἐλαίου γο ς', πάντα μίξας χρῶ. ἄλλο. εἰ μελικηρίδας ἵππος ἔχῃ, ἀνακολλήμασιν αὐτὸν θεραπεύσεις, καὶ τῇ πρώτῃ ἡμέρᾳ ἅλατι καὶ ἐλαίῳ τρίψεις, καὶ τῇ ἑξῆς θερμῷ ὕδατι ἀντλήσεις, ἐπιχρίων τοὺς ὄνυχας στέατι χηνείῳ καὶ βυτύρῳ.

Πρὸς κιρσούς.

Ἐὰν κιρσοὶ ἐνοχλῶσι τὸν ἵππον, οὕτω θεραπεύσεις. σμίλῃ ἀνοίξεις καὶ καύσεις, καὶ τρίψεις ἅλατι

melle nutriendum, ut inducta cicatrice consanescat.

De Meliceridibus.

Si meliceridas equus aut aliud jumentum contraxit, genibus sanguis detrahatur. spongia cum posca cui mel sit adjectum, superponatur. Si permaneant, illini debent. Si adhuc perdurent, utrumque genu ferramento adure: nec alte tamen imprime, sed quasi transcurre, ne compages resolvatur. sed non plus quam opus est. neque coagmentum etiam contingatur. tum ulcera ut reliqua igne facta curari, & fasciari debent. Aliud. Olei libras duas, salis ammoniaci sextantem, plumbaginis bessem, æris combusti, squamæ æris, singulorum sextantem, spumæ nitri quod sit satis, mannæ thuris, cerusæ, singulorum quadrantem. omnia miscentur ut in usum veniant. Aliud. Nitri quadrantem, foliorum rhododendri siccorum, axungiæ veteris, bituminis, singulorum quadrantem: aut salis ammoniaci, plumbaginis, spumæ argenti, cerusæ, singulorum unciam, æris usti, æruginis, singulorum sextantem, olei selibram. cum omnia miscueris, utitor. Aliud. Si meliceridés equum infestent, medicamentis quæ agglutinando reprimunt, subvenies. Primo quoque die locum sale & oleo defricabis. secutis diebus calida aqua perfundes. unges anserino adipe, & butyro nutries.

Varicosis.

Si varices noxii sunt, hac ratione tolluntur. scalpello cutem aperies, & candente ferramento adures

ἅλατι καὶ ἐλαίῳ ἐπὶ δέκα ἡμέρας. εἰ δὲ ἔτι ἐνοχλεῖται, αἷμα αὐτοῦ ἀφαιρήσεις, καὶ θεραπευθήσεται. ἐνίοτε κιρσοὺς ἔχει κτῆνος, καὶ ὅταν ἐξ ὕπνου ἀναστῇ, παρέλκει τὸν πόδα, ὡς δοκεῖν ἐκβεβλῆσθαι. χειροτριβήσας οὖν αὐτὸν, ποίησον περιπατῆσαι, καὶ παραχρῆμα εἰς τάξιν καταστασθήσεται.

Πρὸς σκώληκας.

Τὸ τῶν σκωλήκων πάθος ἐστὶ δυσίατον, μᾶλλον δὲ ἀνίατον. σημεῖα δὲ προσγίνεται τῷ πάσχοντι ἵππῳ ταῦτα. ῥίπτει ἑαυτὸν ἐπ᾽ ἐδάφους, καὶ κυλίεται, καὶ χρεμετίζει. βαλὼν οὖν χυλὸν κράμβης καὶ ἔλαιον, καὶ νίτρον, ἐγχυμάτιζε διὰ τῶν ῥινῶν καὶ τοῦ στόματος, ἢ λεπίδος γο γ, καὶ ἰσχάδας, καὶ χαλκάνθης γο δ, λειοτριβήσας καὶ ἔλαιον ὁμοῦ ἐπιβαλὼν, καὶ ποιήσας κολλύρια μεγάλα, ὅσον χωρήσουσιν οἱ μυκτῆρες, δι᾽ αὐτῶν ἔμβαλλε.

Περὶ δήγματος μυγαλῆς.

Γίνεται ὡς ἐπὶ τὸ πολὺ δηχθῆναι τὸν ἵππον ἐν τῇ ἱπποστασίᾳ. Κατακλιθέντος γὰρ αὐτοῦ, ταῖς λαγόσιν ἠρέμα πως ἐπιστρέφεται ἡ μυγαλῆ, καὶ, μεταξὺ κινηθέντος αὐτοῦ, ὑποταραχθεῖσα, δάκνει τὸν ὑποκείμενον τόπον, ἐξ οὗ συμβαίνει οἰδήματι γενέσθαι. τοῦτον οὖν θεραπεύσεις οὕτως. λαβὼν μελανθίου λείου ὀξύβαφον ἕνα, οἴνῳ προσμίξας ἐγχυμάτιζε, ἢ σκόροδον τρίψας, καὶ ἅλας, καὶ κύμινον, ἴσον ἑκάστου συμμίξας, οἴνῳ τε φυράσας κατάχριε, ἢ ὕρω γῆν ἐξ ἁματροχίας φυράσας, ἢ μυγαλῆν αὐτὴν

adures. tum ſale & oleo decem diebus defricabis. Quod ſi adhuc fatigent, ſanguinem ab vatriculis evocabis, & ſanitati reddentur. Interdum varices pecus male habent, ut cum ſomno excitum ſurgit, trahit pedem, ut quaſi quondam luxatus videatur. ſed preſſa manu terga ſubige, daque operam ut inambulet: [quod luxum videtur,] ſtatim ad piſtinum ordinem redibit.

Ad vermies.

Solent etiam vermes nocere: quod vitium non facile medicamentis expugnatur: ſed potius invictum, non cedit. quorum ſigna ſunt. ſe in ſolum equus abjicit volutaturque, atque ſolito frequentius hinnit. Succus igitur braſſicæ, cum oleo nitroque per os & nares infunduntur: aut ſquamæ æris, caricarum, atramenti ſutorii, ſinguli trientes leviſſime teruntur, & in collyria formantur magnitudine, qua nares ſunt capaces, per quas injiciantur.

Ad morſum muris aranei.

Accidit equum in ſtabulo ſæpius impeti morſu. cum enim decubuit ipſe, ſenſim ad ilia mus araneus irrepit, qui equi motu laceſſitus, ſubjectæ parti vulnus imprimit: tumorque oritur. Cui ita ſubvenies. Triti gith acetabulum ex vino infundes: tritas allii ſpicas, ſalem, & cuminum, paribus ſingulorum menſuris vino miſtis illines. aut terram orbitæ urina ſubactam aut intritum murem araneum cum ſextario vini faucibus infundes. Sin murem araneum non inveneris, creta figulari perlines. apii etiam

αὐτὴν τρίψας, μετὰ οἴνου ἐγχυμάτιζε ξέ. α. ἐὰν δὲ μὴ ἔχῃς μυγαλῆν, μετὰ πηλοῦ κεραμικοῦ φυράσας κατάχριε, ἢ σελινόσπερμα καθεψήσας ἐν οἴνῳ καὶ ἐλαίῳ ἐγχυμάτιζε ἢ καταχάρισσε ὀρθῷ φλεβοτόμῳ τὸν ᾠδηκότα τόπον. ἐὰν δὲ ἐπὶ πλεῖον γένηται φλεγμονή, κύκλῳ καῦσον περιφερεῖ καυτηρίῳ, προσλαμβάνων καὶ τοῦ ὑπολοίπου τόπου. καῦσον δὲ καυτηρίοις ὀρθοῖς, ἵνα οἱ ἰχῶρες ἀποῤῥέωνται. ἐὰν δὲ ὁ ᾠδηκὼς τόπος ἐπὶ πλεῖον ἑλκωσιν σχῇ, κριθὰς κατακαύσας καὶ λειοτριβήσας ἐπίπασσε, προχρίων στέατι παλαιῷ. οὐκ ἔσται δὲ ἕλκος, ἐὰν μὴ ἔγκυος οὖσα δάκῃ.

etiam semen coctum in vino & oleo demittes, ac tumentem locum recto scalpello punctim vellica. Si per hæc inflammatio magis excandescat, in orbem teretibus ferramentis candentibus exulcerabit, sanæ partis aliquid deprehendens. rectis quoque ferramentis, quo sanies emanet, redulcerabis. Quod si pars ea per ulcerationem intumescat, hordeum crematum tritumque consperges. sed antea vetustam adipem inungere convenit. Ulcus non excitabitur, nisi prægnans mus araneus morsum attulerit.

Περὶ θλάσματος.

Ἐὰν ἴσω θλᾶσμα γένηται τοῦ ποδὸς, θεραπεύσεις οὕτως τὸν ἵππον. περιχαράξας τὴν ὁπλὴν, καταπλάσσε κριθαῖς, ἡψημέναις ἐν ὕδατι, ἢ πίτυρα θερμὰ φυράσας, καὶ μίξας παλαιὰν κόπρον ὀλίγην καταπλάσσε. ἐὰν δὲ τὸ ὀστάριον τὸ ἐν τῇ χελιδόνι φανῇ, μέλιτι καὶ ὄξει χρώμενος, καὶ ἐλλυχνίῳ μότου ἐπὶ ἡμέρας τρεῖς. εἶτα στύμματα ἐπιτίθει, κυπαρίσσου φύλλα λειοτριβήσας μετὰ ὄξους, ἢ μυρίκης φύλλα ὁμοίως ἐπιτίθει, ἢ σιδίων κέλυφα ἑψήσας ἐν ὄξει, καὶ λειάνας ἐπίθες, ἢ ξηρὰ κόψας ἐπίπασσε, ἢ χαλκάνθης μέρος, καὶ κηκίδας κόψας, τὸ αὐτὸ ποίει, προαποπλύνων ὄξει τὸν τόπον.

De fractis.

Si intenti pars pedis fuerit contusa, curandi ratio hæc est; Ungulam scarificando circumcisam cocto in aqua hordeo linito, aut calidos furfures subactos misto pauco vetere fimo inducito. Si in cavo pedis, quam hirundinem veterinarii nominant, ossiculum apparuerit, oleo & aceto imbutum linamentum triduo inculcato, deinde quod astringat impone: cypressi folia ex aceto trita. aut myricæ folia similiter imponito. aut malicorium in aceto decoctum tritumque, aut aridum in farinam redactum inspergito. Item atramenti sutorii & galbæ pares portiones tunsæ eundem exhibent effectum: sed prius aceto locus eluatur.

Περὶ λύσσης.

Τῷ λυσσῶντι ἵππῳ παρέπεται σημεῖα τάδε. οἱ ὀφθαλμοὶ προσπίπτουσιν ὕφαιμοι, καὶ αἱ φλέβες μετέωροι γίνονται καὶ τὸ σῶμα, καὶ ἀσιτεῖ,

De rabie.

Rabiosum equum hæc signa portendunt, oculi cruore suffusi procidunt. venæ solito sublimiores micant. hunc inedia conficit, angor solicitat. Ratio curandi

ἀσιτεῖ, καὶ ἀγρυπνεῖ. θεραπεύειν οὖν χρὴ οὕτως. ἱμάτιον περιβαλὼν εἰς τὸ πρόσωπον, ὥστε μὴ βλέπειν τοὺς προσιόντας, ἀποδήσας μέσον τὸν αὐχένα, λῦσον τὰς φλέβας τὰς πλατείας, καὶ ἄφες ἀποῤῥεῖν, ἕως οὗ ἐκλυθῇ. εἶτα τὸν αὐχένα λύσας, καὶ στήσας τὸ αἷμα, ἐν ζοφώδει τόπῳ ποίει ἵστασθαι, καὶ ἔα ἡσυχάζειν, μήτε ψόφου τινός, μήτε θορύβου ἐκεῖσε γινομένου. εἰς δὲ τὴν ἑσπέραν δίδου πιεῖν ὕδατος χόα ἕνα, καὶ τῇ ἄλλῃ ὁμοίως, ὑποστελλόμενος καὶ σιτία καὶ τὸν ποτόν, ἕως ἡμερῶν τριῶν· εἶτα δίδου τὰ εἰωθότα.

Περὶ στρέμματος.

Τὰ τοῦ στρέμματος σημεῖά ἐστι τάδε. οὐ καθίσταται ὁ ποὺς ἐπὶ τῇ συμβολῇ τῇ χοινικίδι καλουμένῃ, ἀλλ' ὑποφεύγει. καὶ μετέωρα γίνεται τὰ κατ' ὄνυχα. θεραπεύειν, περιχαράξας τὴν ὁπλὴν καὶ περιδήσας πίτταν καὶ σπόγγον μετ' ὄξους ἐπὶ ἡμέραις ἑπτά. ἐὰν δὲ μὴ ἀποκατασταθῇ, λαβὼν βούκερω, ὅ ἐστι τήλεως, χοίνικα, βρέξον ἐν οἴνῳ ἐπὶ ἡμέραις τρισίν. εἶτα ἀποχέων τὸν οἶνον τὸ βούκερον κόψον, καὶ βαλὼν εἰς χύτραν μετὰ μέλιτος ἕψε, καὶ οὕτως καταπλάσσε ἐπὶ ἡμέραις ἕξ. τὰ δὲ παλαιὰ στρέμματα χρὴ καίειν καγκελλωτῶς.

Ἄλλο.

Τὸ στρέμμα ἤτοι χάλασμα οὕτω χρὴ καταμανθάνειν. σφίγγε ταῖς χερσὶ τὸν ὄνυχα, καὶ, ἐὰν σφοδρῶς ἀλγῇ, διέστραπται τὸν ὄνυχα. τοῦτο δὲ συνεχῶς οἱ ἐν τοῖς ἅρμασιν

randi hæc eſt. ubi veſtimento faciem obduxeris, quo minus accedentes intueatur & mediam cervicem obligaveris, latas venas ſolvito, & ſanguinem profluere ſinito, donec animus eam deficiat. deinde reſolutis colli vinculis, ruentem ſanguinem ſiſtes, & obſcuro caligantique ſtabulo continebis, quod nullo conſtrepat murmure, nullumque cieat tumultum, quo poſſit, conquieſcere. appetente vero veſpera unum aquæ congium præbebis potandum. Poſtridie ſimiliter, ſubtrahens cibos & potus ad treis uſque dies, dein ad conſultam vivendi rationem reduces.

Luxatis.

Luxationis eæ ſunt indices notæ. Pes in oſſium coitu [ubi pyxidatim cohærent] qui modiolus appellatur, non perſiſtit, ſed ſubterfugiens labitur. Partes unguibus vicinæ ſublimes prominent. Quod ad curandi rationem pertinet, circumſcarificata prius ungula, picem & ſpongiam ex aceto ſeptem diebus obligabis. Si non in ſedem reſtituatur, fœnigræci, quod buceron nominant ſextarios quatuor, effuſo vino in quo maduit, tundes, inditumque fictili cum melle coques. ſic diebus ſenis illines. Veteres luxatus cancellatim ſunt adurendi.

Luxatis pedibus.

Si quæ pedibus luxata dehiſcant, ſic noſſe licebit. manibus ungulam diſtringes. ſic excitatus appreſſu dolor oſtendet injuriam, eoque argumento pecus luxatum cornu fatebitur. hoc vitium equi continenter curribus

μασιν ἵπποι κάτω κατὰ τὸν καιρὸν τοῦ ἀγῶνος ὑφίστανται. θεραπεύσεις δὲ αἷμα λαμβάνων ἀπὸ τῆς περιστεφανίδος, αὐτήν τε ὄξει καὶ ἅλατι καταντλῶν, καὶ ἀνατρίβων. εἶτα οἰνέλαιον ἐρίῳ ἀναλαβὼν κατὰ τὴν ἁρμονίαν ἐπίθες τοῦ ὄνυχος, συνεχέστερον ὕδατι θερμῷ καταντλῶν, καὶ τὴν αὐτὴν θεραπείαν προσάγων ἐπὶ ἡμέραις δυώδεκα. εἰ δὲ μὴ ὠφελήσῃ τοῦτο, κατεπειγούσης ἀνάγκης, τὸν ὄνυχα κάτωθεν τῇ σμίλῃ ὑπότεμνε, ὥστε διπλοῦν νομίσματος μέγεθος. εἰ δὲ καὶ πλέον εἴη τὸ κρεμάμενον, τέμνε μέχρι τῆς ζώσης σαρκὸς, φειδόμενος μὴ ἅψασθαι τοῦ ὀστέου. εἰ δὲ πολὺ ἀποῤῥέοι αἷμα, ἔλαιον σὺν ὄξει καὶ ἅλατι λεπτῷ καὶ κόπρῳ τοῦ αὐτοῦ ἵππου μίξας, τὰς ἁρμονίας σὺν τῷ ὄνυχι μετὰ ὀθόνης καταδέσμει. μετὰ δὲ τρίτην ἡμέραν θερμῷ καταντλεῖ. εἰ δὲ ὑπερσαρκώσεις γένωνται, στυπτικοῖς ἢ τραυματικοῖς βοηθήμασι χρῶ. συνεχέστερον δὲ τὸν ὄνυχα σμιλίῳ καθαίρων περίτεμνε, ὥστε αὐτὸν ἐξ ἴσου πανταχόθεν αὔξεσθαι, καὶ τῷ μαλάγματι τῷ ἀνέφθῳ χρῶ, ἠρέμα προσάπτων. εἰ δὲ μηδ᾽ οὕτως θεραπευθῇ, ἀνάγκη καίειν αὐτόν.

Στρέμματος πρόγνωσις καὶ ἴασις.

Πρῶτον τῷ ποδὶ ἀκροβαμονεῖ, καὶ τὸ μεσαγκώνιον ἔχει πηδῶν, καὶ ἐφέλκει τὸν πόδα. ἄφελε οὖν ἀπὸ τοῦ στρέμματος τοῦ ὄνυχος αἵματος κοτύλας δύο, καὶ φυσήσας οἴνῳ καὶ ἐλαίῳ τρῖψον, καὶ τὰ δέοντα δίδου, καὶ λαβὼν ἔριον, πυρία, περιχέων θερμῷ. ὅταν δὲ ἱκανῶς ἔχῃ, ἀνάτριβε τὸ στρέμμα, καὶ λαβὼν

bus juncti cum certamen initur, contrahunt. Cui sic succurritur. Sanguis è parte coronam cingens, quam ideo peristephanida vocant, elicitur & sale & aceto perfusa defricatur, dein oleum vino dilutum, & exceptum vellere, superponitur compagini unguis. Identidem calida fovetur. hæc curandi ratio ad duodecim usque dies adhibetur. Si nihil iis proficitur, tum unguis ubi necessitas urget scalpello deorsum succinditur dupla sestertii nummi magnitudine. Quod si quid eminentius propendeat, vivo tenus resecatur, sed ossi parcendum. Si copiosus profluat sanguis, oleum ex aceto & sale tenui ac stercore hujus equi inducitur linteo, quo cum ungula pes totus induitur, & post triduum calda perfunditur. Quod si luxurians caro superexcreverit, astringentibus & vulnerariis auxiliis cohibebitur. Crebrius cornu repurgatum, scalpro circumcidatur, ut hoc æquabiliter undique succrescat. Malagma quod ignem non fuerit expertum, anephthon vocant, sensim adplica. Si iis remediis equus non est adjutus, adurere necessum erit.

Luxati pedis præsagium, & medela.

Primum ungue summo graditur, articulusque micans insilit, & pedem ad se trahit. Tum sanguis è luxata parte instar duarum heminarum extrahitur. Vinum & oleum inspiratur, reliqua quæ conveniunt, adhibentur. lana fovetur. offenditur calda. Cum melius habuerit, luxatum confricari debet, & succida lana sordidaque vino & oleo cum tenui

βὼν ἔλαιον ψυχρὸν, φυράσας οἴνῳ καὶ ἐλαίῳ, καὶ ἅλι λεπτῷ, περιθεὶς καὶ καταδήσον πλαμῶνι, καὶ περιδήσον κειρίαις, καὶ σφίγξον ἐλαφρῶς, ἵνα μὴ ποιήσῃς φλεγμονὴν, ἤ τι τῶν φλεβίων ἀποτέμῃς, καὶ πρόσφερε ἑκάστης ἡμέρας, πλὴν τῆς τοῦ αἵματος ἀφαιρέσεως. ἐὰν μὲν οὕτως ὑγιὴς γένηται· εἰ δὲ μὴ, καταφύσησον αὐτοῦ τὸ μεσοκύνιον. καὶ θεράπευε ὡς καὶ τὰ λοιπά.

Περὶ σύριγγος.

Ὅταν ἵππος συριγγιᾷ, χαλκάνθην ὀξεῖ δριμυτάτῳ προσμίξας καὶ ἀναξηράνας τῷ τόπῳ ἐπίπασσε, ἢ σίκυον ἄγριον τρίψας λίαν, καὶ τιθυμάλλου ὀπῷ συμφυράσας, ἔνθες.

Θεραπεία κτηνῶν ποδῶν.

Ζύμην, ἅλας, μίλτον, ᾠὸν, ὄξει ταῦτα λειοτριβήσας χρῶ. Ἄλλο. ῥητίνης γο γ', κηροῦ γο γ', τερεβινθίνης γο α', ἀξουγγίου λίτρας β', ὀρόβου ξε. δ', ὄξους κρᾶμα, κονίας γο β', πίσσης κοτύλης τὸ ἥμισυ, ταρίχου παλαιοῦ λίτρας β', μέλιτος κοτύλην μίαν. τὸν τάριχον λειοτριβήσας μετ' αὐτῶν, καὶ εἰς θυίαν ἐμβαλὼν χρῶ. Ἄλλο. ἀμόργης καὶ παλαιᾶς κέδρου τὸ αὔταρκες, καὶ ἀξουγγίου παλαιοῦ μετὰ οἴνου, καὶ κονίας ἀσβέστου, λειοτριβήσας ἕκαστον αὐτῶν καὶ ἑψήσας αὐτάρκως, μετὰ τῆς ἀμόργης χρῶ. Ἄλλο. σκορόδων γο ἑξ, θείου γο δ', ἴρεως γο τρεῖς, ἀξουγγίου χοι-

tenui sale rigatâ circumvolvi, loroque vinciri. Cæterum pes obductis fasciis calceatur, leniterque substringitur, ne vehementior perstrictio moveat inflammationem, aut subditas abscindat venulas. Ea quotidie debent admoveri, nisi die quo detrahitur sanguis, quoad reddatur sanitati. Si medicamentis non finitur noxa, urens medicamentum postulabit. Ulcus igne factum ut reliqua sanabitur.

Fistulæ.

Si in equo fistula hiet, atramentum sutorium quam acerrimo mistum, resiccatumque sinui respergitur: aut sylvestris cucumis vehementer detritus, & cum lacte marinæ lactucæ, quam vocant tithymalon, subactus inditur.

Medicamen ad jumentorum pedes.

Fermentum, salem, minium, ovum in aceto terito & linito. Aliud, resinæ quadrans, ceræ tantundem, terebinthinæ uncia, axungiæ duopondo, ervi sextarii quatuor, aceti diluti, & lixivii sextans, picis heminæ dimidium, salsamenti veteris libræ duæ, mellis hemina, salsamentum cum omnibus teritur & in mortarium mittitur. Aliud. Amurcæ & veteris cedriæ quod satis est, antiquæ axungiæ par modus cum vino & viva calce, terantur singula seorsim, & quod satis est coquantur, utere, addita amurca. Aliud. Alliorum selibra, sulfuris triens, iris quadrans, axungiæ suillæ bilibres offæ, in aceto coctis utere. Euphorbii sescuncia, castorii uncia, bdellii sextans, galbani, opopanacis, spumæ argenti, singulo-

ῥεῦ λίτρας β. ὄξει ἑψήσας χρῶ.

rum sextans, bituminis selibra, mannæ triens, aridæ resinæ selibra, ammoniaci suffimenti sextans.

Περὶ γλώσσης διακοπῆς.

Γλῶσσα ἐὰν διακοπῇ, κηκῖδα ἀφέψησον μετ' οἴνου μέλανος, καὶ ἀνελόμενος χρῶ, ἢ κενταύρειον κόψας ἐπίπλασσε.

Intercisæ linguæ.

Si linguam contingat intercindi, gallam vino nigro incoctam adhibebis, aut centaurium tunsum illines.

Ἀνακόλλημα.

Ἑψήματος, τραγακάνθης, κρόκου, στροβίλου, χαλκίτεως, ὠῶν τὰ ἀρκοῦντα, μίξας χρῶ.

Agglutinatum.

Sapæ, tragacanthæ, croci, nucis pineæ, chalcitis, ovorum sufficientes partes miscebis ad usum.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΕΠΙΣΤΟΛΑΙ.

HIPPOCRATIS EPISTOLÆ.

ΒΑΣΙΛΕΥΣ ΒΑΣΙΛΕΩΝ Μέγας Ἀρταξέρξης Παίτῳ χαίρειν.

REX REGUM Magnus Artaxerxes, Pæto S.

Basil. græc. Foesius sect. VIII. 3. 1271. Basil. lat.

pag 522 ΝΟΥΣΟΣ προσεπέλασεν, ἡ καλουμένη λοιμικὴ, τοῖς στρατεύμασιν ἡμῶν. [2] καὶ πολλὰ πολλάκις ποιησάντων ἡμῶν, ἐνδόσιν οὐκ ἔδωκεν. [3] ὅθεν ἀξιῶ παντοίως καὶ πάσαις ταῖς παρ' ἐμοῦ διδομέναις δωρεαῖς, [4] ἢ τι τῶν ἐκ φύσεώς σου ἐπινοημάτων, [5] ἢ τι τῶν ἐκ τέχνης πρήξεων, [6] ἢ ἑτέρου ἀνδρὸς ἰητρεύειν δυναμένου ἐνθύμημα, πέμπε τάχος. [7] ἀπόσκεδασον, ἀξιῶ, τὸ πάθος. [8] ἄλγηκε γὰρ κατὰ τὸν ὄχλον καὶ πολὺς ἄλυσις πνεῦμα μέγα, καὶ πυκνὸν ἔχων. [9] οὐ πολεμοῦντες, πολεμούμεθα, [10] ἐχθρὸν ἔχοντες τὸ θηρίον, λυμαινόμενον τὰ ποίμνια. [11] τέτρωκε πολλούς.

MORBUS pestilens appellatus, invasit exercitus nostros: [2] & quum nos sæpe multa fecerimus, nihil adhuc remisit. [3] Quare magnopere, per omnia tibi à me data dona, te rogo, [4] ut aut aliquid ex natura tua excogitatum, [5] aut aliquam ex arte actionem, [6] aut aliquod alterius viri mederi potentis consilium, celerrime ad nos mittas. [7] Propulsa oro hoc malum. [8] Multa enim anxietas populum corripuit, quæ spiritum magnum ac densum habet. [9] Non belligerantes debellamur: [10] quum hostem habeamus bestiam illam ovilia devastantem. [11] Sauciavit multos: [12] ægre curabiles

λὸς. [12] δυσιάτους ἐποίησε. [13] πικρὰ βέλη βελῶν καταπέμπει. [14] οὐ φέρω γνώμην. [15] οὐκ ἔτι ἔχω μετ' ἀνδρῶν γνήμων βουλεύσασθαι. [16] λῦε ταῦτα πάντα, μὴ διαλείψας ἀγαθῇ συμβουλῇ. ἔρρωσο.

rabiles fecit: [13] amara spicula immittit. [14] Consilii inops sum. 10 [15] Non amplius habeo quod cum viris natura prudentibus consultem. [16] Solve hæc omnia, neque nos bono tuo consilio destituas. Vale.

Παῖτος βασιλεῖ βασιλέων τῷ μεγάλῳ Ἀρταξέρξῃ χαίρειν.

Pætus, Regi regum Magno Artaxerxæ S.

Foesius sect. 3. 1171.

pag 523 Τὰ φυσικὰ βοηθήματα οὐ λύει τὴν ἐπιδημίαν λοιμικοῦ πάθους. [2] ἃ δὲ ἐκ φύσεως γίγνεται νοσήματα, αὐτὴ ἡ φύσις ἰᾶται κρίνουσα. [3] ὅσα δὲ ἐξ ἐπιδημίας, τέχνη, τεχνικῶς κρίνουσα τὴν τροπὴν τῶν σωμάτων. [4] Ἱπποκράτης δὲ ἰατρὸς ἰῆται τοῦτο τὸ πάθος. [5] τῷ γένει μὲν οὖν ἐστι Δωριεύς, πόλεως δὲ Κῶ. [6] πατρὸς δὲ Ἡρακλείδα τοῦ Ἱπποκράτους, [7] τοῦ Γνωσιδίκου, [8] τοῦ Νέβρου, [9] τοῦ Σωστράτου, [10] τοῦ Θεοδώρου, [11] τοῦ Κλεομυττάδα, [12] τοῦ Κρισάμιδος. [13] οὗτος θεία φύσει κέχρηται. [14] καὶ ἐκ μικρῶν καὶ ἰδιωτικῶν εἰς μεγάλα καὶ τεχνικὰ προήγαγε τὴν ἰητρικήν. [15] γίνεται μὲν οὖν ὁ θεῖος Ἱπποκράτης, [16] ἔνατος μὲν ἀπὸ Κρισάμιδος τοῦ βασιλέως. [17] ὀκτωκαιδέκατος δὲ ἀπὸ Ἀσκληπιοῦ. [18] εἰκοστὸς δὲ ἀπὸ Διός. [19] μητρὸς δὲ Πραξιθέας, τῆς Φαιναρέτης, ἐκ τῆς οἰκίας τῶν Ἡρακλειδῶν. [20] ὥστε καθ' ἀμφότερα τὰ σπέρματα θεῶν ἀπόγονός ἐστιν ὁ θεῖος Ἱπποκράτης. [21] πρὸς μὲν πατρὸς, Ἀσκληπιάδης ὤν. [22] πρὸς δὲ μητρὸς, Ἡρακλείδης. [23] ἔμαθε δὲ τὴν τέχνην παρά τε τῷ πατρὶ Ἡρακλείδῃ, καὶ παρὰ τῷ πάππῳ Ἱπποκράτει. [24] ἀλλὰ παρὰ μὲν τούτοις, ὡς εἰκὸς, τὰ πρῶτα

Naturalia auxilia pestilentis 1 morbi popularem grassationem non solvunt. [2] Qui enim ex natura fiunt morbi, eos ipsa natura judicans sanat. [3] Qui vero ex populari grassatione, eos ars curat, artificiose judicans corporum mutationem. [4] Hippocrates autem medicus curat hoc malum. [5] Et genere quidem est Doriensis, ex civitate vero Co, [6] 5 patre Heraclida qui filius fuit Hippocratis, [7] qui Gnosidici, [8] qui Nebri, [9] qui Sostrati, [10] qui Theodori, [11] qui Cleomittadæ, [12] qui Crisamidis. [13] Hic divina natura præditus est, [14] & ex parvis ac vulgaribus, ad magna ac artificiosa, medicinam evexit. [15] Est igitur divinus Hippocrates, [16] nonus quidem à Crisamide 10 rege, [17] decimus autem & octavus ab Æsculapio, [18] vigesimus vero à Jove; [19] ex matre vero Praxithea Phænaretes filia, ex familia Heraclidarum. [20] Quare ex utroque semine à diis ortum habet divinus Hippocrates: [21] ut qui à patre quidem Asclepiades est, [22] à matre vero Heraclides. [23] Didicit autem artem, tum à patre Heraclida, tum ab 15 avo Hippocrate. [24] Verum ab his quidem primum, velut verisimile est, in re medica initiatus est, quantum sane credibile est

pag 671

τὰ ἐμυήθη τῆς ἰητρικῆς, ὅσα πιθανὸν ἦν καὶ τούτους εἰδέναι. [25] τὴν δὲ σύμπασαν τέχνην αὐτὸς ἑαυτὸν ἐδίδαξεν, θείᾳ φύσει κεχρημένος. [26] καὶ τοσοῦτον ὑπερβεβηκὼς τῇ τῆς ψυχῆς 15 εὐφυΐᾳ τοὺς προγόνους, ὅσον διενήνοχεν αὐτῶν καὶ τῇ τῆς τέχνης ἀρετῇ. [27] καθαιρεῖται οὐ θηρίων μὲν γένος, [28] θηριωδῶν δὲ νοσημάτων καὶ ἀγρίων πολλὴν γῆν καὶ θάλατταν. διασπείρων πανταχόθεν, ὥσπερ ὁ Τριπτόλεμος τὰ τῆς Δήμητρος σπέρματα, τὰ τοῦ Ἀσκληπιοῦ βοηθήματα. [29] τοιγαροῦν ἐνδικώτατα καὶ αὐτὸς ἀνιέρωται πολλαχοῦ τῆς γῆς. [30] ἠξίωται τε τῶν αὐτῶν Ἡρακλεῖ τε καὶ Ἀσκληπιῷ ὑπὸ Ἀθηναίων δωρεῶν. [31] αὐτὸν μεταπέμψαι κέλευσον ἀργύριον 20 καὶ χρυσίον ὅσον ἂν βούληται δώσειν αὐτῷ. [32] οὗτος γὰρ ἐπίσταται οὐχ ἕνα τρόπον τῆς ἰήσιος τοῦ πάθους. [33] οὗτος πατὴρ ὑγιείας. οὗτος σωτήρ. οὗτος ἀκεσώδυνος. [34] οὗτος ἁπλῶς ἡγεμὼν τῆς θεοπρεποῦς ἐπιστήμης. ἔρρωσο.

hos novisse. [25] Universam vero artem ipse seipsum docuit, divina natura usus, [26] & in tantum animi industria progenitores transgressus, quantum etiam artis præstantia eosdem superavit. [27] Tollit autem non bestiarum genus, [28] sed ferorum ac agrestium morborum, per magnam terræ ac maris partem, Æsculapii 20 auxilia (quemadmodum Triptolemus Cereris semina) dispergens. [29] Proinde justissime in multis terræ locis divinos honores etiam ipse consequutus est, [30] & iisdem donariis cum Hercule & Æsculapio ab Atheniensibus dignus factus est. [31] Hunc ipsum accerse, & auri atque argenti quantum voluerit, ipsi dare jube. [32] Hic enim non unum modum curationis hujus morbi novit. [33] Hic est sanitatis pater, hic servator, hic dolo- 25 rum curator. [34] In summa, hic divinæ scientiæ princeps est. Vale.

Βασιλεὺς βασιλέων μέγας Ἀρταξέρξης Ὑστάνῃ Ἑλλησπόντου ὑπάρχῳ.

Rex regum Magnus Artaxerxes Hystani Hellesponti præfecto.

Foesius sect. VIII. 4. 1272.

pag 523 Ἱπποκράτεος ἰητροῦ Κῴου ἀπὸ Ἀσκληπιοῦ γεγονότος καὶ ἐς ἐμὲ 25 κλέος ἀφῖκται τῆς τέχνης. [2] δὸς οὖν αὐτῷ χρυσὸν, ὁκόσον ἂν βούληται [3] καὶ τὰ ἄλλα χορηγίην, ὧν σπανίζει. [4] καὶ πέμπε ἐς ἡμέας. [5] ἔσται γὰρ ἰσότιμος Περσέων τοῖς ἀρίστοις. [6] καὶ εἴ τις ἐστὶν ἄλλος ἀνὴρ κατ' Εὐρώπην ἀγαθὸς, φίλον οἴκῳ βασιλέως ποίεο, μὴ φειδόμενος ὄλβου. [7] ἄνδρας γὰρ εὑρεῖν δυναμένους τι κατὰ συμβουλίην, οὐ ῥηΐδιον. ἔρρωσο.

IV 60 Hippocratis medici Coi ab Æsculapio originem ducentis, gloria artis etiam ad me pervenit. pag 671 [2] Dato igitur ipsi auri quantum voluerit, [3] & reliqua abunde, quibus opus habet, [4] & ipsum ad nos mittito. [5] Nam optimatibus Persarum æqualis erit. [6] Et si quis alius bonus vir est in Europa, eum domus regiæ amicum facito, nihil divitiis par- 5 cens. [7] Viros enim invenire, qui consilio præstent, non est facile. Vale.

Βασιλεῖ βασιλέων τῷ ἐμῷ μεγάλῳ δεσπότῃ Ἀρταξέρξῃ
Ὑστάνης Ἑλλησπόντου ὕπαρχος χαίρειν. 7

Regi regum meo magno domino Artaxerxæ
Hyſtanis Helleſponti præfectus S.

Foeſius ſect. VIII. 4. 1272.

pag 523 Ἣν ἔπεμψας ἐπιστολὴν, λέγων πέμψαι Ἱπποκράτει Κῴῳ, ἀπὸ ἀσκληπιαδῶν γεγονότι, ἔπεμψα. [2] καὶ παρ' αὐτοῦ δὲ ἐκομισάμην ἀπόκρισιν, ἣν γράψας ἔδωκε, καὶ ἐκέλευσεν εἰς τὸν οἶκον πέμπειν. [3] φέροντα οὖν ἀπέσταλκά σοι φαίνειν Γυμνάσθην Διευτύχην. 8 Ἔρρωσο.

Quam miſiſti epiſtolam, jubens demittere ad Hippocratem Coum ab Æſculapio originem ducentem, demiſi. [2] Sed & ab ipſo reſponſum tuli, quod ſcriptum tradidit, & ad domum tuam tranſmittere juſſit. [3] Itaque ejus latorem ac nuncium Gymnasben Dieutychen ad te miſi. Vale. IV 61 pag 672

Βασιλεὺς βασιλέων μέγας Ἀρταξέρξης Κῴοις τάδε λέγει.

Rex regum magnus Artaxerxes Cois hæc dicit.

Foeſius ſect. VIII. 5. 1272.

pag 524 Δότε ἐμοῖς ἀγγέλοις Ἱπποκράτην ἰητρὸν κακοὺς τρόπους ἔχοντα, καὶ εἰς ἐμὲ καὶ εἰς Πέρσας ἀσελγαίνοντα. [2] εἰ δὲ μὴ, γνώσεσθε καὶ τῆς προτέρης ἁμαρτίας 5 τιμωρίαν τίσοντες. [3] δηϊώσας γὰρ τὴν ὑμετέραν πόλιν, καὶ νῆσον κατασπάσας εἰς πέλαγος, ποιήσω, [4] μηδὲ εἰς τὸν ἐπίλοιπον χρόνον γνῶναι, εἰ ἦν ἐπὶ τούτῳ τῷ τόπῳ νῆσος, ἢ ἡ πόλις Κῶ.

Date meis nunciis Hippocratem Medicum malignis moribus præditum, & in me, & in Perſas petulanter ſe gerentem. [2] Sin minus, cognoſcetis, etiam primi peccati pœnam vos daturos eſſe. [3] Urbem enim veſtram devaſtatam, & inſulam diſtractam, in pelagus convertam, [4] ut in poſterum tempus nemo ſciat, an in hoc loco fuerit inſula, aut urbs Cos. IV 61 pag 672 5

Ἀπόκρισις Κῴων.

Coorum reſponſum.

Foeſius ſect. VIII. 5. 1273.

pag 524 Ἔδοξε τῷ δήμῳ ἀποκρίνασθαι τοῖς παρὰ Ἀρταξέρξου ἀγγέλοις, [2] ὅτι Κῷοι οὐδὲν ἀνάξιον πράξουσιν, οὔτε Μέροπος, οὔτε Ἡρακλέους, οὔτε Ἀσκληπιοῦ, [3] ὧν 10 εἵνεκεν πάντες οἱ πολῖται οὐ δώσουσιν Ἱπποκράτεα, [4] οὐδ' ἢν μέλλωσιν ὀλέθρῳ τῷ κακίστῳ ἀπολεῖσθαι. [5] καὶ Δαρείου καὶ Ξέρξου

Viſum eſt populo, reſpondere nunciis ab Artaxerxe miſſis. [2] Coi nihil indignum facient, neque Merope, neque Hercule, neque Æſculapio. [3] Quapropter omnes cives non dabunt Hippocratem, [4] etiam ſi peſſima morte ſint interituri. [5] Nam quum Darius & Xerxes epiſtolas ſcripſerint, & terram ac aquam à patri- IV 61 pag 672

ξυ, ἀπὸ πατέρων ἐπιστολὰς γραψάντων γαῖαν καὶ ὕδωρ αἰτεόντων, οὐκ ἔδωκεν ὁ δῆμος, [6] ὁρέων αὐτοὺς ὁμοίως τοῖς ἄλλοις ἀνθρώποις θνητοὺς ἐόντας, ἐπ' αὐτοὺς ἰόντας. [7] καὶ νῦν τὴν αὐτὴν ἀπόκρισιν δίδωσι. [8] ἀπὸ Κώων ἀναχωρέετε, ὅτι Ἱπποκράτην οὐ διδοῦσιν ἔκδοτον. [9] ἀπαγγέλλετε οὖν αὐτῷ οἱ ἄγγελοι, ὅτι οὐδ' οἱ θεοὶ ἀμελήσουσιν ἡμέων.

patribus nostris petiverint, populus non dedit: [6] quum eos ipsos se impetentes, similiter velut alios homines, mortales esse videret. [7] Et nunc idem responsum dat. [8] A Cois discedite: quoniam Hippocratem in manus vestras non dant. [9] Renunciate igitur ipsi vos nuncii, quod neque Dei ipsi, nostri negligentes erunt.

Ὑστάνης ὕπαρχος Ἑλλησπόντου Ἱπποκράτει Ἀσκληπιαδῶν ἀπογόνῳ χαίρειν.

Hystanis Hellesponti præfectus Hippocrati ex Asclepiadis prognato S.

Foesius sect. VIII. 4. 1272.

pag 523 Βασιλεὺς μέγας Ἀρταξέρξης σοῦ χρῄζων, [2] ἔπεμψε πρὸς ἡμέας ὑπάρχους, [3] κελεύων σοι ἀργύριον καὶ χρυσόν, [4] καὶ τὰ ἄλλα χρέων, ὧν σπανίζεις, [5] καὶ ὅσα βούλει, διδόναι, [6] καὶ πέμπειν πρὸς ἑαυτὸν ἐν τάχει. [7] ἔσεσθαι γὰρ Περσέων τοῖς ἀρίστοις ἰσότιμον. [8] σὺ οὖν παραγίνου ξυντόμως. ἔρρωσο.

Magnus rex Artaxerxes te opus habet, [2] & misit ad nos præfectos, [3] jubens tibi argentum & aurum, [4] & reliqua quibus opus habes, [5] & quæcunque voles, dare, [6] & brevi ad se mittere. [7] Fore enim te optimatibus Persarum æqualem. [8] Tu itaque cito adsis. Vale. IV 61 pag 67

Ἱπποκράτης ἰητρὸς Ὑστάνῃ Ἑλλησπόντου ὑπάρχῳ χαίρειν.

Hippocrates medicus Hystani Hellesponti præfecto S.

Foesius sect. VIII. 4. 1272.

pag 523 Πρὸς τὴν ἐπιστολήν, ἣν ἔπεμψας φάμενος παρὰ βασιλέως ἀφῖχθαι, πέμπε βασιλεῖ, ἃ λέγω, γράφων ὅτι τάχος. [2] ὅτι καὶ τροφῇ, καὶ ἐσθῆτι καὶ οἰκήσει, καὶ πάσῃ τῇ ἐς βίον ἀρκεούσῃ οὐσίῃ χρεόμεθα. [3] Περσέων δὲ ὄλβου οὔ μοι θέμις ἐπαυρέσθαι, [4] οὐδὲ βαρβάρους ἄνδρας νούσων παύειν, ἐχθροὺς ὑπάρχοντας Ἑλλήνων. ἔρρωσο.

Ad epistolam quam misisti, à Rege venisse adserens, remitte Regi quæ dico, quam celerrime scribens: [2] Quod & victu, & vestitu, & domo, & omni ad vitam sufficienti opulentia fruimur. [3] Persarum autem divitiis uti, fas mihi non est: [4] neque barbaros homines à morbis liberare, qui hostes sunt Græcorum. Vale. IV 61 pag 67

Ἱπποκράτης Δημητρίῳ ὑγιαίνειν.

Hippocrates Demetrio sanitatem.

Foesius sect. VIII. 4. 1272.

pag 523 Βασιλεὺς Περσέων ἡμέας μετεπέμπεται, οὐκ εἰδὼς, ὅτι λόγος ἐμοὶ σοφίης χρυσοῦ πλέον δύναται. ἔρρωσο.

Persarum Rex nos accersivit, ignarus quod apud me major est sapientiæ ratio, quam auri. Vale.

IV 61 pag 672

Ἀβδηριτῶν ἡ βουλὴ καὶ ὁ δῆμος Ἱπποκράτει χαίρειν.

Senatus populusque Abderitarum Hippocrati S.

Foesius sect, VIII. 5. 1273.

pag 524 Κινδυνεύεται τὰ μέγιστα τῇ πόλει νῦν, Ἱππόκρατες, ἀνὴρ ἡμετέρων, ὃς καὶ τοῦ παρόντος χρόνου καὶ τοῦ μέλλοντος αἰεὶ κλέος ἠλπίζετο τῇ πόλει. μηδὲ νῦν δὲ ὦ πάντες θεοὶ φθονηθείη. οὕτως ὑπὸ πολλῆς τῆς κατεχούσης αὐτὸν σοφίης νενόσηκεν, ὥστε φόβος οὐχ ὁ τυχὼν, ἂν φθαρῇ τὸν λογισμὸν Δημόκριτος, ὄντως δὴ τὴν πόλιν ἡμῶν Ἀβδηριτῶν καταλειφθήσεσθαι. ἐκλαθόμενος γὰρ ἁπάντων καὶ ἑωυτοῦ, πρότερον ἐγρήγορως, καὶ νύκτα καὶ ἡμέρην γελῶν ἕκαστα μικρὰ καὶ μεγάλα, μηδὲν οἰόμενος εἶναι τὸν βίον ὅλον, διατελεῖ. γαμεῖ τις, ὁ δὲ ἐμπορεύεται, ὁ δὲ δημηγορεῖ, ἄλλος ἄρχει, πρεσβεύει, χειροτονεῖται, ἀποχειροτονεῖται, νοσεῖ, τιτρώσκεται, τέθνηκεν· ὁ δὲ γελᾷ πάντα, τοὺς μὲν κατηφέας τε καὶ σκυθρωποὺς, τοὺς δὲ χαίροντας ὁρῶν. ζητεῖ δὲ ὁ ἀνὴρ καὶ τὰ ἐν ᾅδου, καὶ γράφει ταῦτα. καὶ εἰδώλων φησὶ πλήρη τὸν ἠέρα εἶναι, καὶ ὀρνέων φωνὰς ἐπακούειν. καὶ πολλάκις νύκτωρ ἐξανιστάμενος μόνος ἡσυχῇ ᾠδὰς ᾄδοντι ἔοικε. καὶ ἀποδημεῖν ποτε λέγει εἰς τὴν ἀπειρίην, καὶ Δημοκρίτους εἶναι ὁμοίους ἑωυτῷ

Nunc maxime urbi nostræ in periculo versatur vir noster, ô Hippocrates, qui & præsenti tempore & futuro semper gloria urbi sperabatur. (Neque nunc, ô vos dii omnes, nobis invideatur.) Hic præ multa quæ detinet ipsum sapientia ægrotat, ut timor non vulgaris sit, si Democritus mente motus fuerit, reveta urbem nostram Abderitarum pessum ituram esse. Etenim oblitus omnium, & primum suiipsius, vigilans & noctu & interdiu, & singula parva ac magna deridens, & totam vitam nihil esse putans, vitam transigit. Ducit aliquis uxorem, alius mercaturam exercet, alius concionatur, alius imperat, alius legatum agit, eligitur, abrogatur, ægrotat, vulneratur, moritur. At hic ridet omnia, dum alios mœstos ac tristes, alios gaudentes videt. Quin & de his, quæ apud inferos sunt, hic vir perscrutatur, & hæc scribit. Et idolis aërem plenum esse dicit. Et volucrum voces intentis auribus explorat. Et sæpe noctu exsurgens solus cantilenas sensim canenti similis est. Et se aliquando in rerum immensitatem proficisci dicit, & Demo-

τοῦ ἀναριθμήτους. 15 καὶ συνδιαφθορὰς τῇ γνώμῃ τὸ χρῆμα ζῇ. 16 ταῦτα φοβούμεθα Ἱππόκρατες. ταῦτα ταραττόμεθα. 17 ἀλλὰ σῶζε, καὶ ταχὺς ἐλθὼν νουθετήσων τὴν πατρίδα, μηδὲ ἡμᾶς ἀποβάλῃς. 18 καὶ γὰρ οὐδὲ ἀπόβλητοί ἐσμεν, καὶ ἐν ἡμῖν μαρτυρία κεῖται. 19 οὐκ ἂν ἁμάρτοις οὔτε δόξης τῆς ἐπ' αὐτῷ περισωθέντι, οὔτε χρημάτων, οὔτε παιδείας. 20 καίτοι τὰ παιδείης πολλῷ σοι βελτίω τῶν τῆς τύχης. 21 ἀλλ' ἔτι καὶ ταῦτα συχνὰ παρ' ἡμῶν καὶ ἄφθονα γενήσεται. 22 τῆς γὰρ Δημοκρίτου ψυχῆς, ἀλλ' οὐδ' εἰ χρυσὸς ἦν ἡ πόλις, ἀντάξια βουλήσιος. οὐδ' ὅπου ἀφυστερήσωμεν. 23 τοὺς νόμους ἡμῶν δοκοῦμεν νοσεῖν, Ἱππόκρατες, τοὺς νόμους παρακόπτειν. 24 ἴθι θεραπεύσων, ἀνδρῶν φέριστε, ἄνδρα ἀοίδιμον. 25 οὐκ ἰατρὸς, ἀλλὰ κτίστης ἐὼν ὅλης τῆς Ἰωνίης, περιβάλλων ἡμῖν ἱερώτερον τεῖχος. 26 πόλιν, οὐκ ἄνδρα θεραπεύσεις. 27 βουλὴν δὲ νοσοῦσαν καὶ κινδυνεύουσαν ἀποκλεισθῆναι, μέλλεις ἀνοιγνύειν, 28 αὐτὸς νομοθέτης, αὐτὸς δικαστής, αὐτὸς ἄρχων, αὐτὸς σωτὴρ, καὶ τούτων τεχνίτης ἀφίξῃ. 29 ταῦτά σε προσδοκῶμεν, Ἱππόκρατες, ταῦτα καὶ γίνοιο ἐλθών. 30 μία πόλις οὐκ ἄσημος, μᾶλλον δὲ ἡ Ἑλλὰς ὅλη, δεῖταί σου φυλάξαι σῶμα σοφίης. 31 αὐτὴν δὲ δόξον παιδείαν πρεσβεύειν πρὸς σὲ τῆς παρακοπῆς ταύτης ἀπαλλαγῆναι δεομένην. 32 ξυγγενὴς μὲν οὖν ὡς ἔοικε πᾶσι σοφία. 33 τοῖς δ' ἐγγυτέρω κεχωρηκόσιν αὐτῆς, ὥσπερ ἡμῖν, καὶ μάλα πλέον. 34 σὺ ἴσθι,

χαρίεν

Democritos esse similes sibiipsi innumerabiles. 15 Et corpus una cum mente corrumpens vivit: 16 hæc timemus ô Hippocrates, ob hæc perturbati sumus. 17 Quapropter nos serva, & patriæ nostræ consulturus cito adsis; neque nos contempseris. 18 Nam neque ita viles sumus; & in nobis testimonium situm est. 19 Ob ipsum enim conservatum, & gloriam, & pecunias, & doctrinæ famam consequeris; 20 quanquam doctrinæ ratio multo potior apud te est, quam fortunæ. 21 Attamen & hujus bona multa ac luculenta tibi à nobis obvenient. 22 Etenim animæ Democriti gratia, etiam si urbs aurum esset, non nostræ voluntati responderet, aut quacunque tandem re illi carendum esset. 23 Leges nostras putamus ægrotare ô Hippocrates, leges prævaricari. 24 Adsis optime vir, curaturus virum insignem. 25 Non medicus, sed conditor, sacratiorem tota Ionia murum nobis circundabis. 26 Civitatem, non virum curabis; 27 & Senatum ægrotantem, & ne claudatur periclitantem, aperies. 28 Ipse legislator, ipse judex, ipse princeps, ipse servator, & horum artifex advenies. 29 Ob hæc te expectamus ô Hippocrates, atque hæc etiam fieri ubi veneris. 30 Una civitas non ignobilis, imo tota Græcia rogat te, serva corpus sapientiæ. 31 Quin potius ipsam apud te legationem agere puta doctrinam, ab hac prævaricatione liberari supplicantem. 32 Cognata equidem res est omnibus, velut apparet, sapientia. 33 Verum his qui propius ipsam complexi sunt, velut nobis, etiam longe amplius. 34 Et, sic-

ut

χαριῇ καὶ τῷ μέλλοντι αἰῶνι μὴ περιλιπὼν Δημόκριτον, ὃς ἐλπίζει συνηρήσεσθαι ἀληθείης. 35 σὺ γὰρ Ἀσκληπιῷ προσεπιπέπλεξαι γένος καὶ τέχνην. 36 ὁ δὲ Ἡρακλέους ἐστὶν ἀδελφιδοῦς. 37 ἀφ' οὗ Ἄβδηρος, ὥσπερ πεύθεαι πάντως, οὗ ἐπώνυμος ἡ πόλις. 38 ὥστε κἀκείνῳ χαρίσῃ ἡ Δημοκρίτου φύσιος ἴησις. 39 ὁρῶν οὖν, ὦ Ἱππόκρατες, ἐς ἀναισθησίαν ἀπορρέοντα καὶ δῆμον καὶ ἄνδρα ἐπίσημον, σπεῦδε πρὸς ἡμέας, δεόμεθα. 40 φεῦ ὡς καὶ τὰ ἀγαθὰ περισσεύοντα νόσοι τυγχάνουσιν. 41 ὁ Δημόκριτος γάρ, ὅσον ἐρρώσθη πρὸς ἄκρην σοφίης, 42 ἴσα κινδυνεύει νῦν ἀποπληξίῃ διανοίας καὶ ἠλιθιότητι κεκακῶσθαι. 43 οἱ δ' ἄλλοι, ὅσοι πολλοὶ δ' εἰσὶν Ἀβδηριτῶν, μείναντες ἐν ἀπαιδευσίῃ, τόν γε κοινὸν κατέχουσι νοῦν. 44 ἀλλὰ νῦν γε φρονιμώτεροι νόσον σοφοῦ κρίνειν, οἱ πρὶν ἄφρονες. 45 ἴθι οὖν μετὰ Ἀσκληπιοῦ πατρός. 46 ἴθι μετὰ Ἡρακλέους θυγατρὸς Ἠπιόνης. 47 ἴθι μετὰ παίδων τῶν ἐπὶ Ἴλιον στρατευσαμένων. 48 ἴθι νῦν παιώνια νούσου φέρων ἄκεα. 49 ἀναπέπλησται δὲ γῆ ῥίζαις τε βοτάναις ἀλεξιφαρμάκοις μανίης αὕτη. 50 σχεδὸν οὖν οὐδέποτε γονιμώτερον εὐφορήσουσιν, οὔτε γῆ, οὔτε ὀρέων ἀκρώρειαι, ἢ νῦν, Δημοκρίτου τὰ πρὸς ὑγείαν. ἔρρωσο.

ut probe nosti, gratificaberis etiam futuro sæculo, si non destitueris Democritum propter veritatem, cujus primas se laturum esse sperat. 35 Tu enim & genere, & arte conjunctus es Æsculapio. 36 Hic vero Herculis est ex fratre nepos. 37 A quo est & Abderus, quemadmodum omnino audivisti, cujus cognomen urbs nostra refert. 38 Quare etiam illi grata fuerit Democriti sanatio. 39 Quum igitur videas ô Hippocrates, & populum, & virum insignem, ad stupiditatem diffluentem: festina, rogamus, ad nos. 40 Heu ut etiam bona redundantia, morbi existunt. 41 Quantum enim Democritus ad summam sapientiam generose pervenit, 42 tantum nunc pariter periclitatur, ne mentis stupore & stoliditate affligatur. 43 At reliquum vulgus Abderitarum, quod mansit absque eruditione, communem sane sensum habet. 44 Imo nunc prudentiores sunt ad sapientis morbum judicandum, qui prius desipuerunt. 45 Adsis igitur cum Æsculapio patre. 46 Adsis cum Herculis filia Epione. 47 Adsis cum Æsculapii filiis, qui ad Ilium militarunt. 48 Adsis nunc Pæonias adferens morbi medelas. 49 Nunc terra radicibus, & herbis, & auxiliaribus floribus, insaniæque medicamentis fœcunda est. 50 Ferme igitur nunquam fertilius producent, neque terra, neque montium cacumina, quam nunc proferunt ea, quæ pertinent ad Democriti sanitatem. Vale.

Ἱπποκράτης Ἀβδηριτῶν τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν.

Hippocrates S. P. Q. Abderitarum S.

Foesius sect. VIII. 6. 1274.

¹ Ὁ πολίτης ὑμέων Ἀμελησαγόρης ἦλθεν εἰς Κῶ, ² καὶ ἔτυχε τότ᾽ ἐοῦσα τῆς ῥάβδου ἡ ἀνάληψις ἐν ἐκείνῃ τῇ ἡμέρῃ, καὶ ἐτήσιος ἑορτή, ὡς ἴστε, πανήγυρις ἡμῖν, ³ καὶ πομπὴ πολυτελής, ἐς κυπάρισσον, ἣν ἔθος ἀνάγειν τοῖς τῷ θεῷ προσήκουσιν. ⁴ ἐπὶ δὲ σπεύδειν ἐῴκει καὶ ἐκ τῶν λόγων καὶ ἐκ τῆς προσόψιος ὁ Ἀμελησαγόρης, πιστεύσας, ὥσπερ ἦν, ἐπείγειν τὸ πρῆγμα, ⁵ ἀνέγνων τὴν ὑμέων τὴν ἐπιστολήν, καὶ ἐθωύμασα, ὅτι ὑπὲρ ἑνὸς ἀνθρώπου ὡς εἷς ἄνθρωπος ἡ πόλις θορυβεῖσθε. ⁶ καὶ μακάριοί γε δῆμοι, ὁκόσοι ἴσασι τοὺς ἀγαθοὺς ἄνδρας ἐρύματα ἑωυτῶν, ⁷ καὶ οὐ τοὺς πύργους, οὐδὲ τὰ τείχεα, ἀλλὰ σοφῶν ἀνδρῶν σοφὰς γνώμας. ⁸ ἐγὼ δὲ πεπεισμένος, τέχνας μὲν εἶναι θεῶν χάριτας, ⁹ ἀνθρώπους δὲ ἔργα φύσιος, καὶ μὴ νεμεσήσητε ἄνδρες Ἀβδηρῖται, ¹⁰ οὐχ ὑμέας δοκέω, ἀλλὰ φύσιν αὐτὴν καλέειν με, ¹¹ ἀνασώσασθαι ποίημα ἑωυτῆς, κινδυνεῦον ὑπὸ νόσου διαφθαρῆναι. ¹² ὥστε πρὸς ὑμέων ἐγὼ νῦν φύσει καὶ θεοῖς ἐπακούων σπεύδω νοσέοντα Δημόκριτον ἰήσασθαι. ¹³ εἰ ὅπως δὴ καὶ νοῦσος τοῦτό ἐστιν, ἀλλὰ μὴ ἀπάτη ὑμέας σκοτίζει, ὅπερ εὔχομαι. ¹⁴ καὶ γένοιτο πλεῖον τῆς ἐν ὑμῖν εὐνοίας σημεῖον, ὃ καὶ πρὸς ὑπόνοιαν ταράσσεσθαι. ¹⁵ ἀργύριον δέ μοι ἐρχομένῳ οὔτ᾽ ἂν φύσις οὔτ᾽ ἂν θεὸς ὑπόσχοιτο. ¹⁶ ὥστε μηδ᾽ ὑμεῖς, ἄνδρες Ἀβδηρῖται, βιάζεσθε, ἀλλ᾽ ἐᾶτε ἐλευθέρης τέχνης ἐλεύθερα καὶ

Civis vester Ameleſſagoras venit in Co, ² & erat tunc in illa die Virgæ aſſumtio, & annua feſtivitas, ac publicus (velut noſtis) conventus, ³ & pompa ſumptuoſa fiebat, quam mos eſt eos, qui deo dicati ſunt, ad Cypariſſum deducere. ⁴ Quandoquidem autem & ex verbis, & ex aſpectu, Ameleſſagoras feſtinare videbatur, credens, velut erat, rem ipſam urgere: ⁵ epiſtolam veſtram legi, & admiratus ſum quod ob unum hominem, velut ſi unus homo eſſet ipſa civitas, turbati eſtis. ⁶ Et beati profecto ſunt populi, qui ſciunt bonos viros ſua eſſe munimenta, ⁷ & non turres, neque muros, ſed ſapientium virorum ſapientia conſilia. ⁸ Ego vero, qui credo artes quidem eſſe Deorum dona, ⁹ homines autem naturæ opera (& ne ægre feratis viri Abderitæ) ¹⁰ non vos puto, ſed ipſam naturam me vocare, ¹¹ ad conſervandum ipſius opus, quod periclitatur, ne præ morbo collabatur. ¹² Quare præ vobis ego nunc, naturæ ac Diis obediens, feſtino ægrotantem Democritum ſanare: ¹³ ſi quidem ſane & hoc morbus eſt, & non potius error vobis tenebras offundit: id quod opto. ¹⁴ Atque utinam ſit hoc uberius veſtræ benevolentiæ ſignum, quod etiam ad ſuſpicionem turbamini. ¹⁵ Argentum autem mihi venienti, neque natura, neque Deus promittere poterit. ¹⁶ Quare neque vos viri Abderitæ cogatis: ſed liberæ artis etiam opera libera eſſe ſinatis.

καὶ τὰ ἔργα. 17 οἱ δὲ μισθαρνεῦντες δουλεύειν ἀναγκάζουσι τὰς ἐπιστήμας, ὥσπερ ἐξανδραποδίζοντες αὐτὰς ἐκ τῆς πρότερης παρρησίης. 18 εἶτ' ὡς εἰκὸς καὶ ψεύσαιντο ἂν, ὡς περὶ μεγάλης νόσου, καὶ ἀρνηθεῖεν ἂν ὡς περὶ μικρῆς. 19 καὶ οὐκ ἂν ἔλθοιεν ὑποσχόμενοι. καὶ πάλιν ἔλθοιεν μὴ κληθέντες. 20 οἰκτρός γε ὁ τῶν ἀνθρώπων βίος· ὅτι δι' ὅλου αὐτοῦ, ὡς πνεῦμα χειμέριον, ἡ ἀφόρητος φιλαργυρίη διαδέδυκεν. 21 ἐφ' ἣν εἴθε μᾶλλον ἅπαντες ἰητροὶ ξυνήεσαν ἐλθόντες ἀποθεραπεῦσαι χαλεπωτέρην μανίης νοῦσον. 22 ὅτι καὶ μακαρίζεται, νοῦσος ἐοῦσα καὶ κακοῦσα. 23 οἶμαι δὲ ἔγωγε καὶ τὰ ψυχῆς νοσήματα πάντα μανίας εἶναι σφοδράς, ἐμποιεύσας δόξας τινὰς καὶ φαντασίας τῷ λογισμῷ. 24 ὧν ὁ δι' ἀρετῆς ἀποκαθαρθεὶς ὑγιάζεται. 25 ἐγὼ δὲ, εἰ πλουτίζειν ἐξ ἅπαντος ἐβουλόμην, ὦ ἄνδρες Ἀβδηρῖται, οὐκ ἂν εἵνεκα δέκα ταλάντων ἀφικόμην πρὸς ὑμέας, 26 ἀλλ' ἐπὶ τὸν μέγαν ἠρχόμην Περσέων βασιλέα, ἔνθα πόλιες ὅλαι προσῆσάν μοι τῆς ἐξ ἀνθρώπων εὐδαιμονίης γεγεμισμέναι. 27 ἰώμην δ' ἂν τὸν ἐκεῖσε λοιμὸν αὐτῶν. 28 ἀλλ' ἀπηρνησάμην ἐχθρὴν ἑλλάδι χώρην ἐλευθερῶσαι κακῆς νόσου. 29 καὶ ἐγὼ, τό γε ἐπ' ἐμοὶ, κατεναυμάχουν τοὺς βαρβάρους. 30 εἶχον δ' αἰσχύνην τὸν παρὰ βασιλέως πλοῦτον καὶ πατρίδος ἐχθρὴν περιουσίην. 31 παρεκέετο δ' ἂν αὐτῷ, ὡς ἑλέπολις τῆς ἑλλάδος ὑπάρχων. 32 οὐκ ἔστι πλοῦτος τὸ πανταχόθεν χρηματίζεσθαι. 33 μεγάλα γὰρ ἱερὰ τῆς ἀρετῆς ἐστὶν ὑπὸ δικαιοσύνης οὐ κρυπτόμενα, ἀλλ' ἐμφανέα ὄντα. 34 ἢ οὐκ οἴεσθε ἰσοναμφέρτημα εἶ-

natis. 17 Qui vero mercedem capiunt, hi scientias servire cogunt, velut captivas facientes ipsas ex priore libertate: 18 deinde, velut verisimile est, mentiri etiam poterint, velut de magno morbo: & negarint, velut de parvo: 19 & polliciti non venerint, & rursus venerint non vocati. 20 Misera est profecto humana vita: quoniam per totam ipsam intolerabilis avaricia, velut hybernus ventus, distributa est ac penetravit. 21 Ad quam utinam potius omnes medici convenissent, quo graviorem insania morbum curarent: 22 quoniam quum morbus sit, & affligat, etiam laudatur. 23 Ego vero arbitror, etiam animæ morbos omnes vehementes esse insanias, quæ opiniones quasdam ac imaginationes rationi inducunt. 24 A quibus qui per virtutem depurgatus est, sanus evadit. 25 Quod si ego omnino ditescere voluissem, viri Abderitæ, non utique decem talentorum gratia ad vos proficiscerer: 26 sed ad Magnum accessissem Persarum regem, ubi totæ civitates humanis opibus refertæ mihi obtigissent: 27 sanassem autem illic ipsorum pestem. 28 Verum denegavi, inimicam Græciæ regionem à malo morbo me velle liberare. 29 Et ego, quantum in me fuisset, Barbaros expugnassem. 30 Habuissem autem ignominiam ipsas à rege divitias, & opulentiam patriæ inimicam. 31 Hæc vero mihi adfuissent, velut ei qui urbium Græciæ devastator esset. 32 Non sunt divitiæ, undiquaque lucrari. 33 Magna enim sunt sacra virtutis, quæ à justitia non occultantur, sed manifesta existunt. 34 Aut non

ναι æquale

ναι σώζειν πολεμίους καὶ φίλους ἰᾶσθαι μισθοῦ. [35] ἀλλ' οὐχ ὧδε ἔχει τὰ ἡμέτερα, ὦ δῆμε. [36] οὐ καρποῦμαι δὲ νόσους. [37] οὐδὲ δι' εὐχῆς ἤκουσα τὴν Δημοκρίτου παράκρουσιν. [38] ὅς, εἴτε ὑγιαίνει, φίλος ἔσται, [39] εἴτε νοσεῖ θεραπευθεὶς, πλέον ὑπάρξει. [40] πυνθάνομαι δὲ αὐτὸν ἐμβριθέα καὶ στερρὸν τὰ ἤθεα, [41] καὶ τῆς ὑμετέρης πόλιος ἐόντα κόσμον. ἔρρωσθε.

æquale peccatum esse putatis, hostes servare, & amicos mercede sanare. [35] At non hoc modo se res nostræ habent, ô Abderitæ. [36] Non capio fructum ex morbis, [37] neque libenter audivi Democritum mente motum esse. [38] Qui sive sanus est, amicus est: [39] sive ægrotat, curatus magis amicus erit. [40] Audio autem ipsum gravibus ac solidis 'moribus præditum esse, [41] & urbis vestræ ornamentum. Valete. 40

Ἱπποκράτης Φιλοποίμενι χαίρειν.

Hippocrates Philopœmeni S.

Fœsius sect. VIII. 7. 1275.

ρμς 525 Οἱ τὴν τῆς πόλιος ἐπιστολὴν ἀναδόντες μοι πρέσβεις, καὶ τὴν σὴν ἀπέδοσαν. [2] ἥσθην τε κάρτα, καὶ ξενίην ὑπισχνουμένου σεο, καὶ τὴν ἑτέρην δίαιταν. [3] ἔλθοιμεν δ' ἂν αἰσίῃ τύχῃ. [4] καὶ ἀφιξόμεθα, ὡς ὑπολαμβάνομεν, χρηστοτέρῃσιν ἐλπίσιν, ὡς ἐν τῇ γραφῇ παραδεδήλωται. [5] οὐ μανίην, ἀλλὰ ψυχῆς τινα ῥῶσιν ὑπερβάλλουσαν διαφαίνοντος τοῦ 'ἀνδρὸς, 45 [6] μήτε παίδων, μήτε γυναικὸς, μήτε ξυγγενέων, μήτε οὐσίης, μήτε τινὸς ὅλως ἐν φροντίδι ἐόντος, [7] ἡμέρην δὲ καὶ εὐφρόνην πρὸς ἑωυτοῦ καθεστεῶτος, καὶ ἰδιάζοντος, [8] τὰ μὲν πολλὰ ἐν ἄντροισι καὶ ἐρημίῃσιν, ἢ ὑποσκιάσμασι δενδρέων, ἢ ἐν μαλθακῇσι ποίῃσιν, ἢ παρὰ συχνοῖσιν ὑδάτων ῥεέθροις. [9] συμβαίνει μὲν οὖν τὰ πολλὰ τοῖς μελαγχολικοῖς τὰ τοιαῦτα. [10] σιγηροί τε γὰρ ἐνίοτε εἰσὶ, [11] καὶ μονήρεες, [12] καὶ φιλέρημοι 23 τυγχάνουσιν. [13] ἀπανθρωπέονταί τε 526 ξύμφυλον ὄψιν [14] ἀλλοτρίην νομίζοντες. 24 [15] οὐκ ἀπεοικὸς δὲ καὶ τοῖσι περὶ παιδείην ἐσπουδακόσι τὰς ἄλλας φροντίδας ὑπὸ μιῆς τῆς ἐν σοφίῃ διαθέσιος ἀποσοβη-

Legati, qui urbis epistolam 19 mihi reddiderunt, etiam tuam 64 tradiderunt. [2] Et valde gavisus sum, & hospitium, & reliquum victum te promittente. μς 675 [3] Veniemus autem bona fortuna: [4] & meliore spe, velut arbitramur, accedemus, prout in literis est declaratum: [5] quum non insaniam, sed quandam excellentem mentis sanitatem vir 'ille declaret, 5 [6] dum neque liberorum, neque uxoris, neque cognatorum, neque rei familiaris, neque omnino alicujus curam gerit: [7] sed & diu & noctu apud seipsum consistit, & privatim vitam degit, [8] plerunque in antris & solitudinibus, aut sub arborum umbris, aut in mollibus herbis, aut apud frequentia aquarum fluenta. [9] Contingunt igitur talia plerunque atra bile percitis. [10] Taciturni enim aliquando sunt, [11] & solitarii, [12] ac 'deserti 10 amantes, [13] & rerum familiarium conspectum aversantur, [14] alienum putantes. [15] Nec vero dissimile vero est, etiam his qui circa disciplinas versantur, ab una erga sapientiam adfectione, alias

ἀπωσθῆναι. [16] ὥσπερ γὰρ δμῶες τε καὶ δμωΐδες ἐν τῇσιν οἰκίῃσι θορυβέοντες καὶ στασιάζοντες, ὁκόταν ἐξαπιναίως αὐτοῖς ἡ δέσποινα ἐπιστῇ, πτοηθέντες ἀφησυχάζουσι· [17] παραπλησίως καὶ αἱ λοιπαὶ κατὰ ψυχὴν ἐπιθυμίαι ἀνθρώποις κακῶν ὑπηρέτιδες. [18] ἐπὴν δὲ σοφίης ὄψις ἑωυτὴν ἐπιστήσῃ, ὡς δοῦλα τὰ λοιπὰ πάθεα ἐκκεχώρηκεν. [19] ποθέουσιν ἄντρα καὶ ἡσυχίην οὐ πάντες οἱ μανέντες, [20] ἀλλὰ καὶ οἱ τῶν ἀνθρωπίνων πρηγμάτων ὑπερφρονέοντες, ἀπραξίης ἐπιθυμίῃ. [21] ὁκόταν γὰρ ὁ νοῦς ὑπὸ τῶν ἔξω φροντίδων κατατρυχόμενος ἀναπαῦσαι θελήσῃ τὸ σῶμα, τότε ταχέως ἐς ἡσυχίην μετήλλαξε. [22] εἶτα ἀναστὰς ὀρθὸς ἐν ἑωυτῷ περισκοπεῖ κύκλῳ χωρίον ἀληθείης. [23] ἐν ᾧ οὐ πατήρ, οὐ μήτηρ, οὐ γυνή, οὐ τέκνα, οὐ κασίγνητος, οὐ συγγενέες, οὐ δμῶες, οὐ τύχη, οὐχ ὅλως οὐδὲν τῶν θόρυβον ἐμποιησάντων. [24] πάντα δ' ἀποκεκλεισμένα τὰ ταράσσοντα ἕστηκεν ὑπὸ φόβου, [25] οὐδὲ πλησιάσαι τολμέοντα, ὑπ' εὐλαβείης τῶν αὐτόθι ἐνοικεόντων. [26] οἰκέουσι δὲ τὸ χωρίον ἐκεῖνο καὶ τέχναι, καὶ ἀρεταὶ παντοῖαι, καὶ θεοὶ, καὶ δαίμονες, καὶ βουλαὶ, καὶ γνῶμαι. [27] καὶ ὁ μέγας πόλος ἐν ἐκείνῳ τῷ χωρίῳ τοὺς πολυκινήτους ἀστέρας κατέστεπται. [28] ἐς ὃ τάχα καὶ Δημόκριτος ὑπὸ σοφίης μετῴκισται. [29] εἶτ' οὐκ ἔτι ὁρέων τοὺς ἐν τῇ πόλει, ἅτε τηλοῦ ἐκδεδημηκὼς, δοξάζεται μανίης νοῦσον, διὰ τὸ φιλέρημον. [30] σπεύδουσι δὲ Ἀβδηρῖται ἀργυρείου ἐξελεγχθῆναι, ὅτι οὐ ξενίασι Δημόκριτον.

alias curas exclusas esse. [16] Quemadmodum enim famuli ac ancillæ in domibus tumultuantes, & seditionem agentes, ubi derepente ipsis hera comparuit, consternati conquiescunt: [17] sic etiam reliquæ in anima cupiditates malorum sunt hominibus ministræ. [18] Postquam autem sapientiæ conspectus seipsum ingesserit, reliquæ affectiones velut famulæ discedunt. [19] Non autem omnino insani antra & quietem expetunt: [20] sed etiam hi qui humana negocia contemnunt, ob tranquillitatis cupiditatem. [21] Cum enim mens ab externis curis vexata, corpus reficere voluerit, tunc cito ipsum quieti tradit: [22] deinde recta exsurgens, circumcirca veritatis regionem collustrat, [23] in qua non est pater, non mater, non uxor, non liberi, non frater, non cognati, non famuli, non fortuna, non omnino quicquam ex his, quæ tumultum inducunt. [24] Omnia autem perturbantia, exclusa stant præ timore: [25] & neque appropinquare audent præ reverentia eorum, quæ isthic habitant. [26] Habitant autem illam regionem, & artes, & virtutes omnis generis, & Dei, & dæmones, & senatus, & consilia. [27] Et magnus polus in illa regione, stellis multum mobilibus coronatus est: [28] in quam fortassis etiam Democritus præ sapientia transmigravit: [29] deinde quum non videat amplius eos, qui sunt in urbe, utpote procul profectus: insaniæ morbo laborare putatur, propter solitudinis amorem. [30] Student autem Abderitæ argenti amorem & studium detegere, & in se manifestum facere, eo quod

Democri-

ἴσῃ. ³¹ ἀλλὰ σύγε ἡμῖν κατάρτυε τὴν ξενίην, ὦ ἑταῖρε Φιλοποίμην. ³² οὐ γὰρ ἐθέλω τεταραγμένῃ τῇ πόλει παρέχειν ὄχλησιν, ἐκ παλαιοῦ ἴδιον ἔχων ξεῖνόν σε, ὡς οἶσθα. ³³ ἔρρωσο.

Democritum non intelligunt. ³¹ At tu hospitium nobis ô amice Philopœmen præpara. ³² Non enim volo perturbatæ urbi molestiam exhibere, quum veterem te proprium hospitem, velut nosti, habeam. ³³ Vale.

Ἱπποκράτης Φιλοποίμενι χαίρειν.

Hippocrates Philopœmeni S.

Foesius sect. VIII. 10. 1277.

pag 527 ¹ Συνθεὶς ἐκ φροντίδος ὑπὲρ Δημοκρίτου, αὐτῇ ἐκείνῃ τῇ νυκτὶ καταδαρθὼν, περὶ ἀρχὰς μάλιστα τῆς ἕω ὄναρ ἐφαντάσθην. ³ ἐξ οὗ νομίζω χαίρειν μηδὲν ἐπισφαλὲς γενήσεσθαι. ⁴ ἐκπάγλως γὰρ διηγέρθην. ⁵ ἐδόκεον γὰρ αὐτὸν τὸν Ἀσκληπιὸν ὁρῆν φαίνεσθαι αὐτῷ πλησίον. ἤδη δὲ πρὸς ταῖς τῶν Ἀβδηριτῶν πύλαις ἐτυγχάνομεν. ⁶ ὁ δὲ Ἀσκληπιὸς, οὐχ ὡς εἰώθεσαν αὐτὸν αἱ εἰκόνες, μείλιχόν τε καὶ πρᾶον ἰδέσθαι κατεφαίνετο, ⁷ ἀλλὰ διηγερμένος τῇ χείρῃ, καὶ ἰδέσθαι φοβερώτερος. ⁸ εἵποντο δὲ αὐτῷ δράκοντες, χρῆμά τι ἑρπετῶν ὑπερφυές. ⁹ ἐπιγόμενοι δὲ καὶ αὐτοὶ μακρῇσι τοῖς ἐπισύρμασι, ¹⁰ καί τι φοβερὸν ὡς ἐν ἐρημίῃσι καὶ νάπῃσι κοίλῃσιν ὑποσυρίζοντες. ¹¹ οἱ δὲ κατόπιν ἑταῖροι κίστας φαρμάκων ἀσφαλέα περισφηκωμένας ἔχοντες εἵποντο. ¹² ἔπειτα ὤρεξέ μοι τὴν χεῖρα ὁ θεός. ¹³ κἀγὼ λαβόμενος ἀσμένως ¹⁴ ἐλιπάρεον ξυνέρχεσθαι, ¹⁵ καὶ μὴ καθυστερεῖν μου τῆς θεραπείης. ¹⁶ ὁ δὲ, οὐδὲν, ἔφη, σὺ τοῦ παρόντος ἐμεῦ χρήζεις, ἀλλά σε αὐτὴ ἡ νῦν ξεναγήσει θεὸς κοινὴ ἀθανάτων τε καὶ θνητῶν. ¹⁷ ἐγὼ δὲ ἐπιστραφεὶς ὁρέω γυναῖκα ¹⁸ καλήν τε καὶ μεγάλην, ¹⁹ ἀφελέως πεπλοκισμένην, ²⁰ λαμπρείμονα. ²¹ διέλαμπον δὲ αὐ-

Cogitans ac sollicitus de Democrito, ² illa ipsa nocte dormiens, sub ipsius auroræ initium, somnium mihi oblatum habui, ³ ex quo puto nihil valde periculosi fore. ⁴ Mirabiliter enim expergefactus sum. ⁵ Videbar mihi videre Æsculapium ipsum coram, & jam ad ipsas Abderitarum portas aderamus. ⁶ Æsculapius autem non ut imagines eum alias ostendunt, mitis ac blandus apparebat: ⁷ sed habitu concitato, & aspectu horrendo. ⁸ Sequebantur autem ipsum dracones reptilium generis immanes, ⁹ longum tractum ducentes, ¹⁰ & horribile quiddam velut in desertis ac saltibus subsibilantes. ¹¹ Sequebantur & socii, pyxides medicamentarias probe obsignatas gestantes: ¹² deinde porrexit mihi manum Deus: ¹³ quam ubi libentissime apprehendissem, ¹⁴ rogabam ut simul mecum pergeret, ¹⁵ & ne me in medendo destitueret. ¹⁶ Verum is: Nihil, inquit, in præsens me opus habes: sed hæc immortalium ac mortalium communis dea te peregrinum deducet. ¹⁷ Et ego conversus video mulierem ¹⁸ pulchram ac magnam, ¹⁹ simpliciter ornatam, ²⁰ splendidam, ²¹ cujus oculorum circuli puro lumine micabant,

δι' αὐτῆς οἱ τῶν ὀμμάτων κύκλοι καθαρόν τι φῶς, οἷον ἀστέρων μαρμαρυγὰς δοκέειν. [22] καὶ ὁ μὲν δαίμων ἐχωρίσθη. [23] κείνη δὲ ἡ γυνὴ πιάσασά με τῆς χειρὸς μαλθακῇ τινι ἀτενίῃ διὰ τοῦ ἄστεος ἦγε φιλοφρονεομένη. [24] ὡς δὲ πλησίον τῆς οἰκίης ἦμεν, ἵνα τὴν ξενίην ἐδόκεον ἀντρεπίσθαι, ἐπῄει ὡς φάσμα [25] οἷον εἰποῦσα· αὔριόν σε παρὰ Δημοκρίτῳ καταλήψομαι. [26] ἤδη δὲ αὐτῆς μεταστρεφομένης, δέομαι φημὶ, ἀρίστη τίς εἶ, καὶ τίνα σε καλέομεν, [27] ἡ δὲ, ἀλήθεια, ἔφη. [28] αὕτη δὲ, ἣν προσιοῦσαν ὁρῇς· καὶ ἐξαίφνης ἑτέρη τις κατεφαίνετό μοι, [29] οὐ κακὴ μὲν οὐδ' αὐτὴ, θρασυτέρη δὲ ἰδέσθαι καὶ σεσοβημένη· [30] δόξα, ἔφη, καλέεται, κατοικέει δὲ παρὰ τοῖσιν Ἀβδηρίτῃσιν. [31] ἐγὼ μὲν οὖν ἀναστὰς ὑπεκρινάμην ἐμαυτῷ τὸ ὄναρ, ὅτι οὐ δέοιτο ἰητροῦ Δημόκριτος. [32] ὅπου γε αὐτὸς ὁ θεραπεύων θεὸς ἀπέστη, ὡς οὐκ ἔχων ὕλην θεραπείης. [33] ἀλλὰ ἡ μὲν ἀλήθεια τοῦ ὑγιαίνειν παρὰ Δημοκρίτῳ μένει. [34] ἡ δὲ τοῦ νοσέειν αὐτὸν δόξα παρὰ Ἀβδηρίταις ὄντως κατῴκηκε. [35] ταῦτα πιστεύω ἀληθέα εἶναι, Φιλοποίμην, καὶ ἔστιν. [36] καὶ οὐκ ἀπογινώσκω τὰ ὀνείρατα· μάλιστα δὲ, ὁκόταν καὶ τάξιν διαφυλάττῃ. [37] ἰητρικὴ δὲ καὶ μαντικὴ καὶ πάνυ ξυγγενέες εἰσιν, [38] ἐπειδὴ καὶ τῶν δύο τεχνέων πατὴρ εἷς Ἀπόλλων, [39] ὁ καὶ πρόγονος ἡμέων, [40] ἐόντας καὶ ἐσομένας νούσους προαγορεύων, [41] καὶ νοσέοντας, καὶ νοσήσοντας ἰώμενος. [42] ἔρρωσο.

bant, ut stellarum fulgorem putares. [22] Et Deus quidem disparuit. [23] Mulier vero illa apprehensum me manu, lento gradu benigniter per urbem ducebat. [24] Et ubi prope domum essemus, in qua hospitium mihi paratum esse putabam, velut spectrum disparuit, [25] hoc saltem dicens: Cras te apud Democritum deprehendam. [26] Cum vero jam se illa converteret: Rogo, inquam, optima fœmina, quænam es, & quo nomine vocari debes? [27] Veritas, inquit illa. [28] Cæterum quam accedentem vides (& derepente altera quædam mihi apparuit) [29] neque ipsa mala videtur, audacior autem aspectu & concitatior: [30] Opinio, inquit, appellatur, & habitat apud Abderitas. [31] Ego igitur ubi de somno surrexissem, mihiipsi somnium interpretatus sum, quod non indigeret medico Democritus, [32] quando sane ipse medendi Deus discessisset, velut qui medendi occasionem & materiam non haberet. [33] Sed ipsa quidem Veritas, quod Democritus sanus sit, apud Democritum manet. [34] Opinio vero, quod Democritus ægrotet, revera apud Abderitas habitat. [35] Atque hæc vera esse, mi Philopœmen, credo, & sunt sane. [36] Et non contemno somnia, maxime ubi etiam ordinem conservant. [37] Medicina autem & vaticinatio valde cognatæ sunt: [38] quandoquidem & pater ambarum artium unus est Apollo [39] progenitor noster, [40] & præsentes & futuros morbos prædicens, [41] & ægrotos & ægrotaturos sanans. [42] Vale.

Ἱπποκράτης Διονυσίῳ χαίρειν.

Hippocrates Dionysio S.

Foesius sect. VIII. 8. 1276.

pag. 526 Ἢ περίμενέ με ἐν Ἁλικαρνασσῷ, ἢ φθάσον αὐτὸς ἐλθεῖν, ὦ ἑταῖρε. 2 κατὰ πᾶσαν γὰρ ἀνάγκην ἀπιτέον ἐς Ἄβδηρά μοι 3 Δημοκρίτου χάριν, ἐφ' ὃν νοσέοντα μετεπέμψατό με ἡ πόλις. 4 ἀλλ' ἔκτοπός τις ἡ συμπάθεια τῶν ἀνθρώπων, Διονύσιε, 5 ὡς μιῇ ψυχῇ ξυννοσεῖ τῷ πολίτῃ. 6 ὥστε μοι δοκέουσι καὶ αὐτοὶ θεραπείης δέεσθαι. 7 ἐγὼ δὲ οἶμαι οὐδὲ νόσον αὐτὴν εἶναι, 8 ἀλλ' ἀμετρίην παιδείης, οὐκ οὖσάν γε τῷ ὄντι ἀμετρίην, 25 ἀλλὰ νομιζομένην τοῖσιν ἰδιώτῃσιν. 9 ἐπεὶ οὐδέποτε βλαβερὸν τὸ ἀρετῆς ἄμετρον. 10 δόξα δὲ νούσου γίνεται τὸ ὑπερβάλλον διὰ τὴν τῶν κρινόντων ἀπαιδευσίην. 11 δοκιμάζει δὲ ἕκαστος, ἐξ ὧν αὐτὸς οὐκ ἔχει, τὸ ἐν ἄλλῳ πλεονάζον περισσὸν εἶναι. 12 ὥς που καὶ ὁ δειλὸς ἀμετρίην τὴν ἀνδρείην ὑπείληφε. 13 καὶ ὁ φιλάργυρος τὴν μεγαλοψυχίην. 14 καὶ πᾶσα ἔλλειψις ὑπερβάλλειν δοκεῖ τὸ ἀρετῆς ξύμμετρον. 15 ἐκεῖνον μὲν οὖν αὐτὸν ἰδόντες μετὰ τῆς ἐνθένδε προγνώσιος, καὶ ἀκούσαντες τῶν 30 λόγων αὐτοῦ, ἄμεινον εἰσόμεθα. 16 σὺ δ' ἐπείγου, ὦ Διονύσιε, αὐτὸς παραγενέσθαι. 17 βούλομαι γάρ σε διατρίψαι τῇ πατρίδι μου, μέχρις ἂν ἐπανέλθω. 18 ὅκως τῶν τε ἡμετέρων φροντῇς, καὶ περὶ τῶν ἡμέων τῆς πόλιος. 19 ἐπειδὴ οὐκ οἶδ' ὅκως ἐκ συντυχίης ὑγιεινὸν τὸ ἔτος ἐστὶ, καὶ τὴν ἀρχαίην φύσιν ἔχον. 20 ὥστε οὐδὲ πολλαὶ παρενοχλήσουσι νοῦσοι. πλὴν ὅμως, πάριθι. 21 οἰκήσεις δὲ τὴν ἐμὴν οἰκίην ὑπερευκαιρέουσαν.

Aut in Halicarnasso me expecta, aut ipse ad me venire ô amice festina. 2 Per summam enim necessitatem abeundum est mihi in Abderam, 3 Democriti caussa, ad quem ægrotantem urbs me accersivit. 4 Cæterum admiranda est hominum, ô Dionysi, per consensum affectio: 5 velut una anima cum cive coægrotant. 6 Quare mihi videntur etiam ipsi curatione opus habere. 7 Ego vero neque morbum ipsum esse puto, 8 sed immodicam doctrinam, quæ revera non est immodica, sed ab idiotis putatur. 9 Nam nunquam nociva est virtus immodica. 10 Excellentia vero, morbi opinionem de se præbet, propter judicantium imperitiam. 11 Unusquisque enim ex his, quæ ipse non habet, judicat id quod in alio abundat, superfluum esse. 12 Sic sane etiam timidus fortitudinem immodestiam putat, 13 & avarus magnanimitatem. 14 Et omnis defectus, virtutis moderationem excedere putatur. 15 Illum igitur ubi viderimus, cum prænotione hinc contingente, & ubi sermones ejus audiverimus: melius cognoscemus. 16 Tu vero, ô Dionysi, studio habe ut ipse accedas. 17 Volo enim te in patria mea commorari donec rediero: 18 quo & rerum nostrarum, & imprimis urbis nostræ curam geras. 19 Nam haud scio quomodo ex casu contigit, ut saluber sit annus, & pristinam naturam habeat. 20 Quare neque multi infestabunt morbi: attamen venito: 21 Inhabitabis autem meam domum nimis quam

σιν, 22 ἅτε καὶ τῆς γυναικὸς μενούσης πρὸς τοὺς γονέας, διὰ τὴν ἐμὴν ἐκδημίην. 23 ἐπισκόπει δὲ ὅμως καὶ τὰ ἐκείνης, ὅκως διάγῃ σωφρόνως, καὶ μὴ τῇ ἀνδρὸς ἀπουσίῃ ἄλλους ἄνδρας νομίσῃ. 24 κόσμιον μὲν γὰρ ἐξ ἀρχῆς ἦν, καὶ γονέας ἀστείους εἶχεν. 25 τὸν δὲ πατέρα ἐκτόπως ἀνδρικόν τι καὶ μάλα μισοπόνηρον ὑπερφυῶς γερόντιον. 26 ἀλλ' ὅμως ἀεὶ χρήζει γυνὴ σωφρονίζοντος. 27 ἔχει γὰρ φύσει τὸ ἀκόλαστον ἐν ἑωυτῇ. 28 ὅπερ εἰ μὴ καθ' ἡμέραν ἐπικόπτοιτο, ὡς τὰ δένδρεα καθυλομανεῖ. 29 ἐγὼ δὲ φίλον οἴομαι ἀκριβέστερον γονέων εἰς φυλακὴν γυναικός. 30 οὐ γὰρ, ὡς ἐκείνοις, καὶ τούτῳ ξυνοικεῖ πάθος εὐνοίης, δι' ὃ πολλάκις ἐπισκιάζονται τὴν νουθεσίην. 31 φρονιμώτερον δὲ ἐν παντὶ τὸ ἀπαθέστερον, ἅτε μὴ ἐπικλώμενον ὑπ' εὐνοίης. 32 ἔρρωσο.

quam oportunam, 22 nimirum quum & uxor apud parentes maneat propter meam profectionem. 23 Attamen & illius res inspecta, quo pudice degat, & non ob viri absentiam, alios viros approbet. 24 Honesta equidem ab initio fuit, & parentes bonos habuit. 25 Patrem autem mirifice virilem, & malos valde odio habentem, egregie senem. 26 Attamen semper opus habet mulier moderatore. 27 Habet enim à natura in se lasciviam: 28 quæ, nisi quotidie resecetur, velut arbores in materiæ multæ effusionem, exuberat. 29 Ego vero amicum parentibus diligentiorem puto ad uxorem custodiendam. 30 Non enim, velut illis, etiam huic cohabitat benevolentiæ adfectio, per quam sæpe umbra admonitioni obtenditur. 31 In omnibus autem rebus prudentior est alienitas ab adfectione, ut quæ minime à benevolentia infringatur. 32 Vale.

Ἱπποκράτης Δαμαγήτῳ χαίρειν.

Hippocrates Damageto S.

Foesius sect. VIII. 9. 1276.

Οἶδα παρά σοι γενόμενος ἐν Ῥόδῳ, Δαμάγητε, τὴν ναῦν ἐκείνην, 2 ἁλίου ἐπιγραφὴ ἦν αὐτῇ, πάγκαλόν τινα καὶ εὔπρυμνον, ἱκανῶς τε τετροπισμένην· καὶ διάβασιν εἶχε πολλήν. 3 ἐπῄνεις δὲ καὶ τὸ ναυτικὸν αὐτῆς, ὡς ὀξὺ, καὶ ἀσφαλὲς, καὶ εὔτεχνον ὑπουργῆσαι· καὶ τοῦ πλοῦ τὴν εὐδρομίην. 4 ταύτην ἔκπεμψον ἡμῖν. ἀλλ', εἰ οἷόν τε, μὴ κώπαις, ἀλλὰ πτεροῖς ἐρετμώσας αὐτήν. 5 ἐπείγει γὰρ τὸ πρῆγμα καὶ, φιλότης, μάλα εἰς Ἄβδηρα διαπλεῦσαι

Cum apud te Rhodi essem Damagete, vidi navem illam, 2 cui Solis inscriptio erat, penitus pulchram, & in puppi probe instructam, & sufficientem carinam habentem. Habebat & transtra multa. 3 Et tu laudabas etiam in ipsa navigandi præstantiam, quod velox esset, & tuta, & ad inserviendum artificiosa. Et insuper prædicabas probum in ipsa navigationis cursum. 4 Hanc mitte nobis: verum, si fieri potest, non remis, sed alis ad remigium instructam. 5 Urget enim res ipsa, ô amice, ut valde cito in Abderam navigem.

θεραπεῦσαι πάνυ ταχέως. [6] βούλομαι γὰρ νοσοῦσαν ἰήσασθαι πόλιν διὰ νοσέοντα ἕνα Δημόκριτον. ἀκούεις που ἀνδρὸς τὸ κλέος. [7] τοῦτον ἡ πατρὶς ἡγεῖται μανίῃ κεκακῶσθαι. [8] ἐγὼ δὲ βούλομαι, μᾶλλον δὲ εὔχομαι, μὴ ὄντως αὐτὸν παρακόπτειν, ἀλλ' ἐκείνοισι δόξαν εἶναι. [9] γελᾷ, φασὶν, ἀεὶ, καὶ οὐ παύεται γελῶν ἐπὶ παντὶ πρήγματι. καὶ σημεῖον αὐτοῖσι μανίης τοῦτο δοκεῖ. [10] ὅθεν λέγε τοῖσιν ἐν Ῥόδῳ φίλοισι μετριάζειν ἀεὶ, [11] καὶ μὴ πολλὰ γελᾶν, [12] μηδὲ πολλὰ σκυθρωπάζειν, [13] ἀλλὰ τουτέων ἀμφοῖν τὸ μέτριον κτήσασθαι· [14] ἵνα τοῖς μὲν χαριέστατος εἶναι δόξῃς, [15] τοῖς δὲ φροντιστὴς, περὶ ἀρετῆς μερμηρίζων. [16] ἔστι μέντοι γε, Δαμάγητε, κακὸν, παρ' ἕκαστον αὐτοῦ γελῶντος. [17] εἰ γὰρ ἡ ἀμετρίη φλαῦρον, τὸ διὰ παντὸς φλαυρότερον. [18] καὶ εἴποιμ' ἂν αὐτῷ Δημόκριτε, καὶ νοσέοντας, καὶ κτεινομένους, καὶ τεθνεῶτας, καὶ πολιορκουμένους, καὶ παντοίως ἐμπίπτοντας κακοῦ, ἕκαστον τῶν πρησσομένων ὕλη σοι γέλωτος ὑπόκειται; [19] οὐ θεομαχέεις δὲ, εἰ, δύο ἐόντων ἐν κόσμῳ, χαρᾶς καὶ λύπης, σὺ θάτερον αὐτῶν ἐκβέβληκας; [20] μακάριος τ' ἂν ἦς, ἀλλ' ἀδύνατον, εἰ μήτε μήτηρ σοι νενόσηκεν, μήτε πατὴρ, μήτε τὰ ὕστερον τέκνα, ἢ γυνὴ ἢ φίλος, [21] ἀλλὰ διὰ τὸν σὸν γέλωτα ἵνα διασώζηται, εὐτυχέεις πάντα. [22] ἀλλὰ νοσεόντων, γελᾷς. [23] ἀποθνησκόντων, χαίρεις. [24] εἴ πού τι πύθοιο κακὸν, εὐφραίνῃ. [25] ὡς πονηρότατος εἶ, ὦ Δημόκριτε, καὶ πόῤῥω γε σοφίης, [26] ἢν νομίζῃς αὐτὰ μηδὲ κακὰ εἶναι. μελαγχολᾷς οὖν, Δημόκριτε, κινδυνεύων καὶ αὐτὸς Ἀβδηρί-

[6] Volo enim ægrotantem curare urbem, propter unum ægrotantem Democritum, si unquam viri fama ad aures tuas pervenit. [7] De hoc patria dicit, quod insania adflictus sit: [8] ego autem cupio, imo magis opto, non revera ipsum insanire, sed illos ita putare. [9] Ridet, inquiunt, semper, & ridere non cessat in omnibus negociis. Et hoc ipsis insaniæ signum esse videtur. [10] Quare tuis in Rhodo amicis dicito, ut semper moderate se gerant, [11] & non multum rideant, [12] neque multum tristes sint: [13] sed inter ambo hæc modum teneant: [14] ut aliis comis esse videaris, [15] aliis sollicitus, de virtute cogitans. [16] Est profecto mali quiddam, dum ad singula ille ridet. [17] Si enim immodestia malum est: ea sane perpetua longe pejor est. [18] Et dicam sane ad ipsum: Democrite, & si quis ægrotat, & occiditur, & mortuus est, & obsidetur, & quodvis malum ingruit: singula quæ fiunt, materiam risus tibi præbent. [19] Non autem repugnas Deo, si, quum duo sint in mundo, Gaudium & Tristicia, tu alterum ipsorum ejecisti? [20] Beatus profecto fueris, (verum impossibile est) si neque mater tibi ægrotat, neque pater, neque postea liberi, aut uxor, aut amicus: [21] sed propter tuum risum conservantur, penitus felix es. [22] At si, dum ægrotant, rides: [23] dum moriuntur, gaudes: [24] & si quid mali audieris, exhilararis: [25] pessimus es ô Democrite, & procul sane à sapientia. [26] Si vero putas hæc ipsa neque mala esse, certe atra bile percitus es Democrite, periclitans ne & ipse Abderita sis: pru-

dentior

25 Ἀβδηρίτης εἶναι. [27] φρονιμωτέρη δὲ ἡ πόλις. ἀλλὰ περὶ μὲν δὴ τουτέων ἀκριβέστερον ἐκεῖ λέξομεν, Δαμάγητε. [29] ἡ δὲ ναῦς καὶ τὸν χρόνον, ὃν ἐπιστέλλω σοι, χρονίζει. [30] ἔρρωσο.

dentior autem sit ipsa civitas. 25 [28] Cæterum de his exactius illic dicemus Damagete. [29] At vero navis etiam hoc tempus, quo hæc tibi scribo, remoratur. [30] Vale.

Ἱπποκράτης Δαμαγήτῳ χαίρειν.

Hippocrates Damageto S.

Foesius sect. VIII. 12. 1279.

pag. 528 Τοῦτ' ἐκεῖνο, Δαμάγητε, ὅπερ εἰκάζομεν· [2] οὐ παρεκόπη Δημόκριτος, [3] ἀλλὰ πάντα ὑπερεφρόνει, [4] καὶ ἡμέας ἐσωφρόνιζε, καὶ δι' ἡμέων πάντας ἀνθρώπους. [5] ἐξέπεμψα δέ σοι, φιλότης, ὡς ἀληθέως τὴν Ἀσκληπιάδα νῆα· [6] ἣ προσθὲς μετὰ τοῦ ἡλίου ἐπίσημον καὶ ὑγείην· [7] ἐπεὶ καὶ τῷ δαίμονι τῷ ὄντι ἱστιοδρόμηκε. [8] καὶ ἐκείνῃ τῇ ἡμέρῃ κατέπλευσεν ἐς Ἄβδηρα, 40 ἧπερ αὐτέοις ἐπεστάλκειν ἀφίξεσθαι. [9] πάντας οὖν ἀολλέας πρὸ τῶν πυλῶν εὕρομεν, ὡς εἰκὸς ἡμέας περιμένοντας, [10] οὐκ ἄνδρας μούνους, ἀλλὰ καὶ γυναῖκας, ἔτι δὲ καὶ πρεσβύτας καὶ παιδία, νὴ θεούς, κατηφέα καὶ τὰ νήπια. [11] οὗτοι μέν τοι ὧδε εἶχον, ὡς ἐπὶ μαινομένῳ τῷ Δημοκρίτῳ. [12] ὁ δὲ μετ' ἀκριβείης τότε ὑπερεφιλοσόφεεν. [13] ἐπεὶ δέ με εἶδον, ἔδοξάν που σμικρὸν ἐφ' ἑωυτῶν γεγονέναι, καὶ χρηστὰς ἐλπίδας ἐποιεῦντο. [14] ὁ δὲ Φιλοποίμην ἄγειν ἐπὶ 45 τὴν ξενίην με ὥρμητο· κἀκείνοις ξυνεδόκει τοῦτο. [15] ἐγὼ δέ, ὦ ἄνδρες, ἔφην, Ἀβδηρῖται, οὐδὲν ἔστι μοι προὔργου, ἢ Δημόκριτον θεήσασθαι. [16] οἱ δ' ἐπαινέσαντες, καὶ ἥσθησαν, ἦγόν τέ με ξυντόμως διὰ τῆς ἀγορῆς, [17] οἱ μὲν ἑπόμενοι, οἱ δὲ προθέοντες, ἐπιβοῶντες ἕτεροι· [18] σῶζε, λέγοντες,

Hoc erat illud Damagete, 19 quod conjectabamus: [2] non insanit Democritus, [3] sed super- 69 pag. 678 omnia sapit, [4] & nos sapientiores effecit, & per nos omnes homines. [5] Remisi autem tibi amice revera Æsculapeam navem: [6] 49 cui cum Solis signo etiam sanitatis insigne apponito. [7] Nam revera secundo numine vela 50 fecit: [8] & illa die in Abderam navigavit, qua scripseram ipsis, 5 me perventurum esse. [9] Omnes igitur ante portas congregatos invenimus, nos, velut verisimile est, exspectantes, [10] non viros solum, sed etiam mulieres: insuperque senes & pueros (per deos) tristes, itemque infantes. [11] Atque hi quidem sic habebant, velut ob Democritum insanientem. [12] Ille vero sincere tunc in philosophando excellebat. [13] Postquam autem me vidissent, visi sunt mihi paululum ad seipsos rediisse, & bonas spes ostentabant. [14] At Philopœmen me ad hospitium ducere gestiebat, & hoc ab illis comprobabatur. [15] Ego vero: O viri Abderitæ, inquam, nullum mihi majus operæ precium est, quam Democritum videre. [16] Illi vero hoc audito, collaudarunt, & gavisi sunt, & compendio duxerunt me per forum, [17] partim sequentes, partim præcurrentes, alii ab utraque parte: [18] Serva, clamantes,

τες, [19] βοήθει, [20] θεράπευσον. [21] κἀγὼ παρῄνεον θαῤῥέειν, ὡς τάχα μὲν οὐδενὸς ἐόντος κακοῦ, πίσυνος ἐτησίαις ὥραις. εἰ δ' ἄρα καί τι ἦν βραχὺ, εὐδιόρθωτον. [22] καὶ, ἅμα ταῦτα λέγων, ᾔειν. οὐδὲ γὰρ πόῤῥω ἦν ἡ οἰκίη, μᾶλλον

519 δ' οὐδ' ἡ πόλις ὅλη. [23] παρήιμεν οὖν. πλησίον γὰρ τοῦ τείχεος ἐτύγχανεν. καὶ ἀνάγουσί με ἡσυχῇ. [24] ἔπειτα κατόπιν τοῦ πύργου βουνὸς ἦν τις ὑψηλὸς, μακρῇσι καὶ δασείῃσιν αἰγείροισιν ἐπίσκιος. ἔνθεν τε ἐθεωρεῖτο τὰ τοῦ Δημοκρίτου καταγώγια. [25] καὶ αὐτὸς ὁ Δημόκριτος καθῆστο ὑπό τινι ἀμφιλαφεῖ καὶ χθαμαλωτάτῃ πλατανίστῳ, [26] ἐν ἐξωμίδι παχείῃ, [27] μοῦνος, [28] ἀνυπόδητος, [29] ἐπὶ λιθίνῳ θώκῳ, [30] ὠχρηκὼς πάνυ καὶ λιπόσαρκος, [31] κουρεῶν τὰ γένεια. [32] παρ' αὐτὸν δ' ἐπὶ δεξιῆς λεπτόῤῥυτον ὕδωρ κατὰ πρηῶνος τοῦ λόφου θέον ἠρεμαίως ἐκελάρυζεν. [33] ἦν δέ τι τέμενος ὑπὲρ ἐκεῖνον τὸν λόφον, ὡς ἐν ὑπονοίῃ κατεικάζοντι, νυμφέων ἱδρυμένον, αὐτοφύτοις ἐπηρεφὲς ἀμπέλοις. [34] ὁ δ' εἶχεν ἐν εὐκοσμίῃ πολλῇ ἐπὶ τοῖν γουνάτοιν βιβλίον. [35] καὶ ἕτερα δέ τινα, ἐξ ἀμφοῖν τοῖν μεροῖν αὐτῷ παρεβέβλητο. [36] σεσώρευτο δὲ καὶ ζῶα συχνὰ, ἀνατετμημένα δι' ὅλων. [37]

20 ὁ δὲ ὁτὲ μὲν ξυντόνως ἔγραφεν ἐγκείμενος, ὁτὲ δὲ ἠρέμει ταμπολλὰ ἐπέχων, καὶ ἐν ἑωυτῷ μερμηρίζων. [38] εἶτα μετ' οὐ πολὺ τουτέων ἐρδομένων, ἐξαναστὰς περιεπάτει, [39] καὶ τὰ σπλάγχνα τῶν ζώων ἐπεσκόπει. [40] καὶ, καταθεὶς αὐτὰ, μετελθὼν, πάλιν ἐκαθέζετο. [41] οἱ δὲ Ἀβδηρῖται περιεστῶτες με κατηφέες, οὐ πόῤῥω τὰς ὄψιας δακρυόντων ἔχοντες, φασὶν, [42] ὁρῇς.

mantes, [19] auxiliare, [20] medicare. [21] Et ego adhortabar ipsos ut confiderent, tanquam fortassis nihil esset mali: aut si quid esset, modicum id esset, & correctu facile, confisus horis anni Etesiis. [22] Et simul hæc dicens ibam. Neque enim procul erant ædes: immo neque tota civitas. [23] Aderamus igitur: propinquæ enim muro erant, & me placide eo deducunt. [24] At retro turrim collis erat altus, longis ac densis populis nigris umbrosus, unde Democriti habitacula conspiciebantur. [25] Et ipse Democritus sub ampla ac humilima platano sedebat, [26] in veste crassa citra humeros desinente, [27] solus, [28] discalceatus, [29] super lapidea sede, [30] valde pallidus ac macilentus, [31] promissa barba. [32] Juxta ipsum vero à dextra, tenuis aqua per declivem collem decurrens leniter resonabat. [33] Erat autem delubrum quoddam super illum collem, quantum equidem conjectura assequor, Nymphis dicatum, sponte enatis vitibus circumdatum. [34] Ipse vero cum multo ornatu super genibus librum habebat. [35] Sed & alii quidam ex utraque parte adjacebant: [36] accumulata erant etiam animalia multa per totum resecta. [37] Et ipse aliquando concitate incumbens scribebat, aliquando quiescebat, diu multumque se continens, & in seipso meditans. [38] Deinde non longe post, his peractis, exsurgens deambulabat, [39] & viscera animalium inspiciebat, [40] & depositis ipsis digressus, rursus desidebat. [41] At Abderitæ circumstantes me tristes, & non procul à lachrymantibus oculos habentes: [42] Vides, inquiunt, Hippocrates,

ὁρῇς μέντοι τὸν Δημοκρίτου βίον,
ὦ Ἱππόκρατες, [43] ὡς μέμηνεν, [44]
καὶ οὔτε, ὅ, τι θέλει, οἶδεν, οὔτε, ὅ, τι
ἔρδει; [45] καί τις αὐτέων, ἔτι μᾶλ-
λον ἐνδείξασθαι βουλόμενος τὴν
μανίην αὐτοῦ, ὀξὺ ἀνεκώκυσεν,
εἴκελον γυναικὶ ἐπὶ θανάτῳ τέκνου
ὀδυρομένῃ. [46] εἶτ' ἀνώμωξεν πά-
λιν, ὑποκρινόμενος παροδίτην
ἀπολέσαντά τι, ὧν διεκόμιζεν. [47]
καὶ ὁ Δημόκριτος ὑπακούων τὰ
μὲν ἐμειδία, τὰ δὲ ἐξεγέλα, καὶ
οὐκ ἔτι οὐδὲν ἔγραφεν. [48] τὴν δὲ
κεφαλὴν θαμινὰ ἐπέσειεν. [49] ἐγὼ
δὲ, ὑμεῖς μὲν, ἔφην, ὦ Ἀβδηρῖται,
αὐτόθι μίμνετε· [50] ἐγγυτέρω δὲ
αὐτοῦ καὶ λόγων καὶ σώματος τ'
ἀνδρὸς γενηθεὶς, ἰδών τε καὶ ἀκού-
σας, εἴσομαι τοῦ πάθεος τὴν
ἀλήθειαν. [51] καὶ ταῦτ' εἰπὼν κα-
τέβαινον ἡσυχῇ. [52] ἦν δὲ ὀξὺ καὶ
ἐπίφορον ἐκεῖνο τὸ χωρίον. μόλις
δ' οὖν διαπειραζόμενος διῆλθον.
[53] ἐπεὶ δὲ ἐπλησίαζον, ἔτυχεν,
ὅτι ἐπῆλθεν αὐτέῳ, ὅ, τι δὴ ποτε
γράφων ἐνθουσιωδῶς, καὶ μεθ'
ὁρμῆς. [54] εἱστήκειν οὖν αὐτόθι περι-
μένων αὐτέου τὸν καιρὸν τῆς ἀνα-
παύσιος. [54] ὁ δὲ μετὰ μικρὸν τῆς
φορῆς λήξας τοῦ γραφίου ἀνέ-
βλεψέ τε εἰς ἐμὲ προσιόντα, καὶ
φησί· [55] χαῖρε, ξεῖνε. [56] κἀγὼ,
πολλά γε καὶ σὺ, Δημόκριτε, ἀν-
δρῶν σοφώτατε. [57] ὁ δὲ αἰδε-
σθεὶς, οἶμαι, ὅτι οὐκ ὀνομαστὶ
προσεῖπέ με, [58] σὲ δὲ, ἔφη, τί κα-
λέομεν. ἄγνοια γὰρ τοῦ σοῦ ὀνόμα-
τος ἦν πρόφασις τῆς τοῦ ξείνου
προσηγορίας. [59] Ἱπποκράτης,
ἔφην, ἔμοιγε τοὔνομα, ὁ ἰητρός. [60]
ὁ δὲ εἶπεν· ἡ τῶν Ἀσκληπιαδῶν
εὐγένεια, πολύ τε σοῦ τὸ κλέος
τῆς ἐν ἰητρικῇ σοφίης πεφοίτη-
κεν,

crates, Democriti vitam, [43]
quam infanit, [44] & neque quod
vult novit, neque quod facit? [45]
Et quidam ex ipfis adhuc am-
plius oftendere volens ipfius in-
faniam, alta voce ploravit inftar
mulieris ob filii mortem lamen-
tantis. [46] Deinde rurfus cum
gemitu ejulavit, perfonam
agens viatoris, qui aliquid ex
his, quæ portabat, amifit. [47] Ve-
rum Democritus cum hæc au-
diffet, partim ridebat, partim
cachinnis explodebat, & nihil
amplius fcribebat. [48] Caput au-
tem frequenter concutiebat. [49]
Ego vero: Vos, inquam, ô Ab-
deritæ, hic manete: [50] ipfe vero
ubi & verbis, & corpori viri
propior factus fuero, videroque
ac audiero, cognofcam adfectio-
nis veritatem. [51] Et hæc loquu-
tus, placide defcendebam. [52]
Erat autem locus ille afper ac
declivis. Itaque vix me fufful-
ciens penetravi. [53] Cum autem
appropinquaffem, incidi in ip-
fum nefcio quid, quafi ex numi-
nis adflatu & cum concitatione,
fcribentem. [54] Stabam igitur
ifthic expectans tempus quietis
ipfius. [54] Ipfe vero paulo poft,
intermiffo fcribendi impetu, &
ftilo fcriptorio depofito, refpe-
xit ad me accedentem, &: in-
quit, [55] Salve hofpes. [56] Et ego:
Plurimum & tu, inquam, De-
mocrite, vir fapientiffime. [57] At
ille, verecundans arbitror, quod
non nomine me compellaffet:
[58] Te autem, inquit, quo nomi-
ne vocabimus? Ignorantia enim
tui nominis, caufa erat cur te
hofpitem appellarem. [59] Hippo-
crates, inquam, Medicus eft mi-
hi nomen. [60] Is vero: Afclepia-
darum, inquit, nobilitas, & ma-
gna fapientiæ tuæ in re medica
gloria

κεν, καὶ ἐς ἡμέας ἀφῖκται. [61] τί δὲ χρεῖος, ἑταῖρε, δεῦρό σε ἤγαγε; [62] μᾶλλον δὲ, πρὸ πάντων, καθῆσο. [63] ὁρῇς δὲ, ὡς ἔστιν οὗτος οὐκ ἀηδὴς φύλλων θῶκος, ἔτι χλωρὸς καὶ μαλθακὸς ἐγκαθίσαι, προσηνέστερος τῶν τῆς τύχης ἐπιφθόνων θώκων. [64] καθίσαντος δέ μου, πάλιν, φησὶν, [65] ἴδιον ὢν, ἢ ἐπιδήμιον πρῆγμα διζήμενος δεῦρο ἀφῖξαι. [66] φράζε σαφῶς. καὶ γὰρ ἡμεῖς, ὅ,τι δυναίμεθα, συνεργήσαιμεν ἄν. [67] κἀγὼ, τὸ μὲν κατ' ἀλήθειαν, ἔφην, αἴτιον, δεῦρο σέο χάριν ἥκω, ξυντυχεῖν σοφῷ ἀνδρί. [68] ἔχει δὲ πρόφασιν ἡ πατρὶς, ἧς πρεσβείην τελῶ. [69] ὁ δὲ ξενίῃ τοίνυν, φησὶ, τῇ πρώτῃ κέχρησο ἡμετέρῃ. [70] πειρώμενος δὲ κἀγὼ κατὰ πάντα τ' ἀνδρὸς, [71] καί περ ἤδη μοι καταδήλου, μὴ παρακόπτοντος ἐόντος, [72] Φιλοποίμενα, οἶσθα, ἔφην, πολίτην ἐόντα ὑμέτερον; [73] ὁ δὲ, καὶ μάλα, εἶπεν, τὸν Δάμωνος λέγεις υἱὸν, τὸν οἰκέοντα παρὰ τὴν Ἑρμαΐδα κρήνην. [74] τοῦτον, εἶπον. ὃ καὶ τυγχάνω ἐκ πατέρων ἴδιος ξένος. [75] ἀλλὰ σὺ, Δημόκριτε, τῇ κρέσσονί με ξενίῃ δέχευ. καὶ πρὸ τῶν γε τί τοῦτο τυγχάνεις γράφων, φράζε; [76] ὁ δ' ἐπισχὼν ὀλίγον, περὶ μανίης, ἔφη. [77] κἀγὼ, ὦ Ζεῦ βασιλεῦ, φημὶ, εὐκαίρως γε ἀντιγράφεις πρὸς τὴν πόλιν. [78] ὁ δὲ, τίνα, φησὶ, πόλιν, Ἱππόκρατες; [79] ἐγὼ δὲ, οὐδὲν, ἔφην, ὦ Δημόκριτε, ἀλλ' οὐκ οἶδ' ὅπως προσέπεσεν. [80] ἀλλὰ τί περὶ μανίης γράφεις; [81] τί γὰρ, εἶπεν, ἄλλο, πλὴν ὅ,τι ἂν εἴη, [82] ὅκως ἀνθρώποις ἐγγίνεται, [83] καὶ τίνα τρόπον ἀπαλαφίοιτο. [84] πάντα γὰρ ζῷα ταῦτα, ὁκόσα, ἔφη,

ὁρῶ,

gloria multum celebris etiam ad nos pervenit. [61] Quid autem negocii, ô amice, te huc perduxit? [62] Imo potius præ omnibus conside. [63] Vides autem quod hæc sedes foliis instrata non est injucunda, viridis adhuc ac mollis, & ad insidendum lenior invidiosis fortunæ sellis. [64] Cum autem consedissem, rursus inquit: [65] Privatumne, aut publicum negocium agens huc pervenisti? [66] Dic aperte, nam nos, quantum poterimus, adjuvabimus. [67] Et ego: Quæ vera causa est, inquam, tui gratia huc venio, ut sapientem virum conveniam. [68] Habet autem causam patria, cujus legatum ago. [69] Ille vero: Hospitio itaque, inquit, primum utere nostro. [70] Ego vero per omnia virum pertentans, [71] etiam si jam mihi manifestum esset, ipsum non insanire, [72] Philopœmenem, inquam, nosti civem vestrum? [73] Etiam, inquit, valde; Damonis filium dicis, qui habitat apud Hermaidem fontem? [74] Hunc ipsum, inquam, cujus ego sum ex patribus peculiaris amicus. [75] At tu Democrite potiore me hospitio excipe, & primum sane quid sit hoc, quod hic scribis dicito. [76] Ille vero, ubi paululum se continuisset: De insania, inquit. [77] Et ego: O rex Jupiter, inquam, oportune profecto scribis contra civitatem. [78] At ille; Qualem, inquit, civitatem Hippocrates? [79] Ego vero: Nihil, inquam, ô Democrite, sed haud scio quomodo hoc verbum mihi excidit. [80] Verum quid de insania scribis? [81] Quid enim, inquit, aliud quam quid sit, [82] & quomodo in hominibus generetur, [83] & quomodo allevetur. [84]

Nam

ὁρῇς, ταῦτα μέντοι γε ἀνατέμνων εἵνεκα, 85 οὐ μισέων θεοῦ ἔργα, 86 χολῆς δὲ διζήμενος φύσιν καὶ θέσιν. 87 οἶσθα γάρ, ἀνθρώποισι παρακοπῆς ὡς αἰτίη ἐπιπουλὺ αὕτη πλεονάσασα, 88 ἐνὶ πᾶσι μὲν φύσει συνυπάρχει, ἀλλὰ παρ' οἷς μὲν ἔλαττον, παρ' οἷς δέ τι πλέον. 89 ἡ δ' ἀμετρίη αὐτῆς νοῦσοι τυγχάνουσιν, ὡς ὕλης, ὁτὲ μὲν ἀγαθῆς, ὁτὲ δὲ φαύλης ὑποκειμένης. 90 κἀγώ, νὴ Δία, ἔφην, ὦ Δημόκριτε, ἀληθέως γε καὶ φρονίμως λέγεις. 91 ὅθεν εὐδαίμονά σε κρίνω, τοιαύτης ἀπολαύοντα ἡσυχίης. 92 ἡμῖν δὲ μετέχειν ταύτης οὐκ ἐπιτέτραπται. 93 ἐρομένου δέ, διὰ τί, ὦ Ἱππόκρατες, οὐκ ἐπιτέτραπται; 94 ὅτι, ἔφην, ἢ ἀγροί, ἢ οἰκίη, ἢ τέκνα, ἢ δάνεια, ἢ νοῦσοι, ἢ θάνατοι, ἢ δμῶες, ἢ γάμος, ἢ τοιαῦτά τινα τὴν εὐκαιρίην ἡμῶν ὑποτέμνεται. 95 ἐνταῦθα δὴ ὁ ἀνὴρ εἰς τὸ εἰωθὸς πάθος κατηνέχθη, καὶ μάλα ἀθρόον τι ἀνεκάγχασε καὶ ἐπετώθασε. καὶ τὸ λοιπὸν ἡσυχίην ἦγε. 96 κἀγώ, τί μέντοι, Δημόκριτε, ἔφην, γελᾷς; πότερον τὰ ἀγαθά, ὧν εἶπον, ἢ τὰ κακά; 97 ὁ δὲ ἔτι μᾶλλον ἐγέλα. 98 καὶ ἄποθεν ὁρέοντες οἱ Ἀβδηρῖται, οἱ μὲν τὰς κεφαλὰς αὑτῶν ἔτυπτον, οἱ δὲ τὰ μέτωπα, οἱ δὲ τὰς τρίχας ἔτιλλον. 99 καὶ γάρ, ὡς ὕστερον ἔφησαν, πλεονάζοντι ὑπὲρ τὸ εἰωθὸς τῷ γέλωτι ἐχρήσατο. 100 ὑποτυχὼν δ' ἐγώ, ἀλλὰ μήν, ἔφην, σοφῶν ἄριστε Δημόκριτε, ποθέω γὰρ αἰτίην τοῦ περὶ σὲ πάθεος καταλαβέσθαι, 101 τίνος ἄξιος ἐφάνην ἐγὼ γέλωτος, ἢ τὰ λεχθέντα, 102 ὅκως μαθὼν παύσωμαι τῆς αἰτίης, 103 ἢ σὺ ἐλεγχθεὶς,

Nam animalia hæc, quæ vides, inquit, hujus gratia reseco, 85 non quod odio habeam opera Dei, 86 sed bilis naturam ac sedem quærens. 87 Nosti enim quod hæc furoris hominum caussa est, ubi nimium redundarit. 88 In omnibus equidem à natura inest: sed in quibusdam minus, in quibusdam amplius. 89 At immoderatio ipsius morbi sunt, ipsa velut materia aliquando bona, aliquando mala subjacente. 90 Et ego, per Jovem, inquam, ô Democrite, vere hæc & sapienter dicis. 91 Quare beatum te judico, qui tanta quiete frueris. 92 Nobis autem hujus participes esse non permissum est. 93 Interrogante vero illo, Cur, ô Hippocrates, permissum non est? 94 Quoniam, inquam, aut agri, aut res domesticæ, aut liberi, aut usuræ, aut morbi, aut mortes, aut famuli, aut nuptiæ, aut ejusmodi quædam, opportunitatem nobis commodam eripiunt. 95 Hic sane vir ille ad solitam affectionem delatus est, & valde effuse risit, ac cachinnatus est. Et de cætero quiescebat. 96 Et ego: Quid vero, inquam, Democrite rides? utrum bona quæ dixi, aut mala? 97 Ille vero adhuc magis ridebat. 98 Et Abderitæ de colle id videntes, partim capita sua cædebant, partim frontem: alii vero capillos evellebant. 99 Nam, velut postea dixerunt, ampliorem, quam alias solitus esset, risum effuderat. 100 At vero, inquam, sapientum optime Democrite, cupio caussam hujus tuæ adfectionis cognoscere: 101 quo risu ego tibi dignus visus sum, aut ea quæ dixi: 102 quo hoc cognito, à causa desistam, 103 aut tu reprehensus,

διακρούσῃ τοὺς ἀκαίρους γέλωτας.
[104] ὁ δὲ, ἡράκλεις, ἔφη. εἰ γὰρ
δυνήσῃ με ἐλέγξαι, θεραπείην θε-
ραπεύσεις, οἵην οὐδένα οὐδεπώ-
ποτε, ὦ Ἱππόκρατες. [105] καὶ πῶς
οὐκ ἐλεγχθείης, ἔφην, ὦ ἄριστε;
[106] ἢ οὐκ οἴῃ ἄτοπός γε εἶναι
γελῶν ἀνθρώπου θάνατον; ἢ νοῦ-
σον; ἢ παραφροσύνην; ἢ μα-
10 νίην; ἢ μελαγχολίην; ἢ σφα-
γήν; ἢ ἄλλο τι χεῖρον; [107] ἢ
τοὔμπαλιν γάμους, ἢ πανηγύρεις,
ἢ τεκνογονίην, ἢ μυστήρια, ἢ ἀρ-
χὰς, ἢ καὶ τιμὰς, ἢ ἄλλο τι
ὅλως ἀγαθόν; [108] καὶ γὰρ ἃ δέον
οἰκτείρειν, γελᾷς· [109] καὶ ἐφ᾽ οἷς
ἥδεσθαι χρὴ, καταγελᾷς τουτέων.
[110] ὥστε μήτε ἀγαθὸν, μήτε κα-
κὸν παρὰ σοὶ διακεκρίσθαι. [111]
ὁ δὲ, τοῦτο μὲν, ἔφη, εὖ λέγεις, ὦ
Ἱππόκρατες. ἀλλ᾽ οὐκ οἶσθά που
τοῦ ἡμετέρου γέλωτος αἰτίην. [112]
μαθὼν δ᾽, εὖ οἶδ᾽, ὅτι κρέσσονα τῆς
πρεσβείης ἀντιφορτισάμενος ἀπί-
15 οις θεραπείην τὸν ἐμὸν γέλωτα
τῇ πατρίδι καὶ ἑωυτέῳ, καὶ τοὺς
ἄλλους δυνήσῃ σωφρονίζειν. [113] αὖθ᾽
ἂν ἴσως κἀμὲ διδάξεις ἰατρικὴν
ἀμοιβηδόν. [114] γνοὺς, ὅσῃ σπουδῇ
περὶ τὰ ἀσπούδαστα φιλοπονεό-
μενοι πρήσσειν τὰ μηδενὸς ἄξια
πάντες ἄνθρωποι τὸν βίον ἀναλί-
σκουσι, γελώτων ἄξια διοικεῦν-
τες. [115] ἐγὼ δέ φημι, λέγε πρὸς
θεῶν. μήποτε γὰρ διαλανθάνει
ἅπας ὁ κόσμος νοσέων; [116] καὶ
οὐκ ἔχει ὅκου διαπέμψηται πρεσ-
βείην πρὸς θεραπείην; [117] τί
γὰρ ἂν εἴη ἔξω αὐτοῦ; [118] ὁ δ᾽
ὑπολαβὼν, πολλαί γε, φησὶν,
20 ἀπειρίαι κόσμων εἰσὶν, Ἱππόκρα-
τες, καὶ μηδαμῶς, ἑταῖρε, κα- 63
τὰ σμικρολογίην πλουσίην τὴν φύ-
σιν

hensus, intempestivos risus coerceas. [104] Ille vero: O Hercules, inquit, si me reprehendere potes, curationem perficies, qualem nullam unquam, ô 89 Hippocrates. [105] Et quomodo non reprehendaris, ô optime? [106] Aut non absurdum te esse putas, dum rides hominis mortem, aut morbum, aut mentis emotionem, aut insaniam, aut atram bilem, aut cædem, aut aliud quid pejus? [107] Aut vice versa nuptias, aut festivitates, aut liberorum procreationem, aut mysteria, aut magistratus, aut honores, aut aliud quid omnino boni? [108] Nam quorum misereri oportet, ea tu derides: 90 [109] & ob quæ lætari conveniebat, ea itidem derides, [110] adeo ut neque bonum, neque malum apud te sit discretum. [111] At ille, Hæc quidem, inquit, recte dicis ô Hippocrates: sed non novisti risus nostri causam. [112] Ubi vero cognoveris, satis scio quod meum risum, meliorem Legatione medelam ac curationem, tuæ patriæ & tibiipsi auferes, & alios prudentes facere poteris. [113] Et pro hoc fortassis me vicissim medicinam docebis, [114] 95 ubi cognoveris quanto studio circa res nullo studio dignas versantes, & ea quæ nullius precii sunt facere conantes, omnes homines vitam consumunt, risu digna tractantes. [115] Ego vero, Dic, inquam, per deos, nunquid universus mundus ægrotare se non animadvertit? [116] & non habet quo legationem demittat ad sui curationem? [117] Quid enim extra ipsum esse poterit? [118] Ille vero excipiens: Multæ, inquit, sunt mundorum infinitates, & nequaquam, ô amice, 110 divitem

σὺ ἰσῶσαι. 119 ἀλλὰ ταῦτα, ἔφην, Δημόκριτε, διδάξεις ἐν ἰδίῳ καιρῷ. 120 δέδοικα γάρ, μήπως καὶ τὴν ἀπειρίην διεξιὼν γελᾶν ἄρξῃ. 121 ἴσθι δὲ νῦν περὶ τοῦ σοῦ γέλωτος τοῦ βίου λόγον δώσων. 122 ὁ δὲ μάλα στερεὸν ἀπιδών με, δύο, φησί, τοῦ ἐμοῦ γέλωτος αἰτίας δοκέεις, ἀγαθὰ καὶ φαῦλα. 123 ἐγὼ δὲ ἕνα γελῶ, τὸν ἄνθρωπον· 124 ἀνοίης μὲν γέμοντα, 125 κενὸν δὲ πρηγμάτων ὀρθῶν, 126 πάσαις ἐπιβουλαῖς νηπιάζοντα, 127 καὶ μηδεμιῆς εἵνεκεν ὠφελείας ἀλγέοντα τοὺς ἀνηνύτους μόχθους, 128 πείρατα γῆς καὶ ἀορίστους μυχοὺς ἀμέτροισιν ἐπιθυμίῃσιν ὁδεύοντα, 129 ἄργυρον κνίζοντα καὶ χρυσόν, 130 καὶ μὴ παυόμενον τῆς κτήσεως ταύτης. 131 αἰεὶ δὲ θορυβεύμενον περὶ τὸ πλέον, 132 ὅκως αὐτὸς ἐλάσσων μὴ γένηται, 133 καὶ οὐδὲν αἰσχύνεται μὴ λεγόμενος εὐδαίμων. 134 ὅτι χάσματα τῆς γῆς ὀρύσσει διζήμενος χερσίν, 135 ὧν οἱ μὲν ὑπὸ συμφυῆς ἐπικλύσεως τῆς γῆς ἐφθάρησαν, 136 οἱ δὲ πολυχρονίας ταύτην ἔχοντες τὴν ἀνάγκην 137 ὡς ἐν πατρίδι τῇ κολάσει διαμένουσιν, 138 ἀργύρεον καὶ χρύσεον μαστεύοντες, 139 ἴχνη κόνιος καὶ ψήγματα ἐρευνῶντες, 140 ψάμμον ἄλλην ἀλλαχόθεν ἐγκαίοντες, καὶ τῆς γῆς φλέβας ἐκτέμνοντες. 141 ἐς περιουσίην αἰεὶ βωλοποιέοντες 142 ἐκ γῆς τῆς μητρὸς πολεμίην γῆν καὶ τὴν αὐτὴν ἐοῦσαν, καὶ θαυμάζοντες πατέουσιν. 143 ὅσος γέλως, ἐπιμόχθου καὶ κρυφίης γῆς ἐρῶσι τῆς φανερῆς ὑβρίζοντες.

divitem naturam maligne extenues. 119 At hæc quidem, inquam, Democrite suo tempore docebis. 120 Vereor enim ne forte dum infinitatem recenses, ridere incipias. 121 Scias autem nunc, de tuo risu, rationem vitæ te reddere debere. 122 Ille autem torve me intuitus: Duas, inquit, risus mei causas esse putas, bona & mala. 123 Ego autem unum hominem rideo, 124 dementia quidem plenum, 125 rectis autem actionibus vacuum, 126 in omnibus consiliis pueriliter ac stulte se gerentem, 127 & nullius utilitatis gratia labores nunquam absolvendos tolerantem, 128 fines terræ & infinitos recessus ex immodicis cupiditatibus penetrantem, 129 argentum & aurum quærentem, 130 & nunquam ab his adquirendis interquiescentem: 131 sed semper circa plura adipiscenda tumultuantem, 132 quo ipse inferior non sit, 133 & neque pudefiat, si non felix appelletur. 134 Rideo item ipsum eo quod hiatum terræ effodit, manibus eorum perquirens, 135 qui partim à laxa irruente terra oppressi sunt, 136 partim diutissime in hac necessitate detenti, 137 in supplicio velut in patriâ permanent, 138 argentum & aurum inquirentes, 139 vestigia pulveris ac ramenta perscrutantes, 140 arenam aliam aliunde eruentes, & terræ venas exscindentes, 141 ad opulentiam semper glebas conflantes, 142 ex matre terra hostilem terram, quum tamen eadem sit, facientes, & hanc admirantes pedibus calcant. 143 Quanto vero risu dignum est, quod ærumnosam & occultam terram amant, manifestam contumelia afficientes?

144 A-

ζοντες. [144] κύνας ὠνοῦνται, οἱ δ' ἵππους. [145] οἱ δὲ χώραν πολλὴν περιορίζοντες ἰδίαν ἐπιγράφουσιν. [146] καὶ πολλῶν ἐθέλοντες δεσπόζειν, οὐδὲ αὑτῶν δύνανται. [147] γαμεῖν σπεύδουσιν, ἃς μετ' ὀλίγον ἐκβάλλουσιν. [148] ἐρῶσιν, εἶτα μισοῦσι. [149] μετ' ἐπιθυμίης γεννῶσιν· εἶτ' ἐκβάλλουσι τελείους. [149] τίς ἡ κενὴ σπουδὴ καὶ ἄλογος μηδὲν μανίης διαφέρουσα; [150] πολεμοῦσιν ἔμφυλον, ἠρεμίαν οὐχ αἱρετίζοντες. [151] ἀντενεδρεύουσι βασιλέας. [152] ἀνδροφονοῦσι. [153] γῆν ὀρύσσοντες ἀργύριον ζητοῦσιν. [154] ἀργύριον εὑρόντες, γῆν ἐθέλουσι πρίασθαι. [155] ὠνησάμενοι γῆν, καρποὺς πιπράσκουσι. [156] καρποὺς ἀποδόμενοι, πάλιν ἀργύριον λαμβάνουσιν. [157] ἐν ὅσαις μεταβολαῖς εἰσὶν, ἐν ὅσῃ κακίῃ; [158] πλοῦτον μὴ ἔχοντες, πλοῦτον ποθέουσιν· [159] ἔχοντες, κρύπτουσιν, ἀφανίζουσιν. [160] καταγελῶ, ἐφ' οἷς κακοπραγέουσιν. [161] ἐπιτείνω τὸν γέλωτα, ἐφ' οἷς δυστυχέουσι. [162] θεσμοὺς γὰρ ἀληθείας παραβεβήκασι. [163] φιλονεικέοντες ἔχθρην πρὸς ἀλλήλους δηΐην ἔχουσι, μετὰ δὲ ἀδελφῶν καὶ τοκήων, καὶ πολιτῶν, [164] καὶ ταῦτα ὑπὲρ τοιούτων κτημάτων, ὧν οὐδεὶς θανὼν δεσπότης ἐστὶν, ἀλληλοκτονέουσιν. [165] ἀθέσμια φρονέοντες φίλων καὶ πατρίδων ἀπορίην ὑπερορῶσι. [166] πλουτίζουσι τὰ ἀνάξια καὶ τὰ ἄψυχα. [167] ὅλης τῆς οὐσίης ἀνδριάντας ὠνέονται, ὅτι δοκεῖ λαλεῖν τὸ ἄγαλμα. [168] τοὺς δὲ ἀληθῶς λαλέοντας μισοῦσι. [169] τῶν γὰρ μὴ ῥηιδίων ἐφίενται. [170] καὶ γὰρ ἤπει-

ρον

[144] Alii vero canes emunt, alii equos: [145] alii multam regionem circumscribentes, propriam sibi inscribunt: [146] & multis imperare volentes, neque sibi ipsis imperare possunt. [147] Uxores ducunt, quas paulo post ejiciunt. [148] Amant, deinde odio habent. [149] Cum magna cupiditate liberos generant: deinde adultos ejiciunt. [149] Quæ est illa vana ac absurda diligentia, nihil ab insania differens? [150] Bellum intestinum gerunt, quietem non amplectentes. [151] Reges alios deponunt, alios surrogant: [152] occidunt homines. [153] Terram fodientes argentum quærunt. [154] Argento reperto, terram emere volunt. [155] Empta terra, fructus vendunt: [156] fructibus divenditis, rursus argentum accipiunt. [157] In quot mutationibus versantur? in quanta malicia? [158] dum opes non habent, opes expetunt: [159] dum habent, occultant, dissipant. [160] Rideo, dum improbe agentes video. [161] Intendo risum, dum infeliciter agentes cerno. [162] Veritatis enim leges transgrediuntur: [163] contentionis studio hostilem inter se litem habent, & cum fratribus, & parentibus, & civibus: [164] atque ad hæc, pro ejusmodi opibus, quarum nemo, ubi mortuus est, dominus est, se mutuo occidunt: [165] illicitam vitam degentes, amicorum ac patriæ penuriam contemnunt. [166] Res indignas & inanimatas divitiarum loco habent: [167] pro universa opulentia statuas emunt, quoniam effigies ita expressa est, ut loqui videatur: [168] eos vero qui vere loquuntur, odio habent. [169] Res insuper non faciles expetunt. [170] Nam continentem

ρον οἰκεῦντες θάλασσαν ποθέουσι. 171 καὶ πάλιν ἐν νήσοις ἐόντες ἠπείρου γλίχονται. καὶ πάντα διαστρέφουσιν ἐς ἰδίην ἐπιθυμίην. 172 καὶ δοκέουσι μὲν ἐν πολέμῳ ἀνδρείην ἐπαινέεσθαι· 173 νικῶνται δὲ καθ' ἡμέρην ὑπὸ τῆς ἀσελγείης, ὑπὸ φιλαργυρίης. 174 ὑπὸ τῶν παθέων πάντων νοσέουσι. 175 Θερσῖται δ' εἰσὶ τοῦ βίου πάντες. 176 τί δὲ τὸν ἐμὸν, Ἱππόκρατες, ἐμέμψω γέλωτα; 177 οὐ γὰρ αὐτὸς τῆς ἰδίης ἀνοίης, ἀλλὰ ἄλλος ἄλλου καταγελῆται. 178 οἱ μὲν τῶν μεθυόντων, ὅταν αὐτοὶ δοκέουσι νήφειν. 179 οἱ δὲ τῶν ἐρώντων, χαλεπωτέρην νόσον νοσεῦντες αὐτοί. 180 οἱ δὲ τῶν πλεόντων. 181 ἄλλοι δὲ τῶν περὶ γεωργίην ἀσχοληθέντων. 192 οὐ συμφωνέουσι γὰρ οὔτε ταῖς τέχναις, οὔτε τοῖς ἔργοις. 183 ἐγὼ δὲ, ταῦτα μὲν, ἔφην, κρήγυα, Δημόκριτε. οὐδ' ἄλλος τις ἂν εἴη λόγος ἁρμοδιώτερος ἐξαγγέλλειν ταλαιπωρίην θνητῶν, 184 ἀλλ' αἱ πρήξιες νομοθετοῦσι τὴν ἀναγκαίην, οἰκονομίης τε εἵνεκα, καὶ ναυπηγίης, καὶ τῆς ἑτέρης πολιτείης, ἐν ᾗ χρεὼν εἶναι τὸν ἄνθρωπον. 185 οὐ γὰρ εἰς ἀργίην αὐτὸν ἡ φύσις ἐγέννα. 186 ἐκ τουτέων δὲ πάλιν φιλοδοξίη χυθεῖσα ἔσφηλε πολλῶν ὀρθογνώμονα ψυχήν. 187 σπουδαζόντων μὲν ἅπαντα, ὡς ἐπὶ διαπλασίῃ, μὴ κατευτονεύντων δὲ τὴν ἀδηλότητα προορῆσαι. 187 ἤν περ γάρ τις, ὦ Δημόκριτε, γαμέων, ἢ χωρισμὸν ἢ θάνατον προσδοκήσει; 189 τίς δ' ὁμοίως παιδοτροφέων ἀπώλειαν; 190 ἀλλ' οὐδ' ἐν γεωργίῃ, καὶ πλοίῳ, καὶ βασιλείῃ, καὶ ἡγεμονίῃ.

tem habitantes, mare cupiunt. 171 Et rursus, cum in insulis sunt, continentem desiderant, & omnia pervertunt ad propriam cupiditatem. 172 Et in bello quidem fortitudinem laudare videntur. 173 Vincuntur autem quotidie à petulantia, ab avaritia. 174 Ex omnibus adfectionibus ægrotant. 175 Thersitæ vero vitæ omnes sunt. 176 Cur vero meum risum reprehendisti ô Hippocrates? 177 Non enim quispiam suam ipsius dementiam, sed alius alterius deridet; 178 hi quidem ebrios, cum ipsi sibi sobrii esse videntur: 179 alii vero amantes, quum ipsi graviore morbo laborent: 180 alii navigantes: 181 alii eos, qui circa agriculturam occupati sunt. 182 Non enim concordant neque artibus, neque operibus. 183 Ego vero: Hæc quidem, inquam, vera sunt Democrite; neque alius aliquis convenientior sermo esse poterit, ad mortalium miseriam declarandam: 184 verum ipsæ res sanciunt necessitatem, & domesticæ dispensationis, & navium fabricationis gratia, reliquæ item vitæ, in qua necesse est hominem esse. 185 Non enim ad ocium natura ipsum genuit. 186 Ex his autem rursus ambitio effusa, multorum recte sentientem animam decepit, 187 qui omnia quidem recte ac serio agere student, velut re certa ac stabili futura: Non autem ita validi sunt, ut obscuritatem prævidere possint. 188 Si enim quis, ô Democrite, uxorem ducens, separationem aut mortem timeret; 189 quispiam liberos educans, ipsorum interitum: 190 imo neque in agricultura, & navigatione, & regno, [illegible] magistratu,

ἡγεμονίῃ, 191 καὶ πάνθ' ὅσ' ὑπάρχει κατὰ τὸν αἰῶνα. 192 οὐδεὶς γὰρ προὔλαβεν πλάσαι. 193 ἀλλ' ἀγαθοῖσιν ἕκαστος τουτέων ἐλπίσι φέρβεται. 194 τῶν δὲ χερειόνων οὐδὲ μέμνηται. 195 μή ποτ' οὖν ὁ σὸς γέλως τουτέοις ἀνάρμοστος; 196 ὁ δὲ Δημόκριτος, μάλα, ἔφη, νωθὴς τὸν νόον ὑπάρχεις 197 καὶ μακράν γε τῆς ἐμῆς γνώμης ἀπόδημος, Ἱππόκρατες, 198 ἀταραξίης καὶ ταραχῆς μέτρα μὴ ἐπισκοπέων, δι' ἄγνοιαν. 199 ταῦτα γὰρ αὐτὰ διανοίῃ φρενήρει διοικέοντες αὐτοί τε ῥηϊδίως ἀπήλλασσον καὶ τὸν ἐμὸν ἐλώφεον γέλωτα. 200 νῦν δ' ὡς ἐπ' ἀρηρόσι τοῖς ἐν τῷ βίῳ φρενοβλαβέες τετύφωνται ἀσυλλογίστῳ διανοίῃ τῆς ἀτάκτου φορῆς δυσδίδακτοι. 201 νουθεσίη γὰρ αὐτάρκης ὑπῆρχεν ἡ τῶν ξυμπάντων μεταβολή. 202 ὀξέῃσι τροπῇσιν ἐμπίπτουσα, αἰφνίδιον τροχηλασίην παντοίην ἐννοέουσα. 203 οἱ δ' ὡς ἐπ' ἀρηρυίῃ καὶ βεβαίῃ, ἐκλελησμένοι παθέων καὶ τὸ ξυνεχὲς ἐμπιπτόντων, 204 ἄλλοτε ἄλλα ποθεῦντες τὰ λυπέοντα, διζήμενοι τὰ μὴ ξυμφέροντα, ἐγκαλινδεῦνται πολλῇσι ξυμφορῇσιν. 205 εἰ δέ τις ἐμερμήριξεν κατὰ δύναμιν ἰδίην τὰ ξύμπαντα ἔρδειν, 205 ἀδιάπτωτον ἐφρούρεε ζωήν, ἑωυτὸν ἐξεπιστάμενος. 207 καὶ ξύγκρισιν ἰδίην σαφῶς κατανοήσας, καὶ μὴ τῆς ἐπιθυμίης τὴν σπουδὴν ἀόριστον ἐκτείνων. 208 τὴν δὲ πλουσίην φύσιν καὶ πάντων τιθηνὸν δι' αὐταρκείης ὁδοιπορέων. 209 καθάπερ δὲ τῶν παθέων εὐεξίη κίνδυνος περίδηλος, 210 οὕτω τὸ μέγεθος τῶν εὐτυχημάτων σφαλερόν ἐστιν. 211 ἐπίσημοι δ' ἐν

tu, 191 & omnibus quæ ſunt in vita, 192 ullus unquam de errore præſumpſit, 193 ſed unuſquiſque horum bona ſpe alitur, 194 deteriorum vero ne meminit quidem: 195 nunquid igitur riſus tuus his minime convenit? 196 At Democritus: Valde, inquit, tardo ingenio præditus es, 197 & longe à ſententia mea abes ô Hippocrates, 198 qui tranquillitatis & perturbationis modum non conſideras, præ ignorantia. 199 Si enim hæc ipſa prudenti mente diſponerent: & ipſi facile liberarentur, & meum riſum levarent. 200 Nunc autem, velut rebus in vita firmis, dementes illi ſuperbiunt, ob ratiocinationis expertem mentem, inordinatum impetum ſuum ægre diſcentes. 201 Sufficiens enim admonitio ipſis eſſet, omnium rerum viciſſitudo, 202 quæ ſubitis mutationibus irruit, & derepente omnigenam circumrotationem inducit. 203 At ipſi, velut hæc firma ſit ac ſtabilis, obliti adfectionum aſſidue incidentium, 204 aliter alias ea, quæ triſticiam inferunt, cupientes, & quæ non conferunt, quærentes, multis calamitatibus involvuntur. 205 Si vero quis juxta propriam facultatem omnia facere cogitaret, 206 ſtabilem ſane vitam cuſtodiret, ſeipſum cognoſcens, 207 & ſuipſius comparationem clare conſiderans, & non cupiditatis ſtudium in infinitum extendens: 208 ſed opulentam naturam, & omnium nutricem, per ſufficientiam intuens. 209 Quemadmodum autem in optimo corporis habitu, adfectionum periculum manifeſtum eſt: 210 ita ſucceſſuum fortunæ magnitudo periculoſa eſt. 211 Inſignes

δ' ἐν τῇσι κακοδαιμονίῃσι ξυνθεωρεῦνται. [212] ἄλλοι δὲ τὰ τῶν πέλας ὡς μὴ ἱστορέοντες ὑπὸ τῆς ἰδίης κακοπραγίης ἀπόλλυνται· [213] τὰ δῆλα καθάπερ ἄδηλα μὴ προθεωρεῦντες. [214] ἐπίδειγμα τὸν μακρὸν βίον ἔχοντες γινομένων καὶ μὴ γινομένων· [215] ἐξ ὧν καὶ τὸ ἐσόμενον ἐχρῆν καταvοῆσαι. [216] ταῦθ' ὁ ἐμὸς γέλως. [217] ἄφρονες ἄνθρωποι. [218] πονηρίης δίκας ἐκτίνοντες, φιλαργυρίης, ἀπληστίης, ἔχθρης, ἐνεδρίης, ἐπιβουλίης, βασκανίης. [219] ἀργαλέον ἐξειπεῖν πολυμηχανίην κακῶν. ἀπειρίη γάρ τις ἐστί. [220] καὶ τούτοις δολοπλοκίῃσιν ἀνθομιλεῦντες, σκολιόφρονες. [221] ἀρετῆς δὲ παρ' αὐτέοις τρόπος ἐστὶ τὸ χεῖρον. [222] φιλοψευδίην γὰρ ἀσκέουσι. [223] φιληδονίην κοσμέουσι. [224] νόμοις ἀπειθεῦντες. [225] ὁ δὲ αὐτέων καταγελᾷ τὴν ἀποκεκρυμμένην ... μήτε ὁρήσιος, μήτε ἀκοῆς μετέχοντας. [226] μούνη δ' αἴσθησις ἀνθρώπου ἀτρεκέϊ διανοίῃ τηλαυγὴς, τό, τε ὂν καὶ τὸ ἐσόμενον προορεομένη. [227] δυσαρεστεῦνται πᾶσι, καὶ πάλιν τοῖς αὐτέοις ἐμπελάζονται. [228] ἀρνησάμενοι πλόον, πλέουσι. [229] γεωργίην ἀπωσάμενοι, αὖθις γεωργεῦσιν. [229] ἐκβάλλοντες γαμετὴν, ἑτέρην εἰσάγονται. [230] γεννήσαντες ἔθαψαν· [231] θάψαντες ἐγέννησαν. πάλιν τρέφουσι. [232] γῆρας ηὔξαντο. ἐς αὐτὸ δ' ἀφικόμενοι στενάζουσιν. [233] ἐν οὐδεμιῇ καταστάσει βέβαιον ἔχοντες τὴν γνώμην. [234] ἡγεμόνες καὶ βασιλέες μακαρίζουσι τὸν ἰδιώτην. [235] ὁ δὲ ἰδιώτης ὀρέγεται βασιλείης. [236] ὁ πολιτευόμενος τὸν χειροτεχνεῦντα,

gnes autem palam in infelicitatibus conſpiciuntur. [212] Alii vero velut proximorum facta non videntes, à propriis malefactis pereunt, [213] tam manifeſta, quam obſcura non prævidentes, [214] quum longam vitam exemplum habeant eorum, quæ fiunt, & quæ non fiunt, [215] ex quibus etiam futurum conſiderare oportebat. [216] Hæc ſunt quæ mihi riſus materiam præbent. [217] O dementes homines, [218] pravitatis pœnas pendentes, avaritiæ, inſatiabilitatis, inimicitiæ, inſidiarum, doli, invidentiæ ([219] difficile eſt enumerare multiplices malorum verſutias: ſunt enim infinitæ) [220] & in his doloſis verſutiis viciſſim converſantes, & maligne ſentientes. [221] At virtutis apud ipſos modus eſt, id quod deterius eſt. [222] Mendacii enim ſtudium exercent, [223] voluptatem conſectantur, [224] legibus non obedientes. [225] Quidam vero ex ipſis prævidentiam in hominibus eſſe negat, ut qui neque viſus, neque auditus participes ſunt. [226] Solus autem ſenſus hominis recta intelligentia lucidus, & præſens & futurum prævidet. [227] In omnibus diſplicentiam habent, & rurſus ad eadem accedunt: [228] abnegata navigatione, navigant: [229] rejecta agricultura, rurſus agrum colunt: [229] ejecta uxore, aliam inducunt: [230] genitos ſibi liberos ſepeliunt: [231] & his ſepultis, alios generant, ac rurſus educant. [232] Senectam optant: ad ipſam autem pervenientes, gemunt, [233] in nullo rerum ſtatu, conſtantem mentem habentes. [234] Principes ac reges privatum prædicant: [235] privatus autem regnum appetit. [236] Qui reipub. magiſtratum gerit,

ται, ὡς ἀκίνδυνον. 237 ὁ δὲ χειροτέχνης ἐκεῖνον, ὡς δυνατεύοντα κατὰ πάντων. 238 τὴν γὰρ ὀρθὴν κέλευθον τῆς ἀρετῆς οὐ θεωροῦσι καθαρὰν καὶ λείαν καὶ ἀπρόσπταιστον, 239 εἰς ἣν οὐδεὶς τετόλμηκεν ἐμβαίνειν. 240 φέρονται δὲ ἐπὶ τὴν ἀπεθῆ καὶ σκολιὰν 241 τραχυβατοῦντες, 242 καταφερόμενοι καὶ προσκόπτοντες, 243 οἱ δὲ πλεῖστοι ἐκπίπτοντες. 244 ἀσθμαίνοντες ὡς διωκόμενοι, 245 ἐρίζοντες, 246 ὑστεροῦντες, 247 προηγούμενοι. 248 καὶ οὓς μὲν αὐτῶν ἔρωτες ἀπείθαλοι ὑποπεπρήκασιν ἀλλοτρίας εὐνῆς φθορῇ, ἀναιδείης πιστώσας. 249 οὓς δὲ τῆς φιλαργυρίας νόσος ἀόριστος. 250 οἱ δ' ἀλλήλοις ἀντεπιτίθενται. 251 οἱ δ' ὑπὸ φιλοδοξίας εἰς ἀέρα ἀνενεχθέντες 252 βρίθει κακίας εἰς βυθὸν ἀπωλείας καταφέρονται. 253 κατασκάπτουσιν, εἶτα ἐποικοδομοῦσι. 254 χαρίζονται, εἶτα μετανοοῦσιν, καὶ ἀφαιροῦνται τὰ φιλίας δίκαια. 255 κακοπραγμονοῦντες εἰς ἔχθραν τὰ ξυγγενείας πολεμοποιοῦντες. 256 καὶ τούτων πάντων αἰτία φιλαργυρία. 257 τί νηπίων ἀθυρόντων διαφέρουσι; 258 παρ' οἷς ἄκριτος μὲν ἡ γνώμη, τὸ δὲ προστυχὸν τερπνόν. 259 ἐν δὲ τοῖς θυμοῖς τί πλεῖον ζώοις ἀλόγοις παραλελοίπασιν; 260 πλὴν, ὅτι ἐν αὐταρκείᾳ μένουσιν οἱ θῆρες. 261 τίς γὰρ λέων εἰς γῆν κατέκρυψε χρυσόν; 262 τίς ταῦρος [διὰ] πλεονεξίαν ἐκορύξατο; 263 τίς πάρδαλις ἀπληστίαν κεχώρηκε; 264 διψῇ μὲν ἄγριος σῦς, ὅσον ὕδατος ὀρεχθῆ. 265 λύκος

gerit, artificem laudat, velut extra periculum constitutum: 237 artifex autem illum, velut per omnia potentem. 238 Rectam enim virtutis viam, puram & levem ac inoffensam, non vident, 239 quam nemo ingredi audet. 240 Feruntur autem in contrariam, difficilem & tortuosam, 241 per aspera incedentes, 242 lapsantes ac offendentes: 243 plerique vero excidentes, 244 anhelantes velut si qui persequatur, 245 litigantes, 246 modo posteriores existentes, 247 modo præcedentes. 248 Et quidam ipsorum petulanti alieni cubilis corrumpendi amore ardent, per impudentiam inducti, 249 alios avariciæ morbus infinitus consumit, 250 alii mutuo insidias struunt, 251 alii ab ambitionis studio in aerem sublati, 252 per maliciæ gravitatem in profundum perniciei præcipites deferuntur. 253 Quidam destruunt, deinde rursus ædificant: 254 largiuntur, deinde pœnitentia ducti, amicitiæ jura tollunt, 255 malefici per inimicitiam cognationis jura bello impetentes. 256 Et horum omnium causa est Avaricia. 257 Qua in re hi à pueris ludentibus differunt? 258 apud quos consilium quidem judicio caret: quod vero se forte fortuna obtulit, id jucundum est. 259 At vero in desideriis quid brutis animantibus reliqui faciunt, 260 quam quod intra sufficientiam feræ ipsæ se continent? 261 Quis enim leo aurum in terram occuluit? 262 Quis taurus uberioris alimenti gratia depugnavit? 263 Quam pardalim unquam insatiabilitas cepit? 264 Sitit quidem aper, sed usque ad aquæ appetentiam. 265 Lupus autem,

κος δὲ διαρδάψας τὸ προσ-ποσὸν τῆς ἀναγκαίης τροφῆς ἀναπίπτουσι. 266 ἡμέρῃσι δὲ καὶ νυξὶ ξυναπτομένῃσιν οὐκ ἔχει θοίνης κόρον ἄνθρωπος. 267 καὶ χρόνων μὲν ἐνιαυσίων τάξις ὀχείης ἀλόγων τέρμα ἐστίν. 268 ὁ δὲ τὸ διηνεκὲς οἰστρομανίην ἔχει τῆς ἀσελγείης. 269 Ἱππόκρατες, μὴ γελάσω τὸν κλαίοντα δι' ἔρωτα, ὅτι ξυμφερόντως ἀποκέκλεισται, 270 μάλιστα δ' ἢν ῥιψοκίνδυνος ᾖ, καὶ φέρηται κατὰ κρημνῶν, ἢ βυθῶν πελάγους, ἐπιτείνω τὸν γέλωτα; 271 μὴ γελάσω τὸν τὴν νῆα πολλοῖσι φορτίοισι βαπτίσαντα, εἶτα μεμφόμενον τῇ θαλάττῃ, ὅτι κατεβύθισεν αὐτὴν πλήρη; ἐγὼ μὲν οὐδαμῶς δοκέω γελᾶν, ἐξευρεῖν δὲ κατ' αὐτέων ἤθελον τι λυπηρόν. 273 ἀλλ' οὐδὲ ἰητρικὴν ὑπὲρ τουτέων ἐχρῆν εἶναι, μήτε τεχνώμενον παιήονα φάρμακα. 274 ὁ σὸς πρόγονος Ἀσκληπιὸς νουθεσίη σοι γενέσθω. σώζων ἀνθρώπους κεραυνοῖς ἠυχαρίστηται. 275 οὐχ ὁρῇς, ὅτι κἀγὼ τῆς κακίης μοῖρα εἰμί, μανίης διζήμενος αἰτίην ζῶα κατακτείνω καὶ ἀνατέμνω. 276 ἐχρῆν δὲ ἐξ ἀνθρώπου τὴν αἰτίην ἐρευνῆσαι. 277 οὐχ ὁρῇς, ὅτι καὶ ὁ κόσμος μισανθρωπίης πεπλήρωται; ἄπειρα καὶ αὐτοῦ πάθεα ξυνήθροισεν. 279 ὅλος ἄνθρωπος ἐκ γενετῆς νοῦσος ἐστίν. 280 τρεφόμενος ἄχρηστος, 281 ἱκέτης βοηθείης. 282 αὐξανόμενος ἀτίθαλος, ἄφρων, ἐνδεὴς παιδαγωγίης. 283 θρασὺς ἀκμάζων. 284 πα-

autem, devorato necessario alimento oblato, quiescit. 266 Si dies ac noctes conjungat homo, non sentit convivandi satietatem. 267 Et annuorum quidem temporum ordo, terminus est brutis ad coitum: 268 at homo perpetuo insano libidinis œstro stimulatur. 269 Quæso te Hippocrates, non ridere debeo plorantem propter amorem, eo, quod commodo suo exclusus est? 270 maxime vero si quis periculorum contemptor sit, & per præcipitia, aut pelagi profunditates feratur, risum non extendam? 271 Non ridebo autem eum, qui navem multis mercibus onustam demersit, deinde mari indignatur, quod ipsam plenam submersit? 272 Ego quidem nequaquam mihi ridere videor. Vellem autem potius aliquid molesti contra ipsos excogitare. 273 At neque medicinam pro his esse oportebat, neque aliquem pæonia pharmaca præparantem: 274 atque hujus rei documentum præbeat tibi tuus ille progenitor Æsculapius, qui dum servaret homines, fulminis ictus gratiam accepit. 275 Non vides quod & ego maliciei pars sum, dum insaniæ causam inquirens, animalia macto ac reseco? 276 Oportebat autem ex hominibus causam perscrutari. 277 Non vides quod etiam ipse mundus odio in homines plenus est? 278 Infinitas enim contra ipsum adflictiones accumulavit. 279 Totus homo ex nativitate morbus est. 280 Dum educatur, inutilis est, 281 & alienum auxilium implorat: 282 Dum crescit, protervus, insipiens, pædagogo opus habens. 283 Dum in vigore est, audax est. 284 Dum

284 παρακμάζων οἰκτρὸς, τοὺς ἰδίους πόνους ἀλογιστίῃ γεωργήσας. 285 ἐκ μητρώων γὰρ λύθρων ἐξέθορε τοιοῦτος. 286 διὰ τοῦτο οἱ μὲν θυμικοὶ καὶ ὀργῆς ἀμέτρου γέμοντες ἐν ξυμφορῇσι καὶ μάχῃσι, 287 οἱ δ' ἐν φθορῇσι καὶ μοιχείῃσι διὰ παντός. 288 οἱ δ' ἐν μέθῃσιν. 289 οἱ δ' ἐν ἐπιθυμίῃσι τῶν ἀλλοτρίων. 290 οἱ δ' ἐν ἀπωλείῃσι τῶν σφετέρων. 291 ὄφελον δύναμις ὑπῆρχε τὰς ἁπάντων οἰκήσιας ἀνακαλύψαντα μηδὲν ἀφεῖναι τῶν ἐντὸς παρακάλυμμα· 291 εἶθ' οὕτως ὁρέειν τὰ πρησσόμενα ἔνδον. 292 εἴδομεν ἂν τοὺς μὲν ἐσθίοντας, 293 τοὺς δὲ ἐμέοντας, 294 ἑτέρους δ' αἰκίῃσι στρεβλέοντας, 295 τοὺς δὲ φάρμακα κυκῶντας, 296 τοὺς δὲ ξυννοέοντας ἐπιβουλίην, 297 τοὺς δὲ ψηφίζοντας, 298 ἄλλους χαίροντας, 299 τοὺς δὲ κλαίοντας. 300 τοὺς δὲ ἐπὶ κατηγορίην φίλων ξυγγράφοντας, 301 τοὺς δὲ διὰ φιλοδοξίην ἔκφρονας. 302 καί γε τινὲς βαθύτεραι πρήξιες, τῶν κατὰ ψυχὴν κευθομένων. 303 καὶ τουτέων ὁκόσοι μὲν νέοι, ὁκόσοι δὲ πρεσβῦται, 304 αἰτεῦντες, ἀρνεόμενοι, 305 πενόμενοι, πλουσιάζοντες, 306 λιμῷ θλιβόμενοι. 307 οἱ δὲ ἀσωτίῃ βεβαρημένοι, 308 ῥυπῶντες, 309 δέσμιοι. 310 οἱ δὲ τρυφῇσι γαυριῶντες. 311 τρέφοντες, ἄλλοι σφάζοντες, 312 ἄλλοι θάπτοντες. 314 ὑπερορέοντες ἃ ἔχουσι, τὰς δὲ ἐλπιζομένας κτήσιας ὡρμημένοι. 315 οἱ μὲν ἀναίσχυντοι, οἱ δὲ φειδωλοὶ, οἱ δὲ ἄπληστοι, 316 οἱ μὲν φονεύοντες, οἱ δὲ τυπτόμενοι, οἱ δὲ ὑπερηφανεῦντες, οἱ δὲ ἐπηρμένοι κενοδοξίῃ. 319 καὶ οἱ μὲν ἵπποισι παρεστῶτες, οἱ δὲ ἀνδράσιν, οἱ δὲ κυσὶν, οἱ δὲ λίθοις, ἢ ξύλοις, οἱ δὲ χαλκῷ, οἱ δὲ γραφῇσι. 320 καὶ οἱ μὲν πρεσ-

284 Dum decrescit, miserabilis, ubi labores suos imprudenter recolit ac jactat. 285 Ex maternis enim uteri inquinamentis talis prodiit. 286 Et propterea alii indignatione ac immodica ira pleni, in calamitatibus ac pugnis versantur: 287 alii semper in adulteriis & corrumpendis puellis: 288 alii in ebrietatibus: 289 alii in rerum alienarum cupiditatibus: 290 alii in suis prodigendis. 291 Utinam facultas esset nobis, universorum habitationes revelare, & nullum rerum in ipsis velamentum dimittere, atque ita ea, quæ intus aguntur, videre: 292 videremus utique alios edentes, 293 alios vomentes, 294 alios suppliciis torquentes, 295 alios pharmaca miscentes, 296 alios insidias construentes, 297 alios supputantes, 298 alios gaudentes, 299 alios plorantes, 300 alios amicos accusantes, 301 alios propter ambitionem amentes. 302 Quanquam sint quædam actiones profundiores, quæ in animo occultantur. 303 Et ex his quidam sunt juvenes, quidam senes: 304 petentes, negantes: 305 pauperes, opulenti: 306 fame pressi, 307 luxu gravati, 308 sordidi, 309 vincti: 310 alii deliciis diffluentes, 311 famulitium magnum alentes: 312 alii trucidantes, 313 alii sepelientes: 314 alii ea quæ habent contemnentes, & speratis possessionibus inhiantes: 315 alii impudentes: 316 alii parci, alii inexplebiles: 317 alii occidentes, alii vapulantes: 318 alii superbientes, alii vana gloria elati. 319 Et ex his aliqui apud equos spectatores consistunt: aliqui apud viros, aut canes, aut lapides, aut ligna, aut æs, aut picturas. 320 Et aliqui legationibus, aliqui

προστασίαις, οἱ δὲ στρατηγίαις, οἱ δὲ ἱερωσύνῃσιν. 321 " οἱ δὲ ἔνο- 92
πλοι, οἱ δ' ἀποκτεινόμενοι. 322 φέρονται δὲ τουτέων ἕκαστοι, 323 οἱ μὲν ἐπὶ ναυμαχίην, 324 οἱ δὲ ἐπὶ στρατείην, 325 οἱ δὲ ἐπ' ἀγροικίην. 326 ἕτεροι δὲ ἐπὶ φορ-
35 τηγὰς ναῦς. 327 οἱ δὲ ἐς ἀγορήν. 328 ἕτεροι δ' ἐπ' ἐκκλησίην. 329 οἱ δὲ ἐπὶ θέητρον. 330 οἱ δὲ ἐς φυγήν. ἄλλοι δὲ ἀλλαχόσε. 331 καὶ οἱ μὲν ἐς φιληδονίην καὶ ἡδυπαθείην καὶ ἀκρασίην· 332 οἱ δὲ ἐς ἀργίην καὶ ῥαθυμίην. 333 τὰς ἀναξίας οὖν " καὶ δυστήνους 93
ψυχὰς ὁρέοντες καὶ τοσαύτας, πῶς μὴ χλευάσωμεν τὸν τοιήνδε ἀκρασίην ἔχοντα βίον αὐτέων; 334 κάρτα γὰρ ἔλπομαι μηδὲ τὴν σὴν ἰητρικὴν ἀνδάνειν αὐτέοισιν. 335 δυσαρεστέονται γὰρ ὑπ' ἀκρασίης ἅπασι, 336 καὶ μανίην τὴν σο-
40 φίην νομίζουσιν. 337 " ἤπου γὰρ 94
ὑπονοέω ὡς σαφῶς λωβᾶσθαί σου τὰ πολλὰ τῆς ἐπιστήμης, ἢ διὰ φθόνον, ἢ δι' ἀχαριστίην. 337 οἵ τε γὰρ νοσέοντες ἅμα τῷ σώζεσθαι τὴν αἰτίην θεοῖς ἢ τύχῃ προσνέμουσι. 338 πολλοὶ δὲ τῇ ἰδίᾳ φύσει προσψάντες, " ἐχθαίρουσι τὸν εὐεργετή- 95
σαντα, 339 μικροῦ δεῖν προσαγανακτέοντες, εἰ νομίζονται χρεωφειλέται. 340 οἵ τε πολλοὶ τὸ τῆς ἀτεχνίης ἐφ' ἑωυτέοις ἔχοντες, ἀΐδριες ἐόντες, " καθαίρουσι τὸ κρέσσον. 341 96
ἐν ἀναισθήτοις γάρ εἰσιν αἱ ψῆφοι, 342 οὔτε δ' οἱ πάσχοντες συνώμιλοι
45 εἶναι θέλουσιν, 343 οὔτε οἱ ὁμότεχνιται μαρτυρέειν. 344 φθόνος γὰρ ἐνίσταται. 345 " οὐκ ἄπειρος σὺ τῶν 95
τοιουτέων λεσχημάτων. 346 σαφέως δὲ εἰδὼς ταῦτα, ἐν ἀξιοπαθείῃσι σὲ πολλάκις κληθέντα, καὶ οὐδὲ αἰ-

aliqui militiæ, aliqui ſacerdotiis præſunt. 321 Et alii coronas geſtant, aliqui armati ſunt, aliqui occiduntur. 322 Singuli vero ex his feruntur; 323 partim ad pugnam navalem, 324 partim ad militiam, 325 partim ad ruſticationem: 326 alii ad onerarias naves, 327 alii ad forum, 328 alii ad concionem, 329 alii ad theatrum, 330 alii ad fugam, alii alio. 331 Et rurſus, 'quidam ad voluptatem 240
deliciaſque, ac intemperantiam: 332 quidam ad ocium ac ſocordiam. 333 Quum igitur tot indignas ac infelices animas videamus, quomodo non vitam ipſarum ejuſmodi intemperantia præditam riſu exſibilarimus? 334 Quin & valde timeo, neque medicinam tuam ipſis placere. 335 Nam præ intemperantia omnia ipſis diſplicent, 336 & inſaniam ſapientiam putant: 337 profecto ſuſpicor pleraque in ſcientia 'tua palam contumelia adfici, 245
aut propter invidiam, aut propter ingratitudinem. 337 Ægrotantes enim ſimul ut ſervantur, cauſam diis aut fortunæ attribuunt. 338 Plerique vero ſuæ naturæ hoc adſcribentes, benefactorem odio habent, 339 & parum abeſt ut indigne ferant, ſi debitores eſſe putentur. 340 Sed & plerique artis ignorantiam in ſeipſis habentes, & imperiti exiſtentes, id quod melius eſt, purgant. 341 Inter ſtupidos 'enim 250
fiunt ſuffragia, 342 & neque ægroti atteſtari volunt, 343 neque ejuſdem artis artifices teſtimonium præbere. 344 Invidia enim obſtat. 345 Non autem inexpertus es tu talium nugarum; 346 imo probe ſcio, ob hæc te ſæpe in memorabilibus adflictionibus accerſitum fuiſſe, & neque

τίην ἢ βασκανίην φιλοτιμηθέντων. 347 ἀτρεκίης γὰρ οὐδεμία οὔτε γνῶσις οὔτε μαρτυρίη. 348 ἐπεμειδία δὲ λέγων ταῦτα. 349 καί μοι, Δαμάγητε, θεοειδής τις κατεφαίνετο, καὶ τὴν προτέρην αὐτέου μορφὴν ἐκλελησμένος. 350 καὶ φημί, ὦ Δημόκριτε μεγαλόδοξε, 531 μεγάλας γε τῶν σῶν ξενίων δωρεὰς εἰς Κῶ ἀποίσομαι. 351 πολλοῦ γάρ με τῆς σοφίης θαυμασμοῦ πεπλήρωκας. 352 ἀπονοστέω γάρ σου κῆρυξ ἀληθείης ἀνθρωπίνης φύσιν ἐξιχνεύσαντος καὶ νοήσαντος. 353 θεραπείην δὲ λαβὼν τῆς ἐμῆς διανοίης, παρὰ σοῦ ἀπαλλάσσομαι, τῆς ὥρης τοῦτο ἀπαιτεούσης, καὶ τῆς τοῦ σώματος ἐπιμελείης. 354 αὔριον δὲ καὶ κατὰ τὸ ἑξῆς ἐν τουτῷ γενησόμεθα. 355 ἀνιστάμην 5 ταῦτα εἰπών. 356 καὶ ὃς ἦν ἑτοῖμος ἀκολουθεῖν. 357 προσελθόντι δὲ τινί, οὐκ οἶδ' ὁκόθεν, ἀπεδίδου τὰ βιβλία. 358 κἀγὼ ξυντονώτερον ἠπείχθην καὶ πρὸς τοὺς ὄντας Ἀβδηρίτας ἐπὶ τῇ σκοπιῇ ἀναμένοντάς με, 359 ἄνδρες, ἔφην, τῆς πρὸς ἐμὲ πρεσβείης χάρις ὑμῖν πολλή. 360 Δημόκριτον γὰρ εἶδον, ἄνδρα σοφώτατον, 361 σωφρονίζειν ἀνθρώπους μοῦνον δυνατώτατον. 362 ταῦτ' ἔχω σοι περὶ Δημοκρίτου, Δαμάγητε, φράζειν, γηθοσύνης πάνυ. 363 ἔρρωσο.

causam, aut invidiam, libenter derisisse. 347 Veritatis enim neque cognitio ulla est, neque ullum testimonium. 348 Hæc autem cum diceret, subridebat, 349 & mihi, ô Damagete, divina specie apparebat, & velut qui priorem suam formam exuisset. 350 Et ego: O magnifice Democrite, inquam, magna xenia & hospitalitatis tuæ munera, in Co mecum auferam. 351 Multa enim me sapientiæ admiratione implevisti. 352 Discedo enim veritatis tuæ præco, qui humanam naturam investigasti ac considerasti. 353 Quum autem mentis meæ medelam à te acceperim, abeo nunc, tempore hoc expetente, itemque corporis curatione. 354 Cras vero, & deinceps, hoc loco rursus conveniemus. 355 Atque hæc loquutus, surrexi. 356 Et ille paratus erat me sequi. 357 Cum vero quidam accederet, haud scio unde, tradebat ipsi libros. 358 Et ego concitatius festinavi, & ad Abderitas in specula me exspectantes: 359 Viri, inquam, pro legatione vestra ad me, magna sit vobis gratia. 360 Vidi enim Democritum virum sapientissimum, 361 qui solus potentissimus est homines prudentes facere. 362 Hæc habui Damagete, quæ de Democrito valde magna animi lætitia tibi recensere volui. 363 Vale.

Ἱπποκράτης Κρατεύᾳ χαίρειν.

Hippocrates Crateuæ S.

Foesius sect. VIII. 10. 1278.

pag. 527 Ἐπίσταμαί σε ῥιζοτόμων ἄριστον, ὦ ἑταῖρε, καὶ διὰ τὴν ἄσκησιν, καὶ διὰ προγόνων κλέος. ὡς μηδὲν ἀποδεῖν σε δυνάμει τοῦ προπάτορος Κρατεύα. 2 νῦν οὖν εἰ καί

Scio te, ô amice, optimum radicisecam esse, & propter tuam ipsius exercitationem, & propter progenitorum gloriam, adeo ut in hac facultate, Crateuæ proavo minime cedas. 2 Proinde nunc, si

ποτε ἄλλοτε, βοτανολόγησον, ὁκόσα τε καὶ ὁκοῖα δυνήσεαι. 3 ἀναγκαίη γὰρ ἐπείγει. 4 καὶ διαπέμψαι μοι ταῦτα ἐπ' ἄνδρα ὅλῃ πόλει ἰσοτίμιον Ἀβδηρίτην μὲν, ἀλλὰ Δημόκριτον. 5 νοσέειν γάρ φασιν αὐτόν. 5 καὶ καθάρσιος μάλα χρῄζειν, ὡς μανίης ἐόντα. 7 μὴ χρησόμεθα μὲν ἂν τοῖς φαρμάκοισιν, ὥσπερ καὶ πέπεισμαι· 8 ἀλλ' ὅμως εὐτρεπίζεσθαι χρὴ πανταχόθεν. 9 τὸ δὲ χρῆμα τῶν βοτανῶν παρὰ σοὶ πολλάκις ἐθαύμασα. 10 ὡς καὶ τὴν τῶν ὅλων γε φύσιν τε καὶ διάταξιν. καὶ τὸ ἱερώτατον γῆς ἵδρυμα, 11 ἐξ ἧς ζῶα, καὶ φυτὰ, καὶ τροφαὶ, καὶ φάρμακα, καὶ τύχη, καὶ ὁ πλοῦτος αὐτὸς ἀναφύεται. 12 οὐδὲ γὰρ ἂν εἶχεν, οἱ ἐπιβῆ ἡ φιλαργυρίη. 13 οὐδ' ἂν Ἀβδηρῖται με νῦν δέκα ταλάντοις ἐδελέαζον, ὥστε ἰητρὸν μισθωτὸν ἐλέγχοντες. 14 εἰ δὲ ἐδυνάσω, Κρατεύα, τῆς φιλαργυρίης τὴν πικρὴν ῥίζαν ἐκκόψαι, ὡς μηδὲν λείψανον αὐτῆς ἀφεῖναι, 15 εὖ ἴσθι ὡς ἐκαθήραμεν ἂν τῶν ἀνθρώπων μετὰ τῶν σωμάτων καὶ τὰς ψυχὰς νοσεούσας. 16 ἀλλὰ ταῦτα μὲν εὐχαί. 17 σὺ δ' ἡμῖν τὸ παρεὸν μάλιστα τὰς ὀρείνας καὶ ὑψηλόφους βοτάνας ῥιζοτόμει. 18 στερεώτεραι γὰρ τῶν ὑδρηλοτέρων εἰσίν. 19 καὶ δριμύτεραι μᾶλλον, διὰ τὴν τῆς γῆς πυκνότητα καὶ τὴν λεπτότητα τοῦ ἠέρος. 20 ὅ,τι γὰρ ἕλκουσιν, ἐμψυχότερόν ἐστι. 21 πειρήθητι δὲ ὅμως καὶ τὰς περὶ λίμνας ἑλείους πεφυκυίας ἀνθολογῆσαι. καὶ τὰς ποταμίους, ἢ κρηνίτιδας, ἢ πιδακίτιδας παρ' ἡμῖν καλεομένας, ἃς δὴ ἀσθενίας καὶ ἀτόνους, καὶ γλυκυχύλους εἶναι πέπεισμαι. 22 πάντα δὲ, ὁκόσα

χυλοὶ

si unquam alias, herbas collige, quot & quales poteris: 3 urget enim necessitas: 4 atque has mihi transmitte, ad virum toti civitati comparandum, Abderitam quidem, verum Democritum. 5 Ægrotare enim ipsum dicunt, 6 & purgatione valde opus habere, ut qui insania sit correptus. 7 Non utemur forsassis medicamentis, quemadmodum etiam credo. 8 Attamen undiquaque instructum esse oportet. 9 At vero rem herbariam apud te sæpe admiratus sum, 10 quemadmodum etiam universorum naturam ac constitutionem, & sacerrimum terræ fundamentum, 11 ex qua animalia, & plantæ, & alimenta, & medicamenta, & fortuna, & ipsæ divitiæ exoriuntur. 12 Neque enim alias haberet ubi consisteret Avaricia, 13 neque sane Abderitæ nunc decem talentis inescassent me, pro medico mercenarium declarantes. 14 Si vero possis Crateua amaram avaritiæ radicem exscindere, ut nullæ ipsius reliquiæ restent: 15 probe scito, quod hominum una cum corporibus etiam animas ægrotantes purgassemus. 16 At hæc quidem vota sunt. 17 Tu vero quod fieri potest, nobis montanas maxime & in altis collibus nascentes herbas radicitus reseca. 18 Sunt enim aquosioribus solidiores 19 & acriores, propter terræ densitatem, & aëris tenuitatem. 20 Nam quod attrahunt, frigidus est. 21 Conare tamen ut etiam de his quæ circa stagna nascuntur, & de palustribus, & fluviatilibus, aut fontanis, flores colligas: quas sane debiles, & exsolutas, ac dulcis succi esse scio. 22 Omnia autem medica-

menta,

χυλώδεά τε καὶ ὁπώδεα ῥέοντα, ἐν ὑαλέοισιν ἀγγείοισιν φερέσθωσαν. 23 ὁκόσα δὲ φύλλα ἢ ἄνθεα, ἢ ῥίζαι, ἐν κεράμοισι καινοῖσι εὖ ἐσφηνωμένοις. 24 ὅκως μὴ διαυγαζόμενα τῇσι πνοῇσι ἐκλείπῃ τὸν τόνον τῆς φαρμακείης, ὥσπερ λιποψυχήσαντα. 25 ἀλλ' αὖθις ἡμῖν ταῦτα πέμψον. 26 καὶ γὰρ ἡ ὥρη τοῦ ἔτεος ἁρμόδιος καὶ ἡ ἀνάγκη τῆς λεγομένης μανίης ἐπείγει. 27 τέχνης μὲν γὰρ πάσης ἀλλότριον ἀναβολή· 28 ἰητρικῆς δὲ καὶ πάνυ, ἐν ᾗ ψυχῆς κίνδυνος ἡ ὑπέρθεσις. 29 ψυχαὶ δὲ τῶν θεραπειῶν οἱ καιροί. ὧν ἡ παραφυλακὴ τὸ τέλος. 30 ἔλπομαι μὲν οὖν, ὑγιέα εἶναι τὸν Δημόκριτον καὶ δίχα ἰήσιος. 31 εἰ δ' ἄρα τι σφάλμα φύσεως, ἢ καιροῦ, ἢ ἄλλης τινὸς αἰτίης γένοιτο. 32 πολλὰ γὰρ ἡμέας θνητοὺς ἐόντας λάθοι, ἅτε μὴ πάγχυ δι' ἀτρεκείης ἐντονέοντας· 33 ἐπὶ τὸ ἄδηλον πᾶσαν χρεὼ δύναμιν ἠθροῖσθαι. 34 οὐ γὰρ ἀρκέεται ὁ κινδυνεύων, οἷς δυνάμεθα, 35 ἀλλ' ἐπιθυμεῖ καὶ ἃ μὴ δυνάμεθα. 36 καὶ σχεδὸν πρὸς δύο στρατευόμεθα τέλεα, τὸ μὲν ἀνθρώπου, τὸ δὲ τέχνης, 37 ὧν τὸ μὲν ἄδηλον, τὸ δὲ τῇ ἐπιστήμῃ ὥρισται. 38 δεῖ δὲ ἐν ἀμφοτέροισι τουτέοισι καὶ τύχης. 39 τὸ γὰρ ἀτέκμαρτον ἐν τῇσι καθάρσεσι δι' εὐλαβείης ἰόντων. 40 καὶ γὰρ καὶ στομάχου κάκωσιν ὑφορώμεθα, καὶ ξυμμετρίην φαρμακείης πρὸς ἀγνοουμένην φύσιν στοχαζόμεθα. 42 οὐ γὰρ ἡ αὐτὴ καὶ μία φύσις ἁπάντων. 43 ἕτερον δ' αἰεὶ καὶ πρὸς ἑωυτὴν ὁρίζεται οἰκεῖον. 44 ἐνίοτε δὲ τὸ πᾶν ἀπόλλυσι.

menta, quæ succi & liquoris fluidi sunt, in vitreis vasis ferantur: 23 quæ vero folia, aut flores, aut radices sunt, in fictilibus novis probe obturatis: 24 ut ne ventis perflata, medicamenti vigorem, velut in animi deliquium collapsa, amittant. 25 Cæterum statim nobis hæc mittito. 26 Nam & tempus anni congruum est, & necessitas dictæ insaniæ urget. 27 Ab omni equidem arte aliena est res dilatio, 28 verum maxime à Medicina, in qua dilatio est animæ periculum. 29 Curationum vero animæ sunt temporum opportunitates, quarum observatio finis est. 30 Spero quidem sanum esse Democritum, etiam citra medelam. 31 Si vero aliquis error naturæ, aut temporis, aut alterius alicujus causæ contingat (32 multa enim nos, qui mortales sumus, latent, utpote non omnino per veritatem corroboratos) 33 ad id quod obscurum est, omnem vim congregatam esse oportet. 34 Non enim contentus est is, qui in periculo versatur, his quæ possumus: 35 sed concupiscit etiam ea, quæ non possumus. 36 Et ferme semper ad duos fines militamus, alterum hominis, alterum artis. 37 Quorum alter obscurus est, alter scientiæ determinatus. 38 Opus est autem in utrisque his etiam fortuna. 39 Incerta enim est conjectura eorum, qui in purgationibus caute procedunt. 40 Nam & stomachi adflictionem veremur, 41 & medicationis congruentiam, ad naturam ignotam conjectamus. 42 Non enim una & eadem est omnium natura, 43 & aliud semper sibiipsi decernens adsimilat ac familiare facit. 44 Aliquando vero totum perdit.

σι. 45 καὶ τοῖς βοτάναις πολλὰ τῶν ἑρπετῶν ἰὸν ἐμβάλλουσι, καὶ προσχανόντα τῇ ἔνδοθεν αὐτῶν ἁπαλότητι κάκωσιν ἀντ' ἀλεξήσιος αὐτοῖς ἐμπνέουσι. 46 καὶ τούτου ἄγνοια ἔσται, εἰ μήτις ἄρα κηλὶς ἢ σπίλος, ἢ ὀδμὴ θηριώδης καὶ ἀσελγὴς τῶν γενομένων ξύμβολος φανείη. 47 εἶθ' ἡ τέχνη διὰ τὸ ξύμπτωμα τῆς τύχης τῆς καθ' ἑδραίου ἀφήμαρτε. 48 βεβαιότεραι δ' αἰεὶ αἱ δι' ἐλλεβόρου καθάρσιές εἰσι, 49 αἷς καὶ Μελάμπους ἐπὶ τῶν Προίτου θυγατέρων, καὶ Ἀντικύρευς ἐφ' Ἡρακλέους ἱστορέονται κεχρῆσθαι. 50 μὴ χρησόμεθα δὲ ἡμεῖς ἐπὶ Δημοκρίτου μηδενὶ τούτων. 51 ἀλλὰ γένοιτο ἐκείνῳ τῶν φαρμακωτάτων καὶ ἰησιμωτάτων φαρμάκων σοφίη τέλος. 52 ἔρρωσο.

dit. 45 Sed & herbis multa reptilia venenum immittunt, & hiatu suo internæ ipsarum teneritudini afflictionem pro auxilio inspirant. 46 Et hujus rei ignorantia erit, nisi sane nota aliqua, aut macula, aut odor ferus & gravis, rei factæ indicationem fecerit. 47 Deinde ipsa ars, propter fortunæ casum, à recte faciendi proposito aberrat. 48 Stabiliores autem semper sunt purgationes per veratrum, 49 quibus etiam Melampus in Prœti filiabus, & Anticyreus in Hercule usi esse narrantur. 50 Minime vero utemur nos ullo aliquo ex his in Democrito: 51 sed contigerit opto illi sapientia, efficacissimorum ac medicatissimorum pharmacorum finis. 52 Vale.

Δημόκριτος Ἱπποκράτει εὖ πράττειν.

Democritus Hippocrati felicitatem.

Foesius sect. VIII, 19. 1285.

Ἐπῆλθες ἡμῖν ὡς μεμηνόσι, ὦ Ἱππόκρατες, ἐλλέβορον δώσων, πεισθεὶς ἀνοήτοις ἀνδράσι, παρ' οἷς ὁ πόνος τῆς ἀρετῆς μανίη κέκληται. 2 ἐτύγχανον δὲ τότε περὶ κόσμου διαθέσιος καὶ πολογραφίης, ἔτι δὲ ἄστρων οὐρανίων ξυγγράφων. 3 γνοὺς δὲ τὴν ἐπὶ τούτοις φύσιν, ὡς εὐκαίρως κόσμῳ ἐστὶ δεδημιουργημένα, 4 καὶ ὡς πολὺ μανίης καὶ παραφροσύνης καθέστηκεν, 5 ἐμεῦ μὲν φύσιν ἐπῄνεσας, 6 ἄφρονας δὲ καὶ ὠμοὺς καὶ μεμηνότας κείνους ἔκρινας. 7 ὁκόσα γὰρ εἰδώλοις διὰ τὸν ἠέρα πλάζει ἡμέας, 8 ἃ δὴ κόσμος ξυνορέεται, 9 καὶ ἀμείβοντα τέτυκται, 10 ταῦτα νόος ἐμὸς, φύσιν ἐρευνήσας ἀτρεκέως, ἐς φῶς ἤγαγε. 11 μάρτυρες δὲ τουτέων βίβλοι

Accessisti ad nos velut insanos, ô Hippocrates, veratrum nobis daturus, persuasus à viris stolidis, apud quos labor virtutis insania judicatur. 2 Tunc autem de mundi dispositione, & de polis ac astris cœlestibus scribebamus. 3 Cum vero horum naturam cognovisses, quod omnia valde commode essent creata, 4 & quod procul ab insania ac desipientia abessent: 5 meam quidem naturam laudasti: 6 desipientes autem & crudeles ac furiosos illos judicasti. 7 Nam quæ simulachris per aerem vagantia nos decipiunt, 8 quæ sane mundus esse comprehenduntur, 9 & vicissitudinem habentia creata sunt: 10 ea mens mea, naturam perscrutata, vere in lucem produxit. 11 Cujus rei testes sunt libri

βλοι ὑπ' ἐμέο γραφεῖσαι. [12] χρὴ οὖν καὶ σέ, ὦ Ἱππόκρατες, μὴ τοῖς τοιουτοτρόποισιν ἀνδράσιν ξυνέρχεσθαι, καὶ ξυνομιλέειν, [13] ὧν ὁ νόος ἀκρόπολος καὶ ἀβέβαιος καθέστηκεν. [14] εἰ γάρ τοι πεισθεὶς ὡς μεμηνότι μοι ἐπόπισας ἐλλέβορον, ἡ σύνεσις μανίη ἂν ἐγεγόνει. [15] καὶ σέο τὴν τέχνην κατεμέμψαντο, ὥσπερ αἰτίην παραφροσύνης γεγονυῖαν. [16] ἐλλέβορος γὰρ ὑγιαίνουσι μὲν δοθεὶς ἐπισκοτεῖ διάνοιαν· [17] μεμηνόσι δὲ κάρτα ὠφελέειν εἴωθεν. [18] ὥιθην γάρ, εἰ μὴ κατειλήφεις με γράφοντα, [19] ἀνακείμενον δέ, ἢ σχεδὸν περιπατέοντα, [20] καὶ προσομιλέοντα ἐμεωυτῷ, [21] ὁτὲ μὲν δυσχεραίνοντα, ὁτὲ δὲ μειδιῶντα ἐπὶ τοῖς ἐννοουμένοις ὑπ' ἐμέο, [23] καὶ τοῖς προσομιλέουσι τῶν γνωρίμων ἢ προσέχοντα, [24] ἐφιστάντα δὲ τὴν διάνοιαν [25] καὶ σκεπτόμενον ἐκπαγλως, [26] ᾠήθης ἂν, Δημόκριτον, κατὰ γε ὄψιος κρίσιν ἐκ τῶν ὁρωμένων, μανίης εἰκόνα ἐκφαίνειν. [27] χρὴ οὖν τὸν ἰητρὸν μὴ μόνον ὄψει τὰ πάθη κρίνειν, ἀλλὰ καὶ πρήγμασι. [28] τούς τε ῥυθμοὺς ἀνακρίνειν ὡς ἐπὶ τὸ πλεῖστον. [29] καὶ πότερον ἄρχοιτο τὸ πάθος, ἢ μεσάζοι, ἢ λήγοι. [30] καὶ διαφορὴν, [31] καὶ ὥρην, [32] καὶ ἡλικίην παρατηρέοντα ἰητρεύειν τὸ πάθος, [33] ὁλομελίην τοῦ σκήνεος. [34] ἐκ γὰρ τουτέων ἁπάντων εὐχερέως τὴν νοῦσον εὑρήσεις. [35] ἀπέσταλκα δέ σοι τὸν περὶ μανίης λόγον. [36] ἔρρωσο.

libri à me conscripti. [12] Oportebat igitur te, ô Hippocrates, cum viris ejusmodi moribus præditis minime congredi ac conversari, [13] quorum mens superficiaria & inconstans est. [14] Si enim ab illis persuasus: mihi, velut insano, veratrum bibendum dedisses, prudentia insania facta fuisset: [15] & artem tuam reprehendissent, velut quæ insaniæ fuisset causa. [16] Veratrum enim sanis datum, menti tenebras offundit. [17] Insanis autem valde prodesse consuevit. [18] Arbitror equidem, si non deprehendisses me scribentem, [19] verum recumbentem, aut forte deambulantem, [20] & mecum colloquentem, [21] & nunc quidem indignantem, [22] nunc vero ridentem, ob ea, quæ mente revolvam, [23] & familiaribus me alloquentibus non attendentem, [24] sed cogitationi instantem, [25] & mirum in modum speculantem: [26] putasses sane Democritum, juxta oculorum judicium, ex his, quæ vidisses, insaniæ imaginem præ se ferre. [27] Oportet igitur Medicum non solum visu adfectiones judicare, sed etiam [illegible] ipsa: [28] & rythmos ac consonantias utplurimum indagare: [29] & utrum incipiat morbus, aut medium teneat aut desinat, perscrutari: [30] & differentia, [31] ac anni tempore [32] & ætate observata, adfectionem curare: [33] itemque totius corporis naturam considerare. [34] Ex his enim omnibus facile morbum invenies. [35] Porro remisi ad te de insania tractationem à te conscriptam. [36] Vale.

Ἱπποκράτης Δημοκρίτῳ εὐπραγεῖν.

Hippocrates Democrito felicitatem.

Foesius sect. VIII. 20. 1287.

Ἰητρικῆς τέχνης, ὦ Δημόκριτε, κατορθώματα μὲν οἱ πολλοὶ τῶν ἀνθρώπων οὐ πάνυ τι ἐπαινέουσιν. 2 θεοῖς δὲ πολλάκις προσανατιθέασιν. 3 ἢν δέ γε ἡ φύσις ἀντιπρήξασα ἀπολέσῃ τὸν θεραπευόμενον, 4 ἰητροὺς καταμέμφονται, 5 παριέντες τὸ θεῖον. 6 καὶ ἔγωγε δοκέω πλείονα μεμψιμοιρίην ἢ τιμὴν κεκληρῶσθαι τὴν τέχνην. 7 ἐγὼ μὲν γὰρ ἰητρικῆς ἐς τέλος οὐκ ἀφῖγμαι, 8 καίπερ ἤδη γηραλέος καθεστώς. 9 οὐδὲ γὰρ ὁ ταύτης εὑρετὴς Ἀσκληπιός. 10 ἀλλὰ καὶ αὐτὸς ἐν πολλοῖς διαφώνησε, καθάπερ ἡμῖν αἱ τῶν ξυγγραφέων βίβλοι παραδεδώκασιν. 11 ἡ μὲν οὖν ὑπὸ σοῦ ἐπισταλεῖσα ἡμῖν ἐπιστολὴ καταμέμφεται περὶ τῆς φαρμακείης τοῦ ἐλλεβόρου. 12 εἰσηγήθην μὲν οὖν, ὦ Δημόκριτε, ὡς μεμηνότι ἐλλεβορίζειν, 13 οὐ καταμανθάνων ὅστις ποτ' εἴης. 14 ὡς δὲ συντυχὼν ἔγνων, οὐ μὰ Δία παραφροσύνης ἔργον, 15 ἀλλὰ σχεδὸν ἀποδοχῆς πάσης, 16 κάρτα σὴν φύσιν ἐπῄνεσα. 17 ἄριστόν τε φύσεως ἑρμηνευτὴν καὶ κόσμου ἔκρινα. 18 τοὺς δὲ εἰσαγαγόντας με ἐμεμψάμην ὡς μεμηνότας. 19 φαρμακείης γὰρ αὐτοὶ ἔχρηζον. 20 ἐπειδὴ τοίνυν τὸ αὐτόματον ἡμέας εἰς τὸ αὐτὸ συνήγαγεν, 21 ὀρθῶς ποιήσεις ἐπιστέλλων ἡμῖν πυκνότερον, 22 καὶ μεταδιδοὺς τῶν ὑπὸ σοῦ γραφομένων ξυνταγμάτων. 23 ἀπέσταλκα δέ σοι καὶ αὐτὸς τὸν περὶ τοῦ ἐλλεβορισμοῦ λόγον. 24 ἔρρωσο.

Artis Medicæ recta facta ô tu Democrite, plerique è vulgo hominum non omnino laudant, 2 verum Diis sæpe attribuunt. 3 Si vero natura reluctata perdiderit eum, qui curatur: 4 medicos reprehendunt, 5 numen prætereuntes. 6 Et ego sane mihi videor, majorem reprehensionem quam honorem artis me assequutum esse. 7 Ego enim ad finem Medicinæ non perveni, 8 etiamsi jam senex sim. 9 Neque enim ipsius inventor Æsculapius: 10 sed & ipse in multis à seipso dissensit, quemadmodum nobis scriptorum libri tradiderunt. 11 Proinde epistola à te ad nos missa, veratri medicinam reprehendebat. 12 Inductus equidem sum, ô Democrite, velut insanienti veratrum daturus, 13 non perscrutatus qualis quis tandem esses. 14 Ubi vero tecum congressus, cognovi non per Jovem desipientiæ opus, 15 sed ferme omni laude ac commendatione dignum, 16 valde laudavi naturam tuam, 17 optimumque naturæ ac mundi interpretem te judicavi. 18 Eos vero qui me induxerunt ad te, velut insanientes reprehendi. 19 Nam ipsi medicamento opus habebant. 20 Quandoquidem igitur casus nos in idem conjunxit, 21 recte feceris si ad nos frequentius literas dederis, 22 & libros à te conscriptos impertiveris. 23 Misi autem etiam ipse tibi de Veratri usu libellum. 24 Vale.

Ἱπποκράτης πρὸς τὸν υἱὸν Θεσσαλόν.

Hippocrates ad Thessalum filium.

Foesius sect. VIII. 21. 1288.

pag. 133 Ἱστορίης δὲ μελέτω σοι, ὦ παῖ, γεωμετρικῆς, 2 καὶ ἀριθμήσιος. 3 οὐ γὰρ μόνον σοι καὶ τὸν βίον εὐκλεᾶ καὶ ἐπὶ πολλὰ χρήσιμον ἐς ἀνθρωπίνην μοίρην ἐπιτελέσει· 4 ἀλλὰ καὶ τὴν ψυχὴν ὀξυτέρην τε καὶ τηλαυγεστέρην καὶ ἐς τὸ ἐν 5 ἰητρικῇ ὀνήσασθαι πᾶν ὅ, τι χρήζει. 5 καὶ γὰρ ἡ μὲν τῆς γεωμετρίης ἱστορίη ἐοῦσα πολυσχημός τε καὶ πολυειδὴς, καὶ πᾶν μετ' ἀποδείξεως πραγματευομένη 6 ἔσται χρησίμη πρός τε τὰς τῶν ὀστέων θέσιας, καὶ τὴν λοιπὴν τῶν μελέων τάξιν. 7 εἰς τὴν γὰρ τούτων πολυτροπίην εὐεπιγνωστότερον. 8 ἐμβολῇ τε ἄρθρων 9 καὶ τῇ τῶν 134 ὀστέων τῶν συντριβομένων ἀναπείρεσί τε, 10 καὶ ἐκτρυπήσει, 11 καὶ συνθέσει, 12 καὶ ἐξαιρέσει, 13 καὶ τῇ λοιπῇ θεραπείῃ 14 χρῆσθαι, εἰδότι, 15 ὁκοῖόν τε χωρίον ἐστὶ 16 10 καὶ τὸ ἐκ τούτου ἐξορούμενον ὀστέον. 17 ἡ δὲ τῆς ἀριθμήσιος τάξις πρός τε τὰς περιόδους, 18 καὶ ἀλόγους τῶν πυρετῶν μεταστάσιας, 19 καὶ τὰς κρίσιας τῶν νοσεόντων, 20 καὶ τῆς ἐν νούσοις ἀσφαλείης ἀρκέσουσα ἔσται. 21 μέγα γὰρ 135 τι μέρος ὑπηρεσίην ἔχειν ἐν ἰητρικῇ τοιήνδε 22 ἥτις σοι μέτρα τῆς ἐπιτάσιος 23 καὶ τῆς ἀνέσιος, ὅταν ἀνισοῦται τὴν μοῖραν, 24 εὔγνωστα παρέξεται 25 χωρὶς ἀμπλακίης. 26 διὸ δὴ καὶ ἐς δύναμιν ἀφικνέο τῆς τοιῆσδε ἐμπειρίης. 27 ἔρρωσο.

11 Ad cognoscendam Geometriam 2 & Numerorum scientiam, mi fili, multum studii adhibeto. 3 Non enim solum vitam tuam illustrem, & ad multa commodam, in humanarum rerum statu efficient: 4 sed etiam animam acutiorem & clariorem reddent, ad omnium, quorum usus in medicina expetitur, utilitatem consequendam. 5 Etenim Geometriæ cognitio, quæ multiformis ac varia est, & omnia cum demonstratione transigit, 6 utilis erit & ad ossium situs, & ad exarticulationes, & reliquum membrorum ordinem. 7 Nam ad multiplicem horum adfectionem, 8 & articulorum luxatorum repositione, 9 & ossium contritorum resectione, 10 & perforatione, 11 & compositione, 12 & exemptione, 13 ac reliqua curatione, 14 majore industria utetur quisquis noverit 15 qualis est locus, 16 & quale est os, quod ex eo eluxatum est. 17 At vero Numerorum ratio, & ad circuitus, 18 & ad transmutationes febrium præter rationem sitientes, 19 & ad judicia ægrotantium, 20 ac securitatis in morbis, sufficiens erit. 21 Præclara enim res est, tale ministerium in medicina habere, 22 quod tibi partes intensionis 23 ac remissionis, cum ex parte inæquales fuerint, 24 facile cognoscibiles exhibet, 25 citra errorem. 26 Quapropter ad hujusmodi experientiæ facultatem pervenire sedulo stude. 27 Vale.

Ἐπιβώμιος. Oratio ad aram.

Foesius sect. VIII. 24. 1291.

Ω πολλοὶ καὶ πολλῶν πολίων οἰκητοὶ, ἐν ἀξίῃ μεγάλῃ γεγεῶτες, κοινὸν οὔνομα Θεσσαλοί· [2] πᾶσιν ἀνθρώποισι πικρὴ ἀνάγκη τὰ μεμοιρημένα φέρειν. κρατέει γὰρ βιάζεσθαι, ἃ βούληται. [3] ἢ καὶ νῦν ἐγὼ ἥκων ξὺν ἐμῇ γενεῇ θαλλοὺς στέψας, ἐπ' Ἀθηναίης βωμοῦ ἱκέτης ἵδρυμαι. [4] τίς εἰμι χρὴ λέγειν τοῖς ἀγνοοῦσιν. [5] Ἱπποκράτης, ὦ ἄνδρες, ὁ ἰητρὸς ὁ Κῷος οὐ διὰ σεμνῆς καὶ καλῆς αἰτίης ἐμὲ ἑωυτὸν καὶ παῖδας ὑμῖν ξυνίστημι. [6] γινώσκετε, ὦ πλῆθος. καὶ γὰρ δὴ, ὦ ἄνδρες, οἰκεῖοι, ἐν οἷς, ὡς εἰπεῖν ἀληθὲς, πολλοῖσιν ὑμέων καὶ πολίων ὑμετέρων γινώσκομαι, ὡς τύπῳ εἰπεῖν. [7] οὔνομα δὲ ἰδέης καὶ προσωτέρω κεχώρηκε. [8] ἔοικε δὲ τοῦτο ἐκ τέχνης ἐμῆς ὑγιείης τε καὶ ζωῆς αἴτιον ἀνθρώποισιν, οὐ μόνοισι τοῖσι τὴν ὑμετέρην οἰκέουσιν, ἀλλὰ καὶ πολλοῖσιν Ἑλλήνων, ἐγγὺς ὑμέων γινώσκομαι. [9] ἤδη δὲ, ὅτι ἐγὼ ὑπέμεινα τὸ τηλικοῦτον πρῆγμα, ἔργῳ πρῆξαι ἐρέω. [10] Ἀθηναῖοι, ὦ ἄνδρες Θεσσαλοὶ, κακῶς ἔχουσι χρεώμενοι μητρόπολιν ἡμετέρην Κῶ. [11] ἐκ δούλης μέρει διαλύθεται, τὰ ἐλεύθερα διὰ προγόνων κλέος, ἰδιόκτητα ποιεύμενοι. [12] οὔτε ξυγγένειαν αἰδεσθέντες, ἣ ἐστιν αὐτέοις ἀπὸ Ἀπόλλωνός τε καὶ Ἡρακλέους, ἥτις ἐς Αἰνιόν τε καὶ Στένιον τοὺς κείνων παῖδας ἱκνέεται· [13] οὔθ' Ἡρακλέους εὐεργεσιῶν εἵ-

O vos multi & multarum urbium habitatores, in magna dignitate constituti, communi nomine Thessali, [2] omnibus hominibus amara necessitas incumbit, ut quæ à fatis statuta sunt ferant. [Vi enim exsequitur quæ vult.] [3] Quapropter ego nunc cedens cum mea sobole, oleæ ramulis coronatus, ad Minervæ aram supplex consisto. [4] Quis sim, ignorantibus dicere oportet. [5] Hippocrates, ô viri, Medicus Cous, non per piam & honestam causam, meipsum & liberos meos vobis commendo. [6] Cognoscitis me ô plebs. Nam profecto vos estis viri mihi familiares, inter quos, ut verum dicam, inter plerosque vestrum & in multis urbibus vestris cognitus sum, ut in summa dicam. [7] At vero nomen meum longe ulterius, quam formæ meæ aspectus, processit. [8] Atque hæc causa ex arte mea sanitatis ac vitæ, ortum habuisse videtur, quod non solum hominibus vestram regionem habitantibus, sed etiam multis Græcis vobis vicinis cognitus sum. [9] Jam vero quâ de causa tantum negocium opere peragendum adsumpsi, referam. [10] Athenienses male habebunt, ô viri Thessali, qui Metropolim ac patriam nostram Co devastantes, [11] in servitutem redigunt ea, quæ libera sunt ex progenitorum adquisitione, privatim sibi parta facientes: [12] neque cognationem reveriti, quæ ipsis est ab Apolline & Hercule, quæ sane ad Ænium & Stenium filios illorum pervenit: [13]

νίκην [μνήμην ἐς] νόον βαλόμενοι, ἃς ὁ κοινὸς ὑμῖν τε καὶ ἡμῖν ὀρθῶς ποιέων θεὸς ἐς ἐκείνους κατέθετο. 14 ὑμεῖς τε ἀλλὰ πρὸς Διὸς ἱκεσίου καὶ θεῶν ὁμογνίων ἐξέλθετε, 15 ἀμύνατε, 16 ἐλευθερώσατε, τῆς ἰδίης φιλοτιμίης μηδὲν ἐλλείποντες.

neque Herculis malorum domitoris beneficia mente recolunt, quæ ille communis & vobis & nobis bene faciens Deus, in illos contulit. 14 Et vos per Jovem supplicationibus colendum, & per cognatos deos, egredimini, 15 vindicate, 16 liberate, propriæ virtutis memores, & nihil ad gloriam vestram spectans intermittentes. 20

Ψήφισμα Ἀθηναίων.

Decretum Atheniensium.

Foesius sect. VIII. 24. 1290.

pag 536 Ἔδοξε τῇ βουλῇ καὶ τῷ δήμῳ τῶν Ἀθηναίων. 2 ἐπειδὴ Ἱπποκράτης Κῷος ἰατρὸς ὑπάρχων καὶ γεγονὼς ἀπὸ Ἀσκληπιοῦ, 3 μεγάλην εὔνοιαν μετὰ σωτηρίας ἐνδέδεικται τοῖς ἕλλησι, 4 ὅτε καὶ λοιμοῦ ἰόντος ἀπὸ τῆς βαρβάρου ἐπὶ τὴν ἑλλάδα, 5 κατὰ τόπους ἀποστείλας τοὺς ἑαυτοῦ μαθητὰς παρήγγελλε, τίσι χρὴ θεραπείαις χρωμένους ἀσφαλῶς διαφυλάξασθαι τὸν ἐπιόντα λοιμόν· 6 ὅπως τε ἰατρικὴ δοθεῖσα τοῖς ἕλλησιν ἀσφαλῶς σώζῃ τοὺς κάμνοντας αὐτῶν· 7 ἐξέδωκε δὲ καὶ συγγράψας ἀκριβῶς τὰ περὶ τῆς ἰατρικῆς τέχνης, πολλοὺς 31' βουλόμενος τοὺς σώζοντας ὑπάρχειν ἰατρούς. 8 τοῦ τε περσῶν βασιλέως μεταπεμπομένου αὐτὸν ἐπὶ τιμαῖς ταῖς κατ' αὐτὸν ἴσαις καὶ δώροις, ἐφ' οἷς ἂν αὐτὸς Ἱπποκράτης αἱρῆται, 9 ὑπερεῖδε τὰς ὑποσχέσεις τοῦ βαρβάρου, ὅτι πολέμιος καὶ κοινὸς ἐχθρὸς ὑπῆρχε τοῖς ἕλλησι· 10 ὅπως οὖν ὁ δῆμος Ἀθηναίων φαίνηται προαιρούμενος τὰ χρήσιμα διὰ παντὸς ὑπὲρ τῶν ἑλλήνων, 11 καὶ ἵνα χάριν ἀποδῷ πρέπουσαν Ἱπποκράτει ὑπὲρ τῶν εὐεργετημάτων, 12 δεδόχθαι τῷ δήμῳ μυῆσαι αὐτὸν 40 τὰ μυστήρια τὰ μεγάλα δημοσίᾳ, καθά-

17 Visum est ac decretum Senatui & populo Atheniensium. 82 2 Quandoquidem Hippocrates pag 589 Cous Medicus, & ab Æsculapio originem ducens, 3 magnam benevolentiam una cum salute Græcis ostendit, 4 quando etiam peste à Barbaris in Græciam proficiscente, 5 discipulis suis ad locos dimissis, indicavit: quibus medelis uti oporteat, & accedentem pestem secure effugere, 5 6 quo medicina Græcis data, ipsorum ægrotos tuto servaret. 7 Sed & scripta sua de Arte medica exacta edidit, multos esse volens Medicos qui servare possent. 8 Et Persarum rege ipsum accersente, & honores optimatibus Persarum æquales promittente, & dona quæcunque tandem ipse Hippocrates vellet offerente, 9 Barbari promissiones contempsit, eo quod hostis & 10 communis inimicus Græcis esset. 10 Quo igitur appareat, populum Atheniensium semper ea, quæ utilia sunt Græcis, consultare: 11 & ut gratiam condignam Hippocrati pro benefactis referat: 12 Visum est populo, ipsum publice magnis mysteriis initiare, quemadmodum Herculem

καθάπερ Ἡρακλέα τὸν Διός, [13] καὶ στεφανῶσαι αὐτὸν στεφάνῳ χρυσῷ ἀπὸ χρυσῶν χιλίων. [14] ἀναγορεῦσαι δὲ τὸν στέφανον παναθηναίοις τοῖς μεγάλοις ἐν τῷ ἀγῶνι τῷ γυμνικῷ, [15] καὶ ἐξεῖναι πᾶσι Κῴων παισὶν ἐφηβεύειν ἐν Ἀθήναις, καθάπερ παισὶν Ἀθηναίων· [16] ἐπειδήπερ ἡ πατρὶς αὐτῶν ἄνδρα τοιοῦτον ἐγέννησεν. [17] εἶναι δὲ Ἱπποκράτει καὶ πολιτείαν καὶ σίτησιν ἐν πρυτανείῳ διὰ βίου.

lem filium Jovis: [13] & coronare ipsum corona aurea mille aureorum: [14] & ipsam coronam Quinquatriis magnis Minervæ festis, in certamine gymnico per præconem proclamare. [15] Et licere omnibus Coorum liberis, ut Athenis pubescant, quemadmodum liberi Atheniensium: [16] quandoquidem patria ipsorum hujusmodi virum genuit. [17] Esse vero Hippocrati, & vitam, & victum provisum in Prytaneo per omnem vitam.

Πρεσβευτικὸς Θεσσαλοῦ Ἱπποκράτους υἱοῦ.

Oratio Thessali filii Hippocratis.

Foesius sect. VIII. 25. 1291.

Προσήκειν ἡγέομαι, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν καθιστάμενον εἰς ὑμέας καὶ μὴ γινωσκόμενον παντὶ τῷ πλήθει πρῶτον δηλῶσαι μὲν ὅστις, καὶ ὅθεν ἐστί· μετὰ δὲ ταῦτα τῶν ἄλλων λόγων ἅπτεσθαι. [2] ἐμοὶ μὲν πατὴρ Ἱπποκράτης, ὃν ὑμεῖς γινώσκετε ἐν ἰητρικῇ ἡλίκην δύναμιν ἔχει. [3] ὄνομα δὲ Θεσσαλός. γινώσκομαι δὲ κἀγὼ, οὐκ ἐν ὑστάτοις ὑμέων, οὐδ' ὀλίγοις. [4] πατρὶς δέ μοι Κῶς, ἣν ὅπως ὑμῖν οἰκείη ἐστὶν ἐξ ἀρχαίων, ἕτεροι ἐροῦσιν, οἵτινες ἱστορίην ἐξηγήσασθαι δυνατώτεροι. [5] ἦλθον δὲ πεμφθεὶς ὑπὸ τοῦ πατρός, τέσσαρας ἔχων εὐεργεσίας εἰπεῖν παρ' ἡμῶν εἰς ὑμέας γεγενημένας. [6] τὴν μὲν τινα παλαιὴν ἐπὶ τῶν προγόνων, κοινὴν ἐς ἅπαντας τοὺς Ἀμφικτύονας, ὧν ὑμέες οὐκ ἐλαχίστη μοῖρα. [7] τὴν δὲ ἑτέρην ἔτι μείζω ταύτης, καὶ διικνεομένην ἐς πλείους τῶν Ἑλλήνων. καὶ αὗται μὲν φανήσονται τῆς πόλιος καὶ τῶν προγόνων τῶν ἐμῶν ἴδιαι. [8] ἡ δὲ τρίτη τοῦ πατρὸς ἰδίη.

Convenire arbitror, Viri Athenienses, constitutum apud vos, qui non omni multitudini cognitus est, primum indicare, quis sit, & unde sit: postea vero reliquam orationem persequi. [2] Mihi equidem pater est Hippocrates: qui quantam in Medicina facultatem habeat, vos novistis. [3] Nomen autem est Thessalus. Cognitus vero & ego sum, non in postremis, neque paucis vestrum. [4] Patria vero est mihi Cos: quæ quomodo vobis cognata sit ab antiquo, alii dicunt, qui in recensenda historia sunt præstantiores. [5] Veni autem missus à patre, quatuor beneficia à nobis in vos collata prolaturus. [6] Primum quidem vetus quoddam, tempore progenitorum nostrorum, commune in omnes Amphictyonas, quorum vos non minima pars est. [7] Alterum vero illo adhuc majus, & ad plurimos Græcorum progressum. Atque hæc quidem urbis, & progenitorum meorum esse apparebunt. [8] Tertium autem patris proprium

ἰδίη, καὶ τηλικαύτη, ὅσην εἷς ἀνὴρ οὐδεὶς ὑμῖν τε καὶ πολλοῖς Ἑλλήνων κατέθετο. 9 ἡ δ' ὑστάτη τῶν τεσσάρων κοινὴ τοῦ πατρὸς καὶ ἐμή. καὶ οὐκ ἔτι ἐς πλείονας, ἀλλ' ἐς ὑμέας αὐτοὺς διϊκνεομένη. 10 ἣ, πρὸς μὲν τὰς προτέρας διηγησίας, μικρὴ ἂν φανείη· πρὸς δὲ ἑτέρων χάριτας μετρεομένη, μεγάλη. 11 αἱ μὲν δὴ διηγησίαι τοιαῦται οὕτως ἔχουσιν, ὡς ἔφην εἶναι, ὡς συνελόντα εἰπεῖν. δεῖ δὲ μὴ μοῦνον φάναι, ἀλλὰ καὶ ἀποδεῖξαι, ὡς εἰσὶν ἀληθέες. 12 ἀρχὴν οὖν τοῦ λόγου τὴν ἀρχὴν τῶν ὑπουργιῶν ποιήσομαι. 13 τὰ δὲ ἀρχαιότατα πρῶτα λέξω· ἐν οἷς τάχ' ἄν με καταλάβοιτε μακρότερα καὶ μυθωδέστερα εἰπεῖν. 14 ποθεῖ δὲ πᾶς ἀρχαῖος λέγεσθαι. 15 ἦν γὰρ ὁ χρόνος ὅτ' ἦν Κρισαῖον ἔθνος. 16 ᾤκεον μὲν περὶ τὸ Πυθικὸν ἱερόν. 17 γῆν δ' εἶχον, ἥ γε νῦν τῷ Ἀπόλλωνι καθιέρωται. 18 καλέεται δὲ τὸ μὲν Κρισαῖον πεδίον, ᾧ Λοκροὶ περιοικέουσι, καὶ αἱ Μέλαιναι προσέχουσι. 19 τὸ δὲ Κιρφίον ὄρος, ᾧ Φωκέες παράκεινται. 20 οὗτοι δὲ οἱ Κρισαῖοι γενόμενοι τότε πολλοὶ καὶ ἰσχυροὶ καὶ πλούσιοι, τούτοις τοῖς ἀγαθοῖς ἐπὶ κακῷ ἐχρήσαντο. 21 ἐξυβρίσαντες γὰρ πολλὰ δεινὰ καὶ παράνομα πρήγματα εἰργάσαντο, 22 εἰς τὸν θεὸν ἀσεβοῦντες, 23 Δελφοὺς καταδουλεύμενοι, 24 προσοίκους ληϊζόμενοι, 25 γεωργοὺς συλέοντες, 26 γυναῖκας δὲ καὶ παῖδας ἀγινέοντες, καὶ εἰς τὰ σώματα ἐξυβρίζοντες. 27 ἀνθ' ὧν Ἀμφικτύονες ὀργισθέντες καὶ στρατευόμενοι ἐς τὴν γῆν ἐμβαλόντες αὐτῶν, 28 καὶ

μαχ

proprium est, & tantum, quantum nemo unus vir, & vobis & multis Græcis contulit. 9 Postremum vero ex quatuor commune est patris & meum, & quod non ad plures, sed ad vos ipsos pervenit. 10 Quod quidem priorum beneficiorum comparatione exiguum videri poterit: verum ad aliorum beneficia collatum, magnum est. 11 Et sane hujusmodi beneficia sic se habent, quemadmodum esse dixi, ut summatim dicam. Oportet autem non solum dicere, sed etiam demonstrare quod vera sunt. 12 Principium igitur sermonis, ipsum ministeriorum nostrorum principium faciam. 13 Vetustissima vero primum referam: in quibus fortassis longiora ac altius repetita me dicere deprehenderitis. 14 At quisque verus dici expetit. 15 Erat enim tempus quando Crisæa gens erat, 16 & habitabat quidem circa Pythicum templum: 17 terram vero habebat, quæ sane nunc Apollini consecrata est. 18 Appellatur autem Crisæus quidem campus, juxta quem Locri habitant, & cui Melæna adsunt: 19 Cirrhæus vero mons, cui Phocenses adjacent. 20 Hi porro Crisæi cum essent aliquando populosi, & fortes, & opulenti, his bonis ad malum usi sunt. 21 Per insolentiam enim multa horrenda ac iniqua facta perpetrarunt, 22 in deum impietatem exercentes, 23 Delphos in servitutem redigentes, 24 vicinos deprædantes, 25 agricolas spoliantes, 26 uxores ac liberos abducentes, & corpora ipsorum constuprantes. 27 Qua de causa Amphictyones ira commoti, & exercitu in terram ipsorum inducto,

μάχῃ νικήσαντες, τὴν χώρην ἐδῄουν, καὶ τὰς πόλιας ἐπόρθεον. [28] ἔνθα πολλὰ καὶ ἀνόσια ποιήσαντες, σχετλίως ἀπώλοντο, καὶ ἄξια, ὧν ἔπρηξαν, τίνοντες. [29] μακαριστοὶ δ' ἦσαν αὐτέων οἱ ἐν χερσὶ τελευτήσαντες. [30] δεύτεροι δὲ οἱ δορυάλωτοι γενόμενοι, οἵ τε ἐς ἑτέρην χώρην καὶ πόλιας ἐπεραιώθησαν. [31] τὰ γὰρ σφέτερα κακὰ οὐκ εἶχον ἐν ὀφθαλμοῖς. [32] οἱ δὲ αὐτοῦ μείναντες τῶν αἰχμαλώτων ἀτυχέστατοι ἦσαν, [33] ὅσοι οἰκίζοντο ἐν χώρῃ τῇ ἑωυτῶν ξὺν γυναιξὶ καὶ τέκνοις, ἀγρούς τε καὶ ἄστεα πυρὶ παραδιδόμενα ἐθεώρεον. [34] ἔτι δὲ τουτέων κάκιον διῆγον οἱ ἐν τοῖς τείχεσι διαρκέοντες, ὁκότε τῶν εἰρημένων κακῶν, ἃ μὲν ἔβλεπον, ἃ δ' ἐπυνθάνοντο, πλέον ἀκούοντες τῶν ἀληθέων. [35] οὕτω γάρ που ἔθος γίνεσθαι. [36] καὶ δὴ κακὰς ἐλπίδας σωτηρίης εἶχον. [37] ἦν δέ σφι πόλις ἐγγὺς τούτου τοῦ τόπου μεγίστη, ὅκου νῦν ὁ ἱππικὸς ἀγὼν τελέεται. [38] ἧς τὰ τείχη ἐπεσκευάζοντο, καὶ τοὺς ἐκ τῶν ἄλλων πολίων διαφυγόντας ἐδέχοντο. [39] τὰ δὲ ἀχρεῖα ἐξέβαλον, καὶ τὰ ἀναγκαῖα ἐσεκομίζοντο καὶ διενοοῦντο ὑπομένειν, [40] ἐλπίσαντες μήτε ἐφ' ἂν μάχῃ τὴν πόλιν αἱρεθῆναι, μήτε κατὰ μῆκος χρόνου. [41] οἱ δ' Ἀμφικτύονες τά τε ἄλλα καθεῖλον, καὶ ἐπὶ ταύτῃ τῇ πόλει φρούριον ποιησάμενοι, καὶ ἐς πολιορκίην σκευάσαντες τὸ ἄλλο στράτευμα, κατὰ πόλιας ἀφῆκαν. [42] προϊόντος δὲ τοῦ χρόνου, καὶ λιμοῦ ἐς τὸ στρατόπεδον ἐμπεσόντος, καὶ τῶν στρατιωτῶν νοσεόντων, τινῶν δὲ καὶ ἀποθνησκόντων, [43] τῶν δὲ καὶ ἐκλιπόντων

τὸ

ducto, & ipsis pugna devictis, regionem devastarunt, & urbes expugnarunt. [28] Ubi sane illi, qui multa & impia perpetrarunt, misere accepti sunt, non minores pœnas persolventes, quam ipsi aliis intulerant. [29] Felicissimi vero ex ipsis fuerunt, qui intra manus hostium perierunt. [30] Secundo loco, qui manu capti sunt, & qui ad aliam regionem ac urbes transiverunt. [31] Sua enim mala ob oculos non habuerunt. [32] Qui vero ex captivis isthic manserunt, infelicissimi fuerunt, [33] quicunque in sua ipsorum regione torquebantur. Nam cum uxoribus & liberis, agros & urbes igni tradi videbant. [34] His vero adhuc pejus degebant hi, qui intra mœnia perseverabant, quando relata mala partim videbant, partim percunctabantur, plura veris audientes. [35] Sic enim fieri solet. [36] Et sane malam salutis spem habebant. [37] Erat autem ipsis urbs prope hunc locum maxima, ubi nunc certamen equestre peragitur: [38] cujus muros exstruxerant, & eos qui ex aliis urbibus transfugerant, exceperant. [39] Inutilia vero ejecerant, & necessaria importaverant. Et cogitabant obsidionem sustinere, [40] bona spe præditi, neque manuum pugna, neque longi temporis obsidione, urbem capi posse. [41] At vero Amphictyones, tum alia devastarunt, tum ad hanc urbem præsidio constructo, & ad expugnationem præparato, reliquum exercitum per urbes dimiserunt. [42] Temporis autem progressu, cum pestis in exercitum illapsa esset, & milites ægrotarent, quidam vero etiam morerentur: [43] alii vero, propter

τὸ φρούριον διὰ τὴν νοῦσον, οἱ Ἀμφικτύονες ἐταράσσοντο. καὶ ἄλλοι ἄλλα ἐβουλεύοντο. 44 φιλεῖ δὲ τὰ κοινὰ οὕτως πως γίνεσθαι. 45 τέλος δὲ ἀγανακτέοντες τῷ πάθει, " καὶ ἀπογνωσιμαχήσαντες, 174 τῷ θεῷ ἐπέτρεψαν. καὶ ἤροντο ὅ, τι χρὴ ποιέειν. 46 ὁ δ᾽ ἐκέλευσε πολεμέειν, καὶ ὑπισχνεῖτο κρατήσειν, ἢν ἐς Κῶ ἐλθόντες ἐλάφου παῖδα, " ἐς ἐπικουρίην ἀγάγωνται 175 ξὺν χρυσῷ, σπεύσαντες, 47 ὡς μὴ πρότερον οἱ Κρισαῖοι ἐν τῷ ἀδύτῳ τὸν τρίποδα συλήσωσιν. 10 εἰ δὲ μὴ, ' τὴν πόλιν οὐχ ἁλώσεσθαι. 48 οἱ δὲ ταῦτα ἀκούσαντες καὶ ἐλθόντες ἐς Κῶ τὰ μαντευθέντα ἀπήγγελλον. 49 ἀπορεόντων δὲ τῶν Κῴων, καὶ ἀγνοεόντων τὸ ἀπομάντευμα, 50 ἀνίστη ἀνὴρ, γένος μὲν Ἀσκληπιάδης, πρόγονος δὲ ἡμέτερος, ἰητρὸς δὲ Ἑλλήνων κράτιστος ὁμολογεύμενος τῶν τότε. 51 ὄνομα οἱ ἦν νέβρος, ὅς τις ὀνομάζειν ἔφη τὸ θέσφατον ἥκειν πρὸς ἑωυτόν. 52 εἴρηκε ὁ θεὸς, ὅπως παρέωσιν ὑμῖν, ἐλθόντες ἐς Κῶ, ἐλάφου παῖδα ἐς ἐπικουρίην ἀγαγεῖν. 53 Κῶς 15 μὲν γὰρ αὕτη. τὰ δὲ ἐλάφων ἔκγονα, νεβροὶ καλέονται. νεβρὸς δέ μοι οὔνομα. 54 ἐπικουρίη δὲ ποῦ ἄλλη τίς προτέρη γένοιτο στρατοπέδῳ νοσέοντι ἰητροῦ; 55 καὶ μὴν τότε οὐδὲν ἑπόμενον οὐ δοκέω, ὅτι τοὺς τοσοῦτον Ἑλλήνων ὄλβῳ ὑπερέχοντας ἐς Κῶ προσελθόντας ἐκέλευεν ὁ θεὸς νόμισμα χρυσοῦν αἰτέειν. 56 ἀλλὰ τοῦτο τὸ θέσφατον ἐς τὴν ἐμὴν οἰκίην ἔρχεται. 57 χρυσὸς γάρ μοι κικλήσκεται ἄρσην παίδων ὁ νεώτερος. 58 " ἔστι 176 δὲ πάντη καὶ ἰδίη, καὶ ἐς ψυχὴν,

pter morbum, præsidium reliquissent, Amphictyones turbabantur. Et alii alia consultabant. 44 Solet autem in rebus communibus sic fere fieri. 45 Tandem vero adflictionem moleste ferentes, & de bello desperantes, Deo rem commiserunt: & quid facere oporteret, interrogarunt. 46 Ille vero bellum gerere jussit, & victores fore promittebat, si ad Co profecti, cervi 'filium in 50 auxilium adducerent, cum auro; atque hoc festinabundi, 47 ut ne Crisæi prius in adyto tripodem deprædarentur: Sin minus, urbem capi non posse. 48 Ipse vero, his auditis, & ad Co profecti, oraculum proposuerunt. 49 Cum autem Coi dubitarent, & oraculum non intelligerent: 50 surrexit vir genere quidem Asclepiades, progenitor autem noster: Medicus vero Græcorum ejus temporis omnium confessione optimus, 51 'nomen autem ipsi erat Nebrus: 55 qui oraculum dicere inquit, ut ad seipsum venirent. 52 Nam Deus, inquit, admonuit vos, ut profecti ad Co, cervi filium in auxilium adducatis. 53 Cos equidem hæc est. Cervorum autem filii Nebri appellantur: hoc est hinnuli. Nebrus autem est mihi nomen. 54 Quod vero aliud auxilium potius contigerit exercitui ægrotanti, quam Medicus? 55 Et profecto non videtur mihi id consequens esse, quod ' in 60 tantum divitiis Græcos omnes superantes, deus ad Co proficisci jusserit, & aureum numisma petere. 56 Verum hoc oraculum in meam domum progreditur. 57 Chrysos enim [hoc est aurum] vocatur masculus meus filius natu minimus. 58 Est autem omnino,

χὴν, ἀρίστην, ὥσπερ θεὸς λέγει, διὰ
20 πάντων τῶν πολιτῶν. 59 ἐγὼ μὲν
οὖν εἰ μὴ ὑμῖν ἄλλο δοκέῃ αὐτός τε
εἶμι, καὶ τὸν παῖδα ἄξω, πεντη-
κόντορον πληρώσας τοῖς ἐμοῖς τε-
λέσμασιν, ὑπηρεσίας τὰς ἰητρι-
κὰς καὶ πολεμικὰς, ἵνα ἐς ἀμ-
φότερα βοηθῶμεν. 60 ὁ μὲν εἶπε,
τοῖς δὲ ἔδοξεν, οἱ δὲ ἀπεστάλη-
σαν. 61 συνανέβησε δὲ ὁ Νέβρος
οὗτος καὶ Καλυδώνιον ἄνδρα,
παρ' ἑωυτῷ τρεφόμενον· ὑπὲρ
οὗ τὸ αὐτίκα ὁ λόγος δηλώσει, ὅταν
ἡ χρεῖος ἔλθῃ. 62 ὅτε δ' οὖν ἀφί-
κοντο οὗτοι οἱ ἄνδρες, οὗ τὸ στρατό-
πεδον ἐπεπλεῖτο, ὁ θεὸς ἔχαιρεν. 63
25 οἵ τε γὰρ θάνατοι τῶν στρατιωτῶν
ἔληξαν. 64 καὶ θείῃ τύχῃ ἵππου
τοῦ Εὐρυλόχου, ὃς ἡγεῖτο τοῦ πολέ-
μου, Θεσσαλὸς ἐὼν, καὶ ἄνωθεν ἐξ
Ἡρακλειδῶν, 65 κρούσαντος τὸν
σωλῆνα τῇ ὁπλῇ, δι' οὗ τὸ ὕδωρ
ἦγε ἐς τὸ τεῖχος, ὁκότε δια-
κονίεσθαι ἤθελεν, 66 Νέβρος φαρμά-
κοισιν ἐμίηνε τὸ ὕδωρ. 67 ἔνθεν
αἱ κοιλίαι τῶν Κρισαίων ἐφθάρη-
σαν· 68 καὶ μεγάλα δή τι ξυνε-
βάλετο πρὸς τὸ ἁλῶναι τὴν πό-
λιν. 69 καὶ ἐντεῦθεν αἱ γνῶμαι
ἐπήρθησαν τῶν πολιορκεόντων, ὡς
30 τοῦ θεοῦ ἐπικουρέοντος ἤδη σαφῶς.
70 προσβολὰς δὲ ποιευμένων,
καὶ ἆθλα προτεθέντων τοῖς πρώ-
τοις ἐπὶ τὸ τεῖχος ἀναβήσα-
σιν, ὁ ἀγὼν ἦν ὁ καρτερώτατος. καὶ
ἡ πόλις ᾑρέετο. 71 ἀνέβη γὰρ πρῶ-
τος ἐπὶ τὸ τεῖχος Χρύσος, καὶ
κατέλαβε τὸν πύργον. 72 ξυνεί-
πετο δὲ αὐτῷ ἐκ ποδὸς ξυνασπί-
ζων ὁ ἀνὴρ ὁ Καλυδώνιος, περὶ
οὗ προεῖλεξα. 73 ὁ μὲν Χρύσος δό-
ρατι πληγεὶς, ἔπεσε, κατ' ἄκρου
ἐκ τοῦ πύργου, ὑπὸ Μερμάδου, τοῦ
λύκου

nino, & corporis specie, & animi
virtute, quantum patri dicere
licet, inter omnes cives præcel-
177 lens. 59 Ego quidem igitur, nisi
vobis aliud videatur, & ipse pro-
ficiscar, & filium mecum addu- 65
cam, nave quæ quinquaginta
remis agatur, instructa meis
sumptibus, & ministeriis medi-
178 cis ac bellicis referta, quo in
utranque partem auxilium fe-
ramus. 60 Et hic quidem dixit:
illi vero approbaverunt, qui
missi fuerunt. 61 At Nebrus hic
etiam virum Calydonium apud
se educatum, in navem adsum-
psit: de quo statim, ubi res tu-
lerit, dicemus. 62 Cum igitur
pervenissent hi viri ad castra,
Deus gaudebat. 63 Nam & mortes 70
militum cessabant, 64 & cum
divina fortuna equus Eurylo-
chi (qui belli dux erat, Thessa-
lus genere, & ex Heraclidis or-
tum ducens) 65 canalem, per
179 quem aqua in urbem ducebatur,
ungula percussisset, ubi in pul-
vere volutari voluisset: 66 Ne-
brus aquam medicamentis infe-
cit, 67 unde ventres Crisæorum
corrupti sunt: 68 & sane mul-
tum contulit ad hoc ut civitas
caperetur. 69 Atque hinc jam
animi obsidentium elati sunt, 75
velut Deo jam manifeste auxi-
lium ferente. 70 Cum autem im-
petus faceret, & præmia propo-
180 nerent his qui primi muros con-
scendissent: certamen erat for-
tissimum, & urbs capiebatur. 71
Primus enim muros conscendit
Chrysus, & turrim occupavit.
72 Sequebatur autem ipsum
evestigio vir ille Calydonius,
sub communi scuto auxilium
ferens, de quo antea dixi. 73 Et
Chrysus quidem hasta percussus
cecidit ex summa turri, per- 80
cussus

λύκου δὲ ἀδελφεοῦ, 74 ὃς ἀπέθανεν λευσθεὶς, ὅτε ἦλθεν ἐς τὸ ἄδυτον τὸν τρίποδα συλήσων. 75 ἡ δ' οὖν πόλις οὕτως ἥλω. 76 ἥ, τε τοῦ νεβροῦ ἐπικουρίη σὺν χρυσῷ ὀρθῶς ἀπλώτησεν, καὶ κατὰ τὴν ἰατρικὴν καὶ κατὰ τὴν πολεμικήν. 77 ὅ, τε θεὸς ἠλήθευσε, καὶ ἃ ὑπέσχετο ἐποίησεν. 78 ἐφ' οἷς οἱ ἀμφικτύονες τῷ μὲν Ἀπόλλωνι νηὸν ἀνέθεσαν, τὸν νῦν ἐόντα ἐν Δελφοῖς· 79 ἀγῶνα τε γυμνικὸν καὶ ἱππικὸν πρότερον οὐ τιθέντες, νῦν τιθέασι. 80 τήν τε τῶν Κρισσαίων χώρην ἅπασαν καθιερώσαντο, δόντι, ἃ δέδωκε, διδόντες, καθ' ὅ, τι ἔχρησε· 81 τόν τε τοῦ νεβροῦ παῖδα χρυσὸν ἔθαψαν ἐν τῷ ἱπποδρόμῳ· 82 καὶ ξυνέταξαν δημοσίῃ Δελφοὺς ἐναγίζειν. 83 Ἀσκληπιάδαις δὲ τοῖς ἐν Κῷ ἐδόθη νεβροῦ χάριν προμήθεια πρὸς μαντεῖον, καθάπερ τοῖσιν ἱερομνήμοσι. 84 Καλυδωνίοις δὲ, ἀπ' ἐκείνου τοῦ ἀνδρὸς ἐκείνης τῆς ὑπουργίης, καὶ νῦν ἐν Δελφοῖς προμαντείη καὶ δίαιτα δέδοται. 85 ἀλλ' ἐπάνειμι ἐπὶ τὰ ἡμέτερα. 86 τοῦ πατρὸς καὶ ἐμοῦ ἐπελθόντων ἀμφικτύονες ἀνενεώσαντο ταῦτα, καὶ ἀπέδοσαν, καὶ ἐν στήλῃ ἀναγράψαντες ἐν Δελφοῖς ἀνέθεσαν. 87 καὶ τούτου μέν μοι τοῦ λόγου τέλος. ἐνταῦθα καθαρῶς δείκνυσι τοὺς ἡμετέρους προγόνους ὑμέων εὐεργέτας. 88 τοῦτον δὲ καταλιπὼν ἄλλον αἱρήσομαι περὶ τῶν αὐτῶν, οὐ τὸν αὐτόν. 89 ὅτε γὰρ βασιλεὺς ὁ μέγας ξὺν πέρσῃσι καὶ τοῖς ἄλλοις βαρβάροις ἐστράτευσεν ἐπὶ τοὺς μὴ διδόντας ὕδωρ,

cussus est autem à Mermode Lyci fratre, 74 qui lapidibus obrutus mortuus est, cùm in adytum irrupisset tripodem deprædaturus. 75 Hi igitur civitatem sic ceperunt: 76 & Nebri auxilium cum Chryso, & secundum medicam, & secundum bellicam facultatem recte successit: 77 & Deus vera dixit, & quæ promiserat fecit. 78 Qua de causa Amphictyones Apollini quidem templum consecrarunt, quod nunc est in Delphis: 79 & certamen gymnicum ac equestre prius non peragentes, nunc peragunt: 80 & Crisæorum regionem universam dicarunt Deo contributori, reddentes ea quæ dedit in eo quod oraculum dedit. 81 Et Nebri filium Chrysum in circo equestri sepelierunt: 82 & Delphis publice ipsi parentare præceperunt. 83 Asclepiadis vero in Co attributa est prudentia vaticinandi, quemadmodum his qui mittuntur ex urbibus ad sacrum Amphictyonum concilium: atque hoc Nebri gratia. 84 Calydoniis autem ab illo viro, & illo ministerio, etiam nunc in Delphis primæ vaticinandi partes, & alimenta dantur. 85 Verum redeo ad nostra. Nam quod vera dico, hinc clarum est. 86 Cum enim pater & ego accessissemus, Amphictyones hæc renovarunt, & attribuerunt, & columna descripta in Delphis dedicaverunt. 87 Atque hujus quidem sermonis finis clare ostendit, nostros progenitores esse vestros benefactores. 88 Cæterum hoc relicto, alium de iisdem, non eundem sermonem adsumam. 89 Cum enim magnus ille rex cum Persis & aliis Barbaris bellum gereret

ὕδωρ καὶ γῆν ἐπελθών, 90 ἡ πατρὶς ἡ ἡμετέρη εἵλετο μᾶλλον πανδημεὶ ἀπολέσθαι, ὡς μὴ καθ' ὑμέων τι, καὶ τῶν ταῦτα ὑμῖν γινωσκόντων ὅπλα πολέμια λάβῃ, καὶ ἐν νηυσὶ στρατιὴν ἀποστείλῃ, 91 ἀλλ' ἀνένευσε, καλὸν καὶ ἄξιον πατέρων μεγαλοφρονευμένη, οἳ λέγονται γηγενέες τε εἶναι, καὶ Ἡρακλεῖδαι. 92 ἔδοξεν οὖν σφιν, τεσσάρων ἐόντων τειχέων ἐν τῇ νήσῳ, πάντ' ἐκλείπειν καὶ ἐς τὰ ὄρεα καταφυγοῦσιν ἀντέχεσθαι σωτηρίης. 93 ὅθεν δὴ τί κακὸν οὐκ ἀπήντησε, χώρης ληϊλατευομένης, καὶ σωμάτων ἐλευθέρων ἀνδραποδιζομένων, καὶ κτεινομένων ἐχθρῶν νόμῳ, τῆς τε πόλιος, καὶ τῶν ἄλλων ἐρυμάτων καὶ ἱρῶν καταφλεγομένων. 94 ἔτι δὲ καὶ τῇ θυγατρὶ τοῦ Λυγδάμιος Ἀρτεμισίῃ κατὰ πατέρων νίκης δοθέντων ἐκσαγηνεῦσαι πάντα, ὅσα λοιπὰ ἦν. 95 ἀλλὰ γάρ, ὡς ἔοικε, θεοῖς οὐκ ἠμελούμεθα. 96 χειμώνων δὲ γενομένων ἐξαισίων, αἵ τε νῆες τῆς Ἀρτεμισίης ἐκινδύνευσαν ἅπασαι ἀπολέσθαι. πολλαὶ δὲ ἀπώλοντο. 97 ἔς τε τὸ στράτευμα αὐτέης πολλοὶ κεραυνοὶ ἐνέπεσον, σπάνιόν τι τῆς νήσου κεραυνουμένης. 98 λέγεται δὲ καὶ φάσματα ἡρώων τῇ γυναικὶ ὀφθῆναι. ἃ δὴ πάντα φοβηθεῖσα, ἀπέστη ἔργων ἀνηκέστων, 99 ὁμολογίην πικρὴν ποιησαμένη. καὶ λίην πικρὴν λέγεσθαι. ὥστε ἀφείσθω. 100 ἀποδώσω δὲ καὶ ἐνταῦθα τοῖς προγόνοις τοῖς ἐμοῖς κυριώτατα ἀψευδέα, 101 ὅτι μήτ' ἐφ' ὑμέας, μήτ' ἐπὶ Λακεδαιμονίους [μηθ'] ἑτέρους ἄλλους Ἑλλήνων, Κῴους ἑκούσια ὅπλα λαβεῖν, 102 καὶ τῶν πολλῶν τῶν ὁμοῦ νήσους τε καὶ Ἀσίην οἰκεόντων συναψαμένων τοῖς βαρ-

ret contra Græcos, qui aquam & terram non dedissent. 90 patria nostra maluit in totum pessundari, ut ne contra vos, & eos qui vobiscum sentirent, hostilia arma sumeret, & in navibus militarem expeditionem mitteret. 91 Sed abnuit, honestum quid, & dignum patribus meditata, qui Gigantes & Heraclidæ esse dicuntur. 92 Visum igitur est ipsis, cum quatuor essent muri in insula, omnes relinquere, & ad montes confugere, & salutem tutari. 93 Unde sane quid non mali obvenit?, dum regio fuit devastata, & corpora libera mancipata, & hostili lege occisa, & urbs & alia munimenta, ac templa, ad favillam exusta. 94 Insuper autem & filiæ Lygdamis Artemisiæ, circa patrum victoriam datum est, omnia quæ reliqua essent expiscari ac exportare. 95 Atenim, velut apparet, à diis non sumus neglecti: 96 verum tempestatibus ingentibus exortis, & naves Artemisiæ omnes in periculo fuerunt, & multæ perierunt: 97 & in exercitum ipsius multa fulmina inciderunt, quum insula nostra paucis fulminibus impeteretur. 98 Dicitur etiam spectra Heroum mulieri conspecta esse. Quorum sane omnium timore perterrefacta, ab immedicabilibus cœptis destitit, 99 amara confessione facta, quæ & relatu amara est: Quare omittatur. 100 Attribuam autem & hic progenitoribus meis propriissime minime falsa, 101 quod neque contra vos, neque contra Lacedæmonios, aliosque Græcorum socios, Coi voluntaria arma sumpserint: 102 & quidem quum multi tum insulas, tum Asiam habitantes, cum Barbaris

βάροις τοῦ πολέμου, ἢ βίῃ. [103] οἱ γὰρ προεστῶτες τότε τῆς πόλεως ἦσαν κάδμος τε, καὶ ἱππόλοχος. [104] ἔστι ἀληθείῃ δὲ κεῖται, προγόνους ἐμοὺς εἶναι τόν τε κάδμον, καὶ τὸν ἱππόλοχον. [105] ὁ μὲν γὰρ κάδμος, ὃς καὶ τὴν βουλὴν αὐτὴν ἤλαυνεν, ἐπὶ τῆς ἐμῆς μητρός. [106] ὁ δ' ἱππόλοχος ἐξ ἀσκληπιαδέων τέταρτος ἀπὸ νέβρου τοῦ κρισαίους συγκαθελόντος. [107] ἡμεῖς δ' ἀσκληπιάδαι κατ' ἀνδρογένειαν. [108] ὥστε καὶ τοῦτο τὸ καλὸν τῶν ἡμετέρων προγόνων προσλήψεσθε. ἐπάνειμι δ' ἐπὶ τὸν κάδμον. [109] οὗτος γὰρ δὴ ὁ ἀνὴρ οὕτως ἐσπούδασε τὰ τῶν ἑλλήνων καλά, ὥστε, ὁκότε ἔληξεν ἡ χώρη πολιορκεομένη ὑπὸ ἀρτεμισίης, [110] αὐτοῦ καταλιπὼν τὴν γυναῖκα καὶ γενεὴν, ὤχετο ξὺν τοῖς τὰ αὐτὰ αἱρεομένοις ἐπὶ σικελίης, [111] ὅπως γέλωνα καὶ τοὺς ἀδελφοὺς κωλύσῃ φιλίην ξυνθέσθαι κατὰ τῶν ἑλλήνων πρὸς τοὺς βαρβάρους. [112] διεπρήξατο δὲ καὶ ἄλλα πολλὰ καλὰ ἔργα, ἃ μηκύνειν οὐ πρόσκαιρον. [113] αἱ μὲν δὴ δημόσιαι καὶ ἡμέων προγόνων ὑπεργεσίαι ἐς ὑμέας καὶ ἐπὶ ἄλλους ἕλληνας αὗταί τε καὶ τοιαῦται. [114] καὶ γὰρ ἐκλείπει ἡ δύναμις τοῦ λόγου. [115] ἔρχομαι δ' ἤδη ἐς τοὺς εἰδότας, διηγησόμενος ἱπποκράτεος πατρὸς ἐμοῦ προσσχεῖν. λέγων δ' ἂν ἀληθίζοιμι οὕτως. [116] ὁκότε λοιμοῦ ῥέοντος διὰ τῆς βαρβάρου, ἣ ὑπέρκειται ἰλλυριῶν, καὶ παιόνων. [117] ὁκότε δὴ ἐπὶ ταύτην τὴν χώρην ἧκεν τὸ κακόν, [118] οἱ τούτων τῶν ἐθνέων βασιλῆες, κατὰ δόξαν ἰητρικὴν, ἣ ἀληθὴς ἐοῦσα πανταχόθεν ἴσχυεν ἔρχεσθαι, καὶ κατὰ πατρὸς τοῦ ἐμοῦ, πέμπουσιν ἐπὶ θεσσαλίης. [119] ἐκεῖ γὰρ δὴ ὁ ἐμὸς πατὴρ καὶ πρότερον καὶ νῦν οἰ-

κησιν

in bello conjuncti fuerint, nulla violentia coacti. [103] Equidem præfecti urbis tunc fuerunt Cadmus & Hippolochus. [104] Verum autem est, & Cadmum & Hippolochum meos progenitores esse. [105] Nam Cadmus, qui & Senatum regebat, matris meæ progenitor est: [106] Hippolochus vero ex Asclepiadis, quartus à Nebro, cujus auxilio Crisæi sunt devastati. [107] Nos autem ex virili genere Asclepiadæ sumus. [108] Quare & hoc bonum à progenitoribus nostris profectum amplectimini. Redeo ad Cadmum. [109] Hic sane vir adeo commodi Græcorum studiosus fuit, ut cum regio ab Artemisiæ obsidione liberata esset, [110] isthic relicta uxore ac sobole, abiverint cum his qui eadem sentirent in Siciliam, [111] quo Gelonem & fratres ejus prohiberet, ne amicitiam cum Barbaris contraherent contra Græcos. [112] Perpetravit & alia multa egregia facta, quæ longius producere non est tempestivum. [113] Atque hæc quidem & hujusmodi multa sunt publica progenitorum nostrorum in vos & alios Græcos beneficia. [114] Nam deficit me dicendi facultas. [115] Venio autem jam ad hoc, ut beneficium Hippocratis patris mei apud eos, qui id sciunt, producam: quod hoc modo recensens, vera dicere cognoscar. [116] Cum pestis ex Barbaria adflueret, quæ supra Illyrios ac Pæonas sita est, [117] & cum malum in hanc regionem venisset: [118] harum gentium Reges ad famam medicam, quæ vera erat, & undiquaque processerat, & ad patrem meum, nuncios miserunt in Thessaliam [119] (illic enim pater meus & prius, & nunc do-

mum

κησιν εἶχε· 120 καλέοντες αὐτὸν ἐς ἐπικουρίην χρυσοῦ τε καὶ ἀργύρου καὶ ἄλλων κτεάνων. οὐ μόνον ἔφασαν 191 πέμψειν ἔχειν, ἀλλὰ καὶ ἀποίσεσθαι, ὁκόσα αὐτὸς ἐθέλει, ἐπαμυνάντα. 121 ὁ δὲ ἐρώτησιν ποιησάμενος, ὁκοῖαί τινες ἐν μέρει κινήσιες γίνονται, καὶ τὰ τε καύματα καὶ ἀνέμους, καὶ 192 ἀχλύας, καὶ τ' ἄλλα, ἃ πέφυκε τὰς ἕξιας κινεῖν παρὰ τὸ καθεστηκός· 122 ὁκότε δὴ πάντων μαθήσιας ἀνέ- 193 λετο, τοὺς μὲν χωρέειν ἐκέλευσεν ὀπί- 194 35 σω, ἀποφηνάμενος μὴ οἷός τε 195 εἶναι ἐς χώρην τὴν ἐκείνων ἰέναι. 123 ὅκως δὲ εἶχε τάχεος, αὐτὸς μὲν Θεσ- 196 σαλοῖς ἤρετο παραγγέλλειν, ὁκοίοις χρὴ τρόποις κακοῦ τοῦ προσιόντος διαλαβέειν ποιέεσθαι. 124 καὶ ξυγγράψας θεραπείην ἐξετίθει κατὰ τὰς πόλιας. ἐμὲ δὲ ἐπὶ Μακεδονίης ἐξαπέστελλε. 125 βασιλεῦσι γὰρ Ἡρακλειδέων, οἳ ἐκεῖ κατέχουσι, πατρικὴ ξενίη ὑπῆρχεν ἡμῖν. 126 κἀγὼ μὲν ᾔειν, ἵνα με ὁ πατὴρ ἐκέλευσεν, ἀπὸ Θεσσαλίας, ἀρήξων τοῖς ἐκεῖ. 127 συνεπέ- 40 ταξε δέ μοι ξυμβαλέειν ἐς πόλιν τὴν ὑμετέρην. 128 ἀδελφεὸν δὲ τὸν ἐμὸν Δράκοντα ἐκ Παγασέων ὁρμηθέντα πλεῖν ποιέεσθαι ἐφ' Ἑλλήσποντον ἐκέλευσε. 129 παραπλησίην δὲ ὑποθήκην, ᾗ αὐτὸς ἐπεχρήσατο. 130 οὐ γὰρ πάντες τόποι τὰ αὐτὰ φέρουσι βοηθήματα· διὰ τὸ μὴ πάντα τὰ περιέχοντα ἐξ ἀέρος ὅμοια εἶναι. 131 Πολύβιον δὲ τὸν τὴν θυγατέρα ἔχοντα, ἐμὴν δὲ ἀδελφεὴν, καὶ ἄλλους τῶν μαθητέων διέπεμπεν ἐς ἑτέρας ἑτέρων καὶ πρὸς ἀγορὰς καὶ ὁδοὺς 45 πορευσομένους, ὅπως ὅτι πλεί- 197 στοις ἐπαρήξαι. 132 ὡς δὲ δὴ τὰ κατὰ Θεσσαλίην λύσατο, ἐπορεύετο τοῖς ἐχομένοις ἔθνεσι βοηθέων. 133 ἐπὶ Πύλας δὲ ἐλθὼν, διαφεύσι καὶ 198 τοῖς

mum habet) 120 vocantes ipsum ad auxilium ferendum. Et non solum argentum, & aurum, & alias opes se missuros esse receperunt: sed etiam reportaturum esse quæcunque ipse vellet, si auxilium tulisset. 121 Ipse vero cum interrogasset, quales motus partiales fierent, & 'æstus, ac 135 ventos, & caligines perscrutatus, itemque alia quæ habitus ex præsenti statu commovere solent: 122 cum sane omnia didicissent, illos quidem retro discedere jussit, & nullam sibi facultatem esse ad illorum regionem proficiscendi, pronunciavit. 123 Verum ipse quam citissime Thessalis denunciare studuit, quibus modis malum accedens caverent: 124 & medelam conscriptam per urbes proponebat. Me vero in Macedoniam 'emi- 140 sit. 125 Cum regibus enim Heraclidarum, qui isthic imperium obtinent, paterna nobis intercedit amicitia. 126 Et ego quidem ibam à Thessalia eo, quo me pater jussit, auxilium his qui isthic essent laturus. 127 Injunxit autem mihi ut etiam urbi vestræ opẽ ferrem. 128 At fratrem meum Draconem ex Pagasis profectum, in Hellespontum navigare jussit, 129 consimili consilio instructum, quali etiam ipse utebatur. 130 Non enim omnes loci 'ca- 145 dem auxilia ferunt, eo quod non omnis ambiens nos aër similis est. 131 Polybium vero, qui filiam ipsius, meam autem sororem habet, & alios discipulos, ad alios aliorum conventus & vias profecturos emisit, quo quam plurimis opitularetur. 132 Postquam autem ipse res in Thessalia perfecit, ad vicinas gentes auxilium laturus proficiscebatur, 133 & ad

Pylas

